24 διαιρεῖται C 26 περισκοπεῖ C 27 ἐπεὶ — ψεύδους (29) om. F 28 κακοῦ scripsi:
καλοῦ libri 29 ante ἄλλοι add. ἐπεὶ F ἀγαθόν τε C ἀληθές τε Ca ψευδὲς]
ψεῦδος C 30 ὄργανον διακριτικὸν F post τούτ. add. ἡμῖν παραδοῦναι Fa
31 ἐστὶν om. C 32 τε om. C 36 φυσικὰ C καὶ τὰ μαθ. C

γικά. καὶ θεολογικὰ μέν ἐστι τὰ μετὰ τὴν Φυσικὴν πραγματείαν αὐτῷ 8r
τεταγμένα, ἅπερ οὕτω Μετὰ τὰ φυσικὰ προσηγόρευσε (τὰ γὰρ ὑπὲρ τὴν
φύσιν πάντα διδάσκειν θεολογίας ἴδιον), φυσικὰ δὲ ὡς αὐταὶ αἱ Φυσικαὶ 10
καλούμεναι, τὰ Περὶ γενέσεως καὶ φθορᾶς καὶ τὰ παραπλήσια, μαθη-
5 ματικὰ δὲ τὰ μέσα τούτων ὄντα καὶ κατά τι μὲν χωριστὰ τῆς ὕλης κατά
τι δὲ ἀχώριστα· ἔγραψε γὰρ καὶ γραμμάς τινας. τὰ δὲ πρακτικὰ εἴς τε
τὰ ἠθικὰ (ἔχει γὰρ Ἠθικὴν πραγματείαν) καὶ εἰς τὰ οἰκονομικὰ καὶ πολιτικά. 15
τῶν δὲ ὀργανικῶν τὰ μέν εἰσι περὶ τῶν ἀρχῶν τῆς μεθόδου, ὡς αἱ Κατη-
γορίαι καὶ τὸ Περὶ ἑρμηνείας καὶ οἱ δύο λόγοι τῶν Πρώτων ἀναλυτικῶν,
10 τὰ δὲ περὶ αὐτῆς τῆς μεθόδου, ὡς τὰ Ὕστερα ἀναλυτικά, ἐν οἷς περὶ ἀπο-
δείξεως διδάσκει. οἱ δὲ Τόποι καὶ οἱ Σοφιστικοὶ ἔλεγχοι καὶ αἱ Ῥητορι- 20
καὶ τέχναι, καὶ ὥς τινές ⟨φασι⟩ τὰ Περὶ ποιητικῆς, αὐτόθεν μὲν εἰς τὴν
μέθοδον οὐ συμβάλλονται, ἄλλως δὲ καὶ αὐτὰ συνεργοῦσι πρὸς τὴν ἀπόδειξιν
τὰς μεθόδους ἡμᾶς, καθ' ἃς οἱ παραλογισμοὶ γίνονται, διδάσκοντα.

15 Τρίτον ἦν ἐφεξῆς κεφάλαιον τὸ πόθεν δεῖ ἄρχεσθαι τῶν Ἀριστοτελι- 25
κῶν συγγραμμάτων. Βόηθος μὲν οὖν φησιν ὁ Σιδώνιος δεῖν ἀπὸ τῆς
φυσικῆς ἄρχεσθαι πραγματείας ἅτε ἡμῖν συνηθεστέρας καὶ γνωρίμου. δεῖν
δὲ ἀεὶ ἀπὸ τῶν σαφεστέρων ἄρχεσθαι καὶ γνωρίμων. ὁ δὲ τούτου δι-
δάσκαλος Ἀνδρόνικος ὁ Ῥόδιος ἀκριβέστερον ἐξετάζων | ἔλεγε χρῆναι πρό- 8v
20 τερον ἀπὸ τῆς λογικῆς ἄρχεσθαι, ἥτις περὶ τὴν ἀπόδειξιν καταγίνεται.
ἐπειδὴ οὖν ἐν πάσαις αὐτοῦ ταῖς πραγματείαις ὁ φιλόσοφος κέχρηται τῇ
ἀποδεικτικῇ μεθόδῳ, δέον ἡμᾶς πρότερον ταύτην κατορθῶσαι, ἵνα εὐχερέ-
στερον παρακολουθήσωμεν τοῖς ἄλλοις αὐτοῦ συγγράμμασι. φασὶ δέ τινες 5
ἀπὸ τῆς ἠθικῆς δεῖν ἄρχεσθαι· πρότερον γὰρ δεῖ τὰ ἤθη κατακοσμεῖν
25 καὶ οὕτως ἐπὶ τὰς ἄλλας ἰέναι πραγματείας, ἵνα μὴ τεθολωμένον ὑπὸ
τῶν παθῶν τὸ λογιστικὸν ἔχοντες τὰς περὶ τῶν πραγμάτων κρίσεις μὴ 10
ἀκριβεῖς φέρωμεν. εἰ δέ τινες λέγοιεν μᾶλλον ἀπὸ τῆς λογικῆς, ἵνα μετὰ
ἀποδείξεως εἰδείημεν τὰ ἄγοντα ἡμᾶς ἐπὶ τὰς ἀρχὰς καὶ ποία ἐστὶν ἡ ὄν-
τως ἀρετή, φαμὲν ὅτι πρῶτον μὲν ὀρθοδοξαστικῶς εἰδέναι τοῦτο ὀφείλο-
30 μεν, εἶθ' ὕστερον καὶ ἀποδεικτικῶς· ὥστε κἂν ταῖς ἀποδείξεσι μὴ παρα- 15
κολουθῶμεν, δεῖ πρότερον αὐτὰ τῆς ἠθικῆς τὰ ἀποτελέσματα μαθόντας
ὀρθοδοξαστικῶς κατ' αὐτὰ ζῆν, εἶθ' ὕστερον ταῖς ἀποδεικτικαῖς ἐπιβάλλειν
μεθόδοις.

Τί δὲ τὸ τέλος ἐστὶ τῆς Ἀριστοτελικῆς φιλοσοφίας; φαμὲν ὅτι τὸ
35 γνῶναι τὴν ἁπάντων ἀρχὴν τὴν τῶν πάντων δημιουργὸν αἰτίαν τὴν ἀεὶ 20

---

1 εἰσι a: om. C τὴν om. Ca 2 τεταγμ.] γεγραμμένα Fa alt. τὰ] τὸ C τὴν om. a
3 θεολ. διδ. coll. Fa an φυσιολογικά? 4 τά τε (priore l.) Ca 5 τούτ. ὄντα μέσα collocc. C 6 καὶ om. C 8 τῶν μεθόδων a 12 φασι inserui τῆς ποιητ. a αὐτόθι F
13 πρὸς] εἰς a 14 διδάσκοντα scripsi: διδάσκοντες libri 15 τὸ om. C δεῖν F
16 ὁ] καὶ a σιδόνιος F 17 συνήθους F δεῖν — γνωρίμων om. F δεῖ a
21 ἑαυτοῦ C ταῖς om. C 22. 23 εὐχερῶς a 26 τὸν λογισμὸν a κτίσεις C 28. 29 εἰδείημεν — ἀρετή] εἰδῶμεν τὰς ἀρετάς F ὄντ.] οὕτως a 29 μὲν om. C τοῦτο] τὰς ἀρετὰς F 31 πρῶτον C μαθόντες F 32 κατὰ ταῦτα F ταῖς om. F 34 ὅτι om. F alt. τὸ om. a 35 ἁπ.] πάντ. Fa αἰτίαν] τὸ καὶ C

καὶ ὡσαύτως ἔχουσαν· ἀποδείκνυσι γὰρ μίαν πάντων ἀρχὴν καὶ ἀσώματον, 8v
ἐξ ἐκείνης δὲ τὰ πάντα παράγεσθαι.

Τίνα δὲ τὰ ἄγοντα ἡμᾶς εἰς τοῦτο τὸ τέλος; φαμὲν ὅτι ἡ διδασκαλία τῶν ἐν χρόνῳ καὶ ἐν μεταβολῇ ὑπαρχόντων. τοιαῦτα δέ ἐστι τὰ ἐν γενέσει καὶ φθορᾷ· ἀπὸ γὰρ τούτων διὰ μέσων τῶν μαθηματικῶν ἀνάγομεν 25
ἑαυτοὺς ἐπὶ τὰ ἀεὶ καὶ ὡσαύτως ἔχοντα (τοιαῦτα δέ ἐστι τὰ οὐράνια) καὶ οὕτως μετὰ τὰς ἀσωμάτους οὐσίας ἐπὶ τὴν πρώτην πάντων αἰτίαν· πάσης γὰρ κινήσεως ἢ κατ' οὐσίαν οὔσης ἢ κατὰ ποσὸν ἢ κατὰ ποιὸν ἢ κατὰ τόπον τὰ μὲν ἐν γενέσει καὶ φθορᾷ κατὰ πᾶσαν κίνησιν κινοῦν|ται, τὰ δὲ 9r
οὐράνια κατὰ μόνην τὴν κατὰ τόπον· διὸ χρὴ εὐτάκτως ὁδεύειν ἀπὸ τῶν πολυτρόπως κινουμένων ἐπὶ τὰ κατὰ μίαν καὶ μόνην κίνησιν κινούμενα, καὶ οὕτως ἐπὶ τὴν ἀκίνητον καὶ ἀεὶ ὡσαύτως ἔχουσαν ἀρχήν, καὶ μὴ κατὰ τὸν χρησμὸν ὑπερβάθμιον πόδα πέμπειν· εἰ γὰρ ἀθρόως βουληθείημεν ἐκ τῶν σωματικῶν τῇ πρώτῃ τῶν πάντων ἀρχῇ προσβαλεῖν, νοήσαιμεν ἂν κἀκείνην σῶμα εἶναι καὶ ἐσχηματίσθαι. διό φησιν ὁ Πλωτῖνος 'παραδοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως'.

Τὸ δὲ εἶδος τῶν Ἀριστοτελικῶν συγγραμμάτων πανταχοῦ ἀκριβὲς κατὰ τὴν φράσιν (ἐκφεύγει γὰρ ἀεὶ ὁ φιλόσοφος τὰς ῥητορικὰς κομψείας καὶ μόνου γίνεται τοῦ τὴν τῶν πραγμάτων παραστῆσαι φύσιν), πολλαχοῦ δὲ συνεσφιγμένον καὶ ἀσαφῶς πεφρασμένον, οὐ διὰ τὴν φύσιν τοῦ γράψαντος, ἀλλ' ἑκουσίως τοῦτο πεποίηκεν· ἀμέλει τούς τε Τόπους σαφῶς διηγήσατο καὶ τὰ Μετέωρα καὶ ἕτερα. ἐπετήδευσε τοίνυν τὴν ἀσάφειαν διὰ τοὺς ἀναγινώσκοντας, ἵνα εὐφυεστέρους ἀποτελέσῃ εἰς τὸ συντεταγμένως τῶν λεγομένων ἀκούειν καὶ ἵνα τοὺς ῥᾳθύμους ἀκροατὰς ἀποστρέψῃ ἐκ προοιμίων· οἱ γὰρ γνήσιοι ἀκροαταὶ ὅσῳ ἀσαφῆ ἐστι τὰ λεγόμενα, τοσούτῳ σπουδάζουσι μᾶλλον καταγωνίσασθαι καὶ τοῦ βάθους ἐφικέσθαι. ὥσπερ οὖν παραπετάσματι τῇ ἀσαφείᾳ ἐχρήσατο διὰ τοὺς βεβήλους ἀμφιεννὺς τῶν πραγμάτων τὸ σεμνὸν τῇ ἀσαφείᾳ.

Ὁ δὲ ἀκροατὴς ὀφείλει ὑπάρχειν δίκαιος, εὐφυὴς τὴν διάνοιαν, σπουδαῖος περὶ τοὺς λόγους, τὸ ἦθος μέτριος, ἐν πᾶσι κεκοσμημένος. ὁ δὲ τοῦτον ἐξηγούμενος ὀφείλει μήτε κατ' εὔνοιαν ἐπιχειρεῖν τὰ κακῶς λεγόμενα συνιστᾶν καὶ ὡς ἀπὸ τρίποδος ταῦτα δέχεσθαι μήτε τὰ καλὰ κακοτρόπως δέχεσθαι κατὰ ἀπέχθειαν, ἀλλὰ κριτὴς | ἀπαθὴς τῶν λεγομένων ὑπάρχειν, 9v
καὶ πρῶτα μὲν τὴν διάνοιαν τοῦ ἀρχαίου σαφηνίζειν καὶ ἑρμηνεύειν τὰ αὐτῷ δοκοῦντα, ἔπειτα τὴν παρ' ἑαυτοῦ ἐπιφέρειν κρίσιν.

1 μίαν om. Ca 2 δὲ τὰ om. C 4 ἐν (alt.) om. a εἰσι C 5 μαθημάτων F 8 post ποσὸν add. ἢ κατὰ χρόνον F 10 χρὴ] δεῖ C 12. 13 καὶ μὴ κατὰ τὸν χρησμὸν ὑπερβ.] οὐ γὰρ δεῖ ὑπερβ. C (v. Suid. s. v. ὑπερβάθμιον) 13 γὰρ δὴ C βουλ. ἀθρ. coll. C 14 σωμάτων Fa 15 Πλωτῖνος] Ennead. I lib. III, 3 p. 20 17 ἀριστοτέλους a 19 πανταχοῦ C δὲ] τε Fa 21 τε om. C 23 εἰς τὸ] καὶ CF scribas συντεταμένως (cf. Amm. p. 7,12) 24 ἀκούωσι C ἀποστρέψηται C ἐκ] ἀπὸ F 25 εἰσι Ca τοσούτῳ om. F 26 καὶ om. F 30 κεκοσμῆσθαι a: κεκτημένος F 30. 31 τούτων a; an τούτῳ? 33 καὶ κατὰ C ἀπαθ.] ἀληθὴς F 35 ἑαυτοῦ] ἑαυτῷ Fa

Πασῶν δὲ τῶν Ἀριστοτέλους πραγματειῶν τὰ προλέγεσθαι ὀφείλοντα 9v
ἕξ ἐστιν, ὁ σκοπὸς τὸ χρήσιμον ἡ αἰτία τῆς ἐπιγραφῆς ἡ τάξις τῆς ἀναγνώ- 5
σεως ἡ εἰς τὰ κεφάλαια διαίρεσις καὶ εἰ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον.
καὶ ὁ μὲν σκοπὸς ἐξαπομάττει τῆς πραγματείας τὴν φύσιν καὶ ὥσπερ ἕξιν
5 τῷ ἀναγινώσκοντι παρέχει πῶς νοεῖν ἕκαστον δεῖ· παρασκευάζει γὰρ 10
ἕκαστον τῶν λεγομένων πρὸς τὸν σκοπὸν ἀπευθύνειν τοῦ συγγράμματος·
ὁ γὰρ τὸν σκοπὸν ἀγνοῶν ἔοικε τυφλῷ, οὐκ εἰδότι ὅποι φέρεται, καὶ μάτην
πάντα νομίσει τὰ πρὸς τὸν σκοπὸν τείνοντα ὑπὸ τοῦ ἀρχαίου λέγεσθαι.
τὸ δὲ χρήσιμον σπουδὴν καὶ προθυμίαν τῷ ἀκροατῇ ἐντίθησι· δεῖ γὰρ 15
10 τὸν μέλλοντά τινος ἄρχεσθαι μανθάνειν πρότερον τὸ ἀπ' ἐκείνου χρήσι-
μον, εἰς τί αὐτῷ λυσιτελεῖ. τὴν δὲ αἰτίαν τῆς ἐπιγραφῆς, ἐπειδὴ ἐπί
τινων συγγραμμάτων ἔστιν ὅτε ἀδήλου τῆς ἐπιγραφῆς οὔσης χρὴ ζητεῖν
δι' ἣν αἰτίαν οὕτως ἐπιγέγραπται, ὡς ἐν ταῖς Κατηγορίαις καὶ ἐν τῷ Περὶ 20
ἑρμηνείας καὶ ἐν ἄλλοις· ἐν γὰρ τῷ Περὶ οὐρανοῦ ἢ ἐν τῷ Περὶ ψυχῆς
15 οὐ δεῖ τὴν αἰτίαν τῆς ἐπιγραφῆς ζητεῖν· αὐτόθεν γὰρ τὸ σαφὲς ἔχει.
ζητοῦμεν δὲ καὶ εἰ γνήσιον τοῦ συγγραφέως τὸ βιβλίον· τρεῖς γὰρ ἀφορ-
μαὶ γεγόνασι τοῦ νοθεύεσθαι τὰ συγγράμματα τοῦ Ἀριστοτέλους. μία μὲν 25
ὁμωνυμία ⟨τῶν συγγραφέων⟩ (γεγόνασι γὰρ καὶ ἕτεροι Ἀριστοτέλεις, ὧν τὰ
συγγράμματα διὰ τὴν ὁμωνυμίαν τινὲς ἐνόμισαν τοῦ Ἀριστοτέλους). δευτέρα
20 δὲ ἡ τῶν συγγραμμάτων ὁμωνυμία (οἱ γὰρ μαθηταὶ αὐτοῦ Εὔδημος καὶ Φανίας
καὶ Θεόφραστος κατὰ ζῆλον τοῦ διδασκάλου γεγράφασι Κατηγορίας | καὶ Περὶ 10r
ἑρμηνείας καὶ Ἀναλυτικά). ἡ δὲ τρίτη τοιαύτη ἐστί· Πτολεμαῖον τὸν Φιλ-
άδελφον πάνυ ἐσπουδακέναι φασὶ περὶ τὰ Ἀριστοτέλους συγγράμματα. ὡς
καὶ περὶ τὰ λοιπά, καὶ χρήματα διδόναι τοῖς προσφέρουσιν αὐτῷ βίβλους
25 τοῦ φιλοσόφου. ὅθεν τινὲς χρηματίσασθαι βουλόμενοι ἐπιγράφοντες συγ- 5
γράμματα τῷ τοῦ φιλοσόφου ὀνόματι προσῆγον· ἀμέλει φασὶν ἐν τῇ με-
γάλῃ βιβλιοθήκῃ εὑρῆσθαι Ἀναλυτικῶν μὲν τεσσαράκοντα βίβλους, Κατη-
γοριῶν δὲ δύο. ἐκρίθη δὲ ὑπὸ τῶν ἐξηγητῶν Κατηγοριῶν μὲν τοῦτο
εἶναι γνήσιον τοῦ Ἀριστοτέλους Ἀναλυτικῶν δὲ τέσσαρα· ἐκρίθη δὲ ἔκ τε 10
30 τῶν νοημάτων καὶ τῆς φράσεως καὶ τῷ ἀεὶ ἐν ταῖς ἄλλαις πραγματείαις
μεμνῆσθαι τούτου τοῦ βιβλίου τὸν φιλόσοφον. τάξιν δὲ ζητοῦμεν ἀναγνώ-
σεως, ἵνα μὴ τοῖς μείζοσι πρῶτον ἐγχειρῶμεν καὶ ὧν εἰς τὴν γνῶσιν ἕτερα 15
ὀφείλει προλαμβάνεσθαι, ἀγνοοῦντες τὰ ἡμῖν πρῶτον γινώσκεσθαι ὀφεί-

---

1 προλεγόμενα (ὀφείλ. om.) C 2 ἕξ ἐστι] εἰσὶ ταῦτα C: εἰσὶ ταυτὶ κεφάλαια a
2 τὸ χρήσ.—διαίρ. καὶ (3)] καὶ τὰ λοιπὰ a ἡ τάξις τ. ἀναγν. post διαίρ. colloc. F
3 εἰ—βιβλίον fort. ante ἡ τάξις collocaveris (cf. v. 16) 5 παρέχειν F 6 τοῦ
συγ. ἀπ. colloc. a 7 ποῖ F: ὅπῃ a 7. 8 πάντα μάτ. colloc. C 10 ἀπ'] αὐτοῦ
C: αὐτὸ a 11 λυσιτελέσαι F: λυσιτελήσει a 12 post οὔσης add. ἁμαρτάνομεν τοῦ σκο-
ποῦ a 13 τὴν αἰτίαν δι' ἣν C 14 τῷ (prius)] τῇ Fa ἐν τῷ (alt.)] τῇ F: ἐν τῇ a
16 γραφέως F: φιλοσόφου a 17 νοθεῦσαι F τοῦ ἀρ. συγ. coll. F 18 τῶν συγγρα-
φέων Olymp.: om. CFa γὰρ] δὲ F 19 τοῦ om. Ca; an ⟨τούτου⟩ τοῦ? 21 τοῦ
αὐτῶν διδ. C γεγραφήκασι a κατηγορίαις F 22 ἀναλυτικήν Ca 23 ἀριστοτέλεια
C: ἀριστοτελικὰ a 24 βίβλους iter. F 26 φησὶν C μεγ.] παλαιᾷ F 29 γν.
εἶναι coll. C 30 τῷ] τὸ C 32 ἐγχωρῶμεν a 33 πρῶτα F: πρώτως a

λοντα. τὴν δὲ εἰς τὰ μόρια διαίρεσιν, διότι δεῖ τὸν ἀκριβῶς βουλόμενον 10r
τὴν τοῦ ὅλου φύσιν μαθεῖν τὰ τούτου μέρη ἀκριβῶς ἐπεσκέφθαι, οἷον ὁ
τὸν ἄνθρωπον ἀκριβῶς εἰδέναι βουλόμενος ὀφείλει τούτου κεφαλήν τε καὶ 20
χεῖρας καὶ πόδας καὶ τὰ ἄλλα ὁμοίως εἰδέναι μέρη. οὕτως οὖν καὶ
5 ἑκάστου συγγράμματος δεῖ τὰ μέρη πρότερον εἰδέναι, εἰς πόσα καὶ ποῖα
διαιρεῖται.

Εἰδέναι δὲ χρὴ ὅτι οὐ πανταχῇ ταῦτα πάντα χρὴ ζητεῖν, ἀλλ' ἐν οἷς
τὸ σαφὲς ἀποκέκρυπται· πολλάκις γὰρ τῷ σκοπῷ συναναφαίνεται καὶ τὸ 25
χρήσιμον, οἷον ἐν τῇ Περὶ οὐρανοῦ ἢ ἐν τῇ Περὶ ψυχῆς δῆλος καὶ ὁ σκο-
10 πὸς καὶ τὸ χρήσιμον καὶ ἡ ἐπιγραφή. ἐν μέντοι γε τοῖς Τόποις οὐδὲ ἓν
τούτων δῆλον. ἀλλ' οὐδὲ τοῦ σκοποῦ γνωσθέντος εὐθὺς καὶ τὸ χρήσιμον
συναναφαίνεται· σκοπὸς μὲν γὰρ αὐτῷ ἐν τοῖς Τόποις τὴν διαλεκτικὴν 30
μέθοδον | ἡμῖν παραδοῦναι· ἔστι δὲ ἡ διαλεκτική, ὡς αὐτὸς ὁρίζεται, 10v
'μέθοδος περὶ παντὸς τοῦ προτεθέντος προβλήματος συλλογιστικὴ ἐξ ἐνδό-
15 ξων'. εἰ δὲ περὶ παντὸς τοῦ προτεθέντος προβλήματος, προτίθενται δὲ ἡμῖν οὐ
μόνον τὰ ἀληθῆ ἀλλὰ καὶ τὰ ψευδῆ, ποῖον ἐνταῦθα τὸ χρήσιμον; τὸ γνῶναι 5
μέθοδον δι' ἧς καὶ τὰ ψευδῆ συλλογισόμεθα; αὐτὸς οὖν προϊὼν τὸ χρήσι-
μον ἡμῖν ἐκκαλύπτει, λέγων τὴν πραγματείαν χρήσιμον εἶναι πρὸς τρία,
πρὸς γυμνασίαν πρὸς τὰς ἐντεύξεις πρὸς τὰς κατὰ φιλοσοφίαν μεθόδους.
20 ἐν μέντοι γε ταῖς Κατηγορίαις καὶ ἐν τῷ Περὶ ἑρμηνείας ἅμα τῷ σκοπῷ 10
τὸ χρήσιμον συναναφαίνεται, ὡς ἑξῆς δείξομεν. καὶ ταῦτα μὲν περὶ τῆς
Ἀριστοτελικῆς φιλοσοφίας πάσης εἰρήσθω.

Εἴπωμεν δὲ καὶ περὶ τοῦ προκειμένου τῶν Κατηγοριῶν βιβλίου τίς
τε ὁ σκοπὸς καὶ τὸ χρήσιμον καὶ ἡ αἰτία τῆς ἐπιγραφῆς καὶ ἡ τάξις τῆς 15
25 ἀναγνώσεως καὶ εἰ γνήσιον τοῦ φιλοσόφου τὸ παρὸν βιβλίον καὶ ἡ εἰς
τὰ κεφάλαια διαίρεσις· ταῦτα γάρ, ὡς εἴρηται, δεῖ προλέγειν ἑκάστης
Ἀριστοτελικῆς πραγματείας. τινὲς οὖν περὶ τοῦ σκοποῦ τῶν Κατηγοριῶν
διηνέχθησαν, καὶ οἱ μὲν εἰρήκασι περὶ φωνῶν μόνων εἶναι τὸν σκοπὸν οἱ 20
δὲ περὶ πραγμάτων μόνων οἱ δὲ περὶ νοημάτων μόνων. καὶ οἱ μὲν λέ-
30 γοντες περὶ φωνῶν μόνων εἶναι τὸν σκοπόν. οἷος ἐγένετο ὁ Ἀλέξανδρος.
ἐκ τῶν Ἀριστοτελικῶν ῥησειδίων ἐπλανήθησαν τῶν λεγόντων "τῶν λεγομένων
τὰ μὲν κατὰ συμπλοκὴν λέγεται τὰ δὲ ἄνευ συμπλοκῆς". εἰ δὲ τὰ λεγό-
μενα, φασί, φωναί, δῆλον ὅτι περὶ φωνῶν ἐστιν αὐτῷ ὁ σκοπός. οἱ δὲ

---

3 τε om. Ca 4 πόδ. καὶ χεῖρ. coll. Fa οὖν om. C 7 πάντα om. F 8 ἐπικέκρ. C γὰρ] γὰρ σὺν C: σὺν a 9 οἷον ἐν μὲν Ca καὶ] ἐστιν F 10 γε om. F οὐδὲ ἓν] οὐδὲν F 13 αὐτὸς ὁρ.] Top. A 1 p. 100a18 15 περὶ om. F προβλήματος om. a προτίθ.] προτείνεται C: προτείνονται a alt. δὲ] καὶ C 16 τὰ (alt.) om. a τὸ χρ. ἐντ. coll. a 18 λέγων] Top. A 1 p. 101a26 χρησίμην Ca τὰ τρία C 19 τὰς (utrobique) om. C μεθ.] ἐπιστήμας Arist. 21 μὲν οὖν a 24 ὁ om. C 25 καὶ (ante εἰ) om. Ca παρὸν om. Ca alt. καὶ om. a 26 ὡς εἴρηται] p. 7,2 δεῖ] δέον ἐστὶ C 27 οὖν] δὲ a 28. 29 οἱ δὲ περὶ πρ.—σκοπόν (30) om. a 29 πραγματείας μόνης C οἱ δὲ περὶ νοημ. μόνων om. C μὲν om. C 30 ὁ om. C 31 πλανηθέντες a λεγόντων] p. 1a16 33 φασί om. a αὐτῷ ἐστιν coll. Ca

περὶ πραγμάτων μόνων οἰηθέντες εἶναι τὸν σκοπόν, οἷος ἐγένετο ὁ Εὐστά- 10v
θιος, φασὶν ὅτι περὶ πραγμάτων ποιεῖται τὴν διαίρεσιν ὁ φιλόσοφος λέγων
"τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου λέγεται", εἰ δὲ τὰ ὄντα, φασί,
πράγματά ἐστι, περὶ πραγμάτων ἄρα αὐτῷ ὁ σκοπός. οἱ δὲ περὶ νοημά-
5 των μόνων νομίσαντες διαλέγεσθαι τὸν φιλόσοφον, οἷος ἐγένετο ὁ Πορ- 30
φύριος, φασὶν ὅτι περὶ τῶν δέκα γενῶν ἐστιν αὐτῷ ὁ λόγος· ταῦτα δὲ 11r
ἐπὶ τοῖς πολλοῖς θεωροῦνται καί εἰσιν ὑστερογενῆ, ἅτινά ἐστιν ἐν τῇ ἡμε-
τέρᾳ διανοίᾳ· περὶ νοημάτων ἄρα ἐν τούτοις τῷ Ἀριστοτέλει ὁ λόγος.
ἐπλανήθη δὲ καὶ οὗτος ἐκ τῶν πρὸς τῷ τέλει λέξεων τοῦ Ἀριστοτέλους 5
10 λέγοντος "ὑπὲρ μὲν οὖν τῶν προτεθέντων γενῶν ἱκανὰ τὰ εἰρημένα"·
γένη δὲ πανταχοῦ ὁ Ἀριστοτέλης τὰ ἐπὶ τοῖς πολλοῖς καὶ ἐννοηματικὰ
λέγει. οἱ δὲ ἀκριβέστερον λέγοντες, ὧν εἷς ἐστιν ὁ Ἰάμβλιχος, φασὶν ὡς οὔτε
περὶ νοημάτων μόνων ἐστὶν αὐτῷ ὁ λόγος οὔτε περὶ φωνῶν μόνων οὔτε 10
περὶ πραγμάτων μόνων, ἀλλ' ἔστιν ὁ σκοπὸς τῶν Κατηγοριῶν περὶ φωνῶν
15 σημαινουσῶν πράγματα διὰ μέσων νοημάτων. ὅτι δὲ οὐ καλῶς οἱ πρότερον
ὡρίσαντο, μάθοιμεν ἂν οὕτως· λεγέτωσαν γὰρ οἱ περὶ πραγμάτων μόνων
αὐτὸν λέγοντες διαλαμβάνειν, ἐπειδὴ τῶν πραγμάτων τὰ μὲν ἐν ψιλῇ 15
ἐπινοίᾳ κεῖται, ὡς ἱπποκένταυρος καὶ τραγέλαφος, τὰ δὲ ὑφεστῶτα, περὶ ποίων
αὐτῷ ὁ λόγος; δῆλον ὅτι φήσουσι περὶ τῶν ὑφεστώτων. πρότερον οὖν
20 ἔννοιαν τούτων λαβὼν οὕτως ἡμᾶς διὰ τῶν φωνῶν διδάσκει περὶ τούτων;
πάντως δήπου συμφήσουσιν· ἀδύνατον γὰρ σημαῖναι τὰ πράγματα ἄλλως ἢ 20
ὑπὸ φωνῶν διὰ μέσων νοημάτων· οὐκοῦν καὶ περὶ πάντων διαλέξεται. λε-
γέτωσαν δὲ καὶ οἱ περὶ φωνῶν μόνων ἢ νοημάτων μόνων λέγοντες αὐτὸν
διαλαμβάνειν, ἐπειδὴ αἱ φωναὶ καὶ τὰ νοήματα τὰ μέν εἰσι σημαντικά
25 τινων τὰ δὲ μέχρι τῆς φωνῆς καὶ τῆς ἐπινοίας τὸ εἶναι ἔχει, περὶ ποίων 25
αὐτὸν φήσετε διαλαμβάνειν; ἐροῦσι δηλαδὴ περὶ τῶν σημαινουσῶν πράγ-
ματα· περὶ γὰρ τῶν ἀσήμων ἢ φωνῶν ἢ νοημάτων οὐδὲ εἷς λόγος τοῖς
φιλοσόφοις. οὐκοῦν διαλαμβάνων περὶ φωνῶν σημαινουσῶν πράγματα καὶ
αὐτῶν ἅπτεται τῶν πραγμάτων διὰ μέσων τῶν νοημάτων, καὶ περὶ νοημά- 30
30 των | ποιούμενος τὸν λόγον σημαινόντων πράγματα διαλέξεται περὶ αὐτῶν 11v
διὰ φωνῶν τῶν ἑρμηνευουσῶν τὰ νοήματα· εἰ μὲν γὰρ γυμναὶ σωμάτων
ἦσαν αἱ ψυχαί, γυμνοῖς ἂν προσέβαλλον τοῖς νοήμασι· νῦν δὲ τοῖς σώμα-
σιν ἐγκαθειργμέναι οὐκ ἄλλως ἢ διὰ τῶν φωνῶν δύνανται σημαίνειν ἀλλή- 5
λαις τὰ ἴδια νοήματα. ἐπειδὴ δὲ τῶν πραγμάτων τὰ μέν ἐστιν ἁπλᾶ τὰ
35 δὲ σύνθετα (ἁπλοῦν μὲν γὰρ πρᾶγμα Σωκράτης, σύνθετον δὲ Σωκράτης

---

1 πραγματείας C μόνων om. C εἶναι τὸν σκ.] λέγειν C ὁ om. F 2 λέγων] p. 1a20 3 ὑποκ. τινὸς Arist. 4 εἰσι a 6 αὐτῷ om. a λόγ.] σκοπός F1 9 τὸ τέλος a 10 λέγοντος] p. 11b15 ὑπὲρ] περὶ C 12 ὁ] καὶ a 13 μόνον (pr. l.) C αὐτῷ ἐστιν coll. C 16 διωρίσ. a μόνων om. Ca 17 διαλαβεῖν C ἐν om. F 18 κένταυρος Ca 19 πότερον a 21 ἄλλως ἢ scripsi: ἄλλως μὴ C: μὴ Fa 26 an σημαινόντων? 31 ἑρμ.] σημαινουσῶν F νοήμ.] πράγματα F 32 προσέβαλον Fa post προσέβ. add. ἑαυτὰς Ca 33. 34 ἀλλήλοις F 34 ἐπεὶ C 35 γὰρ om. a πρᾶγ.] σῶμα C post alt. δὲ add. οἷον C

περιπατῶν). ὡσαύτως καὶ τῶν νοημάτων καὶ τῶν φωνῶν τὰ μέν ἐστιν ἁπλᾶ τὰ δὲ σύνθετα (ἁπλῆ μὲν γὰρ φωνὴ Σωκράτης ἁπλῶς καὶ νόημα τὸ περὶ Σωκράτους ἁπλοῦν, σύνθετος δὲ φωνὴ ἡ λέγουσα 'Σωκράτης τρέχει' καὶ νόημα σύνθετον περὶ Σωκράτους τρέχοντος). πότερον περὶ τῶν ἁπλῶν ἐνταῦθα διαλαμβάνει πραγμάτων καὶ φωνῶν ἢ περὶ τῶν συνθέτων; λέγομεν ὅτι περὶ τῶν ἁπλῶν. διὸ καὶ ἀκριβῶς τὸν τῶν Κατηγοριῶν σκοπὸν ὁρίζοντές φαμεν ὅτι διαλαμβάνει ἐνταῦθα περὶ ἁπλῶν φωνῶν σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσων ἁπλῶν νοημάτων.

Ἵνα δὲ σαφέστερον γένηται τὸ λεγόμενον, προσλάβωμέν τινα συντελοῦντα ἡμῖν εἰς σαφῆ παράστασιν τῶν λεγομένων· ἐπειδὴ γὰρ τῆς φιλοσοφίας, ὡς ἔφαμεν, τὸ μέν ἐστι θεωρητικὸν τὸ δὲ πρακτικόν, καὶ τοῦ μὲν θεωρητικοῦ τέλος ἐστὶ τῆς ἀληθείας ἡ γνῶσις τοῦ δὲ πρακτικοῦ ἡ τοῦ ἀγαθοῦ τεῦξις, ἀμφοτέροις δὲ παρυφίσταται τὰ ἐναντία, τῇ μὲν ἀληθείᾳ τὸ ψεῦδος τῷ δὲ ἀγαθῷ τὸ κακόν, ἡ δὲ ἡμετέρα ψυχὴ ἅτε δὴ ἀτελὴς οὖσα αἱρεῖται πολλάκις ἀντὶ μὲν ἀληθείας τὸ ψεῦδος οἰομένη αὐτὸ ἀληθὲς εἶναι, ἀντὶ δὲ ἀγαθοῦ τὸ κακὸν οἰομένη αὐτὸ ἀγαθὸν εἶναι, ἐδέησε τοῖς φιλοσόφοις ὀργάνου τινὸς διακρίνοντος τὴν μὲν ἀλήθειαν ἀπὸ τοῦ ψεύδους τὸ | δὲ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ. τί δέ ἐστι τοῦτο; 12r
ἡ ἀπόδειξις· ὃ γὰρ ἂν ἀποδειχθείῃ ἀγαθόν, τοῦτο ἐξ ἀνάγκης ἀγαθόν ἐστι, καὶ ὃ ἂν ἀποδειχθείῃ κακόν, τοῦτο κακόν ἐστιν. ὁμοίως καὶ τὸ ἀληθὲς καὶ τὸ ψευδές· ὃν γὰρ τρόπον ὁ τέκτων τῷ κανόνι καὶ ὁ οἰκοδόμος τῇ καθέτῳ πρὸς διάκρισιν τῶν ὀρθῶν καὶ τῶν μὴ τοιούτων χρῶνται, οὕτω καὶ ὁ φιλόσοφος τῇ ἀποδείξει κέχρηται πρὸς διάκρισιν τῆς ἀληθείας καὶ τοῦ ψεύδους καὶ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. ἡ δὲ ἀπόδειξις συλλογισμός ἐστιν ἐπιστημονικός. ἐπὶ πλέον δὲ τοῦ ἐπιστημονικοῦ συλλογισμοῦ ὁ ἁπλῶς συλλογισμός· τῷ γὰρ ἁπλῶς συλλογισμῷ προσελθοῦσα ὕλη ἄπταιστός τε καὶ ἀραρυῖα ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα τὸν ἀποδεικτικὸν ποιεῖ συλλογισμόν. ἀλλ' ἐπειδήπερ οὐκ ἠδύνατο διδάξαι περὶ ἀποδείξεως μὴ πρότερον διδάξας τί ἐστιν ὁ ἁπλῶς συλλογισμός, ὥσπερ οὐδὲ γράφειν δύναιτ' ἄν τις τὸν ὀρθὸν ἢ τὸν κλιτὸν τύπον μὴ πρότερον ἁπλῶς γράφειν μαθών, τὸν δὲ ἁπλῶς συλλογισμὸν πάλιν ἄνευ τῶν προτάσεων ἀδύνατον ἦν παραδοῦναι (ἐκ τούτων γὰρ ὁ συλλογισμὸς σύγκειται, συλλογή τις ὧν πλειόνων

---

1 περιπατεῖ C ὡσ. δὲ καὶ a τῶν νοημ.] περὶ νοημ. F 2. 3 περὶ σωκράτην C 3 ἡ λέγουσα om. C 4 an σύνθετον ⟨τὸ⟩? σωκράτην τρέχοντα C 4. 5 διαλ. ἐντ. coll. C 5 post φων. addas καὶ νοημάτων καὶ λέγ. a 6 διὸ καὶ] διότι F 6. 7 ὁρ.] λέγοντες C 7 φαμεν] λέγομεν F 10 σαφῆ τῶν λεχθησομένων παράστ. Ca 11 ἔφαμεν] p. 4,24 ἐστι om. a καὶ Laur. 72,1: om. CFa 14 δὴ] μὴν F 15 τῆς ἀληθ. a ἀληθὲς] ἀλήθειαν C 17 post ἐδέησε add. οὖν Fa 19 ἂν om. C an ἀποδειχθῇ? 20 ἀποδειχθῇ a (fort. recte) post τοῦτο add. ἀναγκαίως a κακόν (alt.) om. F τὸ (alt.) om. C 21 ψεῦδος a 22 τῶν (alt.) om. a 25 ἐπιστ.] ἀποδεικτικός F δὲ] γὰρ Fa 26 ἁπλῶ C ὕλη post ἀραρ. (27) coll. F τε om. Ca 27 ἔχοντα C 29 ἐστιν om. C ὁ om. Ca δύναται (δύναιτο a) sine ἂν post κλιτὸν coll. Ca 30 τὸν (prius) om. C ἁπλ.] ὀρθῶς C μανθάνων C 32 γὰρ τούτ. colloc. Ca ὁ συλλογισμὸς om. Ca σύγκ. post τις coll. a συλλογή— λόγων (p. 11,1) om. F

λόγων, ὡς καὶ τὸ ὄνομα δηλοῖ), τὰς δὲ προτάσεις ἄνευ τῶν ὀνομάτων καὶ τῶν ῥημάτων (ἐκ τούτων γὰρ σύγκεινται), τὰ δὲ ὀνόματα καὶ τὰ ῥήματα ἄνευ τῶν ἁπλῶν φωνῶν (καὶ γὰρ καὶ τὸ ὄνομα καὶ τὸ ῥῆμα φωνή ἐστι σημαντική), εἰκότως πρότερον περὶ τῶν ἁπλῶν διαλέγεται φωνῶν· καθόλου γὰρ τῆς μὲν θεωρίας τὸ τέλος ἀρχὴ τῆς πράξεως γίνεται, ἔμπαλιν δὲ τῆς πράξεως τὸ τέλος ἀρχὴ τῆς θεωρίας· οἷον ὁ οἰκοδόμος ἐπιταγεὶς οἶκον ποιῆσαι λέγει καθ' ἑαυτὸν 'ἐπετάγην οἶκον ποιῆσαι. ὅπερ ἐστὶ σκέπασμα κωλυτικὸν ὄμβρου καὶ καύματος· τοῦτο δὲ οὐκ ἂν γένοιτο μὴ γενομένης ὀροφῆς'. ἐντεῦθεν οὖν ἄρχεται τῆς θεωρίας, προβαίνων δέ φησιν 'ἀλλὰ τοῦτο οὐκ ἂν γένοιτο μὴ γενομένων τοίχων, οὗτοι δὲ οὐκ ἂν γένοιντο μὴ ὑποβληθέντων θεμελίων, οἱ δὲ θεμέλιοι οὐκ ἂν βληθεῖεν μὴ ὀρυχθείσης τῆς γῆς'· ἐνταῦθα κατέληξεν ἡ θεωρία. ἐντεῦθεν οὖν ἄρχεται ἡ πρᾶξις· πρότερον γὰρ ὀρύττει τὴν γῆν, εἶθ' οὕτως βάλλει θεμέλιον, εἶτα ἐγείρει τοίχους, καὶ ὕστερον ἐπιτίθησι τὴν ὀροφήν, ἥτις ἐστὶ τέλος τῆς πράξεως. οὕτως οὖν ἡ ἀρχὴ τῆς θεωρίας τέλος γίνεται τῆς πράξεως, ἡ δὲ ἀρχὴ τῆς πράξεως τέλος τῆς θεωρίας. οὕτως οὖν καὶ ὁ φιλόσοφος ποιεῖ· βουλόμενος γὰρ ποιῆσαι ἀπόδειξίν φησι πρὸς ἑαυτὸν 'βούλομαι περὶ ἀποδείξεως εἰπεῖν· ἀλλ' ἐπειδὴ ἡ ἀπόδειξις συλλογισμός ἐστιν ἐπιστημονικός, ἀδύνατον εἰπεῖν τι περὶ αὐτοῦ τὸν μὴ πρότερον εἰπόντα τί ἐστιν ὁ ἁπλῶς συλλογισμός, τὸν δὲ ἁπλῶς συλλογισμὸν οὐκ ἂν μάθοιμεν μὴ μαθόντες τί ἐστι πρότασις· λόγοι μὲν γάρ τινές εἰσιν αἱ προτάσεις, τῶν δὲ τοιούτων λόγων συλλογή ἐστιν ὁ συλλογισμός· ὥστε ἄνευ τοῦ γνῶναι τὰς προτάσεις ἀδύνατον μαθεῖν τὸν συλλογισμόν (ἐκ γὰρ τούτων σύγκειται), ἀλλ' οὐδὲ τὴν πρότασιν ἄνευ τῶν ὀνομάτων καὶ τῶν ῥημάτων, ἐξ ὧν συνέστηκε πᾶς λόγος, τὰ δὲ ὀνόματα καὶ τὰ ῥήματα ἄνευ τῶν ἁπλῶν φωνῶν (ἕκαστον γὰρ τούτων φωνή ἐστι σημαντική)· δεῖ οὖν πρότερον περὶ τῶν ἁπλῶν φωνῶν εἰπεῖν'. ἐνταῦθα οὖν ἡ θεωρία κατέληξε, καὶ γίνεται τοῦτο τῆς πράξεως ἀρχή· πρότερον γὰρ διαλέγεται περὶ τῶν ἁπλῶν φωνῶν ἐν ταῖς Κατηγορίαις, εἶθ' οὕτως περὶ ὀνομάτων καὶ ῥημάτων καὶ περὶ προτάσεων ἐν τῷ Περὶ ἑρμηνείας, εἶτα περὶ τοῦ ἁπλῶς συλλογισμοῦ ἐν τοῖς Προτέροις ἀναλυτικοῖς, εἶθ' οὕτως περὶ ἀποδείξεως ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς· ἐνταῦθα οὖν τὸ τέλος τῆς πράξεως, ὅπερ ἦν ἀρχὴ τῆς θεωρίας. εἰκότως τοίνυν ἐνταῦθα πρῶτον περὶ τῶν ἁπλῶν φωνῶν διαλαμβάνει· οἱ γὰρ ἄνθρωποι κοινῇ συνελθόντες ἔθεντο πρὸς ἀλλήλους

---

1 post δηλοῖ add. πλειόνων γάρ ἐστι συλλογή F 2 γὰρ τούτων coll. Ca σύγκειται a 3 καὶ (post γὰρ) om. a 4 φωνὴ — φωνῶν (5)] φωναὶ ἁπλαῖ F διαλαμβάνει a 5 καθόλου] καὶ C 6 γίν. ante ἀρχὴ (5) coll. a 7 ποιῆσαι (prius) om. Fa ἐπετάγην καθ' ἑ. λέγει coll. C 8 ὄμβρων καὶ καυμάτων Ca 9 γινομένης a ἐνταῦθα F 12 ἐντεῦθεν] ἐνταῦθα F 14 τὸν θεμ. a 15 οὕτως — γίν. τῆς πράξεως om. Fa 19 ἐπιστ.] ἀποδεικτικός F τι om. a τούτου a 20 ὁ ἁπλῶς (prius) om. Ca 25 τὰ (alt.) om. a 28 τῇ πράξει C 30 περὶ (primum) om. Fa 31 εἶθ' — ἀναλυτικοῖς (32) om. F 33 ἡ ἀρχὴ C τοίνυν] οὖν F πρῶτον om. F τῶν om. Fa

ἑκάστῳ πράγματι οἰκεῖον ὄνομα. τούτου μόνου φροντίσαντες τοῦ | διὰ τῶν 13r
φωνῶν σημαίνειν ἀλλήλοις τὰ πράγματα, μὴ μέντοι γε εἰπεῖν τί μέν ἐστιν
ὄνομα τί δὲ ῥῆμα. περὶ τούτων οὖν διαλέγεται ἐν ταῖς Κατηγορίαις. ἀλλ'
ἐπειδὴ οὐ περὶ ἀσήμων φωνῶν διαλέγεται (οὐδεὶς γὰρ τούτων λόγος τοῖς
5 φιλοσόφοις), δῆλον ὅτι περὶ φωνῶν σημαινουσῶν νοήματα· ἀνάγκη γὰρ 5
ὄντος τοῦ πράγματος εἶναι καὶ τούτου τὸ ὄνομα, καὶ πρὸ τούτου τὴν ἔν-
νοιαν, ἣν ἔχομεν τοῦ πράγματος· οἷον τοῦ Σωκράτους ἔστιν ὄνομα ἡ Σω-
κράτης φωνή, τὸ δὲ πρᾶγμα αὐτὸς ὁ Σωκράτης, ἡ δὲ ἔννοια, ἣν ἔχομεν ἐν
τῇ ψυχῇ, ἡ περὶ τοῦ Σωκράτους γνῶσις. σκοπὸς οὖν τῷ Ἀριστοτέλει εἰπεῖν 10
10 περὶ ἁπλῶν φωνῶν σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσων ἁπλῶν νοη-
μάτων. καὶ ταῦτα μὲν περὶ τοῦ σκοποῦ.

Ὅτι δὲ χρήσιμόν ἐστι τὸ βιβλίον εἴς τε τὸ θεωρητικὸν τῆς φιλο-
σοφίας μέρος καὶ τὸ πρακτικόν, ἐκ τῶν προειρημένων δῆλον, εἴπερ καὶ 15
τὴν ἀπόδειξιν, ὡς ἐδείξαμεν, ἄνευ τῶν ἁπλῶν φωνῶν οὐκ ἔστι γνῶναι,
15 καὶ ὅτι περὶ τῶν κοινοτήτων διαλαμβάνει, εἰς ἃς τὰ ὄντα πάντα
διαιρεῖται.

Ἡ δὲ αἰτία τῆς ἐπιγραφῆς ἐστι τοιαύτη· Κατηγορίαι ἐπιγέγραπται
τὸ βιβλίον, οὐχ ὅτι περὶ τῶν κατηγοριῶν τῶν ἐν δικαστηρίοις διαλαμβάνει 20
(οὐ γὰρ πρόκειται αὐτῷ ῥητορεύειν), ἀλλ' ὥσπερ καὶ ἐν ταῖς Εἰσαγωγαῖς
20 ἐμάθομεν, διττὴ τῶν γενῶν ἐστι διαφορά· τὰ μὲν γάρ ἐστι γενικώτατα
καὶ μόνως γένη, τὰ δὲ ὑπάλληλα, ἃ καὶ γένη καὶ εἴδη λέγεται, εἴδη μὲν
τῶν πρὸ αὐτῶν γένη δὲ τῶν μετ' αὐτά· καὶ τὰ μὲν γενικώτατα μόνως 25
κατηγοροῦνται, τὰ δὲ ὑπάλληλα ὑπόκεινται μὲν τοῖς πρὸ αὐτῶν κατηγοροῦν-
ται δὲ τῶν μετ' αὐτά. διαλέγεται δὲ ἐνταῦθα περὶ τῶν δέκα γενικωτάτων
25 γενῶν. ἃ μόνως κατηγοροῦνται, οὐδέποτε δὲ ὑπόκεινται. διὰ τοῦτο οὖν
ἐπέγραψε τὸ βιβλίον Κατηγορίαι, ὡς ἂν εἰ ἔλεγε Περὶ τῶν γενῶν | τῶν 13v
μόνως κατηγορουμένων.

Ἡ δὲ τάξις τῆς ἀναγνώσεως δήλη ἐκ τοῦ σκοποῦ· ἐπειδὴ γάρ, ὡς
ἔφαμεν, εἰς τοῦτο κατέληξεν ἡ θεωρία, ἐντεῦθεν ἀρκτέον τῆς πράξεως.
30 καὶ ὅτι δεῖ τὰ ἁπλούστερα προηγεῖσθαι τῶν συνθέτων· ἁπλουστέρα δὲ ἡ 5
περὶ τῶν δέκα κατηγοριῶν διδασκαλία, εἴπερ, ὡς εἴρηται, διαλαμβάνει περὶ
ἁπλῶν φωνῶν σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσων ἁπλῶν νοη-
μάτων.

Ὅτι δὲ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον, πάντες μαρτυροῦσι. δηλοῖ
35 δὲ καὶ ἡ φράσις καὶ τὸ τὸν φιλόσοφον ἐν ἄλλαις πραγματείαις μεμνῆσθαι 10

2 μέν om. F 3 τί δὲ] καὶ τί ἐστι F περὶ — διαλ.] αὗται οὖν λέγονται F ἐν — διαλέγεται (4) om. C 4 περὶ οὐκ coll. F λόγος τούτ. coll. F 6 τὸ ante τούτ. coll. F 7 ἣν] μὲν C 7. 8 φωνὴ σωκράτους Ca (cf. p. 14,7) 8 τὸ — Σωκράτης om. C αὐτὸ σωκρ. F 9 ἡ om. CF γνῶσιν F 13 μέρος] μέχρι F 14 εἰς τὴν ἀπ. CF ἐδείξαμεν] p. 10,24 sq. 15 ἃ Ca 17 κατηγορίας F 18 τοῖς δικ. a 19 καὶ om. C 20 ἡ διαφ. a 21 εἴδη καὶ γένη coll. a 22 μετὰ ταῦτα C 25 οὖν om. F 26 ὑπέγραψε C κατηγορίας CF 28. 29 ὡς ἔφαμεν om. C (cf. p. 11,27) 30 προηγ. — δὲ om. F an ἁπλουστάτη? 31 ὡς εἴρηται] v. 10 35 καὶ (prius) om. F ταῖς ἄλλαις F

τοῦ συγγράμματος τούτου. δύο δέ, ὡς εἴρηται, βιβλίων Κατηγοριῶν εὑρε- 13v
θέντων, σχεδὸν παραπλησίων κατὰ πάντα καὶ κατ' αὐτὸ τὸ προοίμιον
(ἔστι γὰρ τοῦ ἑτέρου ἡ ἀρχὴ "Τῶν ὄντων τὰ μὲν ὁμώνυμά ἐστι, τὰ δὲ
συνώνυμα", ἥτις σχεδὸν ἡ αὐτή ἐστι τῷ προκειμένῳ βιβλίῳ), ἐκρίθη τοῦτο 15
γνήσιον εἶναι τὸ βιβλίον ὑπὸ πάντων ἐξηγητῶν.

Ἡ δὲ εἰς τὰ κεφάλαια διαίρεσις τριχῇ· διαιρεῖται γὰρ εἰς τὰ πρὸ τῶν
κατηγοριῶν εἰς τὰς κατηγορίας αὐτὰς καὶ εἰς τὰ μετὰ τὰς κατηγορίας.
καὶ ἐν μὲν τῷ πρώτῳ τμήματι διδάσκει τὰ χρήσιμα πρὸς τὴν διδασκα- 20
λίαν τῶν κατηγοριῶν· ὥσπερ γὰρ εἰώθασιν οἱ γεωμέτραι τὰ χρήσιμα
πρὸς τὴν τῶν θεωρημάτων διδασκαλίαν προδιδάσκειν, τί ἐστι σημεῖον, τί ἐστι
γραμμή, τί ἐστι κύκλος, ἵνα μὴ ἀναγκάζωνται μεταξὺ τῆς διδασκαλίας ἢ ξένοις
ὀνόμασι κεχρῆσθαι ἢ διδάσκοντές τι περὶ αὐτῶν ἐκτρέπεσθαι καὶ διακό- 25
πτειν τὴν συνέχειαν τῶν προκειμένων· οὕτως καὶ ὁ φιλόσοφος ἐνταῦθα ἐπειδὴ
ἔμελλεν ἐν τῇ τῶν κατηγοριῶν διδασκαλίᾳ μνημονεύειν λέξεών τινων καὶ
φωνῶν ἡμῖν ἀγνώστων, διὰ τοῦτο περὶ αὐτῶν προδιδάσκει, ἵνα μὴ δόξῃ
τὸν λόγον ταράττειν. ἐν δὲ τῷ δευτέρῳ τμήματι περὶ αὐτῶν τῶν κατη- 30
γοριῶν διδάσκει. ἐν δὲ τῷ τρίτῳ πάλιν περί τινων διαλαμβάνει φωνῶν, 14r
ὧν ἐμνήσθη ἐν τῇ τῶν κατηγοριῶν διδασκαλίᾳ, οἷον τοῦ ἅμα τοῦ προτέ-
ρου τοῦ ἔχειν. καὶ διὰ ποίαν αἰτίαν οὐχ ἅμα πάντα πρὸ τῶν κατηγοριῶν
ἐδίδαξε; φαμὲν ὅτι τῶν φωνῶν τούτων αἱ μέν εἰσι πᾶσιν ἄγνωστοι, οἷον 5
τὸ ὁμώνυμον, τὸ συνώνυμον (οὐδεμίαν γὰρ τούτων ἔννοιαν ἔχει ὁ πολὺς
ἄνθρωπος), τὰ δὲ γνώριμα μὲν ἐκ τῆς συνηθείας, ἀλλ' ὅμως τινὸς δεόμενα
διαρθρώσεως, οἷον τὸ ἅμα καὶ τὸ πρότερον. τὰ οὖν παντάπασιν ἄγνωστα
πρὸ τῆς τῶν κατηγοριῶν διδασκαλίας ἀναγκαίως προέταξεν, ἐπειδὴ ἐκείνων 10
ἀγνοουμένων ἐφιστάνειν οὐκ ἐμέλλομεν τοῖς λεγομένοις περὶ τῶν κατηγο-
ριῶν (χρῆται γὰρ αὐτοῖς εἰς τὴν τῶν κατηγοριῶν διδασκαλίαν), τὰ δὲ
λοιπά, λέγω δὴ τὰ ἀδιαρθρώτως ἡμῖν ἐγνωσμένα, μετὰ τὰς κατηγορίας 15
διδάσκει, ἵνα μὴ μακρὸν ποιήσῃ τὸ προοίμιον καὶ τὸ πάρεργον τοῦ ἔργου
μακρότερον. ἐφευρέθη δὲ ἡ κατὰ τὰ μόρια διαίρεσις πρὸς σαφήνειαν τοῦ
συγγράμματος· μαθόντες γὰρ πόσα ἐστὶ τὰ τοῦ βιβλίου κεφάλαια καὶ περὶ
τίνων διαλέγεται, ῥᾷστα τοῖς λεγομένοις παρακολουθήσομεν, καὶ οὐ συγκε- 20
χυμένως καὶ ἀδιαρθρώτως ταῦτα δεξόμεθα.

1 τοῦ συγγρ. om. F τούτου] αὐτοῦ F: om. a εἴρηται] p. 7, 28 2 τῶν σχεδὸν C 3 ἡ om. F τῶν γὰρ ὄντων F 5 post εἶναι add. τοῦ φιλοσόφου Fa ἐξηγ. om. C 6 post κεφ. add. τοῦ βιβλίου Fa διήρηται Ca γὰρ om. Ca 7 αὐτὰς καὶ om. a: αὐτὰς om. F 9 γὰρ om. F 10 διδ. τῶν θεωρ. coll. a 11 ἐστι (ante γρ. et κύκλ.) om. Fa ἀναγκάζηται F 12 διδάσκοντας C: διδάσκων F 13 οὕτως — ταρ. (16) om. F 14 καὶ] ἢ a 16 τῶν αὐτῶν coll. C 19 καὶτοῦ ἔχ. F 20 φαμὲν οὖν C τούτων om. C 21 ἔνν. τούτων coll. C 22 μὲν om. F 23 διορθώσεως F 26 αὐτῆς F[1] 28 ποιήσαιτο F 29 ἐφευρέθη — δεξόμεθα (32) cicias (cf. p. 8, 1) εὑρέθη C τὰ om. F 30 συγγρ.] πράγματος C 32 ἀδιάρθρωτα F δεξόμεθα C

p. 1a1 Ὁμώνυμα λέγεται. 14r

Αἱ ψυχαὶ αἱ ἡμέτεραι γυμναὶ μὲν οὖσαι τῶν σωμάτων ἠδύναντο διὰ τῶν νοημάτων σημαίνειν ἀλλήλαις τὰ πράγματα· ἐπειδὴ δὲ σώμασι συν- 25 δέδενται | δίκην νέφους περικαλύπτουσιν αὐτῶν τὸ νοερόν, ἐδεήθησαν τῶν 14v
5 ὀνομάτων, δι' ὧν σημαίνουσιν ἀλλήλαις τὰ πράγματα. ἰστέον τοίνυν ὅτι σημαίνομεν ἀλλήλοις τὰ πράγματα ἢ διὰ τῶν ὀνομάτων ἢ διὰ τῶν ὁρισμῶν, οἷον τὸν ἄνθρωπον σημαίνομεν καὶ διὰ τῆς ἀνθρωπος φωνῆς καὶ διὰ τοῦ 5 ὁρισμοῦ τοῦ λέγοντος 'ζῷον λογικὸν θνητόν'. ἀλλ' ὅταν μὲν διὰ τῆς ἀνθρωπος φωνῆς σημαίνωμεν τὸν ἄνθρωπον, ἀθρόαν αὐτοῦ τὴν φύσιν ἐδη-
10 λώσαμεν, ὅταν δὲ διὰ τοῦ ὁρισμοῦ, τὰ κατὰ μέρος προσόντα τῷ ἀνθρώπῳ θεωροῦμεν. τῶν οὖν πραγμάτων τὰ μὲν κοινωνεῖ ἀλλήλοις κατὰ τὸ ὄνομα 10 διαφέρει δὲ κατὰ τὸν ὁρισμὸν καὶ καλεῖται ὁμώνυμα, τὰ δὲ κοινωνεῖ μὲν κατὰ τὸν ὁρισμὸν διαφέρει δὲ κατὰ τὸ ὄνομα καὶ καλεῖται πολυώνυμα, τὰ δὲ κατά τε τὸ ὄνομα καὶ τὸν ὁρισμὸν κοινωνεῖ καὶ καλεῖται συνώνυμα, 15
15 τὰ δὲ κατὰ τὸ ὄνομα καὶ κατὰ τὸν ὁρισμὸν διαφέρει, ἃ καλεῖται ἑτερώνυμα.

Εἰδέναι δὲ χρὴ ὅτι ἄλλο ἐστὶν ἕτερον καὶ ἄλλο ἑτερώνυμον· ἑτερώνυμα μέν εἰσι τὰ περὶ ἓν καὶ τὸ αὐτὸ ὑποκείμενον θεωρούμενα πράγματα διαφόρου δὲ μετέχοντα ὀνόματος· οἷον ἐπὶ τῆς κλίμακος καὶ ἡ 20
20 ἀνάβασις καὶ ἡ κατάβασις. καὶ ἄλλως μὲν ὁρίζεται ἡ ἀνάβασις ἄλλως δὲ ἡ κατάβασις. καὶ τὰ ὀνόματα δὲ διάφορα· ἀνάβασις γὰρ καὶ κατάβασις. ταῦτα οὖν ἰδίως ἑτερώνυμα καλοῦσιν. ἕτερα δὲ τὰ κατὰ πάντα ἄλλα, καὶ κατὰ τὸ ὑποκείμενον καὶ κατὰ τὸ ὄνομα, οἷον ἄνθρωπος καὶ ἵππος. 25

Περὶ τῶν ὁμωνύμων δὲ μόνων καὶ συνωνύμων ποιεῖται τὴν διδασκα-
25 λίαν, διότι αὐτῶν μόνων ἐν τῇ τῶν κατηγοριῶν διδασκαλίᾳ χρήζει, ζηλῶν κἀν τούτῳ τὴν γεωμετρικὴν διδασκαλίαν· εἰώθασι γὰρ κἀκεῖνοι περὶ μόνων προλαμβάνειν τῶν συμβαλλομένων αὐτοῖς ἐν τῷ προκειμένῳ βιβλίῳ | ἢ 15r
θεωρήματι. ἢ καὶ ἄλλως συντομίας ἀεὶ ἐρῶν διὰ τούτων καὶ περὶ τῶν λοιπῶν ἡμᾶς δυνάμει διδάσκει· τούτων γὰρ γνωσθέντων γνώριμα ἔσται
30 καὶ τὰ λοιπὰ ὡς ἀντικείμενα· τῶν γὰρ ἀντικειμένων ἡ αὐτή ἐστιν ἐπιστήμη· ὁ γὰρ εἰδὼς τί ἐστιν ὁμώνυμον εἴσεται καὶ τὸ τούτῳ ἀντικείμενον, 5 λέγω δὴ τὸ πολυώνυμον· εἰ γὰρ ὁμώνυμόν ἐστι τὸ κοινωνοῦν μὲν τῷ ὀνόματι τῷ δὲ πράγματι διαφέρον, ὡς μῦς ὅ τε θαλάσσιος καὶ ὁ γηγενής,

2. 3 δι' αὐτῶν τῶν a 3. 4 ἐνδέδ. F 5 post ὀνομ. add. καὶ τῶν ῥημάτων C
5 τοίνυν om. C 7 καὶ (prius) om. C 7. 8. 9 ἄνθρωπος] ἄνθρωπον C 9. 10 δηλοῦμεν a 10 δι' ὁρ. F 12 τὰ δὲ κοιν.—πολυώνυμα post συνώνυμα (14) coll. C
13 καὶ] ἃ a 14 τε om. C alt. καὶ] ἃ a 15 κατὰ τὸ ὄν. καὶ τὸν ὁρ. C: κατὰ τὸν ὁρ. καὶ τὸ ὄν. a ἃ] καὶ C 18 μὲν οὖν C 20 post ἀνάβ. add. ἄλλη C
post κατάβ. addas θεωρεῖται καὶ ἄλλως — ἡ κατάβασις om. C 21 τὰ μὲν ὀνόμ. (δὲ om.) a 22. 23 καὶ κατ' οὔνομα καὶ κατὰ τὸ ὑπ. C post ἵππος add. διαλλάσσουσι γὰρ περὶ τὸ ὄνομα, οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸ ὑποκείμενον F 24 δὲ post περὶ coll. a
27 τῷ om. C 29 ἡμᾶς om. F 30. 31 ἐπιστ. ἐστίν coll. C

πολυώνυμον ἄρα ἐστὶ τὸ τούτῳ ἀντικείμενον, τὸ τῷ πράγματι μὲν ταὐτὸν 15r
διαφέρον δὲ τῷ ὀνόματι, ὡς ἄορ ξίφος σπάθη. ὁμοίως δὲ καὶ ὁ εἰδὼς τί 10
ἐστι συνώνυμον, ὅτι τὸ καὶ τῷ ὁρισμῷ καὶ τῷ ὀνόματι κοινωνοῦν, ὡς ἄν-
θρωπος Σωκράτης τε καὶ Πλάτων, οὗτος καὶ τί ἐστιν ἑτερώνυμον εἴσεται, 20
5 ὅτι τὸ καὶ τῷ ὀνόματι καὶ τῷ πράγματι διαφέρον, ὡς ἡ ἀνάβασις καὶ ἡ
κατάβασις· καὶ γὰρ καὶ ὀνόματι καὶ πράγματι διαφέρουσιν, εἰ καὶ τὸ ὑπο-
κείμενον ἀμφοτέροις τοῖς πράγμασι τὸ αὐτό ἐστιν· ὡς γὰρ ἄλλο τί ἐστι
τὸ εἶναι σίτῳ καὶ ἄλλο τὸ εἶναι σπέρματι ἢ καρπῷ, οὕτως ἄλλο τί ἐστι
τὸ εἶναι κλίμακι καὶ ἄλλο τὸ ἀναβάσει εἶναι ἢ καταβάσει· ποιᾶς γὰρ 25
10 σχέσεως τῆς περὶ τὴν κλίμακα ἐνεργείας ταῦτά ἐστιν ὀνόματα δηλωτικά.

Προέταξε δὲ ὁ Ἀριστοτέλης ἐν τῇ διδασκαλίᾳ τὰ ὁμώνυμα, ἐπειδήπερ ἁπλούστερά εἰσι καθ' ἓν μόνον κοινωνοῦντα, τὸ | ὄνομα, καὶ ὅτι φύσει 15v
πρότερά ἐστι τὰ ὁμώνυμα τῶν συνωνύμων· τὸ γὰρ ὂν τῶν κατηγοριῶν
ὁμωνύμως κατηγορεῖται καὶ οὐ συνωνύμως. οὐκ ἂν δὲ γένοιτο ὁμώνυμον,
15 εἰ μὴ πάντα ταῦτα συνέλθωσι· ταυτότης ὀνόματος, ταυτότης τόνου, ταυτό- 5
της γένους, ταυτότης πτώσεως, ταυτότης πνεύματος, ταυτότης καταλήξεως·
ἐὰν γὰρ ἄλλο καὶ ἄλλο ὄνομα ᾖ, δῆλον ὅτι οὐκ ἔστιν ὁμώνυμον. εἰ δὲ
τὸ αὐτὸ μὲν ὄνομα ᾖ, τόνος δὲ διάφορος, οὐδὲ τοῦτο ὁμώνυμον, οἷον ἄργος
καὶ ἀργός· τὸ μὲν γὰρ παροξύτονόν ἐστι καὶ σημαίνει κύνα, τὸ δὲ ὀξύ- 10
20 τονον καὶ σημαίνει τὸν ἀμελῆ. καὶ εἰ μὲν ἀρσενικὸν εἴη, σημαίνει, ὡς εἶ-
πον, τὸν κύνα τοῦ Ὀδυσσέως ἢ ὄνομα ἥρωος, εἰ δὲ οὐδέτερον, σημαίνει
ὄνομα πόλεως. ὁμοίως βίος καὶ βιός· βίος μὲν γὰρ βαρυτόνως ἡ ζωή,
βιός δὲ ὀξυτόνως τὸ τόξον. καὶ πάλιν ἐὰν ταῦτα μὲν ᾖ, πτῶσις δὲ μὴ 15
ᾖ ἡ αὐτή, οὐ ποιεῖ ὁμώνυμον, οἷον ὁ ἐλάτης καὶ τῆς ἐλάτης· τὸ μὲν γὰρ
25 εὐθείας ἐστὶ καὶ σημαίνει ἡνίοχον ἢ ἄλλον τινὰ ἐλαύνοντα ἀρσενικοῦ γέ-
νους ὄν, τὸ δὲ καὶ θηλυκοῦ γένους καὶ γενικῆς πτώσεως (ἡ ἐλάτη γὰρ τῆς
ἐλάτης) καὶ δένδρου ὄνομα. δέον δὲ καὶ πνεῦμα τὸ αὐτὸ ἔχειν· εἰ γὰρ 20
διάφορον εἴη τὸ πνεῦμα, οὐκ ἔσται ὁμώνυμον, οἷον ἐπὶ τοῦ 'οιος'· σημαί-
νει γὰρ καὶ τὸ μόνος, σημαίνει καὶ τὸ ὁποῖος, καὶ τὸ μὲν δασύνεται τὸ
30 ὁποῖος, τὸ δὲ ψιλοῦται τὸ μόνος. χρεία δὲ καὶ τῆς αὐτῆς καταλήξεως.
σαφὲς δὲ οἶμαι τοῦτο· τὸ γὰρ ἐλάτης καὶ ἡ ἐλάτη καταλήξει διαφέροντα 25
οὐκ εἰσὶν ὁμώνυμα.

Ζητοῦσι δέ τινες διὰ τί μὴ εἶπεν ὁμώνυμον, ἀλλὰ ὁμώνυμα. φαμὲν ὅτι τὸ ὁμώνυμον οὐκ ἔστιν ἕν (οὐ γὰρ λέγεται αὐτὸ ἑαυτῷ τι εἶναι

---

1 τούτων a ante ταὐτὸν add. κοινωνοῦν ἢ C 3 καὶ τὸ τῷ coll. F ὀνόμ.] πράγματι C 3. 4 ἄνθρωποι F 4 τε om. C 5 τῷ (ante πραγ.) om. C 6 πρ. καὶ ὀνόμ. C: τῷ ὀνόμ. καὶ τῷ πρ. a διαφέρει Fa 9 ἢ καταβ. εἶναι coll. C 10 δηλ. ὀνόμ. coll. C; an τὰ ὀνόμ. δηλ.? 11 ἐπειδὴ C 15 post πάντα add. τὰ ἓξ C 17 καὶ ἄλλο om. F ᾖ] ἦν F 18 ὄνομα μὲν colloc. Fa 19 γὰρ om. C 20 pr. καὶ om. C ὡς εἶπον σημ. coll. C 21 ἢ τὸν κ. Fa 22 ὁμοίως καὶ C 25 εὐθεία F ἀρσ. γένους ὄν om. Fa 26 pr. καὶ om. C post γένους add. ἐκείνου ἀρσενικοῦ ὄντος Fa πτ. γεν. coll. C 27 καὶ ἔστι δένδρου a τὸ πν. τὸ C 29 γὰρ om. a καὶ (primum) om. C καὶ τὸ ὁποῖος σημ. κ. τὸ μόνον (sic) a: σημαίνει om. C 30 τὸ δὲ ψιλ. F: ψιλ. C: ψιλ. δὲ a 31 ἡ] an τὸ? 33 μὴ] οὐκ C φαμὲν οὖν C 34 ἑαυτοῦ C

ὁμώνυμον), ἀλλὰ πλείονα (ἄλλο γὰρ ἄλλῳ ἐστὶν ὁμώνυμον), διὸ πληθυν- 15v
τικῶς εἴρηκεν. | ἀποροῦσι δὲ πάλιν τί δή ποτε εἶπε λέγεται, καὶ μὴ 16r
λέγονται. φαμὲν ὅτι ἐπειδὴ τὰ ὁμώνυμα εἰ καὶ πολλά εἰσιν, ἀλλ' ὅμως
καθὸ ὁμώνυμα ἓν ὑπάρχουσιν (ἓν γὰρ τὸ κατὰ πολλῶν κατηγορούμενον
5 ὄνομα), διὰ τοῦτο ἑνικῶς εἶπε λέγεται· πληθυντικὸν γὰρ τὸ λέγονται. 5
ἄλλως τε ἔθος Ἕλλησιν ἐπὶ τῶν οὐδετέρων ὀνομάτων τῷ ἑνικῷ ἀριθμῷ
ἀντὶ πληθυντικοῦ κεχρῆσθαι ἐπὶ τῶν τρίτων προσώπων, οἷον τρέχει τὰ
παιδία, ἔσφαλται τὰ βιβλία, οὐκ ἐβλάστησε τὰ δένδρα. τὴν δὲ αἰτίαν
γραμματικοὶ λεγόντων. οὕτως οὖν κἀνταῦθα τῇ πληθυντικῇ εὐθείᾳ, λέγω 10
10 δὴ τῇ ὁμώνυμα, ἑνικὸν ῥῆμα ἐπηνέχθη τὸ λέγεται.

Ἰστέον δὲ ὅτι τὰ τρία ταῦτά ἐστιν ἀλλήλων διαφέροντα, ὁμώνυμα
ὁμωνυμία ὁμωνύμως. ὁμώνυμα μὲν οὖν ἐστιν αὐτὰ τὰ πράγματα, ὁμωνυ-
μία δὲ ἡ σχέσις αὐτή, καθ' ἣν τῷ ὀνόματι κεκοινωνήκασιν, ὁμωνύμως δὲ 15
αὐτὴ ἡ κατηγορία, ἣ κατὰ τῶν πραγμάτων ἐστίν.

15 Ἰστέον δὲ ὅτι εὐθὺς ἐκ προοιμίων τὸν σκοπὸν τοῦ βιβλίου ἀνακηρύττει·
φησὶ γὰρ ὁμώνυμα λέγεται· τῷ μὲν γὰρ εἰπεῖν ὁμώνυμα σημαίνει
τὰ πράγματα, τῷ δὲ λέγεται τὰς φωνάς· θεωροῦνται δὲ ἐξ ἡμῶν τὰ
πράγματα διὰ μέσων τῶν νοημάτων. 20

p. 1a1 Ὁμώνυμα λέγεται.

20 Τὴν τῶν ὁμωνύμων διδασκαλίαν δι' ὁμωνύμων φωνῶν ἐποιήσατο·
καὶ γὰρ αὐτὸ τὸ ὁμώνυμον ὁμώνυμόν ἐστι· πολλαχῶς γὰρ λέγεται·
τῶν γὰρ ὁμωνύμων τὰ μὲν κατὰ τύχην ἐστίν, ὡς ὅταν ἐν διαφόροις τόποις
τύχωσί τινες τὸ αὐτὸ ἔχοντες ὄνομα, ὡς Ἀλέξανδρος ὁ Πάρις καὶ Ἀλέ- 25
ξανδρος ὁ Μακεδών, τὰ δὲ κατὰ προαίρεσιν καὶ διάνοιαν. καὶ τούτων τὰ
25 μὲν κατὰ μνήμην, ὡς ὅταν τις τὸν ἴδιον υἱὸν ὀνόματι τῶν προγόνων κα-
λέσῃ, τὰ δὲ κατ' ἐλπίδα, ὡς ὅταν τις τὸν ἴδιον υἱὸν προσδοκῶν | ἔσεσθαι 16v
φιλόσοφον καλέσῃ Πλάτωνα (καὶ πολλάκις συντρέχει τῷ κατὰ μνήμην τὸ
κατ' ἐλπίδα, ὡς ὅταν τοιοῦτον ἐπιτήδευμα μεταχειρισάμενος ὁ πάππος
εὑρεθῇ), τὰ δὲ κατὰ ἀναλογίαν, ὡς ὅταν τῇ τινος ἀναλογίᾳ καλέσωμέν τι, 5

---

1 διὸ] ἐπεὶ οὖν ἓν μὲν ὄνομα πολλὰ δὲ πράγματα δηλοῖ, διὰ τοῦτο a 2 εἴρηται Ca δή ποτε om. C 7 πληθυντικῶ a 9 γραμματικὸς λεγέτω C: γραμματικοὶ λέγουσιν a οὖν om. Ca 10 ὁμωνύμῳ a post ῥῆμα add. τρίτου προσώπου C 11 ἰστέον—πραγ. ἐστίν (14) eicias δὲ om. C τὰ om. Fa 12 μὲν om. F οὖν om. a 13 κοινωνήκ. C 14 ἡ κ. τ. πρ. (ἐστίν om.) F τῶν om. a 15 ἰστέον δὲ] καὶ F προοιμίου F ἀνεκήρυξε Ca 16 ὅτι ὁμών. (pr. l.) Ca 16. 17 τῷ] τὸ a 16 γὰρ om. Ca ὅτι ὁμών. (alt. l.) Fa 18 τῶν om. Ca 19 lemma om. a 20 τὴν δὲ a 21 πολλ. γὰρ] καὶ γὰρ πολλ. C 22 τὰ μὲν ἐκ τύχης ἐστί. τὰ δὲ ἐκ διανοίας. ἐκ τύχης μὲν ὡς ὅταν a 23 ὄν. ἔχ. coll. C 24 post μακεδών add. ἐκ διανοίας δὲ ὡς τὸ δόξαι τινὰ εἰπεῖν τοῖς δούλοις ὄνομα οἷον ἔτυχε a 25 ὄν. τῷ τῶν F; an ὄν. τινος τῶν? 25. 26 καλέσοι F 26 ἔσται C 27 καλέσοι CF τὸ κ. μν. τῷ Ca 28 ὡς om. F ἐπιτ.] ἐπιχείρημα a 29 τῇ om. a

οἷον πόδα κλίνης καὶ κορυφὴν ὄρους (ὃν γὰρ λόγον ἔχει πρὸς τὸν ἄνθρω- 16v
πον ὁ πούς, τοῦτον καὶ πρὸς τὴν κλίνην ὁ τῆς κλίνης πούς), τὰ δὲ ἀφ' 10
ἑνός, ὡς ὅταν ἀπό τινος ὡρμημένοι καλέσωμεν τῇ ἐκείνου προσηγορίᾳ
πάντα τὰ ἐξ αὐτοῦ, ὥσπερ ἰατρικὸν σμιλίον καὶ ἰατρικὸν φάρμακον, τὰ δὲ
5 πρὸς ἕν, ὡς ὅταν ἀφορῶντες πρός τι ἔσεσθαι μέλλον τέλος ὀνομάσωμεν
αὐτὰ πρὸς ἐκεῖνο, ὡς ὑγιεινὸν γυμνάσιον καὶ ὑγιεινὸν σιτίον. διαφέρει δὲ
τοῦ ἀφ' ἑνός, ὅτι ἐκεῖνα μὲν ἀπό τινος ἀρχῆς λέγεται, ταῦτα δὲ πρός τι
τέλος ὁρᾷ. τῶν δὲ ἀφ' ἑνὸς τὰ μὲν ὡς ἀπὸ παραδειγματικοῦ αἰτίου λέ-
γονται, ὡς ὁ ἐν τῇ εἰκόνι ἄνθρωπος ἀπό τινος ἀληθινοῦ ἀνθρώπου, τὰ δὲ 15
10 ὡς ἀπὸ ποιητικοῦ, ὡς τὸ ἰατρικὸν σμιλίον. ζητητέον δὲ ἐνταῦθα κατὰ
ποῖον σημαινόμενον τῶν ὁμωνύμων ὁ Ἀριστοτέλης τὴν τῶν ὁμωνύμων διδα-
σκαλίαν ποιεῖται. φαμὲν οὖν ὡς κατὰ τὸ πρὸς ἓν καὶ ἀφ' ἑνός· ἀπὸ
γὰρ τοῦ ἀληθινοῦ ἀνθρώπου ὁ γεγραμμένος ὠνόμασται. τινὲς δὲ ἐζήτησαν 20
διὰ τί μὴ τῷ κατὰ ἀναλογίαν ἐχρήσατο. ὅπερ καὶ ἄμεινον εἶναι δοκεῖ.
15 καί φαμεν ὅτι τὸ ἀνάλογον ἐν τέτρασι τὸ ἐλάχιστον θεωρεῖται (λέγομεν
γάρ, εἰ τύχοι, ὅτι τὰ δύο πρὸς τὰ ὀκτὼ ἀναλογίαν ἔχει ὡς τὰ δέκα πρὸς
τὰ τεσσαράκοντα· τετραπλασίονα γὰρ λόγον ἔχει ἑκάτερα), τὰ δὲ ὁμώνυμα 25
καὶ ἐν δυσίν· εἰκότως ἄρα οὐ περὶ τῶν κατὰ ἀναλογίαν ὁμωνύμων διαλέγεται.

20 Τινὲς δέ φασιν ὅτι διὰ τοῦτο τῶν πολυωνύμων οὐκ ἐμνήσθη, ἐπειδὴ τὰ ὁμώνυμα κατὰ μὲν τὸ ὄνομα ταὐτὰ εὑρίσκονται, κατὰ δὲ τὸν ὁρισμὸν διαφέρουσι, τὰ δὲ πολυώνυμα τοὐναντίον· ὁ οὖν φιλόσοφος ὡς περὶ πραγμάτων διαλεγόμενος κατεφρόνησε τῶν ὀνομάτων· τὸ γὰρ ταῦτα ζητεῖν γραμματικοῖς πρέπει. καὶ ἄλλως, ὅπερ ἤδη εἶπον, περὶ μόνων τῶν χρη- 25
25 σιμευόντων αὐτῷ εἰς τὴν τῶν κατηγοριῶν διδασκαλίαν προλαμβάνει νῦν.

p. 1a1 Λέγεται.

Ὑπακουστέον 'πράγματα', ἵνα οὕτως ᾖ 'ὁμώνυμα λέγεται πράγματα, ὧν ὄνομα μόνον κοινόν'. ἡνίκα δὲ εἴπῃ ὅτι λέγεται, δηλοῖ ὅτι καὶ παρὰ 30
τοῖς παλαιοῖς τοὔνομα φέρεται καὶ | οὐκ αὐτοῦ ἐστιν ἡ τοιαύτη θέσις τοῦ 17r
30 ὀνόματος· καὶ γὰρ καὶ Πλάτων ἐμνήσθη αὐτῶν καὶ ὁ ποιητὴς λέγων περὶ τῶν Αἰάντων

ἴσον θυμὸν ἔχοντες ὁμώνυμοι.

ὅταν δὲ αὐτὸς ὀνοματοθετῇ, λέγει 'καλῶ', ὡς ἐν τοῖς Ἀναλυτικοῖς

1 ἔχει λόγον coll. a 2 καὶ om. C 3 προσ. τῇ ἐκ. coll. Ca 4 ἅπαντα Ca σμιλ.] βιβλίον Ca 5 ἔσεσθαι om. a 6 καὶ ὑγιεινὸν σιτίον om. Ca 7 τοῦ] an τῶν? μὲν om. F 8 τῶν] τὰ a 12 ὡς — ἑνός] ὅτι ὡς τὸ ἀφ' ἑνός Ca 14 ἐχρήσατο om. F 15 φασιν F ἀναλογοῦν Ca θεωρ. τὸ ἐλ. coll. C 16 ὅτι om. a ἀναλογίας C ἔχειν a 17 ἑκάτερον F 18 ὁμωνύμων om. F 20 τινὲς — νῦν (25) post δηλωτικά (p. 15,10) transponas, nisi malis eicere 22 γοῦν C 24 πρέπον F εἶπον] p. 13,8 25 παραλαμβ. a 27 προσυπακ. Ca 30 Πλάτων] Phaedr. p. 266 A alias ὁ ποιητὴς] Hom. P 720 32 θυμὸν] ὄνομα Ca ὁμώνυμον C: om. a 33 ὁ αὐτὰ C: ὁ αὐτὸς a ὀνοματοθετεῖ F Ἀναλυτ.] Anal. pr. p. 24b16

"ὅρον δὲ καλῶ" καὶ ἐν τῷ Περὶ ἑρμηνείας "καὶ ἔστω τοῦτο ἀντί- 17r
φασις".

p. 1a1 Ὧν ὄνομα μόνον κοινόν.

Ἆρ' οὖν ἐν τοῖς ῥήμασιν οὐκ ἔστιν ὁμωνυμία; καὶ μὴν ἔστι· λέγομεν γὰρ 'ἐρῶ', καὶ σημαίνει τοῦτο καὶ τὸ λέξω καὶ τὸ ἐρωτικῶς διάκειμαι. πῶς οὖν ὁμώνυμα εἶπε τὰ μόνον τὸ ὄνομα κοινὸν ἔχοντα; ἐροῦμεν πρὸς τοῦτο ὅτι τὸ ὄνομα διχῶς λέγεται, τὸ μὲν πρὸς ἀντιδιαστολὴν τοῦ ῥήματος τὸ δὲ κοινῶς λεγόμενον ἐπὶ πάσης λέξεως, καθ' ὃ σημαινόμενον πᾶσα φωνὴ σημαντικὴ ὄνομα λέγεται, ὡς ἐν τῷ Περὶ ἑρμηνείας φησίν "αὐτὰ μὲν οὖν καθ' ἑαυτὰ λεγόμενα τὰ ῥήματα ὀνόματά ἐστι καὶ σημαίνει τι". ἐνταῦθα οὖν ὄνομα λέγει οὐ τὸ ἀντιδιαστελλόμενον πρὸς τὸ ῥῆμα, ἀλλὰ τὸ κοινῶς κατηγορούμενον πάσης φωνῆς σημαντικῆς· ὥστε τὸ ἐρῶ τὸ σημαῖνον τὸ λέξω καὶ τὸ ἐρωτικῶς διάκειμαι ὁμώνυμόν ἐστι· κοινὸν γὰρ ὄνομα ἔχει τὸ ἐρῶ, ὅρον δὲ διάφορον. ἔστιν οὖν καὶ ἐν τοῖς ῥήμασιν ὁμωνυμία.

p. 1a1 Μόνον κοινόν.

Διχῶς λέγεται τὸ μόνον· ἢ τὸ μοναδικόν, ὡς ὅταν λέγωμεν μόνον ἥλιον καὶ μόνην σελήνην, ἢ τὸ ἀντιδιαστελλόμενον πρὸς τὸ σύζυγον, ὡς ὅταν λέγωμεν 'ἀπελείφθην ἐν πολέμῳ δόρυ ἔχων μόνον', καίτοι οὐδὲν κωλύει καὶ ὑποδήματα ἔχειν καὶ ἱμάτιον, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῆς ἀσπίδος ἢ τῶν ἄλλων ὅπλων, καὶ 'ἐν τῷ ἀρίστῳ ἄρτον εἶχον μόνον', καίτοι οὐδὲν κωλύει καὶ ἱμάτιον ἔχειν, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῶν ὄψων. ἐνταῦθα οὖν ὡς πρὸς τὸ σύζυγον τὸ μόνον ἀπέδωκε, λέγω δὴ τὸν ὁρισμόν.

Τὸ δὲ κοινὸν τετραχῶς λέγεται· ἢ τὸ ἀμερίστως μεθεκτόν, ὥς φα- 17v
μεν δοῦ|λον κοινόν (οὗτος γὰρ τῇ μὲν οὐσίᾳ ἀμέριστος, τῇ δὲ χρήσει μεριστός), ἢ τὸ μεριστῶς μεθεκτόν, ὡς λέγομεν ἄριστον κοινὸν καὶ ἀγρὸν κοινόν (μετέχομεν γὰρ οὐ πάντες ὅλου, ἀλλὰ ἕκαστος μέρους), ἢ τὸ ἐν προκαταλήψει, ὡς ὁ ἐν τῷ θεάτρῳ τόπος κοινός (τοῦ γὰρ προκαταλαβόντος γίνεται), ἢ τὸ ἐξ ἴσου παρὰ τῶν μετεχόντων μεταλαμβανόμενον, ὡς λέγε-

---

1 Περὶ ἑρμ.] p. 17a33 1. 2 καὶ — ἀντίφασις in lac. XII litt. om. C ἀντίφ. τοῦτο coll. Arist. 4 καὶ μὴν ἔστι om. F 6 ὁμών. εἶπε] ὁμών. φησί C: φησὶν ὁμών. εἶναι a τὸ om. C ἔχ. κ. coll. C ἐροῦμεν δὲ F 8 σημαινόμενον om. F 9 Περὶ ἑρμ.] p. 16b19 10 λεγόμενα om. F 11 διαστελλ. C 12 ὡς C 14 ἔχει ὄν. coll. a ὄν. μόνον ἔχει F 15 ἡ ὁμων. Fa 19 ἀπελείφθη Ca: ἀπελήφθην F τῶ πολ. C 20 τὸ ὑποδήμ. C 21 καὶ om. C ἔσχον F 23 ἀποδέδωκε a 25 post ἢ add. ὡς a 26 κοινὸν δοῦλον coll. F 29 προκαταλήψει Olymp.: προλήψει CFa ὁ om. Ca post κοινός add. τόπος F 30 γίν.] ἐστί F λαμβαν. CF

ται κοινὴ ἡ τοῦ κήρυκος φωνή (ἐξ ἴσου γὰρ αὐτῆς πάντες ἀκούουσι, καὶ 17v
οὐχ ὅδε μὲν τῆσδε ὅδε δὲ τῆσδε τῆς συλλαβῆς) καὶ ἡ ἀνθρωπεία φύσις
κοινὴ τῶν μετεχόντων πάντων· ἐξ ἴσου γὰρ αὐτῆς οἱ κατὰ μέρος μετέ- 10
χομεν ἄνθρωποι πάντες. ἐνταῦθα οὖν τὸ κοινὸν παρέλαβε κατὰ τὸ ἐξ
5 ἴσου μεθεκτόν.

p. 1a1 Ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος.

Εἰπὼν τὰ τοῖς ὁμωνύμοις ὑπάρχοντα νῦν προστίθησι τίνα αὐτοῖς οὐχ
ὑπάρχει, ἵνα μὴ μόνον ἐκ τῆς κοινωνίας ἀλλὰ καὶ ἐκ τῆς διαφορᾶς ἔχω- 15
μεν διαγινώσκειν αὐτά. ζητητέον δὲ τί δή ποτε μὴ εἶπεν 'ὧν ὄνομα
10 μόνον κοινόν, ὁ δὲ λόγος τῆς οὐσίας ἕτερος', ἀλλ' ὁ κατὰ τοὔνομα
λόγος τῆς οὐσίας ἕτερος. φαμὲν ὅτι ἐνδέχεται τὰ ὁμώνυμα καὶ συνώνυμα
εἶναι κατ' ἄλλο καὶ ἄλλο· οἱ γὰρ Αἴαντες ᾗ μὲν ἄνθρωποί εἰσιν, συνώ- 20
νυμοί εἰσι (μετέχουσι γὰρ καὶ τοῦ ἀνθρώπου ὀνόματος καὶ τοῦ ὁρισμοῦ·
ἑκάτερος γὰρ αὐτῶν ζῷον λογικὸν θνητόν ἐστιν), ᾗ δὲ Αἴαντες, ὁμώνυμοι.
15 ἵνα οὖν μὴ τὸν τυχόντα ὁρισμὸν λαμβάνωμεν, ἀλλὰ τὸν κατὰ τὸ ὄνομα,
καθ' ὃ κοινωνοῦσι, καλῶς εἶπεν ὁ δὲ κατὰ τοὔνομα λόγος· οἱ γὰρ 25
Αἴαντες κοινὸν μὲν ἔχουσιν αὐτὸ τοῦτο τὸ ὄνομα, τὸν δὲ λόγον τὸν κατ'
αὐτὸ τοῦτο οὐκέτι τὸν αὐτόν, ἀλλ' ὁ μέν ἐστιν ἐκ Σαλαμῖνος υἱὸς Τελα-
μῶνος ὁ μονομαχήσας Ἕκτορι, ὁ δὲ Ὀϊλέως ἐκ Λοκρίδος πόδας ταχὺς
20 τοξότης.

p. 1a1 Ὁ δὲ κατὰ τοὔνομα λόγος. 30

Τί δή ποτε μὴ εἶπεν 'ὁ δὲ κατὰ τοὔνο|μα ὁρισμός', ἀλλὰ λόγος; 18r
φασὶν ἐπειδήπερ οὐκ ἐπὶ πάντων τῶν πραγμάτων εὐποροῦμεν ὁρισμῶν.
ἀλλ' ἔστιν ὅτε ὑπογραφαῖς κεχρήμεθα ἀποροῦντες δι' ὁρισμῶν ἀποδιδόναι
25 τὰ πράγματα· τῶν γοῦν γενικωτάτων γενῶν ὁρισμὸν ἀποδοῦναι ἀδύνατον· 5
πᾶς γὰρ ὁρισμὸς ἐκ γένους ἐστὶ καὶ συστατικῶν διαφορῶν, τούτων δὲ ὑπερ-
αναβεβηκὸς γένος οὐκ ἔστιν εὑρεῖν, ἵνα ἐκ τούτου καὶ τῶν διαφορῶν ἀπο-
δῶμεν αὐτῶν τὸν ὁρισμόν, διὸ ἀνάγκη κἂν δι' ὑπογραφῆς αὐτὰ ἀποδιδό-
ναι. διὰ τοῦτο οὐκ εἶπεν 'ὁ δὲ κατὰ τοὔνομα ὁρισμός', ἐπειδὴ παρελίμ- 10
30 πανε τὰ δι' ὑπογραφῆς σημαινόμενα· δυνατὸν γὰρ ταύτῃ χρήσασθαι ἐπὶ
πάντων, ἐκ τῶν κατὰ συμβεβηκὸς ὑπαρχόντων τοῖς πράγμασιν αὐτὴν λαμ-
βάνοντας. ἀλλὰ λέγω ὅτι ἐν οἷς ἔστι δι' ὁρισμῶν ἀποδοῦναι τὰ πράγματα,
περιττὸν τὸ δι' ὑπογραφῆς ἀποδοῦναι. καὶ διὰ τί οὖν μὴ εἶπεν 'ὁ δὲ 15

---

2 ὅδε μὲν] ὁ μὲν a ὅδε δὲ] ὁ δὲ C 3 πάντων om. C 4 πάντες ante μετέχ. coll. C: om. a κατὰ om. F 5 μεθεκτόν scripsi ex Coisl. 330: ἀκουστόν Ca om. F 6. 16 κατ' οὔνομα C 9 αὐτὰ διαγιν. coll. Ca 10 [illegible] F 12. 13 εἰσὶν συνών. coll. a 13 ἄνθρωπος Fa 19 ἕκτωρι C 20 καὶ τοξ. C 24 ὑπογραφῇ a ὁρισμοῦ a 25 οὖν F 30. 31 ἐπὶ π. χρήσ. coll. [illegible] 31. 32 λαμβάνοντες CF 33 ἀποδιδόναι Ca οὖν om. F μὴ] οὐκ F

κατὰ τοὔνομα ὁρισμὸς ἤτοι ὑπογραφή'; λέγομεν οὖν ὅτι συντομίας ὧν 18r
ἐραστὴς τὸ κοινῶς τούτων κατηγορούμενον εἶπεν, ὅπερ ἐστὶν ὁ λόγος·
λόγος γὰρ λέγεται καὶ ὁ ὁρισμὸς καὶ ἡ ὑπογραφὴ τῆς οὐσίας.

Ἆρ' οὖν οὐκ ἔστι καὶ ἐν τοῖς συμβεβηκόσιν ὁμωνυμία; καὶ μὴν 20
ὁρῶμεν τὸ τοιοῦτον· τὸ γὰρ ὀξὺ κατηγορεῖται καὶ κατὰ χυμοῦ καὶ φωνῆς
καὶ νοσήματος καὶ ὄγκου· λέγομεν γὰρ ὀξὺν χυμὸν καὶ ὀξεῖαν φωνὴν καὶ
ὀξὺ νόσημα καὶ ὄγκον ὀξύν. ὁμοίως καὶ τὸ βαρὺ κατηγορεῖται καὶ κατὰ
φωνῆς καὶ κατὰ ὄγκου καὶ κατὰ ἤθους ψυχῆς, ὡς ὅταν λέγωμεν 'βαρὺς
ἄνθρωπος'. πῶς οὖν εἶπε τῆς οὐσίας; φαμὲν ὅτι διπλοῦν οἶδε τὸ ση- 25
μαινόμενον τῆς οὐσίας ὁ Ἀριστοτέλης, καθ' ἓν μὲν τὴν ἀντιδιαστελλομένην πρὸς τὰ συμβεβηκότα καὶ αὐθυπόστατον (ἐκείνων ἐν ἑτέρῳ τὸ εἶναι ἐχόντων, λέγω δὴ ἐν τῇ οὐσίᾳ), καθ' ἕτερον δέ, καθ' ὃ πᾶσαν ἁπλῶς ὕπαρξιν οὐσίαν καλεῖ, καθ' ὃ νῦν σημαινόμενον | ἐχρήσατο τῷ τῆς οὐσίας 18v
ὀνόματι περιλαμβάνων καὶ τὰ συμβεβηκότα. τί δή ποτε ὅλως προσέθηκε
τῆς οὐσίας, καὶ μὴ εἶπεν 'ὁ δὲ κατὰ τοὔνομα λόγος ἕτερος'; λέγομεν
οὖν ἵνα μή τις ἀποδιδοὺς τῆς φωνῆς τὸν ὁρισμὸν λέγῃ τὰ ὁμώνυμα εἶναι 5
συνώνυμα· δυνατὸν γὰρ τῆς Αἴας φωνῆς ἀποδοῦναι τὸν ὁρισμὸν ἤτοι τὴν ὑπογραφὴν λέγοντας ὅτι ἐστὶν Αἴας φωνὴ δισύλλαβος βαρύτονος ψιλὴ εἰς καθαρὸν ᾶς λήγουσα, καὶ κατὰ τοῦτο συνώνυμοι ἔσονται οἱ Αἴαντες. διὰ
τοῦτο ἀκριβῶς προσέθηκεν ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας, 10
τοῦτ' ἔστι τῆς ὑπὸ τοῦ ὀνόματος σημαινομένης.

Φασὶ δέ τινες μήποτε καὶ τὰ ὁμώνυμά εἰσι συνώνυμα· κοινωνοῦσι γὰρ ἀλλήλοις καὶ κατὰ τοὔνομα καὶ κατὰ τὸν ὁρισμὸν τὸν τοῦ ὁμωνύμου· τῶν γὰρ Αἰάντων κατηγορεῖται μὲν καὶ αὐτὸ τὸ ὁμώνυμον, οὐ μόνον δὲ
ἀλλὰ καὶ ὁ τοῦ ὁμωνύμου ὁρισμός· ἑκάτερος γὰρ αὐτῶν λέγεται ἔχειν τῷ 15
ἑτέρῳ ὄνομα μόνον κοινόν, τὸν δὲ κατὰ τοὔνομα λόγον τῆς οὐσίας ἕτερον. οὕτως οὖν ἐδείχθη καὶ τὰ ὁμώνυμα ὄντα συνώνυμα. τί οὖν ἐροῦμεν; πρῶτον μὲν οὐδὲν ἄτοπον, εἰ τὰ αὐτὰ καὶ ὁμώνυμα καὶ συνώνυμά εἰσι κατ' ἄλλο καὶ ἄλλο, μᾶλλον δὲ καὶ ἀναγκαῖον· οἱ γὰρ Αἴαντες ᾗ μὲν ἄν- 20
θρωποι, συνώνυμοί εἰσιν, ᾗ δ' Αἴαντες, ὁμώνυμοι. οὕτω τοίνυν κἀνταῦθα ᾗ μὲν Αἴαντες, ὁμώνυμοι (μόνης γὰρ τῆς Αἴας φωνῆς κοινωνοῦντες τῷ κατ' αὐτὴν ὁρισμῷ διαφέρουσιν), ᾗ δὲ ὁμώνυμοι, συνώνυμοι κοινωνοῦντες οὐ μόνον τῆς τοῦ ὁμωνύμου προσηγορίας, ἀλλὰ καὶ τοῦ κατ' αὐτὴν ὁρι- 25
σμοῦ. ἄλλως τε οὔτε δυνατὸν ταῦτα συνώνυμα λέγειν· τῶν γὰρ συνωνύμων

---

1 οὖν om. a 2 τοῦτο C 4 καὶ (prius) om. F 5 τὸ τοιοῦτον] τοῦτο F τοῦ χυμοῦ C 6 καὶ νοσ. καὶ ὄγκου om. Ca 6. 7 καὶ ὀξὺ νόσημα in mrg. suppl. F: om. Ca 8 τῆς φωνῆς et τοῦ ὄγκ. a 11. 12 ἐχ. τὸ εἶναι coll. C 12 ἐν om. F 14 παραλαμβ. a ante τί add. καὶ C 15 κατ' οὔνομα C 16 οὖν om. Fa ἀποδοὺς Ca τὸν ὁρ. τῆς φ. coll. C ὅτι τὰ ὁμ. εἰσι Ca 18 δισ. φωνὴ (βαρύτονος om.) a 20 λόγος om. a 21 τοῦτ' ἔστι — σημαινομένης om. F 23 τὸν (post ὁρ.) om. Ca 25 ὁ om. a 26 μόνον om. a 28 καὶ αὐτὰ τὰ coll. C: τὰ αὐτὰ (καὶ om.) a εἰσι post ὁμών. coll. Ca 30 ᾗ] οἱ F 30. 31 οὕτω — ὁμώνυμοι om. C 30 τοίνυν om. a 33 pr. τοῦ om. a 34 τε om. a οὔτε] οὐ a; an οὐδὲ?

κοινῶς τε κατηγορεῖται τὸ ὄνομα καὶ ὁ ὁρισμὸς καὶ ἰδίᾳ ἑκάστου καὶ ἀσχέτως· οἷον τὸ ζῷον κατηγορεῖται καὶ κοινῶς πάντων τῶν ὑπ' αὐτὸ καὶ ἰδίᾳ ἑκάστου (λέγεται γὰρ Σωκράτης εἶναι ζῷον καὶ ἵππος εἶναι ζῷον), ἀλλὰ | καὶ ὁ ὁρισμός· οὐσία γὰρ ἔμψυχος αἰσθητική, ὅπερ ἐστὶν ὁρισμὸς 19r ζῴου, καὶ κοινῶς πάντων τῶν κατὰ μέρος ζῴων κατηγορεῖται καὶ ἰδίᾳ ἑκάστου· καὶ γὰρ ὁ Σωκράτης οὐσία ἔμψυχος αἰσθητικὴ καὶ ὁ ἵππος ὁμοίως. ἐπὶ δὲ τῶν ὁμωνύμων οὐχ οὕτως· οὐ γὰρ δυνατὸν ἑκάστου ἰδίᾳ καὶ ἀσχέτως οὔτε τὸ ὄνομα οὔτε τὸν ὁρισμὸν κατηγορῆσαι· οὐ γὰρ λέγεται ὁ Αἴας καθ' ἑαυτὸν ὁμώνυμος, ἀλλ' οὐδὲ ὄνομα μόνον ἔχει κοινὸν τὸν δὲ κατὰ τοὔνομα λόγον τῆς οὐσίας ἕτερον, ἀλλὰ ἄλλῳ λέγεται ὁμώνυμος. καὶ τοὐλάχιστον δύο πραγμάτων κατηγορηθήσεται ἡ τοῦ ὁμωνύμου προσηγορία, ἐπειδὴ καὶ τῶν ἐν σχέσει ἐστίν. οὐ συνώνυμα ἄρα τὰ ὁμώνυμα.

Δύναται δὲ τὸ ὁμώνυμον διαιρεῖσθαι οὐ μόνον κατὰ τὴν ἔμπροσθεν ἀποδεδομένην διαίρεσιν, ἀλλὰ καὶ ποικιλώτερον κατὰ τὸν ὑποκείμενον τρόπον. | τὰ ὁμώνυμα ἢ ἀπὸ τύχης εἰσὶν ἢ ἀπὸ διανοίας· καὶ ἀπὸ μὲν τύχης, ὡς εἰ 19v τύχοι ἐν Ἀθήναις κἀνταῦθά τινας τῷ αὐτῷ ὀνόματι κεχρῆσθαι, ἀπὸ δὲ διανοίας, ὡς ὅταν πρός τινα σκοπὸν ἀφορῶσα ἡ διάνοια ἐπιτίθησι τὰ ὀνόματα. καὶ τῶν ἀπὸ διανοίας ἢ τῷ μὲν ἀφ' οὗ παρώνυμα ἀλλήλοις δὲ ὁμώνυμα, ὡς ἀπὸ ἰατρικῆς τὰ ἰατρικὰ ὄργανα (παρωνύμως γὰρ ἀπ' αὐτῆς ὀνομάζεται, ἀλλήλοις δὲ ὁμωνύμως), ἢ καὶ τῷ ἀφ' οὗ καὶ ἀλλήλοις ὁμώνυμα, ὡς ὅταν τις τῷ τοῦ πατρὸς ὀνόματι τοὺς παῖδας ἢ τοὺς ἐκγόνους καλέσῃ. τῶν δὲ τῷ ἀφ' οὗ παρωνύμων ἀλλήλοις δὲ ὁμωνύμων τὰ μὲν ἀπὸ ποιητικοῦ τινος αἰτίου ὀνομάζονται, ἃ ἀφ' ἑνὸς λέγεται, ὡς ἀπὸ ἰατρικῆς ἰατρικὰ ὄργανα (ἀπ' ἐκείνης γὰρ παρωνύμως λέγονται). τὰ δὲ ἀπὸ τοῦ τελικοῦ καὶ λέγεται πρὸς ἕν, ὡς ὑγιεινὸν σιτίον καὶ δίαιτα καὶ γυμνάσιον· πρὸς ἓν τέλος γὰρ ὁρῶσι τὴν ὑγείαν. τὰ δὲ τῷ ἀφ' οὗ καὶ ἀλλήλοις ὁμώνυμα ἢ ἀλλήλοις εἰσὶν ἰσόχρονα καὶ τῷ ἀφ' οὗ ἢ ἀλλήλοις

---

2 καὶ κοιν. κατ. coll. Ca 3 alt. καὶ] ὁ a εἶναι (alt.) om. Ca
4 ὁ om. C γὰρ om. a 6 ὁ (prius) om. Ca 9 ὁ om. F τὸ ὄνομα a ἔχειν F 10 ἀλλὰ] ἄλλος C 12 ἐπεὶ C 12. 13 οὐ συν. ἄρα τὰ ὁμώνυμα om. Ca 14 δύναται — ἀληθές (22,14) eicias 14. 15 ἔμπροσθεν ἀποδεδ.] p. 16,22 16 τὰ ὁμώνυμα — ἀναφέρεται (p. 22, 11 not.) in figuram method. redegit a τὰ ὁμών.] τῶν ὁμωνύμων τὰ μὲν a: om. C 16 εἰσὶν — τύχης om. Ca ὡς om. a 17 κεχρ.] κληθῆναι Ca 17. 18 ἢ ἀπὸ διαν. Ca 18 σκοπὸν om. a 19 καὶ τῶν ἀπὸ διανοίας om. Ca παρώνυμον Ca 20 ὁμώνυμον Ca τὰ om. C 20. 21 παρ. — ὁμωνύμως om. C 21 ὀνομάζονται a ἀλλ. δὲ ὁμωνύμως om. a 22 τοῦ om. F 22. 23 ἐγγόνους F
23 καλέσοι F 23 τῶν δὲ — ὁμωνύμων om. C: τούτων δὲ a τῷ scripsi: τὸ F ἢ τὰ C 24 αἰτίας a ἃ ἀφ' ἑνὸς] ἀφ' οὗ καὶ F λέγονται F 25 τῆς ἰατρ. τὰ ἰατρ. C 26 ἀπὸ τέλους a λέγ. καὶ coll. F λέγονται F ὑγιεινὰ F 26. 27 σιτίον — γυμνάσιον om. F 26 σιτίον scripsi: αἴτιον Ca (cf. p. 17,6) 27 γὰρ τέλος coll. C ὁρῶμεν F 27. 28 τὰ δὲ - ὁμώνυμα om. C: τούτων δὲ a 28 εἰσὶν om. a

μὲν ἰσόχρονα τῷ δὲ ἀφ' οὗ οὐκέτι. | καὶ τῶν ἀφ' οὗ τὰ μὲν 20r
καθ' ὁμοιότητα λέγεται τὰ δὲ κατὰ ἀναλογίαν. ὡς λέγομεν κορυφὰς ὄρους
καὶ πόδας κλίνης· ὃν γὰρ λόγον ἔχουσιν οἱ πόδες πρὸς τὸ ὅλον ζῷον,
οὕτω καὶ τὰ κάτω μέρη τῆς κλίνης. τῶν δὲ κατ' ὁμοιότητα τὰ μὲν κατ' 5
5 ἐνέργειαν, ὡς ὅταν διὰ τὸ ἐοικέναι τὰς ἐνεργείας τῷ πατρὶ καλέσωμέν
τινα τῷ ἐκείνου ὀνόματι, τὰ δὲ κατὰ μορφήν, ὡς ὅταν τὴν εἰκόνα τοῦ Σω- 10
κράτους καλέσωμεν τῷ τοῦ Σωκράτους ὀνόματι. τῶν δὲ ἀλλήλοις μὲν ἰσο-
χρόνων τῷ δὲ ἀφ' οὗ οὐκέτι τὰ μὲν κατ' ἐλπίδα, ὡς ὅταν τινὲς Πλάτω-
νας τοὺς υἱοὺς καλέσωσιν ἐλπίζοντες αὐτοὺς γενέσθαι κατὰ Πλάτωνα, τὰ 15
10 δὲ κατὰ μνήμην, ὡς ὅταν τινὲς καλέσωσι τὸν παῖδα τῷ τοῦ πάππου
ὀνόματι, ἵνα φυλάττηται ἡ ἐκείνου μνήμη. | ἐνταῦθα οὖν Ἀριστοτέλης 20v
ποῖον σημαινόμενον τοῦ ὁμωνύμου παραλαμβάνει; τὸ κατὰ τὴν μορφὴν
ὅμοιον. τινὲς δέ φασιν ὅτι τὸ ὡς ἀφ' ἑνός· ὡς γὰρ ἀπ' αἰτίου τοῦ ἀν-
θρώπου ἐστὶν ἡ εἰκών. ἑκάτερον δέ ἐστιν ἀληθές.

15 p. 1a2 Οἷον ζῷον ὅ τε ἄνθρωπος καὶ τὸ γεγραμμένον. 5

Τούτων γὰρ ἡ μὲν ὀνομασία κοινή (ζῷον γὰρ ἐρεῖς ἑκάτερον), ὁ δὲ ὁρισμὸς οὐκέτι ὁ αὐτός· τὸ μὲν γὰρ ὁριζόμενος ἐρεῖς 'οὐσία ἔμψυχος αἰσθητική', τὸ δὲ 'μίμημα οὐσίας ἐμψύχου αἰσθητικῆς'.

p. 1a4 Ἐὰν γὰρ ἀποδιδῶ τις τί ἐστιν αὐτῶν ἑκατέρῳ τὸ ζῴῳ 10
20 εἶναι, ἴδιον ἑκατέρου λόγον ἀποδώσει.

Τριῶν τούτων ὄντων, ὕλης καὶ εἴδους καὶ τοῦ συναμφοτέρου, τοὺς ὁρισμοὺς τῶν πραγμάτων ποτὲ μὲν ἀπὸ τῆς ὕλης ποιούμεθα ποτὲ δὲ ἀπὸ

---

1 pr. μὲν om. a μὲν εἰσιν quae ἰσόχ. C οὐκέτι] οὗ F καὶ τῶν ἀφ' οὗ] καὶ C: τῶν δὲ ἀπὸ διανοίας a 2 λέγονται C 2 κορ. ὄρ.] πόδας ὄρους καὶ κορυφὰς (κορυφὴν a) Ca 3 καὶ π. κλ.] ὄρους C ὡς γὰρ ἔχ. a 4 τὰ ἄλλα κάτω C τῶν — ὀνόματι (7) om. C: τῶν — ὁμοιότητα om. a μὲν] δὲ a 5 διὰ om. F κατὰ τὰς a 6 τινα om. a τὴν εἰκόνα a Olymp.: τινὰ διὰ τὴν εἰκ. F τοῦ om. F 7 καλέσω a 7. 8 τῶν — οὐκέτι] καὶ C: τούτων ἔτι τῶν ἀπὸ διανοίας a 8. 9 πλάτ. τ. υἱοὺς καλέσωσιν om. Ca 9 ἐλπ. αὐτοὺς] τοὺς υἱεῖς ἐλπ. C: ἐλπ. τοὺς υἱοὺς a post πλάτωνα add. καλέσωσιν αὐτοὺς τῷ ἐκείνου ὀνόματι Ca 10 post τινὲς add. μεμνημένοι τοῦ πατρὸς Ca τὸν παῖδα] τοὺς υἱοὺς a: om. F 11 post μνήμη add. τὰ δὲ ἀπὸ ποιητικοῦ (ποιητικῆς αἰτίας a), ὡς μουσικὴ ἥ τε ἐπιστήμη καὶ ἡ γυνὴ καὶ ἡ κιθάρα· ἀπὸ γὰρ τῆς ἐπιστήμης καὶ ἡ γυνὴ καὶ ἡ κιθάρα. τὰ δὲ ἀπὸ τελικοῦ (τέλους a), ὡς εἴ τις τὴν τροφὴν καὶ τὸ ἀναπνεῖν ζῶν λαμβάνει. διότι ὡς πρὸς τέλος τὴν ζωὴν ἀναφέρεται (ἀναφέρει a), ἢ ἀγαθὸν τὸ φυσικωτάτην καὶ τὸ κυριώτατον add. a. ὅτι διότι a) πρὸς ὑγείαν (πρὸς ἀγαθόν τι τὴν ὑγίειαν a) ἀναφέρεται Fa 13 δέ om. a ὡς om. F 14 ἡ om. C alt. ἐστιν om. F 17 οὐκ ἔστιν Ca 17. 18 οὐσίαν ἔμψυχον αἰσθητικήν Ca 18 post αἰσθητικῆς add. ἐκ χρωμάτων τοιῶνδε καὶ τοιῶνδε τυπούμενον C 19 ἀποδῶ τις C: τις ἀποδιδῶ Arist. 21 καὶ (prius) om. F τοῦ om. F

τοῦ εἴδους ποτὲ δὲ ἀπὸ τοῦ συναμφοτέρου, ὥσπερ ὁ Ἀριστοτέλης τὸν 20v
θυμὸν ὁρίζεται ποτὲ μὲν ἐκ τῆς ὕλης ποτὲ δὲ ἐκ τοῦ εἴδους ποτὲ δὲ ἐκ
τοῦ συναμφοτέρου, καὶ ἐκ μὲν τῆς ὕλης θυμὸν εἶναι λέγων ζέσιν τοῦ 15
περικαρδίου αἵματος (τοῦτο γὰρ ὕλη θυμοῦ), ἐκ δὲ τοῦ εἴδους λέγων
5 'ὄρεξις ἀντιλυπήσεως', ἐκ δὲ τοῦ συναμφοτέρου 'ζέσις τοῦ περικαρδίου αἵμα-
τος δι' ὄρεξιν ἀντιλυπήσεως'. ὁ δὲ κυρίως ὁ ἐκ τοῦ εἴδους· ἡ μὲν γὰρ
ὕλη κοινωνίας ἐστὶν αἰτία τοῖς πράγμασι, τὸ δὲ εἶδος διαφορᾶς. βουλό- 20
μεθα δὲ τοῖς ὁρισμοῖς διακρίνειν ἀλλήλων τὰ πράγματα. διὸ κἀνταῦθα ὁ
Ἀριστοτέλης βουλόμενος τὸν ἐκ τοῦ εἴδους αὐτῶν ὁρισμὸν ἀποδοῦναι οὐκ
10 εἶπε 'τί ἐστιν αὐτῶν ἑκατέρῳ τὸ ζῷον εἶναι' (τοῦτο γὰρ τὸ συναμφότερον
σημαίνει, τήν τε ὕλην καὶ τὸ εἶδος), ἀλλὰ τί ἐστιν αὐτῶν ἑκατέρῳ τὸ 25
ζῴῳ εἶναι, τοῦτ' ἔστι τί ἐστιν ἑκατέρῳ αὐτῶν καθ' ὃ ζῷά εἰσιν, ἵνα
τὸν ἐκ τοῦ εἴδους ὁρισμὸν δηλώσῃ· κατὰ τοῦτο γὰρ ζῷά εἰσιν. ἀποδιδοὺς
δέ τις κατὰ τί ἑκάτερον τούτων ζῷον λέγεται, ἴδιον ἑκατέρου λόγον
15 ἀποδώσει, ὡς ἀνωτέρω ἡμῖν εἴρηται.

p. 1a6 Συνώνυμα δὲ λέγεται ὧν τό τε ὄνομα κοινὸν καὶ ὁ | 30
κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός, οἷον ζῷον ὅ τε 21r
ἄνθρωπος καὶ ὁ βοῦς.

Μετὰ τὸ πληρῶσαι τὸν περὶ τῶν ὁμωνύμων λόγον ἑξῆς περὶ τῶν
20 συνωνύμων διαλαμβάνει. ἐκ δὲ τῶν ὁμωνύμων δῆλη καὶ ἡ περὶ τῶν
συνωνύμων διδασκαλία· τὰ αὐτὰ γὰρ δεῖ εἰπεῖν, ὅσα καὶ ἐπὶ τῶν ὁμωνύ-
μων εἴρηται, ὅτι οὐ μόνον ἐν ὀνόμασιν ἀλλὰ καὶ ἐν ῥήμασίν ἐστιν ἡ συνω- 10
νυμία καὶ ὅτι ἐστὶ καὶ ἐν τοῖς συμβεβηκόσιν ἡ συνωνυμία· τὸ γὰρ ἀλλοι-
οῦν ῥῆμα συνώνυμόν ἐστι· λέγεται γὰρ ἀλλοιοῦν καὶ ὁ λευκαίνων καὶ ὁ
25 μελαίνων. καὶ τὸν αὐτὸν δὲ ὁρισμὸν ἐπιδέχονται· ὁριζόμενοι γὰρ τὸ ἀλλοι-
οῦν φαμεν ὅτι τὸ ἔχον ἐν ἑαυτῷ ἀρχὴν μεταβλητικὴν ἄλλου, ᾗ ἄλλο. 15
τοῦτο δὲ ἁρμόσει λέγειν καὶ ἐπὶ τοῦ λευκαίνοντος καὶ ἐπὶ τοῦ μελαίνοντος·
ἕκαστον γὰρ τῶν ἀλλοιούντων ἀρχὴν ἔχει ἐν ἑαυτῷ μεταβλητικὴν τῶν
ἀλλοιουμένων, ἄλλο ὂν παρὰ τὰ ἀλλοιούμενα· εἰ γὰρ μὴ ἦν ἄλλο, οὐκ ἂν
30 οὐδὲ ἠλλοίου· διὸ προσετέθη τὸ 'ᾗ ἄλλο'. τῷ αὐτῷ δὲ παραδείγματι 20
κέχρηται ἐπίτηδες τῷ τοῦ ζῴου, ἵνα δείξῃ ὅτι τὸ αὐτὸ δύναται καὶ ὁμώ-

---

1 ὥσπερ — συναμφοτέρου (3) om. a ὁ Ἀριστ.] De an. A 1 p. 403a30 sq., ubi non θυμός, sed ὀργή sic definitur, error redit ad Ammon. in Porph. Isag. p. 57.19 sq.
2 ἐκ (ante τοῦ συν.)] ἀπὸ F 3 λέγ. εἶναι coll. C 3. 4 λέγομεν a
3 ξέσιν F 5 ante ζέσις add. λέγων F 6 ὁ (alt.) om. Fa 7 τοῖς] τοῦ C
8 τοὺς ὁρισμοὺς F ἀπ' ἀλλ. a κἀντεῦθεν C 8. 9 βουλ. ὁ ἀρ. coll. a 10 ἑκάτερον a 12 τί ἐν ἑκ. (ἐστι post αὐτῶν coll.) a
ἑκάστῳ CF post αὐτῶν add. τὸ ζῴῳ εἶναι F 14 ἑκάστου λόγον ἴδιον Ca 15 ἀνωτέρω] v. 6 ἡμῖν om. F 17 κατὰ τοὔνομα om. F 21 ἐπὶ] περὶ C 23. 24 ἀλλοιῶν CF 25 ἐπιδέχεται F 26 ἄλλου] εἰς ἄλλο a
ᾗ ἄλλο ὂν C 27 τοῦτο — μελαίνοντος post ᾗ ἄλλο (30) transponas. ἐπὶ (alt.) om. F 30 ᾗ om. F 31 τὸ om. Ca

νυμον εἶναι καὶ συνώνυμον κατ' ἄλλο καὶ ἄλλο· ἐπὶ μὲν γὰρ ἀνθρώπου 21r
τοῦ ἀληθινοῦ καὶ τοῦ γεγραμμένου ὁμώνυμον τὸ ζῷον, ἐπὶ δὲ ἀνθρώπου
καὶ βοὸς συνώνυμον.

p. 1a12 Παρώνυμα δὲ λέγεται ὅσα ἀπό τινος διαφέροντα τῇ πτώσει τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχει.

Μετὰ τὴν τῶν ὁμωνύμων καὶ συνωνύμων διδασκαλίαν διαλέγεται περὶ τῶν παρωνύμων εἰκότως, ἐπεὶ|δὴ ταῦτα σκολιωτέραν τὴν συμπλοκὴν ἔχει· 21v
τῶν γὰρ ὁμωνύμων κατὰ τὸ ὄνομα μόνον κοινωνούντων διαφερόντων δὲ κατὰ τὸν ὁρισμόν, καὶ τῶν συνωνύμων καὶ κατὰ τὸ ὄνομα καὶ κατὰ τὸν ὁρισμὸν κοινωνούντων, ταῦτα οὔτε κατὰ τὸ ὄνομα καθάπαξ κοινωνεῖ οὔτε καθάπαξ διαφέρει, ὁμοίως καὶ κατὰ τὸν ὁρισμὸν κατά τι μὲν κοινωνεῖ κατά τι δὲ διαφέρει. οὐκ ἀνάγονται δὲ ταῦτα ὑπὸ τὴν συμπλοκὴν τῶν εἰρημένων τεσσάρων συζυγιῶν, τὴν τῶν ὁμωνύμων λέγω καὶ πολυωνύμων καὶ συνωνύμων καὶ ἑτερωνύμων· ἐκείνων γὰρ χαρακτηριζομένων ἤτοι κατὰ τὴν κοινωνίαν τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ ἢ κατὰ τὴν διαφορὰν ἀμφοτέρων ἢ κατὰ τὴν καθ' ἕτερον μὲν κοινωνίαν καθ' ἕτερον δὲ διαφοράν. ταῦτα οὔτε καθάπαξ κοινωνεῖ κατ' ἀμφότερα οὔτε καθάπαξ διαφέρει, ἀλλ' οὐδὲ καθ' ἕτερον ἀκριβῶς κοινωνεῖ. καθ' ἕτερον δὲ διαφέρει. ἀλλὰ πῇ μὲν κοινωνεῖ πῇ δὲ διαφέρει κατ' ἀμφότερα. τινὲς δὲ ἀξιοῦσιν αὐτὰ τάττεσθαι μεταξὺ τῶν τε ὁμωνύμων καὶ τῶν συνωνύμων, διότι τῶν ὁμωνύμων κατὰ τὸ ὄνομα μόνον κοινωνούντων κατὰ δὲ τὸν ὁρισμὸν διαφερόντων, τῶν δὲ συνωνύμων κοινωνούντων κατ' ἀμφότερα, ταῦτα οὔτε κατὰ τὸ ὄνομα ἁπλῶς κοινωνεῖ οὔτε κατὰ τὸν ὁρισμόν. βέλτιον δὲ μεταξὺ τῶν συνωνύμων καὶ τῶν ἑτερωνύμων αὐτὰ τάττειν· τῶν μὲν γὰρ κοινωνούντων κατ' ἀμφότερα τῶν δὲ κατ' ἀμφότερα διαφερόντων, ταῦτα μεταξύ πώς εἰσι, πῇ μὲν κοινωνοῦντα πῇ δὲ διαφέροντα κατ' ἀμφότερα.

Ἀνάγκη δὲ ἐπὶ τῶν παρωνύμων τέσσαρα ταῦτα παρεῖναι, κοινωνίαν πράγματος καὶ διαφορὰν πράγματος, κοινωνίαν ὀνόματος καὶ διαφορὰν περὶ τὴν τελευταίαν συλλαβήν· εἰ γὰρ ἕν τι τούτων ἐλλείψει, οὐκέτι ἔσται παρώνυμον· ἔστω γὰρ περὶ τὸ ὄνομα κοινωνία καὶ διαφορά. ἔστω δὲ καὶ ἡ 22r
περὶ τὸ πρᾶγμα κοινωνία, διαφορὰ δὲ μὴ ἔστω, λέγω ὅτι οὐκ ἔστι παρώνυμον. ὡς ἐπὶ τοῦ πλάτανος καὶ πλατάνιστος καὶ παρθένος καὶ παρθενική· τὸ αὐτὸ γὰρ πρᾶγμα ὑπ' ἀμφοτέρων σημαίνεται, καὶ ἔστι ποιητικὸν μὲν τὸ παρθενικὴ καὶ τὸ πλατάνιστος, πεζολόγων δὲ τὸ πλάτανος καὶ παρθένος. πάλιν ἔστω τὰ ἄλλα πάντα ἀκολούθως. κοινωνία δὲ μὴ ἔστω περὶ τὸ πρᾶγμα,

1 καὶ συν. εἶναι coll. F 2 τοῦ ἀληθινοῦ om. Ca 3 τοῦ βοὸς C
9 primum καὶ] πάλιν Ca κατὰ (tert.) om. F 13 τὴν om. F 14 καὶ συν. καὶ ἑτερ. in mrg. suppl. F² 16 κοιν. μὲν coll. a 18 ἕτερα (priore l.) C
20 alt. τῶν om. Ca 21 μόνον om. CF 24 τῶν (ante ἑτερ.) om. F αὐτὰ ante μεταξὺ (23) coll. F τάττεσθαι C 24. 25 κατ' ἀμφ. κοιν. coll. F 32 οἷον ὡς C: οἷον a 32. 33 γὰρ αὐτὸ coll. Fa 34 pr. τὸ om. Ca πάλιν δὲ a

καὶ ὁμοίως οὐκ ἔσται παρώνυμα, ὡς ἐπὶ τῆς Ἑλένης καὶ Ἑλένου. πάλιν 22r
ἔστω τὰ ἄλλα πάντα ἀκολούθως, διαφορὰ δὲ μὴ ἔστω κατὰ τὴν τελευ- 10
ταίαν συλλαβήν, ὡς ἐπὶ τῆς μουσικῆς ⟨ἐπιστήμης⟩ καὶ μουσικῆς γυναικός· ὁμώνυμα γὰρ ταῦτα καὶ οὐ παρώνυμα. πάλιν τὰ μὲν ἄλλα ἔστω, μὴ
5 ἔστω δὲ κοινωνία τις περὶ τὸ ὄνομα, καὶ οὐκ ἔσται παρώνυμα, ὡς ἐπὶ τῆς ἀρετῆς καὶ τοῦ σπουδαίου· οὐδὲ γὰρ ἀπὸ τῆς ἀρετῆς λέγεται ἐνάρετος, 15
διότι οὐδὲ ἐν ὀνείρου ἴχνει τούτου οἱ παλαιοὶ μέμνηνται, ἀλλὰ τοὐναντίον καὶ κακόσημον ἴσασιν οἱ ποιηταὶ τὸ ὄνομα·

αἰναρέτη, τί σεῦ ἄλλος ὀνήσεται ὀψίγονός περ;

10 φησὶν Ὅμηρος ἀντὶ τοῦ ‘ὦ ἐπὶ κακῷ τὴν ἀρετὴν ἔχων’. ἀλλ' οὐδὲ ἀπὸ τῆς σπουδῆς ὁ σπουδαῖος. ἥτις ὁμοίως ἐπί τε κακίας καὶ ἀρετῆς λέγεται. 20
ὁ δὲ σπουδαῖος μόνος ὁ ἐνάρετος· ὥστε κατὰ μὲν τὴν φωνὴν ἐκ τοῦ σπουδή παρῆκται τὸ σπουδαῖος, κατὰ δὲ τὸ σημαινόμενον οὐκέτι, ἀλλ' ἐκ τῆς ἀρετῆς. * * διὰ δὲ τοῦ εἰπεῖν τὴν κατὰ τοὔνομα προσηγορίαν
15 ἔχει τὴν κοινωνίαν ἐδήλωσε τοῦ ὀνόματος. ἢ οὕτως· εἰρηκὼς ἀπό τινος 25
τὴν κατὰ τὸ πρᾶγμα κοινωνίαν καὶ ἑτερότητα ἐδήλωσεν· εἰ γὰρ ἀπό τινος, δῆλον ὅτι ἔχει τινὰ κοινωνίαν πρὸς ἐκεῖνο, εἰ δὲ ὅλως ἀπό τινος, δῆλον ὅτι καὶ διαφέρει· εἰ γὰρ μὴ διέφερεν, οὔτε ἀπό τινος ἐλέγετο, ἀλλ' αὐτὸ τὸ 30
πρᾶγμα. εἰπὼν δὲ διαφέροντα τῇ πτώσει ἐδήλωσε τὸν μετα|σχημα- 22v
20 τισμὸν τῆς τελευταίας συλλαβῆς. διδάσκει δὲ περὶ τῶν παρωνύμων ὁ Ἀριστοτέλης ὡς χρησιμευόντων καὶ αὐτῶν εἰς τὴν περὶ τῶν κατηγοριῶν διδασκαλίαν.

p. 1a16 Τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν λέγεται, τὰ δὲ ἄνευ συμπλοκῆς· τὰ μὲν οὖν κατὰ συμπλοκὴν οἷον ἄνθρωπος 5
25 τρέχει, ἄνθρωπος νικᾷ, τὰ δὲ ἄνευ συμπλοκῆς οἷον ἄνθρωπος, βοῦς, τρέχει, νικᾷ.

Ἐντεῦθεν εἰσβάλλει εἰς τὴν τῶν κατηγοριῶν διδασκαλίαν. ἀλλ' ἐπειδὴ τὸ τῆς κατηγορίας ὄνομα λέγεται καὶ ἐπὶ πραγμάτων καὶ νοημάτων καὶ 10

---

3 ἐπιστήμης Ammon.: om. CFa 4 πάλιν δὲ C 7 οὐδὲ om. C 8 καὶ om. a 9 αἰναρέτη . . .] Hom. Π 31 τίς CFa 10 φησὶν Ὅμηρος om. Ca τοῦ om. C ὦ om. Ca 11 τῆς] τοῦ F ἀρ. καὶ κακ. coll. F 12 ὁ (alterum) om. F 14 ante διὰ defectum signavi: ὁ Ἀριστοτέλης διὰ ταύτης τῆς ῥήσεως ᾐνίξατο τῶν τεσσάρων· διὰ μὲν γὰρ τοῦ εἰπεῖν ‘ἀπό τινος’ ἐσήμανεν ἡμῖν τὴν κοινωνίαν τοῦ πράγματος καὶ τὴν διαφοράν (τὰ γὰρ ἀπό τινος προελθόντα ἀνάγκη καὶ κοινωνεῖν καὶ διαφέρειν τούτου, ἐξ οὗ ἐστιν), διὰ δὲ τοῦ εἰπεῖν ‘διαφέροντα τῇ πτώσει’ ἐσήμανεν ἡμῖν τὴν ὀνομάτων διαφοράν, διὰ δὲ τοῦ εἰπεῖν ‘τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχει’ ἐδήλωσεν τὴν τοῦ ὀνόματος κοινωνίαν Olymp. κατ' οὔνομα CF 15 ἢ οὕτως—συλλαβῆς (20) in mrg. suppl. F post εἰρηκὼς add. ὅτι ἔχει τινὰ κοινωνίαν πρὸς ἐκεῖνο a 17 τινα] τὴν F post ἐκεῖνο add. καθὰ ἐξ αὐτοῦ a 18 οὔτε] οὐκ a: an οὐδὲ? 18. 19 ἀλλ'—πρᾶγμα om. Ca 21 ὡς om. a περὶ om. C 27 περὶ τῶν κατ. a 28 λέγεται om. a τῶν πρ. F

φωνῶν (λέγεται γὰρ καὶ αὐτὸ τὸ πρᾶγμα κατηγορία καὶ τὸ νόημα τὸ περὶ 22v
τοῦ πράγματος καὶ αὐτὴ ἡ φωνή), πρότερον παραδίδωσι τὴν τῶν φωνῶν
διαίρεσιν. εἰ δὲ ἐνταῦθα μὲν περὶ φωνῶν διαλέγεται καὶ φωνῶν οὐκ
ἀσήμων, μικρὸν δὲ ὕστερον περὶ πραγμάτων, ὅταν λέγῃ "τῶν ὄντων τὰ 15
5 μὲν καθ' ὑποκειμένου λέγεται", δῆλον ὅτι καὶ περὶ τῶν μεταξὺ νοημάτων
ποιεῖται τὸν λόγον· ὥστε καὶ ἐξ αὐτῶν τῶν ῥητῶν πρόδηλος ὁ τοῦ βιβλίου
σκοπός. διαιρεῖ δὲ τὰς φωνὰς εἴς τε τὰς ἁπλᾶς καὶ τὰς συνθέτους, καὶ
ἁπλᾶς μέν φησι τὰς ἁπλοῦν σημαινούσας πρᾶγμα, ἢ οὐσίαν ἢ ἐνέργειαν 20
ἢ πάθος, συνθέτους δὲ τὰς σύνθετόν τι σημαινούσας καὶ συμπλεκούσας
10 οὐσίαν ἐνεργείᾳ ἢ πάθει, ὡς Σωκράτης τρέχει (τοῦτο γὰρ σύνθετον) καὶ
Σωκράτης ἢ βοῦς (ταῦτα γὰρ ἁπλᾶ). οὐ πᾶσα δὲ ἁπλῆ φωνὴ ἁπλοῦν
πρᾶγμα σημαίνει, οὐδὲ σύνθετος διπλοῦν. σύνθετος μὲν οὖν φωνὴ ὡς τὸ 25
Ἄρειος πάγος καὶ Κόρακος πέτρα, ἀλλὰ τὸ ὑπ' αὐτῶν σημαινόμενον
ἁπλοῦν, φωνὴ δὲ ἁπλῆ ὡς τὸ τρέχω τρέχεις καὶ πάντα τὰ τοῦ πρώτου
15 καὶ δευτέρου προσώπου ῥήματα, καὶ τοῦ τρίτου ὅσα ἐπὶ ὡρισμένου προσώ-
που φέρονται, ὡς τὸ βροντᾷ καὶ ἀστράπτει καὶ ὕει (ὁ Ζεὺς | γὰρ δη- 23r
λονότι)· ταῦτα γὰρ πάντα τῇ φωνῇ ἁπλᾶ, τῷ δὲ σημαινομένῳ σύνθετα·
οὐσίαν γάρ τινα σημαίνει συμπεπλεγμένην ἐνεργείᾳ. φασὶ δὲ ἐπὶ τῶν τρί-
των προσώπων μὴ πάνυ ἐμφαίνεσθαι τὴν οὐσίαν διὰ τὴν ἀοριστίαν τοῦ
20 ῥήματος, διὸ μόνα τὰ ὡρισμένον πρόσωπον σημαίνοντα παρέλαβον. ἀλλ' 5
εἰ καὶ μὴ ὡρισμένην οὐσίαν τὰ τρίτα πρόσωπα τῶν ῥημάτων σημαίνει,
ἀλλ' οὖν πάντως οὐσίαν τινὰ δηλοῖ τὴν ἐνεργοῦσαν ἢ πάσχουσαν· ὥστε
πάντως τὰ τρίτα πρόσωπα τῶν ὁριστικῶν ῥημάτων φωνῇ μὲν ἁπλᾶ ἐστι
σημαινομένῳ δὲ σύνθετα· ὁ γὰρ λέγων 'τρέχει' ἢ 'νικᾷ' δῆλον ὅτι τινὸς 10
25 κατηγορεῖ τὸ νικᾶν ἢ τὸ τρέχειν. πάντως οὖν καὶ ἐν τοῖς τρίτοις ἡ οὐ-
σία συνεμφαίνεται, εἰ καὶ ἀορίστως. ὅμως γοῦν ὁ Ἀριστοτέλης διὰ τὸ μὴ
ὡρισμένως ἐμφαίνεσθαι τὴν οὐσίαν ὡς ἁπλᾶ τὰ τοιαῦτα παρείληφε. κυ- 15
ρίως δὲ ἁπλᾶ ἂν εἴη ῥήματα τὰ ἐνέργειαν μόνην ἢ πάθος δηλοῦντα,
ἄνευ τοῦ ἐνεργοῦντος ἢ πάσχοντος, οἷον τύπτειν τύπτεσθαι. οὐ δεῖ οὖν τῇ
30 συνθέσει ἢ τῇ ἁπλότητι τῶν φωνῶν τὰ ἁπλᾶ ἢ σύνθετα κρίνειν πράγματα,
ἀλλ' ἐξ αὐτῶν τῶν σημαινομένων. ἀλλὰ καὶ αὐτὰς τὰς φωνὰς κἂν σύν- 20
θετοι εἶεν, ἐὰν ἁπλοῦν πρᾶγμα σημαίνωσιν, ἁπλᾶς λεκτέον. ὁμοίως καὶ
τὰς ἁπλᾶς συνθέτους, ἐὰν σύνθετον σημαίνωσιν· εἰ μὲν γὰρ περὶ φωνῶν
μόνων διελεγόμεθα καὶ τοῦ ποσοῦ τῶν συλλαβῶν, εἰκότως κατὰ τὸ ποσὸν
35 τὴν σύνθεσιν ὡριζόμεθα, ὡς καὶ οἱ γραμματικοί, εἰ δὲ ὡς περὶ σημαινου- 25

4 λέγῃ] p. 1a20 5 καὶ om. Ca 7 διαιρεῖται a 8 φησι] φωνὰς C 9 καὶ συμπλεκούσας om. a 10 οὐσία a 12 σύνθετον (pr. l.) C 13 post πέτρα add. καὶ νέα πόλις a 15 ante ὅσα add. καὶ F 16 γὰρ om. F 17 τῇ μὲν a φωνῇ] προφορᾷ Ca 18 σημ. τινὰ coll. F φαμὲν C 18. 19 τριῶν a 19 ἀοριστότητα Fa 20 παρέλαβον scripsi: παρέλαβεν CF: παρελάβομεν a 22 δηλοῖ om. F (post πάσχ. add. δηλονότι): σημαίνει a 24 ἢ om. C 25 τὸ (alt.) om. Ca 26 ἐμφαίν. (superscr. συμ) C: ἐμφ. a εἰ καὶ] κἂν C οὖν C 28 ἂν ἁπλᾶ coll. C ante ἐνέρ. add. ἢ a 29 ἐνεργητοῦ Ca 32 ἐὰν] καὶ C σημαίνουσιν F 34 διαλεγ. F τὸ om. C 35 καὶ om. F

σῶν διαλεγόμεθα, κατὰ τὰ σημαινόμενα δεῖ κρίνειν καὶ τὰς φωνάς· τὸ 23r
γὰρ ἱππεύς οὐχ ἁπλοῦν τι δηλοῖ· σημαίνει γὰρ τόν τε ἵππον καὶ τὸν ἐπι-
καθήμενον ἄνθρωπον καὶ τὴν ἱππικὴν τέχνην. οὐχ ἁπλῆν οὖν λεκτέον
τὴν φωνὴν ἀλλὰ σύνθετον, ὡς καὶ τὸ Νεάπολις, ἐπειδὴ ἕν τι σημαίνει, 30
5 οὐ σύνθετον ἀλλ' ἁπλῆν. |

Τὸ δὲ λέγεται ἁρμόζει καὶ ἐπὶ τῶν πραγμάτων καὶ ἐπὶ τῶν νοη- 23v
μάτων καὶ ἐπὶ τῶν φωνῶν· λέγονται γὰρ καὶ τὰ πράγματα λέγεσθαι, ἀλλ'
ὡς σημαινόμενα, καὶ τὰ νοήματα ὁμοίως λέγεσθαι, ἀλλ' ὡς ἐξαγγελλόμενα,
λέγονται δὲ καὶ αἱ φωναὶ λέγεσθαι, ἀλλ' ὡς προφερόμεναι. 5

10 Διὰ ποίαν δὲ αἰτίαν τὰ κατὰ συμπλοκὴν προτάττει τῶν ἄνευ συμπλο-
κῆς; λέγομεν ὅτι ἀγαπητὸν τῇ ἀνθρωπίνῃ φύσει ἐκ τῶν ἀτελεστέρων καὶ
συνθέτων ἐπὶ τὰ ἁπλούστερα καὶ τελειότερα προϊέναι· τὰ γὰρ σύνθετα
μᾶλλον συνήθη ἡμῖν καὶ γνωριμώτερα. οὕτω γοῦν καὶ ὁ παῖς εἶραι μὲν 10
λόγον καὶ εἰπεῖν 'Σωκράτης περιπατεῖ' οἶδε· τοῦτον δὲ ἀναλῦσαι εἰς τὸ
15 ῥῆμα καὶ τὸ ὄνομα καὶ ταῦτα εἰς συλλαβὰς κἀκείνας εἰς τὰ στοιχεῖα οὐκ-
έτι. οὕτως οὖν καὶ ἡμεῖς ἄνθρωπον περιπατοῦντα ἰδόντες πρότερον ἔγνω-
μεν τὸ ὅλον τοῦτο, ἄνθρωπον περιπατοῦντα, καὶ οὕτως ἀναλύομεν αὐτὸν 15
εἰς οὐσίαν καὶ ἐνέργειαν. καὶ πῶς οὖν ἐλέγομεν ἀνωτέρω δεῖν ἄρχεσθαι
ἐκ τῶν ἁπλουστέρων, ὡς τῶν συνθέτων οὐ γνωσθησομένων μὴ προεγνω-
20 σμένων τῶν ἁπλῶν, καὶ διὰ τοῦτο δεῖν προηγεῖσθαι τὴν τῶν ἁπλῶν φωνῶν
διδασκαλίαν τῆς τῶν συλλογισμῶν; λέγομεν οὖν ὅτι ἐφ' ὧν ὁμοίως ἀγνο- 20
οῦνται καὶ τὰ ἁπλᾶ καὶ τὰ σύνθετα, δέον ἐκ τῶν ἁπλουστέρων ἄρχεσθαι·
ἐκεῖ μὲν γὰρ ὁμοίως καὶ ὁ συλλογισμὸς ἠγνοεῖτο καὶ αἱ ἁπλαῖ φωναί, ἐν-
ταῦθα δὲ γνωριμώτερα τὰ συνθετώτερα, διὸ ἐκ τῶν γνωριμωτέρων ἄρχε-
25 σθαι δεῖ τῆς διδασκαλίας· ὥστε ἐκεῖ μὲν ἐλέγομεν ἐκ τῶν ἁπλουστέρων 25
ἄρχεσθαι διὰ τὸν τρόπον τῆς διδασκαλίας, ἐνταῦθα δὲ ἐκ τῶν συνθε-
τωτέρων διὰ τὸν τρόπον τῆς γνώσεως. ἔστι δὲ καὶ ἄλλη αἰτία τοῦ προ-
τετάχθαι ἐνταῦθα τῶν ἁπλῶν τὰ σύνθετα· ἐπειδὴ γὰρ τὰ ἄνευ συμπλοκῆς
μέλλει διαιρεῖν, διὰ τοῦτο ὕστερον ταῦτα εἶπεν, ἵνα | εὐθέως αὐτῶν ποιή- 24r
30 σηται τὴν διδασκαλίαν. μέλλει δὲ ταῦτα διαιρεῖν, ὅταν εἴπῃ "τῶν ἄνευ
συμπλοκῆς λεγομένων". ἐξεπίτηδες δὲ ἐπὶ τούτων δύο ὀνόματα τάττει
καὶ δύο ῥήματα ἐφεξῆς, ἵνα μή τις ὕστερον παρακολουθήσῃ πλάνῃ.

---

1 τὸ σημαινόμενον a δεῖ κρ.] διακρ. C 8 ὁμοίως om. Ca 10 δὲ] οὖν a
11 ante λέγ. add. καὶ Ca 12 τελεώτερα C 13 εἶραι] οἶδε C 14 καὶ om. C
οἶδε — δὲ] οἶδε δὲ οὐκέτι τοῦτο (sic) C 14. 15 εἰς ὄνομα καὶ ῥῆμα a
15 κἀκεῖνα Fa τὰ om. Ca 15. 16 οὐκέτι om. C 16 ἰδόντες om. C
17 αὐτὸν om. C 18 καὶ (alterum) om. C ἐλέγ. ἀνωτέρω] p. 12,28 19 ἐκ]
ἀπὸ a 20 δεῖ C 21 τῆς τῶν συλλ. om. F (τῆς τῶν συνθέτων in mrg. suppl.)
21. 22 ἀγν.] ἄδηλα F 29 ταῦτα ὕστ. coll. a 30 ταῦτα] αὐτὰ F εἴπῃ]
p. 1b25 30. 31 κατὰ μηδεμίαν συμπλοκὴν Arist. 32 παρακολουθήσει F

p. 1a20 Τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου τινὸς λέγεται, 24r
ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστιν.

Μέλλων τὴν εἰς δέκα διαίρεσιν τῶν πραγμάτων ἡμῖν παραδοῦναι πρότερον ἐκτίθεται τὴν εἰς τέσσαρα τούτων διαίρεσιν· παραδοὺς γὰρ πρότερον τὴν εἰς δύο τῶν φωνῶν διαίρεσιν πρόεισιν ἐπὶ τὴν τετραδικὴν ταύτην τομὴν εἰκότως· ὁ γὰρ δύο ἀριθμὸς ἐφ' ἑαυτοῦ πολυπλασιαζόμενος ποιεῖ τὸν τέσσαρα. μετὰ δὲ ταύτην τὴν διαίρεσιν παραδώσει τὴν εἰς δέκα· ὁ γὰρ ἀπὸ μονάδος ἀρχόμενος ἀριθμὸς συντιθέμενος μέχρι τοῦ τέσσαρα ποιεῖ τὸν δέκα· α' β' γ' δ', καὶ γίνονται δέκα. ἄλλως τε ἐνταῦθα μὲν συμπεπλεγμένην τὴν τῶν πραγμάτων ποιεῖται διαίρεσιν (συμπλέκει γὰρ τὸ καθόλου τῇ οὐσίᾳ καὶ τῷ συμβεβηκότι, ὁμοίως δὲ καὶ τὸ μερικὸν τοῖς αὐτοῖς), ἐκεῖ δὲ κατὰ ἄρθρα καὶ ἁπλουστάτην ποιεῖται τὴν τομὴν μηδὲν μηδενὶ συμπλέκων, ἀλλ' ἕκαστον ὅπως ἔχει φύσεως διδάσκων, ἰδίᾳ μὲν περὶ τῆς οὐσίας, ἰδίᾳ δὲ καὶ οὐ κοινῶς περὶ τῶν συμβεβηκότων ἑκάστου. κατὰ διαφόρους οὖν ἐπιβολὰς τῆς τῶν ὄντων γινομένης διαιρέσεως εἰκότως καὶ τὰ τῆς διαιρέσεως τμήματα διάφορα γέγονεν. ἔστιν οὖν ἡ προκειμένη τῶν ὄντων διαίρεσις τοιαύτη· τῶν ὄντων, φησί, τὰ μέν ἐστιν οὐσίαι τὰ δὲ συμβεβηκότα, πάλιν τῶν ὄντων τὰ μέν ἐστι καθόλου τὰ δὲ μερικά. τεσσάρων οὖν τούτων ὄντων τμημάτων καὶ σύνδυο λαμβανομένων ἐκ τῆς τού- 24v
των συμπλοκῆς γίνονται συζυγίαι ἕξ, δύο μὲν ἀνυπόστατοι, αἱ τὰ ἐναντία ζευγνύουσαι, αἱ δὲ λοιπαὶ τέσσαρες συνιστάμεναι· τῶν γὰρ ὄντων τὰ μέν εἰσι καθόλου οὐσίαι τὰ δὲ καθόλου συμβεβηκότα, καὶ τὰ μὲν μερικαὶ οὐσίαι τὰ δὲ μερικὰ συμβεβηκότα, ὡς τὸ ὑποκείμενον ἔχει διάγραμμα·



1 λέγ. τινος coll. C 6 ἑαυτὸν Ca 7 τὴν διαιρ. ταύτην coll. F 8 ἀριθ. ἀρχ. coll. C 9 γίνεται Fa 9. 10 συμπλεκομένην F 10 τὴν om. a ante ποιεῖται add. ταύτην Fa 12 τομὴν scr. supra διαίρεσιν F 14 prius περὶ om. F οὐ om. F ἑκάστῳ a 15. 16 εἰκότως — διαιρέσεως om. F 17 οὐσία Ca 18 καὶ πάλιν F 20 ἀσύστατοι a 22. 23 καὶ τὰ — συμκεβηκότα om. C 23 figuram recepi ex F, nisi quod quater συνίσταται addidit. codex C ad angulos exhibet

ἀλλ' εἰ μὲν ταύταις ταῖς φωναῖς ἐχρήσατο ὁ Ἀριστοτέλης, σαφὲς ἂν ἦν τὸ λεγόμενον, ὁ δὲ τὴν ἀσάφειαν ἐπιτηδεύων διὰ τὴν εἰρημένην αἰτίαν ἑτέροις ἐχρήσατο ὀνόμασιν, οἰκειοτέροις μὲν τῇ τῶν σημαινομένων φύσει, ἀσυνήθεσι δὲ τοῖς πολλοῖς καὶ ταύτῃ ἀσαφεστέροις. τὸ μὲν οὖν συμβεβηκὸς καλεῖ ἐν ὑποκειμένῳ, τὴν δὲ οὐσίαν οὐκ ἐν ὑποκειμένῳ, τὸ δὲ καθόλου καθ' ὑποκειμένου, τὸ δὲ μερικὸν οὐ καθ' ὑποκειμένου. καὶ διὰ τί μὲν τὸ συμβεβηκὸς καλεῖ ἐν ὑποκειμένῳ, δῆλον (αὐτὸ γὰρ καθ' αὑτὸ ὑποστῆναι οὐ δύναται, δέεται δὲ ἄλλου πρὸς ὕπαρξιν, τοῦτ' ἔστιν οὐσίας). τὴν δὲ οὐσίαν οὐκ ἐν ὑποκειμένῳ (οὐ γὰρ δέεται ἑτέρου πρὸς ὕπαρξιν), τὸ δὲ καθόλου καθ' ὑποκειμένου, διότι δέεται τῶν μερικῶν οὐ πρὸς ὕπαρξιν ἀλλὰ πρὸς κατηγορίαν (μὴ γὰρ ὄντων τῶν μερικῶν οὐκ ἔχει τὸ καθόλου κατά τινος κατηγορηθῆναι), τὸ δὲ μερικὸν οὐ καθ' ὑποκειμένου. διότι τὰ κατὰ μέρος κατ' οὐδενὸς ἄλλου κατηγορεῖται.

Διὰ τί τὴν οὐσίαν ἐκάλεσεν οὐκ ἐν ὑποκειμένῳ καὶ μὴ ὑποκείμενον, εἴ γε ὑπόκειται τοῖς συμβεβηκόσι πρὸς ὕπαρξιν; ἐροῦμεν οὖν πρὸς τοῦτο ὅτι πρῶτον μὲν οὐ πᾶσα οὐσία ἐστὶν ὑποκείμενον· οὐ γὰρ δήπου ἡ θεία οὐσία ἐστὶν ὑποκείμενον· οὐδὲν γὰρ αὐτῇ συμβέβηκεν· οὐκοῦν οὐκ ἂν κληθείη ὑποκείμενον. εἰ οὖν κοινῶς ὠνόμασε τὴν οὐσίαν ὑποκείμενον, οὐ συμπεριέλαβε τὴν θείαν οὐσίαν. δεύτερον δὲ ὃ καὶ μάλιστα κυριωτάτη ἐστὶν αἰτία, διότι τῶν διαιρέσεων εἰς τὰ ἀντικείμενα γινομένων αἱ μέν εἰσι φυκταὶ αἱ δὲ ἄφυκτοι, καὶ φυκταὶ μὲν αἱ εἰς τὰ ἐναντία γινόμεναι ἄφυκτοι δὲ αἱ κατὰ ἀντίφα|σιν· ἐπειδὴ γὰρ τῶν ἐναντίων τὰ μὲν ἐστιν 25v ἔμμεσα τὰ δὲ ἄμεσα, ἀνάγκη τὴν εἰς τὰ ἐναντία γινομένην διαίρεσιν ἐπὶ τῶν ἐμμέσων μὴ ἄφυκτον εἶναι. ἔμμεσα δέ ἐστιν ἐναντία οἷον λευκὸν καὶ μέλαν, ὑγεία καὶ νόσος· ἔστι γὰρ μεταξὺ λευκοῦ καὶ μέλανος τὸ φαιὸν τὸ ἐρυθρὸν καὶ πάντα τὰ ἄλλα χρώματα. μεταξὺ δὲ ὑγείας καὶ νόσου τὸ παρὰ τοῖς ἰατροῖς λεγόμενον οὐδέτερον· τὰς γὰρ ἐκ νόσου ἀναλήψεις οὔτε ὑγείας εἶναί φασιν (οὐ γὰρ τὰ τῶν ὑγιαινόντων ἐνεργοῦσιν) οὔτε νόσους (τῆς γὰρ νοσοποιοῦ αἰτίας ἀπηλλαγμένοι εἰσὶν οἱ ἀναλαμβάνοντες)· οὐκοῦν μέσον τί ἐστι νόσου καὶ ὑγείας ἡ ἀνάληψις. ἄμεσα δὲ τὸ περιττὸν καὶ τὸ ἄρτιον, εἴπερ ὅλως ὡς ἐναντία ταῦτα ἀντίκειται (ἐδείξαμεν γὰρ ἡμεῖς ἐν ἄλλοις ὅτι οὐκ ἔστιν ἐναντία), πάλιν τὸ λογικὸν καὶ τὸ ἄλογον ἀμέσως ἀντίκεινται, οὐδ' αὐτὰ ἐναντία ὄντα. ὥστε τὰ κυρίως ἐναντία πάντα ἐστὶν

καθ' ὑποκειμένου, οὐ καθ' ὑποκειμένου, ἐν ὑποκειμένῳ, οὐκ ἐν ὑποκειμένῳ, ad lineas συμβεβηκότα καθόλου, ⟨μερικαὶ⟩ οὐσίαι, μερικὰ συμβεβηκότα, αἱ καθόλου οὐσίαι; cum F levibus neglectis congruit a 1 post φωναῖς add. αἷς ἡμεῖς a 1. 2 σαφὲς—λεγ.] καθόλου οὐσίαν, καθόλου συμβεβηκός, μερικὴν οὐσίαν, μερικὸν συμβεβηκός, πραγμάτων ἐν ἡμεν [illegible] γέντες, ὡς σαφοῦς ὄντος τοῦ λεγομένου a 1 ἦν ἂν coll. F 2 εἰρ. αἰτίαν] p. 6,22 3 οἰκειοτέρων F 5 καλῶν C 7 μὲν om. C 8 οὐ δύν.] ἀδύνατον F δεῖται (ubique) a 9 τὴν δὲ οὐσίαν om. F alt. οὐ] οὐδὲ a 12 κατηγορηθήσεται F 13 κατηγοροῦνται a 15 οὖν om. C 17 ἐν αὐτῇ Ca 17. 18 οὐκ ἂν οὖν (οὐκοῦν om.) C 19 οὐ suppl. F² συμπεριελάμβανε Ca 22 εἰσιν C 28 τῶν om. Ca 29 ἀναλαμβανόμενοι a 31 τὸ om. a ὅλως om. F 21. 32 ἐδείξαμεν . . ἐν ἄλλοις] quibus locis nescio 32 ἄλλω F 33 ἀντίκειται Fa

ἔμμεσα. εἴ τις οὖν εἰς τὰ ἐναντία διέλοι τὰ ὄντα λέγων τῶν ὄντων τὰ 25v
μὲν εἶναι λευκὰ τὰ δὲ μέλανα, ἀνάγκη διαφεύγειν αὐτὸν πάντα τὰ ἐν
μέσῳ χρώματα, οὐ μόνον δὲ ἀλλὰ καὶ τὰς οὐσίας τὰς ἀνεπιδέκτους χρω-
μάτων, οἷον ἀέρα ψυχὴν ἄγγελον. ἀλλ' οὐδὲ αἱ εἰς τὰ λοιπὰ τῶν ἀντι- 20
5 κειμένων εἴδη διαιρέσεις τὸ ἄφυκτον ἔχουσι, πλὴν τῶν κατὰ ἀντίφασιν
μόνων γινομένων, οἷον εἴ τις λέγοι τῶν ὄντων τὰ μὲν εἶναι δεξιὰ τὰ δὲ
ἀριστερά, ἢ τὰ μὲν δεσπότας τὰ δὲ δούλους, τὰ μὲν πατέρας τὰ δὲ 25
υἱούς· ἔστι γὰρ ἃ καὶ τούτων οὐδέν ἐστιν. ἀλλὰ μὴν οὐδὲ εἰ κατὰ στέ-
ρησιν καὶ ἕξιν ἡ διαίρεσις γίνοιτο, οἷον εἴ τις λέγοι τῶν ὄντων τὰ μὲν
10 τυφλὰ εἶναι τὰ δὲ βλέποντα, ἢ τὰ μὲν σοφὰ τὰ δὲ ἄσοφα· ἕξις γὰρ καὶ
στέρησις ἐπὶ τῶν δεκτικῶν μόνων λέγεται, τὸ δὲ τὴν ἕξιν μὴ πεφυκὸς
δέχεσθαι οὐδὲ ἐστερῆσθαι λέγεται ταύτης. ὥστε οὐ | πάντα τὰ ὄντα 26r
διαιρεῖ ἡ ἕξις καὶ ἡ στέρησις, χωρὶς εἰ μὴ ἰσοδυναμοίη ἐπί τινων τῇ ἀν-
τιφάσει. ὡς ἔχει τὸ σῶμα καὶ ἀσώματον· οὐδὲν γάρ ἐστι τούτων μεταξύ·
15 ταὐτὸν γὰρ δύναται τῇ ἀποφάσει τῇ οὐ σῶμα τὸ ἀσώματον. μόνως οὖν
ἡ κατὰ ἀντίφασιν διαίρεσις (οἷον εἴ τις λέγοι τῶν ὄντων τὰ μὲν εἶναι λευκὰ 5
τὰ δὲ οὐ λευκά) πάντα τὰ ὄντα περιλαμβάνει· καὶ γὰρ τὸ φαιὸν οὐ λευ-
κόν, καὶ τὸ ξανθὸν καὶ τὸ ἐρυθρὸν ὁμοίως, ἀλλὰ καὶ ψυχὴ οὐ λευκὴ καὶ
ἄγγελος οὐ λευκός· οὐδὲ γὰρ ὅλως χρῶμα πέφυκεν ὑποδέχεσθαι. καὶ ὁ 10
20 Πλάτων δὲ τὴν διαιρετικὴν ἐξυμνεῖ μέθοδον τὴν κατὰ ἀντίφασιν γινομένην·
οὐδὲν γάρ, φησί, τῶν ὄντων καυχήσεται αὐτὴν ἐκφυγεῖν. διὰ τοῦτο τοί-
νυν καὶ ὁ Ἀριστοτέλης εἰρηκὼς τὸ συμβεβηκὸς ἐν ὑποκειμένῳ διὰ τῆς
τούτου ἀποφάσεως ἐσήμανε τὴν οὐσίαν, εἰρηκὼς αὐτὴν οὐκ ἐν ὑποκει- 15
μένῳ, ἵνα πᾶσαν οὐσίαν περιλάβῃ.

25 Πρὸς τούτοις ἐροῦμεν ὅτι τὸ ὑποκείμενον διττόν, τὸ μὲν πρὸς ὕπαρ-
ξιν ὑποκείμενον τὸ δὲ πρὸς κατηγορίαν· πρὸς ὕπαρξιν μὲν ἡ οὐσία (αὕτη
γὰρ ὑπόκειται πρὸς ὕπαρξιν τοῖς συμβεβηκόσι), πρὸς κατηγορίαν δὲ τὰ
μερικά· ταῦτα γὰρ ὑπόκειται πρὸς κατηγορίαν τοῖς καθόλου, οὐ πρὸς ὕπαρ- 20
ξιν· οὐ γὰρ δέονται τὰ καθόλου τῶν μερικῶν, ἵνα ὑποστῶσιν, ἀλλ' ἵνα
30 ἔχωσι καθ' ὧν κατηγορηθήσονται. τοὐναντίον δὲ τὰ μερικὰ δέονται τῶν
καθόλου, οὐ πρὸς κατηγορίαν, ἀλλὰ πρὸς ὕπαρξιν· οὐκ ἂν γὰρ εἴη Σωκρά-
της καὶ Πλάτων μὴ ὄντος τοῦ ἁπλῶς ἀνθρώπου. τῶν δὲ πρὸς κατηγορίαν 25
ὑποκειμένων τὸ μέν ἐστιν οὐσία τὸ δὲ συμβεβηκός· ὑπόκειται γὰρ καὶ ἡ με-
ρικὴ οὐσία τῇ καθόλου πρὸς κατηγορίαν, ὡς εἴρηται, ὡς Σωκράτης τῷ ἁπλῶς

---

2 αὐτῶν F 2. 3 ἐν μέσῳ] ἔμμεσα F 3 τὰς ἀνεπιδ. (οὐσίας τὰς om.) C: τὰς ἀνεπιδ. οὐσ. a 3. 4 τῶν χρ. a 4 αἱ εἰς] εἰ C 6 λέγει F¹ 7 alt. μὲν] δὲ a 9 γένοιτο C 10 ἐμβλέπ. C 11 λέγ. μόνων coll. C 12 ταύτης λέγ. coll. Ca 14 τὸ ἀσώμ. a 16 εἰσὶ C 18 ἡ ψυχὴ a 19 ὑποδέξασθαι F 21 φησί om. Fa (cf. Plat. Soph. p. 235 C) ἐκφυγ.] καὶ φυγεῖν a 24 παραλάβῃ a 26 ὑποκείμενον om. F 27 ὑπόκεινται C πρὸς κατηγορίαν om Ca 28. 29 οὐ — ὕπαρ.] ἀλλ' οὐ πρὸς κατηγορίαν C 29 οὐδὲ γὰρ a καθολικὰ Ca 30 κατηγορῶνται C: κατηγοροῦνται a 31 ante οὐ πρὸς add. ἀλλ' C 34 ὡς εἴρηται] v. 27

ἀνθρώπῳ καὶ τῷ ἁπλῶς ζῴῳ, καὶ τὸ μερικὸν συμβεβηκὸς τῷ καθόλου, 26r
ὡς τὸ ἐν τῷδε τῷ λίθῳ λευκὸν τῷ ἁπλῶς λευκῷ καὶ τῷ χρώματι· λέ- 30
γομεν γὰρ καὶ | τόνδε τὸν λίθον λευκὸν εἶναι καὶ τὸ ἁπλῶς λευκὸν χρῶμα 26v
εἶναι. ἐπειδὴ οὖν ὡσαύτως ἑκάτερον λέγεται ὑποκείμενον, εἰ εἶπε 'τῶν
5 ὄντων τὰ μὲν ἐν ὑποκειμένῳ τὰ δὲ ὑποκείμενα', περιέλαβεν ἂν καὶ τὰ
μερικὰ συμβεβηκότα, ἅτινα καὶ αὐτὰ ὑποκείμενά ἐστιν, εἰ καὶ μὴ πρὸς 5
ὕπαρξιν, ἀλλὰ πρὸς κατηγορίαν· βούλεται δὲ διὰ τοῦ εἰπεῖν οὐκ ἐν ὑπο-
κειμένῳ τὴν πρὸς ὕπαρξιν ὑποκειμένην οὐσίαν εἰπεῖν καὶ ἀντιδιαστεῖλαι
αὐτὴν τοῖς συμβεβηκόσι. τῶν δὲ δύο διαιρέσεων τούτων ἡ μέν ἐστιν ἀπὸ
10 τοῦ τρόπου τῆς ὑπάρξεως ἡ δὲ ἀπὸ τοῦ τρόπου τῆς κατηγορίας, καὶ ἀπὸ 10
τοῦ τρόπου τῆς ὑπάρξεως ἡ λέγουσα τῶν ὄντων τὰ μὲν εἶναι ἐν ὑποκει-
μένῳ τὰ δὲ οὐκ ἐν ὑποκειμένῳ, ἀπὸ τοῦ τρόπου δὲ τῆς κατηγορίας ἡ λέ-
γουσα τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου τὰ δὲ οὐ καθ' ὑποκειμένου
λέγεται· τὰ μὲν γὰρ εἶναί φησι κατηγορούμενα τὰ δὲ ὑποκείμενα πρὸς 15
15 κατηγορίαν. καὶ σκόπει τὴν ἀκρίβειαν τοῦ Ἀριστοτέλους, πῶς ἐπὶ μὲν τῆς
σημαινούσης τὸν τρόπον τῆς ὑπάρξεως εἶπε τὸ ἐστίν, ἐπὶ δὲ τῆς σημαινού-
σης τὸν τρόπον τῆς κατηγορίας εἶπε τὸ λέγεται· * * * ἀντὶ τοῦ κατηγορεῖ-
ται, ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστιν ἀντὶ τοῦ 'οὐκ ἐν ἑτέρῳ ὑπάρχει'. 20
τῶν δὲ τεσσάρων συζυγιῶν προτάττει τὴν καθόλου οὐσίαν ὡς τιμιωτέραν
20 καὶ ὅτι κατὰ τὰ καθόλου ἐπιστήμονες γινόμεθα· ἐν γὰρ τοῖς κατὰ μέρος
οὐδὲν διαφέρομεν τῶν ἀλόγων ζῴων, ἔνια δὲ αὐτῶν καὶ ὀξυτέρας ἡμῶν
ἔχουσι τὰς αἰσθήσεις, αἷς τῶν κατὰ μέρος ἀντιλαμβανόμεθα. ἔπειτα δευ- 25
τέραν τίθησι τὴν ἀντικειμένην ταύτῃ, ἔστι δὲ τὸ μερικὸν συμβεβηκός·
ἀντίκειται γὰρ τῇ μὲν οὐσίᾳ τὸ συμβεβηκὸς τῷ δὲ καθόλου τὸ μερικόν.
25 εἶτα προετίμησε τὸ καθόλου συμβεβηκὸς τῆς μερικῆς οὐσίας, διότι περὶ
τῶν καθόλου τοῖς φιλοσόφοις ὁ λόγος. | 30

p. 1a24 Ἐν ὑποκειμένῳ δὲ λέγω, ὃ ἔν τινι μὴ ὡς μέρος ὑπάρ- 27r
χον ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστιν.

Ἐπειδὴ ᾔσθετο ἑαυτοῦ ὁ φιλόσοφος φωναῖς τισι χρησαμένου ἀγνώ-
30 στοις ἡμῖν ἐκ τῆς συνηθείας, τῷ τε καθ' ὑποκειμένου καὶ οὐ καθ' ὑπο-
κειμένου καὶ ἐν ὑποκειμένῳ καὶ οὐκ ἐν ὑποκειμένῳ, βούλεται λοιπὸν δι- 10
δάξαι ἡμᾶς περὶ αὐτῶν. ἐξηγεῖται δὲ οὐ πάσας, ἀλλὰ τὰς δύο μόνας, τήν
τε ἐν ὑποκειμένῳ καὶ τὴν καθ' ὑποκειμένου· τούτων γὰρ γνωσθεισῶν δήλη
ἔσται καὶ ἡ τῶν λοιπῶν σημασία· ὁ γὰρ εἰδὼς τί ἐστι τὸ ἐν ὑποκειμένῳ

---

1 καὶ (ante τὸ) om. a 2 τῷ (tert.) om. C post χρώματι add. καὶ τὸ ἁπλῶς λευκὸν τῷ χρώματι F 5 περιελάμβανε F 6 εἰσιν a post εἰ καὶ iter. συμβ.—εἰ καὶ F 7 τοῦ] τὸ a 10. 11 ἡ δὲ—ὑπάρξεως om. F 11 τρόπου μέν a τῶν ὄντων om. F 14 φασι C 17 ante ἀντὶ suppleveris φησὶ γὰρ καθ' ὑποκειμένου τινὸς λέγεται 20 καθολικὰ Ca post γιν. add. τῶν μερικῶν a 21. 22 ἔχ. ἡμῶν coll. F 27 λέγεται F 29 ὁ φιλ. ἐ. coll. a 34 σημ.] γυμνασία F τὸ] τῷ F

εἴσεται καὶ τί ἐστι τὸ οὐκ ἐν ὑποκειμένῳ, καὶ ὁ ἐγνωκὼς τὸ καθ' ὑποκει- 27r
μένου οἶδε καὶ τὸ οὐ καθ' ὑποκειμένου. καὶ πρότερον διδάσκει περὶ τοῦ
ἐν ὑποκειμένῳ, καὶ διδάσκει δι' ὁρισμοῦ· οἱ γὰρ ὁρισμοί, ὡς πολλάκις εἴ-
πομεν, παριστῶσιν ἡμῖν τὴν τῶν πραγμάτων φύσιν. τοῦ δὲ ὁρισμοῦ ἐκ
5 γένους ὄντος καὶ τῶν συστατικῶν διαφορῶν παραλαμβάνει ἐνταῦθα ὁ 20
Ἀριστοτέλης τὸ μὲν ἔν τινι ἀναλογοῦν γένει, τὰ δὲ λοιπὰ ὡς διαφοράς·
λέγεται γὰρ τὸ ἔν τινι ἐνδεκαχῶς· ἢ ὡς μέρος ἐν ὅλῳ, ὡς λέγεται ἡ χεὶρ
ἐν ὅλῳ τῷ σώματι εἶναι, ἢ ὡς ὅλον ἐν τοῖς μέρεσιν, ὥσπερ λέγεται ἡ 25
ὁλότης τοῦ σώματος ἐν κεφαλῇ εἶναι καὶ χερσὶ καὶ τοῖς ἄλλοις (οὐ λέγε-
10 ται δὲ ἐν μέρει τὸ ὅλον, ἀλλ' ἐν μέρεσι, διότι ἡ ὁλότης οὐκ ἐν ἑνὶ μέρει
ἀλλ' ἐν πᾶσι θεωρεῖται· ἑνὸς γοῦν τῶν μερῶν ἀφαιρεθέντος κολοβὸν τὸ
ὅλον γίνεται καὶ οὐκ ἂν κληθείη ὅλον), ἢ ὡς εἶδος ἐν γένει, ὡς λέγομεν 30
τὸν ἄνθρωπον ἐν τῷ ζῴῳ εἶναι, | ἢ ὡς γένος ἐν εἴδει, ὡς ἐν τῷ ἀνθρώ- 27v
πῳ τὸ ζῷον (οὐκ ἀναγκαῖον δὲ ἐνταῦθα λέγειν τὸ γένος ἐν τοῖς εἴδεσιν,
15 ὡς ἐλέγομεν τὸ ὅλον ἐν τοῖς μέρεσιν· ἡ μὲν γὰρ ὁλότης οὐκ ἐξῄρηται
τῶν μερῶν ἀλλ' ἐν αὐτοῖς ἔχει τὸ εἶναι, τὸ μέντοι γένος ἐξῃρημένην 5
ἔχει τὴν οὐσίαν καὶ ὅλον ἐν ἑκάστῳ γίνεται εἴδει), ἢ ὡς ἐν χρόνῳ, ὡς
λέγομεν ἐν τῷδε τῷ χρόνῳ γεγονέναι τὰ Ἰλιακά, ἢ ὡς ἐν τόπῳ, ὡς λέγο-
μεν ἐν Λυκείῳ ἢ ἐν ἀγορᾷ, ἢ ὡς ἐν ἀγγείῳ, ὡς ὁ οἶνος ἐν κεράμῳ ἢ
20 οἱ πυροὶ ἐν μεδίμνῳ (ἰσοστροφοῦσι δέ πως ὅ τε τόπος καὶ τὸ ἀγγεῖον· τόν 10
τε γὰρ τόπον ἐρεῖς ἀμεταφόρητον ἀγγεῖον καὶ τὸ ἀγγεῖον τόπον περιφορη-
τόν), ἢ ὡς εἶδος ἐν ὕλῃ, ὡς τὸ τοῦ ἀνδριάντος εἶδος ἐν τῷ χαλκῷ, ἢ
ὡς τὰ τῶν ἀρχομένων ἐν τῷ ἄρχοντι, ὡς λέγομεν τὰ πράγματα τῶν πο-
λιτῶν ἐν τῷ ἄρχοντι κεῖσθαι, ἢ ὡς ἐν τέλει, ὡς λέγομεν τὸν ἰατρὸν ἐν τῇ 15
25 ἰατρικῇ ἔχειν τὰς ἐλπίδας ἢ τὸν στρατιώτην ἐν τῇ στρατείᾳ, ἢ ὡς ἐν
ὑποκειμένῳ, ὡς τὸ συμβεβηκὸς ἐν οὐσίᾳ. τοῦτο οὖν τὸ ἔν τινι παραλαμ-
βάνει ὁ Ἀριστοτέλης ὡς γένος κατὰ πλειόνων λεγόμενον. προστίθησι δὲ
ὡς διαφορὰς τὰ ἑξῆς, ἵνα διακρίνῃ αὐτὸ τῶν ἄλλων, καθ' ὧν τὸ ἔν τινι 20
κατηγορεῖται. καὶ διὰ μὲν τοῦ εἰπεῖν μὴ ὡς μέρος ὑπάρχον διακρίνει
30 αὐτὸ τοῦ τε ὡς μέρους ἐν ὅλῳ ὑπάρχοντος καὶ τοῦ ὡς εἴδους ἐν γένει (καὶ
γὰρ τοῦτο δοκεῖ πως ὡς μέρος εἶναι τοῦ ὅλου ζῴου καὶ τὸ ζῷον ὅλον τι
εἶναι· καὶ τοῦτο καὶ ὁ Πορφύριος ἐν ταῖς Εἰσαγωγαῖς φησιν, ὅτι τριῶν 25

1. 2 καὶ (post εἴσ. et οἶδε) om. Ca 3 ἐν ὑποκειμένου F 3. 4 πολλάκις εἴπομεν] p. 14,6 sq., atque etiam suum in Porph. Isag. comment. spectare videtur 4 post φύσιν add. ὡς ἐκ γένους ὄντες καὶ τῶν συστατικῶν διαφορῶν a 5 τῶν om. C 6 ὡς διαφ.] διαφοραῖς Ca 7 γὰρ] δὲ F 8 εἶναι τῷ σ. coll. F: εἶναι τῷ σ. καὶ ἡ κεφαλή a 9 ἐν χερσὶ a 10 τὸ ὅλον ἐν μ. coll. C 12 γίν.] εἶναι βούλεται a 14 τὸ λέγ. coll. F γένος a: ζῷον C: om. F 15 λέγομεν a 18 γέγονε a 19 ἐν (ante ἀγγ.) om. C 20 οἱ om. Ca πυρροὶ C 21 ἀκίνητον καὶ ἀμεταφ. a καὶ τὸ] τὸ δὲ a κινούμενον καὶ περιφ. a 24 τελικῷ αἰτίῳ a 25 στρατείᾳ] στρατιᾷ Ca 28 post ἄλλων add. χωρίσῃ (διακρίνῃ om.) C 30 τε om. F μέρος Ca εἴδους scripsi: εἶδος libri (cf. p. 34, 29) 31 αὐτοῦ τοῦ ὅλ. a 32 καὶ (post τοῦτο) om. a ὁ Πορφ. ἐν ταῖς Εἰσ.] p. 8, 1. 2

ὄντων τούτων, ⟨τῶν⟩ γενικωτάτων γενῶν καὶ τῶν εἰδικωτάτων εἰδῶν καὶ 27v
τῶν ὑπαλλήλων, τὸ μὲν γενικώτατον μόνως ἐστὶν ὅλον, τὸ δὲ εἰδικώτατον
μόνως μέρος, τὸ δὲ ὑπάλληλον καὶ ὅλον καὶ μέρος, ἀλλὰ μέρος μὲν ἄλλου,
ὅλον δὲ οὐκ ἄλλου ἀλλ' ἐν ἄλλοις), διὰ δὲ τοῦ εἰπεῖν ἀδυνάτον χωρὶς 30
5 εἶναι τοῦ ἐν | ᾧ ἐστι τῶν λοιπῶν ἐχώρισε. 28r

Κακίζουσι δέ τινες τὸν ὁρισμὸν τοῦτον, οἱ μὲν ἐκ τοῦ πλεονάζειν οἱ
δὲ ἐκ τοῦ ἐλλείπειν· αὕτη γὰρ κακία ὁρισμοῦ τὸ μὴ ἀντιστρέφειν πρὸς τὸ
ὁριστὸν ἀλλ' ἢ πλείονα περιλαμβάνειν ἢ ἐλάττονα. καὶ οἱ μὲν πλεονάζειν 5
λέγοντές φασι μὴ μόνα τὰ συμβεβηκότα περιλαμβάνειν τὸν ὁρισμὸν ἀλλὰ
10 καὶ τὰ σώματα· φασὶ γὰρ ὅτι ὁ Σωκράτης ἐν τόπῳ ὢν καὶ ἐν χρόνῳ ἔν
τινί ἐστι, καὶ οὐχ ὡς μέρος ἐν ὅλῳ (οὐ γὰρ μέρος ἐστὶ τοῦ τόπου ἢ τοῦ
χρόνου), καὶ ἀδύνατον χωρισθῆναι αὐτὸν τοῦ τόπου ἢ τοῦ χρόνου. φαμὲν 10
οὖν ὅτι οὐκ ἔστιν ὁμοία ἡ παραβολή· τὸ μὲν γὰρ συμβεβηκὸς χωρισθῆναι
τοῦ ἐν ᾧ ἐστιν ἀδύνατον, ἀλλ' ἅμα τῷ χωρισθῆναι καὶ ἔφθαρται, τὰ μέν-
15 τοι σώματα εἰ καὶ παντὸς τόπου χωρισθείη, οὐδὲν ἧττον ἔστι· τὸ γὰρ
σῶμα ᾗ σῶμά ἐστιν οὐ δέεται τόπου ἢ χρόνου πρὸς τὴν οἰκείαν ὑπόστα- 15
σιν, ἔχει μέντοι ταῦτα παρακολουθήματα, ὥσπερ ὁ ἐν φωτὶ βαδίζων ἔχει
τὴν σκιὰν παρακολούθημα μηδὲν εἰς τὴν οὐσίαν αὐτῷ συντελοῦσαν. τῷ
μέντοι γε συμβεβηκότι εἰς αὐτὴν τὴν ὑπόστασιν συντελεῖ τὰ σώματα· ἄνευ
20 γὰρ αὐτῶν οὐκ ἂν συσταίη. ἄλλως τε οὐδὲ ἀνάγκη πᾶν σῶμα ἐν τόπῳ 20
εἶναι· τὴν γὰρ ἀπλανῆ σφαῖραν ἀποδείκνυσιν ὁ Ἀριστοτέλης μὴ οὖσαν ἐν
τόπῳ· εἰ γὰρ τόπος ἐστὶ τὸ πέρας τοῦ περιέχοντος, καθ' ὃ περιέχει τὸ
περιεχόμενον, οἷον ὁ κέραμος τόπος ἐστὶ τοῦ οἴνου τοῦ ἐν αὐτῷ, οὐ καθ'
ὅλον ἑαυτὸν ἀλλὰ κατὰ τὴν ἐντὸς ἐπιφάνειαν, ὅπερ αὐτοῦ ἐστι πέρας 25
25 (ἀμέλει εἰ ἔξωθεν ἐγκολαφθείη, οὐδὲν ἧττον συνέχει τὸν οἶνον, ἅτε δὴ κατὰ
μόνην τὴν ἐντὸς ἐπιφάνειαν ὢν τόπος)· εἰ οὖν τοῦτό ἐστιν, ὡς εἴρηται,
τόπος, δείκνυσι δὲ ὁ Ἀριστοτέλης ὅτι ἔξωθεν τῆς ἀπλανοῦς σφαίρας οὐ-
δέν ἐστιν, ἵνα καὶ τῷ τούτου πέρατι περιέχοιτο, οὐ τό|πος οὐ χρόνος οὐ 28v
σῶμα οὐ κενὸν οὔτε ἄλλο οὐδέν, οὐκ ἄρα ἐν τόπῳ ἐστὶν ἡ ἀπλανής. ὥστε
30 οὐκ ἀνάγκη πᾶν σῶμα ἐν τόπῳ εἶναι, ἀλλ', ὡς εἴρηται, παρακολούθημα
μᾶλλόν ἐστιν ὁ τόπος καὶ ὁ χρόνος τῶν σωμάτων.

Ἀποροῦσι δὲ καὶ τοῦτο, πῶς οὐχὶ ὁ ὁρισμὸς περιλαμβάνει καὶ τὸ ὡς 5
ὅλον ἐν τοῖς μέρεσι· καὶ γὰρ ἔν τινί ἐστιν (ἐν τοῖς μέρεσι γάρ), καὶ οὐχ
ὡς μέρος ὑπάρχει καὶ ἀδύνατον αὐτὸ χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστι. λέγο-

1 τούτων ὄντ. coll. F τῶν (ante γεν.) addidi 5 τοῦ om. a
6 τοῦτον om. Ca 8 9. παραλαμβ. a 10 φασὶ γὰρ ὅτι ὁ] ὁ γὰρ F
14 ἀλλ' ἅμα] ἅμα γὰρ F 15 εἰ om. F χωρισθεῖεν C: χωρισθέν-
τα F post χωρισθ. add. ἀλλ' ὅμως τοῦδε τοῦ τόπου χωρισθέντα a
17 παρακολουθοῦντα Ca τῷ φωτὶ F 18 παρακ. τὴν σκ. coll. a
20 οὐδὲ] δὲ C 22 τόπος ἐστὶ] cf. Arist. Phys. Δ 4 p. 212a5 sq. ὃ]
ἃ F 25 εἰ om. F ἐγκολ.] εἰ κολ. F: ἐκκολ. a 27 δείκν. δὲ
ὁ Ἀρ.] De coelo B 1 p. 284a5. 4 p. 287a12 29 ἡ ἀπλ. ἐστιν coll. F
30 εἴρηται] v. 17

μεν οὖν ὅτι εἰ καὶ κατ' ἄλλο κοινωνεῖ, ἀλλ' οὐκέτι κατὰ τὸ ἕν τινι· οὐ 28v
γὰρ λέγεται τὸ ὅλον ἕν τινι εἶναι (οὐ γὰρ ἐν μέρει τὸ ὅλον), ἀλλὰ μᾶλλον
ἕν τισιν· ἐν γὰρ τοῖς μέρεσιν. οὕτω καὶ ὁ Πορφύριος ἔλεγε "τὸ δὲ ὅλον
οὐκ ἄλλου, ἀλλ' ἐν ἄλλοις"· ἐν γὰρ τοῖς μέρεσι τὸ ὅλον. εἰ δὲ καὶ ἐν τοῖς
5 σημαινομένοις τοῦ ἕν τινι παρελαμβάνομεν καὶ τὸ ὡς ὅλον ἐν μέρεσιν, ἀλλ'
οὐ καθὸ ἐν ἑνί ἐστιν, ἀλλὰ κατὰ μόνην τὴν σημασίαν τοῦ μὴ καθ' ἑαυτὸ 15
ὑφεστηκέναι ἐλέγομεν καὶ αὐτὸ τῶν ἕν τινι εἶναι. ἔτι πρὸς τοῖς εἰρημένοις
κἀκεῖνο ἀπορροῦσιν. ὅτι περιλαμβάνει ὁ ὁρισμὸς καὶ τὸ ὡς εἶδος ἐν ὕλῃ·
καὶ γὰρ τὸ εἶδος, φασίν, ἕν τινί ἐστι τῇ ὕλῃ καὶ οὐ μέρος αὐτῆς ὑπάρχει
10 καὶ ἀδύνατον χωρὶς εἶναι αὐτὸ τῆς ὕλης. φαμὲν οὖν ὅτι τὸ εἶδος εἰ καὶ 20
μὴ τῆς ὕλης μέρος ἐστίν, ἀλλὰ τοῦ συναμφοτέρου. οὕτως ἄρα καὶ τὴν
χεῖρά φαμεν οὐ τοῦ λοιποῦ σώματος μέρος εἶναι, ἀλλὰ τοῦ παντός. ἔπειτα
δὲ ὅτι τὸ μὲν εἶδος συμπληρωτικόν ἐστι τῆς οὐσίας ἑκάστου, καὶ τούτου
φθαρέντος φθείρεται τὸ ὑποκείμενον· τὸ δὲ συμβεβηκὸς οὔτε συμπληροῖ 25
15 τὴν οὐσίαν τοῦ ὑποκειμένου, καὶ φθαρέντος οὐδὲν ἐβλάβη τὸ ὑποκείμενον.
ἄλλως τε λέγομεν ὅτι ὁ σκοπὸς ἐνταῦθα τῷ Ἀριστοτέλει διαλαβεῖν περὶ
τῶν ὄντων, οὐχ ᾗ ὄντα ἐστίν, ἀλλ' ᾗ σημαίνονται ὑπὸ τῶν πολλῶν ἀνθρώ-
πων, καὶ οὐ κατὰ τὰ δοκοῦντα αὐτῷ διαλεχθῆναι περὶ αὐτῶν. καὶ | ὅτι 29r
τοῦτό ἐστιν ἀληθές, σαφῶς αὐτὸς δείκνυσιν ἐν τῷ περὶ τῆς οὐσίας λόγῳ
20 πρώτην μὲν λέγων οὐσίαν εἶναι τὴν κατὰ τὰ ἄτομα θεωρουμένην, δευτέ-
ραν δὲ τὴν κατὰ τὰ εἴδη καὶ τὰ γένη, τῶν πραγμάτων ἀνάπαλιν ἐχόντων·
ἡ μὲν γὰρ κατὰ τὰ εἴδη καὶ τὰ γένη θεωρουμένη πρώτη ἐστίν, ἅτε δὴ 5
καὶ αἰτία οὖσα τῶν ἀτόμων καὶ ἀσώματος καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ
ὡσαύτως ἔχουσα, ἡ δὲ κατὰ τὰ ἄτομα δευτέρα ἐστὶν ὡς αἰτιατή. ἀλλ'
25 ἐπειδὴ ταύτης ἔχει γνῶσιν ὁ πολὺς ἄνθρωπος, διὰ τοῦτο κατὰ τὴν τούτων
δόξαν τὴν διδασκαλίαν ποιούμενος πρώτην αὐτὴν εἶπεν. ἐπειδὴ οὖν τοῦ 10
εἴδους καὶ τῆς ὕλης ἔννοιαν οὐκ ἔχει ὁ πολὺς ἄνθρωπος, μόνον δὲ οἶδε
τὸ ἐκ τούτων σύνθετον καὶ τοῦτο ὡς ἕν, διὰ τοῦτο ὁ Ἀριστοτέλης καὶ εἰ
κατηριθμεῖτο τὰ τοῦ ἕν τινι σημαινόμενα, οὐκ ἂν ἐμνήσθη τοῦ ὡς εἴδους
30 ἐν ὕλῃ, ἅτε δὴ μὴ περὶ τῶν ὄντων ᾗ ὄντα ἐστὶ διαλεγόμενος, ἀλλὰ κατὰ 15
τὰ τῷ πολλῷ ἀνθρώπῳ δοκοῦντα περὶ αὐτῶν. ὥσπερ οὖν ὁ γεωμέτρης
ὁριζόμενος τὸ σημεῖον λέγει ὅτι σημεῖόν ἐστιν οὗ μέρος οὐδὲν καὶ ὁ ὁρι-
σμὸς οὗτος περιλαμβάνει οὐ μόνον τὸ σημεῖον ἀλλὰ καὶ τὴν μονάδα καὶ τὸ
νῦν (ἕκαστον γὰρ τούτων ἀμερές ἐστι) καὶ οὐκ ἄν τις ἐγκαλέσειε τῷ 20

---

1 ἄλλα a κοιν. ἡ ὑπογραφή a οὐκέτι καὶ F 1. 2 οὐ γὰρ — τινι in mrg. suppl. C 3 Πορφ.] Isag. p. 8,2 τὸ δὲ ὅλ.] ὅλον δὲ Porph. 5 παραλαμβ. Fa τοῖς μέρεσι a 6 τοῦ] τὸ F 10 post αὐτὸ add. τὸ Ca 12 λοιποῦ] ὅλου a ἔπειτα — ὑποκείμενον (14) om. F 13 ἐκ. οὐσ. coll. a 15 οὐδὲν ἐβλ.] οὐκ ἐφθάρη a 17 ὑπὸ] παρὰ C 18 κατὰ] ᾗ F: αὐτὰ a αὐτῷ δοκ. coll. F περὶ τῶν αὐτῶν C 19 σαφῶς αὐτὸς] καὶ αὐτὸς C: σαφὲς τοῦτο a 22 γὰρ om. C κατὰ γένη καὶ τὰ εἴδη F 25 ἐπειδὴ — εἶπεν (26) om. F 26 τοῦ om. C 27 πολλὺς C μόνον δὲ in lac. om. C 29 καταριθμοῖτο F 31 τὰ om. a: τὰ ὄντα ὡς F οὖν om. a

γεωμέτρῃ ὡς διὰ τοῦ ὁρισμοῦ τοῦ σημείου περιλαμβάνοντι καὶ ταῦτα (ἐρεῖ 29r
γὰρ πάντως ὅτι εἰ καὶ ἡ μονὰς καὶ τὸ νῦν ἀμερῆ εἰσιν. ἀλλὰ τῶν ἐμοὶ
ὑποβεβλημένων πραγμάτων οὐδέν ἐστιν ἄλλο ἀμερὲς ἢ τὸ σημεῖον), οὕτως
καὶ ὁ Ἀριστοτέλης κατὰ τὸν σκοπὸν τῆς προκειμένης αὐτῷ διδασκαλίας 25
5 οὐκ οἶδεν ἔν τινι τὸ ὡς εἶδος ἐν ὕλῃ· οὐ γὰρ ἔχει τούτου ἔννοιαν ὁ πο-
λὺς ἄνθρωπος. βούλεται δέ, ὡς εἴπομεν, οὐ περὶ τῶν ὄντων ᾗ ὄντα ἐστὶ
διαλεχθῆναι, ἀλλὰ ᾗ σημαίνονται ὑπὸ τῶν τοιῶνδε φωνῶν κατὰ τὰ τοῖς
πολλοῖς δοκοῦντα. καὶ ταῦτα μὲν πρὸς τοὺς λέγοντας πλεονά|ζειν τὸν 29v
ὁρισμόν.

10 Οἱ δὲ ἐλλείπειν εἰρηκότες φασὶ μὴ πάντα τὰ συμβεβηκότα περιειλη-
φέναι τὸν ὁρισμόν, ἀλλὰ μόνα τὰ ἀχώριστα· εἶπε γάρ, φασίν, ὅτι ἀδύνατον
χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστι· τὰ δὲ χωριστά φασιν οὐκ ἀδύνατον χωρισθῆναι, 5
ἀλλὰ καὶ ἀναγκαῖον. τί οὖν φαμεν; ὅτι εἰ μὲν εἶπεν 'ἀδύνατον χωρισθῆναι',
καλῶς ἂν ἐλέγετε· νῦν δὲ λέγει ἀδύνατον χωρὶς εἶναι ἀντὶ τοῦ ὑπάρξαι
15 καὶ συστῆναι· καὶ γὰρ καὶ τὰ χωριστὰ ἀδύνατον ὑποστῆναι δίχα τῆς ὑπο-
κειμένης αὐτοῖς οὐσίας. ἔτι ἀποροῦσί τινες λέγοντες 'πῶς εἶπεν ὅτι οὐ δύ- 10
ναται τὸ συμβεβηκὸς χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστιν; ἰδοὺ γὰρ ἡ ὀσμὴ συμ-
βεβηκός ἐστι καὶ χωρισθεῖσα τοῦ ὑποκειμένου ἔστιν ἔτι· μήλου γὰρ πολ-
λάκις πόρρω ἡμῶν ὄντος διαβαίνει πρὸς ἡμᾶς ἡ τούτου εὐωδία· ὥστε δύ-
20 ναται καὶ ἡ εὐωδία τοῦ μήλου, συμβεβηκὸς αὐτοῦ οὖσα, χωρὶς εἶναι τῆς 15
οὐσίας τοῦ μήλου. καὶ ἐπὶ πάντων δὲ τῶν τοιούτων ὁμοίως'. διχῶς οὖν
τοῦτο ἐπιλυόμεθα. πρῶτον μὲν ὅτι οὐκ εἶπεν ὁ Ἀριστοτέλης 'ἐν ᾧ ἦν',
ἀλλ' ἐν ᾧ ἐστιν· ἀδύνατον οὖν χωρὶς εἶναι τὴν εὐωδίαν τοῦ μήλου τοῦ
ἐν ᾧ ἐστιν· ἢ γὰρ ἐν τῷ μήλῳ ἐστὶν ἢ ἐν ἀέρι. ἔπειτα δὲ ὅτι οὐ 20
25 μόνη ἡ τοῦ μήλου εὐωδία χωρεῖ πρὸς ἡμᾶς, ἀλλὰ μετά τινος λεπτομεροῦς
τοῦ μήλου οὐσίας. καὶ τοῦτο δῆλον ἐξ ὧν πολλάκις παριόντες δυσώδη
τόπον ῥάκει τοὺς μυκτῆρας περιφράξαντες τὸν μὲν ἀέρα ἀναπνέομεν (ἀδύ-
νατον γὰρ τοῦτον μὴ ἀναπνεῖν), τῆς δὲ δυσωδίας οὐκ ἀντιλαμβανόμεθα, 25
ἅτε παχυμερεστέρας οὔσης τῆς ἀπορρυείσης οὐσίας ἐκείνης ἢ κατὰ τὸν
30 ἀέρα καὶ μὴ δυναμένης διεισδῦναι τοὺς πόρους τοῦ ῥάκους· ὁ δὲ ἀὴρ διεισ-
δύνει διὰ τὴν λεπτομέρειαν. εἰ δὲ χρόνῳ πολλάκις καὶ τοῦ ῥάκους ἐπικει-
μένου τῆς δυσωδίας ἀντιλαμβανόμεθα, οὐδὲν θαυμαστόν· ἴσως γὰρ | καὶ 30r
παρὰ τὴν θέσιν τοῦ ῥάκους τοῦτο γίνεται παρακεκλιμένου καὶ διείσδυσιν δε-
δωκότος τῇ παχυμερεστέρᾳ οὐσίᾳ, ὁπότε καὶ ἐπὶ πολὺ τῇ κινήσει ἀναρρι-

---

2 pr. καὶ om. F 2. 3 ἀλλὰ — ὑποβεβλ. om. F 2 ἐμοὶ a: om. C 5 εἶδος ὡς coll. C alt. οὐ] οὐδὲ F 6 ὡς εἴπομεν] p. 34, 16 7 τῶν om. Fa τοῖς om. F 10 φασὶ om. Ca 11 φησιν Fa 12 τοῦ ἐν ᾧ ἐστι om. F δὲ scripsi: γὰρ libri ἀχώριστα a φησιν a 14 λέγει ὅτι a post εἶναι add. τοῦ ἐν ᾧ ἐστιν a 16 λέγ. ὅτι Fa 20 καὶ om. Ca οὖσα αὐτοῦ coll. F 21 ὁμοίων C οὖν om. C 23 τοῦ (ante ἐν) om. C 24 post pr. ἐστιν add. τόπῳ a τῶ om. F 25 μόνον C 27 ἐπιφράξ. C 30 δὲ] γὰρ Ca 30. 31 εἰσδύνει F 31 χρόνου a 32 τῆς δυσωδίας om. F ἀντιλαβοίμεθα F καὶ om. C 33 παρακεκινημένου a

πιζομένη μᾶλλον λεπτύνεται καὶ διεισδύνει· ἀμέλει ἐπὶ πολὺ ἀναρριπισθεῖσα 30r
καὶ λεπτομερὴς γινομένη διεισδύνει. τεκμήριον δὲ μέγιστον τοῦ μετά τινος 5
οὐσίας ἀπορρεῖν, ὅτι ἐν χρόνῳ πλείονι ῥυτιδοῦται τὸ μῆλον, ἅτε τῆς οὐσίας
αὐτοῦ διαφορουμένης, ἐν ᾗ ἡ εὐωδία ὑπῆρχε. δηλοῦσι δὲ τοῦτο καὶ οἱ ἐκ
5 τοῦ θυμιάματος ἀναδιδόμενοι ἀτμοὶ αὐτόθεν τῇ αἰσθήσει ὑποπίπτοντες διὰ 10
τὴν παχύτητα τῆς ὑποκειμένης οὐσίας, ὅθεν καὶ ταῖς χερσὶ πολλάκις τὸν
ἀέρα κινοῦντες ὠθοῦμεν πρὸς τοὺς μυκτῆρας, ὁπηνίκα παχυμερέστερος ὢν
ὁ ἀπὸ τοῦ θυμιάματος ἀναδιδόμενος ἀτμὸς μὴ διικνεῖται ῥᾳδίως πρὸς τὸ
αἰσθητήριον, ὅπερ οὐκ ἂν ἐδεόμεθα ποιεῖν, εἰ ἀσωμάτως αἱ ποιότητες ἐκ 15
10 τῶν θυμιαμάτων εἰς τὸν ἀέρα ἐχώρουν· | τοῦτο γοῦν ἐπὶ τῶν ψόφων οὐ 31r
ποιοῦμεν. εἰ δέ τις εἴποι 'πῶς οὖν ἐν τῷ δένδρῳ ὄντα τὰ μῆλα καὶ τῆς 5
ὀσμῆς ἡμῖν μεταδιδόασι καὶ μείωσιν οὐχ ὑπομένει;', λέγομεν ὅτι ἐνταῦθα
πλεῖόν ἐστι τὸ ἐπιρρέον καὶ τρέφον τοῦ διαφορουμένου.

1 εἰσδύναι C; καὶ διεισδύνει eicias 2 λεπτομερεστέρα Ca γιν. διεισδ.] ἐξατμηθεῖσα (sic) οὐδὲ τῇ αἰσθήσει λοιπὸν ὑποπίπτει διὰ τὴν λεπτομέρειαν C: γίνεται a τοῦ om. a 3 ἐν] ἐπὶ F 10 post ἐχώρουν addit ex Marc. 217 ἰστέον ὅτι πλάτων φησὶ μετά τινων ἀπορροιῶν τὴν ὀσμὴν τοῦ μήλου χωρεῖν πρὸς ἡμᾶς μὴ χωρισθεῖσαν τοῦ ὑποκειμένου. Ἀριστοτέλης δὲ τὸ διακονικὸν καὶ δίοσμον αἰτιᾶται τοῦ ἀέρος, ὅτι ᾧ λόγῳ ἐστὶ διορατικὸς καὶ διηχής, τούτῳ καὶ δίοσμος. μεταλαμβάνων γὰρ τῆς εὐωδίας μεταδίδωσιν ἡμῖν. ὁ δὲ πλωτῖνός φησιν, ὅτι μεταβάλλεται μέρος τοῦ ἀέρος εἰς ὀσφραντὴν ποιότητα. ἡ γὰρ εὐωδία μείνασα ἐν τῷ μήλῳ γεννᾷ ὁμοίαν ἑαυτῇ ἑτέραν ποιότητα μεταβάλλουσα μέρος τοῦ ἀέρος, ἧς αἰσθανόμεθα. ὡς καὶ ἡ ἐν πυρὶ θερμότης οὐ καταλείψασα τὸ πῦρ ψυχρὸν χωρεῖ πρὸς ἡμᾶς, ἀλλὰ μείνασα ἐν τῷ πυρὶ ἑτέραν ὁμοειδῆ ἑαυτῇ θερμότητα ἀπογεννᾷ ἐν τῷ ἀέρι. οὐδεμία δὲ τῶν δοξῶν τούτων καθ' ἑαυτὴν ἀληθής, οὔτε ἡ πλάτωνος ἡ λέγουσα μετὰ ἀπορροίας τὴν ὀσμὴν χωρεῖν πρὸς ἡμᾶς· ἡ γὰρ ἀπόρροια σῶμα, παντὸς δὲ σώματος ἡ κατὰ φύσιν κίνησις· ἢ γὰρ κοῦφον καὶ ἐπὶ τὰ ἄνω ῥέψει ἢ βαρὺ καὶ ἐπὶ τὰ κάτω. τῆς δὲ εὐωδίας τοῦ μήλου πάντες ὁμοτίμως αἰσθανόμεθα, ἄνω κάτω πρόσθεν ὄπισθεν δεξιὰ ἀριστερά. καὶ δῆλον ἐκ τούτου, ὅτι οὐκ ἀρκεῖ μόνον ἀπορροίας εἰπεῖν. οὐδὲ ἡ ἀριστοτέλους μόνη ἀληθής, πλασματῶδες γὰρ τὸ λέγειν ὅλον τὸν μεταξὺ ἀέρα μεταλαμβάνειν τῆς ὀσμῆς, ὡς ἐπὶ τῶν γυπῶν τῶν αἰσθανομένων τῶν ἐν ἄλλαις πόλεσιν ἀτάφων σωμάτων. ἀλλ' οὐδὲ τὸ τοῦ πλωτίνου μόνον ἀληθὲς τὸ ποιοῦσθαι καὶ μεταβάλλεσθαι μέρος τοῦ ἀέρος. τὸν γὰρ βόρβορον οἱ χοῖροι πλέον ἀνορύττουσι τῷ μάλιστα τῶν ἀπορροιῶν ἀντιλαβέσθαι. αἱ τρεῖς δὲ ἅμα ἀληθεῖς εἰσιν. ἐπὶ μὲν γὰρ τῶν φαύλως ὀσμωμένων, οἷοι οἱ χοῖροι, χρεία καὶ ἀπορροιῶν. ἐπὶ δὲ τῶν ἀκριβῶς, οἷοι οἱ γύπες, ἀρκεῖ τὸ δίοσμον τοῦ ἀέρος. ἐπὶ δὲ τῶν μέσως ὀσμωμένων, οἷοί ἐσμεν ἡμεῖς, ἀρκεῖ ἡ μεταβολὴ τοῦ ἀέρος. κατ' οὐδεμίαν δὲ τῶν δοξῶν αἱ ποιότητες ἀπὸ ὑποκειμένου μεταβαίνουσιν. ἢ γὰρ ἐν τῷ αὐτῷ νῦν εἰσι καὶ ἐν τῷ ἐν ᾧ εἰσι καὶ ἐν τῷ ἐξ οὗ. καὶ διασπασθήσεται αὐτὴ ἑαυτῆς ἡ ποιότης ἢ ἐν ἄλλῳ καὶ ἄλλῳ νῦν. καὶ ἐπειδὴ πάντων δύο νῦν ἔστι χρόνος μέσος, ἐν ἐκείνῳ τῷ χρόνῳ ἔσονται χωρὶς τοῦ ὑποκειμένου αἱ ποιότητες. ἔστι καὶ τοῦτο εἰπεῖν πρὸς τοὺς λέγοντας· καὶ οὐσία τις συναπέρχεται μετὰ τῆς ἐν τῷ μήλῳ ποιότητος, ὅτι ἡ οὐσία μίαν τινὰ κίνησιν ποιεῖται τὴν ἐπ' εὐθείας· ἢ γὰρ ἄνω ἢ κάτω ἢ πρόσω ἢ ὀπίσω ἢ δεξιὰ ἢ ἀριστερά· ἐπεὶ οὖν συμβαίνει καὶ τοὺς δεξιὰ ἱσταμένους καὶ τοὺς ἀριστερὰ καὶ πρόσω καὶ ὀπίσω αἰσθάνεσθαι τῆς εὐωδίας, παρὰ πάσας ταύτας κινεῖται τὰς κινήσεις. δεῖ οὖν ἐπιλύσασθαι οὕτως· ὁ ἀὴρ δυνάμει ἐστὶν ὡς ἡ ποιότης τοῦ μήλου τὸ φύσιν ἔχειν πάσας τὰς ποιότητας δέξασθαι, ὡς ἄποιος ὢν αὐτός· ὑπὸ οὖν τῆς εὐωδίας τοῦ μήλου γίνεται ἐνεργείᾳ τοιοῦτος καὶ λοιπὸν διαπορθμεύει πάσας τὰς ποιότητας δέξασθαι ἡμᾶς ἐξ αὐτοῦ, ὡς ἄποιος ὢν αὐτός a 10 οὖν Ca 11 εἴπῃ F οὖν om. C 12 post ὑπομένει add. μὴ ἰσχναινόμενα a 13 post διαφ. add. πλέον γάρ ἐστιν ἡ ἐσροὴ τῆς ἐκροῆς, tum ex Marc. 217

p. 1b6 Ἁπλῶς δὲ τὰ ἄτομα καὶ ἓν ἀριθμῷ κατ' οὐδενὸς 31v
ὑποκειμένου λέγεται, ἐν ὑποκειμένῳ δ' ἔνια οὐδὲν κωλύει 15
εἶναι· ἡ γὰρ τὶς γραμματικὴ τῶν ἐν ὑποκειμένῳ μέν ἐστι,
καθ' ὑποκειμένου δὲ οὐδενὸς λέγεται.

5 Ἐπειδὴ προσεχῶς τῶν μερικῶν οὐσιῶν ἐμνημόνευσεν ὡς μὴ καθ' ὑποκειμένου λεγομένων, λέγων τὰ δὲ οὔτε ἐν ὑποκειμένῳ ἐστὶν οὔτε καθ' ὑποκειμένου τινὸς λέγεται, οἷον ὁ τὶς ἄνθρωπος ἢ ὁ τὶς 20 ἵππος, οὐ μόναι δὲ αἱ μερικαὶ οὐσίαι λέγονται οὐ καθ' ὑποκειμένου ἀλλὰ καὶ τὰ μερικὰ συμβεβηκότα, διὰ τοῦτο ἐνταῦθα καθολικὸν ποιεῖται τὸν 10 λόγον καί φησιν ἁπλῶς δὲ (ἀντὶ τοῦ 'καθολικῷ δέ τινι λόγῳ') πάντα τὰ ἄτομα, ἃ καὶ ἕν ἐστι τῷ ἀριθμῷ, εἴτε οὐσίαι εἶεν εἴτε συμβεβηκότα, κατ' 25 οὐδενὸς ὑποκειμένου λέγεται. τὸ δὲ ἁπλῶς λέγεται τριχῶς· ἢ τὸ καθόλου, ὡς λέγομεν 'ἁπλῶς πᾶς ἄνθρωπος' ἀντὶ τοῦ καθόλου, ἢ τὸ μοναχῶς ὡς τὸ

15 ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ

ἀντὶ τοῦ οὐ ποικίλος, ἢ τὸ κυρίως, ὡς ὅταν λέγωμεν 'ἡ ἁπλῶς ἀρετή' ἀντὶ τοῦ 'ἡ κυρίως ἀρετή'. καὶ τὸ ἓν δὲ λέγεται τριχῶς, καὶ ὅλως ἡ 32r ταυτότης καὶ ἡ ἑτερότης· λέγομεν γὰρ ἢ τῷ γένει ἓν ὡς ἄνθρωπον καὶ

Τὰ δὲ καθ' ὑποκειμένου τε λέγεται καὶ ἐν ὑποκειμένῳ ἐστί. Σαφηνίσας τὸ μερικὸν συμβεβηκός, ὅπερ ἔλεγεν ἐν ὑποκειμένῳ καὶ οὐ καθ' ὑποκειμένου, νῦν τρέπεται ἐπὶ τὸ παραδοῦναι ἡμῖν τὸ παράδειγμα τοῦ καθόλου συμβεβηκότος, ὅπερ καλεῖ καθ' ὑποκειμένου καὶ ἐν ὑποκειμένῳ. Τὰ δὲ οὔτε ἐν ὑποκειμένῳ ἐστὶν οὔτε καθ' ὑποκειμένου τινὸς λέγεται. Πανταχοῦ τοῖς μὲν ἀπὸ τῆς φωνῆς, τουτέστι τῷ καθ' ὑποκειμένου καὶ οὐ καθ' ὑποκειμένου, τὸ λέγεται ἀποδίδωσι, τοῖς δὲ ἀπὸ τοῦ ὄντος, τουτέστι τῷ ἐν ὑποκειμένῳ καὶ οὐκ ἐν ὑποκειμένῳ, τὸ ἐστί. παραδοὺς δὲ τὰ παραδείγματα τῶν συμβεβηκότων, τῶν μερικῶν καὶ τῶν καθόλου, νῦν τὸ παράδειγμα λέγει τῆς μερικῆς οὐσίας. οὐ καθ' ὑποκειμένου δέ ἐστι τὸ ἀκατηγόρητον κατὰ τὴν καθ' ὑποκειμένου κατηγορίαν· οὐ γὰρ τὸ ἀκατηγόρητον ἁπλῶς, ἐπειδὴ δύναται καὶ μερικὸν κατὰ τὴν ἐν ὑποκειμένῳ κατηγορίαν κατηγορεῖσθαι, ὡς ἡ τὶς γραμματικὴ ἀριστάρχου. καὶ τοῦτο καὶ αὐτὸς προϊὼν διδάξει, δι' ὧν φησιν 'ἐν ὑποκειμένῳ δὲ ἔνια οὐδὲν κωλύει εἶναι'. εἰ δὲ καὶ τὰ ἄτομα κατηγορεῖται καθ' ὑποκειμένου, οἷον ὁ προσιὼν ἄνθρωπος σωκράτης ἐστιν, ἀλλὰ παρὰ φύσιν ἡ κατηγορία ὡς τὸ μερικὸν τοῦ καθόλου κατηγοροῦσα, ὥσπερ καὶ ἡ οὐσία συμβεβηκότος κατηγορουμένη, ἡνίκα φαμὲν τουτὶ τὸ λευκὸν σωκράτης ἐστί· κατηγορεῖται γὰρ κατὰ φύσιν μὲν τὰ καθόλου τῶν μερικῶν καὶ τὰ συμβεβηκότα τῶν οὐσιῶν, παρὰ φύσιν δὲ τὰ μερικὰ τῶν καθόλου, ὡς ἐπὶ τοῦ εἰρημένου παραδείγματος, καὶ αἱ οὐσίαι τῶν συμβεβηκότων, οἷον τὸ προσιὸν λευκὸν σωκράτης ἐστίν· οὐ καθ' ὑποκειμένου ἄρα ἐστὶ τὸ ἀκατηγόρητον κατὰ τὴν καθ' ὑποκειμένου κατηγορίαν τῆς κατηγορίας κατὰ φύσιν ἐχούσης a

1 τῶ ἀρ. C 3 μὲν om. F 6 τὰ δὲ om. F 7 ἢ] καὶ Arist. 10 alt. δὲ om. F 13 λέγομεν] λέγεται F 14 τὸ om. F 15 ἁπλοῦς . .] Eurip. Phoen. 472 16 ὅταν λέγωμεν] λέγομεν F ἡ om. Ca post ἁπλ. add. εἰπεῖν F 17 ἡ (ante κυρ.) om. a post ἀρετή add. καὶ ἁπλῶς εἰπεῖν σοφός. τοῦτο δὲ καὶ ἐπὶ τοῦ καθόλου πολλάκις φέρομεν, ἁπλῶς δὲ εἰπεῖν περὶ παντός. ἐνταῦθα οὖν τὸ ἁπλῶς εἰπεῖν ἀντὶ τοῦ καθόλου εἶπε F ὅλης C
18 ἓν om. F

ἵππον, ἢ τῷ εἴδει ἓν ὡς Σωκράτην καὶ Πλάτωνα, ἢ τῷ ἀριθμῷ ὡς Πλά- 32r
τωνα· ἓν γάρ τι τῷ ἀριθμῷ ὁ Πλάτων. ἀλλὰ καὶ τὰ ἕτερα ὁμοίως ἢ τῷ 5
γένει φαμὲν ὡς ἵππον καὶ συκῆν, ἢ τῷ εἴδει ὡς ἵππον καὶ ἄνθρωπον, ἢ
τῷ ἀριθμῷ ὡς Πλάτωνα καὶ Σωκράτην. ἐνταῦθα οὖν τὸ τῷ ἀριθμῷ ἓν
5 παρέλαβεν. ἰστέον δὲ ὅτι τὰ μὲν τῷ ἀριθμῷ ἕτερα ἐνδέχεται εἶναι τῷ
γένει καὶ τῷ εἴδει ἕν, ὡς Σωκράτην καὶ Πλάτωνα, τὰ δὲ τῷ εἴδει ἕτερα
πάντως μὲν καὶ τῷ ἀριθμῷ ἕτερα, οὐ πάντως δὲ τῷ γένει, ἀλλ' ἔστιν 10
ὅτε ταὐτά, ὡς ἵππος καὶ ἄνθρωπος, τὰ δὲ τῷ γένει ἕτερα πάντως καὶ τῷ
εἴδει καὶ τῷ ἀριθμῷ, ὡς ἵππος καὶ συκῆ ἢ ὡς ἄνθρωπος καὶ λευκόν.
10 Ἐν ὑποκειμένῳ δ' ἔνια, φησίν, οὐδὲν κωλύει εἶναι· ἐπειδὴ ⟨γὰρ⟩
καθολικὸν τὸν λόγον ἐποιήσατο εἰπὼν μηδὲν τῶν ἀτόμων, ἃ καὶ ἕν ἐστι τῷ 15
ἀριθμῷ, εἶναι καθ' ὑποκειμένου, οὐ μόναι δὲ αἱ μερικαὶ οὐσίαι ἀλλὰ καὶ τὰ
μερικὰ συμβεβηκότα ἄτομά εἰσιν, ὡς ἡ τὶς γραμματική, ὡς αὐτός φησιν,
ἐπήγαγε τὸ ἐν ὑποκειμένῳ δέ τινα οὐδὲν κωλύει εἶναι, τὰ μερικὰ συμβεβη-
15 κότα δηλῶν οὕτως.

p. 1b10 Ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑπο-
κειμένου, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, πάντα καὶ
κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται.

Διαλεχθεὶς περὶ τοῦ ἐν ὑποκειμένῳ νῦν τρέπεται ἐπὶ τὴν τοῦ καθ' 30
20 ὑποκειμένου διδασκαλίαν καὶ τρόπον τινὰ τοῦτό φησιν, | ὅτι ἄλλο ἐστὶ τὸ 32v
κατηγορεῖσθαι κατά τινος καὶ ἄλλο τὸ ὡς καθ' ὑποκειμένου κατηγορεῖ-
σθαι, τούτῳ δὲ πάντως παρακολουθεῖ τῷ ὡς καθ' ὑποκειμένου κατη-
γορουμένῳ τὸ πάντα ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται ταῦτα καὶ
κατὰ τοῦ ὑποκειμένου τούτῳ λέγεσθαι· οἷον κατηγορεῖται Σωκράτους ὡς 5
25 καθ' ὑποκειμένου ὁ ἁπλῶς ἄνθρωπος, τοῦ δὲ ἁπλῶς ἀνθρώπου κατηγο-
ρεῖται τὸ ζῷον, τοῦτο οὖν καὶ κατὰ τοῦ Σωκράτους κατηγορηθήσεται·
διαβιβάζει γὰρ διὰ μέσου ἑαυτοῦ ὁ ἁπλῶς ἄνθρωπος ἐπὶ Σωκράτην τὴν
τοῦ ζῴου κατηγορίαν. τί δὲ αὐτῷ βούλεται τὸ ὡς καθ' ὑποκειμένου; 10
τὸ οὐσιωδῶς καὶ πραγματικῶς. εἰ γάρ τι κατὰ τοῦ κατηγορουμένου κατὰ
30 συμβεβηκὸς κατηγορεῖται, οὐκ ἀνάγκη τοῦτο καὶ κατὰ τοῦ ὑποκειμένου
λέγεσθαι· οἷον τοῦ Ἀγαμέμνονος πραγματικῶς κατηγορεῖται καὶ ὡς καθ' 15
ὑποκειμένου ὁ ἄνθρωπος, τοῦ δὲ ἀνθρώπου οὐσιωδῶς μὲν κατηγορεῖται

---

1 ἓν om. F 2 τι] τοι F 3 συκῆν] φυτόν Fa 4 τὸ om. C 5 εἶναι om. F 6 σωκράτης καὶ πλάτων Ca 9 ὡς (alt.) om. a λευκός C¹ 10 γὰρ Marc. 217: om. CFa 13 ὡς αὐτός] ὡσαύτως C 14 τινα om. Ca 14. 15 τὰ μ. συμβ. ὁ. οὕτως] τουτέστι συμβεβηκός Ca 15 post οὕτως add. ex Marc. 217 καὶ καθόλου εἰπεῖν τὰ τῷ ἀριθμῷ ἓν μὴ ὄντα κατ' οὐδενὸς ὑποκειμένου λέγεται, ἐν ὑποκειμένῳ δέ ἐστιν a 16 κατηγορεῖται F 17 πάντα] ταῦτα C 18 κατὰ om. C ὑποκ. τούτω C ῥηθήσονται F 19 τοῦ (alt.) om. a 22 τούτῳ a: τοῦτο CF 26 τοῦ om. a 29 τὸ] ἀντὶ τοῦ Ca post τι add. καὶ C 31 ἀγαμ.] πλάτωνος F

τὸ ζῷον, κατὰ συμβεβηκὸς δὲ τὸ τρισύλλαβον· διὰ τοῦτο τὸ μὲν ζῷον 32v
κατηγορεῖται κατὰ τοῦ Ἀγαμέμνονος, οὐκέτι δὲ τὸ τρισύλλαβον. πάλιν
τοῦ μὲν ζῴου ὡς καθ' ὑποκειμένου μὲν καὶ ὡς πράγματος κατηγορεῖται 20
τὸ ἔμψυχον τὸ αἰσθητικόν, κατὰ συμβεβηκὸς δὲ καὶ σχετικῶς τὸ γένος ἢ
5 τὸ δισύλλαβον ⁂. ὁμοίως ἔχει καὶ ἐπὶ συμβεβηκότων· τῶν γὰρ τριῶν, εἰ
τύχοι, ὡς πράγματος κατηγορεῖται ὁ ἀριθμός, τοῦ δὲ ἀριθμοῦ ὡς μὲν
πράγματος τὸ ποσόν, κατὰ συμβεβηκὸς δὲ τὸ τρισύλλαβον· διὰ τοῦτο τῶν 25
τριῶν ὁ μὲν ἀριθμὸς κατηγορεῖται, τὸ δὲ τρισύλλαβον οὐκέτι. ἵνα οὖν
σημάνῃ τὰ οὐσιωδῶς καὶ ὡς πραγμάτων κατηγορούμενα, εἶπε τὸ ὡς καθ'
10 ὑποκειμένου· τοῦ γὰρ ζῴου τὸ δισύλλαβον οὐχ ὡς καθ' ὑποκειμένου
κατηγορεῖται, ἀλλ' ὡς φωνῆς καὶ τοῦ ποσοῦ τῶν συλλαβῶν, καὶ τὸ γένος 30
ὡς σχέσεως. ὅσα οὖν, φησί, καθ' ἑτέρου λέγεται | ὡς καθ' ὑποκειμένου 33r
(ἀντὶ τοῦ ὡς πράγματος ὑφεστῶτος), ὅσα κατὰ τοῦ κατηγορουμένου λέγε-
ται (προσυπακουστέον δὲ καὶ ἐνταῦθα τὸ ὡς καθ' ὑποκειμένου), πάντα
15 καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται.

---

2 τοῦ om. a ἀγαμ.] πλάτωνος F δὲ καὶ Fa δισύλλ. F 3 alt. μὲν om. F καὶ om. C post δισύλλαβον inseras διὰ τοῦτο τὸ μὲν ἔμψυχον καὶ τὸ αἰσθητικὸν κατηγορεῖται τοῦ ἀνθρώπου, οὐκέτι δὲ τὸ γένος ἢ τὸ δισύλλαβον 7 δὲ om. C 8 μὲν τριῶν ὁ coll. a οὐκέτι — δισύλλαβον (10) om. F 10 δισσυλ. C 11 καὶ τοῦ π. τ. συλλαβῶν om. a (recte) 12 pr. ὡς] τῆς a οὖν] δὲ F φησί om. C 14 δὲ om. F 15 post ῥηθήσεται add. ex Marc. 217 αἱ κατηγορίαι καὶ πλάτος ἔχουσι καὶ βάθος, βάθος μὲν τὴν εἰς τὰ μερικώτερα αὐτῶν πρόοδον, πλάτος δὲ τὴν εἰς τὰ πλάγια μετάστασιν· οἷον ἵνα βάθος μὲν λάβῃς οὕτω, τὴν οὐσίαν καὶ τὸ σῶμα καὶ τὸ ἔμψυχον καὶ τὸ ζῶον καὶ οὕτως ἐφεξῆς· πλάτος δέ, ὅταν διέλῃς τὴν οὐσίαν εἰς σῶμα καὶ ἀσώματον· ὁ ἀριστοτέλης οὖν κανόνα καὶ τοῦ πλάτους καὶ τοῦ βάθους ἡμῖν ἀποδίδωσι, νῦν μὲν τοῦ βάθους, ἐφεξῆς δὲ τοῦ πλάτους. ἔστι δ' ὁ κανὼν οὗτος· ὅταν πρῶτον δευτέρου καθ' ὑποκειμένου κατηγορῆται καὶ δεύτερον τρίτου καθ' ὑποκειμένου κατηγορῆται, τότε καὶ τὸ πρῶτον τοῦ τρίτου καθ' ὑποκειμένου κατηγορηθήσεται· οἷον τὸ ἔμψυχον κατηγορεῖται τοῦ ζῴου, τὸ ζῶον τοῦ ἀνθρώπου, καὶ τὸ ἔμψυχον τοῦ ἀνθρώπου κατηγορηθήσεται. καλῶς δὲ τῷ κανόνι πρόσκειται τὸ καθ' ὑποκειμένου· εἰ γὰρ μέλλει ἀληθὴς εἶναι ὁ κανών, δεῖ ἑκατέραν τῶν προτάσεων καθ' ὑποκειμένου εἶναι· εἴτε γὰρ αἱ δύο ὦσιν ἐν ὑποκειμένῳ, οὐδὲν συνάγεται ἀληθές, εἴτε ἡ μία καθ' ὑποκειμένου, ἡ δὲ λοιπὴ ἐν ὑποκειμένῳ, καὶ αὕτη εἴτε πρώτη εἴτε δευτέρα, οὐδὲ οὕτω τι ἀληθὲς συνάγεται. καὶ δὴ εἰλήφθωσαν αἱ δύο ἐν ὑποκειμένῳ, οἷον ὁ ἄνθρωπος λευκός, τὸ λευκὸν δισύλλαβον· τὸ γὰρ δισύλλαβον συμβέβηκε τῷ λευκῷ· ἐὰν συμπερανθῇ οὕτω, ψεῦδος τὸ συναγόμενον· οὐ γὰρ ὁ ἄνθρωπος δισύλλαβον. εἰλήφθωσαν πάλιν ἡ μία ἐν ὑποκειμένῳ ἡ πρώτη, καὶ ἡ δεύτερα καθ' ὑποκειμένου, οἷον ὁ ἄνθρωπος λευκόν, τὸ λευκὸν χρῶμα, καὶ ψεῦδος τὸ συναγόμενον· οὐδὲ γὰρ ὁ ἄνθρωπος χρῶμα. εἰλήφθω πάλιν ἡ μὲν πρώτη καθ' ὑποκειμένου, ἡ δὲ δευτέρα ἐν ὑποκειμένῳ, οἷον ὁ ἄνθρωπος ζῶον, τὸ ζῶον δισύλλαβον· οὐδὲ οὕτω τι ἀληθὲς συνάγεται. καὶ ἔχομεν διὰ τούτου τὸ ἀνάπαλιν τοῦ κανόνος, πῶς ἔστι πάντα τὰ ὄντα ὑπὸ τὰς δέκα κατηγορίας ἀνάγειν· ὥσπερ γὰρ ὁ κανὼν ἐδείκνυε τὸ πρῶτον τῷ δευτέρῳ ὑπάρχον καὶ τὸ δεύτερον τῷ τρίτῳ, οὕτω δι' αὐτοῦ ἀνάπαλιν ἔστι δεῖξαι τὰ ὕστερα καὶ δεύτερα ὑπὸ τὰ πρῶτα ἀναγόμενα· οἷον ὁ ἄνθρωπος ὑπὸ τὸ ζῶον, τὸ ζῶον ὑπὸ τὸ ἔμψυχον, τὸ ἔμψυχον ὑπὸ τὸ σῶμα, τὸ σῶμα ὑπὸ τὴν οὐσίαν, καὶ ὁ ἄνθρωπος ὑπὸ τὴν οὐσίαν ἀνενεχθήσεται. καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν ὡσαύτως. Ζητοῦσι δέ τινες ὅτι μάτην λέγεται τῶν προτεθέντων τεσσάρων, καθόλου καὶ μερικοῦ οὐσίας καὶ συμβεβηκότος, δύο μόνα ὑπογράφειν τὸν ἀριστοτέλην, καὶ τούτων τὰ χείρω, τὸ συμβεβηκὸς καὶ τὸ μερικόν· ἐνταῦθα γὰρ ὁρίζεται καὶ τὸ καθ' ὑποκειμένου,

p. 1b 16 Τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων ἕτεραι 34r
τῷ εἴδει καὶ αἱ διαφοραί. | 34v

Λήμμάτιά τινα προλαμβάνει χρήσιμα αὐτῷ ἐσόμενα πρὸς τὴν προκειμένην διδασκαλίαν· ἐπειδὴ γὰρ αἱ κατηγορίαι καὶ γενικώτατά εἰσι γένη καὶ ἐφ' ἑκάστης σειρά τις ἐκδίδοται τῶν ὑπαλλήλων γενῶν, κανόνα διακριτικὸν ἡμῖν ἐνταῦθα παραδίδωσιν ὁ φιλόσοφος τῶν τε πάντῃ ἑτέρων γενῶν καὶ τῶν ὑπαλλήλων καί φησιν ὅτι τῶν ἑτέρων γενῶν πάντως ἕτεραι καὶ αἱ διαφοραὶ αἵ τε συστατικαὶ καὶ αἱ διαιρετικαί, οἷον ζῴου καὶ ἐπιστήμης· ζῴου μὲν γὰρ διαφοραὶ συστατικαὶ τὸ ἔμψυχον καὶ τὸ αἰσθητικόν, διαιρετικαὶ δὲ τὸ λογικὸν καὶ τὸ ἄλογον, τὸ θνητὸν καὶ τὸ ἀθάνατον, τῆς δὲ ἐπιστήμης συστατικαὶ μὲν διαφοραί, εἰ τύχοι, τὸ ἄπταιστον τῶν λόγων καὶ βέβαιον τῷ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν τὰ τῇ ἐπιστήμῃ ὑποκείμενα πράγματα, διαιρετικαὶ δὲ τὸ θεωρητικὸν καὶ πρακτικόν. ἕτεραι οὖν

λέγω δὲ τὸ καθόλου, ὅτε λέγει πρῶτον δευτέρῳ ὑπάρχειν καὶ δεύτερον τρίτῳ, ὅτι καὶ τὸ πρῶτον τῷ τρίτῳ ὑπάρχει. ἀλλὰ καὶ τὸ οὐκ ἐν ὑποκειμένῳ ὁρίζεται, φημὶ τὴν οὐσίαν, ὅτε καταλέγει τὰ ἴδια τῆς οὐσίας· αἱ γὰρ ὑπογραφαὶ ἐκ τῶν ἰδίων λαμβάνονται. καὶ φαμὲν πρὸς τὰ ἀπορούμενα, ὅτι κανών ἐστιν ὁ λεχθεὶς οὐχ ὁρισμὸς ἢ ὑπογραφή. ἐν οὐδεμιᾷ γὰρ ὑπογραφῇ ἤτοι ὁρισμῷ τὸ ὁριστὸν ἤτοι τὸ τοῦ ὁρισμοῦ ὄνομα ἐν αὐτῇ τῇ ὑπογραφῇ ἢ τῷ ὅρῳ παραλαμβάνεται· οὐδεὶς γὰρ λέγει τὸ ἄνθρωπός ἐστιν ἄνθρωπος ζῶον λογικὸν θνητὸν καὶ ἑξῆς, οὐδὲ τὸ ζῶόν ἐστι ζῶον οὐσία ἔμψυχος αἰσθητική· νῦν δὲ ἐν τῷ κανόνι πολλάκις τὸ ὁριστὸν παρελήφθη, φημὶ τὸ καθ' ὑποκειμένου. πρὸς δὲ τὴν ἄλλην φαμὲν ἀπορίαν, ὅτι οὐδὲν τῶν ἰδίων τῆς οὐσίας, ὧν λέγει, ὑπογραφή ἐστι τῆς οὐσίας· πάντα γὰρ ὅσα αὐτῆς ἴδια καταλέγει ἢ μόνῃ μὲν οὐσίᾳ ὑπάρχει οὐ πάσῃ δέ, ἢ πάσῃ μὲν οὐ μόνῃ δέ, ἡ δὲ ὑπογραφὴ καὶ τὰ κυρίως ἴδια μόνῳ καὶ παντὶ καὶ ἀεὶ θέλουσιν ὑπάρχειν· διττῆς δὲ οὔσης τῆς κατηγορίας, τῆς μὲν καθ' ὑποκειμένου τῆς δὲ ἐν ὑποκειμένῳ, καὶ καθ' ὑποκειμένου μὲν λέγομεν ὅταν τὰ καθόλου τῶν μερικῶν κατηγορῆται, ἐν ὑποκειμένῳ δὲ ὅταν τὸ συμβεβηκὸς τῆς οὐσίας κατηγορῆται. ἡ ἐν ὑποκειμένῳ κατηγορία ἄλλο ἄλλῳ λέγουσα ὑπάρχειν οὐδεμίαν παρέχει ζήτησιν, ἡ δὲ καθ' ὑποκειμένου κατηγορία θέλουσα δεῖξαι τὸ ἕτερον ὅπερ τὸ ἕτερον, τουτέστι τὸ κατηγορούμενον ὅπερ τὸ ὑποκείμενον, ζήτησιν παρέχει. ἐρεῖ γάρ τις, ποῖόν ἐστι τὸ κατηγογούμενον ζῶον τοῦ ἀνθρώπου αὐτὸ τὸ ἐγκατατεταγμένον αὐτῷ ἢ τὸ καθόλου; εἰ μὲν γὰρ τὸ ἐγκατατεταγμένον αὐτῷ, αὐτὸ ἑαυτοῦ κατηγορηθήσεται καὶ ἀδολεσχία ἔσται ἡ κατηγορία, εἰ δὲ τὸ καθόλου, συνεπεκτανθήσεται τὸ μερικὸν τῷ καθόλου καὶ ἔσται τὸ μερικὸν ὅπερ τὸ καθόλου. ἐροῦμεν οὖν, ὅτι τὸ κατηγορούμενον τοῦ ὑποκειμένου καὶ κοινότερον θέλει εἶναι καὶ ἴδιον αὐτοῦ· ὅταν γὰρ λέγωμεν ὁ ἄνθρωπος ζῶον, οὐδὲν ἕτερον φαμὲν ἢ ὅτι ἐν πᾶσι τοῖς ζώοις τύπος τοῦ ζώου καὶ ἀνθρώπῳ ὑπάρχει· ὥσπερ ἡ τοῦ κήρυκος φωνὴ καὶ κοινή ἐστι πάντων ἀκουστὴ καὶ ἰδίᾳ ἑκάστου, ὥσπερ τὸ κέντρον καὶ κοινόν ἐστι πέρας πασῶν τῶν ἐκ τοῦ κέντρου εὐθειῶν καὶ ἴδιον ἑκάστης, ὥσπερ ἡ ὕλη καὶ κοινῶς πᾶσιν ὑπόκειται καὶ ἰδίᾳ ἑκάστῳ, οὕτω καὶ τὸ κατηγορούμενον καὶ κοινὸν θέλει εἶναι καὶ ἴδιον τοῦ ὑποκειμένου· ᾗ μὲν οὖν κοινόν, οὐκ ἔστιν ἀδολεσχία ἡ κατηγορία, ᾗ δὲ ἴδιον, οὐ συνεπεκτανθήσεται τὸ μερικὸν τῷ καθόλου a 1 ἑτέρων γενῶν C 3 προλαμβ. Ammon.: προσλαμβ. CFa 5 σειρᾶς F ἐκδέδοται a 6 ἐντ. ἡμῖν coll. a ὁ φιλ. παραδ. coll. F τε πάντῃ om. C 6. 7 ἑτερογενῶν (utrobique) a 7 ὅτι] ἐπὶ F post γενῶν add. καὶ μὴ ὑπάλληλα τεταγμένων a 10 ante τὸ θν. add. καὶ F 12 τῷ Coisl. 330: τὸ CF: ἢ τὸ a τῆς ἐπιστήμης F 13 διαιρετικὰ a

ὑπάρχουσιν αἱ διαφοραὶ ἑτέρων ὄντων τῶν γενῶν. | ἐπειδὴ δὲ τὰ ἕτερα 35r
γένη πολλαχῶς λέγεται (λέγεται γὰρ ἕτερα ἢ τὰ πάντῃ διεστηκότα ἀλλή-
λων, ὡς ἡ οὐσία καὶ τὸ ποσόν, ἢ τὰ μὴ πάντῃ κεχωρισμένα ἀντιδιῃρη-
μενα μέντοι ἀλλήλοις ἀπὸ τῆς αὐτῆς διαιρέσεως, οἷον τὸ πτηνὸν καὶ τὸ
5 ἔνυδρον· ἔχει γὰρ ταῦτα κοινὸν γένος τὸ ζῷον· λέγεται δὲ καὶ τὰ ὑπάλληλα 15
ἕτερα, ὡς ἡ οὐσία καὶ τὸ σῶμα), διὰ τοῦτο εἶπε καὶ μὴ ὑπ' ἄλληλα
τεταγμένων· τούτων μὲν γὰρ ἐνδέχεται τὰς αὐτὰς εἶναι διαφοράς, οἷον
τοῦ τε ἁπλῶς ζῴου καὶ τοῦ λογικοῦ ζῴου· ἀμφοτέρων γὰρ αἱ αὐταὶ δια-
φοραὶ αἵ τε συστατικαὶ καὶ αἱ διαιρετικαί· συστατικαὶ γὰρ ἀμφοτέρων τὸ 20
10 ἔμψυχον καὶ τὸ αἰσθητικόν· ἀλλὰ καὶ αἱ διαιρετικαὶ αἱ αὐταί, τὸ θνητὸν
καὶ τὸ ἀθάνατον. τῶν δὲ μὴ ὑπ' ἄλληλα τεταγμένων ἀλλ' ἑτέρων οὔτε
αἱ συστατικαὶ οὔτε αἱ διαιρετικαὶ αἱ αὐταί, ὡς ἐπὶ τοῦ ζῴου εἴπομεν καὶ
τῆς ἐπιστήμης. τῶν δέ γε ὑπαλλήλων, ὡς εἴρηται, αἱ μὲν συστατικαὶ 25
πάντως αἱ αὐταί, αἱ δὲ διαιρετικαὶ οὐ πάντως αἱ αὐταί, ἀλλ' ἐνδέχεται
15 εἶναι καὶ ἑτέρας, ὡς ἐπὶ τοῦ ζῴου καὶ τοῦ ἀλόγου ζῴου· συστατικαὶ μὲν
γὰρ αἱ αὐταί, ὡς εἴρηται, διαιρετικαὶ δὲ οὐχὶ αἱ αὐταί· τοῦ μὲν γὰρ
ἁπλῶς ζῴου τὸ λογικὸν καὶ τὸ ἄλογον, τὸ θνητὸν καὶ τὸ ἀθάνατον, | τοῦ 35v
δὲ ἀλόγου τὸ πτηνὸν τὸ ἔνυδρον τὸ χερσαῖον. ὁ αὐτὸς δὲ λόγος ἁρμόσει
καὶ ἐπὶ τῶν ἀντιδιῃρημένων ἀλλήλοις γενῶν· καὶ τούτων γὰρ συστατικαὶ
20 μὲν αἱ αὐταί, διαιρετικαὶ δὲ ἕτεραι· ἀλόγου μὲν γὰρ αἱ εἰρημέναι, λογι- 5
κοῦ δὲ θνητὸν ἀθάνατον οὐράνιον χθόνιον.

Καλῶς δὲ τῷ εἴδει προσέθηκε, τοῦτ' ἔστι τῷ πράγματι· ἐνδέχεται
γὰρ τῶν ἑτέρων γενῶν κατὰ ἀναλογίαν τὰς αὐτὰς εἶναι διαφοράς· λέγομεν
γὰρ τῶν σκευῶν τὰ μὲν εἶναι ὑπόποδα τὰ δὲ ἄποδα· ἄποδα μὲν θυία καὶ 10
25 δοίδυξ καὶ τὰ τοιαῦτα, ὑπόποδα δὲ θρόνος καὶ κλίνη· ἀλλὰ καὶ τῶν
ζῴων τὰ μὲν λέγομεν ὑπόποδα εἶναι τὰ δὲ ἄποδα. ἀλλ' αὗται αἱ δια-

---

1 post γενῶν add. ex Marc. 217 ἄλλως δὲ διεῖλε πλάτων ἐν γοργίᾳ, ὅτι τῶν ἐπιστημῶν αἱ μέν εἰσι μόνως λογικαί, ὡς ἡ διαλεκτική, αἱ δέ μόνως πρακτικαί, ὡς ἡ γραφική, αἱ δὲ μικταί, λογικαὶ ἅμα καὶ πρακτικαί· καὶ τοῦτο τριχῶς· ἢ γὰρ ἐπίσης ἔχουσι λόγου καὶ πράξεως, ὡς ἡ κιθαρῳδία· ἅμα γὰρ ᾄδει καὶ κιθαρίζει. διαφέρει δὲ τῆς κιθαριστικῆς, ὅτι αὕτη μὲν πλήττει καὶ ᾄδει, ἡ κιθαριστικὴ δὲ πλήττει μόνον. ὡς ἡ πεττευτικὴ τῆς βίβλου πρακτικόν τι τῶν δεῖται καὶ τῆς μεταθέσεως προδιομολογεῖ τὰ ἀπὸ τῆς βολῆς· ἢ οὖν αἱ μικταὶ ἐπίσης ἔχουσι τῷ λόγῳ τὴν πρᾶξιν ἢ πλείονα ἔχει τὸν λόγον τῆς πράξεως, ὡς ἡ ὑποκριτική, κατὰ τὸ ὑπο- μένον ἀπό τινος· ἀπόδος ἅπερ ἔλαβες ἐμοῦ πατρὸς πάρα· τοῦ δὲ κατὰ τὸ σιωπώμενον ἀνα- νεύσαντος εἶπεν· οὐ χρήματα ἔφην. ἢ τὸ ἀνάπαλιν πλείονα τὴν πρᾶξιν τοῦ λόγου, ὡς ἡ ἰατρική· ἰατρικὴ γὰρ εἴρηται ὡς ἰατρικὴ μᾶλλον οὖσα ἢ λογική· καὶ τῷ λόγῳ γὰρ διὰ τὴν διάγνωσιν χρῆται καὶ τὴν θεραπείαν· ὁ γὰρ ἄριστα γνοὺς ἄριστα θεραπεύσει a

ἐπεὶ C 2 λέγεται (alt.) om. F 3 ἡ om. a 3. 4 ἀντιδιαιρούμενα a 4 ἀλλήλων C post οἷον add. καὶ a 6 ἡ om. Fa alt. καὶ] τὸ C 10 τὸ (pr.) om. a 10. 12 ante αἱ αὐταί add. καὶ F 12 τοῦ om. F 14 καὶ πάντ. (pr. l.) F 16 οὐχ a 17 τὸ (ante ἀθάν.) om. Fa 18 καὶ τὸ ἔνυδρ. καὶ τὸ χερσ. F 19 διηρημ. F ἀλλήλων C 20 αἱ αὐτ.] ἑαυταὶ C¹ 22 post πράγμ. add. ἵνα τὰς οὐσιώδεις λάβωμεν διαφοράς a 24 θυεία a 24. 25 καὶ δοίδυξ om. a 25 alt. καὶ om. C 26 λέγ. τὰ μὲν εἶναι ἄπ. τὰ δὲ ὑπ. coll. Ca

φοραὶ οὐκ εἰσὶν εἰδοποιοί· οὐ γὰρ τῷ εἶναι δίπους ὁ ἄνθρωπος χαρακτηρί- 35v
ζεται. ἀλλ' οὐδὲ εἰ τῇ φωνῇ αἱ αὐταὶ εἶναι δοκοῦσι διαφοραί, ἤδη καὶ 15
κατ' εἶδος αἱ αὐταί εἰσιν· οὐδὲ γὰρ τοῦ αὐτοῦ εἴδους οἵ τε τῆς κλίνης
πόδες καὶ οἱ τοῦ ζῴου, ἐπεὶ μηδὲ ἡ ἐνέργεια ἡ αὐτή. ἐξ ἀναλογίας δὲ
5 εἴπερ ἄρα ἡ ὁμοιότης· τὰ γὰρ κάτω μέρη οἷον ἐρείσματα καὶ τοῦ ζῴου
καὶ τῆς κλίνης πόδες καλοῦνται· ὡς γὰρ πρὸς ζῷον οἱ πόδες, οὕτω καὶ 20
πρὸς κλίνην οἱ ἐρμῖνες· ἀλλ' οὐκέτι καὶ τὰς λοιπὰς χρείας τῶν ποδῶν
ἀποδιδόασι, τὸ βαδίζειν φέρε καὶ συμμετάγειν τῇ ἰδίᾳ κινήσει τὸ σῶμα
καὶ τὰ παραπλήσια· ὥστε οὐκ εἴδει οἱ αὐτοί, ἀλλὰ φωνῇ καὶ ἀναλογίᾳ.

10 p. 1b18 Ζῴου μὲν γὰρ διαφοραὶ οἷον τὸ πεζὸν καὶ τὸ πτηνὸν 25
καὶ τὸ δίπουν καὶ τὸ ἔνυδρον.

Αἱ τῶν γενῶν διαφοραὶ πολλαχῶς δύνανται διαιρεῖσθαι, οἷον τοῦ
ζῴου διαφοραὶ οὐσιώδεις μὲν τὸ λογικὸν καὶ τὸ ἄλογον, ἀπὸ τοῦ χρόνου
δὲ τῆς ζωῆς ὡς θνητὸν καὶ ἀθάνατον, καὶ ἀπὸ τοῦ τόπου ἐν ᾧ διατρί-
15 βουσιν ὡς τὸ πτηνὸν καὶ τὸ πεζὸν καὶ τὸ ἔνυ|δρον, καὶ ἀπὸ τῶν μορίων 36r
τοῦ σώματος ὡς τὰ ὑπόπουδα καὶ τὰ ἄποδα. καὶ ἕτεραι δέ εἰσι διαφοραὶ
ἐξ ἄλλων ὑπαρχόντων αὐτοῖς. ὁ δὲ Ἀριστοτέλης παραδείγματι χρησά-
μενος τῷ ἀπὸ τοῦ τόπου ἐπίτηδες ἐν μέσῳ καὶ ἀπὸ ἑτέρας διαιρέσεως 5
παρενέβαλε τῆς ἀπὸ τῶν μορίων παράδειγμα, διδάξαι βουλόμενος ὡς ἀδιά-
20 φορον καὶ ἑτέρας παραλαμβάνειν διαφορὰς ἐπὶ τῶν προκειμένων εἰς ἐξέ-
τασιν γενῶν· οὔτε γὰρ κατὰ πρώτην διαίρεσιν οὔτε κατὰ δευτέραν οὔτε
κατ' οὐδεμίαν ἁπλῶς κοινωνοῦσιν ἀλλήλοις τὰ ἕτερα γένη. 10

p. 1b20 Τῶν δέ γε ὑπ' ἄλληλα γενῶν οὐδὲν κωλύει τὰς αὐτὰς
διαφορὰς εἶναι.

25 Καλῶς εἶπεν οὐδὲν κωλύει· οὐ γὰρ ἐξ ἀνάγκης αἱ αὐταί εἰσι διαφοραὶ τῶν ὑπαλλήλων γενῶν, ὡς εἰρήκαμεν, πολλάκις μέντοι συμβαίνει τὰς αὐτὰς εἶναι· αἱ μὲν γὰρ συστατικαὶ ἀεὶ αἱ αὐταὶ ὑπάρχουσιν, εἰ καὶ 15
μὴ μόναι (πλείονες γὰρ αἱ τῶν ὑποκάτω), ἔστι δ' ὅτε καὶ αἱ διαιρετικαί,
ὡς εἴρηται ἀνωτέρω.

---

1 τῷ] τὸ Fa 4 ἡ (prius) om. Ca ἀγγελίας C 4. 5 δὲ εἴπερ om. F 5 post μέρη add. καὶ C ἔρεισμα F τοῦ om. a 7 τῶν γὰρ ποδῶν F 8 φέρε om. F: φέρε εἰπεῖν a 10 οἷον om. Arist. τό τε πεζ. Arist. 10. 11 καὶ τὸ δίπ. καὶ τὸ πτ. coll. Arist. 11 τὸ (ante ἔνυδρ.) om. C 13 τὸ (ante ἄλογ.) om. a 15 post πεζὸν add. καὶ τὸ δίπουν a 16 δέ om. F 18 post διαφ. add. διαφορὰς Ca 20 διαφ. παραλαμβάνει (sic) C 22 ἑτερογενῆ a 24 εἶναι διαφ. coll. F 26 εἰρήκαμεν] p. 41, 13 28 μόνον F αἱ (alt.) om. a

p. 1b25 Τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον 36r
ἤτοι οὐσίαν σημαίνει ἢ ποσὸν ἢ ποιόν.

Παραδοὺς τῶν φωνῶν τὴν εἰς δύο διαίρεσιν, τήν τε εἰς τὰς ἁπλᾶς καὶ τὰς συμπεπλεγμένας, ἠβουλήθη κατὰ τὸν αὐτὸν τρόπον καὶ τὴν τῶν 30
5 πραγμάτων διαίρεσιν ποιήσασθαι | καθ' ἑκάτερον τμῆμα. παραδοὺς οὖν 36v
ἡμῖν πρότερον τὴν εἰς τέσσαρα τῶν ὄντων διαίρεσιν ὡς συμπεπλεγμένων νῦν τὴν εἰς δέκα διαίρεσιν παραδίδωσιν ὡς ἁπλῶν, καὶ πρότερον διὰ παραδειγμά- 5
των οἱονεὶ σκιαγραφεῖ ἡμῖν αὐτά, ἵνα εἰς ἔννοιάν τινα αὐτῶν ἡμᾶς ἀγάγῃ, ὕστερον δὲ διηρθρωμένως ἡμᾶς περὶ ἑκάστου διδάξει. διὰ τί δὲ εἶπε
10 τῶν κατὰ μηδεμίαν συμπλοκήν; τί γάρ; εἰσὶ πλείους συμπλοκαί; λέγομεν ναί· ἢ γὰρ ἡ μὲν φωνὴ ἁπλῆ ἐστι τὸ δὲ σημαινόμενον σύνθε- 10
τον, ὡς τὸ τρέχω, ἢ τὸ μὲν σημαινόμενον ἁπλοῦν ἡ δὲ φωνὴ σύνθετος, ὡς τὸ Ἄρειος πάγος καὶ Κόρακος πέτρα καὶ ὡς οἱ ὁρισμοὶ καὶ τὰ ὁριστά, ἢ καὶ τὸ σημαινόμενον καὶ ἡ φωνὴ σύνθετα, ὡς ὅταν εἴπω 'Σωκράτης
15 περιπατεῖ', ἢ ἀμφότερα ἁπλᾶ, ὡς αἱ κατηγορίαι. ἐνταῦθα οὖν τῶν κατὰ 15
μηδεμίαν συμπλοκὴν λεγομένων τὴν διαίρεσιν ποιεῖται τῶν μήτε κατὰ φωνὴν μήτε κατὰ τὸ σημαινόμενον συμπεπλεγμένων. καλῶς δὲ εἶπε λεγομένων διὰ τοὺς συνδέσμους καὶ τὰ ἄρθρα καὶ τὰς προθέσεις, ἅτινα καθ' αὑτὰ οὐ λέγεται οὐδὲ σημαίνει τι, ἀλλ' ἁπλῶς φωναί εἰσι 20
20 συνεκφωνούμεναι μετὰ ἄλλων καὶ οὕτως συσσημαίνουσαι ἐκείναις πράγματα. καὶ ἐντεῦθεν δὲ πάλιν πρόδηλος ὁ σκοπὸς τοῦ βιβλίου· τῶν γὰρ κατὰ μηδεμίαν, φησί, συμπλοκὴν λεγομένων ἕκαστον ἤτοι οὐσίαν σημαίνει· ὥστε περὶ φωνῶν σημαινουσῶν πράγματα διαλαμ- 25
βάνει· δῆλον οὖν ὅτι καὶ περὶ τῶν μεταξὺ νοημάτων. ὅτι δὲ καὶ

1 τῶν δὲ C 5 post τμῆμα add. τῶν φωνῶν F 6 πρότ. ἡμῖν coll. F συμπλεκομένων F post συμπ. add. τῆς καθόλου δηλαδὴ οὐσίας καὶ τῆς μερικῆς τοῦ καθόλου συμβεβηκότος καὶ τοῦ μερικοῦ a νῦν δὴ C
7 παραδειγμ.] πραγμάτων a 8 οἱονεὶ] ὡσανεὶ C αὐτὰ ἡμῖν coll. C 9 διδάξῃ Ca 11 λέγομεν om. a 13 ἡ κόρακος Ca
17 συμπλεκομένην F 20 συσσημαινόμεναι a ἐκείναις scripsi: ἐκείνοις Ca: ἐκείνης F 21 πάλιν a: δῆλον F: om. C 22 ἤτοι om. C 24 οὖν] μὲν C post νοημάτων add. ex Marc. 217 Ἰστέον ὅτι λόγῳ ὑπογράφων τὰ πράγματα ἀμυδρὰν ἔμφασιν ἡμῖν παρέχεται τῶν κατηγοριῶν· ἡ μὲν γὰρ παχυμερὴς αὐτῶν διδασκαλία ἐπὶ ψιλῶν τῶν παραδειγμάτων πρόεισι μόνον, ἡ δὲ λεπτομερὴς τά τε ἴδια καταλέγει ἑκάστης καὶ τὴν διαίρεσιν, ἵνα καὶ τὰ ὑπάρχοντα ταῖς κατηγορίαις γνῶμεν διὰ τῶν ἰδίων καὶ τὰ οἷς αὗται ὑπάρχουσι διὰ τῆς διαιρέσεως. ἀλλ' αὐτὸς μὲν ἐπὶ δέκα παραδειγμάτων ποιεῖται τὴν ἀπαρίθμησιν τῶν δέκα κατηγοριῶν, ἡμεῖς δὲ ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ παραδείγματος ποιησόμεθα τὴν διδασκαλίαν, ἐπὶ τοῦ σωκράτους. ὁ τοίνυν σωκράτης οὐσία μὲν ὡς ἄνθρωπος καὶ ποσὸν ὡς δίπηχυς ἢ τρίπηχυς, ποιὸν δὲ ὡς λευκὸς ἢ μουσικός, πρός τι δὲ ὡς κηδεμὼν τῶν νέων ἢ σωφρονίσκου υἱός, ποῦ δὲ ὡς ἐν λυκείῳ διδάσκων, ποτὲ δὲ ὡς ἐπὶ τῶν πελοποννησιακῶν χρόνων γεγονώς, καὶ ποιεῖν ὡς ὁρῶντα καὶ πάχειν ὡς ὁρώμενον, κεῖσθαι ὡς ἑστῶτα ἢ καθήμενον ἢ ἀνακεκλιμένον ὑπὸ τὴν πλάτανον διὰ τὸ χαμαιπετὲς τῶν τοῦ λυσίου λόγων

περὶ ἁπλῶν τούτων, προφανές· τῶν κατὰ μηδεμίαν γάρ φησι συμ- 37v
πλοκήν λεγομένων.

p. 2a3 Ἔχειν δὲ οἷον ὑποδέδεται ὥπλισται.

Ζητοῦσί τινες τί δή ποτε μὴ ὥσπερ τῷ ποιεῖν τὸ πάσχειν ἀντίκειται 20
5 καὶ κατηγορίαν μίαν μὲν ἔταξε τὴν τοῦ πάσχειν, ἑτέραν δὲ τὴν τοῦ ποιεῖν,
οὕτω καὶ ἐνταῦθα τοῦτο ποιεῖ· τῷ γὰρ ἔχειν τὸ ἔχεσθαι ἀντίκειται, καὶ
οὐκ εἶπε κατηγορίαν τὴν τοῦ ἔχεσθαι, ἀλλὰ μόνην τὴν τοῦ ἔχειν. φαμὲν
οὖν ὅτι ὑπὸ τὸ κεῖσθαι τοῦτο ἀναχθῆναι δύναται, λέγω δὴ τὸ ἔχεσθαι· 25
ἔχεσθαι γὰρ λέγομεν τὸ κείμενόν που, ὡς ἐν κήπῳ, εἰ τύχοι, δένδρα ἢ
10 ὡς ἐν σώματι ὅπλον ἢ ἱμάτιον· * οὐκοῦν ταῦτα ἔχεσθαι κληθείη ὑπ'
αὐτοῦ, καὶ ὁ κῆπος ἔχειν δένδρα, οὐκοῦν καὶ ταῦτα ἔχεσθαι ὑπ' αὐτοῦ.
ταῦτα δὲ καὶ κεῖσθαι, ὡς εἴρηται, φήσομεν. ὅθεν καὶ οὕτω πολλάκις
φαμὲν ὅτι περίκειται ἱμάτιον ἢ περίκειται ὁ δεῖνα τὰ ὅπλα. ὥσπερ οὖν
ἐπὶ τοῦ ποιεῖν καὶ πάσχειν ἀμφότεραι αἱ κατηγορίαι τῷ μὲν ὑποκειμένῳ
15 αἱ αὐταί εἰσι, τῇ δὲ σχέσει διαφέρουσιν (ὅταν μὲν γὰρ ἀπὸ τοῦ | ποι- 38r
οῦντος ἀρξώμεθα, ποιεῖν λέγομεν, ὅταν δὲ ἀπὸ τοῦ πάσχοντος, πάσχειν),

---

ἀκροᾶσθαι (ἢ γὰρ πάντα ὄρθια τὰ μέλη καὶ λέγεται ἑστάναι, ἢ πάντα ὕπτια καὶ λέγεται ἀνακεκλίσθαι), ἔχειν δὲ ὡς ἱμάτια περικείμενα. καὶ ἀποροῦσι τινὲς ὅτι πῶς λέγομεν ὅτι ἁπλαῖ εἰσὶν αἱ κατηγορίαι, εἴ γε αἱ τέσσαρές εἰσιν, ὡς προείρηται, ἁπλαῖ, αἱ ἓξ δὲ σύνθετοι· καὶ λέγομεν ὅτι συνθέτους αὐτὰς καλοῦμεν, διότι ἔμφασιν ἡμῖν συνθέσεως εἰσάγουσιν, ἐπεὶ αὗται ἁπλαῖ εἰσιν· οὐ γὰρ κατηγορία τὸ ἐν τόπῳ ὂν οὐδὲ κατηγορία τὸ ἐν χρόνῳ ὄν, ἀλλὰ κατηγορία τὸ ἐν τόπῳ εἶναι καὶ τὸ ἐν χρόνῳ εἶναι· διὰ τοῦτο γὰρ καὶ ἀπαρεμφάτους ὠνόμασέ τινας ἐξ αὐτῶν, ἵνα μὴ τῷ ἐφέλκεσθαι πρόσωπα σύνθεσίν τινα εἰσαγάγῃ. οἷον τὸ ποιεῖν καὶ τὸ πάσχειν καὶ τὸ ἔχειν καὶ τὸ κεῖσθαι ἀπαρέμφατά εἰσιν. ἐπειδὴ δὲ γένος τὸ ὂν τῶν δέκα κατηγοριῶν, δύνανται καὶ τάξιν ἐπιδέχεσθαι· προτέρα οὖν ἡ οὐσία ὡς ὑποκειμένη πᾶσι, δεύτερον τὸ ποσόν, ἐπεὶ καὶ ἡ ἀνείδεος ὕλη πρότερον ποσοῦται εἶθ' οὕτω ποιοῦται, τρίτον τὸ ποιὸν καὶ τοῦ πρός τι πρῶτον, ἐπειδὴ καὶ τὸ καθ' αὑτὸ τοῦ ἐν σχέσει πρῶτον. ἀλλ' εἰ τοῦτο οὕτω, πρότερα τὰ ἐξ οὐσίας καὶ ποσοῦ τῶν ἐξ οὐσίας καὶ ποιοῦ, καὶ τὰ ἐξ οὐσίας καὶ ποιοῦ τῶν ἐξ οὐσίας καὶ πρός τι. Ἔστι δὲ οὐσία μὲν ὡς τύπῳ εἰπεῖν· οὐ πασῶν οὐσίαν σημαίνει· οὐ γὰρ ἀναφαίνεται ἡ νοηνὴ οὐσία, ἀλλ' ἡ αἰσθητή· σὺ δὲ ὑπάκουε οὐσίας καὶ τὰ λοιπά, ὅσα αὐθυπόστατα πράγματά εἰσι καὶ μηδενὸς ἑτέρου δεόμενα εἰς τὸ ὑποστῆναι. Ποιὸν δὲ οἷον λευκὸν γραμματικόν· ἐνταῦθα δεῖ ἐπισημνήνασθαι, ὅτι τῆς ποιότητος πάσης μὲν οὔσης ἐν ὑποκειμένῳ, οὐ πάσης δὲ τὸ αὐτὸ ὑποκείμενον κατ' εἶδος λαχούσης, ἀλλὰ τῆς μὲν ἐν σώματι συνισταμένης, οἷον θερμότητος, τῆς δὲ ἐν ψυχῇ τὸ εἶναι ἐχούσης, οἷον γεωμετρίας, βουλόμενος διὰ τῶν παραδειγμάτων ἐνδείξασθαι τὸ διττὸν εἶδος τῆς ποιότητος, ἐπεφώνησε λέγων, ποιὸν δὲ οἷον λευκὸν πραγματικόν (sic), τῆς μὲν ἐν ὑποκειμένῳ σώματι ποιότητος ὑπόδειγμα λαβὼν τὸ λευκὸν τῆς δὲ ἐν τῇ ψυχῇ τὸ εἶναι ἐχούσης τὸ γραμματικόν. ἔχειν δὲ οἷον

ὡπλίσθαι καθωπλίσθαι a 1 τοῦτο C 2 λεγομένων om. Ca 3 δὲ om. C ὑποδεδέσθαι ὡπλίσθαι a 4 τῷ ποιεῖν τὸ πάσχ. Ammon.: τὸ ποιεῖν τὸ πάσχ. C: τὸ πάσχ. τῷ ποιεῖν F: τὸ ποιεῖν τῷ πάσχ. a 5 μίαν μὲν om. F: μίαν om. a τὴν ἀπὸ τοῦ (utrobique) C 6 οὕτω] οὐ C τὸ γὰρ ἔχειν τῷ ἔχ. Ca 7 οὐκ om. C μόνον γε τοῦ ἔχειν a 10 ante οὐκοῦν defectum signavi, suppleveris τὸ σῶμα γὰρ ἔχειν λέγεται ὅπλον ἢ ἱμάτιον οὐκοῦν — ἱμάτιον (13) om. a 11 καὶ ὁ κῆπος — ὑπ' αὐτοῦ om. etiam C 15 σχέσει δὲ coll. F

οὕτως καὶ ἐνταῦθα τὸ ἔχειν καὶ τὸ κεῖσθαι ἤτοι ἔχεσθαι τῷ μὲν ὑπο- 38r
κειμένῳ ταὐτά εἰσι, τῇ δὲ σχέσει διαφέρουσιν· ὅταν μὲν γὰρ ἀπὸ τοῦ
ἔχοντος ἀρξώμεθα, ἔχειν λέγομεν, ὅταν δὲ ἀπ' ἐκείνου ὃ ἔχειν τις λέγεται, 5
κεῖσθαι ἤτοι ἔχεσθαι.

5 p. 2a4 Ἕκαστον δὲ τῶν εἰρημένων αὐτὸ μὲν καθ' αὑτὸ ἐν οὐδεμιᾷ καταφάσει λέγεται ἢ ἀποφάσει, τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ κατάφασις ἢ ἀπόφασις γίνεται.

Ἐντεῦθεν διακρίνει τὸν σκοπὸν τοῦ προκειμένου βιβλίου τοῦ ἐφεξῆς, λέγω δὴ τοῦ Περὶ ἑρμηνείας, ὅτι ἐν τούτῳ μὲν διδάσκει περὶ ἁπλῶν 15
10 φωνῶν, ἐν ἐκείνῳ δὲ περὶ καταφάσεως καὶ ἀποφάσεως· διακρίνει δὲ συλλογισμῷ χρώμενος ἐν δευτέρῳ σχήματι, μέσον ὅρον λαμβάνων τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος· φησὶ γὰρ 'πᾶσα κατάφασις ἢ ἀπόφασις ἀλήθειαν ἢ ψεῦδος σημαίνει, ἀλλὰ μὴν οὐδεμία ἁπλῆ φωνὴ ἀλήθειαν ἢ ψεῦδος 20
σημαίνει· οὐδεμία ἄρα ἁπλῆ φωνὴ κατάφασιν ἢ ἀπόφασιν σημαίνει'. οὐδὲ
15 γὰρ ἐὰν εἴπω μυριάκις 'ἄνθρωπος ἄνθρωπος', οὔτε ἀληθεύω οὔτε ψεύδομαι. ὁμοίως δὲ κἂν μυριάκις εἴπω 'περιπατεῖ περιπατεῖ', οὔτε ἀληθεύω οὔτε ψεύδομαι. εἰ δέ τις εἴποι ὅτι ἐὰν εἴπῃ τις 'περιπατῶ', ἢ ἀληθεύει ἢ ψεύδεται (εἰ γὰρ τύχοι περιπατῶν, ἀληθεύει, εἰ δὲ μή, ψεύδεται), λέγο- 25
μεν ὅτι ὁ εἰρηκὼς 'περιπατῶ' δυνάμει περιέλαβε τὸ ἐγώ, ὡς ἂν εἰ ἔλεγε
20 'περιπατῶ ἐγώ'· ὥστε πᾶς ὁ λέγων 'περιπατῶ' δυνάμει περιλαμβάνει πρὸς ὑπόστασιν καὶ τοῦ ἀληθοῦς καὶ τοῦ ψευδοῦς τὸ ἐγώ καὶ οὐχὶ κατη-
γορίαν μόνην αὐτὴν καθ' αὑτὴν λέγει οὐδὲ ἁπλῆν φωνήν· εἴπο|μεν γὰρ 38v
ἤδη ὅτι οὐ τῇ φωνῇ μόνῃ κριτέον τάς τε ἁπλᾶς καὶ τὰς συνθέτους, ἀλλ' ὅτι καὶ συμπεπλεγμέναι φωναὶ εἰ ἁπλοῦν τι σημαίνοιεν, ἁπλαῖ εἰσι, καὶ
25 ἁπλαῖ τινες εἰ συμπεπλεγμένον καὶ μὴ ἁπλοῦν ἔχοιεν τὸ νοητόν, σύνθετοι· 5
ὥστε τὸ τρέχω οὐχ ἁπλοῦν, ἐπεὶ μηδὲ τὸ σημαινόμενον ἁπλοῦν. εἶπε δὲ ὁ Ἀριστοτέλης, αὐτὴν ταύτην τὴν ἀπορίαν προαναστέλλων. ὅτι τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων, τοῦτ' ἔστι τῶν μηδὲ κατὰ τὸ σημαινόμενον συμπεπλεγμένων. αἱ μὲν οὖν ἁπλαῖ φωναί, ὡς εἴρηται,
30 οὐδεμίαν ἀλήθειαν ἢ ψεῦδος σημαίνουσιν αὐταὶ καθ' αὑτὰς λεγόμεναι, 10
πᾶσα μέντοι κατάφασις ἢ ἀπόφασις πάντως ἤτοι ἀλήθειαν ἢ ψεῦδος σημαίνει, οἷον ἐὰν εἴπω 'Σωκράτης περιπατεῖ', εἰ μὲν τύχοι περιπατῶν, ἠλήθευσα, εἰ δὲ καθήμενος, ἐψευσάμην, καὶ πάλιν ἐὰν εἴπω 'Σωκράτης οὐ 15
περιπατεῖ', εἰ μὲν τύχοι μὴ περιπατῶν, ἠλήθευσα, εἰ δὲ περιπατῶν,

---

3 post λέγομεν add. ὑπ' ἐκείνου F 11 μέσον δὲ ὅρον λαμβάνει a 13 ἀλλὰ μὴν οὐδ.] οὐδεμία δὲ Ca 13. 14 ἀλήθειαν — φωνὴ om. a 17 εἴπῃ (pr. l.) F 18 τύχοι a Ammon.: τύχῃ CF 19 ὁ om. F ἐὰν F 20 περιλαμβάνει a: περιέλαβε C: om. F 21 καὶ (primum) om. C 22 καθ' αὑτὴν om. C εἴπομεν] p. 26,8 sq. 23 μόνον C ῥητέον F 24 σημαίνειεν Ca 25 ἔχουσι F 27 αὑτὴν om. F 29 συμπεπλεγμένων om. F 32 ἐὰν] ὅταν C τύχοι a: τύχῃ CF (cf. v. 18) 32. 33. 34 ἠλήθευσα C 34 τύχῃ C

ἐψευσάμην. αἱ οὖν κατηγορίαι, ὡς εἴρηται, ἁπλαῖ φωναὶ οὖσαι οὐδεμίαν 38v
ἀλήθειαν ἢ ψεῦδος σημαίνουσι, συμπλεκόμεναι δὲ πρὸς ἀλλήλας ποιοῦσι
κατάφασιν ἢ ἀπόφασιν, ἐν αἷς ἡ ἀλήθεια καὶ τὸ ψεῦδος, οἷον 'ἄνθρωπος 20
τρέχει' ἔκ τε οὐσίας καὶ τοῦ ποιεῖν ⟨γέγονε κατάφασις⟩, προσλαβοῦσα δὲ
5 ἡ κατάφασις μέσον τὸ ἀρνητικὸν μόριον γίνεται ἀπόφασις, οἷον 'ἄνθρωπος
οὐ περιπατεῖ.'

p. 2a5 Ἐν οὐδεμιᾷ καταφάσει λέγεται ἢ ἀποφάσει.

Τὰ πολλὰ τῶν βιβλίων καὶ δοκοῦντα καλῶς ἔχειν οὐκ ἔχει τὸ ἢ
ἀποφάσει, ἀλλὰ μόνον τὸ ἐν οὐδεμιᾷ καταφάσει λέγεται· εἰ γὰρ 25
10 κατάφασιν οὐ σημαίνει οὐδεμία τῶν κατηγοριῶν, πολλῷ μᾶλλον οὐδὲ ἀπό-
φασιν. ἐπειδὴ δέεται καὶ τοῦ ἀρνητικοῦ μορίου καὶ μᾶλλον ὑποπτεύσει
τις ⟨τὸ⟩ ποιεῖν ⟨ἤ⟩ τινα τῶν ἄλλων κατηγοριῶν κατάφασιν εἶναι, ἤπερ
ἀπόφασιν. 39r

Ζητοῦσι δέ τινες ὑπὸ ποίαν κατηγορίαν δεῖ ἀνάγειν τό τε σημεῖον
15 καὶ τὸ νῦν καὶ τὴν μονάδα. ὑπὸ μὲν τὴν οὐσίαν οὐκ ἐνδέχεται· ἡ γὰρ
οὐσία αὐθυπόστατόν τί ἐστι, τούτων δὲ οὐδὲν ἰδίαν ἔχει ὑπόστασιν· τό τε 10
γὰρ σημεῖον ἐν γραμμῇ ἔχει τὸ εἶναι πέρας ὂν γραμμῆς καὶ ἀρχή, καὶ
τὸ νῦν ἐν χρόνῳ· ἀρχὴ γάρ ἐστι καὶ πέρας χρόνου καὶ οὐ χρόνος (νῦν
δὲ λέγω τὸ ἀκαριαῖον, οὐ τὸ πλατυκῶς λεγόμενον), καὶ ἡ μονὰς ἀρχὴ
20 ἀριθμοῦ. ἀριθμὸς δὲ οὐδαμῶς. διὸ οὐδὲ ἰδίᾳ ἐστὶν ἀριθμός. ἀλλ' ἐν ἀριθμῷ 15
ἔχει τὸ εἶναι· ἀρχὴ γάρ ἐστιν, ἡ δὲ ἀρχὴ ἐν ἐκείνοις ἔχει τὸ εἶναι ὧν
ἐστιν ἀρχή. ἀλλὰ μὴν οὐδὲ ποσὰ ταῦτα λέγειν δυνατόν· τοῦ γὰρ ποσοῦ
ἴδιον τὸ ἴσον καὶ τὸ ἄνισον, τὸ δὲ σημεῖον ἢ τὸ νῦν τίνι ἂν εἴη ἴσον;
οὔτε γὰρ σημεῖον σημείῳ λέγεται ἴσον οὔτε τὸ νῦν ὁμοίως, ἀλλ' οὐδὲ ἡ 20
25 μονὰς μονάδι ᾗ μονάς ἐστιν· ἴσα γὰρ λέγομεν τὰ τὸ ποσὸν ἔχοντα τὸ
αὐτὸ καὶ μέρη ὁμοίως τὰ αὐτά, ταῦτα δὲ οὔτε ποσά ἐστι καὶ ἀμερῆ· ἀλλ'
οὐδὲ ἄνισον ἐπὶ τούτων λεχθῆναι δύναται, εἰ καὶ συγχωρήσει τις ἐπὶ τού-

1 εἴρηται] p. 43,23 sq. 45,9 οὖσαι φωναὶ coll. a 4 γέγονε κατάφασις Ammon.: om. CFa 5 μέσον post μόριον coll. F τὸ] τι a 7 καταφ. λέγ.] κάταφ. γίνεται C: γίνεται καταφ. F (sed cf. v. 9) 8 ἢ a Ammon.: om. CF 10 οὐ σημαίνει] οὐσία C 11 δεῖται a ὑποπτεύει F 12 τὸ Ammon.: om. CFa ποιεῖν om. Ca ἢ addidi ἄλλων om. C ἤπερ] ἢ F 14 ante ζητοῦσι add. ex Ammon. (p. 35, 3) Πᾶσα γὰρ δοκεῖ κατάφασις ἢ ἀπόφασις ἤτοι ἀλήθειαν ἢ ψεῦδος σημαίνειν. Τὸ δοκεῖ πρόσκειται, ἐπειδὴ οὐ πάντως ἡ κατάφασις ἀληθεύει οὐδὲ πάντως ἡ ἀπόφασις ψεύδεται· οἷον ἐὰν εἴπῃ (εἴποι a) τις τρέχω ἢ οὐ τρέχω. ἐπεὶ οὖν ἐν τούτοις δύναμει προσυπακούεται τὸ ἐγώ, τούτου χάριν εἶπε δοκεῖ· ἢ (οὖν add. a) τοῦτο ἢ (ἢ om. C) ὅτι παρέλκεται τὸ δοκεῖ, ἢ ὅτι σφάλμα ἐστὶ καλλιγραφικὸν ἢ ὅτι ἀντὶ τοῦ οὕτω δοκεῖ πᾶσι. Ca κατηγορίαν om. F τε om. F 17 ante γραμμῆς add. καὶ F 18 καὶ οὐ χρόνος om. C 19 πλατικῶς CF 20 ἀριθμοῦ] ἀριθμῶν F ἐστὶν ἀριθμός om. C ἀλλ'] ὡς C 22 οὐδὲ Paris. 2051: οὔτε CFa λέγ. ταῦτα coll. C 23 post alt. ἴσον add. ἢ ἄνισον F 24 τὸ om. F 25 μονάδι a: om. CF 26 τὰ αὐτά om. F 26. 27 ἀλλ' οὐδὲ — λέγεσθαι (p. 47,1) eicias 27 καὶ] γὰρ C

των τὸ ἴσον λέγεσθαι· χρόνῳ γὰρ χρόνος ἢ ἴσος ἢ ἄνισος καὶ ἀριθμὸς 39r
ἀριθμῷ καὶ γραμμὴ γραμμῇ, ἅτε ποσὰ ὄντα (κατὰ γὰρ τὴν ταυτότητα
τῶν μερῶν ἢ ἴσα φαμὲν ἢ ἄνισα), ταῦτα δὲ ἀμερῆ τε ὄντα καὶ μηδὲν
τῶν εἰρημένων ὑπάρχοντα τὴν πρὸς ἕτερα παραβολὴν ἐκπέφευγεν. ἄλλως
5 τε τοῦ ποσοῦ τὸ μέν ἐστι συνεχὲς τὸ δὲ διωρισμένον, ταῦτα δὲ οὔτε 30
συνε|χῆ ἐστιν οὔτε διωρισμένα ἀμερῆ ὄντα· συνεχὲς γὰρ λέγομεν τὸ 39v
ἔχον τὰ μέρη ἡνωμένα, διωρισμένον δὲ τὸ ἔχον τὰ μέρη κεχωρισμένα.
ἰστέον δὲ ὅτι τινὲς ὑπὸ τὰ πρός τι βούλονται ἀνάγειν αὐτά, λέγοντες ὅτι
ταῦτα ἀρχαί εἰσι τῶν μετὰ ταῦτα, τὸ μὲν σημεῖον τῆς γραμμῆς, ἡ δὲ 5
10 μονὰς τοῦ ἀριθμοῦ, τὸ δὲ νῦν τοῦ χρόνου· εἰ οὖν αἱ ἀρχαὶ τινῶν ἀρχαί,
τοιαῦτα δὲ τὰ πρός τι (πατὴρ γὰρ υἱοῦ πατὴρ καὶ τὸ ἥμισυ διπλασίου
ἥμισυ), καὶ ταῦτα ἄρα ὑπὸ τὰ πρός τι ἀνάγονται. ἀλλὰ λέγομεν ὅτι τὰ
πρός τι, ὡς αὐτὸς ὑποκατιὼν λέγει, σχέσεις τινές εἰσι μόνον καὶ οἰκείαν 10
ὑπόστασιν οὐκ ἔχουσιν, ἐν δὲ ταῖς ἄλλαις κατηγορίαις τὸ εἶναι ἔχουσιν· ἢ
15 γὰρ ἐν οὐσίᾳ ἢ ἐν ποσῷ ἢ ἐν ποιῷ ἢ ἔν τινι ἄλλῃ τῶν κατηγοριῶν, διὸ
καὶ παραφυάσιν αὐτὰ ἀπεικάζει, αἵτινες ἐν ἑτέροις φυτοῖς τὸ εἶναι ἔχουσιν·
ἔστι γοῦν θεωρῆσαι ἐν πάσαις ταῖς κατηγορίαις τὰ πρός τι· ὅταν μὲν γὰρ 15
εἴπω 'ὁ πατὴρ υἱοῦ πατήρ', εἶπον ἐν οὐσίᾳ πρός τι, ὅταν δὲ εἴπω 'τὸ
διπλάσιον ἡμίσεος διπλάσιον', εἶπον ἐν ποσῷ πρός τι, ὅταν δὲ εἴπω 'τὸ
20 λευκότερον λευκοῦ λευκότερον', εἶπον ἐν ποιῷ, καὶ ἐν ταῖς ἄλλαις ὁμοίως.
δεῖ οὖν αὐτὰ ταῦτα καθ' ἑαυτὰ εἰπεῖν τί εἰσι καὶ ὑπὸ ποίαν τελοῦσι 20
κατηγορίαν, καὶ τότε τὴν σχέσιν αὐτῶν τὴν πρὸς ἄλληλα λέγειν. τί οὖν
ἐροῦμεν; ὅτι κατὰ ἀλήθειαν ὑπ' οὐδεμίαν τῶν κατηγοριῶν ἀνάγονται ταῦτα,
ὅσον ἐκ τοῦ σκοποῦ τῆς προκειμένης πραγματείας· πρόκειται γὰρ αὐτῷ,
25 ὡς πολλάκις εἴρηται, περὶ τῶν ὄντων οὐχ ᾗ ὄντα ἐστὶ διαλαβεῖν, ἀλλ' 25
ᾗ σημαίνονται ὑπὸ τοιῶνδε φωνῶν ὑπὸ τῶν πολλῶν ἀνθρώπων· βούλεται
γὰρ ἐν τούτοις περὶ τῶν τοῖς πολλοῖς γνωρίμων διδάξαι· ἐπεὶ οὖν τούτων
οὐδεμίαν ἔχει γνῶσιν ὁ πολὺς ἄνθρωπος, εἰ καὶ ἐνῆν αὐτὰ ἀνάγειν ὑπὸ
μίαν τῶν κατηγοριῶν, λέγω δὴ ὑπὸ τὸ ποσόν, λέγοντα τοῦ ποσοῦ τὸ μὲν 30
30 εἶναι | ἀμερὲς τὸ δὲ μεριστὸν καὶ τοῦ μεριστοῦ τὸ μὲν συνεχὲς τὸ δὲ 40r
διωρισμένον, καὶ ταῦτα ὑπὸ τὸ τμῆμα τάττειν τοῦ ποσοῦ τὸ ἀμέριστον,
οὐκ ἀνήγαγε διὰ τὸ μὴ συνεμπίπτειν τὴν περὶ τούτων διδασκαλίαν τῷ

---

2 ante γραμμὴ add. ἡ F 3 ἢ ἄνισα φαμέν coll. a 5 ἐστι om. Ca 7 διακεχωρισμ. F 8 ταῦτα ἀνάγ. C: αὐτὰ ἀναγαγεῖν a 8. 9 λέγ. ὅτι τ. ἀρχαί] ἀρχαὶ γὰρ F 10 τῶν ἀριθμῶν F αἱ ante alt. ἀρχαί coll. a 11 ante γὰρ add. δὲ F διπλάσιον F 13 αὐτὸς ὑποκ. λέγει] Cat. p. 8a32 εἰσί τινες C: τινῶν εἰσι a 15 ἐν (ante ποσῷ) om. C ἐν (ante ποιῷ) a: om. CF 16 παραφ. αὐτὰ ἀπεικ.] Eth. Nic. A 4 p. 1096a21 ἑτέροις τὸ εἶναι ἔχ. τοῖς φυτοῖς Fa 17 οὖν C 18. 19 τὰ πρός τι a 18 alt. εἴπω om. F 19 [illegible] σιον om. F ἡμίσεως a 19. 20 τὸ λευκὸν λευκότ. λευκοῦ λευκότ. F 21. 22 τελοῦσι κατ.] κατ. εἰσί F 23 κατὰ] καὶ F 25 πολλάκις εἴρηται] p. 9,12 sq. 43,23 ἐστὶ om. a 26 post ἀνθρ. add. πανταχοῦ F 28 αὐτῷ C 29 τὸ (ante ποσόν) om. a λέγοντα a: λέγοντι C: λέγοντες F 30 εἶναι] ἐστι Ca μεριστὸν τὸ δὲ ἀμ. coll. a post μὲν add. εἶναι C 31 τὸ (prius) om. a

σκοπῷ τοῦ προκειμένου βιβλίου. καὶ ὅτι οὐ περὶ τῶν ὄντων ᾗ ὄντα ἐστὶ 40r
διαλαβεῖν βούλεται, δῆλον, ὅτι ἐν τῇ Φυσικῇ ἀκροάσει τριττὴν τὴν οὐσίαν
εἰρηκώς, τὴν μὲν κατὰ τὴν ὕλην τὴν δὲ κατὰ τὸ εἶδος τὴν δὲ κατὰ τὸ
συναμφότερον, ἐνταῦθα οὐδαμοῦ οὔτε τὴν ὕλην καθ' ἑαυτὴν οὔτε τὸ εἶδος
5 ἀξιοῖ καλεῖν οὐσίαν, ἅτε δὴ τῶν πολλῶν μηδεμίαν τούτων ἔννοιαν ἔχον- 10
των ὡς ἁπλῶν, ἀλλὰ μόνον τὸ ἐκ τούτων σύνθετον ἐγνωκότων.

Ζητοῦσι δὲ κἀκεῖνο ὅτι τὰς στερήσεις ὑπὸ ποίαν τῶν κατηγοριῶν
ἀνακτέον, ἔτι δὲ καὶ τὰς ἀποφάσεις. λέγομεν ὅτι μάλιστα μὲν ὑπ' οὐδε-
μίαν τῶν κατηγοριῶν, ἐπειδὴ οὐδὲ ὡρισμένον τι δηλοῦσιν, αἱ δὲ κατηγορίαι 15
10 ὡρισμένων εἰσὶ πραγμάτων δηλωτικαί. εἰ δὲ ὅλως δεῖ αὐτὰς ὑπὸ κατηγορίαν
ἀνάγειν, ὑπὸ τὴν αὐτὴν ἀναχθήσονται αἱ στερήσεις ὑφ' ἣν καὶ αἱ ἕξεις, καὶ
αἱ ἀποφάσεις ὑφ' ἣν καὶ αἱ καταφάσεις· τῶν γὰρ ἐναντίων τὸ αὐτό ἐστι
γένος, ὡς λευκοῦ καὶ μέλανος καὶ θερμοῦ καὶ ψυχροῦ καὶ τῶν τοιούτων. 20
πάλιν ζητοῦσι τὰς κινήσεις καὶ τὰς μεταβολὰς ὑπὸ ποίαν ἀνάγειν δεῖ κατη-
15 γορίαν. καί φημι ὑπ' οὐδεμίαν· ὑφεστώτων γὰρ καὶ τὸ ἑαυτῶν εἶδος
τελείως ἀπειληφότων αἱ κατηγορίαι, πᾶσα δὲ μεταβολὴ ἀτελές τί ἐστιν· 25
ὁδὸς γάρ ἐστιν ἐπὶ τὸ εἶδος καὶ τὸ ὂν ἡ μεταβολή, οὐκ αὐτὸ ὄν. ἄλλως
τε οὐδὲ οἷόν τέ ἐστιν ὑπὸ μίαν κατηγορίαν πᾶσαν μεταβολὴν ἀνάγειν· ἐν
πλείοσι γὰρ θεωροῦνται, ὡς αὐτὸς διδάξει· καὶ γὰρ ἐν οὐσίᾳ ὡς γένεσις
20 καὶ φθορὰ καὶ ἐν ποσῷ ὡς αὔξησις καὶ φθίσις καὶ ἐν ποιῷ ὡς λεύκανσις
καὶ μέλανσις καὶ ἐν τῷ ποῦ | ὡς ἀνάβασις καὶ κατάβασις δίνησις· ὥστε ὁδοί 40v
εἰσιν αἱ μεταβολαὶ ἐπὶ τὰς κατηγορίας ἄγουσαι, ἄλλη ἐπὶ ἄλλην, καὶ οὐκ
αὐταὶ συμπληροῦσι κατηγορίαν· τὸ μὲν γὰρ κινεῖν καὶ ὅλως τὸ μετα-
βάλλειν ὑπὸ τὸ ποιεῖν ἀναχθήσεται, τὸ δὲ κινεῖσθαι καὶ ὅλως μετα- 5
25 βάλλεσθαι ὑπὸ τὸ πάσχειν· αὐταὶ δὲ αἱ κινήσεις καὶ αἱ μεταβολαὶ ὁδοὶ
οὖσαι καὶ γενέσεις τινὲς ἐπὶ τὰς κατηγορίας τὰς εἰρημένας εἰς αὐτὰς οὐ-
δένα ἀναχθήσονται τρόπον.

1 προκειμένου in mrg. suppl. C ἐστὶ om. C 2 ἐν γὰρ F (fort. recte, si ὅτι eicias) τῇ Φυσικῇ ἀκρ.] potius in Metaph. Z 10 p. 1035a1 Λ 2 p. 1070a9 aut De an. B 1 p. 412a7. 2 p. 414a14 4 οὐδαμῶς F 5 ἀξ. καλ.] καλεῖ F 6 ἐγνωκότες F 7 ὅτι] an ἔτι? cf. v. 14 στερ.] καταφάσεις C 8 ante λέγ. add. καὶ F 9 ἐπεὶ C 11 ἣν] ἃς a 12 ἣν] ἃς Ca καὶ om. F 12. 13 γένος ἐστί coll. C 14 post κινήσεις add. καὶ τὰς κινήσεις C δεῖ ἀν. coll. C 16 ἢ ἀτελ. C 18 μετ. πᾶσ. coll. C 19 αὐτὸς διδάξει] Cat. p. 15a23 20 φθίσις] μείωσις F 20. 21 λεύκασις C 21 καὶ μέλ.] μάθησις C ἐν om. F τῷ ποῦ Paris. 1928 Vind. 10: τόπῳ C: τὸ ποῦ F: τῇ ποῦ a καὶ (alt.) om. a δίνησις eicias 23 συμπληροῦσαι F 24 ποιεῖν] πάσχειν F 26 τὰς εἰρημένας scripsi: τὸν εἰρημένον CFa αὐτοὺς F 26. 27 οὐδένα Paris. 2051: εἰ δέον Ca: om. F

Περὶ οὐσίας. 40v

p. 2a11 Οὐσία δέ ἐστιν ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη, ἣ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται μήτε ἐν ὑποκειμένῳ τινί ἐστιν, οἷον ὁ τὶς ἄνθρωπος ἢ ὁ τὶς ἵππος.

Εἰρηκὼς τὰ συντελοῦντα πρὸς τὴν διδασκαλίαν τῶν κατηγοριῶν διδάξας τε ἡμᾶς προσεχῶς ὁλοσχερέστερον καὶ ὡς ἐπὶ παραδειγμάτων περὶ αὐτῶν τῶν κατηγοριῶν, νῦν τρέπεται ἐπὶ τὴν ἀκριβῆ αὐτῶν ἐξήγησιν καὶ διδάσκει πρότερον περὶ τῆς οὐσίας· πρώτην γὰρ ἔχει τάξιν ἡ οὐσία ἐν ταῖς κατηγορίαις καὶ διὰ τοῦτο εἰκότως τῶν ἄλλων αὐτὴν προετίμησεν· αὕτη γὰρ συνεισφέρεται μὲν ταῖς ἄλλαις (εἰ γάρ τι τῶν συμβεβηκότων εἴη ὁποιονοῦν, πάντως καὶ οὐσία ἔσται ᾗ συμβέβηκεν), οὐ συνεισφέρει δὲ τὰς λοιπάς (οὐδὲ γὰρ οὐσίας οὔσης πάντως καὶ τῶν ἄλλων ἐστὶν ἕκαστον), καὶ συναναιρεῖ μὲν ἑαυτῇ τὰς ἄλλας οὐ συναναιρεῖται δέ· τὰ δὲ συναναιροῦντα μὲν μὴ συναναιρούμενα δὲ καὶ συνεισφερόμενα μὲν μὴ συνεισφέροντα δὲ πρῶτα εἶναι τῇ φύσει ὡμολόγηται· ὥστε πρώτη ἡ οὐσία φύσει τῶν λοιπῶν. καὶ ἄλλως δὲ τῶν πραγμάτων τὰ μὲν καθ' αὑτὸ λέγεται τὰ δὲ ἐν αὐτῷ τὰ δὲ περὶ ἐκεῖνο, καὶ καθ' αὑτὸ μὲν αὐτὴ ἡ οὐσία, ἐν αὐτῷ δὲ τό τε ποσὸν | καὶ τὸ ποιόν (ἐν γὰρ τῇ οὐσίᾳ θεωροῦνται), περὶ 41r ἐκεῖνο δὲ τὰ λοιπὰ ἑπτά. καὶ ἄλλως αὐτὴ μὲν αὐθυπόστατός ἐστι καὶ οὐ δεομένη τῶν ἄλλων εἰς ὕπαρξιν, αἱ δὲ ἄλλαι ἐν ταύτῃ τὸ εἶναι ἔχουσιν· οὐσίας γὰρ οὔσης ἀνάγκη τὰς ἄλλας εἶναι κατηγορίας, μὴ οὔσης δὲ ἀδύνατόν ἐστι τὰς ἄλλας ὑποστῆναι.

Ταύτης δὲ τῆς οὐσίας ἡ μέν ἐστιν ἁπλῆ ἡ δὲ σύνθετος, τῆς δὲ ἁπλῆς ἡ μὲν χείρων τῆς συνθέτου ἡ δὲ κρείττων· ἔστι δὲ σύνθετος μὲν οὐσία ἄνθρωπος καὶ τὰ τοιαῦτα, ἁπλῆ δὲ καὶ κρείττων τῆς συνθέτου ἡ ἀγγελικὴ καὶ ἡ ψυχικὴ καὶ αἱ τοιαῦται, ἁπλῆ δὲ καὶ χείρων τῆς συνθέτου ἡ ὕλη ἡ πρώτη καὶ τὸ εἶδος. διαλέγεται δὲ ἐνταῦθα ὁ Ἀριστοτέλης οὔτε περὶ τῆς ἁπλῆς καὶ κρείττονος τῆς συνθέτου (οὐ γὰρ πρόκειται αὐτῷ θεολογεῖν) οὔτε περὶ τῆς ἁπλῆς καὶ χείρονος τῆς συνθέτου

---

2 τε om. C 3 ὑποκειμένου τινί F 4 ἢ] καὶ Fa 5 τὴν om. Fa
6 ὁλ. προσ. coll. F 7 καὶ περὶ a καὶ ἐπὶ a ἀκρίβειαν τῶν ἐξηγήσεων (αὐτῶν om.) F 9 αὐτὴν τ. ἄλλ. coll. F 10 τι] τοι F 12 ἄλλ. ἐστ.] λοιπῶν ἔσται C
14 συνεισφερόμενον C 14. 15 συνεισφέρον C 15. 16 τῶν λ. φύσει coll. a
16 λέγονται F 18 τε om. F ποιὸν καὶ τὸ ποσὸν coll. Fa 19 αὕτη a
20 ὕπ.] σύστασιν F post ἄλλαι add. ἑτεροϋπόστατοι a post ταύτῃ add. γὰρ a 22 ἐστι om. C 23 post σύνθετος add. ex Marc. 217 ἑξαχῶς γὰρ λέγεται ἡ οὐσία· ἢ πᾶσαν ὕπαρξιν δηλοῖ, ἥτις καὶ κατὰ συμβεβηκότων φέρεται, ὡς καὶ αὐτῶν διὰ τὸ ὑφεστάναι οὐσιῶν λεγομένων, ἢ τὴν μὴ ἐν ὑποκειμένῳ φύσιν τὴν ἀντιδιαιρουμένην τοῖς συμβεβηκόσιν, αὕτη ἡ μὴ ἐν ὑποκειμένῳ φύσις ἢ ἁπλῆ ἐστιν ἢ σύνθετος a 26 ἡ ἀγγ. καὶ ἡ ψ.] θεὸς ἄγγελος νοῦς ψυχὴ a 28 οὐ] οὐδὲ Ca

(οὐ γὰρ φυσιολογεῖν αὐτῷ πρόκειται), ἀλλὰ περὶ τῆς συνθέτου μόνης. καὶ 41r
ταύτης φησὶ τὴν μὲν εἶναι πρώτην τὴν δὲ δευτέραν, πρώτην μὲν τὴν
μερικὴν καλῶν δευτέραν δὲ τὴν καθόλου τὴν κατὰ τὰ εἴδη καὶ τὰ γένη·
ὡς γὰρ πολλάκις εἴρηται, οὐ περὶ τῶν ὄντων ᾗ ὄντα ἐστὶ διαλαμβάνει,
ἀλλὰ κατὰ ποίου σημαινομένου ἑκάστην τῶν κατηγοριῶν οἱ πολλοὶ λέγον-
τες φέρουσιν, ἐπεὶ εἴ γε ἠκολούθει τῇ φύσει τῶν πραγμάτων, πρώτην ἂν
εἶπε τὴν τῶν γενῶν καὶ τῶν εἰδῶν, δευτέραν δὲ τὴν τῶν ἀτόμων, ὡς
ἐκείνην μὲν αἰτίαν, ταύτην δ' αἰτιατήν· κρεῖττον δὲ τὸ αἴτιον τοῦ αἰτιατοῦ
καὶ τὸ καθολι|κὸν τοῦ μερικοῦ. καὶ ἄλλως τὰ τῇ φύσει πρότερα ἡμῖν 41v
ὕστερα καὶ τὰ ἡμῖν πρότερα τῇ φύσει δεύτερα· ἐπεὶ οὖν ὁ λόγος αὐτῷ
πρὸς εἰσαγομένους, εἰκότως τὴν μερικὴν οὐσίαν πρώτην εἶπεν (ἐναργεστέρα
γὰρ αὕτη κατὰ τὴν αἴσθησιν), δευτέραν δὲ εἶπε τὴν κατὰ τὰ γένη καὶ τὰ
εἴδη· ἀπὸ γὰρ τῶν μερικῶν ἐπὶ τὰ καθόλου ἀναγόμεθα ὑψὲ τοῦ λόγου
ἐν ἡμῖν ἐλλάμψαντος. διὸ ὡς μὴ ἀρεσκόμενος τῷ δόγματι οὐκ εἶπεν 'ἡ
κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα οὖσα' ἀλλὰ λεγομένη. καὶ ἵνα
σαφέστερον ἡμῖν γένηται τὸ λεγόμενον, μικρὸν ὑπερβιβάσαντες τὸ ῥητὸν
οὕτως εἴπωμεν 'οὐσία δὲ ἡ λεγομένη κυριώτατά τε καὶ πρώτως καὶ
μάλιστα αὕτη ἐστί', τοῦτ' ἔστιν ἡ λεγομένη παρὰ τοῖς πολλοῖς. ὅπου δὲ
ὡς ἀπὸ οἰκείας δόξης προφέρει τὸν λόγον, οὐκέτι λέγει τὸ λέγεται, ἀλλ'
ἔστιν· ἢ μήτε γάρ φησι καθ' ὑποκειμένου τινὸς λέγεται (ἀντὶ τοῦ
κατηγορεῖται) μήτε ἐν ὑποκειμένῳ τινί ἐστι, καὶ οὐκ εἶπε 'μήτε ἐν
ὑποκειμένῳ τινὶ λέγεται'· τῷ γὰρ δόγματι αὐτὸς ἀρέσκεται.

Ὅτι δὲ οἶδεν ὁ Ἀριστοτέλης καὶ νοητὴν οὐσίαν καὶ κρείττονα τῶν
συνθέτων, δείκνυσι σαφῶς καὶ ἐν τῇ Μετὰ τὰ φυσικὰ καὶ ἐν τῇ Περὶ
οὐρανοῦ καὶ ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς ἀκροάσεως, ἔνθα φησὶ δεῖν πρὸ
τῶν ἑτεροκινήτων τὰ αὐτοκίνητα ὑπάρχειν καὶ τῶν ἀεικινήτων τὰ ἀκίνητα·
εἰ μὴ γὰρ ἦν τις ἀκίνητος τῶν ἀεικινήτων αἰτία, οὐκ ἂν ἔμεινεν ἐκεῖνα
ἀεικινήτως, ἵνα οὕτως εἴπω, κινούμενα. δείκνυσι δὲ ταύτην ἀσώματον οὖσαν
καὶ ἀμερῆ καὶ ἀδιάστατον τοιούτῳ τινὶ θεωρήματι (οὐδὲν γὰρ ἴσως ἀπεικὸς
ὡς ἐν παρεκβάσει μνησθῆναι τοῦ θεωρήματος)· λέγει γὰρ ἀπειροδύναμον
εἶναι ταύτην τὴν αἰτίαν· εἰ δὲ τοῦτο, πάντως καὶ ἀσώματον· πᾶν γὰρ
σῶμα, ὡς αὐτὸς πρὸς τῷ τέλει τοῦ ὀγδόου λόγου τῆς Φυσικῆς ἀκροάσεως

---

1 οὐ] οὐδὲ Ca 3 τὰ (alt.) om. Ca 4 πολλάκις εἴρηται] v. p. 47, 25
5 ἑκάστη F 5. 6 λέγουσι φέροντες C 6 ἠκολούθη F 7 τὴν (prius) om. C
τὴν (alt.) superscr. C 9 καὶ τὸ καθ.] καθὸ καθολικώτερον F 10 ὕστ.]
δεύτερα a αὐτοῦ C 13 ἀγόμεθα F 14 λάμψαντος C
ἡ om. a 15 καὶ πρώτως om. C οὖσα] ἐστιν Ca 16 γένηται
ἡμῖν coll. Fa 17 τε om. C 18 ὅπου] ὅτε F 19 προσφέρει F
21 καὶ om. C 23 εἶδεν Fa 24 ἐν τῷ τῷ (sic) μετὰ τ. φ. καὶ ἐν τῶ C
Μετὰ τὰ φ.] B 2 p. 997a34 sq. alias 24. 25 Περὶ οὐρ.] A 9 p. 277b30 sq.
25 ἐν τῷ ὀγδόῳ τῆς Φ. ἀκρ.] Θ 5 p. 256a4 sq. 26 τὸ ἀκίνητον F 27 μὴ]
μὲν F τῶν] οὐσία F ἔμενον F 28 ἀκινήτως C 29 καὶ (utrobique)
om. Ca 30 γὰρ] δὲ C 32 πρὸς] ἐν τῇ πρὸς C: ἐν F τῆς Φυσ. ἀκρ.] Θ 10
p. 266a24 sq.

ἔδειξε, πεπερασμένην ἔχει τὴν δύναμιν· εἰ γὰρ ἄπει|ρον· δεδόσθω, 42r
φησίν, ἄπειρον εἶναι· ἐπειδὴ οὖν πᾶν σῶμα διαιρετόν ἐστι, διέλωμεν,
φησί, τόδε τι τὸ σῶμα εἰς τρία, εἰ τύχοι· ἕκαστον οὖν τῶν τμημάτων
πότερον ἄπειρον ἔχει τὴν δύναμιν ἢ πεπερασμένην; εἰ μὲν οὖν ἄπειρον,
5 τῷ ὅλῳ τὸ μέρος ἰσοδύναμον ἔσται, ὅπερ ἄτοπον καὶ ἀδύνατον· εἰ δὲ 5
πεπερασμένην, καὶ τὸ ἐκ τῶν πεπερασμένων συγκείμενον δῆλον ὅτι καὶ
αὐτὸ πάντως πεπερασμένον ἐστίν· ὥστε καὶ ἡ τοῦ ὅλου σώματος δύναμις
περερασμένη ἔσται καὶ οὐκ ἄπειρος· οὐδὲν ἄρα σῶμα πεπερασμένον
ἄπειρον ἔχει δύναμιν· οὐδὲν δὲ σῶμα μεγέθει ἐστὶν ἄπειρον (ἔδειξε γὰρ 10
10 αὐτὸς ἐν τῇ Φυσικῇ καὶ τοῦτο)· οὐδὲν ἄρα σῶμα ἄπειρον ἔχει δύναμιν·
εἰ δὲ τοῦτο, ὅπερ ἄρα ἄπειρον ἔχει δύναμιν, οὐκ ἔστι σῶμα· οὐκοῦν
ἀσώματος ἡ πρώτη οὐσία, ἐπειδὴ καὶ ἀπειροδύναμος. οὐ μόνον δὲ τὴν 15
νοητὴν οὐσίαν κρείττονα οἶδε τῶν συνθέτων, ἀλλὰ καὶ τὴν διανοητήν, καὶ
δείκνυσι τοῦτο ἐν τῇ Ἀποδεικτικῇ· λέγει γὰρ ὅτι ὡς ἔχει ἡ αἴσθησις
15 πρὸς τὰ αἰσθητά, οὕτως ἔχει καὶ ἡ ἀπόδειξις πρὸς τὰ ἀποδεικτά· οὐκοῦν
καὶ ἐναλλάξ, ὡς αἴσθησις πρὸς ἀπόδειξιν ἔχει, οὕτως ἕξει καὶ τὰ αἰσθητὰ
πρὸς τὰ ἀποδεικτά· εἰ οὖν χείρων ἡ αἴσθησις τῆς ἀποδείξεως, διότι ἡ μὲν 20
αἴσθησις περὶ τὰ μερικὰ ἡ δὲ ⟨ἀπόδειξις⟩ περὶ τὰ καθόλου καταγίνεται, καὶ
τὰ αἰσθητὰ ἄρα τῶν ἐπιστητῶν χείρω· ὥστε οἶδεν οὐ μόνον τὴν νοητὴν
20 κρείττονα τῶν συνθέτων, ἀλλὰ καὶ τὴν διανοητήν. ἐνταῦθα δέ, ὡς εἴπομεν,
τὰς δευτέρας καλεῖ πρώτας διὰ τὰς πολλάκις εἰρημένας αἰτίας. 25

p. 2a12 Ἢ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται μήτε ἐν ὑποκειμένῳ τινί ἐστι.

Ζητοῦσι δὲ τί δή ποτε τὴν τιμιωτέραν τῶν κατηγοριῶν, τὴν οὐσίαν,
25 δι' ἀποφάσεως ὡρίσατο, εἴπερ τῶν καταφάσεων ἀτιμοτέρας εἶναί φαμεν 30
τὰς ἀποφάσεις. λέγομεν οὖν ὅτι τοὐναντίον μὲν οὖν οἱ | δι' ἀποφάσεως 42v
ὁρισμοὶ μᾶλλον σεμνύνουσι τὸ ὑποκείμενον· οὕτω γοῦν καὶ τὸ θεῖον
σημῆναι βουλόμενοι οὐ καταφάσκομέν τι περὶ αὐτοῦ, ὥς φησιν ὁ θεῖος
Πλάτων, ἀλλ' εἰς ἀποφάσεις ἐρχόμεθα· ἐρωτῶντος γὰρ Σωκράτους τὸν
30 Τίμαιον τί ἐστι ὁ θεός, λέγει ἐκεῖνος ὅτι τί μὲν οὐκ ἔστιν οἶδα, τί δὲ 5
ἔστιν οὐκ οἶδα· ὅτι μὲν γὰρ οὔτε σῶμα οὔτε χρῶμα οὔτε ἄγγελος οὔτε
τι τῶν τοιούτων ἐστί, κρείττων δὲ ἢ κατὰ ταῦτα οἶδα, τί δὲ ἔστιν οὐκ

---

2 ἐπεὶ F 3 τύχῃ F 6 τῶν om. Ca δῆλον ὅτι post αὐτὸ (7) coll. C: ante συγκ. a 7 πάντως om. C 9 μεγέθους a 11 εἰ—δύναμιν om. F (τὸ ἄρα ἄπειρον ἔχον δύναμιν suppl. F²) σῶμα οὐκ ἔστι (ἔσται a) Fa 13 διανοητικήν a 14 ἐν τῇ Ἀποδεικτ.] fortasse spectat Anal. post. B 19 p. 99b35 sq. (cf. De an. B 5 p. 417b19) 15 ἀποδεικτικά CF 16 ἐναλάξ C 18 ἀπόδειξις addidi 20 εἴπομεν] p. 50,2 23 τινί om. C 24 δή om. C 25 ἀτιμωτέρας libri 27 γοῦν] γὰρ C 28 θεῖος om. C 29 Πλάτων] fortasse spectat Tim. p. 28 C; videas etiam Plotini Enn. V, 3,14 (p. 511) ἐρχ.] an τρεπόμεθα? (cf. Amm.) 30 τί—θεός om. C ὁ om. a λέγει] φησὶν C 30. 31 μὲν ἔστιν οὐκ οἶδα, τί δὲ οὐκ ἔστι οἶδα C 31 γὰρ om. C 32 pr. ἐστί om. C: post σῶμα (31) coll. a

οἶδα. ὥστε κοσμοῦσι μᾶλλον οἱ ὁρισμοὶ οἱ τοιοῦτοι ἔστιν ὅτε τὸ ὑποκεί- 42ᵛ
μενον χωρίζοντες αὐτὸ πάντων τῶν καταδεεστέρων. καὶ ἐπὶ τῆς ὕλης 10
δὲ τὸν ὁρισμὸν δι' ἀποφάσεως εἰώθασιν ἀποδιδόναι, ἥτις μήτε ἄνθρωπός
ἐστι λέγοντες μήτε λίθος μήτε πῦρ μήτε ὅλως σῶμα, χεῖρον δέ τι ἢ κατὰ
5 ταῦτα· διό φασι τὴν ὕλην τῷ θείῳ ἀνομοίως ὡμοιῶσθαι, ὡμοιῶσθαι μὲν
ὅτι δι' ἀποφάσεως τῶν ἄλλων σημαίνεται ἑκάτερον, ἀνομοίως δὲ ὅτι τοῦ 15
μὲν κρείττονος ὄντος ἢ κατὰ πάντα τὰ ὄντα ἀποφάσκομεν πάντα, τῆς δὲ
ὕλης χείρονος οὔσης ἢ κατὰ πάντα τὰ ὄντα ἀποφάσκομεν πάντα.

Ζητητέον δὲ εἰ ἐφαρμόζει ὁ ὁρισμὸς οὗτος καὶ ἐπὶ τῶν νοητῶν
10 οὐσιῶν, οἷον ἀγγέλου καὶ τῶν τοιούτων, ὡς δύνασθαι ταῦτα λέγειν μήτε 20
ἐν ὑποκειμένῳ εἶναι μήτε καθ' ὑποκειμένου τινὸς λέγεσθαι· δοκεῖ γάρ
πως καὶ ἐπ' αὐτῶν ἐφαρμόζειν ὁ λόγος. ἀλλὰ λέγομεν ὅτι οὐκ ἐφαρμόζει·
αἱ γὰρ εἰλημμέναι ἀποφάσεις ἐν τῷ ὁρισμῷ οὐ μόνον ἄρσιν σημαίνουσιν,
ἀλλὰ καὶ θέσιν· πρὸς ἀντιδιαστολὴν γὰρ ἑτέρων λέγονται· τὸ μὲν γὰρ μὴ 25
15 ἐν ὑποκειμένῳ, ὅ ἐστιν ἡ οὐσία, πρὸς ἀντιδιαστολὴν τοῦ ἐν ὑποκειμένῳ,
τοῦτ' ἔστι τῶν συμβεβηκότων, εἴρηται, τὸ δὲ οὐ καθ' ὑποκειμένου πρὸς
ἀντιδιαστολὴν τοῦ καθ' ὑποκειμένου· ὥσπερ δὲ τὸ φῶς διττόν ἐστι, τὸ
μὲν πρὸς ἀντιδιαστολὴν τοῦ σκότους, λέγω δὴ τὸ ἐν τῷ ἀέρι, τὸ δὲ 30
ἄσχε|τον καὶ μηδὲν ἔχον ἀντικείμενον ὡς τὸ ἡλιακόν, οὕτω καὶ τὰς 43ʳ
20 ἐνταῦθα ἀποφάσεις ποτὲ μὲν φήσομεν καθ' ἑαυτὰς καὶ μὴ πρὸς ἀντι-
διαστολὴν λέγεσθαι ποτὲ δὲ πρὸς ἀντιδιαστολὴν τῶν ἀντικειμένων. εἰ μὲν
οὖν ἐνταῦθα μὴ πρὸς ἀντιδιαστολὴν τῶν ἀντικειμένων παρελαμβάνοντο αἱ 5
ἀποφάσεις, εἶχέ πως λόγον τὸ καὶ ἐπὶ τῶν νοητῶν οὐσιῶν ἐφαρμόζειν
τὸν ὁρισμόν, διότι οὔτε ἐν ὑποκειμένῳ τινὶ ὑπάρχουσιν οὔτε καθ' ὑποκει-
25 μένου τινὸς κατηγοροῦνται· νῦν δὲ πρὸς ἀντιδιαστολὴν παραληφθεισῶν
τῶν ἀποφάσεων τὰς μὲν μερικὰς οὐσίας σεμνύνομεν εἰκότως διὰ τοῦ ὁρι- 10
σμοῦ, διὰ μὲν τοῦ μὴ ἐν ὑποκειμένῳ χωρίζοντες αὐτὰς τῶν συμβεβηκό-
τῶν διὰ δὲ τοῦ μὴ καθ' ὑποκειμένου τῶν καθ' ὑποκειμένου, κἀνταῦθα
δὲ τὸ σεμνὸν αὐταῖς προσάπτομεν λέγοντες αὐτὰς μὲν ἑτέροις χρείαν
30 παρέχειν μηδενὸς δὲ δέεσθαι (τὰ γὰρ καθόλου τῶν μερικῶν δέονται πρὸς 15
κατηγορίαν, ταῦτα δὲ ἐκείνων οὐκέτι), ταῖς δὲ νοηταῖς οὐσίαις οὐδεμίαν
προσοίσομεν ἀξίαν διὰ τούτων· οὐδὲν γὰρ μέγα. εἰ ταύτας εἴποιμεν μὴ
εἶναι ἐν ὑποκειμένῳ· οὐδὲ γὰρ ἀντιδιήρηται αὐταῖς συμβεβηκός τι· οὐδὲ 20
γὰρ ὅλως δεκτικαί εἰσι συμβεβηκότων. καὶ τί λέγω περὶ τῶν νοητῶν

---

1 οἱ (alt.) om. F ἔστιν ὅτε ante μᾶλλον coll. F: post μᾶλλον a 3 διδόναι C
5 ἀνομοίω F ὁμοιοῦσθαι (alt. l.) a 7 ὄντος] ὄντως C 8 τὰ ὄντα om. Ca
ταῦτα ἀποφ. (πάντα om.) Ca 11 λέγ. τινός coll. C 14 λέγεται C μὲν om. C
μὴ γὰρ coll. C 15 ante pr. ἐν add. ἡ C ὅ] ἤ a 16 τοῦ συμβεβηκότος F:
συμβεβηκότων (τῶν om.) a 18 σκότους] εἰκότος F¹ pr. τὸ scripsi: τῷ F: τοῦ a:
om. C ἐν] περὶ C 20 καθ' ἑαυτὰς] πρὸς αὐτὸ C 21 λέγ.] ἑτέρων C
22 μὴ superscr. F² ἐλαμβ. C 23 καὶ om. a ἐφαρμόσαι C 27 μὴ
om. C αὐτὴν C 28 μήτε F κἀντεῦθεν C 29 συνάπτ. C
ἑτέραν C 30 δεῖσθαι a 32 μὴ om. C 34 τῶν συμβ. a τῶν om. F

οὐσιῶν, ὅπου γε οὐδὲ ἐπὶ ψυχῆς μόνης ἁρμόσει ὁ λόγος, ὅταν θεωρῶμεν 13v
αὐτὴν ἀπολελυμένην τῆς σχέσεως τῆς πρὸς τὸ σῶμα καὶ ἐξομοιωθεῖσαν
θεῷ καὶ τὸ κοσμικὸν ἐπισκοποῦσαν ἀγαθόν; ὁπηνίκα δὲ ἐν γενέσει θεω- 25
ρεῖται καὶ τοῖς σώμασι συμπεπλεγμένη, τότε καὶ ἐπ' αὐτῆς ἁρμόσει ὁ
5 ὁρισμὸς ἅτε ὑποκειμένης συμβεβηκόσιν· ὑπόκειται γὰρ τῇ φιλοσοφίᾳ ἢ
γραμματικῇ ἢ ἄλλῃ τινὶ ἐπιστήμῃ, ἅτινα περὶ αὐτὴν συμβέβηκε.

Τῶν δὲ δύο τῶν εἰλημμένων ἐν τῷ ὁρισμῷ τὸ μέν ἐστι τῇ φύσει 30
πρῶτον τὸ δὲ τῇ διδασκαλίᾳ· οὐσίας γὰρ | οὔσης καὶ συμβεβηκότος καὶ 13r
καθολικοῦ καὶ μερικοῦ, φύσει μὲν πρότερον ἡ οὐσία, διότι αὐτὴ μὲν αὐθυ-
10 πόστατος ἐκεῖνα δὲ ἐν ταύτῃ ἔχει τὸ εἶναι. κατὰ δὲ τὸν σκοπὸν τῆς προ- 5
κειμένης διδασκαλίας πρότερον τὸ μερικόν· καὶ γὰρ τὸ καθόλου τῇ φύσει
πρότερον. τῶν οὖν εἰλημμένων ἐν τῷ ὁρισμῷ τὸ μέν ἐστι πρῶτον ἐκ
τῆς τῶν πραγμάτων φύσεως, τὸ δὲ ἐκ τοῦ σκοποῦ τῆς διδασκαλίας. καὶ
σκόπει ὅτι οὐ μάτην προέλαβε τὴν περὶ τοῦ καθ' ὑποκειμένου καὶ ἐν
15 ὑποκειμένῳ διδασκαλίαν, ἐπεὶ ἔμελλεν ἡμῖν ἀσαφὴς εἶναι ὁ ὁρισμὸς τῶν 10
ἐν αὐτῷ παραλαμβανομένων φωνῶν ἀγνώστων οὐσῶν.

p. 2a14 Δεύτεραι δὲ οὐσίαι λέγονται.

Ἄξιον δὲ ζητῆσαι ἐνταῦθα ποίῳ τρόπῳ κέχρηται διαιρέσεως ἐν τῇ
οὐσίᾳ· τῶν γὰρ διαιρουμένων τὰ μὲν ὡς γένος εἰς εἴδη διαιροῦνται ὡς
20 τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον, τὰ δὲ ὡς ὅλον εἰς μέρη ὡς τὸ σῶμα 20
εἰς χεῖρας καὶ πόδας καὶ κεφαλὴν καὶ τὰ λοιπά, τὰ δὲ ὡς ὁμώνυμος
φωνὴ εἰς διάφορα σημαινόμενα ὡς ὁ μῦς εἴς τε τὸν θαλάσσιον καὶ τὸν
γηγενῆ. ἴδωμεν οὖν εἰ κατὰ μίαν τῶν διαιρέσεων τούτων διαιρεῖ τὴν
οὐσίαν εἴς τε τὴν πρώτην καὶ τὴν δευτέραν. φαμὲν οὖν ὅτι πρῶτον μὲν 25
25 οὐκ ἔστιν ἡ διαίρεσις αὕτη τῶν ὡς γένος εἰς εἴδη διαιρουμένων· παρα-
κολουθεῖ γὰρ τῇ τοιαύτῃ διαιρέσει τὸ ἀναιρεθέντος ἑνὸς εἴδους μὴ συν-
αναιρεῖσθαι τὰ λοιπά· ἀναιρεθέντος γὰρ ἀνθρώπου οὐ συναναιρεῖται τὰ
λοιπὰ ζῷα, ἅπερ εἰσὶν εἴδη τοῦ ζῴου· ἐνταῦθα μέντοι ἀναιρεθεί|σης 44r
τῆς δευτέρας οὐσίας συναναιρεῖται καὶ ἡ πρώτη· γένους γὰρ καὶ εἴδους
30 μὴ ὄντος οὐδὲ ἄτομα ἔσται. ἄλλως τε οὐδὲν εἶδος ἕτερον εἶδος περιέχειν
δύναται τῶν κατὰ τὴν αὐτὴν διαίρεσιν ἀντιδιαιρεθέντων ἀλλήλοις· οὐδὲ 5
γὰρ περιέχει ὁ ἄνθρωπος τὸν ἵππον, εἰ εἰς ταῦτα διαιρεθείη τὸ ζῷον, ἀλλ'
οὐδὲ τὸ λογικὸν ζῷον πάλιν περιέχει τὸ ἄλογον ἢ ἔμπαλιν, εἰ ἡ τοῦ ζῴου

---

1 μόνης] an μερικῆς? (cf. Amm.) ἁρμ.] ἀρκέσει C θεωρ.] ὁρῶμεν C 4 συμπλεκομένη F 5 τῇ τε Fa 9 προτέρα F 9. 10 αὐθυπόστατον C 12 οὖν] ὄντων F 13 καὶ — διδασκαλίαν (15) om. C 15. 16 τῶν ἐν τῷ παραλαμβανομένῳ C 16 προσλαμβ. F 22 τὸν (prius) om. C 23 εἴδωμεν F ἴδωμεν — μίαν] κατ' οὐδεμίαν οὖν a τούτων om. C 24 ὅτι πρ. μὲν om. F 29 γὰρ] δὲ C alt. καὶ] ἢ C 30 τε δὲ a 31 τῶν om. C τὴν αὐτὴν τὴν F 32 εἰ — ζῷον] εἰς τ. διαιρουμένου τοῦ ζῴου F 33 πάλιν ζ. coll. C ἢ ἔμπαλιν εἰ scripsi: εἰ ἔμπαλιν C: ἢ ἔμπαλιν F: ἢ ἔμπαλιν εἴπερ a

διαίρεσις εἰς αὐτὰ πάλιν γίνεται. ἀλλ' οὐδὲ ὅλως οὕτως διαιρεῖν δυνατὸν 44r
ὡς θάτερον ἐν θατέρῳ περιέχεσθαι, οἷον ὅτι τοῦ ζῴου τὸ μὲν ἄλογον τὸ 10
δὲ ἵππος· περιέχεται γὰρ ἐν τῷ ἀλόγῳ καὶ ὁ ἵππος· οὔτε γὰρ ἀντιδιαι-
ρεῖται τῷ περιέχοντι τὸ περιεχόμενον. λέγομεν δὲ τοῦ ζῴου τὸ μὲν
5 ἄλογον εἶναι τὸ δὲ λογικόν, ἐπειδὴ ἴσην ἀπόστασιν τοῦ γένους ἀφεστηκότα
ταῦτα οὐδέτερον ἐν ἑτέρῳ περιέχεται. ἐνταῦθα μέντοι γε ἡ δευτέρα οὐσία 15
τὴν πρώτην περιέχει· περιεκτικὸν γὰρ τὸ εἶδος τῶν ἀτόμων καὶ ἔτι
μᾶλλον τὸ γένος. οὐκ ἄρα ὡς γένος εἰς εἴδη διεῖλε τὴν οὐσίαν εἰς πρώ-
την καὶ δεύτεραν. ἀλλὰ μὴν οὔτε ὡς ὅλον εἰς μέρη οὔτε ὁμοιομερῆ
10 οὔτε ἀνομοιομερῆ· οὐδὲ γὰρ οἷόν τε ἐν ταύτῃ τῇ διαιρέσει ἀντιδιαιρεῖν 20
τῷ ὅλῳ τὸ μέρος, ἀλλὰ τὰ μέρη τοῖς μέρεσιν· οὐδὲ γὰρ λέγομεν 'τῆς
χειρὸς τὸ μέν ἐστι χεὶρ τὸ δὲ δάκτυλος'· περιέχεται γὰρ ἐν τῇ χειρὶ καὶ
ὁ δάκτυλος. ἐνταῦθα δὲ τῷ ὅλῳ τὸ μέρος ἀντιδιαιρεῖται· καὶ γὰρ περι-
έχεται ἐν τῇ πρώτῃ καὶ ἡ δευτέρα. ἄλλως τε ἐπὶ τῶν ὡς ἀνομοιομερῶν 25
15 διαιρουμένων οὐ μεταδίδωσι τὸ ὅλον τῷ οἰκείῳ μέρει τοῦ ὀνόματος, ὥσπερ
ἔχει ἐπὶ τοῦ προσώπου· οὐ γὰρ τὸ μέρος, εἰ τύχοι τὸ στόμα, λέγεται
πρόσωπον. ἐνταῦθα δὲ ἑκάτερον τῶν μερῶν τῷ τοῦ ὅλου ὀνόματι οὐσία
κέκληται. πάλιν τὰ ὡς ὁμοιομερῆ διαιρούμενα τὴν τοῦ ὅλου ἔχουσιν 30
ὀνομασίαν καὶ τὸν ὁρισμόν, ὡς ἐπὶ τῆς | σαρκός· ὁμοίως γὰρ τὸ τῆς 44v
20 σαρκὸς μέρος σὰρξ κέκληται καὶ τὸν ὁρισμὸν δὲ τὸν τῆς σαρκὸς ἐπιδέχε-
ται. ἐνταῦθα δὲ εἰ καὶ κοινωνεῖ ἡ πρώτη τῇ δευτέρᾳ κατὰ τοὔνομα, ἀλλ'
οὐχὶ καὶ κατὰ τὸν ὁρισμόν· οὐ γὰρ ἕνα ὁρισμὸν ἀποδώσεις ζῴου ἢ ἀν- 5
θρώπου καὶ Σωκράτους· ὅλως γὰρ τῶν καθ' ἕκαστον οὐδὲ ὁρισμὸς ἔστιν,
ἀνθρώπου δὲ καὶ ζῴου ἔστιν ὁρισμός. οὐκοῦν οὐδὲ ὡς ὅλον εἰς μέρη
25 διῄρηται ἡ οὐσία οὔτε εἰς ἀνομοιομερῆ οὔτε εἰς ὁμοιομερῆ. ἀλλ' οὐδὲ
ὡς ὁμώνυμος φωνὴ εἰς διάφορα σημαινόμενα· ἡ γὰρ τοιαύτη διαίρεσις 10
τοῦ ὀνόματος μεταδιδοῦσα μόνον τοῦ αὐτοῦ τοῖς τμήμασι τῆς τοῦ πράγ-
ματος κοινωνίας οὐ μεταδίδωσιν, ὡς ἄνθρωπος ὁ ἀληθινός τε καὶ ὁ γε-
γραμμένος. ἐνταῦθα μέντοι γε ἔστι τις κοινωνία τῆς τε πρώτης καὶ τῆς
30 δευτέρας οὐσίας καὶ κατὰ τὸν ὁρισμόν· κοινὸν γὰρ ἐπ' ἀμφοῖν τὸ μὴ ἐν 15
ὑποκειμένῳ εἶναι. τί οὖν φαμεν; ὅτι οὐκ ἔστι διαίρεσις ὅλως ἡ ἐνταῦθα
ἡμῖν παραδιδομένη, τάξις δὲ μόνη τῶν ἀπηριθμημένων, ὡς εἴ τις λέγει
τῶν ἀρχῶν τοῦ λόγου τὰ μὲν εἶναι στοιχεῖα τὰ δὲ συλλαβὰς τὰ δὲ ὀνο-
ματα καὶ ῥήματα, ἤ τινων ἀνθρώπων ἐφεξῆς καθημένων τὸν μὲν εἶναι 20

---

1 εἰς αὐτὰ πάλιν] πάλιν κατὰ ταῦτα F: ταῦτα πάλιν (εἰς om.) a γένηται Ca 3 ἐν om. C οὔτε] an οὐδὲ? 4 τῷ] τὸ F δὲ ὅτι C 5 ἐπεὶ C ἴσην] κατὰ C 6 γε om. Ca 9 pr. οὔτε] an οὐδὲ? 9. 10 οὔτε ὁμ. οὔτε ἀνομ.] ἔστιν ἥδε ἡ διαίρεσις οὔτε τῶν ὡς ὁμοιομερῶν οὔτε μὴν ὡς ἀνομοιομερῶν F 13 καὶ γὰρ καὶ F 14 τῷ πρώτῳ C ἡ om. F τε καὶ C ἀνομοίων F 15. 16 ὡς περιέχει C 16 τῷ προσώπῳ C 17 τῶν μερῶν om. C 21 κοινωνοίη Ca 23 ἕκαστα Ca 24 ὁρ. ἔστιν coll. F 25 διαιρεῖται Ca οὔτε (prius)] ὥστε F 27 μόνου C: om. a 28 ὁ (alt.) om. F 29 τε om. C alt. τῆς om. Ca 30 μὴ om. C 31 ὅλ. διαίρ. coll. a 32 ἡμῖν om. F λέγοι C 33 post συλλαβὰς add. τὰ δὲ λέξεις a

πρῶτον λέγει τὸν δὲ δεύτερον· τάξεως γάρ ἐστιν, οὐ διαιρέσεως τὸ τοι- 44v
οῦτον.

p. 2a14 Ἐν οἷς εἴδεσιν αἱ πρῶται οὐσίαι λεγόμεναι ὑπάρχουσι.

Διὰ τί μὴ εἶπε 'δεύτεραι δὲ οὐσίαι λέγονται τὰ γένη καὶ τὰ εἴδη τὰ
5 καθόλου', ἀλλὰ εἶπεν ἐν οἷς εἴδεσιν αἱ πρῶται οὐσίαι λέγομεναι 25
ὑπάρχουσιν; ἐροῦμεν ὅτι πάνυ ἀκριβῶς· εἰ γὰρ εἶπε τὰ γένη καὶ τὰ
εἴδη, ἐπειδήπερ καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις εἰσὶ γένη καὶ εἴδη (οἷον ἐν
τῷ ποιῷ γένος τὸ χρῶμα εἶδος δὲ τὸ λευκὸν καὶ τὸ μέλαν), εἴχομεν ὑπολαμ-
βάνειν τὰς δευτέρας οὐσίας εἶναι καὶ ἐν τοῖς συμβεβηκόσι. διὰ τοῦτο οὐ 30
10 τὰ τυχόντα εἴδη | εἶπεν, ἀλλ' ἐν οἷς εἴδεσιν εὑρίσκονται αἱ πρῶται οὐ- 45r
σίαι. σημειωτέον δὲ κἀνταῦθα ὅτι ἃ μὲν οὐκ ἐξ οἰκείας δόξης προφέρε-
ται, εἶπε λέγονται (δεύτεραι γάρ φησιν οὐσίαι λέγονται, οὐκ εἶπεν
'ὑπάρχουσιν'), ἃ δὲ δοκεῖ αὐτῷ, οὐκ εἶπεν λέγονται, ἀλλ' ὑπάρχουσιν· 5
ἐν οἷς γὰρ εἴδεσί φησιν αἱ πρῶται οὐσίαι λεγόμεναι ὑπάρχουσι
15 (καὶ οὐ μόνον ἐπὶ τῶν δευτέρων εἶπε τὸ λέγονται, ἀλλὰ καὶ ἐπὶ τῶν πρώ-
τῶν· αἱ πρῶται γάρ φησιν οὐσίαι λεγόμεναι), δοκεῖ δὲ αὐτῷ ἐν τοῖς
εἴδεσι καὶ γένεσιν ὑπάρχειν τὰς πρώτας οὐσίας ὡς ἐν καθολικωτέροις, 10
πλὴν δυνατὸν λαβεῖν καὶ τὰ γένη καὶ τὰ εἴδη ὡς ἐν ἀτόμοις ὑπάρχοντα·
ὅταν μὲν γὰρ ὡς κοινότητας αὐτὰ λάβωμεν, τότε εἰσὶ καθολικώτερα ἅτε
20 δὴ ἐν αὐτοῖς τὰ ἄτομα περιέχοντα, ὅταν μέντοι τὸ ἐν Πλάτωνι ἢ Σωκρά-
τει λάβωμεν γένος ἢ εἶδος, τότε ὡς στοιχεῖα αὐτὰ λαμβάνοντες τῶν ἀτό- 15
μων ἐν τοῖς ἀτόμοις φήσομεν αὐτὰ περιέχεσθαι ὡς μέρη ἐν ὅλοις.

p. 2a19 Φανερὸν δὲ ἐκ τῶν εἰρημένων ὅτι τῶν καθ' ὑποκει-
μένου λεγομένων ἀναγκαῖον καὶ τὸ ὄνομα καὶ τὸν λόγον κατηγο-
25 ρεῖσθαι τοῦ ὑποκειμένου. |

Βούλεται μὲν οὖν ἐντεῦθεν ἐξυμνῆσαι τὴν πρώτην οὐσίαν καὶ δεῖξαι 45v
ὅτι καλῶς πρώτως εἶναι οὐσία εἴρηται καὶ κυριώτατα καὶ μάλιστα,
διότι αὕτη μὲν οὐδενὸς τῶν μετ' αὐτὴν δεῖται, πάντα δὲ τὰ μετὰ τὴν
πρώτην οὐσίαν δεῖται ἐκείνης, τὰ μὲν εἰς ὕπαρξιν τὰ δὲ εἰς κατηγορίαν. ὁ

---

1 λέγοι F 3 πρώτως C Arist. (cf. v. 5. 14) λεγ. οὐσ. coll. F 4 τί δὲ μὴ a δὲ om. Ca τὰ εἴδη καὶ τὰ γένη coll. Fa 4 τὰ (ante καθόλου) om. Fa 5 πρώτως Arist. λεγ. οὐσ. coll. Ca 6 post ὑπάρχ. continuat usque ad ζῷον (2a19) C ἐρ.] λέγομεν οὖν C post ἀκρ. add. εἶπε τὸ ἐν οἷς εἴδεσιν αἱ πρῶται λεγόμεναι οὐσίαι ὑπάρχουσι C εἰ γὰρ εἶπε] εἶπε γὰρ C 7 pr. καὶ Vind. 10: om. CFa κατηγορίαις om. F 9 εἶναι καὶ om. C 10 εἴδη iter. a 11. 12 προσφέρ. Fa 12. 13 οὐκ εἶπεν ὑπάρχουσιν om. a (fort. recte) 13 ἃ δὲ ἐξ οἰκείας δόξης προσφέρει, οὐ λέγει τὸ λέγ. a 14 ἐν — ὑπάρχουσι om. F post εἴδεσι add. λέγονται C 17 ante ὑπάρχ. add. ἐμπεριέχεσθαι F 18 post πλὴν add. ὡς εἴρηται a 20 μέντοι] δὲ F τὸ] τῷ F 21 λαβόντες F 23 alt. τῶν om. F 24 λεγ.] κατηγορουμένων F λόγον] ὁρισμὸν F 26 μὲν οὖν om. C ἐνταῦθα a

μὲν οὖν σκοπὸς οὗτος· προλαμβάνει δὲ ταῦτα εἰς κατασκευὴν τοῦ προτε- 45v
θέντος καί φησιν ὅτι ἐκ τῶν εἰρημένων δῆλόν ἐστιν ὅτι τῶν καθ' ὑποκει-
μένου κατηγορουμένων ἀναγκαῖον καὶ τοὔνομα καὶ τὸν λόγον κατηγορεῖσθαι
τοῦ ὑποκειμένου. ποίων εἰρημένων; ἢ δῆλον ὅτι τῶν ἀνωτέρω αὐτῷ λεγο-
5 μένων περὶ τῶν καθ' ὑποκειμένου, ἐν οἷς ἔλεγεν ὅτι "ὅταν ἕτερον καθ' 25
ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου, ὅσα κατὰ τοῦ κατηγορουμένου
λέγεται, πάντα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται". ἐξυμνῆσαι δὲ βου-
λόμενος, ὡς εἶπον, τὴν πρώτην οὐσίαν ταῦτα προλαμβάνει ὅτι τὰ καθ' ὑπο-
κειμένου κατηγορούμενα καὶ τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ μεταδιδόασι 30
10 τοῖς ὑποκειμένοις, | τὰ δὲ ἐν ὑποκειμένοις ὄντα ἐν αὐτοῖς μὲν τὸ εἶναι ἔχει 46r
ἢ τοῦ ὀνόματος δὲ μόνου μεταδιδόασι τοῖς ὑποκειμένοις ἢ οὔτε τοῦ ὀνό-
ματος οὔτε τοῦ ὁρισμοῦ. κατηγοροῦνται δὲ πάντα κατὰ τῆς πρώτης οὐσίας
τὰ παρ' αὐτήν· οὐκοῦν αἱ πρῶται οὐσίαι πᾶσι τοῖς παρ' αὐτὰς χρείαν 5
παρέχουσι, τοῖς μὲν πρὸς ὕπαρξιν τοῖς δὲ πρὸς κατηγορίαν· πάντα γὰρ τὰ
15 παρὰ τὴν πρώτην οὐσίαν ἤτοι καθ' ὑποκειμένης αὐτῆς λέγονται, ἃ καὶ τοῦ
ὀνόματος αὐτῇ μεταδίδωσι καὶ τοῦ ὁρισμοῦ, ὥσπερ εἰσὶ τὰ γένη καὶ τὰ
εἴδη· ταῦτα γὰρ συνωνύμως αὐτῆς κατηγορεῖται· καὶ γὰρ καὶ τοῦ ὀνόμα- 10
τος τοῦ αὐτοῦ μετέχει ἡ πρώτη οὐσία (ὁ γὰρ Σωκράτης καὶ ἄνθρωπος
καὶ ζῷον λέγεται) καὶ τοῦ ὁρισμοῦ τούτων μετέχει· ἔστι γὰρ καὶ οὐσία 15
20 ἔμψυχος αἰσθητικὴ καὶ ζῷον λογικὸν θνητόν. τὰ δὲ λοιπὰ τὰ παρὰ τὴν
οὐσίαν, λέγω δὲ τὰ συμβεβηκότα, ἅπερ τῇ πρώτῃ οὐσίᾳ ἐν ὑποκειμένῳ
ἐστί, τοῦ μὲν ὁρισμοῦ οὐδέποτε αὐτῇ μεταδίδωσιν, ἐνίοτε δὲ τοῦ ὀνόματος
μόνου· ἡ γὰρ λευκότης ἐν τῷ σώματί ἐστι καὶ τοῦ μὲν ὁρισμοῦ οὐδέποτε 20
τῷ σώματι μεταδίδωσιν (οὐ γὰρ ἂν εἴποιμεν τὸ σῶμα χρῶμα εἶναι δια-
25 κριτικὸν ὄψεως, ἀλλ' εἰ ἄρα, τριχῇ διαστατὸν δεκτικὸν χρώματος διακριτι-
κοῦ ὄψεως), τοῦ μέντοι ὀνόματος μεταδίδωσι· λέγομεν γὰρ λευκὸν σῶμα.
ἡ δὲ ἀρετὴ οὔτε τοῦ ὀνόματος οὔτε τοῦ ὁρισμοῦ μεταδίδωσι τῷ ὑποκει- 25
μένῳ· οὐ γὰρ λέγεται ἀρεταῖος ὁ ἀρετῆς μετέχων, ἀλλὰ σπουδαῖος. τῶν
τοῦ ὀνόματος μεταδιδόντων τὰ μὲν ὁμωνύμως μεταδίδωσιν, ἅπερ ἐστὶ καὶ

1. 8 προλαμβ. a: παραλαμβ. C: προσλαμβ. F 1 ταῦτα] τὰ F 2. 3 δῆλον — κατηγορουμένων post λόγον coll. C 5 τῶν καθ' ὑποκ.] γενῶν F ἐν οἷς ἔλεγεν om. F (cf. p. 1b 10) ὅτι om. a 6 κατηγορεῖται F 7 ταῦτα πάντα F 8 τὴν πρ. ὡς εἶπον coll. a 10 ἔχειν C 11 pr. ἢ om. F δὲ iter. F 13 χρείας C 14 εἰς ὕπαρξιν F 15 ὑποκειμένου Ca 16 μεταδιδόασι Ca 17 αὐτῶν F κατηγοροῦνται C 18 post οὐσία add. οἷον ὁ καθόλου ἄνθρωπος λέγεται κατὰ σωκράτους καὶ μεταδίδωσι καὶ τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ a 18. 19 καὶ γὰρ καὶ ἄνθρ. λέγ. ὁ σωκρ. καὶ ζ. C 19 λέγ. καὶ ζ. coll. a ἔστι] ὅθεν C 20 καὶ θνητόν C παρὰ] περὶ C 21 δὲ] δὴ a corrigas ὑποκειμένῃ 22 εἰσί .. μεταδιδόασιν C 24 post μεταδίδ. add. ἐνίοτε δὲ τοῦ ὀνόματος μόνου C εἶναι χρ. coll. a 25 εἰ] ἢ F διαστ. τρ. coll. F 25. 26 διακριτικὸν C 27 ἡ δὲ ἀρετὴ] οὐκ ἀεὶ δέ. ἰδοὺ γὰρ ἡ ἀρετή. ἡ δὲ ἀρετὴ a: ἰστέον δὲ ὅτι οὐκ ἀεί· ἰδοὺ γὰρ ἡ ἀρετὴ Ammon., quae hic ponere opus non est τοῦ utrobique om. F 28 οὐ — σπουδαῖος om. C τῶν δὲ a (τῶν — τοιαῦτα 57,5 fort. subdita) 29 μεταδιδόασιν F

σπάνια, τὰ δὲ παρωνύμως· ὁμωνύμως μὲν ὡς ἡ γραμματικὴ γυνὴ ἀπὸ 46r
τῆς γραμματικῆς καὶ | ἡ μουσικὴ ἀπὸ τῆς μουσικῆς, παρωνύμως δέ, ἅπερ 46v
καὶ ὡς ἐπὶ τὸ πολύ εἰσιν, ὡς ἀπὸ τῆς ἀνδρείας ὁ ἀνδρεῖος καὶ ἀπὸ τῆς
γραμματικῆς ὁ γραμματικὸς καὶ ἀπὸ τῆς λευκότητος ὁ λευκὸς καὶ ὅσα
5 τοιαῦτα.

p. 2a34 Ἤτοι καθ' ὑποκειμένων λέγεται τῶν πρώτων οὐσιῶν. 5

Καλῶς εἶπε τὸ λέγεται· οὐ γὰρ δέεται τὰ καθόλου τῶν μερικῶν, ἵνα ὑποστῇ, ἀλλ' ἵνα κατ' ἐκείνων κατηγορηθῇ.

p. 2a35 Ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστι.

10 Καλῶς εἶπε τὸ ἐστί· τὰ γὰρ συμβεβηκότα ἐν ταῖς μερικαῖς οὐσίαις τὸ εἶναι ἔχει.

p. 2a35 Φανερὸν δὲ ἐκ τῶν καθ' ἕκαστα προχειριζομένων. 10

Δι' ἐπαγωγῆς βούλεται πιστώσασθαι, ἐπειδὴ καθολικῷ οὐκ ἠδύνατο λόγῳ, ὅτι τὰ ἄλλα πάντα τὰ παρὰ τὴν πρώτην οὐσίαν ἤτοι καθ' ὑποκει-
15 μένου αὐτῆς λέγεται ἢ ἐν ὑποκειμένῳ αὐτῇ ἐστι. δείκνυσι δὲ οὐκ ἐπὶ τῶν εἰδῶν ποιούμενος τὸν λόγον (ταῦτα γὰρ πᾶσιν ἐναργῆ ὅτι κατὰ τῶν 15
ἀτόμων κατηγοροῦνται· ἀμέλει ἔστιν ὅτε τοῦ κυρίου ἀποροῦντες ὀνόματος ἐκ τοῦ εἴδους καλοῦμεν αὐτὰ τὰ ἄτομα λέγοντες 'τὸν ἄνθρωπον ἐκεῖνον κάλεσον'), ἀλλ' ἐπὶ τῶν γενῶν ποιεῖται τὴν ἀπόδειξιν διὰ μέσων τῶν εἰδῶν·
20 εἰ γὰρ ἐδείχθη ὅτι τὰ ὡς καθ' ὑποκειμένου κατηγορούμενα ὅσα κατὰ τοῦ 20
κατηγορουμένου λέγεται ὡς καθ' ὑποκειμένου, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου τούτῳ λέγεται, κατηγορεῖται δὲ κατὰ τοῦ ἀτόμου τὸ εἶδος ὡς καθ' ὑποκειμένου, τούτου δὲ πάλιν τὸ γένος, ὁμολογουμένως τὸ γένος καὶ κατὰ 25
τοῦ ἀτόμου κατηγορηθήσεται, οἷον εἰ Σωκράτους ὁ ἄνθρωπος, ἀνθρώπου
25 δὲ τὸ ζῷον, οὐκοῦν καὶ Σωκράτους τὸ ζῷον. ὁμοίως καὶ ἐπὶ τῶν συμβεβηκότων ποιεῖ· οὐ γὰρ δείκνυσιν ὅτι τὸ λευκὸν ὑπάρχει τοῖς σώμασιν ἢ τὸ μέλαν (τοῦτο γὰρ ἐναργές), ἀλλ' ὅτι τὸ χρῶμα ὑπάρχει ἐν σώματι· 30
εἰ γὰρ ὡμολόγηται ὅτι πᾶν χρῶμα ἐν σώματι | ἔχει τὸ εἶναι, οὐκοῦν 47r
ὁμολογηθήσεται ὅτι καὶ ἐν τοῖς κατὰ μέρος σώμασιν ὑπάρχει· τὸ γὰρ
30 ἁπλῶς σῶμα τῶν κατὰ μέρος κατηγορεῖται σωμάτων· εἰ τοίνυν τὸ χρῶμα ἐν σώματι, τὸ δὲ σῶμα τῶν κατὰ μέρος σωμάτων, καὶ τὸ χρῶμα ἄρα 5

---

3 καὶ (prius) om. C 4 ὁ (ante λευκός) om. C 7 post εἶπε add. τῶν πρώτων οὐσιῶν F δεῖται a 9 ὑποκειμένῳ C εἰσι C
12 φαν. δὲ] φαν. C: φαν. δὲ τοῦτο a: τοῦτο δὲ φαν. Arist. 14. 15 corrigas ὑποκειμένης et ὑποκειμένῃ 15 λέγονται a 19 κάλεσον a: καλέσαι CF 23 καὶ τούτου δὲ C 27 ἐν] τῷ C 31 τῶν κατὰ μέρος] κατὰ τῶν ἐν μέρει a: om. C

τῶν κατὰ μέρος κατηγορηθήσεται, διότι ἐπὶ πάντων τῶν καθ' ὑποκειμένου 47r
λεγομένων ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, ταῦτα καὶ κατὰ τοῦ
ὑποκειμένου τούτῳ ῥηθήσεται.

p. 2b5 Μὴ οὐσῶν οὖν τῶν πρώτων οὐσιῶν ἀδύνατον τῶν
5 ἄλλων τι εἶναι· πάντα γὰρ τὰ ἄλλα ἤτοι καθ' ὑποκειμένων
τούτων λέγεται ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστιν.

Ὁρᾷς ὡς εἰκότως προέλαβε τὰ εἰρημένα ἐγκώμιον βουλόμενος εἰπεῖν 30
τῆς πρώτης οὐ|σίας· τῶν γὰρ παρ' αὐτήν, φησί, πάντων ἤτοι καθόλου 47v
οὐσιῶν οὐσῶν ἤτοι συμβεβηκότων πᾶσι χρείαν παρεχομένη, ὡς πολλάκις
10 εἴρηται, ἀναιρεθεῖσα συνανεῖλεν ἑαυτῇ τὰ παρ' ἑαυτὴν πάντα· ἀναιρεθείσης
γὰρ τῆς πρώτης οὐσίας τὰ συμβεβηκότα ἔν τινι ὑποστῆναι οὐκ ἔχοντα 5
συνανῄρηται, ὡσαύτως δὲ καὶ τὰ καθόλου μὴ ἔχοντα κατά τινων κατη-
γορηθῆναι. καθόλου δὲ λέγομεν κατηγορεῖσθαι οὐ τὰ πρὸ τῶν πολλῶν,
ἀλλ' οὐδὲ τὰ ἐν τοῖς πολλοῖς· καὶ ταῦτα μὲν γὰρ συναναιρεῖται ὁμολογου-
15 μένως ταῖς πρώταις οὐσίαις· οὐ γὰρ ἔστι τὸ ζῷον καθ' ἑαυτὸ ἐν ὑπάρξει, 10
ὃ μήτε ἄνθρωπός ἐστι μήτε Πλάτων μήτε τις τῶν κατὰ μέρος ἀνθρώπων·
ἐν γὰρ τοῖς πολλοῖς καὶ καθ' ἕκαστον τὰ κοινὰ θεωρεῖται. οὐ μέντοι
ταῦτα κατηγορεῖσθαι εἰώθασι τῶν ἀτόμων (αὐτὸ γάρ τοι ἑαυτοῦ οὐδὲν
κατηγορεῖται), μόνα δὲ εἰώθασι κατηγορεῖσθαι τῶν ἀτόμων τὰ ἐπὶ τοῖς 15
20 πολλοῖς καὶ ἐννοηματικά· τὴν γὰρ ἔννοιαν ἣν ἔχομεν περὶ τῶν πραγμά-
των ταύτην εἰώθαμεν καὶ κατηγορεῖν αὐτῶν. ἅπερ καὶ αὐτὰ τῶν μερικῶν
ἀναιρεθέντων συναναιρεῖται· τῶν γὰρ πραγμάτων μὴ ὄντων οὐδ' ἂν αἱ
περὶ αὐτῶν ὑπάρξαιεν ἔννοιαι· μὴ οὐσῶν οὖν τῶν μερικῶν οὐσιῶν οὐδὲ 20
τὰ καθόλου ἔσται οὐδὲ τὰ συμβεβηκότα· εἰκότως οὖν αἱ μερικαὶ οὐσίαι

1 ante pr. τῶν add. κατὰ Ca alt. τῶν om. F ὑποκειμένων Fa 3 τούτω om. a post ῥηθήσεται add. ex Marc. 217 Διὰ τί εἶπε τὸ χρῶμα ἐν σώματι; οὐκοῦν καὶ ἔν τινι σώματι· εἰ γὰρ μὴ ἔν τινι σώματι, οὐδὲ ἐν σώματι ὅλως, ὅτι κυρίως ἐν τῷ μερικῷ σώματί εἰσι καὶ τὸ καθόλου λευκὸν καὶ τὸ μερικόν. εἰ δὲ λέγοις, τίνι διακρίνοιμεν αὐτά, αἰσθητοῖς μὲν οὐχὶ νοητοῖς δὲ ὀφθαλμοῖς. καὶ λοιπὸν τί; χρώματα ἔσονται; οὐχί· ὡς γὰρ συμπληρωτικὸν ὂν τὸ καθόλου οὐ συναριθμεῖται τῷ μερικῷ χρώματι· οὐδὲν γὰρ συμπληρωτικὸν συναριθμεῖται τούτῳ, οὗ ἐστι συμπληρωτικόν· ὥσπερ γὰρ ὁ ἐν σκιαγραφίᾳ ἄνθρωπος καὶ ὁ χρωματουργηθεὶς οὔτε δύο νοοῦνται ἄνθρωποι οὔτε ὁ συμπληρωτικὸς ὢν συναριθμεῖται, ἀλλ' ὁ μέν ἐστι κοινὸς ὁ σκιαγραφούμενος ὁ δὲ μερικὸς καὶ εἷς ἀμφότερα, οὕτω καὶ ἐπὶ τοῦ καθόλου ἀνθρώπου καὶ τοῦ σωκράτους. Ἰστέον γὰρ ὅτι ὥσπερ ὁ ζωγράφος ποιεῖ πρῶτον κοινὸν ἄνθρωπον ἐν σκιαγραφίᾳ, εἶτα χρωματουργῶν ἄγει εἰς τὸ ποιῆσαι σωκράτην ἢ πλάτωνα, οὕτως ὁ καθόλου ἄνθρωπος πρῶτος ὢν διαπλαττόμενος γίνεται σωκράτης ἢ πλάτων· ἡ γὰρ φύσις ἁπλῶς ἄνθρωπον ποιεῖ, οὐ σωκράτην ἢ πλάτωνα a 5. 6 πάντα—ἐστιν om. Bekker. (cf. p. 59,1. 2) 5 τὰ δὲ ἄλλα πάντα a 5. 6 ὑποκειμένου λέγεται τῶν πρώτων οὐσιῶν ἢ ἐν ὑποκειμένῳ a 8 τῆς οὐσίας τῆς πρ. F ἤτοι] ὅσα C 10 εἴρηται] p. 56,13 ante ἀναιρεθεῖσα add. ἡ πρώτη οὐσία a 12. 13 κατηγορηθῆναι ex Ammon. correxi: κατηγορηθῇ CF: κατηγορηθείη a 13 πρὸ τῶν] ἐν τοῖς τῶν (sic) C 15 τὸ ζῶον] τι ζώου a 17 ἕκαστα C μέντοι γε a 18 ταῦτα] πάντα C 18. 19 αὐτὸ—ἀτόμων om. C 18 τοι] τι a 20 ἣν ἔχομεν] τὴν μὲν C 21 pr. καὶ om. Ca 23 ὑπάρξειεν F

πρῶται λέγονται. καλῶς δὲ πάλιν κἀνταῦθα ἐν μὲν τοῖς καθόλου τὸ 47v
λέγεται ἔταξεν, ἐν δὲ τοῖς συμβεβηκόσι τὸ ἐστί.

p. 2b7 Τῶν δὲ δευτέρων οὐσιῶν μᾶλλον οὐσία τὸ εἶδος τοῦ γένους.

Σύγκρισιν ποιεῖται τῶν δευτέρων οὐσιῶν πρὸς ἀλλήλας, τοῦ τε εἴδους καὶ τοῦ γένους, καί φησι μᾶλλον εἶναι οὐσίαν τὸ εἶδος τοῦ γένους, καὶ δείκνυσι τοῦτο διὰ δύο ἐπιχειρημάτων, ἑνὸς μὲν ἀπὸ τῆς σχέσεως τῆς πρὸς τὴν | πρώτην οὐσίαν, τοῦτ' ἔστι τῆς ἐγγύτητος τῆς πρὸς αὐτήν, 48r
ἑτέρου δὲ ἀπὸ τῆς ἀναλογίας. καὶ ἀπὸ μὲν τῆς σχέσεως τῆς πρὸς τὴν πρώτην οὐσίαν, ὅτι ἐγγύτερον τὸ εἶδος τῆς πρώτης οὐσίας, τοῦτ' ἔστι τῶν ἀτόμων, ἤπερ τὸ γένος· ἐκ δὲ τῆς ἀναλογίας, ὅτι ὡς ἔχει ἡ πρώτη οὐσία πρὸς τὸ εἶδος, οὕτω τὸ εἶδος πρὸς τὸ γένος· εἰ γὰρ πρώτην αὐτὴν ἐκαλέσαμεν, διότι πᾶσι τοῖς μετ' αὐτὴν χρείαν παρέχει, τοῖς μὲν πρὸς ὕπαρξιν τοῖς δὲ πρὸς κατηγορίαν, εἰκότως καὶ τὸ εἶδος μᾶλλον οὐσία τοῦ γένους κληθήσεται ὑποκείμενον αὐτῷ πρὸς κατηγορίαν· μὴ ὄντος γὰρ εἴδους οὐκ ἔχει τὸ γένος κατά τινος κατηγορηθῆναι· διὰ μέσου γὰρ αὐτοῦ καὶ τῶν ἀτόμων κατηγορεῖται.

p. 2b8 Ἐὰν γὰρ ἀποδιδῷ τις τὴν πρώτην οὐσίαν τί ἐστι, γνωριμώτερον καὶ οἰκειότερον ἀποδώσει τὸ εἶδος ἀποδιδοὺς ἢ τὸ γένος.

Τοῦτο τὸ ἐκ τῆς σχέσεως ἐπιχείρημα· ἐὰν γὰρ ἀποδιδῶμεν, φησί, τί ἐστι Σωκράτης, ὑγιῶς μὲν λέγομεν καὶ ἄνθρωπον ἀποδιδόντες καὶ ζῷον, οἰκειότερον δὲ ἄνθρωπον ἤπερ ζῶον ἀποκριθέντες· τὸ γὰρ ζῷον εἰπόντες οὐκ ἐσημάναμεν εἴτε λογικὸν εἴτε ἄλογον καὶ εἴτε θνητὸν εἴτε ἀθάνατον, ἄνθρωπον δὲ ἀποκριθέντες προσεχέστερον τὴν φύσιν αὐτοῦ ἀποδώσομεν.

p. 2b12 Τὸ μὲν γὰρ ἴδιον μᾶλλον τοῦ τινὸς ἀνθρώπου τὸ δὲ κοινότερον.

Τοῦ γὰρ Σωκράτους ἴδιόν ἐστι μᾶλλον τὸ ἄνθρωπον εἶναι, τὸ δὲ ζῷον κοινότερόν ἐστι· καὶ γὰρ κατὰ ἄλλων πλειόνων εἰδῶν.

---

1 κἀντεῦθεν C μὲν γὰρ C 14. 15 τοῦ εἴδους .. τὸ γένος C 16 κατηγορηθῆ Ca 17 αὐτῶν F 18 ἀποδῶ C 19 ἤπερ Arist. 21 ἀποδιδῶμεν Paris. 2051: ἀποδώσωμεν CFa 23 δὲ om. C

p. 2b15 Ἔτι αἱ πρῶται οὐσίαι διὰ τὸ τοῖς ἄλλοις πᾶσιν ὑπο-| 48r
κεῖσθαι καὶ τὰ ἄλλα πάντα κατὰ τούτων κατηγορεῖσθαι ἢ ἐν 48v
αὐταῖς εἶναι διὰ τοῦτο μάλιστα οὐσίαι πρῶται λέγονται. ὡς δέ
γε αἱ πρῶται οὐσίαι πρὸς τὰ ἄλλα πάντα ἔχουσιν, οὕτω καὶ τὸ
5 εἶδος πρὸς τὸ γένος ἔχει.

Τοῦτο τὸ δεύτερον ἐπιχείρημα τὸ ἐκ τῆς ἀναλογίας· ὡς γὰρ ἔχουσι, φησίν, αἱ πρῶται οὐσίαι πρὸς τὰ παρ' αὐτάς, τοῖς μὲν πρὸς ὕπαρξιν ὑπο- 10
κείμεναι τοῖς δὲ πρὸς κατηγορίαν, οὕτως ἔχουσι τὰ εἴδη πρὸς τὰ γένη ὑποκείμενα αὐτοῖς πρὸς κατηγορίαν· τὰ δὲ γένη οὐκέτι τοῖς εἴδεσιν ὑπό-
10 κεινται· ὥστε εἰκότως μᾶλλον οὐσίαι τὰ εἴδη. ἀκριβῶς δὲ προσέθηκε καὶ πάντα τὰ ἄλλα κατὰ τούτων κατηγορεῖσθαι ἢ ἐν ταύταις 15
εἶναι· αἱ γὰρ πρῶται οὐσίαι ὑπόκεινται πᾶσιν, ἀλλ' οὐχ ὁμοίως· τοῖς μὲν γὰρ πρὸς ὕπαρξιν, τοῦτ' ἔστι τοῖς συμβεβηκόσι, τοῖς δὲ πρὸς κατηγορίαν, τοῦτ' ἔστι ταῖς καθόλου οὐσίαις. ἀπορήσειε δ' ἄν τις διὰ τί τὸ εἶδος οὐκ
15 εἶπε δευτέραν οὐσίαν, τρίτην δὲ τὸ γένος. λέγομεν ὅτι διὰ μίαν καὶ τὴν 20
αὐτὴν αἰτίαν καλέσας ταύτας δευτέρας οὐσίας, λέγω δὴ διὰ τὸ δέεσθαι τῆς πρώτης πρὸς κατηγορίαν, οὐκ ἠβουλήθη τούτων ἐπιδιαίρεσιν ποιήσασθαι, ἀλλ' ἠρκέσθη σύγκρισιν μόνον αὐτῶν ποιῆσαι καὶ τὴν μὲν εἰπεῖν μᾶλλον τὴν δὲ ἧττον οὐσίαν. 25

20 p. 2b22 Αὐτῶν δὲ τῶν εἰδῶν ὅσα μή ἐστι γένη οὐδὲν μᾶλλον ἕτερον ἑτέρου οὐσία ἐστί· |

Ποιησάμενος τὴν κατὰ βάθος τῶν οὐσιῶν διαίρεσιν, τοῦτ' ἔστι τὴν 49r
ἀπὸ τῶν ἀτόμων ἐπὶ τὸ εἶδος καὶ ἀπὸ τούτου ἐπὶ τὸ γένος, καὶ εἰπὼν τὴν μὲν εἶναι πρώτην τὴν δὲ δευτέραν, τῆς δὲ δευτέρας τὴν μὲν μᾶλλον οὐσίαν 5
25 τὴν δὲ ἧττον, νῦν ποιεῖται τὴν κατὰ πλάτος αὐτῶν διαίρεσιν καὶ παραβολήν, λέγω δὴ εἴδους πρὸς εἶδος καὶ ἀτόμου πρὸς ἄτομον. καὶ καλῶς εἶπεν ὅσα μή ἐστι γένη, ἵνα μὴ παραβάλῃς τὰ ὑπάλληλα εἴδη καὶ τὰ εἰδικώτατα οἷον ζῷον καὶ ἄνθρωπον. ἀλλὰ ἐκεῖνά φησι δεῖν παραβάλλειν 10
τὰ τὴν αὐτὴν ἀπόστασιν τῶν γενῶν ἀφεστηκότα ἢ τῶν ἀτόμων, οἷον ἄνθρω-
30 πον καὶ ἵππον ἢ βοῦν· ταῦτα γάρ, φησίν, οὐδὲν μᾶλλον ἕτερον ἑτέρου οὐσία ἐστί· τοῦ τε γὰρ γένους ὁμοίως ἀφεστήκασι· μετὰ γὰρ τὸ ζῷον εὐθὺς τὸ ἄλογον καὶ τὸ λογικὸν ζῶον τέτακται, μεθ' ἃ ἵππος, εἰ τύχοι, 15
καὶ ἄνθρωπος καὶ βοῦς· ὥσπερ γὰρ τοῦ ἵππου κατηγορεῖται τὸ ζῷον,

---

1 ἅπασιν a Arist. 2 πάντα τὰ ἄλλα Arist. (cf. v. 11) 3 πρῶται om. Arist. 4 πάντα om. F 8 γένη om. C 9 γένη δὲ coll. C 11 αὐταῖς Arist. (cf. v. 3) 15 λέγομεν οὖν a 21 τὸ ἕτερον τοῦ ἑτέρου F 26 πρὸς εἰδ.] παρὰ εἶδος C 27 παραβάλῃς a: παράβληται (τὰ prius om.) C: παραβάλλῃ F τὰ (alt.) om. C 28 τὸ ζῶον F 30 ἢ] καὶ F 33. p. 51,1 ὥσπερ — βοός om. F

οὕτω καὶ ἀνθρώπου καὶ βοός. ὁμοίως δὲ καὶ ἀμπέλου καὶ ἐλαίας τὸ 49ᵛ
φυτὸν γένος ὂν αὐτῶν τὸ προσεχές, ὡς καὶ τοῦ ἵππου καὶ τῶν ἄλλων τὸ
ζῷον. διὰ τοῦτο ταῦτα πάντα οὐδὲν μᾶλλον ἕτερον ἑτέρου οὐσία· τό τε 20
γὰρ προσεχὲς γένος ὁμοίως αὐτῶν ἀφέστηκε, καὶ μετ' αὐτὰ εὐθὺς τὰ
5 ἄτομα τέτακται. ἀλλ' οὐδὲ τὰ ἄτομα, φησίν, οὐδὲν μᾶλλον ἕτερον ἑτέρου
οὐσία ἐστίν· ὁμοίως γὰρ πάντα τοῖς τε εἴδεσι καὶ τοῖς γένεσιν αὐτῶν ὑπό-
κειται πρὸς κατηγορίαν καὶ τοῖς συμβεβηκόσι πρὸς ὕπαρξιν· ὃν γὰρ λόγον 25
ἔχει ὁ ἄνθρωπος πρὸς τὸν τινὰ ἄνθρωπον, τὸν αὐτὸν λόγον ἔχει καὶ ὁ
ἵππος πρὸς τὸν τινὰ ἵππον· ὥσπερ γὰρ τοῦ Σωκράτους κατηγορῶν τὸν
10 ἄνθρωπον οὐδὲν ἂν κατηγορήσαις οἰκειότερον, οὕτως οὐδὲ Ξάνθου τὸν
ἵππον ἢ Ἄργου τὸν κύνα. καὶ ἐντεῦθεν δὲ δῆλός ἐστιν ὁ Ἀριστοτέλης 30
πρὸς | τὴν τῶν πολλῶν γνῶσιν τὴν διδασκαλίαν ποιούμενος· οὐδὲν γὰρ 49ᵛ
μᾶλλον ἄτομον ἀτόμου φησὶν εἶναι πρώτην οὐσίαν, ἀλλὰ τόνδε τὸν
μύρμηκα, εἰ τύχοι, καὶ τόνδε τὸν ἀστέρα ὁμοίως εἶναι οὐσίας· ὁ γὰρ
15 πολὺς ἄνθρωπος ὁμοίως ἕκαστον τούτων ὑπάρχον οἶδε. διὰ τοῦτο καὶ 5
αὐτὸς ὁμοίως ταῦτα οὐσίας ἐκάλεσεν ἀκολουθῶν ταῖς τῶν πολλῶν
ἐννοίαις.

p. 2ᵇ29 Εἰκότως δὲ μετὰ τὰς πρώτας οὐσίας μόνα τῶν ἄλλων 10
τὰ εἴδη καὶ τὰ γένη δεύτεραι οὐσίαι λέγονται.

20 Νῦν τὴν αἰτίαν λέγει δι' ἣν τὰ μὲν γένη καὶ τὰ εἴδη δεύτεραι οὐσίαι 20
λέγονται, οὐκέτι δὲ τρίτας οὐσίας λέγει τὰ συμβεβηκότα. τοῦτο δὲ πάλιν
κατασκευάζει διχῶς, ἔκ τε τῆς σχέσεως τῆς πρὸς τὰς πρώτας οὐσίας καὶ
ἐκ τῆς ἀναλογίας. καὶ ἀπὸ μὲν τῆς σχέσεως, ὅτι τὰς πρώτας οὐσίας
ἀποδιδόντες οἰκείως ἀποδώσομεν διὰ μόνου τοῦ γένους ἢ τοῦ εἴδους ἀπο- 25
25 διδόντες· τὸν γὰρ Σωκράτην ἄνθρωπον εἰρηκότες ἢ ζῷον οἰκείως ἀποδώ-
σομεν καὶ γνωριμώτερον, ἐὰν δὲ ὅτι λευκὸς ἢ τρέχει ἤ τι τοιοῦτον εἴπω-
μεν, ἀλλοτρίως καὶ ἀγνώστως ἀποδώσομεν. εἰκότως οὖν τὰ μὲν εἴδη καὶ
τὰ γένη δευτέρας οὐσίας λέγομεν ἅτε μόνα σημαίνοντα τὰς πρώτας οὐ- 30
σίας, τὰ δὲ συμβεβηκότα | ὅλως οὐ φαμεν οὐσίας ἅτε μὴ δηλοῦντα τὴν 50ᵛ
30 πρώτην οὐσίαν.

---

1 post ὁμοίως add. ὡσαύτως C 4 προσ. αὐτῶν γένος ὁμοίως αὐτοῖς a 6. 7 ὑπόκειται F 8. 9 ante ἄνθρωπος et ἵππος add. καθόλου a 9. 10 τὸν τινὰ ἄνθρ. C 10 κατηγορήσαις scripsi: κατηγορήσης libri: εἴποις Ammon. 13 πρώτην om. F: post οὐσ. coll. a 14 εἶναι ὁμ. coll. a 17 post ἐννοίαις add. ex Marc. 217 Αὐτῶν δὲ τῶν εἰδῶν ὅσα μή ἐστι γένη. τουτέστιν ὅσα ἐγγὺς εἰσὶ τοῖς ἀτόμοις καὶ εἰδικώτατα, ἐπεὶ καὶ τὸ ὄρνεον εἶδός ἐστιν a 18 δὲ] οὖν Ca 23 καὶ om. C 26 καὶ om. C γνωρίμως Ammon. (fort. rectius) δὲ] γὰρ C 27 καὶ (prius)] ἢ F 27. 28 γένη καὶ τὰ εἴδη coll. a 29 φήσομεν C ἅτε δὴ μὴ F

p. 2ᵇ37 Ἔτι αἱ πρῶται οὐσίαι διὰ τὸ τοῖς ἄλλοις ἅπασιν ὑπο- 50ʳ
κεῖσθαι κυριώτατα οὐσίαι λέγονται.

Τοῦτο τὸ δεύτερον ἐπιχείρημα τὸ ἐκ τῆς ἀναλογίας. φησὶ δὲ ὅτι ὃν τρόπον αἱ πρῶται οὐσίαι ὑπόκεινται πᾶσι τοῖς παρ' αὐτάς, οὕτως καὶ αἱ δεύτεραι τοῖς συμβεβηκόσιν· ὥσπερ γὰρ λέγομεν Σωκράτην φιλόσοφον, οὕτω δὲ καὶ ἄνθρωπον φιλόσοφον λέγομεν καὶ ζῷον φιλόσοφον. ὥστε καὶ αἱ δεύτεραι οὐσίαι ὑπόκεινται τοῖς συμβεβηκόσι, καὶ τὰ συμβεβηκότα κατ' αὐτῶν κατηγορεῖται, ἀλλὰ προηγουμένως μὲν τῶν ἀτόμων κατηγορεῖται, ὡς φησι καὶ ὁ Πορφύριος, κατὰ δεύτερον δὲ λόγον καὶ τῶν εἰδῶν καὶ τῶν γενῶν. τὰ δὲ συμβεβηκότα οὐδέποτε | ταῖς οὐσίας ὑπόκεινται· ἰστέον γὰρ 50ᵛ ὅτι τῶν κατηγορουμένων τὰ μὲν κατὰ φύσιν κατηγορεῖται τὰ δὲ παρὰ φύσιν τὰ δὲ κατὰ συμβεβηκός. κατὰ φύσιν μὲν οὖν κατηγοροῦνται τὰ συμβεβηκότα τῶν οὐσιῶν, οἷον Σωκράτης φιλόσοφός ἐστιν ἢ φαλακρὸς ἢ σιμὸς ἤ τι τοιοῦτον· φυσικῶς γὰρ ὑποκεῖσθαι εἴωθε τοῖς συμβεβηκόσιν ἡ οὐσία, τὰ δὲ συμβεβηκότα κατ' αὐτῆς κατηγορεῖσθαι. ἀλλὰ καὶ τὰ καθόλου τῶν μερικῶν κατὰ φύσιν κατηγορεῖται, ὡς Σωκράτους τὸ ζῷον· καὶ γὰρ τοῖς καθόλου τὰ μερικὰ ὑποκεῖσθαι πεφύκασι. παρὰ φύσιν δέ ἐστι κατηγορία ἡ τὸ ἀνάπαλιν ποιοῦσα καὶ κατηγοροῦσα κατὰ συμβεβηκότος οὐσίαν, οἷον ἡ λέγουσα ὅτι τὸ φιλόσοφον τοῦτο Σωκράτης ἐστὶ καὶ εἴ τι τοιοῦτον (οὐ γὰρ ἔχουσι φύσιν τὰ συμβεβηκότα ταῖς οὐσίαις ὑποκεῖσθαι), καὶ ἔτι ἡ τὸ μερικὸν κατὰ τοῦ καθόλου κατηγοροῦσα, οἷον ἡ λέγουσα ὅτι ὁ ἄνθρωπος οὗτος Σωκράτης ἐστὶν ἢ τὸ χρῶμα λευκόν ἐστι. κατὰ συμβεβηκὸς δέ ἐστι κατηγορία ἡ συμβεβηκὸς κατὰ συμβεβηκότος ἄλλο κατ' ἄλλου κατηγοροῦσα, ἑτερογενές φημι ἑτερογενοῦς, οἷον ἡ τὸ ἐν Σωκράτει φιλόσοφον τοῦ ἐν αὐτῷ τούτῳ σιμοῦ κατηγοροῦσα ἢ τοῦ φαλακροῦ ἢ ἀνάπαλιν καὶ λέγουσα, εἰ τύχοι, ὅτι τὸ σιμὸν τοῦτο φαλακρόν ἐστιν ἢ τὸ φαλακρὸν τοῦτο φιλόσοφόν ἐστι καὶ εἴ τι τοιοῦτον. κατὰ συμβεβηκὸς δὲ λέγεται, ὅτι περὶ τὸ αὐτὸ ὑποκείμενον συμβεβηκότων πλειόνων ἑτερογενῶν εὑρεθέντων ἢ μὴ

---

2 κυριώταται Ca 3 τοῦτο — ἀναλογίας om. et ex Marc. 217 haec add. Ἰστέον ὅτι αἱ πρῶται οὐσίαι διὰ τοῦτο λέγονται πρῶται, διὰ τὸ καὶ τοῖς συμβεβηκόσιν ἀτόμοις ὑποκεῖσθαι πρὸς ὕπαρξιν καὶ ταῖς καθόλου πρὸς κατηγορίαν οὐσίαις, καὶ ὡς ἔχουσιν αἱ πρῶται οὐσίαι πρὸς τὰ συμβεβηκότα μερικὰ καὶ τὰς καθόλου οὐσίας, ὑπόκεινται γὰρ τοῖς μὲν πρὸς ὕπαρξιν, τοῖς δὲ πρὸς κατηγορίαν, οὕτω καὶ αἱ δεύτεραι οὐσίαι συμβεβηκόσιν ὑπόκεινται, τοῖς κατὰ τὰ ἐννέα γένη θεωρουμένοις καθόλου· τοῦτο γάρ ἐστι τὸ πᾶσι τοῖς ἄλλοις, τουτέστι ταῖς καθόλου οὐσίαις καὶ τοῖς καθόλου συμβεβηκόσι. καὶ καθόλου οὕτως ἔχουσι τὰ εἴδη πρὸς τὰ γένη, ὡς τὰ ἄτομα πρὸς τὰ εἴδη· ὑπόκεινται γὰρ αὐτοῖς πρὸς κατηγορίαν a δὲ ὅτι] ὅτι C: γὰρ a 4 πρῶται] πρώτως λεγόμεναι C ὑπόκ.] ὑπάρχουσι ὑποκείμεναι C 5 δεύτ. οὐσίαι F 6 οὕτω — φιλόσοφον om. C 9 καὶ (prius) om. C ὁ Πορφ.] Isag. p. 13,20 9. 10 γενῶν καὶ τῶν εἰδῶν coll. Fa 10 δὲ om. a γὰρ om. C 11 κατηγοροῦνται C 13 ὁ σωκρ. a 19 τὸ om. F 21 κατὰ τοῦ καθόλου om. C τοῦ] τὸ F ὁ om. C 22. 23 κατ. ἐστι coll. C 23 ante συμβεβηκὸς add. κατὰ F 25 τοῦτο C 28 ἢ eicias

πεφυκότων ἀλλήλων κατηγορεῖσθαι διὰ τὴν πρὸς τὸ ὑποκείμενον σχέσιν 50v
ἕτερον ἑτέρου κατηγορήθη καὶ οὐ διὰ τὴν πρὸς ἄλληλα συγγένειαν· οὐ γὰρ
πέφυκεν ὑποκεῖσθαι τὸ σιμὸν τῷ φαλακρῷ· ὑφ' ἕτερον γὰρ ἑκάτερον τού-
των τέλεῖ γένος, τὸ μὲν ὑπὸ τὸ ποσὸν τὸ δὲ ὑπὸ τὸ ποιόν. παρὰ φύσιν 30
5 δὲ οὔ φαμεν τὴν τοιαύτην κατηγορίαν, διότι | ὅλως πέφυκε συμβεβηκὸς 51r
συμβεβηκότος κατηγορεῖσθαι τὸ καθολικώτερον τοῦ μερικωτέρου. εἰκότως
οὖν ἄρα οὐκ ἐκλήθησαν τρίται οὐσίαι τὰ συμβεβηκότα ἅτε μὴ ὑποκείμενά
τινι πρὸς ὕπαρξιν, ἀλλὰ καὶ ὅταν οὐσία κατὰ συμβεβηκότος κατηγορῆται, 5
παρὰ φύσιν ⟨φαμὲν⟩ εἶναι τὴν τοιαύτην κατηγορίαν.

10 p. 3a7 Κοινὸν δὲ κατὰ πάσης οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι.

Διελὼν τὴν οὐσίαν εἰς τὴν πρώτην καὶ τὴν δευτέραν καὶ παραβαλὼν πρὸς ἀλλήλας, νῦν εὐτάκτως ποιῶν τῆς οὐσίας τὸν ὁρισμὸν ἀποδοῦναι βούλεται. ἀλλ' ἐπειδὴ ἡ οὐσία γένος ἐστὶ γενικώτατον, ὁρισμὸν αὐτῆς οὐ
15 δύναται ἀποδοῦναι διὰ τὸ τοὺς ὁρισμοὺς ἐκ γενῶν καὶ διαφορῶν λαμβάνεσθαι, τῆς δὲ ἁπλῆς οὐσίας οὐκ ἔστι γένος εὑρεῖν διὰ τό, ὡς εἴρηται, 25
γένος εἶναι αὐτὴν γενικώτατον. διὰ τοῦτο τοίνυν τὸ ἴδιον αὐτῆς ἀποδίδωσιν· ἔοικε γὰρ τοῦτο ὁρισμῷ· ὥσπερ γὰρ ὁ ὁρισμὸς μόνῳ καὶ παντὶ ὑπάρχει, οὗ ἐστιν ὁρισμός, καὶ πρὸς τὸ ὁριστὸν ἀντιστρέφει, οὕτως καὶ τὸ ἴδιον
20 μόνῳ καὶ παντὶ ὑπάρχει, οὗ ἐστιν ἴδιον, καὶ ἀντιστρέ|φουσι πρὸς ἄλληλα. 51v
διὰ ταύτην οὖν τὴν αἰτίαν ἴδιον τῆς οὐσίας ἀποδοῦναι βούλεται. οὐ παραδίδωσι δὲ εὐθὺς τὰ ἀρέσκοντα αὐτῷ ἴδια, ἀλλ' ἃ ἄν τις ὑποπτεύσειεν ἴδια εἶναι, ἵνα μὴ ὕστερον ἐξῇ τινι λέγειν ὅτι καὶ ταῦτα ἴδιά ἐστι τῆς οὐσίας. βουληθεὶς δὲ τὸ ἴδιον ἀποδοῦναι τὸ κοινὸν ἀποδέδωκε· φησὶ γὰρ κοινὸν 5
25 κατὰ πάσης οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. τί οὖν ἐροῦμεν; ὅτι δεῖ πάντως τῷ ἰδίῳ δύο τινὰ ὑπάρχειν, τὸ μόνῳ ὑπάρχειν ἐκείνῳ καὶ παντί, οὗ ἐστιν ἴδιον· διὰ οὖν τοῦ εἰπεῖν κοινόν ἐστιν ἐσήμανεν ὅτι πάσῃ τῇ οὐσίᾳ τοῦτο ὑπάρχει· δεῖ γὰρ τὸ ἴδιον καὶ μόνῳ ἐκείνῳ τῷ 10
πράγματι ὑπάρχειν, οὗ ἐστιν ἴδιον, καὶ παντί, ὡς τὸ γελαστικὸν καὶ μόνῳ
30 ἀνθρώπῳ ὑπάρχει καὶ παντί. κοινὸν οὖν φησι κατὰ πάσης οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. καὶ ὅτι μὲν ἡ πρώτη οὐσία οὐκ ἔστιν ἐν ὑποκειμένῳ, οὐδὲ κατασκευάσαι ἀξιοῖ· φανερὸν γὰρ ἐκ τῆς ἐναργείας τοῦτο· ὁ 15

---

1 ante διὰ add. ἢ F 3 ἐφ' C 5 post ὅλως add. οὐ a 6 καθολικώτερον δὲ a 8 κατηγορεῖται Fa 9 φαμὲν Marc. 217: om. CFa 12. 13 διελὼν — οὐσίας om. a 12 εἰς om. C τὴν (alt.) om. C 14. 15 ἀποδ. οὐ δυν. coll. C 16 γένος οὐκ ἔστι coll. C ὡς εἴρηται] v. 14 18 τούτω F post παντὶ add. καὶ ἀεὶ C 18. 19 ὑπάρχει ante μόνω coll. a 19. 20 ὁρισμὸς — οὗ ἐστιν om. F 19 alt. τὸ om. C 20 ἀντιστρέφει C 21 ἀποδ. τῆς οὐσ. coll. F 22 ἴδια αὐτῶ coll. C ὑπώπτευσεν F: ὑποπτεύσας a 22. 23 εἶναι ἴδια coll. F 24 ἀπέδωκε F κοινόν ἐστι (alt. l.) C 27 τοῦ οὖν coll. Ca ἐστιν (post κοιν.) om. Arist. 28 post ὑπάρχει add. lemma οὐ γὰρ ἐν — δὲ τὸ ζῶον (3a12—14) C δεῖ — παντί (30) fort. eicias 28. 29 τῶ πρ. ἐκ. coll. C 29 ἴδιον om. Ca 30 φασι C 31 ἡ μὲν coll. a

γὰρ Σωκράτης οὐκ ἐν ἄλλῳ ἔχει τὸ εἶναι. κατασκευάζει δὲ ὅτι οὐδὲ αἱ 51v
δεύτεραι οὐσίαι εἰσὶν ἐν ὑποκειμένῳ, καὶ κατασκευάζει συλλογισμῷ χρώμε-
νος ἐν δευτέρῳ σχήματι τοιούτῳ· αἱ δεύτεραι οὐσίαι τοῦ ὀνόματος καὶ
τοῦ ὁρισμοῦ μεταδιδόασι τῷ ὑποκειμένῳ, τὰ δὲ ἐν ὑποκειμένῳ ὄντα ἢ 20
5 οὔτε τοῦ ὀνόματος οὔτε τοῦ ὁρισμοῦ μεταδιδόασι τῷ ὑποκειμένῳ ἢ τοῦ
ὀνόματος μόνου· αἱ ἄρα δεύτεραι οὐσίαι οὐκ εἰσιν ἐν ὑποκειμένῳ.

p. 3a21 Οὐκ ἴδιον δὲ οὐσίας τοῦτο, ἀλλὰ καὶ ἡ διαφορὰ τῶν μὴ
ἐν ὑποκειμένῳ ἐστί. | 25

Τὸ ἀποδεδομένον τῆς οὐσίας ἴδιον ἐκβάλλει ὡς μὴ μόνῃ ταύτῃ ὑπάρ- 52r
10 χον ἀλλὰ καὶ ταῖς διαφοραῖς. δοκεῖ δὲ ἐκ τούτων καὶ διακρίνειν τὰς
διαφορὰς τῶν οὐσιῶν καὶ συνάπτειν αὐτὰς ταῖς οὐσίαις· διὰ μὲν 5
γὰρ τοῦ εἰπεῖν ὅτι οὐκ ἴδιον τοῦτο τῆς οὐσίας ἀλλὰ καὶ τῶν διαφο-
ρῶν δοκεῖ διακρίνειν αὐτὰς τῶν οὐσιῶν, πάλιν δὲ διὰ τοῦ εἰπεῖν ὅτι καὶ
αἱ διαφοραὶ καθ' ὑποκειμένου μὲν λέγονται ἐν ὑποκειμένῳ δὲ οὐκ εἰσι
15 συνάπτει αὐτὰς ταῖς οὐσίαις· τὰ γὰρ οὐκ ἐν ὑποκειμένῳ, φησί, καὶ τοῦ 10
ὀνόματος μεταδιδόασι καὶ τοῦ ὁρισμοῦ τούτοις ὧν καθ' ὑποκειμένου λέγε-
ται· τοιαῦται δέ, φησι, καὶ αἱ διαφοραί· τὸ γὰρ πεζὸν καὶ τὸ δίπουν
καὶ τὸ λογικὸν οὐ μόνον τοῦ ὀνόματος μεταδιδόασι τῷ ἀνθρώπῳ (πεζὸν
γὰρ ζῷον ὁ ἄνθρωπος λέγεται καὶ λογικὸν καὶ δίπουν), ἀλλὰ καὶ τοῦ ὁρι- 15
20 σμοῦ, ὅπως ἄν τις ἀποδῷ τούτων ἑκάστου τὸν λόγον. τοῦτο δὲ ἴδιον τῶν
οὐσιωδῶς κατὰ τῆς πρώτης οὐσίας κατηγορουμένων. ὥστε οὐσίας εἶναι
τὰς διαφορὰς πάλιν ἐκ τούτων τῶν λόγων βούλεται. τινὲς οὖν πρὸς τοῦτό
φασιν ὅτι τριττά εἰσι τῶν διαφορῶν τὰ εἴδη, καὶ αἱ μὲν αὐτῶν εἰσι μᾶλλον 25
οὐσίαι ἤπερ συμβεβηκότα, αἱ δὲ μᾶλλον συμβεβηκότα ἤπερ οὐσίαι, αἱ δὲ
25 μέσως πως ἔχουσιν ὡς ἄδηλον εἶναι πότερον συμβεβηκότα μᾶλλον αὐτὰς
εἴπωμεν ἢ οὐσίας· οἷον μᾶλλον μὲν οὐσίαι εἰσὶν ἤπερ συμβεβηκότα τὸ λο-
γικὸν τὸ ἄλογον καὶ τὰ τοιαῦτα (μᾶλλον μὲν οὐσίαι ὅτι συμπληρωτι- 30
καί εἰσι τῶν | ὑποκειμένων εἰδῶν, συμβεβηκότα δὲ ὅτι ἐν τῷ ὁποῖόν τί 52v
ἐστι κατηγοροῦνται, ὥσπερ καὶ τὰ συμβεβηκότα), μᾶλλον δὲ συμβεβηκότα
30 ἢ οὐσίαι τὸ ἐν κύκνῳ λευκὸν καὶ τὸ ἐν Σκύθῃ καὶ ἔτι τὸ ἐν τῷ κόρακι
μέλαν καὶ τὸ ἐν τῷ Αἰθίοπι (ταύτῃ γὰρ διαφέρει ὁ Σκύθης τοῦ Αἰθίοπος, 5
τῷ λευκῷ καὶ τῷ μέλανι)· συμβεβηκὸς μέν, ὅτι γίνεται καὶ ἀπογίνεται

---

4 δὲ om. F ἢ om. a 5 μεταδιδόασι τῷ ὑποκειμένῳ post ὑποκειμ. (6) coll. F 6 μόνον C
7 τοῦτο τῆς οὐσ. Arist. 9 ἀποδιδόμενον F ἴδιον τ. οὐσ. coll. C 10 τούτου a
11 συντάττειν C μὲν om. F 12 τοῦ] τὸ C καὶ om. F 14 οὐκ εἰσι scripsi: οὐκέτι
CFa 15 αὐτὰ C οὐκ om. C 16 an ὑποκειμένων? 17 δέ] γάρ a 18 τοῦ
ἀνθρώπου F 19 καὶ τὸ λογικὸν καὶ τὸ δίπουν F 20 τούτων] τοῦτον F post λόγον
add. ex Marc. 217 οἷον τὸ πεζὸν καὶ τὸ δίπουν ἐν τῷ ἀνθρώπῳ μέν εἰσιν, ἀλλ' οὐχ ὡς τὰ
συμβεβηκότα, ἐπειδὴ καὶ κατὰ τοὔνομα καὶ κατὰ τὸν λόγον τοῦ ἀνθρώπου κατηγοροῦνται· τὸν
γὰρ ἄνθρωπον εἴποις ἂν πεζόν, εἴποις δ' ἂν καὶ τὸν λόγον τοῦ πεζοῦ, ὅπερ ἐστὶν ἐπὶ γῆς διὰ σκε-
λῶν βαδιστικόν a 22 οὖν] δὲ F 26 εἴπομεν a 27 μὲν οὖν C ὅτι om. F
30 pr. καὶ om. F τῷ om. a 31 τὸ ἐν om. a 32 malim συμβεβηκότα

χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς· τῶν γὰρ πτερῶν ἀφαιρεθέντων τοῦ 52v
κόρακος οὐδὲν ἧττον κόραξ ἔσται, κἂν τὸν Σκύθην μελανθέντα ἐπινοήσῃς,
οὐδὲν ἧττόν ἐστι καὶ ἄνθρωπος καὶ Σκύθης. πάλιν δὲ οὐσίαι δοκοῦσί πως
εἶναι τὰ τοιαῦτα, διότι παντὶ τῷ εἴδει τῶν κοράκων καὶ τῶν Αἰθιόπων
ὑπάρχει τὸ μέλαν, ὁμοίως καὶ τὸ λευκὸν κύκνοις τε καὶ Σκύθαις. αἱ δὲ
ἐν τοῖς στοιχείοις ποιότητες μέσως πως ἔχουσιν, οἷον τὸ ἐν τῷ πυρὶ θερμὸν καὶ τὸ ξηρὸν καὶ τὸ ἐν τῷ ὕδατι ψυχρὸν καὶ ὑγρόν.

Ἵνα δὲ σαφέστερα ἡμῖν γένηται τὰ περὶ τούτων, λέγω δὴ τῶν ἐν τοῖς στοιχείοις διαφορῶν, λεγόμενα, μικρὸν ἀνωτέρω τὸν λόγον ἀγάγωμεν. τὴν πρώτην ὕλην φασὶν οἱ φιλόσοφοι ἀσώματον εἶναι τῷ οἰκείῳ λόγῳ ἀσχημάτιστόν τε καὶ ἀμεγέθη καὶ πάσης ποιότητος κεχωρισμένην· ὅτι γὰρ ἀνείδεός ἐστι, δείκνυται σαφῶς τῷ πάντων τῶν φυσικῶν εἰδῶν αὐτὴν εἶναι δεκτικήν· ὥσπερ γὰρ τὰ ξύλα ὕλης λόγον ἐπέχοντα τοῖς σκεύεσιν ἐστέρηνται παντὸς εἴδους τοῦ κατὰ τὰ σκεύη θεωρουμένου (οὔτε γὰρ θρόνου εἶδος ἔχει οὔτε ἀβακίου οὔτε οὐδενὸς ἄλλου τοιούτου), οὕτω καὶ ἡ ὕλη ὑποβάθρα τις οὖσα καὶ δεκτικὴ πάντων τῶν εἰδῶν τῶν ἐν τοῖς σώμασι θεωρουμένων, οὐδὲ ἓν ἕξει οἰκεῖον εἶδος. αὕτη οὖν ἐξογκωθεῖσα κατὰ τὰς τρεῖς διαστάσεις ποιεῖ τὸ δεύτερον ὑποκείμενον κατὰ Ἀριστοτέλην, τοῦτ' ἔστι τὸ ἄποιον σῶμα· ἐπειδὴ γὰρ αἱ ποιότητες καθ' ἑαυτὰς ὑποστῆναι οὐχ οἷαί τε ἦσαν (πᾶσα | γὰρ ποιότης ἐν σώματι ἔχει τὸ εἶναι), 53r
ἐδεήθησαν τοῦ σώματος τῷ οἰκείῳ λόγῳ ἀποίου ὄντος, ἵνα ἐν τούτῳ ὑποστῶσι. τούτῳ οὖν κατά τι μὲν μέρος προσγενομένη ἡ θερμὴ καὶ ξηρὰ ποιότης ἐποίησε τὸ πῦρ, κατά τι δὲ ἡ ψυχρὰ καὶ ὑγρὰ ἐποίησε τὸ ὕδωρ. κατά τι δὲ πάλιν ἡ ξηρὰ καὶ ψυχρὰ ἐποίησε τὴν γῆν, κατά τι δὲ ἡ θερμὴ καὶ ὑγρὰ ἐποίησε τὸν ἀέρα. οὐχ ὅτι ἦν ἐνεργείᾳ ποτὲ ἡ ὕλη ἀσώματος ἢ τὸ σῶμα ἄποιον, ἀλλὰ τὴν εὔτακτον τῶν ὄντων γένεσιν θεωροῦντες ταῦτά φαμεν, τῇ ἐπινοίᾳ διαιροῦντες τὰ τῇ φύσει ἀχώριστα. αἱ οὖν ποιότητες αἱ ἐπιγενόμεναι τῷ σώματι, λέγω δὴ τῷ δευτέρῳ ὑποκειμένῳ, ᾗ μὲν ἀποίῳ ὄντι αὐτῷ ἐπεγένοντο, συμβεβηκότα εἰσίν, ᾗ δὲ συμπληρωτικαί εἰσι πυρὸς καὶ ὕδατος καὶ τῶν λοιπῶν στοιχείων, οὐσίαι· τῷ γὰρ πυρὶ ὡς μὲν σώματι ἐπισυμβέβηκεν ἡ θερμὴ καὶ ξηρὰ ποιότης, ὡς δὲ πυρὶ οὐκέτι ταῦτα λέγονται ἐπισυμβαίνειν, ἀλλὰ μᾶλλον συμπληροῦν τὴν τούτου οὐσίαν. ὥστε αὗται μέσως πως ἔχουσιν, οὐδὲν μᾶλλον οὐσίαι ἢ συμβεβηκότα· τῷ μὲν γὰρ ἁπλῶς σώματι, λέγω δὴ τῷ τριχῇ διαστατῷ,

1 ὑποκειμένης (τοῦ om.) F 2 ὁ κόραξ a 5 σκύτ. καὶ κύκ. (τε om.) F 7 tert. καὶ] ἢ Fa 9 ἀνάγωμεν Ca 10 ὕλην] πάλιν C 12 δείκνυσι F τῷ] τὸ F αὐτὴν εἰδ. coll. C 13 ἐπέχ. λόγον coll. F 14 ἐστέρηται a τὰ om. F 15 ἢ βακίου C καὶ om. C 16 δεκτ.] δεξαμένη Fa 17 οὐδὲν ἓν F ἐξογγωθ. F 18 Ἀριστ.] cf. De gen. et corr. B 1 p. 329a33 21 ἄποιοι οὖσαι C 22 μὲν om. a προσγιν. Ca ξηρὰ καὶ θερμὴ coll. Ca 23 ante ποιότ. add. καὶ C 25 ἐνέργειαν F ποτὲ ante ἐνεργ. coll. a: om. F 26 τὸ om. a 27 ταῦτα post διαιροῦντες coll. Ca 29 αὐτῷ ὄντι a: ὄντι πῶς (sic) F ἐγένοντο F 31 ἐπιβέβηκεν C 32 ταῦτα γὰρ F ἐπιβαίνειν C: οὐκ ἐπισυμβ. F 33 post οὐσίαι addas οὖσαι

συμβεβήκασι, τοῖς δὲ στοιχείοις οὐσιωδῶς ὑπάρχουσι συμπληρωτικαὶ τῆς 53r
οὐσίας αὐτῶν οὖσαι. ἐπειδὴ οὖν, φασίν, οὐχ ἓν εἶδός ἐστι τῶν διαφορῶν,
ὡς δέδεικται, ὡς πρὸς ὅλον τὸ πλάτος τῶν διαφορῶν ἀποβλέψας ὁ Ἀρι-
στοτέλης οὔτε ὡς περὶ οὐσιῶν ἁπλῶς ἀποφαίνεται τῶν διαφορῶν οὔτε ὡς
5 περὶ συμβεβηκότων.

Τί οὖν ἡμεῖς πρὸς ταῦτά φαμεν; ὅτι οὗτοι εὐφυῶς μὲν ἐπέβαλον, οὐ 25
πάντῃ δὲ ἀληθῶς· εἰ γὰρ μεταξὺ οὐσίας καὶ συμβεβηκότων τὰς διαφορὰς
ἐβούλετο εἶναι ὁ Ἀριστοτέλης, ἔδει αὐτὸν ποιῆσαι καὶ ἑνδεκάτην κατηγο-
ρίαν, ἥτις μεταξὺ ἦν οὐσίας καὶ συμβεβηκότος, καὶ ὑπὸ ταύτην τὰς διαφο-
10 ρὰς ἀναγαγεῖν. εἰ δὲ οὐκ ἔστιν ἄλλη παρὰ τὰς δέκα καὶ | τούτων μία 53v
μέν ἐστιν ἡ οὐσία αἱ δὲ ἄλλαι πᾶσαι συμβεβηκότα καὶ οὐδὲν μεταξύ,
ἀνάγκη πάντα τὰ ὄντα ἢ οὐσίας εἶναι ἢ συμβεβηκότα, μεταξὺ δὲ μηδέν.
ὅτι δὲ οὐσίαι εἰσὶν ὁμολογουμένως αἱ διαφοραί, δῆλον μὲν ἐκ τοῦ συμπλη-
ρωτικὰς αὐτὰς εἶναι τῶν εἰδῶν καὶ οὐσιωδῶς κατ' αὐτῶν κατηγορεῖσθαι· 5
15 εἰ γὰρ συμπληροῦσι τὰς οὐσίας, καὶ οὐσίαι εἰσὶ δηλονότι· οὐ γὰρ συμπλη-
ροῖ τὴν οὐσίαν τὰ συμβεβηκότα. ὅτι δὲ καὶ αὐτῷ τῷ Ἀριστοτέλει δοκεῖ
οὐσίας εἶναι αὐτάς, δῆλον μὲν καὶ ἐξ ὧν μέρη αὐτὰς οὐσιῶν βούλεται 10
εἶναι λέγων "μὴ ταραττέτω δὲ ἡμᾶς τὰ μέρη τῶν οὐσιῶν" καὶ πάλιν
'ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ ταῖς διαφοραῖς τὸ πάντα συνωνύμως ἀπ' αὐ-
20 τῶν λέγεσθαι". δῆλον δὲ καὶ ἐκ τῶν εἰρημένων τῷ Πορφυρίῳ· ἐκεῖνος γὰρ
κατὰ τὰ δοκοῦντα τοῖς Περιπατητικοῖς διαλαμβάνων περὶ αὐτῶν φησι "δια- 15
φορά ἐστιν ᾗ περιττεύει τὸ εἶδος τοῦ γένους". περιττεύει δὲ πάντα τῷ
οἰκείῳ μέρει· οὐκοῦν καὶ τὸ μέρος οὐσία, ἐπειδὴ καὶ τὸ εἶδος. ὥστε καὶ
ὁ Ἀριστοτέλης καὶ ἐκ τῶν οἰκείων λόγων καὶ ἐκ τῶν τῷ Πορφυρίῳ κατὰ
25 τὰ Ἀριστοτέλει δοκοῦντα εἰρημένων οὐσίας βούλεται εἶναι τὰς διαφοράς. 20

Πῶς οὖν φησιν οὐκ ἴδιον δὲ τοῦτο οὐσίας, ἀλλὰ καὶ τῶν διαφορῶν, ὡς τῶν διαφορῶν δηλονότι ἑτέρων οὐσῶν παρὰ τὴν οὐσίαν; φαμὲν οὖν ὅτι ὥσπερ ἐπὶ τῆς μονάδος εἰρήκαμεν καὶ τοῦ σημείου καὶ τοῦ νῦν, ὅτι ταῦτα οὐκ ἀνήγαγεν ὑπ' οὐδεμίαν τῶν κατηγοριῶν 25
30 ὁ Ἀριστοτέλης διὰ τὸ μὴ συνεγνῶσθαι τῷ πολλῷ ἀνθρώπῳ (καὶ γὰρ κἀκεῖνα ἀναγαγεῖν ἐνῆν ὑπὸ τὸ ποσὸν λέγοντα τοῦ ποσοῦ τὸ μὲν εἶναι ἀμέριστον τὸ δὲ μεριστὸν καὶ τοῦ μεριστοῦ τὸ μὲν συνεχὲς τὸ δὲ διωρισμένον, ὅμως οὐκ ἀνήγαγε διὰ τό, ὡς πολλάκις εἴρηται, μὴ περὶ τῶν ὄντων 30
ᾗ ὄντα ἐστὶν ἐν|ταῦθα διαλαμβάνειν, ἀλλ' ᾗ δοκεῖ τῷ πολλῷ ἀνθρώπῳ 54r

6 ἐπέβαλλον F 7 συμβεβηκότος F 7. 8 ἐβούλ. εἶναι τ. διαφ. coll. F 10 ἀνάγειν a παρὰ] περὶ F καὶ om. F 11. 12 καὶ οὐδὲν — συμβεβηκότα om. F 14 εἶναι αὐτάς coll. Fa τῶν om. a 17 pr. αὐτάς om. C post ὧν add. ὑποκατιὼν a 18 λέγων] p. 3a29 πάλιν] p. 3a32 20 καὶ om. Ca ἐκ τῶν εἰρ.] ἐν F 21 φησι] Isag. p. 10,22 21. 22 διαφ. δέ a 22 πάντα scripsi: πάντως libri 23 ἐπεὶ a 24 πορφυρίου (τῷ om.) C 25 εἰρημένα F 26 φησιν ἔστιν οὐκ F τῆς οὐσίας Arist. 26. 27 ἀλλὰ καὶ τῶν διαφ.] ἀλλὰ καὶ ἡ διαφορὰ τῶν μὴ ἐν ὑποκειμένῳ ἐστί Arist. 27 δῆλον a 28 εἰρήκαμεν] p. 47, 23 33 εἰρῆσθαι Ca (cf. p. 47,25) 34 εἰσὶν a διαλαμβάνει (ν eras.) ἐντ. C

περὶ αὐτῶν), οὕτω καὶ νῦν οὐσίας μὲν οἶδε τὰς διαφοράς, οὐκ ἀνήγαγε δὲ 54r
αὐτὰς ὑπὸ τὴν κατηγορίαν τῆς οὐσίας διὰ τὸ μὴ ἐγνῶσθαι τῷ πολλῷ ἀν-
θρώπῳ. εἰ δέ τις εἴποι 'καὶ μὴν πρόδηλοι τυγχάνουσιν αἱ διαφοραὶ τοῖς 5
πολλοῖς· λέγουσι γὰρ λογικὸν καὶ θνητὸν εἶναι τὸν ἄνθρωπον'. λέγομεν ὅτι
5 οὐχ ὡς περὶ ἁπλῶν ἔχουσιν ἔννοιαν τῶν διαφορῶν, οἷον αὐτῆς καθ' ἑαυ-
τὴν τῆς λογικότητος ἢ τῆς ἀλογίας, ἀλλ' ὡς συνθέτων· λογικὸν γὰρ ζῷον
τὸ ὅλον ὡς ἕν τι ἴσασι καὶ ἄλογον ὁμοίως. ἐλέγομεν δὲ καὶ ἀνωτέρω ὅτι 10
τῆς οὐσίας τῆς μὲν οὔσης ἁπλῆς τῆς δὲ συνθέτου καὶ τῆς ἁπλῆς τῆς μὲν
κρείττονος τῆς συνθέτου τῆς δὲ χείρονος, περὶ μόνης διαλαμβάνει τῆς συν-
10 θέτου τῆς κατὰ τὰ γένη καὶ τὰ εἴδη καὶ τὰ ἄτομα θεωρουμένης· ἀμέλει
τοίνυν παραβάλλων τὰς οὐσίας πρὸς ἀλλήλας μόνα παρέβαλλε τὰ γένη 15
καὶ τὰ εἴδη, ἔτι δὲ καὶ τὰ ἄτομα, ἐπειδήπερ καὶ περὶ τούτων μόνων πρό-
κειται αὐτῷ διδάξαι. τῶν δὲ διαφορῶν οὐδὲ μνήμην ἐποιήσατο, ἐπειδή-
περ ἁπλαῖ αὗται. διὰ ταύτην οὖν τὴν αἰτίαν εἶπεν ὁ Ἀριστοτέλης ὅτι 20
15 οὐκ ἴδιον τῆς οὐσίας ὑπάρχει τοῦτο. οὐχ ἁπλῶς δὲ πάσης, ἀλλὰ τῆς συν-
θέτου· ὑπάρχει γὰρ οὐ μόνον τῇ συνθέτῳ τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι,
ἀλλὰ καὶ τῇ ἁπλῇ, τοῦτ' ἔστι ταῖς διαφοραῖς.

Τετραδικῆς δὲ τῆς τῶν ὄντων διαιρέσεως παραδεδομένης ἀνωτέρω,
ζητητέον ὑπὸ ποῖον τμῆμα τῆς διαιρέσεως ἀνακτέον τὰς διαφοράς. λέγομεν 25
20 οὖν ὅτι εἰ μὲν τὰς πρὸ τῶν πολλῶν διαφορὰς παραλάβοιμεν, ταύτας ὑπὸ
τὸ πρῶτον τακτέον τμῆμα, τό τε καθ' ὑποκειμένου καὶ μὴ ἐν ὑποκειμένῳ
(αὗται γὰρ καθολικαὶ οὐσίαι εἰσίν), εἰ δὲ τὰς ἐν τοῖς πολλοῖς, πρῶτον μέν
φαμεν ὅτι οὐδὲ διαφοραὶ αὗται λέγονται, ὥσπερ οὐδὲ τὸ ἐν αὐτοῖς | ζῷον 54v
γένος· εἰ γὰρ γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν
25 τῷ τί ἐστι κατηγορούμενον, τὸ δὲ ἐν Σωκράτει ζῷον οὐ λέγεται κατὰ
πλειόνων, οὐκ ἂν εἴη γένος. καὶ τὸ εἶδος δὲ ὁμοίως τὸ ἐν τῷ ἀτόμῳ
οὐκ ἂν λεχθείη εἶδος, τοῦ εἴδους κατὰ πλειόνων καὶ διαφερόντων τῷ 5
ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορουμένου. οὕτω καὶ τὸ λογικὸν τὸ ἐν τῷ
Σωκράτει οὐκ ἄν τις κυριολεκτῶν εἴποι διαφοράν· καὶ γὰρ ἡ διαφορὰ
30 κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖ-
ται· τὸ δὲ ἐν τῷ ἀτόμῳ λογικὸν αὐτοῦ μόνου κατηγορεῖται· οὐκ ἂν οὖν 10
εἴη διαφορά. ἀλλὰ ταῦτα μέρη φαμὲν εἶναι τῶν ἀτόμων· ὡς γὰρ τὸ γέ-
νος καὶ ἡ διαφορὰ μέρη εἰσὶ τῶν εἰδῶν, οὕτω καὶ τὸ ἐν ἀτόμῳ ζῷον καὶ
λογικὸν μέρη εἰσὶ τοῦ ἀτόμου. διὸ οὔτε ὑπὸ ὁρισμὸν πίπτουσιν ὡς ἄτομα·
35 φησὶ γὰρ ὁ Ἀριστοτέλης ἐν τῇ Ἀποδεικτικῇ τῶν ἀτόμων μὴ εἶναι ὁρισμὸν 15

---

1 ἀνάγει a 2 τῆς οὐσ. τὴν κατ. (num. corr.) C 4 γὰρ] γοῦν F 5. 6 καθ' ἑαυτῆς C 6 λογιότητος a ἢ] καὶ F 7 ἐλέγομεν] p. 49,23 9 τοῦ συνθέτου C: τοῦ σώματος a 10 primum τὰ om. F ἀμέλει C 11 μόνον C παρέβαλε a 11. 12 εἴδη καὶ τὰ γένη C 13 οὐδὲ μίαν μν. C 15 πάσης εἶπεν a 18 παραδιδομ. C post παραδ. add. ἡμῖν F: ante παραδ. a ἀνωτέρω] p. 28,3 20 ὅτι om. C ταῦτα C 21 μὴ] οὐκ C 22 τοῖς om. F 30 ποῖον C 31 οὖν om. F 33 καὶ τὸ] τῷ F 34 οὔτε] an οὐδὲ? 35 ἐν τῇ Ἀποδεικτ.] potius Metaph. Z 14 p. 1039b28 τῶν ἀτ. post ὁρ. coll. C

μηδ' ἀπόδειξιν· εἰ γὰρ ὁρισμὸς ἐκ γενῶν ἐστι καὶ διαφορῶν, ἐν ἀτόμοις 54v
δὲ οὐκ ἔστι γένος οὐδὲ διαφορά, δῆλον ὅτι οὐδὲ ὁρισμὸς αὐτῶν ἐστιν. εἰ
δὲ ὁρισμὸς οὐκ ἔστιν, οὐδ' ἀπόδειξις· ἐκ γὰρ τῶν ὁρισμῶν αἱ ἀποδείξεις.
εἰ δέ τις καὶ διαφορὰς αὐτὰς ἀξιώσειε καλεῖσθαι, οὐχ ἁπλῶς διαφορὰς 20
5 ἐροῦμεν, ἀλλ' ὡς ἐν ἀτόμῳ διαφοράς, καθ' ἃς διαφέρει ὅδε ὁ ἄνθρωπος
τοῦδε τοῦ ἵππου καὶ τοῦδε τοῦ ἀγγέλου. διὸ ἀνάξομεν αὐτὰς ὑπὸ τὸ τε-
ταρτον τμῆμα, τὸ μήτε καθ' ὑποκειμένου μήτε ἐν ὑποκειμένῳ, διότι καὶ
οὐσίαι εἰσὶ συμπληρωτικαὶ τοῦ ἀτόμου καὶ μερικαί· κατ' οὐδενὸς γὰρ ὑπο- 25
κειμένου κατηγοροῦνται.

10 p. 3a29 Μὴ ταραττέτω δὲ ἡμᾶς τὰ μέρη τῶν οὐσιῶν ὡς ἐν ὑποκειμένοις ὄντα τοῖς ὅλοις, μήποτε ἀναγκασθῶμεν οὐκ οὐσίας αὐτὰ φάσκειν εἶναι. |

Ὅπερ ἔμελλε τῷ Ἀριστοτέλει ⟨τις⟩ ἀπορίαν ἐπενεγκεῖν, τοῦτο φθάσας 55r
ἠπόρησέ τε καὶ ἐπελύσατο· ἠπόρησε γὰρ ἄν τις 'ἐπειδὴ τὰ μέρη τῶν οὐσιῶν
15 ἔν τινι (ἐν ταῖς οὐσίαις γάρ), καὶ τὰ συμβεβηκότα δὲ ἔν τινι (ἐν γὰρ τῷ
ἀνθρώπῳ * *), τὰ μέρη ἄρα τῶν οὐσιῶν συμβεβηκότα ἐστίν, ὅπερ ἄτοπον'. 5
λύων οὖν τοῦτο λέγει ὅτι ἀπεδόθη πῶς εἰρήκαμεν τὸ συμβεβηκὸς ἔν
τινι· οὐ γὰρ ὡς μέρος τοῦ ὑποκειμένου ὑπάρχον, ἀλλ' ὡς οὐκ ἄνευ τού-
του συστῆναι δυνάμενον. αἱ δὲ διαφοραὶ χρείαν τῷ ὅλῳ παρέχουσι καὶ
20 συμπληρωτικαί εἰσι τοῦ ὑποκειμένου. ὥστε εἰ καὶ κοινωνοῦσι κατὰ τὸ ἔν 10
τινι, ἀλλ' οὖν ἔστι τις ἐν αὐτοῖς διαφορὰ τῷ τὰς μὲν συμπληροῦν τὸ ὑπο-
κείμενον καὶ ἀχωρίστους αὐτοῦ εἶναι τὰς δὲ μήτε συμπληροῦν μήτε ἀεὶ
συνυπάρχειν. τινὲς δὲ τῶν ἐξηγητῶν τοῦτο τὸ ῥητὸν ἀξιοῦσι προτάττεσθαι
τοῦ περὶ τῶν διαφορῶν τοῦ λέγοντος οὐκ ἴδιον δὲ τοῦτο τῆς οὐσίας, 15
25 ἀλλὰ καὶ ἡ διαφορὰ τῶν μὴ ἐν ὑποκειμένῳ ἐστίν· ἔδει γάρ,
φασί, δείξαντα διὰ τούτων ὅτι οὐδὲν μέρος τῆς οὐσίας ἐν ὑποκειμένῳ ἐστίν,
ἔστι δὲ ⟨μέρος⟩ τῆς οὐσίας καὶ ἡ διαφορά, οὕτως ἐπαγαγεῖν ὅτι οὐκ ἴδιον τῆς
οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, ἐπειδὴ καὶ τῆς διαφορᾶς. μήποτε δὲ 20
καὶ ἡ τάξις αὕτη καλῶς ἔχει· δείξαντος γὰρ μήτε τὰ εἴδη μήτε τὰ γένη
30 μήτε τὰς διαφοράς, ἅτινα μέρη ἐστὶ τῶν οὐσιῶν, ἐν ὑποκειμένῳ εἶναι,
ἔδει ἐπαγαγεῖν καθολικόν τινα λόγον, ὅτι οὐδὲ ὅλως ἄλλο τι μέρος τῆς οὐ-
σίας ἐν ὑποκειμένῳ ἐστί. δοκεῖ δὲ αὐτῷ ὁ λόγος περὶ μερῶν, χειρὸς λέγω 25

---

2 οὐδὲ (prius)] οὔτε Ca οὐδὲ (alt.)] οὔτε F 13 τις Amm.: om. CFa τοῦτο φθάσας om. C 14 ἂν γὰρ coll. a 15. 16 ἐν γὰρ τῷ ἀνθρώπῳ om. a 16 post ἀνθρ. ex Amm. addas λευκότης θερμότης post συμβ. add. αἱ διαφοραὶ C 17 post πῶς add. εἶναι F 19 τῷ ὅλῳ χρ. coll. C 20 post ὑποκ. add. συνιστῶσαι αὐτό a καὶ om. a τὸ om. C 21 ἔσται C ἐν om. a τῷ] τοῦ C 22 αὐτὰς C τὰς] τὸ F 24 περὶ] παρὰ F 25. 26 ἔδει — ὑποκ. ἐστί om. F 26 φασί scripsi: φησί libri 27 μέρος addidi ante οὕτως add. καὶ F 29 αὕτη om. C 31 ἄλλο τι] ἀλλὰ τὸ a 32 οὐ περὶ a (fort. recte) an ⟨αἰσθητῶν⟩ μερῶν? λέγω om. F

καὶ κεφαλῆς καὶ ποδός, καὶ περὶ τῶν νοητῶν δὲ διαλαμβάνειν, λογικοῦ καὶ 55r
θνητοῦ· τῶν γὰρ μερῶν τὰ μέν ἐστιν αἰσθητὰ τὰ δὲ νοητά. περὶ μέντοι 30
τῶν νοητῶν νῦν διαλαμ|βάνει· οὕτω γὰρ καιρὸν ἔχει τοῦ θεωρήματος 55v
τούτου ἡ τάξις· ἐπειδὴ γὰρ ἔφησεν οὐκ ἴδιον οὐσίας εἶναι τὸ μὴ ἐν ὑπο-
5 κειμένῳ εἶναι, ἐπειδὴ καὶ αἱ διαφοραὶ τῶν μὴ ἐν ὑποκειμένῳ εἰσίν, ἵνα
μὴ νομίσῃ τις τοῦτο αὐτὸν εἰρηκέναι ὡς τῶν διαφορῶν μὴ οὐσῶν οὐσιῶν, 5
αἵτινές εἰσι κυρίως οὐσίαι, διὰ τοῦτο εἶπε μὴ ταραττέτω δὲ ἡμᾶς τὰ
μέρη τῶν οὐσιῶν ὡς ἐν ὑποκειμένοις ὄντα τοῖς ὅλοις, ἐπεὶ ἀκαί-
ρως δόξει τοῦτο τὸ θεώρημα ἐμβεβλῆσθαι, εἰ μὴ ἀποδεξόμεθα αὐτὸν
10 λέγειν περὶ τῶν νοητῶν μερῶν, τοῦ λογικοῦ τοῦ θνητοῦ, ἅπερ ἰδίως μέρη 10
εἰσὶ τοῦ ἀνθρώπου· ἐκ γὰρ αὐτῶν ὁ ἄνθρωπος.

p. 3a31 Οὐ γὰρ οὕτω τὰ ἐν ὑποκειμένῳ ἐλέγετο τὰ ὡς μέρη ὑπάρχοντα ἕν τινι.

Τοῦτ' ἔστιν εἰ καὶ ἐλέγομεν ἕν τινι εἶναι τὰ συμβεβηκότα, ἀλλ' οὐχ
15 ὡς μέρος ἐν ὅλῳ· εἰ μὲν γὰρ πᾶν τὸ ἕν τινι ἀνάγκη ἦν ἐν ὑποκειμένῳ
εἶναι, καὶ τὰ μέρη τῶν οὐσιῶν ἕν τινι ὄντα (ἐν γὰρ τῷ ὅλῳ εἰσίν) ἐν 15
ὑποκειμένῳ ἂν ἦσαν· νῦν δὲ τοῦ ἕν τινι καθολικωτέρου ὄντος τὸ μὲν τῶν
ἕν τινι ὡς ἐν ὑποκειμένῳ ἐστὶ τὸ δὲ ὡς μέρος ἐν ὅλῳ τὸ δὲ κατ' ἄλλον
τοῦ ἕν τινι τρόπον.

20 p. 3a33 Ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ ταῖς διαφοραῖς τὸ πάντα συνωνύμως ἀπ' αὐτῶν λέγεσθαι. 20

Ἐπὶ δεύτερον παρακολούθημα μεταβαίνει τῆς οὐσίας καταγνοὺς τοῦ
προτέρου. καὶ νῦν δὲ τὸ κυρίως ἴδιον ζητεῖ τῆς οὐσίας. εὐθὺς δὲ κατέ-
γνω καὶ τούτου. δῆλον δέ ἐστι τοῦτο τῷ συνάψαι τὰς διαφοράς, ἵνα ᾖ
25 δῆλον ὅτι οὐ μόνῃ τῇ οὐσίᾳ ὑπάρχει. καὶ τὸ μὲν πρότερον ἐκβέβλητο 25
ὡς πάσῃ μὲν οὐσίᾳ ὑπάρχον οὐ μόνῃ δέ, τοῦτο δὲ ὡς μήτε μόνῃ μήτε
πάσῃ· οὔτε γὰρ τῇ πρώτῃ ὑπάρχει (οὐ γὰρ ἔχει κατά τινων κατηγορηθῆ-
ναι) οὔτε μόνῃ, ἐπειδὴ καὶ ταῖς διαφοραῖς.

---

1 καὶ περὶ νοητ. δὲ ὁ.] ἀλλὰ περὶ νοητῶν τῶν καὶ ὄντως μερῶν οἷον λογικοῦ καὶ θνητοῦ· ταῦτα γὰρ κυρίως μέρη τοῦ ἀνθρώπου· ἐκ γὰρ αὐτῶν ὁ ἄνθρωπος. περὶ τῶν νοητῶν οὖν διαλαμβάνει a καὶ (ante περὶ) fort. eicias 4 ἡ τάξις τούτου coll. F τῆς οὐσίας a εἶναι om. a 6 νοήσῃ F ὡς] ὅτι a 7 αἵτινες] οὐ γὰρ C ὑμᾶς a 9 δόξειε a τοῦτο post θεωρ. coll. a: om. F ἀποταξόμ. C 12 λέγεται C: ἐλέγοντο a 14 ἐλέγετο Ca 15 εἰ — ὅλω (18) superscr. C 16 εἶναι om. Ca 17. 18 τῶν ἕν τινι om. Ca 21 τὰ ὑπ' αὐτῶν F 22 τὸ δεύτ. C τῆς οὐσ. μεταβ. coll. C 24 τῷ] τὸ C: ἐκ τοῦ a 25 τῇ οὐσίᾳ om. F 27 οὔτε] τοῦτο C οὐχ ὑπάρχει C οὐ] οὐδὲ F 27. 28 κατά — διαφοραῖς om. C κατηγορηθῆ a

p. 3a34 Πᾶσαι γὰρ αἱ ἀπὸ τούτων κατηγοριαι ἤτοι κατὰ τῶν | 55v
ἀτόμων κατηγοροῦνται ἢ κατὰ τῶν εἰδῶν. 56r

Πρῶτον διδάσκει τίνα εἰσὶ τὰ δεχόμενα τὴν ἀπὸ τῶν οὐσιῶν καὶ τῶν διαφορῶν κατηγορίαν, εἶθ' οὕτως τὴν συνώνυμον ἐπ' αὐτῶν ἐφαρμόζει κατηγορίαν· τὰ μὲν γὰρ ἄτομα, φησί, κατ' οὐδενὸς ὑποκειμένου λέγεται, τὰ δὲ εἴδη κατὰ τῶν ἀτόμων, τὰ δὲ γένη κατὰ ἀμφοτέρων, ὡσαύτως καὶ αἱ διαφοραὶ κατὰ τῶν εἰδῶν καὶ κατὰ τῶν ἀτόμων. ταῦτα δὲ καὶ συνωνύμως καθ' ὧν κατηγορεῖται λέγεται· ὁ γὰρ Σωκράτης καὶ ἄνθρωπός ἐστι καὶ ζῷον λογικὸν θνητόν ἐστι καὶ οὐσία ἔμψυχος αἰσθητική. ἀλλὰ καὶ τῶν διαφορῶν καὶ τοὔνομα καὶ τὸν λόγον ἐπιδέχεται· λέγεται γὰρ καὶ λογικὸν εἶναι, ὅπερ ἐστὶν ὄνομα τῇ διαφορᾷ, τὸ λογικὸν καὶ τὸν ὁρισμὸν αὐτῆς ὑποδέχεται· λογικὸν γάρ ἐστι τὸ τῷ λόγῳ χρώμενον· τοῦτον δὲ τὸν λόγον καὶ ὁ Σωκράτης ἐπιδέχεται. καὶ τοῦ εἴδους δὲ ὁμοίως συνωνύμως καὶ τὸ γένος καὶ ἡ διαφορὰ κατηγορεῖται. πρόδηλον δὲ καὶ τοῦτο, ὅτι ὅσα συνωνύμως κατὰ τοῦ κατηγορουμένου λέγεται, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται. | εἰκότως οὖν τὸ μὲν γένος καὶ ἡ διαφορὰ κατὰ 56v
τῶν εἰδῶν συνωνύμως κατηγορούμενα καὶ κατὰ τῶν ἀτόμων κατηγοροῦνται, καθ' ὧν καὶ τὰ εἴδη, τὰ δὲ εἴδη κατὰ μόνων τῶν ἀτόμων, τὰ δὲ ἄτομα κατ' οὐδενός, ἐπειδὴ οὐδὲ ἔστι τι αὐτοῖς ὑποκείμενον. σκόπει δὲ ἐνταῦθα πῶς γέγονεν αὐτῷ χρήσιμος ἡ περὶ τῶν συνωνύμων διδασκαλία, ὃ καὶ αὐτὸς δηλῶν φησι συνώνυμα δέ γε ἦν ὧν τό τε ὄνομα κοινὸν καὶ ὁ λόγος ὁ αὐτός.

Κἀντεῦθεν δὲ σκόπει πῶς διαρρήδην τὰς διαφορὰς οὐσίας φησὶν εἶναι· εἰ γὰρ τὰ ἐν ὑποκειμένῳ ὄντα ἢ τοῦ ὀνόματος μόνου μεταδιδόασιν ἢ οὔτε τοῦ ὀνόματος μεταδιδόασιν οὔτε τοῦ ὁρισμοῦ, αἱ δὲ διαφοραὶ συνωνύμως κατὰ τῶν εἰδῶν καὶ τῶν ἀτόμων κατηγοροῦνται, οὐσίαι ἄρα αἱ διαφοραὶ καὶ οὐ συμβεβηκότα· τοῦτο γὰρ ὑπάρχει τοῖς οὐσιωδῶς κατηγορουμένοις τὸ καὶ τοῦ ὀνόματος μεταδιδόναι τοῖς ὑποκειμένοις καὶ τοῦ ὁρισμοῦ. τίνος οὖν ἕνεκεν ἀνωτέρω δοκῶν αὐτὰς διακρίνειν τῶν οὐσιῶν ἐν τοῖς ἑξῆς συντάττει; διὰ τὴν πολλάκις εἰρημένην αἰτίαν, ὅτι σκοπός ἐστιν αὐτῷ ἐνταῦθα οὐ περὶ πάσης οὐσίας διδάξαι, ἀλλὰ περὶ μόνης τῆς συνθέτου, ἧς καὶ τὴν γνῶσιν ἔχει ὁ πολὺς ἄνθρωπος· οἱ γὰρ πολλοὶ οὐ μόνον Σωκράτην ἴσασι τὸν Σωκράτην, ἀλλὰ καὶ ἄνθρωπον αὐτὸν ἴσασι καὶ ζῷον. καὶ ἐπὶ πάν-

1 ἀπ' αὐτῶν Arist. 3 ἐστὶ a 5 λέγονται a 6 τὰ δὲ γένη κατὰ ἀμφοτέρων om. C 7 κατὰ (alt.) om. Fa 9 ante καὶ οὐσία add. καὶ ζῶον a καὶ αἰσθ. a 11 καὶ λογ.] τὸ λογικὸν a εἶναι — λογικὸν om. Ca 13 pr. δὲ] γὰρ a καὶ ὁ σωκρ. τὸν λόγον coll. Fa 17 pr. τῶν om. F καὶ om. C κατὰ om. F 18 τὰ (primum) om. F 19 ἐπεὶ a 20 παρὰ F 21 καὶ τοὔνομα Arist. 23 εἶναί φησιν coll. F 25 post συν. add. καὶ C 26 τῶν (alt.) om. C κατηγ.] ὑπάρχει F 27 καὶ οὐ συμβ.] τῶν οὐ συμβεβηκότων C 29 ἕνεκα a

των δὲ τῶν κατὰ μέρος κοινῶς φέρουσι τὸ τοῦ ἀνθρώπου ὄνομα, ὁμοίως 56v
δὲ καὶ ἐπὶ ἀνθρώπων καὶ ἵππων καὶ τῶν λοιπῶν ζῴων τὸ τοῦ ζῴου· 25
τῆς δὲ λογικότητος αὐτῆς καθ' ἑαυτὴν ἔννοιαν οὐκ ἔχουσιν, ἀλλὰ κἂν λέ-
γωσι λογικόν, τὸ σύνθετον λέγουσι· λογικὸν γὰρ ζῷον τὸ ὅλον τοῦτο γινώ-
5 σκουσι. καὶ ἐπὶ τοῦ ἀλόγου ὡσαύτως καὶ τῶν λοιπῶν διαφορῶν. διὰ
τοῦτο οὖν ἐνταῦθα οὐ λέγει μὲν ἄντικρυς τὰς διαφορὰς οὐσίας εἶναι, ἀλλὰ 30
βούλεται μὲν | αὐτὰς οὐσίας εἶναι καὶ τὸ βούλημα ἐκκαλύπτει πανταχοῦ, 57r
οὐ τοιαύτας δὲ οὐσίας, οἷαί εἰσιν αἱ σύνθετοι, περὶ ὧν αὐτῷ ἐνταῦθα ὁ
λόγος. οὕτως οὖν καὶ ἐν τῇ Φυσικῇ τριττὴν τὴν οὐσίαν εἰρηκώς, τήν τε
10 κατὰ τὴν ὕλην καὶ τὸ εἶδος (τὸ ἐν ὕλῃ λέγω, οὐ τὸ πρὸ τῶν πολλῶν ἢ 5
τὸ ἐν τοῖς πολλοῖς) καὶ ἔτι τὴν ἐκ τοῦ συναμφοτέρου, τῆς τε ὕλης καὶ τοῦ
εἴδους, συγκειμένην, ἐνταῦθα μόνον τὸ σύνθετον οὐσίαν εἶπεν, οὔτε δὲ τὴν
ὕλην οὔτε τὸ εἶδος, ἐπειδὴ μηδὲ περὶ τῶν ἁπλῶν αὐτῷ ὁ λόγος.

p. 3b10 Πᾶσα δὲ οὐσία δοκεῖ τόδε τι σημαίνειν. 10

15 Ἀπωσάμενος τὰ πρότερα δύο παρακολουθήματα, τό τε μὴ ἐν ὑποκει-
μένῳ εἶναι καὶ τὸ συνωνύμως πάντα ἀπ' αὐτῶν λέγεσθαι, ἐπὶ τρίτον με- 20
ταβέβηκεν ἴδιον, τὸ τόδε τι σημαίνειν· σημαίνει μὲν οὖν αὐτῷ τὸ τόδε
τὸ ὑποκείμενον (δείξεως γάρ ἐστι τοῦτο), τὸ δὲ τὶ τὸ μερικόν. δι' ἀμφο-
τέρων οὖν σημαίνει τὸ μερικὸν ὑποκείμενον, | οἷον τὸν τινὰ ἄνθρωπον ἢ 57v
20 τόδε τὸ ξύλον· ἐπὶ τούτων γὰρ ἀεὶ ὁ Ἀριστοτέλης φέρει τὸ τόδε, λέγω
δὴ τῶν ἀτόμων τῶν φαινομένων καὶ αἰσθητῶν· ταῦτα γάρ ἐστι τὰ καὶ τὴν
δεῖξιν μόνα καταδεχόμενα καὶ μόνως ὑποκείμενα πᾶσι. καταγινώσκει δὲ 10

---

1 ὁμ.] ὡσαύτως C 2 ἐπὶ τῶν ἀνθρ. a ἀνθρώπου καὶ ἵππου C τῶν om. F 3 λευκότητος C αὐτῆς οὖν C 6 μὲν om. a 7 πολλαχοῦ F 9 ἐν τῇ Φυσ.] potius Metaph. Z 10 p. 1035a2 τρίτην C 10 ἢ] ἀλλὰ C 12 συγκ.] διδάσκων a δὲ om. F 13 ἐπεὶ a μηδὲ] μὴ C 15 πρότ.] ἀνωτέρω C: πρῶτα a μὴ om. CF 16 τὰ ὑπ' αὐτῶν F 18. 19 τοῦτο — ὑποκείμενον] σημαντικόν. οὕτω γοῦν αὐτὸς ἐν τῇ φυσικῇ τὴν ὕλην ὑποκείμενον καλεῖ· ἄμφω γὰρ ὡρισμένα, καὶ τὸ τόδε ὡς δείξει ὑποπίπτον, καὶ ἡ ὕλη ὡς ἡ αὐτὴ μένουσα, πάντων τῶν ἐν αὐτῇ τρεπομένων· εἴπερ ὁ λέβης δύναται μετασχηματισθῆναι καὶ γενέσθαι ἀνδριάς, καὶ ὁ ἀνδριὰς πάλιν μετασχηματιζόμενος ἕτερόν τι γενέσθαι, οὐδὲν ἧττον μένοντος τοῦ χαλκοῦ, ὅπερ ἦν πρὶν γένηται λέβης ἢ ἀνδριὰς ἤ τι τῶν τοιούτων· τὸ τόδε οὖν καὶ τὴν ὕλην ὑποκείμενα καλεῖ, τὸ δὲ τὶ τῆς κατὰ τοῦ ὑποκειμένου οὐσίας, ὅτι ὑπομένει καὶ οὐ δεῖταί τινος οὐδὲ ἔστιν ἐν ὑποκειμένῳ, ἀλλ' αὐτὴ ὑποκείμενον πᾶσίν ἐστι καὶ τῆς ἑνότητος αἰτία, τουτέστι τὸ ἓν σημαίνειν, ὡς τόδε τὸ ξύλον, ὅδε ὁ ἄνθρωπος· τὸ οὖν τὶ τὸ μερικὸν δηλοῖ, ἄμφω δὲ λεγόμενα τόδε τι τὸ μερικὸν ὑποκείμενον δηλοῖ, φημὶ τὴν ἄτομον οὐσίαν ex Marc. 217 a 20 τὸ τόδε τὸ (pr. l.) C alt. τὸ om. C 22 post πᾶσι add. τὸ δὲ τοιόνδε ἐπὶ τοῦ ἀορίστου καὶ τοῦ καθόλου· εἰκότως γὰρ ἐπέχει λόγον τὸ καθόλου πάντων ἁπλῶς. ὁ δέ γε πλάτων τὸ τόδε τι ἐπὶ τοῦ καθόλου ἐλάμβανεν ἀναγκαίως ὡς ὡρισμένον, ὡς ἐπὶ τῶν εἰδεῶν (sic)· ἔλεγε γὰρ αὐτὰς ἐν ὑπάρξει καὶ οὐσίας εἶναι· τὸ δὲ τοιόνδε ἐπὶ τοῦ καθ' ἕκαστον· ταῦτα γὰρ ἔλεγεν ἀόριστα διὰ τὸ μὴ εἶναι ἐν στάσει, ἀλλ' ἐν ῥοῇ καὶ ἀπορρόῃ τὸ εἶναι ἔχει. ἀμφότεροι οὖν κατ' ἄλλο καὶ ἄλλο λαμβάνοντες καλῶς ἔλεγον. a

καὶ τούτου τοῦ ἰδίου ὡς οὐ πάσῃ τῇ οὐσίᾳ παρακολουθοῦντος, εἰ καὶ μόνῃ· 57v
τὰ γὰρ εἴδη, φησί, καὶ τὰ γένη, οἷον ἄνθρωπος καὶ ζῷον, δοκεῖ μὲν τόδε τι 20
σημαίνειν διὰ τὸν ἑνικὸν χαρακτῆρα τῆς φωνῆς, ἐμφαίνει δὲ μᾶλλον
πλῆθος καὶ κοινότητα πλειόνων τινῶν περιεκτικὴν καὶ ποιότητά τινα. |

---

1 pr. καὶ om. C 2 τὸ ζῶον C 4 post τινα add. ex Marc. 217 τὴν γὰρ κοινωνίαν καὶ συναγωγὴν τῶν κατὰ μέρος δηλοῖ. ζητῆσαι δὲ ἄξιον πῶς ἐπὶ οὐσίας λέγει σημαίνειν καὶ μὴ εἶναι, εἴπερ πρᾶγμα ἡ οὐσία· τὰ γὰρ πράγματα σημαίνονται, καὶ οὐ σημαίνουσι. καὶ λέγομεν ὅτι ἔστιν ὅτε κατηγορεῖται κατὰ τοῦ πράγματος τὸ τῆς φωνῆς καὶ κατὰ τῆς φωνῆς τὸ τοῦ πράγματος διὰ τὴν πρὸς ἄλληλα ἐπιπλοκήν· ποτὲ μὲν γὰρ τὰ πράγματα ποιοῦσι τὰ τῶν φωνῶν, οὐχ ὡς πράγματα σημαίνοντα, ἀλλὰ τοιῶσδε ὀνομαζόμενα, οἷον ὁ σωκράτης ἐν πλήθει θεωρούμενος τοῖς ἐπιζητοῦσιν αὐτόν, ποτὲ δὲ αἱ φωναὶ ποιοῦσι τὰ τοῦ πράγματος, οἷον σωκράτης περιπατεῖ, οὐχ ὅτι τὸ σωκράτης ὄνομα περιπατεῖ, καὶ γὰρ φωνή ἐστι φωνὴ δὲ οὐ περιπατεῖ, ἀλλ᾽ ὅτι τὸ πρᾶγμα τὸ ἔχον τὸ τοιοῦτον ὄνομα ἐκεῖνο περιπατεῖ. οὕτως οὖν καὶ ἐνταῦθα διὰ τὴν ἐπιπλοκὴν τῆς φωνῆς ἐδέξατο τὸ ὑποκείμενον τὴν κατηγορίαν τῆς φωνῆς, τουτέστι τὸ σημαίνειν. καὶ μάλιστα νῦν, ὅτε περὶ φωνῶν σημαντικῶν σκοπὸς αὐτῷ διαλαβεῖν· εἴπομεν γὰρ ὅτι πρόκειται τῷ ἀριστοτέλει περὶ φωνῶν καὶ πραγμάτων καὶ νοημάτων διαλαβεῖν· ἡ τοίνυν οὐσία ὡς μὲν φωνὴ σημαίνει καὶ οὐ σημαίνεται, αἱ γὰρ φωναὶ τῶν πραγμάτων εἰσὶ σημαντικαί, ὡς δὲ πρᾶγμα σημαίνεται καὶ οὐ σημαίνει, τὰ γὰρ πράγματα ὑπὸ μὲν φωνῶν σημαίνεται, αὐτὸ δὲ ἄλλων σημαντικὸν οὐκ ἔστιν, αὐτὰ μὲν καθ᾽ ἑαυτὰ σημαντικά εἰσι τῶν πραγμάτων, συμπλεκόμενα δέ τινι μέρει λόγου σημαίνεταί πως μᾶλλον ὑπ᾽ αὐτοῦ. οὕτω καὶ ἐνταῦθα· οἷον ὅταν εἴπω σωκράτης, διὰ τοῦ ὀνόματος τοῦ σωκράτους τὴν οὐσίαν ἐσήμανα, ὅταν δὲ εἴπω σωκράτην τὸν φιλόσοφον ἢ σωκράτης περιπατῶν, τότε τὸ ὄνομα σημαίνεται μᾶλλον ἢ σημαίνει διὰ τοῦ φιλοσόφου ἢ τοῦ περιπατῶν. Ἐπιστῆσαι δὲ δεῖ καὶ τούτῳ, ὅτι ὁ μὲν ἀριστοτέλης τόδε τι καλεῖ τὴν ἄτομον οὐσίαν, τὴν δὲ καθόλου τοιόνδε, πλάτων δὲ ἔμπαλιν, καὶ οὐ διαφωνοῦσιν· ἐξὸν γὰρ ἑκατέραν τόδε τι καλεῖν καὶ τοιόνδε· τὸ μὲν γὰρ τόδε τι ὡρισμένον δηλοῖ, τὸ δὲ τοιόνδε ἀόριστον. ἔστι δὲ ἐν ἑκατέρᾳ καὶ ὡρισμένον καὶ ἀόριστον· ἐν μὲν τῇ ἀτόμῳ ὡρισμένον τὸ ἓν τῷ ἀριθμῷ, ἀόριστον δὲ τὸ μεταβάλλειν, ὡς μηδὲ τὴν περὶ ἑαυτοῦ φωνὴν ἀναμένειν κατὰ τὸ τῆς ἀειπαθείας δόγμα, τὸ ἡρακλείτειον λέγω, οἷον ὁ σωκράτης· ἐν ῥοῇ γὰρ καὶ ἀπορροῇ τὸ εἶναι ἔχει, ὥσπερ καὶ τὰ ἄλλα φυσικά. ἐν δὲ τῇ καθόλου οὐσίᾳ ὡρισμένον μὲν τὸ ἀμετάβλητον, οἷον τοῦ καθόλου ἀνθρώπου καὶ ζώου, ἀόριστον δὲ τὸ ἀλᾶσθαι ἐν τῷ πλήθει· εἰ γὰρ εἴπω ἄνθρωπος, περιέλαβον πάντας τοὺς κατὰ μέρος. τῶν δὲ δευτέρων οὐσιῶν φαίνεται μὲν ὁμοίως τῷ σχήματι τῆς προσηγορίας, ὅτι τόδε τι σημαίνει· τῷ ἑνιαίῳ μὲν τῆς προφορᾶς δοκοῦσι τόδε τι σημαίνειν, ὅταν εἴπῃ ἄνθρωπον ἢ ζῶον, ἀλλ᾽ οὖν οὐ τόδε τι σημαίνουσιν, ἀλλὰ τοιόνδε, τουτέστιν ὁμοιότητα, καθ᾽ ἣν ἐοίκασιν ἀλλήλοις οἱ ἄνθρωποι, καθό εἰσιν ἄνθρωποι, καὶ τὰ ζῶα, καθὸ ζῶα. διὰ γοῦν τὸ τὸν καθόλου ἄνθρωπον πολλὰ περιέχειν ἄτομα ποιόν τι μᾶλλον σημαίνει. Οὐ μὴν ἀληθές γε· ὅτι παρὰ τὴν ἄγνοιαν τοῦ μὴ πᾶσαν οὐσίαν τόδε τι σημαίνειν γίνονται οἱ οὔτιδες παραλογισμοί, κατὰ τὸν παρ᾽ ὁμήρῳ ὀδυσσέα ἐν καιρῷ οὔτιν ἑαυτὸν καλέσαντα. οὔτινος παραλογισμοῦ παράδειγμα· εἴ τίς ἐστιν ἐν ἀθήναις, οὗτος οὐκ ἔστιν ἐν μεγάροις, ἄνθρωπος δέ ἐστιν ἐν ἀθήναις, ἄνθρωπος ἄρα οὐκ ἔστιν ἐν μεγάροις. ὁ γὰρ ἄνθρωπος οὗτός ἐστιν, οὐ δέ τι σημαίνει. ὅμοιον τούτῳ καὶ τὸ ἐγώ εἰμι, σὺ οὐκ εἶ· ὡς γὰρ τὸ τίς ἀτόμου οὐσίας ἦν δηλωτικόν, οὕτω καὶ τὸ ἐγώ. ἔστιν οὖν ὁ παραλογισμὸς ἐν τῷ τίς· τὸ γὰρ εἴ τις ὁ μὲν καθόλου βιάζεται εἶναι, ὅπερ ἐστὶ ψευδές, ὁ δὲ ἐπὶ τοῦ μερικοῦ αὐτὸ λαμβάνει, καὶ ἀληθὴς τότε ὁ λόγος· ὁ γὰρ τὶς ἄνθρωπος, φέρε εἰπεῖν σωκράτης ἢ ἄλλος τῶν κατὰ μέρος, ὁ ὢν ἐν ἀθήναις, ἐν μεγάροις οὐκ ἔστιν, ἵνα μὴ διασπασθῇ αὐτὸς ἑαυτοῦ. οὕτως οὖν δεῖ λέγειν, ὅστις ἐν ἀθήναις, οὗτος οὐκ ἐν μεγάροις, σωκράτης ἐν ἀθήναις, σωκράτης ἄρα οὐκ ἐν μεγάροις. διὰ τοῦτο εἶπεν, οὐ μὴν ἀληθές γε, διότι πολλῶν ὄντων τῶν καθ᾽ ἕκαστα τὴν ὁμοιότητα αὐτῶν τὸ γένος καὶ τὸ εἶδος παρίστησιν. Οὐ γὰρ ἔν ἐστι τὸ ὑποκείμενον, ὥσπερ ἡ πρώτη οὐσία· ὥσπερ ἡ φωνὴ ἑνικοῦ τύπου οὖσα, καὶ διὰ τοῦτο δοκοῦσα καθ᾽ ἑνὸς φέρεσθαι ὑπο-

οὐ ποιότητα δέ φησιν, οἷα ἐστὶν ἡ κατὰ τὸ συμβεβηκός· ἐκείνη 59r
γὰρ οὔτε προσγινομένη τῷ ὑποκειμένῳ οὔτε ἀπογινομένη συμβάλλεταί τι
ἢ λυμαίνεται, τὰ δὲ γένη καὶ τὰ εἴδη συμπληρωτικά ἐστιν ἐκείνων ὧν λέ-
γονται εἶναι καὶ καθ' ὧν ἂν κατηγορῶνται καί, ὥς φησιν αὐτός, περὶ οὐ- 15
σίαν τὸ ποιὸν ἀφορίζει, τοῦτ' ἔστι τὴν τοιάνδε ἢ τοιάνδε οὐσίαν ἀφο-
ρίζει καὶ διαστέλλει καὶ συγκεχυμένην αὐτὴν διακρίνει, τὴν οὐσιώδη ἑκά-
στης οὐσίας ποιότητα εἰλικρινῆ φυλάττοντα· τῆς γὰρ οὐσίας περιεχούσης τὸ
σῶμα καὶ ἀσώματον καὶ συγκεχυμένων ὄντων τούτων καὶ ἀδιακρίτων, ἡ 20
τῶν εἰδῶν τούτων διαίρεσις τὴν ἑκάστου ποιότητα ἀφώρισε. πάλιν τοῦ
σώματος πλείονα πράγματα περιέχοντος (τὸ γὰρ ἔμψυχον καὶ ἄψυχον)
διακρίνει τὰ συγκεχυμένα καὶ ἀφορίζει ἑκάστῳ τὸ ἴδιον. ὁμοίως τοῦ ἐμ-
ψύχου πλείονα περιέχοντος τὰ τούτου εἴδη ἑκάστῳ τὸ ἴδιον ἀφορίζουσιν. 25
ὡσαύτως καὶ ἐπὶ τῶν λοιπῶν· τὸ γὰρ ζῷον καὶ τὸ φυτόν, γένη ὄντα τῶν
ὑπ' αὐτὰ ὑπὸ δὲ τὸ ἔμψυχον σῶμα τεταγμένα, δι' ἑαυτῶν τοῖς οἰκείοις
εἴδεσι τὴν οὐσιώδη ποιότητα ἀφορίζουσι.

Καὶ πῶς οὖν, φασίν, ἐλέγετο τὰ γένη καὶ τὰ εἴδη ἐν τῷ τί ἐστι κα- 30
τηγορεῖσθαι, νῦν δέ φησιν ὁ Ἀριστοτέλης τὸ ποιὸν | αὐτὰ περὶ τὴν οὐσίαν 59v
ἀφορίζειν; λέγομεν ὅτι ᾗ μετέχουσι τῶν διαφορῶν τὰ μὲν εἴδη ἐνεργείᾳ
τὰ δὲ γένη εἴτε δυνάμει κατὰ τοὺς Περιπατητικοὺς εἴτε ἐνεργείᾳ κατὰ τοὺς
Πλατωνικούς, ταύτῃ λέγονται τὸ ποιὸν περὶ τὴν οὐσίαν ἀφορίζειν· αἱ γὰρ 5
διαφοραὶ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγοροῦνται. ζητητέον δὲ πῶς φησι τὴν
οὐσίαν σημαίνειν, καίτοι γε αὕτη σημαίνεται μᾶλλον καὶ οὐ σημαίνει. λέ-
γομεν οὖν πρὸς τοῦτο ὅτι, ὡς πολλάκις εἴρηται, πρόκειται τῷ Ἀριστοτέλει
περὶ φωνῶν καὶ πραγμάτων καὶ νοημάτων διαλαβεῖν· ἡ τοίνυν οὐσία ὡς 10
μὲν φωνὴ σημαίνει καὶ οὐ σημαίνεται (αἱ γὰρ φωναὶ τῶν πραγμάτων εἰσὶ
σημαντικαί), ὡς δὲ πρᾶγμα σημαίνεται καὶ οὐ σημαίνει· τὰ γὰρ πράγματα
ὑπὸ μὲν φωνῶν σημαίνεται, αὐτὰ δὲ ἄλλων σημαντικὰ οὐκ ἔστιν· ὥσπερ
γὰρ τὰ ὀνόματα αὐτὰ μὲν καθ' ἑαυτὰ σημαντικά εἰσι τῶν πραγμάτων,
συμπλεκόμενα δέ τινι μέρει τοῦ λόγου σημαίνεταί πως μᾶλλον ὑπ' αὐτοῦ, 15
οὕτω καὶ ἐνταῦθα· οἷον ὅταν εἴπω 'Σωκράτης', διὰ τοῦ ὀνόματος τὴν οὐσίαν
τοῦ Σωκράτους ἐσήμανα, ὅταν δὲ εἴπω 'Σωκράτης ὁ φιλόσοφος' ἢ 'Σω-
κράτης ὁ περιπατῶν', τότε τὸ ὄνομα σημαίνεται μᾶλλον ἢ σημαίνει διὰ
τοῦ φιλόσοφος ἢ διὰ τοῦ περιπατῶν, καὶ οὐκ αὐτὸ σημαίνει, ἀλλ' ἄλλο τι. 20

κειμένου· ἄνθρωπος γὰρ ἡ δευτέρα οὐσία καὶ ζῶον λέγεται, οὐκ ἄνθρωποι καὶ ζῶα. Οὐχ ἁπλῶς δὲ ποιόν τι σημαίνει, ὥσπερ καὶ λευκόν. Ἀσφαλίζεται τὸ ποιὸν διὰ τὰ συμβεβηκότα· τὸ γὰρ ποιὸν ταῖς διαφοραῖς ἐστι καὶ τοῖς συμβεβηκόσιν. a 1 τὸ om. F 2 συμβάλεται C 4 φασιν C ante περὶ add. καὶ C 5. 6 τοῦτ' ἔστι — ἀφορίζει in mrg. suppl. C 5 post ἢ add. τὴν F 10 περιέχ. πρ. coll. F γὰρ om. a 11 ἑκάστου a ὁμοίως καὶ a 12 ἑκάστου CF 14 σῶμα om. F δι' αὐτῶν a 16 φησίν Fa ἐλέγοντο F 17 ὁ om. F 17. 20 τὴν om. a 18 καὶ λέγ. a 21 ποῖον F 23 ὅτι om. F εἴρηται] p. 9,14 sq. 24 διαλαμβάνειν F 25. 26 αἱ — σημαντικαί om. a 27 φωνῶν μὲν coll. F ἀλλήλων a 29 τοῦ om. F 31 σωκράτην τὸν φιλόσοφον CF 33 φιλοσόφου F¹a διὰ om. Ca ἀλλ' om. F

οὕτω δὴ οὖν κἀνταῦθα αὐτὸ μὲν καθ' ἑαυτὸ τὸ τῆς οὐσίας πρᾶγμα 59v
λαμβανόμενον οὐ σημαίνει τι, ὅταν δὲ τῇ φωνῇ συμπλακῇ, τότε ὑπ' ἐκεί-
νης σημαίνεται.

p. 3b21 Ἐπὶ πλεῖον δὲ τῷ γένει ἢ τῷ εἴδει τὸν ἀφορισμὸν
5 ποιεῖται· ὁ γὰρ ζῷον εἰπὼν ἐπὶ πλεῖον περιλαμβάνει ἢ ὁ τὸν 25
ἄνθρωπον.

Τοῦτ' ἔστιν εἰ καὶ ἡ δευτέρα πᾶσα οὐσία τὴν οὐσιώδη τῶν πραγ-
μάτων ἀφορίζει ποιότητα, ἀλλ' οὖν τὸ γένος τοῦ εἴδους τὴν καθολικωτέ-
ραν μᾶλλον καὶ κοινοτέραν ποιότητα διακρίνει, τὸ δὲ εἶδος τὴν μερι- 30
10 κωτέραν. |

p. 3b24 Ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ τὸ μηδὲν ἐναντίον αὐ- 60r
ταῖς εἶναι.

Ἐπὶ τέταρτον παρακολούθημα μεταβέβηκε καὶ τοῦ τρίτου καταγνοὺς
ὡς μόνῃ μὲν ὑπάρχοντος οὐ πάσῃ δέ. ἔστι δὲ τοῦτο τὸ μηδὲν ἐναντίον 10
15 εἶναι τῇ οὐσίᾳ· τῷ γὰρ Σωκράτει, φησί, οὐδέν ἐστιν ἐναντίον ἢ ἄλλῳ τινὶ τῶν
ἀτόμων. ἀλλὰ μὴν οὔτε τῇ δευτέρᾳ· τῷ γὰρ ἀνθρώπῳ ἢ τῷ ζῴῳ τί
ἐστιν ἐναντίον; εἰ δέ τις εἴποι 'τί οὖν; οὐκ ἀντίκειται τὸ πῦρ τῷ ὕδατι
καὶ ἡ γῆ τῷ ἀέρι;', λέγομεν ὅτι ταῦτα ἀντίκειται ἀλλήλοις οὐχ ᾗ οὐσίαι 15
εἰσίν, ἀλλ' ᾗ πεποίωνται· ἡ γὰρ ἐν πυρὶ θερμὴ καὶ ξηρὰ ποιότης τῇ τοῦ
20 ὕδατος ψυχρᾷ καὶ ὑγρᾷ ἀντίκειται ποιότητι. τάχα δὲ ἐὰν τις ἀκριβῶς ἐξε-
τάσειεν, οὐδὲ κατὰ τὰς ποιότητας φήσομεν ἀντικεῖσθαι τῷ πυρὶ τὸ ὕδωρ·
τὰ γὰρ ἐναντία περὶ τὸ αὐτὸ ὑφίστανται ὑποκείμενον καὶ οὕτω τὸν πρὸς 30
ἄλληλα ἀναδέχονται | πόλεμον, ἑκατέρου αὐτῶν τὸ ὑποκείμενον καταλαβεῖν 60v
σπεύδοντος καὶ θάτερον ἐξωθοῦντος. εἰ τοίνυν τὸ πῦρ οὐχ ὑπόκειται
25 παρὰ μέρος θερμότητι καὶ ψυχρότητι, οὐδὲ κυρίως φήσομεν τῇ ὡς ἐν πυρὶ
θερμότητι ἀντικεῖσθαί τι, εἴ γε τὰ ἀντικείμενα, ὡς ἔφαμεν, περὶ τὸ αὐτὸ 5
πολεμεῖ ὑποκείμενον. καταγινώσκει δὲ καὶ τούτου ὡς μὴ μόνῃ τῇ οὐσίᾳ
ὑπάρχοντος, εἰ καὶ πάσῃ· τῷ γὰρ ποσῷ, φησίν, οὐδέν ἐστιν ἐναντίον, οἷον

---

4 πλέον Fa 5 παραλαμβ. C 11 καὶ om. C 11. 12 αὐταῖς ἐν. coll. Arist. 14 πάσῃ μὲν ὑπ. οὐ μόνῃ δὲ C τὸ om. C 15 οὐδὲν] τί Fa ἢ — ἐναντίον (17) om. C 16 οὔτε] an οὐδὲ? 17 εἴπῃ F 18 ἀντίκειντα C 20 post ποιότητι add. οὐκ αὐταὶ οὖν αἱ οὐσίαι μάχονται ἀλλήλαις· οὐ γὰρ καθόλου αὐτὰ ταῦτα ἐναντία· οὐ γὰρ κατὰ τὴν ὕλην καὶ τὸ σῶμα, ἀλλὰ κατὰ μόνας τὰς ποιότητας. ἰστέον ὅτι τὸ λογικὸν τῷ ἀλόγῳ οὐκ ἔστιν ἐναντίον· εἴτε ἀπόφασις τὸ ἄλογον τοῦ λογικοῦ, οὐκ ἔστιν ἡ ἀπόφασις ἐναντίον, εἴτε καταφατικὴν ἔχει δύναμιν εἶδός τι δηλοῦσαν ἕτερον τοῦ λογικοῦ, οὐδὲ οὕτως ἐναντίον τὸ λογικὸν τοῦ ἀλόγου. παράγων αὐτὸ καὶ τάττων (sic)· ἀλλ' οὐδὲ ἄλλο εἶδος εἶδει ἐναντίον, ἀλλ' αἱ ἐναντιώσεις περὶ τὰς διαφορὰς καὶ ποιότητας ὁρῶνται. a ἂν a 23 ἀναδέχεται Ca αὐτοῦ a καταβαλεῖν F 24. 25 παρὰ μ. οὐχ ὑπ. coll. C 25 παρὰ] περὶ F καὶ θερ. καὶ ψυχρ. F: ψυχρ. καὶ θερ. a 26 εἴ γε] εἴτε a ὥς φαμεν a 27 πολεμεῖν F 28 ἐστιν om. a

τοῖς δέκα ἢ τῷ διπήχει· τούτοις γὰρ τί ἂν εἴη ἐναντίον; οὐ γὰρ τὸ τε- 60v
τράπηχυ τῷ διπήχει ἐναντίον· τὰ γὰρ ἐναντία φθείρουσιν ἄλληλα, ἐνταῦθα 10
δὲ αὔξησίς ἐστι τοῦ διπήχεος τὸ τετράπηχυ. εἰ μή τις τὸ πολὺ τῷ
ὀλίγῳ, φησί, φαίη ἐναντίον εἶναι ἢ τὸ μέγα τῷ μικρῷ, καίτοι 15
5 οὐδὲ ταῦτα ἐναντία ἐστὶ ποσά, καὶ δείξει μικρὸν ὕστερον ὅτι οὐδὲ ποσά
ἐστιν ἀλλὰ πρός τι· ἀλλ' οὖν εἰ καὶ κατὰ συγχώρησιν, φησί, δοίη τις
αὐτὰ ποσὰ εἶναι, οὐδὲν ἡμῖν διοίσει· ἀρκεῖ γὰρ ἡμῖν πρὸς τὸ δεῖξαι ὅτι 20
οὐ μόνῃ τῇ οὐσίᾳ ὑπάρχει τὸ μηδὲν ἐναντίον, εἴ γε καὶ τοῖς ἀφωρισμένοις
ποσοῖς τοῦτο ὑπάρχει. ἀφωρισμένα δὲ ποσὰ λέγουσιν ὅσα ὡρισμένην τινὰ
10 ἔχουσι ποσότητα καὶ μὴ τῇ πρὸς ἕτερον σχέσει λέγονται.

p. 3b33 Δοκεῖ δὲ ἡ οὐσία μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ 25
ἧττον.

Ἐπὶ πέμπτον παρακολούθημα μετῆλθε, λέγω δὴ τὸ τὴν οὐσίαν μὴ
ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. τοῦτο δὲ τῷ πρὸ αὐτοῦ ἐστιν ἀκό- 30
15 λουθον καὶ ἐξ ἐκείνου ἔσχε τὴν γένεσιν | τοῦ λέγοντος τῇ οὐσίᾳ μηδὲν 61r
εἶναι ἐναντίον· ἐν τούτοις γὰρ πέφυκε γίνεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον
ἐν οἷς καὶ ἡ ἐναντιότης. καὶ τοῦτο οὐχ ἁπλῶς· οὐ γὰρ ὅσα ἐστὶν ἐναν-
τία, δέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, ἀλλ' ὅσα τῶν ἐναντίων πέφυκε μί- 5
γνυσθαι ἀλλήλοις· τὸ γὰρ ἄρτιον καὶ τὸ περιττὸν ἐναντία ὄντα οὐκ ἐπιδέ-
20 χεται τὸ μᾶλλον καὶ τὸ ἧττον, ἐπειδὴ οὐδὲ μίγνυσθαι πέφυκεν· οὔτε γάρ
ἐστιν ἄρτιον ἀρτίου μᾶλλον ἄρτιον οὐδὲ περιττὸν περιττοῦ μᾶλλον περιτ-
τόν. λευκὸν δὲ εἶναι λέγεται λευκοῦ μᾶλλον λευκόν, ἐπειδὴ τῷ μέλανι
πέφυκε μίγνυσθαι· ἐκεῖνο γὰρ λέγεται μᾶλλον λευκὸν τὸ πλείονα τὴν 10
ἀπόστασιν ἔχον τοῦ μέλανος, ἧττον δὲ λευκὸν λέγεται τὸ πλείονα τὴν
25 μῖξιν τὴν πρὸς τὸ μέλαν ὑποδεξάμενον. καὶ αὐτὸ δὲ ἑαυτοῦ τι μᾶλλον
λευκότερον λέγεται· νῦν γὰρ ὅν τι λευκὸν ἑαυτοῦ λευκότερον γίνεται δια-
κριθέντος τοῦ ἐμμιχθέντος ἐν αὐτῷ μέλανος. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. 15
εἰ τοίνυν οὐδὲ πάντα τὰ ἐναντία τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεται, ἀλλὰ
μόνως τὰ μίγνυσθαι πεφυκότα, πολλῷ μᾶλλον τὰ μηδὲ ὅλως ἔχοντά τι
30 ἐναντίον οὐκ ἐπιδέξεται τὸ μᾶλλον καὶ τὸ ἧττον. |

---

1 τί] οὐδὲν C 4 φησί om. a 5 εἰσὶ F post ποσὰ add. διότι τὸ μέγα ἐκ μικρῶν πολλῶν συνέστηκε καὶ τὸ πολὺ ἐκ πολλῶν ὀλίγων a 7 δοιήσει F 8 οὐ] μὴ a μόνον C ἀφορισμοῖς F 10 τῇ] τοῖς F post λέγονται add. τὸ δὲ μικρὸν καὶ μέγα καὶ πολὺ καὶ ὀλίγον ἀόριστα a 11 μὴ] οὐκ F 14 τὸ (alt.) om. C post ἧττον add. τὸ δοκεῖ δὲ ἐνταῦθα οὐ τὸ προσποιούμενον σημαίνει, ἀλλὰ τὸ ἀμετάπιστόν τε καὶ ἀκατάθετον a post δὲ add. τὸ ἴδιον a 16 γίν. post ἧττον coll. a 17 ἡ om. F εἰσὶν F 18. 20 τὸ (alt.) om. C 21 οὐδὲ] an οὔτε? 22 λέγ. εἶναι coll. C 24 τὴν om. a 25 αὐτὸ] ἑαυτὸ CF 25. 26 μᾶλλον ἑαυτοῦ λευκ. τι coll. C 26 pr. λευκότερον] an λευκόν? 28 ἐπιδέχονται F 30 ἐπιδέξονται F post ἧττον add. ex Marc. 217 Ἰστέον ὅτι τὰ ἐναντία τέλος εἰσί, τὸ δὲ μᾶλλον καὶ ἧττον ὁδὸς ἐπὶ τὰ ἐναντία. καὶ καλεῖ μὲν ἐναντία τὸ λευκὸν καὶ τὸ μέλαν, μᾶλλον δὲ καὶ ἧττον τὴν ἐκ τοῦ λευκοῦ

p. 3ᵇ34 Λέγω δὲ οὐχ ὅτι οὐσία οὐσίας οὐκ ἔστι μᾶλλον οὐσία. 62r

Ἐπειδὴ γὰρ ἀνωτέρω εἶπεν μᾶλλον εἶναι οὐσίαν τὴν πρώτην τῆς δευτέρας (οὐσία γάρ ἐστιν, φησίν, ἡ κυριώτατα καὶ πρώτως καὶ μάλιστα λε- 30 γομένη) καὶ αὐτῆς δὲ τῆς | δευτέρας τὴν κατὰ τὸ εἶδος μᾶλλον οὐσίαν εἶναι 62v
5 τοῦ γένους λέγων τῶν δὲ δευτέρων οὐσιῶν μᾶλλον οὐσίαν εἶναι τὸ εἶδος τοῦ γένους, εἰκότως ἀπορεῖ πῶς ἀνωτέρω λέγων οὐσίαν οὐσίας μᾶλλον εἶναι οὐσίαν νῦν φησι δοκεῖ δὲ ἡ οὐσία μὴ ἐπιδέχεσθαι τὸ 5 μᾶλλον καὶ τὸ ἧττον. ὅπερ ἐπιλυόμενός φησιν ὅτι οὐ κατὰ ταὐτὸν εἴρηται ἐκεῖ μὲν εἶναι μᾶλλον καὶ ἧττον ἐνταῦθα δὲ οὔ· ἐκεῖ μὲν γὰρ
10 τὴν κατὰ βάθος τῶν οὐσιῶν παραβολὴν καὶ τάξιν σκοπῶν ἔλεγε τὴν πρώ-

---

εἰς τὸ μέλαν μεταβολὴν ἢ τοῦ μέλανος εἰς λευκόν, μὴ ἀθρόως γινομένην ἀλλ' ὁδῷ τινι κεχρημένην τὴν κατὰ πρόσβασιν ἐκ τοῦ λευκοῦ ἢ τοῦ μέλανος εἰς τὸ ἕτερον μεταποιήσει· ὅπου οὖν τὰ ἐναντία, ἐκεῖ καὶ τὸ μᾶλλον καὶ ἧττον, καὶ ὅπου οὐκ εἰσὶν ἐναντία, οὐδὲ μᾶλλον καὶ ἧττον· καὶ ὅπου μᾶλλον καὶ ἧττον, ἐκεῖ τὰ ἐναντία, καὶ ὅπου ⟨οὐ⟩ μᾶλλον καὶ ἧττον, οὐδὲ τὰ ἐναντία· ἀεὶ γὰρ ταῦτα τὰ τέσσαρα συμβαίνει ἀλλήλοις. ἀλλὰ ταῦτα κατὰ πλάτωνα ἔμμεσα λέγεται· οὐδὲ γὰρ ἀθρόον ἡ φύσις μεταπηδᾷ ἀπὸ τοῦ ἐναντίου εἰς τὸ πάντῃ ἐναντίον, ἀλλ' ὁδῷ τινι κέχρηται καὶ γίνεται ἧττον λευκὸν καὶ ἔτι ἧττον καὶ οὕτω μέλαν· ἀριστοτέλης δὲ οὐ πάντα τὰ ἐναντία κατὰ πλάτωνα ἔμμεσα λέγει, ἀλλ' οἷδε καὶ ἄμεσα ἐναντία, εἰ καὶ δύο μόνον, ἄρτιον καὶ περιττὸν καὶ νόσον καὶ ὑγείαν. τινὲς δέ φασιν, ὅτι καὶ τούτων εἰσὶ μέσα· τοῦ γὰρ ἀρτίου τοῦ διχῇ διαιρουμένου καὶ τοῦ περιττοῦ τοῦ μὴ δίχα διαιρουμένου μέσοι τρεῖς, ὁ ἀρτιάκις ἄρτιος, ὅστις ἕως μονάδος διχῇ διαιρεῖται, ὡς ὁ λβ' εἰς ις' καὶ ὀκτὼ καὶ τέσσαρα καὶ δύο καὶ ἕν, καὶ ὁ περισσάρτιος, ὅστις πολλὰς τομὰς ἀρτίας δεξάμενος εἰς περιττὸν ἀριθμὸν λήγει, ὡς ὁ μη' εἰς κδ' καὶ ιβ' καὶ ς' καὶ εἰς περιττὸν ἀριθμὸν λήγει τὸν τρία, καὶ ὁ ἀρτιοπέριττος, ὅστις διχῇ μὲν διαιρεῖται, εὐθέως δὲ τὰ τμήματα αὐτοῦ περιττά εἰσιν, ὡς ὁ ιη' εἰς θ' καὶ θ' διαιρούμενος. καὶ ἀρτίου μὲν καὶ περιττοῦ μέσοι, ὥς φασιν, οἱ εἰρημένοι, νόσου δὲ καὶ ὑγείας ἡ ἀνακόμισις. εἰ τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχεται ἡ οὐσία, πῶς ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς λέγει τὸν ἀέρα ἧττον θερμὸν ὡς πρὸς τὸ πῦρ; τὸ γὰρ πῦρ τοῦ ἀέρος μᾶλλον θερμὸν καὶ ὁ ἀὴρ τοῦ ὕδατος μᾶλλον ὑγρὸν καὶ τὸ ὕδωρ τῆς γῆς μᾶλλον ψυχρὸν καὶ ἡ γῆ τοῦ πυρὸς μᾶλλον ξηρόν· οὐσίαι δὲ ταῦτα. καὶ ἔστιν εἰπεῖν, ὅτι αἱ ποιότητες πάλιν αὗται τὸ μᾶλλον καὶ ἧττον ἐδέξαντο οὐχ ὡς οὐσίαι, ἑκάστη γὰρ πλείστη ἐστὶν ἐν τῷ οἰκείῳ ὑποκειμένῳ, ὡς δὲ συμβεβηκότα ἐπιτείνονται καὶ ἀνίενται· τὸ γὰρ ἧττον, ὅπερ τὸ μᾶλλον γινόμενον, οὐκ ἀπώλεσε τὸ εἶδος, ὁ δὲ ἀὴρ μέτρα πυρίας θερμότητος λαβὼν οὐκ ἔμεινεν ἀήρ. Ἰστέον δὲ ὅτι οὐκ ἐν μόνοις συμβεβηκόσιν ἐστὶ τὸ μᾶλλον καὶ ἧττον, ὅτε οὐ ποιεῖ εἴδους ἐξαλλαγήν· μᾶλλον γὰρ ζῇ ὁ νοῦς τῆς ψυχῆς. οὐ πάντως δὲ διὰ τὴν μίξιν τοῦ ἐναντίου γίνεται τὸ μᾶλλον καὶ ἧττον· κἂν γὰρ ἀθάνατος ἡ ψυχή, ἧττον τοῦ νοῦ ζῇ. καὶ ἔσται τὰ τέσσαρα στοιχεῖα σύνθετα· ἔσται γὰρ τὸ πῦρ ὑγρὸν ὡς ἧττον τῆς γῆς ξηρόν, καὶ τὸ ὕδωρ ξηρὸν ὡς λειπόμενον τοῦ ἀέρος κατὰ τὴν ὑγρότητα, καὶ ἐπὶ τῶν ἄλλων στοιχείων ὁμοίως. ἀλλ' εἰδοποιεῖται πᾶσα (l. πάντα) καὶ ὑφέσεις εἰδῶν εἰσιν· ὡς καὶ ἡ σελήνη ἐσχάτη οὖσα τῆς πέμπτης οὐσίας, καίπερ μὴ μετέχουσα τῶν ὑπὸ σελήνην, ἔχει τι ἐν αὐτῇ ἀνομοειδές (sic), ὡς δηλοῖ τὸ ἐν ταῖς πανσελήνοις ἐν μέσῳ αὐτῆς φαινόμενον πρόσωπον καὶ τὸ ἀνθρακοειδὲς χρῶμα τὸ ἐν ταῖς ἐκλείψεσιν αὐτῆς φαινόμενον ἀνομοιομερὲς ὄν· οὐδέτερον γὰρ τούτων μίξει γῆς, ἀλλ' ὑφέσει τοῦ φωτοειδοῦς τῆς πέμπτης οὐσίας. a

1 μᾶλλον καὶ ἧττον οὐσία a 2 μᾶλλον εἶπεν coll. Ca 3 φησιν ἐστὶν coll. a φησίν] p. 2ᵃ5 κυριώτατά τε a Arist. 6 λέγων] p. 2ᵇ7 7 post φησι add. ἐστὶν C 7. 8 δοκεῖ—ὅτι om. C 7 μὴ] οὐκ F (cf. p. 75,11)

τὴν τῆς δευτέρας μᾶλλον εἶναι οὐσίαν ὡς μᾶλλον τῷ πολλῷ συνεγνωσμέ- 62v
νην ἀνθρώπῳ, καὶ τῆς δευτέρας μᾶλλον τὸ εἶδος διὰ τὸ ἐγγυτέρω εἶναι
μᾶλλον τῆς πρώτης τὸ εἶδος ἤπερ τὸ γένος· ἐνταῦθα δὲ τὴν κατὰ πλάτος
ποιούμενος παραβολὴν φησιν ὅτι οὐδὲ τὸ ἄτομον μᾶλλον καὶ ἧττόν ἐστιν
5 οὐσία, οὔτε αὐτὸ ἑαυτοῦ οὔτε ἕτερον ἑτέρου· τὸν γὰρ Σωκράτην οὔτε αὐ- 15
τὸν ἑαυτοῦ μᾶλλον καὶ ἧττον ἄνθρωπον εἴποι τις ἂν οὔτε Σωκράτην Πλά-
τωνος μᾶλλον ἄνθρωπον. ἀλλ' οὐδὲ τὸ εἶδος οὔτε αὐτὸ ἑαυτοῦ οὔτε ἄλλο
ἄλλου μᾶλλον οὐσία ἐστίν, οἷον ἵππος ἀνθρώπου οὐδὲν μᾶλλον οὐσία. καὶ
ἐπὶ τῶν γενῶν ὡσαύτως.

10 Τοῦτο δὲ τὸ ἴδιον ἤτοι παρακολούθημα πάσῃ μὲν ὑπάρχει τῇ 20
οὐσίᾳ, οὐ μέντοι γε μόνῃ· καὶ γὰρ τὸ ποσὸν οὐκ ἐπιδέχεται τὸ
μᾶλλον καὶ τὸ ἧττον, ἐπεὶ μηδὲ ἔχει τι ἐναντίον, ἀλλ' οὐδὲ τὸ
ἄρτιον οὐδὲ τὸ περιττόν, ἐπειδὴ μηδὲ πέφυκε ταῦτα μίγνυσθαι. διὰ τί
δὲ μὴ ὥσπερ ἐπὶ τῶν ἄλλων ἰδίων ἔλεγε πρὸς τῷ τέλει 'οὐκ ἴδιον δὲ 25
15 τοῦτο τῆς οὐσίας, ἐπειδὴ εἰ καὶ πάσῃ φέρε ὑπάρχει, οὐ μέντοι γε μόνῃ,
ἤγουν μόνῃ μὲν οὐ πάσῃ δέ', οὕτω καὶ ἐνταῦθα πεποίηκε καὶ εἶπεν ὅτι
οὐκ ἴδιον τοῦτο τῆς οὐσίας, εἰ καὶ πάσῃ ὑπάρχει, καὶ γὰρ τὸ ποσὸν οὐκ
ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον; λέγομεν ὡς ἐναργὲς ὂν ἐκ τῶν εἰρημένων 30
τοῦτο κατέλιπεν· | ἐπειδὴ γὰρ συνημμένα ἐστίν, ὡς εἶπον, τὰ παρακολου- 63r
20 θήματα καὶ ἠκολούθει πάντως τὸ μὴ εἶναί τι μᾶλλον καὶ ἧττον τῷ μὴ
ἔχειν ἐναντίον, ἔδειξε δὲ μικρῷ πρόσθεν μήτε τῇ οὐσίᾳ μήτε τῷ ποσῷ
ὑπάρχειν τι ἐναντίον, ἡμῖν κατέλειψε τὸ συναγαγεῖν καὶ προσυπακοῦσαι ὅτι 5
οὐ μόνῃ τῇ οὐσίᾳ ὑπάρχει τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον,
ἀλλὰ καὶ τῷ ποσῷ.

25 p. 4a10 Μάλιστα δὲ ἴδιον τῆς οὐσίας δοκεῖ εἶναι τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων εἶναι δεκτικόν.

Τοῦτο ἕκτον παρακολούθημα ἴδιον ὑπάρχον τῆς οὐσίας ἀποδέδωκεν, 20
ὅπερ καὶ τῶν ἄλλων μᾶλλον ἐκκρίνει, λέγω δὴ τὸ μίαν τῷ ἀριθμῷ καὶ
τὴν αὐτὴν μένουσαν τῶν ἐναντίων εἶναι δεκτικήν· Σωκράτης γὰρ εἷς καὶ
30 ὁ αὐτὸς μένων ποτὲ μὲν θερμαίνεται ποτὲ δὲ ψύχεται, καὶ ἐπὶ τῶν ἄλλων 25
ποιοτήτων ὁμοίως καὶ τῶν λοιπῶν συμβεβηκότων. τοῦτο δὲ μόνῃ μὲν
ὑπάρχει τῇ οὐσίᾳ, οὐ μέντοι γε πάσῃ· οὐδὲν γὰρ ἄλλο τῶν παρ' αὐτὴν
πέφυκεν ἓν καὶ τὸ αὐτὸ μένον τῷ ἀριθμῷ τῶν ἐναντίων εἶναι δεκτικόν.
λέγω δὴ τὰ συμβεβηκότα· πάντα γὰρ τὰ παρ' αὐτὴν συμβεβηκότα ἐστίν·

---

1 εἶναι ante τὴν πρ. (p. 76,10) coll. C 2 ἐγγύτερον Ca 3 μᾶλλον eicias εἴπερ F 6 ἄνθρωπον om. C εἴπη F 7. 8 ἄλλου ἄλλο coll. C 10 ἤτοι] ἢ τὸ CF τῇ om. C 13 ἐπεὶ a 14 τὸ τέλος F 16 εἰ γοῦν C ὅτι om. F 17 τῆς om. Ca καὶ γὰρ τὸ] τὸ γὰρ F 18. 23 τὸ (ante ἧττον) om. C 19 εἰσὶν F εἶπον] p. 75,14 20 ante ἠκολ. add. οὐκ a ἠκολούθει Laur. 72,1: ἠκολούθη CFa 21 πρότερον a 22 τὸ] τοῦ C: τοῦτο a 23 τῇ om. a 27 ἀπέδωκεν C 28 ἐγκρ. F 32 οὐδὲν] οὐδὲ C παρ' in lac. om. F 33 καὶ τῷ ἀρ. τὸ αὐτὸ μ. coll. C μένων F 34 ἑαυτὴν F εἰσίν a

οὐδὲ γὰρ πέφυκεν ὅλως συμβεβηκὸς συμβεβηκότι | ὑποκεῖσθαι πρὸς ὕπαρ- 63v
ξιν· οὐχ ὑπόκειται γὰρ τὸ λευκὸν τῷ μέλανι ἢ τῷ θερμῷ οὐδὲ τῶν τοι-
ούτων οὐδενί. καὶ ἐπὶ τῶν ἄλλων συμβεβηκότων ὁ αὐτὸς λόγος. οὐκοῦν
οὐδὲ τῶν ἐναντίων ἐστὶ δεκτικόν. μόνῃ μὲν οὖν τοῦτο ὑπάρχει, οὐ μέν-
5 τοι γε πάσῃ· τῇ γὰρ δευτέρᾳ οὐδαμῶς τοῦτο ὑπάρχει· οὐδὲ γὰρ κυρίως 5
ἂν λεχθείη οὔτε τὸ γένος οὔτε τὸ εἶδος ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ· τὸ
γὰρ ἓν τῷ ἀριθμῷ περὶ τὰ ἄτομα κυρίως θεωρεῖται. ἄλλως τε εἰ καὶ ἓν
εἴη, οὐκ ἔστι τῶν ἐναντίων δεκτικόν· οὐ γὰρ σῶμά ἐστιν, ἵνα ἐπιδέξηται
θερμότητα ἢ ψῦξιν ἤ τι τῶν τοιούτων. ὁμοίως δὲ οὐδὲ τὸ γένος. ἀλλ' 10
10 εἰ ἄρα, ταῦτα λέγονται τῶν ἐναντίων εἶναι ποιητικὰ ἢ εἰς τὰ ἐναντία διαι-
ρεῖσθαι, τὸ θνητὸν λέγω καὶ τὸ ἀθάνατον, τὸ λογικὸν καὶ τὸ ἄλογον. εἰ
δέ τις ἀκριβέστερον ἐπιβλέψειεν, οὐδὲ ἐναντία ταῦτά ἐστι· τὰ γὰρ ἐναντία
φθαρτικά ἐστιν ἀλλήλων, ταῦτα δὲ ὑποστατικὰ ἀλλήλων μᾶλλόν ἐστιν ἢ 15
φθαρτικά· τὸ γὰρ ἁπλῶς λογικὸν καὶ ἀθάνατον ὑφίστησι τὰ ἄλογα καὶ
15 τὰ θνητά.

Εἰ τοίνυν μὴ πάσῃ ὑπάρχει τῇ οὐσίᾳ, τί δή ποτε μάλιστα αὐτῆς
φησιν αὐτὸ εἶναι ἴδιον; λέγομεν οὖν ὅτι ἔξ τινων ὡς ἰδίων τῆς οὐσίας 20
ἀποδεδομένων τὸ μὲν πρῶτον καὶ τὸ τέταρτον καὶ τὸ πέμπτον πάσῃ
μὲν ὑπῆρχον τῇ οὐσίᾳ, οὐ μέντοι γε μόνῃ, λέγω δὴ τὸ μὴ ἐν ὑποκειμένῳ
20 εἶναι, ὅπερ καὶ τῇ διαφορᾷ ὑπῆρχε, καὶ τὸ τέταρτον τὸ μηδὲν ἐναντίον
αὐτῇ εἶναι, ὅπερ καὶ τοῖς ποσοῖς ὑπῆρχεν, ἔτι τε καὶ τὸ πέμπτον, λέγω 25
δὴ τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, ὅπερ καὶ αὐτὸ τοῖς ποσοῖς ὑπῆρχε. τὸ μέντοι γε δεύτερον, ὅπερ ἦν τὸ συνωνύμως ἀπ' αὐτῶν λέγεσθαι πάντα, οὔτε μόνῃ οὔτε πάσῃ· οὔτε γὰρ τῇ πρώτῃ, ἐπειδὴ καὶ
25 ταῖς διαφοραῖς· τὸ δὲ τρίτον τὸ τόδε τι σημαίνειν καὶ πρὸς τούτῳ τὸ ἕκ-
τον, λέγω δὴ τὸ ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ μένον τῶν ἐναν|τίων εἶναι 64r
δεκτικόν, μόνῃ τῇ οὐσίᾳ ὑπῆρχεν, εἰ καὶ μὴ πάσῃ. τῶν μὲν οὖν τεττάρων οὐδὲ ἓν ἐκκρίνει εἰκότως, διότι οὐ μόνῃ ὑπῆρχον· οὐδεὶς γὰρ ἂν φαίη ἴδιόν τινος εἶναι, εἰ καὶ παντὶ πρόσεστι τῷ ὑποκειμένῳ, τὸ καὶ ἄλλῳ
30 ὑπάρχον, ἀλλὰ μᾶλλον τὸ μόνῳ, εἰ καὶ μὴ παντί. διὰ τί δὲ τῶν δύο, 5
τοῦ τε τρίτου καὶ τοῦ ἕκτου, προκρίνει τὸ ἕκτον; διότι ἐκεῖνο μὲν κατὰ μόνην τὴν φωνὴν ἐδόκει τῇ δευτέρᾳ οὐσίᾳ ἐφαρμόζειν, λέγω δὴ τὸ τόδε τι σημαίνειν, τοῦτ' ἔστιν ἑνικὸν ἀριθμόν, ⟨τὸ⟩ ἐνταῦθα δὲ κατ' αὐτὸ τὸ πρᾶγμα δοκεῖ ἐφαρμόζειν. διόπερ ἵνα δείξωμεν καὶ πάσῃ τῇ οὐσίᾳ ἐφαρ- 10

---

2 θερμῶ] ἀριθμῶ F 3 τῶν om. a 4 post οὖν add. τῇ οὐσία F 8 post εἴη addas τὸ εἶδος (cf. v. 9) οὐ] οὐδὲ Ca γὰρ σῶμά ἐστιν in lac. om. C 10 εἰ] ἢ F λέγονται] καὶ C εἰς] ἐκ F¹ 13 εἰσιν (pr. l.) C εἰσιν (alt. l.) a 16 αὐτῆς om. C 17 ἴδιον εἶναι coll. C ἔξ om. C 17. 18 ἀποδ. τῆς οὐσ. coll. C 18 ἀποδιδομ. a 19 δὴ] δὲ F ἐν μὴ coll. F 20 διαφ.] φθορᾷ F¹ 21 αὐτῇ om. Ca 22 τὸ (ante ἧττον) om. C 23 τὸ συν. Paris. 2051: συν. τὸ CFa ὑπ' αὐτῶν a 24 οὔτε γὰρ] an οὐδὲ γὰρ? 24. 25 ἐπειδὴ — διαφοραῖς post μόνῃ (24) transponas. 24 καὶ superscr. C 25 τοῦτο F 27 μὴ superscr. F² 28 ἐγκρ. C οὐ] οὐδὲ C ὑπῆρχεν a 29 ἄλλο C 30 τὸ] τῷ F 31 ἕκτον in lac. om. F ἐκεῖνο] ἐκεῖ F 33 σημ. τι coll. F τὸ addidi

μόζον τὸ ἀποδοθὲν ἴδιον, μικρὸν ἐναλλάξαντες τὸ εἰρημένον οὕτως εἴπωμεν 64r
'μάλιστα δὲ ἴδιον τῆς κατηγορίας τῆς οὐσίας δοκεῖ εἶναι τὸ τὰ ὑπ' αὐτὴν ἄτομα
παρὰ μέρος τῶν ἐναντίων εἶναι δεκτικά'· οὕτω γὰρ καὶ πάσης τῆς οὐσίας
κατηγορηθήσεται τοῦτο τὸ ἴδιον καὶ οὐδεμιᾷ τῶν ἄλλων ἁρμόσει· οὔτε γὰρ τὰ τοῦ ποσοῦ ἄτομα, τὰ δέκα εἰ τύχοι, οὔτε τὰ τοῦ ποιοῦ, οἷον τὸ ἐν τῷδε τῷ λίθῳ λευκόν, παρὰ μέρος τῶν ἐναντίων ἐστὶ δεκτικά. |

p. 4a10 Μάλιστα δὲ ἴδιον τῆς οὐσίας δοκεῖ εἶναι τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων εἶναι δεκτικόν. 64v

Ἓν μὲν ἀριθμῷ, ἵνα τὸ αὐτὸ φυλάττηται ὑποκείμενον, ταὐτὸν δέ, ἵνα μὴ μεταβάλλῃ καθ' ὑπόστασιν· τὸ γὰρ χρῶμα ἀπὸ λευκοῦ μέλαν γίνεται μεταβάλλον καθ' ὑπόστασιν (ἐν γὰρ τῷ λευκὸν εἶναι ἔχει τὴν οἰκείαν ὑπόστασιν, ὥστε μεταβάλλον εἰς μέλαν μετέβαλλε καθ' ὑπόστασιν), ὁ δὲ Σωκράτης μένων εἷς καὶ ὁ αὐτὸς ποτὲ μὲν θερμὸς γίνεται ποτὲ δὲ ψυχρός, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. δεκτικὸν δὲ τῶν ἐναντίων, ἵνα ἐνδείξηται τὴν δύναμιν τοῦ παρὰ μέρος δέχεσθαι τὰ ἐναντία· οὐ γὰρ εἶπε 'δέχεσθαι τὰ ἐναντία' (ἦν γὰρ ἂν ἐν τῷ αὐτῷ τὰ μαχόμενα), ἀλλὰ δεκτικόν, ἵνα τὴν δύναμιν, ὡς εἶπον, ἐνδείξηται. ἐπὶ δὲ τῶν ἄλλων κατηγοριῶν οὐδὲν τῶν τοιούτων φαίνεται. ἀλλ' ἴσως ἐρεῖ τις 'τί οὖν; καὶ ὅδε ὁ κόραξ δεκτικός ἐστι λευκότητος ἢ ὁ κύκνος μελανίας; πῶς οὖν εἶπε τῶν ἐναντίων εἶναι δεκτικόν;' ἀλλὰ λέγομεν ὅτι εἰ μὲν εἶπε πάντων τῶν ἐναντίων δεκτικὴν εἶναι πᾶσαν οὐσίαν, εἶχεν ἂν λόγον ἡ ἀπορία καὶ ἐπὶ κόρακος καὶ ἐπὶ ἄλλων μυρίων· οὐδὲ γὰρ τὸ ψιμμύθιον μέλαν γένοιτο ἂν μένον ψιμμύθιον, οὐδὲ τὸ πῦρ μένον πῦρ ψύξεως ἢ ὑγρότητός ἐστι δεκτικόν, οὐ τὸ ὕδωρ ⟨ξηρότητος⟩, οὐχ ἡ γῆ κουφότητος. νῦν δὲ οὐκ εἶπε πάντων ἀλλ' ἁπλῶς τῶν ἐναντίων, ὥστε καὶ ὁ κόραξ εἰ καὶ μὴ δέχεται λευκότητα ἢ ὁ κύκνος μελανίαν. ἀλλ' οὖν θερμότητα καὶ ψυχρότητα δέχονται καὶ ἄλλας ἐναντίας ποιότητας.

---

2 τῆς κατηγορίας om. a 6 εἰσὶ C δεκτικόν a post δεκτ. add. ex Marc. 217 πρόσκειται τὸ παρὰ μέρος, ἐπειδὴ οὐχ ἅμα λευκαίνεται ὁ σωκράτης, οὐδὲ ἅμα νοσεῖ καὶ ὑγιαίνει. τὸ δὲ μίαν καὶ τὴν αὐτὴν τῷ ἀριθμῷ πρόσκειται, ἐπειδὴ καὶ ὁ ἀριθμὸς δέχεται τὰ ἐναντία, ἄρτιον καὶ περιττόν, ἀλλ' οὐχ εἷς τῷ ἀριθμῷ, ἀλλὰ εἷς τῷ εἴδει, ὁπότε οὐδὲ ὡς ἐν ἀριθμῷ συνίσταται τὸ ἄρτιον καὶ τὸ περιττόν, ἀλλ' ὡς ἐν ὕλῃ τῇ δυναμένῃ καὶ εἰς ἄρτιον καὶ εἰς περιττὸν διαιρεῖσθαι. τὸ γὰρ πηχυαῖον ξύλον καὶ εἰς ἄρτιον διαιρεῖται καὶ εἰς περιττόν. καὶ οἱ ἄρτιοι ἵπποι δύνανται περιττοὶ γενέσθαι προσθήκῃ ἑτέρου. καὶ τὸ σῶμα δὲ εἰ καὶ δέχεται τὰ ἐναντία, οἷον λευκὸν καὶ μέλαν, ἀλλ' οὐχ ἓν τῷ ἀριθμῷ, ἀλλὰ τῷ εἴδει ἕν. ἀλλὰ γὰρ ἐπ' αὐτῆς τῆς λέξεως τῆς ἀριστολικῆς σκοπήσωμεν τὸ λεγόμενον. a
8 τῶ ἀρ. F ὂν om. CF (cf. p. 77,25) post ὂν add. παρὰ μέρος a 9 μὲν γὰρ a 10 ὑπὸ F 11 τῷ] τὸ F 11. 12 οἰκ.] ἰδίαν C 12 μετέβαλε a 15 δείξῃ a 15. 16 οὐ — ἐναντία om. F 16 ἂν om. a τῶ om. CF μαχ.] δεχόμενα F 17 τῶν ἄλλ. δὲ coll. C 18 καὶ om. C 20 δεκτ. εἶναι coll. C 22. 23 ψιμύθιον (ubique) C 22 γίνοιτο F 23 μένων (pr. l.) F οὐδὲ τὸ ὕδωρ οὔθ' a 24 ξηρότητος addidi 24. 25 πάντων ἀλλ' ἁπλῶς τῶν ἐναντ. Paris. 2051: πάντως ἀλλ' ἁπλῶς τῶν ἐναντ. a: πάντων ἐναντ. CF 25 alt. καὶ om. C ἐπιδέχοιτο C 26 οὖν om. a

καὶ τὸ πῦρ οὖν εἰ καὶ μὴ δέχεται ψῦξιν ἢ ὑγρότητα ἤ τι τῶν ἑαυτῷ 64v
ἐναντίων, ἀλλ' οὖν δέχεται τὴν ἐπὶ τὸ κάτω φορὰν βίᾳ, πεφυκὸς ἐπὶ τὸ
ἄνω φέρεσθαι. τί δὲ ἂν εἴποιμεν περὶ ἡλίου καὶ σελήνης καὶ ἁπλῶς τῶν
οὐρανίων; ἕκαστον γὰρ τούτων ἓν ὂν καὶ ταὐτὸν τῷ ἀριθμῷ ὅμως τῶν 30
5 ἐναντίων οὐκ ἔστι δεκτικόν, | εἰ μή τις ἐνταῦθα τὰς ἀντικειμένας λάβοι 65r
κινήσεις, διότι φέρονται μὲν σὺν τῷ παντὶ τὴν ἀπ' ἀνατολῶν, αὐτὰ δὲ
καθ' αὑτὰ τὴν ἐναντίαν. ἔστι δὲ καὶ ἐπὶ τῶν ἑπτὰ πλανωμένων λαβεῖν
καὶ τὴν ἀπὸ τῶν νοτίων ἐπὶ τὰ βόρεια καὶ πάλιν ἀπὸ τούτων ἐπὶ τὰ 5
νότια λαβεῖν μετάβασιν καὶ ἐπὶ τὴν κατὰ τὸ ἀπόγειον αὐτῶν καὶ περίγειον
10 ἐναντίωσιν συνόδους τε καὶ ἀποστάσεις αὐτῶν, ἐπὶ δὲ τῆς σελήνης καὶ τοὺς
φωτισμοὺς αὐτῆς καὶ τὰς ἐκλείψεις, ὡς μόνην τὴν ἀπλανῆ δοκεῖν τῶν
ἐναντίων ἀνεπίδεκτον εἶναι. ἄλλως τε φθάσαντες εἴπομεν ὅτι μόνῃ τῇ οὐ-
σίᾳ τοῦτο ὑπάρχει, οὐ πάσῃ δέ· οὐδὲ γὰρ τοῖς εἴδεσί τε καὶ γένεσιν, 10
ἀλλὰ τοῖς ὑπὸ ταῦτα ἀτόμοις. τὰ δὲ μοναδικὰ οὐδὲ ὅλως γένους εἰσὶν ἢ
15 εἴδους τινὸς ἄτομα, οἷον ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ ὁ οὐρανὸς δὲ ὅλος
μοναδικόν τί ἐστιν. οὐκ ἐλέγχεται οὖν ὁ Ἀριστοτέλους λόγος, κἂν τὰ 15
οὐράνια μὴ εἴη τῶν ἐναντίων δεκτικά· ὁ γὰρ λόγος περὶ τῶν ὑπὸ τὰ γένη
καὶ τὰ εἴδη ἀτόμων, οὐ περὶ πάσης οὐσίας, καὶ ὅτι μόνῃ τῇ οὐσίᾳ ὑπάρ-
χει τοῦτο, εἰ καὶ μὴ πάσῃ, κἂν μηδὲ τοῖς ἀτόμοις ἅπασιν ὑπάρχῃ. |

20 p. 4a22 Εἰ μή τις ἐνίσταιτο τὸν λόγον καὶ τὴν δόξαν φάσκων 65v
τῶν τοιούτων εἶναι· ὁ γὰρ αὐτὸς λόγος ἀληθής τε καὶ ψευδὴς 5
δοκεῖ εἶναι, οἷον εἰ ἀληθὴς εἴη ὁ λόγος, τὸ καθῆσθαί τινα,
ἀναστάντος αὐτοῦ ὁ αὐτὸς οὗτος λόγος ψευδὴς ἔσται.

Ἀπορίαν τινὰ ἑαυτῷ ἐπάγει, ἣν εἰκὸς ἦν τινα ἀπορῆσαι, καὶ
25 ταύτην ὡς οἷόν τε ἦν ἐπιλύεται· ἠπόρησε γὰρ ἄν τις πῶς μόνης τῆς

---

1 οὖν om. a εἰ καὶ] ἐὰν C δέχηται C ἑαυτῷ scripsi: ἐν αὐτῶ CF: αὐτῷ a 2 ἐναντίων Laur. 72,1: ἐναντίον Fa: τὸ ἐναντίον C 5 κἀνταῦθα a λάβοι] ἔχει F¹: λάβῃ a 6. 7 αὐτοὶ δὲ καθ' αὑτοὺς CF 7 καὶ om. a 8 καὶ τὴν—λαβεῖν (9) om. F 9 ἐπὶ (post καὶ) eicias 10 αὐτῶν post τε coll. a 11 δοκεῖ F 12 εἶναι ἀνεπίδ. C: ἐναπόδεκτον εἶναι F εἴπωμεν F (cf. p. 78,4) μόνῃ τῇ] μὲν τῇ F: τῇ μὲν a 13 ὑπ. τοῦτο coll. C 14 ὑπ' αὐτὰ a γένη Ca 15 ὁ (utrobique) om. C καὶ (utrobique) om. F ἡ om. C ὅλως Ca 16 ἐλλέγχετο (sic) F ἀριστοτελικὸς C 17 ἢ a (cf. p. 2,29) περὶ om. C 18. 19 καὶ ὅτι—ὑπάρχῃ eicias 19 ὑπάρχει F¹ post ὑπάρχῃ add. ex Marc. 217 ὥς τινες ὑπέλαβον διὰ τὸν κύκνον κατὰ τὸ λευκὸν μὴ μεταβάλλοντα. κἂν γὰρ τὴν ἀντίθεσιν ταύτην μὴ ἐπιδέχηται, ἀλλ' οὖν ἑτέραν, ἥπερ εἴρηται, ἀντίθεσιν δέχεται, τὴν κατὰ τὸ θερμὸν καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρόν. αἱ δεύτεραι δὲ οὐσίαι ἄτρεπτοι οὖσαι οὐ δέχονται τὰ ἐναντία. ὁμοίως καὶ τὰ οὐράνια ἄτρεπτα ὄντα, ἐφ' ὅσον εἰσίν, οὐ δέχονται τὰ ἐναντία. ἀποροῦσι δέ τινες ὅτι ὁ καθόλου ἄνθρωπος, εἰ μὲν τρεπτὸς ἔσται, τῶν ἐναντίων δεκτικός, εἰ δὲ μὴ τρεπτός, λοιπὸν θεός, ὅπερ ἄτοπον. καὶ φαμέν, κατὰ μὲν τὰ συστατικὰ αὐτοῦ μέρη, οἷον τὸ ζῶον τὸ λογικὸν τὸ θνητόν, ἄτρεπτός ἐστιν. οὐδεὶς γὰρ ἄνθρωπος ζῶον ὢν γίνεται ἄζωος ἢ λογικὸς ὢν ἄλογος ἢ θνητὸς ἀθάνατος. οὕτω γὰρ καὶ πλάτων δοξάζει, κατ' οὐσίαν μὲν ἄτρεπτον, κατ' ἐνέργειαν δὲ τρεπτὴν εἶναι λέγων τὴν λογικὴν ψυχήν. a 20 μὴ ἄρα a ἐνίστατο F: ἐνίσταται a 21 τῶν ἐναντίων εἶναι δεκτικά Arist. τε om. Arist. 22 εἶναι δοκ. coll. Arist. τὸ] τοῦ F 23 λόγος om. C 24 ἑαυτοῦ a εἰκὸς] ἐκεῖνος F 25 ταύτην om. a ἐπιλῦσαι C

οὐσίας φησὶ εἶναι ἴδιον τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ οὖσαν τῶν ἐναντίων 65ν
εἶναι δεκτικήν· ἰδοὺ γὰρ καὶ ὁ προφορικὸς λόγος καὶ ἡ δόξα ἓν καὶ τὸ 15
αὐτὸ μένοντα ἀληθείας καὶ ψεύδους παρὰ μέρος εἰσὶ δεκτικά· ὁ γὰρ
λόγος ὁ λέγων 'Σωκράτης κάθηται,' εἰ μὲν τύχοι καθήμενος ὁ Σωκράτης,
5 ἀληθεύει, ἀναστάντος δὲ πάλιν αὐτοῦ ὁ αὐτὸς οὗτος ψεύδεται. ὁμοίως δὲ 20
καὶ ἡ δόξα ἡ περὶ καθημένου Σωκράτους, εἰ μὲν τύχοι καθήμενος, ὀρθῶς
δοξάζει, ἀναστάντος δὲ αὐτοῦ ἡ αὐτὴ ψευδῶς δοξάζει. ὥστε ὁ αὐτὸς λόγος
καὶ ἡ αὐτὴ δόξα ἓν καὶ ταὐτὸν μένοντα δεκτικά εἰσιν ἀληθείας καὶ
ψεύδους. ἐπιλύεται οὖν τὴν ἀπορίαν διχῶς, κατά τε τὴν λεγομένην ἀντι- 25
10 παράστασιν καὶ τὴν ἔνστασιν. ἀντιπαράστασις δέ ἐστι τὸ καταδέξασθαι
μὲν τὴν ἀπορίαν δεῖξαι δὲ ὅτι καὶ οὕτως ἔχουσα οὐδὲν λυμαίνεται τὸ λε-
γόμενον, ἔνστασις δέ ἐστι τὸ μηδὲ ὅλως τὴν ἀπορίαν δέξασθαι, ἀλλὰ
ἀνατρέψαι αὐτὴν ὡς οὐχ οὕτως ἔχουσαν ὡς ἠπορήθη. καὶ πρῶτον μὲν 30
ἐπιλύεται διὰ τῆς | ἀντιπαραστάσεως λέγων οὕτως· εἰ δέ τις καὶ 66ι
15 τοῦτο παραδέχοιτο, ἀλλὰ τῷ γε τρόπῳ διαφέρει· τὰ μὲν γὰρ
ἐπὶ τῶν οὐσιῶν αὐτὰ μεταβάλλοντα δεκτικὰ τῶν ἐναντίων ἐστί·
ψυχρὸν γὰρ ἐκ θερμοῦ γενόμενον μετέβαλλεν (ἠλλοίωται γάρ) 5
καὶ μέλαν ἐκ λευκοῦ καὶ σπουδαῖον ἐκ φαύλου. ὡσαύτως δὲ καὶ
ἐπὶ τῶν ἄλλων ἕκαστον αὐτὸ μεταβολὴν δεχόμενον τῶν ἐναν-
20 τίων δεκτικόν ἐστιν. ὁ δὲ λόγος καὶ ἡ δόξα αὐτὰ μὲν ἀκίνητα
πάντῃ πάντως διαμένει, τοῦ δὲ πράγματος κινουμένου τὸ ἐναν- 10
τίον περὶ αὐτὰ γίνεται. εἰ δὲ καὶ συγχωρήσομεν, φησί, τὸν λόγον
τῶν ἐναντίων εἶναι δεκτικόν, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον τῇ οὐσίᾳ
δέξεται τὰ ἐναντία· ἡ μὲν γὰρ οὐσία αὐτὴ κινουμένη ἐκ θερμῆς ψυχρὰ 20
25 γίνεται καὶ ἐκ λευκῆς μέλαινα, καὶ ἐπὶ τῶν ἄλλων ἐναντίων ὡσαύτως· ὁ
δὲ λόγος ἀκίνητος μένων τῷ τὸ πρᾶγμα κινηθῆναι τὴν ἀλήθειαν ἢ τὸ
ψεῦδος ἐδέξατο· Σωκράτους γὰρ καθεσθέντος ὁ λόγος ὁ λέγων αὐτὸν
καθῆσθαι ἀληθὴς γίνεται, ἀναστάντος δὲ ψευδής· ὥστε Σωκράτης ἐστὶν 25
ὁ κινούμενος, ὁ δὲ λόγος ἀκίνητος μένει. καὶ εἰκότως· ἡ γὰρ ἀλήθεια
30 καὶ τὸ ψεῦδος οὔτε ἐν τοῖς λόγοις ἐστὶ μόνοις οὔτε ἐν τοῖς πράγμασι
μόνοις ἀλλ' ἐν τῇ ἐφαρμογῇ τῶν λόγων πρὸς τὰ πράγματα· ὥσπερ γὰρ ἡ
ὑπόδεσις οὔτε ἐν τῷ ποδὶ μόνῳ θεωρεῖται οὔτε ἐν τῷ ὑποδήματι, ἀλλ' 30
ἐν τῇ ἐφαρμογῇ τοῦ ὑποδήματος πρὸς τὸν πόδα, οὕτω καὶ ἡ ἀλήθεια ἐν 66ν
τῇ ἐφαρμογῇ τῶν λόγων πρὸς τὰ πράγματα. τὰ δὲ αὐτὰ καὶ ἐπὶ τῆς

---

1 post φησὶ add. δεῖν a 2 εἶναι om. C δεκτικόν CF post δόξα add. ὧν ὁ μὲν λόγος ὅ τε προφορικὸς ὅ τε ἐνδιάθετος ποσὸν ἡ δὲ δόξα ποιόν a 3 παρὰ μέρος post δεκτ. coll. C: om. a 4 καθεζόμενος F ὁ (ante σωκρ.) om Fa 5 οὗτος ψ.] ψευδῶς δοξάζει F 7. 8 ἡ αὐτὴ δ. καὶ ὁ αὐτὸς λ. coll. C 10 τὴν om. C δὲ] μὲν οὖν a 12 μηδὲν a δεξ. τὴν ἀπ. coll. C 13 οὐχ] μὴ a 17 μετέβαλεν C Arist. 19 ἑκάστου a αὐτῶν C Arist. 19. 20 τοῦ ἐναντίου C: τοὐναντίον F 23 οὐχὶ a 25 ἄλλων] λοιπῶν Ca 27 καθεσθῆναι C 31 ὥσπερ γάρ] ὥσπερ C: ὡς γὰρ F 33 post ἐφαρ. add. τῶν λόγων πρὸς τὰ πράγματα del. F οὕτω καὶ om. F

δόξης ἐροῦμεν· καὶ γὰρ κἀκείνη ἀκίνητος μένουσα τοῦ πράγματος κινη- 66ᵛ
θέντος ἢ ἀληθὴς ἢ ψευδὴς λέγεται. ὥστε τῷ τρόπῳ ἴδιον τῆς οὐσίας 5
ἐστὶ τοῦτο· ἄλλῳ γὰρ τρόπῳ ἡ οὐσία τῶν ἐναντίων ἐστὶ δεκτικὴ καὶ ἄλλῳ
ὁ λόγος καὶ ἡ δόξα.

5 p. 4ᵇ4 Εἰ καί τις ταῦτα παραδέχοιτο, τὸν λόγον καὶ τὴν δόξαν δεκτικὰ τῶν ἐναντίων εἶναι.

Καὶ οὕτω μὲν διὰ τῆς ἀντιπαραστήσεως. διὰ δὲ τῆς ἐνστάσεως οὕτως ἐπιλύεται τὴν ἀπορίαν·

p. 4ᵇ5 Οὐκ ἔστι δὲ ἀληθὲς τοῦτο. 10

10 Τοῦτ' ἔστιν οὐκ ἀληθές ἐστι τὸ λέγειν τὸν λόγον ἢ τὴν δόξαν δέχεσθαι τὰ ἐναντία· ἁπλῶς γὰρ οὐδὲν ὑπ' οὐδενὸς οὔτε ὁ λόγος κινεῖται οὔτε ἡ δόξα. ὥστε οὐκ ἂν εἴη δεκτικὰ τῶν ἐναντίων· ἡ μὲν γὰρ οὐσία 20 ἐν τῷ δέχεσθαι τὰ ἐναντία τὴν κατὰ τὸ ποιὸν κινεῖται κίνησιν, ταῦτα δὲ οὐδέτερον ὑφ' ἑτέρου κινεῖται· οὔτε γὰρ ὁ λόγος αἴτιος τοῦ μεταβάλλειν 15 τὸ πρᾶγμα καὶ εἰς τὰ ἐναντία κινηθῆναι οὔτε τὸ πρᾶγμα κινηθὲν παρα- 25 κεκίνηκέ τι τοῦ λόγου· ὁ αὐτὸς γὰρ ἔμεινε λόγος ἀκίνητος· οὐδὲ γὰρ πέπονθέ τι· τὰ γὰρ δεχόμενα τὰ ἐναντία πάσχει (πάθος γάρ ἐστιν ἡ εἰς τὰ ἐναντία μεταβολή), τὰ δὲ πάσχοντα κινεῖται· τὸ πάθος γὰρ κίνησίς ἐστιν. εἰ τοίνυν ὁ προφορικὸς λόγος οὐχ ὑπομένει, ἀλλ' ἅμα τῷ ῥηθῆναι καὶ 30 20 ἔφθαρται, δῆλον ὅτι οὐδὲ | κινεῖται (τὸ γὰρ μὴ ὂν πῶς κινηθήσεται;), εἰ 67ʳ μὴ κινεῖται, οὐδὲ πάσχει, εἰ μὴ πάσχει, οὐδὲ τὰ ἐναντία ἐπιδέχεται, ἀλλ' εἰ ἄρα, τὸν αὐτὸν τῷ εἴδει λόγον φήσομεν ἐπιδέχεσθαι τὰ ἐναντία καὶ οὐ τὸν αὐτὸν τῷ ἀριθμῷ. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς δόξης ἐροῦμεν. 5

p. 4ᵇ17 Ὥστε ἴδιον ἂν εἴη τῆς οὐσίας τὸ ταὐτὸν καὶ ἓν
25 ἀριθμῷ ὂν κατὰ τὴν ἑαυτῆς μεταβολὴν τῶν ἐναντίων εἶναι δεκτικόν.

Συμπεραίνει διὰ τούτων τὸν λόγον, δείξας ὅτι οὐχ εἷς καὶ ὁ αὐτὸς μένων ὁ λόγος τῶν ἐναντίων ἐστὶ δεκτικός, ὅτι μόνῃ τῇ οὐσίᾳ τοῦτο 10

1 κἀκεῖ F 2. 3 ἢ ἀληθὴς—γὰρ τρόπῳ om. F 3 τοῦτό ἐστιν coll. a 5 εἰ δέ τις a: εἰ δέ τις καὶ Arist. 5. 6 τὴν δ. καὶ τὸν λ. φάσκων τῶν ἐν. δεκτικά F 6 post εἶναι add. οὐκ ἔστιν ἀληθές τοῦτο a 8 ἀπολύεται C 10 ἀλήθεια C 12 post οὔτε add. πάλιν C post ἐναντ. add. μηδενὸς ἐν αὐτοῖς γενομένου πάθους a 16 ἔμενε C 20 μὴ ὂν γὰρ coll. C 21 εἰ μὴ πάσχει om. C 22 εἰ] ἢ F 24 τῆς οὐσίας ἂν εἴη φησὶ a: ἂν οὐσίας εἴη Arist. 25 αὐτῆς CF (cf. p. 83,1. 2) 25. 26 δεκτ. εἶναι τῶν ἐναντ. (τῶν ἐναντ. εἶναι δεκτ. a) κατὰ τὴν ἑαυτῆς μεταβ. a Arist. 26 δεκτικήν F

ὑπάρχει. καὶ καλῶς προσέθηκε κατὰ τὴν ἑαυτῆς μεταβολήν· ἐκεῖνα 67r
γὰρ οὐ κατὰ τὴν ἑαυτῶν μεταβολὴν ἐπιδέχονται τὰ ἐναντία, ὁ λόγος
φημὶ καὶ ἡ δόξα, ἀλλὰ τῷ τὸ πρᾶγμα μεταβάλλεσθαι, ἡ δέ γε οὐσία αὐτὴ
κατὰ τὸ ποιὸν μεταβάλλουσα δεκτικὴ τῶν ἐναντίων γεγένηται.

Περὶ ποσοῦ.

p.4ᵇ20 Τοῦ δὲ ποσοῦ τὸ μέν ἐστι διωρισμένον τὸ δὲ συνεχές.

Τίνος μὲν ἕνεκα ἡ οὐσία πασῶν τῶν κατηγοριῶν προτέτακται, ἤδη φθάσαντες ἀποδεδώκαμεν, δευτέραν δὲ ἔχει τάξιν ἐν ταῖς κατηγορίαις τὸ ποσὸν δι' αἰτίας πλείους, καὶ πρῶτον μέν, ὅτι ἐν τῷ περὶ τῆς οὐσίας λόγῳ ἐμνήσθη τοῦ ποσοῦ, ἔνθα ἔλεγεν οὐκ ἴδιον τῆς | οὐσίας εἶναι τὸ μηδὲν 67v
ἐναντίον εἶναι αὐτῇ, ἐπειδὴ καὶ τοῦ ποσοῦ (ἵνα οὖν μὴ ἐπὶ πολὺ ἐάσῃ ἡμᾶς ἀγνοοῦντας τὴν τοῦ ποσοῦ φύσιν, ἐπίτηδες εὐθὺς μετὰ τὴν οὐσίαν τὸν περὶ τούτου λόγον ποιεῖται), δεύτερον δέ, ὅτι καὶ ἐν τῇ φύσει τῶν πραγμάτων δευτέραν ἔχει τάξιν τὸ ποσόν· ἡ γὰρ πρώτη ὕλη, ὡς πολλάκις εἴρηται, ἀσώματος οὖσα καὶ ἀνείδεος καὶ ἀσχημάτιστος πρότερον ἐξογκωθεῖσα τὰς τρεῖς διαστάσεις δέχεται καὶ γίνεται τριχῇ διαστατόν, ὅ φησιν ὁ Ἀριστοτέλης δεύτερον ὑποκείμενον, εἶθ' οὕτως δέχεται τὰς ποιότητας καὶ ποιεῖ τὰ στοιχεῖα, ὥστε τρίτην τὸ ποιὸν ἐν τοῖς οὖσιν ἔχει τάξιν, τετάρτην δὲ τὰ πρός τι· τὰ γὰρ πρός τι σχέσις τίς ἐστιν ἑτέρων κατηγοριῶν, ὁ δὲ τόπος καὶ ὁ χρόνος καὶ τὰ λοιπὰ ἀπὸ τούτων σεσύληται. τρίτη δὲ αἰτία, ὅτι ἐπειδὴ διῃρεῖτο ἡ οὐσία εἰς τὴν πρώτην καὶ δευτέραν, τὸ δὲ πρῶτον καὶ δεύτερόν ἐστι τοῦ ἀριθμοῦ, ὁ δὲ ἀριθμὸς τοῦ ποσοῦ, εἰκότως μετὰ τὴν οὐσίαν τέτακται τὸ ποσόν. καὶ ἄλλως αὐτὸ τὸ ζητεῖν

---

1 αὐτὴν C: αὐτῆς F (sed cf. v. 2 ἑαυτῶν) 3 φησὶ a 4 post γεγένηται add. ἓν δὲ ἀριθμῷ εἶπεν, ὅτι δεῖ τὸν ἀριθμὸν ὡς ὕλην νοεῖσθαι καὶ περὶ ταύτην γίνεσθαι τὰς ἐναντιότητας, ἤγουν περιττῶν καὶ ἀρτίων a 5 tit. περὶ τοῦ ποσοῦ C 6 συν. τὸ δὲ διωρ. coll. C 7 μὲν οὖν C 9 πρώτη C: πρώτην F 10 ἔλεγεν] p. 3ᵇ27 ἴδιον δὲ C post οὐσίας add. δοκεῖ C 11 αὐτῇ εἶναι coll. C 13 ποιεῖται λ. coll. a δευτέραν F καὶ om. a 14 τάξιν ἔχει coll. C 15 εἴρηται] p. 65, 10 sq. 16 post ἐξογκ. add. ποιοῦται καὶ a τριχῇ om. F 17 ὁ om. F δεύτερον ὑποκ.] cf. Metaph. Δ 6 p. 1016ᵃ20. 23 S p. 1017ᵇ24 17. 18 post ποιότ. add. καὶ γίνεται σύνθετον a 18 ὥστε τρίτην τὸ ποιὸν—ἔχει] οἷον τὸ τριχῇ διαστατὸν δεξάμενον θερμότητα καὶ ξηρότητα γίνεται πῦρ, ψυχρότητα δὲ καὶ ὑγρότητα γίνεται ὕδωρ, καὶ τἆλλα ὁμοίως. εἰκότως οὖν δευτέραν τάξιν ἔχει ἐν τοῖς οὖσι τὸ ποσόν. τὸ δὲ ποιὸν ἐν τοῖς οὖσι τρίτην ἔχει a 19 ἑκατέρων Ca 19. 20 post κατηγοριῶν add. καὶ διότι τῶν ἄλλων ἀναιρεθέντων ἐπινοήσαις ἂν φυσικὸν σῶμα, διαστάσεως δὲ μὴ οὔσης οὐδὲ σῶμα ἐπινοήσαις a 20 alt. ὁ om. CF 21 διαιρεῖται a τὴν δευτ. a 22 alt. τοῦ om. F 23 ἄλλως τε δὲ καὶ C καὶ ἄλλως—Ἀριστ. (p. 84,4) eicias

ποτέραν δεῖ τῶν κατηγοριῶν προτέραν τετάχθαι ἢ δευτέραν τοῦ ποσοῦ 67ᵛ
ἐστι. πάλιν ὁ τοῦ σώματος ὅρος τῷ ἀριθμῷ προσκέχρηται (τῷ γὰρ τριχῇ
διαστατῷ), τὸ δὲ σῶμα οὐσία ἐστίν, ὁ δὲ ἀριθμὸς τοῦ ποσοῦ. ὥστε διὰ 25
πάντα εἰκότως δεύτερον τὸν περὶ τοῦ ποσοῦ λόγον ποιεῖται ὁ Ἀριστοτέλης.

5 Διαιρεῖ δὲ τὸ ποσὸν εἰς τὸ συνεχὲς καὶ τὸ διωρισμένον. συνεχὲς δέ
ἐστι ποσὸν τὸ ἔχον τὰ μόρια ἡνωμένα καὶ συμπεφυκότα πρὸς ἄλληλα, 30
διωρισμένον δὲ τὸ ἐναντίως | ἔχον, λέγω δὴ τὸ ἔχον τὰ μόρια διῃρημένα 68ʳ
ἀλλήλων. τοῦ δὲ συνεχοῦς πέντε φησὶν εἴδη, γραμμὴν ἐπιφάνειαν σῶμα
τόπον χρόνον, τοῦ δὲ διωρισμένου δύο, ἀριθμὸν καὶ λόγον. δεῖ δὲ διὰ
10 τοὺς ἀμυήτους γεωμετρίας εἰπεῖν περὶ τούτων βραχέα. ἰστέον τοίνυν ὅτι 5
σῶμα καλοῦσιν οἱ γεωμέτραι τὸ ἔχον τὰς τρεῖς διαστάσεις, μῆκος πλάτος
βάθος. τὸ δὲ σῶμα ἢ πεπερασμένον ἐστὶν ἢ ἄπειρον. ἀλλ' ὅτι μὲν οὐκ
ἄπειρον, δέδεικται ἐν τῇ Φυσικῇ ἀκροάσει τῷ φιλοσόφῳ. οὐκοῦν ἀνάγκη
πᾶν σῶμα πεπερασμένον εἶναι, εἴπερ ἐδείχθη μηδὲν ἄπειρον εἶναι δύνα- 10
15 σθαι. τὸ δὲ πεπερασμένον ὑπὸ περάτων περατοῦται· ἕτερον ἄρα ἐστὶ τὸ
πέρας παρὰ τὸ περατούμενον, ἐπεὶ ἀνάγκη ἢ ἀμφότερα πέρατα καλεῖν ἢ
ἀμφότερα περατούμενα· εἰ γὰρ τὸ μέν ἐστι πέρας τὸ δὲ περατούμενον, 15
ταὐτὸν δὲ τὸ πέρας τῷ περατουμένῳ καὶ οὐχ ἕτερον, ἀνάγκη τὸ εἰρημένον
ἀκολουθεῖν· ὡς γὰρ ὁ Σωκράτης καὶ ἡ τούτου εἰκὼν ἕτερα ὄντα οὐ ταὐτά
20 ἐστιν (εἰ γὰρ ταὐτὰ εἶεν, ἢ ἀμφότερα ἔσονται εἰκόνες Σωκράτους ἢ ἀμ-
φότερα Σωκράτης), οὕτως καὶ ἐπὶ τοῦ πέρατος ἔχει καὶ τοῦ περατουμένου· 20
ἐπειδὴ ἕτερα ταῦτα εἶναι ὡμολόγηται (ἕτερον γάρ ἐστι τὸ περατοῦν καὶ
ἕτερον τὸ περατούμενον), ἀνάγκη μὴ εἶναι ταὐτά. εἰ τοίνυν τὸ σῶμα
ἔχει τρεῖς διαστάσεις, τὸ τούτου ἄρα πέρας οὐχ ἕξει τρεῖς· ἢ οὖν δύο ἢ
25 μίαν. ἀλλὰ μίαν μὲν ἀδύνατον· οὐ γὰρ περατώσει καθόλου αὐτὸ τὸ
σῶμα. δεῖ δὲ τὸ πέρας ὅλον ἀποτερματίζειν ἔξωθεν τὸ περατούμενον· 25
δεῖ ἄρα τὸ τοῦ σώματος πέρας ἔξωθεν ὅλον αὐτὸ περιέχειν, τοῦ βάθους
οὐχ ἁπτόμενον. εἰ δὲ τοῦτο, μῆκος ἕξει μόνον καὶ πλάτος τὸ τοῦ σώμα-
τος πέρας· ὥστε μιᾷ ἐλλείψει τοῦ σώματος, ἵνα μὴ εἴη ταὐτὸν τῷ
30 σώματι· ὅπερ ἐστὶν ἡ ἐπιφάνεια περατοῦσα τὸ σῶμα καὶ περιγράφουσα 30
κατά τε | μῆκος καὶ πλάτος. ἐπειδὴ δὲ οὐδὲ αὕτη ἄπειρος, ἀνάγκη καὶ 68ᵛ
τὸ ταύτης πέρας κατὰ τὸν εἰρημένον ἐπὶ τοῦ σώματος λόγον μιᾷ διαστά-
σει αὐτῆς λείπεσθαι. ταύτης οὖν κατά τε μῆκος καὶ πλάτος θεωρουμένης

---

1 ποτέραν — δευτέραν C: πότερον F: πρότερον a 2. 3 τῷ γὰρ τρ. διαστατῷ] τὰ γὰρ τρ. διαστατά F: τῷ τρ. διαστατῷ a 4 πάντων C 5 διαιρεῖται F
6 ante ποσὸν add. τὸ a 8 συνεχοῦς ποσοῦ a 11 τὰς om. a 13 ἐν τῇ Φυσ. ἀκρ.] Γ 5 p. 204ᵇ3 sq. 14 ἐδείχθη μὲν F 14. 15 δυν. εἶναι coll. a
15 ὑπὸ πέρατος a ἄρα] δὲ C 16 παρὰ] περὶ F ἐπεὶ] εἰ γὰρ μὴ ἦν ἕτερον ἀλλὰ ταυτὸν τό τε πέρας καὶ τὸ περατούμενον C pr. ἢ] ἦν a
19 ἐπακολ. a 20 ἐστιν] εἰσιν a εἰκὼν a 21 alt. τοῦ om. F
22 ante ἐπειδὴ add. ἀνάγκη μὴ εἶναι ταυτά a ἐπεὶ δὲ F ταῦτα post ὡμολ. coll. a 22. 23 ἕτερον γὰρ — ταὐτά om. a 25 αὐτὸ καθ. coll. C 29. 30 ὥστε — σώματι eicias 29 μιᾶς F: μιᾷ διαστάσει a
33 τε om C

ἐκεῖνο μίαν τὴν κατὰ τὸ μῆκος μόνον ἕξει διάστασιν. τοῦτο δέ ἐστιν ἡ 68ᵛ
γραμμὴ μῆκος οὖσα ἁπλατές, ὡς καὶ ὁ ταύτης ἔχει ὁρισμός. ἐπειδὴ δέ 6
που καὶ ἡ γραμμὴ πεπερασμένη ἐστίν, ἀνάγκη τῷ αὐτῷ λόγῳ καὶ τὸ
ταύτης πέρας μιᾷ διαστάσει αὐτῆς λείπεσθαι. ταύτης οὖν κατὰ μῆκος μό-
5 νον θεωρουμένης τὸ πέρας ταύτης ἀδιάστατον ἔσται παντελῶς, ὅπερ ἐστὶ 10
τὸ σημεῖον. διόπερ καὶ ὁριζόμενος αὐτὸ ὁ γεωμέτρης φησὶ 'σημεῖόν ἐστιν
οὗ μέρος οὐδέν'.

Ὅτι δὲ οὐκ ἀνάπλασμα τῆς ἡμετέρας τυγχάνει διανοίας τὸ εἶναί τι
μῆκος ἁπλατές, ἀλλ' ἔστι τοῦτο καὶ ἐν τῇ φύσει τῶν πραγμάτων, δεικνύ-
10 ουσι σαφῶς καὶ οἱ διορισμοὶ τῶν πεφωτισμένων τόπων ἀπὸ τῶν ἐσκιασμέ- 15
νων· τοῦ γὰρ ἡλίου εἰς τοῖχον, εἰ τύχοι, προσβάλλοντος καὶ μέρος τούτου
φέρε φωτίζοντος, ἀνάγκη τὸ διορίζον μεταξὺ τοῦ πεφωτισμένου καὶ τοῦ
ἐσκιασμένου τόπου μῆκος εἶναι ἁπλατὲς μόνον· εἰ γὰρ ἔχει πλάτος, ἢ πε-
φωτισμένον ἐστὶ τοῦτο πάντως ἢ ἐσκιασμένον· οὐ γάρ ἐστι τούτων μεταξύ 20
15 τι. ἀλλ' εἰ μὲν εἴη πεφωτισμένον, τῷ πεφωτισμένῳ συνταγήσεται, εἰ δὲ
ἐσκιασμένον, τῷ ἐσκιασμένῳ. ἀλλὰ μὴν ἐναργῶς ὁρᾶται μεταξὺ γραμμή,
ἥτις κατὰ μῆκος ἐπιτεταμένη μόνον διορίζει τὸ ἐσκιασμένον ἀπὸ τοῦ πε- 25
φωτισμένου· εἰ γὰρ διώρισται ταῦτα ἀλλήλων, ἀνάγκη εἶναί τι παρ' αὐτά,
τὸ διορίζον αὐτά, ὅπερ οὔτε πεφωτισμένον ὑπάρχον οὔτ' ἐσκιασμένον οὐδὲ
20 πλάτος ἕξει· πλάτος γὰρ ἔχον ἢ πεφωτίσθαι ἢ ἐσκιάσθαι ἀνάγκη. οὐ-
δέτερον δέ ἐστι τούτων, διορισμὸς ὂν ἑκατέρου. ὥστε ἀνάγκη πᾶσα τὸν 30
διορισμὸν τοῦ | πεφωτισμένου τε καὶ ἐσκιασμένου τόπου μῆκος εἶναι μό- 69ʳ
νον ἁπλατές, ἥτις ἐστὶ γραμμή. καὶ ἡ κοινὴ δὲ συνήθεια φυσικῶς ἔννοιαν
ἴσχει τῆς γραμμῆς, ὁπηνίκα τὰς ὁδοὺς μετρῶμεν (μόνον γὰρ τὸ μῆκος
25 λαμβάνομεν ἄνευ πλάτους). πάλιν δὲ αὖ τῆς ἐπιφανείας ἔννοιαν, ὅταν τὰ 5
χωρία μετρῶμεν· τὸ μῆκος γὰρ αὐτῶν καὶ τὸ πλάτος μόνον προσλογιζό-
μεθα. ὅταν δὲ τὰ φρέατα μετρῶμεν καὶ τοὺς τοίχους καὶ τὰ ξύλα, τοῦ
σώματος λαμβάνομεν ἔννοιαν μετὰ τοῦ μήκους καὶ τοῦ πλάτους καὶ τὸ
βάθος παραλαμβάνοντες. πάλιν οὖν εἰ ἡ γραμμὴ οὐκ ἔστιν ἄπειρος ἀλλὰ 10
30 πεπέρασται, ἀνάγκη πᾶσα καὶ τὸ ταύτης πέρας μιᾷ διαστάσει αὐτῆς λεί-
πεσθαι· ἐπεὶ οὖν ἐφ' ἓν διαστατὸν ἡ γραμμή, τὸ ταύτης πέρας ἀδιάστα-
τόν ἐστιν, ὅπερ ἐστὶ τὸ σημεῖον. διὸ καὶ οὕτως αὐτὸ ὁρίζονται 'οὗ μέρος
οὐδέν'. καὶ οὕτω μὲν κατὰ ἀνάλυσιν ἐδείξαμεν ἐφεξῆς ταῦτα ἀλλήλοις 15

---

1 τὸ om. C μόνην F ἡ om. C 2. 3 ἐπειδὴ δέ που] ἐπεὶ δὲ a; scribas ἐπεὶ δὲ δήπου 4 αὐτῆς] ταύτης F τὸ μῆκος a 5 ἔσται] ἐστι Fa 6 διὸ Ca αὐτῷ F 8 τυγχ. τῆς ἡμ. coll. C τι] τὸ a 10 καὶ om. Ca 11 προβάλλ. F: προσβαλόντος a 11. 12 μέρος—φωτίζ.] μέρος μέν τι φωτίζοντος μέρος δέ τι σκιάζοντος C 12 φωτίσαντος Fa διοριζόμενον C: διωρίζον F post μεταξὺ add. τε καὶ C 13 μόνον ἁπλ. coll. a 14 παντ. τοῦτο coll. a συνεσκ. a 15 τι ante τούτ. (14) coll. a 17 ἐπιτεταγμένη a ἐσκοτισμ. a 18 αὐτά om. C: ταῦτα a 19 τὸ om. F ὑπάρχει a οὐδὲ] οὐ γάρ F 20 ἔχον ἢ] ἔχει ὃ a 22 τε om. a 23 ἥτις] ὅπερ a 24 ἔχει F μετροῦμεν a 25 αὖ τῆς] τῆς C: αὐτῆς a 29 δ' οὖν a 32 ὁρ. αὐτὸ coll. a 33. 86,1 ἐφεξῆς—κείμενα om. F

κείμενα. καὶ κατὰ σύνθεσιν δὲ τὸ αὐτὸ τοῦτο δείξομεν πάλιν· τὸ γὰρ 69r
σημεῖον ῥυϊσκόμενον ποιεῖ τὴν γραμμήν· ἀρχὴ γάρ ἐστι τῆς γραμμῆς,
ὥσπερ τὸ νῦν τοῦ χρόνου καὶ τὸ κίνημα τῆς κινήσεως. διὸ καλῶς φησιν
ὁ Ἀριστοτέλης ἀναλογεῖν ταῦτα ἀλλήλοις, τό τε σημεῖον καὶ τὸ νῦν καὶ τὸ 20
5 κίνημα· ὃν γάρ λόγον ἔχει τὸ σημεῖον πρὸς τὴν γραμμὴν ἀρχὴ ὂν γραμμῆς ἀδιάστατος, τὸν αὐτὸν λόγον ἔχει καὶ τὸ νῦν πρὸς τὸν χρόνον καὶ τὸ κίνημα πρὸς τὴν κίνησιν ἀρχαὶ ὄντα τῶν μετ' αὐτὰ ἀδιάστατοι. ἡ δὲ γραμμὴ εἰς πλάτος κινηθεῖσα ποιεῖ τὴν ἐπιφάνειαν, αὕτη δὲ εἰς βάθος 25
κινουμένη ποιεῖ τὸ σῶμα. καὶ ταῦτα μὲν περὶ τοῦ γνωρίζειν ἡμᾶς τί
10 ποτέ ἐστι γραμμὴ καὶ ἐπιφάνεια καὶ σῶμα.

Ὅτι δὲ ταῦτα συνεχῆ, δῆλον· συμπέφυκε γὰρ τὰ μόρια αὐτῶν καὶ ἕνωται πρὸς ἄλληλα. ὁ δὲ τόπος καὶ ὁ χρόνος οὐκ οἴκοθεν ἔχει τὸ συν- 30
εχές, διὸ καὶ ὁ Ἀριστοτέλης ἀπαριθμη|σάμενος τὰ πρότερα τρία, τὴν 69v
γραμμὴν τὴν ἐπιφάνειαν τὸ σῶμα, ὡς ἀπὸ ἑτέρας ἀρχῆς ἐπήγαγεν ἔτι
15 δὲ παρὰ ταῦτα χρόνος καὶ τόπος, ὡς ἐκείνων μὲν οἴκοθεν ἐχόντων τὴν συνέχειαν, τούτων δὲ οὐκ οἴκοθεν ἀλλ' ἐξ ἑτέρων αἰτιῶν· ὁ γὰρ χρό- 5
νος οὐδὲν ἕτερόν ἐστιν ἢ μέτρον κινήσεως· ἡμέραν γάρ φαμεν εἶναι τὴν ἀπὸ ἀνατολῶν ἐπὶ ἀνατολὰς πάλιν τοῦ ἡλίου ἀποκατάστασιν, καὶ μῆνα πάλιν ὅταν ἡ σελήνη εἰς τὸ αὐτὸ σημεῖον ἐπανέλθῃ ὅθεν καὶ ἤρξατο,
20 μᾶλλον δὲ ἀποστᾶσα τοῦ ἡλίου πάλιν εἰς ταὐτὸν αὐτῷ κατὰ μῆκος συν- 10
έλθῃ σημεῖον, καὶ ἐνιαυτὸν ὁμοίως τὴν ἐπὶ τοῦ ζωδιακοῦ κύκλου τοῦ ἡλίου περίοδον. ὥστε ὁ χρόνος μέτρον ἐστὶ κινήσεως. ἡ δὲ κίνησις ἐν μεγέθει γίνεται· δείκνυσι γὰρ ὁ Ἀριστοτέλης μηδεμίαν κίνησιν διὰ κενοῦ δύνασθαι γίνεσθαι· εἰ γάρ τις, φησί, βούλοιτο διὰ κενοῦ τὴν κίνησιν γί- 15
25 νεσθαι, οὐκ ἔχει λόγον δοῦναι, τί δή ποτε τὰ σφαιροειδῆ τῶν σωμάτων θᾶττον καταφέρονται τῶν πεταλοειδῶν. κἂν ἰσόγκα ᾖ. καὶ ἄλλας πρὸς τούτῳ λέγων ἀποδείξεις. ὥστε τριῶν ὄντων τούτων ἐφεξῆς. μεγέθους κινή- σεως χρόνου, ὡς ἂν ἔχῃ τὸ μέγεθος, οὕτως ἔχει καὶ ἡ κίνησις, καὶ ὡς 20
ἂν ἔχῃ ἡ κίνησις, οὕτως ἔχει καὶ ὁ χρόνος· ἐὰν μὲν γὰρ συνεχὲς ᾖ τὸ
30 μέγεθος, συνεχὴς ἔσται καὶ ἡ ἐπὶ τούτου γινομένη κίνησις, συνεχοῦς δὲ οὔσης τῆς κινήσεως συνεχὴς καὶ ὁ χρόνος. ὁμοίως καὶ εἰ διῃρημένον εἴη τὸ μέγεθος, διῃρημένη ἔσται καὶ ἡ κίνησις καὶ ὁ χρόνος· οἷον εἰ ἐπὶ ξύ- 25
λου ἡ κίνησις γίνεται, εἰ μὲν διῄρηται τὰ τούτου μέρη, διῃρημένως γενή- σεται καὶ ἡ κίνησις, εἰ δὲ ταῦτα συνεχῆ ἐστιν, συνεχὴς ἔσται καὶ ἡ

---

3 τῆς κινήσεως — κίνημα (7) a: om. CF 3. 4 φησιν ὁ Ἀρ.] Phys. Z 10 p.241a2 5 τὴν om. F 9 καὶ ταῦτα — σῶμα (10) in mrg. suppl. C: om. F 10 ἡ ἐπιφ. καὶ τὸ σ. C 11 αὐτοῖς a 14 ὡς ἀπὸ ἑτ.] ὅσα πέρατα a 15 τόπος καὶ χρ. coll. Fa 17 ἢ μέτρον] ἡμέτερον F post κινήσεως add. τῆς ἐν οὐρανίᾳ σφαίρᾳ γινομένης a 18 ἀπὸ] ἐπὶ F 20. 21 συνέλθοι F 23 ὁ Ἀριστ.] Phys. Δ 8 p. 214b30 sq. 24 διὰ κ. βουλ. coll. C 29 ante ὁ χρόνος iter. ἡ κίνησις, καὶ ὡς — ἔχει καὶ C 30 συνεχὲς (pr. l.) F 30 τούτῳ C 32 ἔσται] ἐστὶ a 32. 33 ἡ κιν. ἐπὶ ξ. coll. a 33. 34 γίνεται C 34. p. 87,1 εἰ δὲ — κίνησις om. F 34 ἐστιν om. a ἔσται] ἐστὶ a

κίνησις. εἰ οὖν συνεχὴς ἡ οὐρανία σφαῖρα, συνεχὴς καὶ ἡ ἐπὶ ταύτης 69v
γινομένη κίνησις. συνεχὴς δὲ καὶ ὁ χρόνος· οὐδὲν γὰρ ἄλλο χρόνος ἐστὶν 30
ἀλλ' ἢ μέτρον κινήσεως τῆς ἐν ταύτῃ | γινομένης. ὥστε ὁ χρόνος οὐκ 70r
οἴκοθεν ἔχει τὸ συνεχὲς ἀλλὰ διὰ τὴν κίνησιν, ἡ δὲ κίνησις διὰ τὸ σῶμα,
5 ἐφ' οὗ καὶ ἡ κίνησις. ὥστε καὶ ὁ χρόνος διὰ τὸ σῶμα τὸ συνεχὲς
ἔχει.

Ἀλλ' οὐδὲ ὁ τόπος οἴκοθεν ἔχει τὸ συνεχές· τόπος γάρ ἐστιν, ὡς
ἤδη εἴπομεν, τὸ πέρας τοῦ περιέχοντος καθ' ὃ περιέχει τὸ περιεχόμενον. 5
οἷον ὁ κέραμος τόπος ἐστὶ τοῦ οἴνου, οὐ καθ' ὅλον αὐτὸν ἀλλὰ κατὰ
10 μόνην τὴν κοίλην αὐτοῦ ἐπιφάνειαν· ὡς ἂν οὖν ἔχῃ τὸ περιεχόμενον,
οὕτως ἕξει καὶ ὁ τόπος· παντὸς οὖν σώματος συνεχοῦς ὄντος καὶ ἐξ
ἀνάγκης ὄντος ἐν τόπῳ, συνεχὴς ἔσται καὶ ὁ τόπος. ὥστε καὶ ὁ τόπος 10
διὰ τὸ ἐν αὐτῷ σῶμα ἔχει τὸ συνεχές· ᾗ μὲν γὰρ πέρας ἐστὶ τοῦ περι-
έχοντος, ἐπιφάνεια λέγεται οὐχὶ τόπος καὶ συνεχής ἐστιν, ᾗ δὲ περιέχει,
15 τόπος καὶ ἐξ αὐτοῦ τοῦ περιεχομένου καθ' ὃ τόπος ἐστὶ τὸ συνεχὲς ἔχει. 15
ὅτι δὲ πᾶς τόπος συνεχής ἐστι, καὶ ἐντεῦθεν δῆλον· εἰ γὰρ διέλοις τὸν
κέραμον καὶ μηδὲν ὑποθείης ἔξωθεν τοῦ οἴνου, μήτε ἀέρα μήτε ἄλλο τι
σῶμα, εὑρεθήσεται τὸ μέρος ἐκεῖνο τοῦ οἴνου τὸ κατὰ τὴν διαίρεσιν ἐπι-
φαινόμενον μὴ ὂν ἐν τόπῳ, ὅπερ ἄτοπον· πᾶν γὰρ σῶμα ἐν τόπῳ ἀνάγκη 20
20 εἶναι. ταῦτα μὲν οὖν τὰ πέντε τοῦ συνεχοῦς εἴδη.

Διὰ τί δὲ τὴν κίνησιν οὐ συναριθμεῖ τοῖς εἴδεσι τοῦ συνεχοῦς; φαμὲν
ὅτι ἡ κίνησις ἀόριστόν τι πρᾶγμά ἐστιν· ὁδὸς γάρ ἐστιν ἀπὸ τοῦ δυνάμει
ἐπὶ τὸ ἐνεργείᾳ. διὰ τοῦτο οὖν οὐκ ἐμνημόνευσεν αὐτῆς. καὶ ἔτι ὡς 25
πρὸς εἰσαγομένους ποιούμενος τὸν λόγον· πλείονος γὰρ διδασκαλίας ὁ περὶ
25 αὐτῆς δεῖται λόγος. ἢ μᾶλλον λεκτέον ὅτι οὐδὲ κυρίως ἐστὶ ποσὸν ἡ
κίνησις· ἔστι γὰρ ἐνέργειά τις τοῦ κινουμένου· πῶς γὰρ ἂν εἴποιμι ποσὸν
τὴν ἀλλοίωσιν ἢ τὴν αὔξησιν ἢ τὴν μείωσιν; ὡς οὖν οὐδὲ γένεσις ποσόν,
οὐδὲ τῶν κινήσεων οὐδεμία· οὐδὲ γὰρ αὐτὴ ἡ κατὰ τόπον κίνησις ποσὸν 70v
ἀλλ' ἐνέργειά τις, διὰ δὲ τὸ ὑποκείμενον περὶ ὃ γίνεται τὸ συνεχὲς ἔχει
30 καὶ οὐ καθ' αὑτήν. ὥστε, ὅπερ καὶ πρόσθεν ἔλεγον, καθόλου τὰς μετα-
βολὰς ὁδοὺς ἐπὶ τὰς κατηγορίας λεκτέον, οὐ κατηγορίας, ἢ ἄλλην ὑπ' ἄλλην 5
ἀνακτέον, ὡς ἐν ἐκείνοις εἴρηται. ὁ δὲ χρόνος ἀριθμὸς ὢν καὶ μέτρον

---

1 ἐπὶ] ὑπὸ Ca 3 ταύτῃ] αὐτῷ a 5 pr. καὶ om. a 8 εἴπομεν] p. 33,22 10 κοίλην] κοινὴν C ἂν om. a ἔχει Fa 11 post τόπος add. ὥστε καὶ ὁ τόπος F (cf. v. 12) 12 ἐν τόπῳ ante ἐξ (11) coll. a 13 αὐτὸ F post συνεχές add. τόπος μὲν γὰρ πέρας ἐστὶ τοῦ περιέχοντος C: τόπος γάρ ἐστιν, ὡς ἤδη εἴπομεν, πέρας τοῦ περιέχοντος a 13. 14 ᾗ μὲν — περιέχοντος om. C 14 ante ᾗ δὲ add. καὶ ἐντεῦθεν δῆλον F (cf. v. 16) 16 ἐνταῦθα C 17 ὑποθείης] ὑποθῇ CF: ὑπόθεις a μήτε (alt.)] τότε C 18 ἐκείνου a 23 ἐμνήσθη ταύτης a 25 αὐτὴν a 26 ἂν om. a 27 ἡ γέν. a 28 οὐδεμία τῶν κιν. (οὐδὲ om.) a 30 πρόσθεν ἔλεγον] p. 48,21 post ἔλεγον add. ὅτι a καθόλου ὂν F 31 ἢ] an καὶ? 32 ἐν ἐκείνοις] ἐκείνῳ F

κινήσεως κυρίως ἐστὶ ποσόν· ὁ γὰρ ἀριθμὸς καὶ τὸ μέτρον τοῦ ποσοῦ· 70v
ποσὸν οὖν ὁ χρόνος, εἰ καὶ τὸ συνεχὲς ⟨ἑτέρωθεν⟩ ἔχει.

Ζητεῖται δὲ πῶς τὸ σῶμα εἰς τὰ εἴδη τοῦ ποσοῦ συγκατηρίθμησε, καίτοι τὸ σῶμα οὐσία ἐστί. φημὶ οὖν ὅτι, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν 10
5 εἴπομεν, καὶ ποιὸν καὶ ποσὸν ἔστιν οὐσιῶδες, ὥσπερ ἐν πυρὶ μὲν τὸ θερμὸν ποιὸν οὐσιῶδες ἐν σώματι δὲ τὸ τριχῇ διαστατὸν ποσὸν οὐσιῶδες. ὥσπερ οὖν εἴ τις τὸ ἐν πυρὶ θερμὸν ὡς ποιότητα ἁπλῶς σκοποίη καὶ μὴ ὡς πῦρ, ὑπὸ τὴν ποιότητα τοῦτο ἀνάξει, οὕτω δὴ καὶ τὸ σῶμα, καθὸ 15 ἁπλῶς μῆκος καὶ πλάτος καὶ βάθος ἔχει, θεωροῦντες ὡς ποσοῦ τι θεωρή-
10 σομεν εἶδος καὶ οὐκ οὐσίαν.

Τοῦ δὲ διωρισμένου εἴδη, ὡς εἴρηται, ὁ λόγος καὶ ὁ ἀριθμός· ὁ γὰρ λόγος καὶ ποσόν ἐστι καὶ διωρισμένον ποσόν, ποσὸν μὲν ὅτι καταμετρεῖται, φησί, συλλαβῇ βραχείᾳ καὶ μακρᾷ, διωρισμένον δὲ ὅτι ἑκάστη τῶν συλλα- 20 βῶν ἰδίαν ἔχει περιγραφὴν καὶ δυνάμεθα τὴν μίαν συλλαβὴν εἰπόντες τὴν
15 ἑτέραν σιωπῆσαι. καὶ ὁ ἀριθμὸς δὲ τῶν διωρισμένων ἐστί· καὶ τούτου γὰρ ἑκάστη μονὰς ἰδίαν ἔχει περιγραφήν.

Οὕτω μὲν οὖν τῇ διαιρέσει χρησάμενος καὶ τῇ ὑποδιαιρέσει, πάλιν 25 ἐπιδιαιρεῖ τὸ ποσὸν κατ' ἄλλον τινὰ τρόπον λέγων ὅτι τοῦ ποσοῦ τὰ μὲν ἐκ θέσιν ἐχόντων πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων συνέ-
20 στηκε, τὰ δὲ οὐκ ἐξ ἐχόντων θέσιν. ἐκ θέσιν δὲ ἐχόντων πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων ἐκεῖνα λέγεται ἃ κεῖταί που καὶ δεικτά 30 ἐστι καὶ συνεστηκό|τα ὅλα ἅμα τὰ μόρα ἔχει, οἷον λίθος· καὶ γὰρ κεῖται 71r
(ἐν τοίχῳ γάρ, εἰ τύχοι) καὶ δεικτός ἐστιν (ὑποπίπτει γὰρ τῇ αἰσθήσει) καὶ πάντα ἅμα τὰ μόρια αὐτοῦ συνέστηκε. τὰ μὲν οὖν ἐκ θέσιν ἐχόντων
25 ἐστὶ τό τε σῶμα καὶ ἡ ἐπιφάνεια καὶ ἡ γραμμὴ καὶ ὁ τόπος. ταῦτα γὰρ 5
πάντα καὶ δεικτά ἐστι καὶ κεῖταί που καὶ συνεστηκότα πάντα ἔχει τὰ μόρια. ὁ μέντοι γε χρόνος καὶ ὁ λόγος οὔτε δεικτά ἐστιν (οὐδὲ γὰρ τῇ αἰσθήσει ὑποπίπτει) οὔτε δὲ ἅμα συνεστηκότα τὰ μόρια ἔχει· οὐδὲ γὰρ ὁ χρόνος ὅλος ἅμα ὑφίσταται, ἀλλ' ἢ κατὰ μόνον τὸ νῦν (ἐν γὰρ τῷ γίνεσθαι 10
30 καὶ φθείρεσθαι εὐθὺς τὸ εἶναι ἔχει), ἀλλ' οὔτε ὁ λόγος ὅλος ἅμα ὑφίσταται· ἡ γὰρ ῥηθεῖσα συλλαβὴ οὐχ ὑπομένει τὴν ῥηθησομένην, ἀλλὰ φθάνει

---

2 ἑτέρωθεν Paris. 2051: om. CFa ἔχει C: τὸ σῶμα a: om. F 4 καὶ om. Fa
4. 5 ἔμπρ. εἴπομεν] p. 65,8 sq. 5 μὲν om. Fa 5. 6 θερμὸν καὶ F 6 καὶ ἐν σώμ. δὲ F: καὶ ἐν σωμ. (δὲ om.) a 9 βάθος καὶ πλ. coll. C θεωροῦτες] θεωρεῖται C 9. 10 τι θεωρήσομεν] τὲ θεωροῦμεν F: τεθεωρήκαμεν a 10 οὐκ om. F
11 ὡς εἴρ. εἴδη coll. F εἴρηται] p. 84,9 13 φησι συλλ.] ταῖς συλλαβαῖς C
βραχ.—μακρᾷ in lac. om. C βραχείᾳ τε a 16 γὰρ om. CF 17 καὶ τῇ ὑποδιαιρέσει om. C 18 ὑποδιαιρεῖ a τὸ μὲν . . τὸ δὲ (20) Fa 20 ἐξ οὐκ coll. Ca 21 λέγονται Fa δεικτικὰ (ubique) a 22 εἰσι a ἅμα om. C: ante ὅλα coll. a 26 καὶ (post πάντα) om. Fa δεικτά Paris. 2051: δεικτικά CFa πάντα ἅμα a 27 γε om. a λόγος καὶ ὁ χρ. coll. C δεικτικά Ca 28 τὰ om. CF 29 τῷ] τὸ F 30 οὔτε] an οὐδὲ? 31 τὴν ῥηθ.—ὑπομένει (p. 89,1) om. F τὰ ῥηθησόμενα a

ἡ πρώτη φθαρεῖσα πρὶν τὴν ἑτέραν λεχθῆναι. ὃ οὖν οὐχ ὑπομένει, πῶς 71r
ἂν ἔχοι θέσιν τινά; ἀλλὰ μᾶλλον τάξιν τινὰ εἴποις ἂν ἔχειν ταῦτα φυσι- 15
κήν· πρότερον γὰρ τὸ νῦν τοῦ μέλλοντος, οὐκέτι δὲ τὸ μέλλον τοῦ νῦν
πρότερον. καὶ τοῦτό ἐστι τάξις φυσική, ὅταν μὴ ἀνακάμπτῃ, πρὸς ἡμᾶς
5 δὲ τάξις ἐστίν, ὅταν ἀδιαφόρως ἀνακάμπτῃ, οἷον ὅταν ἀπὸ τῶν δεξιῶν ἀρ-
ξάμενοι πρῶτον εἴπωμεν τὸν δεξιόν, πάλιν δὲ εἰ βουληθείημεν ἀπὸ τῶν 20
ἀριστερῶν ἄρξασθαι, τὸν ἀριστερὸν πρῶτον εἴπωμεν. καὶ ὁ λόγος δὲ ἔχει
τὴν φυσικὴν τάξιν· ὁ γὰρ λέγων 'Σωκράτης' λόγος ἔχει τὴν μὲν πρώτην
συλλαβὴν τὴν δὲ δευτέραν. καὶ ἐπὶ τοῦ ἀριθμοῦ δέ ἐστιν ἡ τάξις τῷ τὸ
10 ἓν πρότερον ἀπαριθμεῖσθαι τῶν δύο. ἐπειδὴ δὲ ὁ ἀριθμὸς διττός, ὁ μὲν 25
ἐν τῇ ψυχῇ ὁ ἀριθμῶν ὁ δὲ ἐν τοῖς ἀριθμητοῖς (ὥσπερ καὶ ὁ ξέστης
διττός, ὅ τε μετρῶν καὶ ὁ μετρούμενος), ὁ μὲν ἐν τῇ ψυχῇ ἀριθμὸς δῆ-
λον ὅτι οὐκ ἂν εἴη ἐκ θέσιν ἐχόντων μορίων (οὐ γὰρ ἔχει τινὰ θέσιν τὰ
μόρια αὐτοῦ· ἔστι γὰρ νοητός), ὁ δὲ ἐν τοῖς ἀριθμητοῖς, οἷον ἐν τοῖς 30
15 δέκα ἵπποις, ἐξ ἐχόντων θέσιν | ἐστί· τὰ γὰρ μόρια αὐτοῦ κεῖταί που 71v
καὶ θέσιν τινὰ ἔχει πρὸς ἄλληλα. διὰ τοῦτο οὕτως εἶπε θέσιν δὲ οὐ
πάνυ λάβοις ἄν, καὶ οὐκ εἶπεν 'οὐδαμῶς', εἰδὼς ὅτι ὁ μέν τις τῶν
ἀριθμῶν ἐξ ἐχόντων θέσιν ἐστίν, ὁ δὲ οὐκ ἐξ ἐχόντων θέσιν. ἀλλὰ γὰρ
ἄξιον καὶ ἐπ' αὐτῆς τῆς λέξεως ἐξετάσαι τὰ εἰρημένα. 5

20 p. 4ᵇ25 Τῶν μὲν γὰρ τοῦ ἀριθμοῦ μορίων οὐδείς ἐστι κοινὸς ὅρος, πρὸς ὃν συνάπτει τὰ μόρια αὐτοῦ.

Ὅτι μὲν ποσόν ἐστιν ὁ ἀριθμός, οὐδὲ κατασκευάσαι ἀξιοῖ· ὁ γὰρ μὴ 20
βουλόμενος τὸν ἀριθμὸν ποσὸν εἶναι, οὐδὲ ἄλλο τι ἀξιώσειεν. ὅτι δὲ διω-
ρισμένον ποσόν, τοῦτο κατασκευάζει· οὐ γὰρ ἔχει, φησί, κοινὸν ὅρον, πρὸς
25 ὃν συνάπτει τὰ μόρια αὐτοῦ· τὸν γὰρ δέκα ἀριθμὸν εἰ διέλοιμεν εἰς
δύο πεντάδας, ἑκατέραν εὑρήσομεν διωρισμένην καὶ οἰκείαν ἔχουσαν περι-
γραφήν· οὐδὲ γὰρ ἔστι τις μονὰς ἑκατέροις συνημμένη τοῖς μέρεσι καὶ 25
δι' ἑαυτῆς τὴν συνέχειαν αὐτοῖς χαριζομένη. καὶ ἐπὶ τοῦ ἑπτὰ ἀριθμοῦ
ὁμοίως· ἡ γὰρ τετάρτη μονὰς οὐδεμίαν τῶν τριάδων οὔτε πρὸς ἑαυτὴν
30 οὔτε πρὸς ἀλλήλας συνάπτει, ἀλλ' ἐν ἰδίᾳ καὶ αὐτὴ θεωρεῖται περιγραφῇ.
ὥστε διωρισμένον ποσὸν ὁ ἀριθμός. ἀλλὰ καὶ ὁ λόγος, φησί, | διωρισμέ- 72r
νον ποσὸν διὰ τὴν αὐτὴν αἰτίαν· οὔτε γὰρ τὰ τοῦ λόγου μόρια, λέγω δὴ

---

1 ἑτέρ.] δευτέραν a ῥηθῆναι a 2 ante ἔχοι add. οὖν F ἔχη C: ἔχει a
ἂν εἴποις coll. C 5. 6 ἀρχόμενοι a 6. 7 τὸ δεξ. . . τὸ ἀριστ. a 7 εἴπ.
πρ. coll. C ἔχει post τάξιν (8) coll. a 8 σωκράτης om. a post μὲν
add. ἐν τῇ ψυχῇ ὁ ἀριθμῶν del. F 9 τῷ] τὸ a 10 ἀριθμεῖσθαι Ca
ἐπεὶ C 12 τε om. C 15 ἵπποις] ἢ πέντε F 16 εἴπομεν F
18 ἐξ οὐκ coll. Ca 19 λέξ.] τάξεως F 20 post μορίων add. φησὶν F
21 συνάπτεται C 26 ἑκατ.] ἑκάστην Fa 26. 27 ἐπιγρ. C 32 λέγω δὴ]
οὐδὲ C

τὰς συλλαβάς. ἔστιν ἰδεῖν διά τινος κοινοῦ ὅρου συναπτόμενα, ἀλλ' ἕκαστον 72r
αὐτῶν περιγέγραπται. λέγω δέ, φησί, τὸν μετὰ φωνῆς λόγον
γινόμενον· ἐπειδὴ γὰρ ὁ λόγος ὁ μέν τίς ἐστι προφορικὸς ὁ δὲ ἐνδιά-
θετος ὁ ἐν τῇ ψυχῇ θεωρούμενος, διὰ τοῦτο ἐπισημαίνεται ὅτι περὶ τοῦ
προφορικοῦ λόγου φησίν· ὁ γὰρ ἐνδιάθετος οὐδὲ ποσὸν ὅλως ἐστίν, ἀλλ'
εἴπερ ἄρα, ποιότης ἐστὶ τῆς ψυχῆς, εἴπερ διάθεσίς ἐστι τῆς ψυχῆς ἡ
ἕξις, διάθεσις δὲ καὶ ἕξις ποιότητες, ὡς εἰσόμεθα.

p. 5a1 Ἡ δὲ γραμμὴ συνεχής ἐστιν· ἔστι γὰρ λαβεῖν κοινὸν ὅρον, πρὸς ὃν τὰ μόρια αὐτῆς συνάπτει, στιγμήν, καὶ τῆς ἐπιφανείας γραμμήν.

Εἰκότως ἡ γραμμὴ συνεχής· ἕκαστον γὰρ τῶν μορίων αὐτῆς συνάπτει πρὸς ἄλληλα κοινὸν ἔχοντα ὅρον τὸ σημεῖον· τὸ δὲ σημεῖον ἀμερὲς καὶ ἀδιάστατον· εἰκότως ἄρα καὶ τὰ μέρη αὐτῆς συνεχῶς τε καὶ ἀδιαστάτως ἡνωμένα ἐστί· κατὰ γὰρ σημεῖον ἡ γραμμὴ διαιρεῖται, καθ' ὃ καὶ συνάπτει τὰ μόρια αὐτῆς. δεῖ δὲ λαβεῖν τὸ σημεῖον ἤτοι τὴν διαίρεσιν δυνάμει καὶ μὴ ἐνεργείᾳ· ἐὰν γὰρ ἐνεργείᾳ λάβῃς, οὐκ ἔσται συνεχὴς ὅλη ἡ γραμμή. καὶ τῆς ἐπιφανείας δὲ τὰ μέρη κοινῷ ὅρῳ συνάπτεται τῇ γραμμῇ. ὥστε καὶ ἡ ἐπιφάνεια συνεχής· γραμμῇ γὰρ διαιρεῖται. εἰ δὲ ἡ γραμμὴ μῆκός ἐστιν ἀπλατές, κατὰ μῆκος διαιρουμένης τῆς ἐπιφανείας ἀδιαστάτως ἕξουσι τὰ μέρη κατὰ πλάτος, ἐπεὶ μηδὲ ἔχει ἡ γραμμὴ τὴν κατὰ πλάτος διάστασιν. δυνάμει δὲ κἀνταῦθα τὴν γραμμὴν ληπτέον, καὶ οὐκ ἐνεργείᾳ.

p. 5a3 Τὰ γὰρ τοῦ ἐπιπέδου μόρια πρός τινα κοινὸν ὅρον συνάπτει. |

Οἱ μὲν παλαιότεροι πᾶσαν ἁπλῶς ἐπιφάνειαν ἐπίπεδον καλοῦσιν ἓν 72v
ἀνθ' ἑνὸς λέγοντες (ἀδιάφορον γὰρ αὐτοῖς ἐπιφάνειαν ἢ ἐπίπεδον λέγειν),
οἱ δὲ νεώτεροι οὐ πᾶσαν ἐπιφάνειαν ἐπίπεδον καλοῦσιν, ἀλλὰ τὴν ἀποτε-
ταμένην μόνως· γένος γὰρ ἴσασι τὴν ἐπιφάνειαν καὶ ταύτην διαιροῦσιν εἴς
τε τὴν ἐπίπεδον καὶ κυλινδρικὴν καὶ σφαιρικὴν καὶ εἴ τις ἄλλη εἴη.

---

1 τινος] τοῦ C: om. F συναπτόμενα scripsi: συναπτομένας CFa ἕκαστον scripsi: ἑκάτερον CF: ἑκάστη a 2 λέγω] λόγον a post δὲ add. αὐτὸν Arist. λόγον om. a 3 γινόμ.] σημαινόμενον F τις om. a 4 τῇ om. a 5 φησιν] αὐτοῦ ὁ σκοπός C 6 ἄρα ἔστι τι, δηλονότι ποιότης a 7 post εἰσόμεθα add. ex Marc. 217 προτετίμηται δὲ ὁ ἀριθμὸς τοῦ λόγου, ἐπειδὴ δι' αὐτοῦ μετρεῖται ὁ λόγος a 8 ἐστιν om. F 8. 9 κοιν. ὅρον λ. coll. F 11 post συνεχής add. γραμμὴ γάρ ἐστι μῆκος ἀπλατές a 12 ἄλληλα] ἄλλο καὶ ἄλλο a 14 εἰσί Fa 15 τὴν διαίρ.] τὸν κοινὸν ὅρον a 16 ἐὰν] εἰ CF 18 γὰρ om. F 19 διαιρούμενον a 20 ἐπειδὴ F 21 τὸ πλάτος F δὲ] γὰρ F 25 μὲν γὰρ a 28 μόνον a

p. 5a4 Ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ σώματος ἔχοις ἂν λαβεῖν 72v
κοινὸν ὅρον, γραμμὴν ἢ ἐπιφάνειαν, πρὸς ὃν τὰ τοῦ σώματος
μόρια συνάπτει.

Συνάπτει γὰρ τὰ μέρη τοῦ σώματος πρὸς κοινὸν ὅρον, τὴν ἐπιφάνειαν, διὰ ταύτην δὲ καὶ πρὸς τὴν γραμμήν· τῆς γὰρ ἐπιφανείας κατὰ βάθος διαιρούσης τὰ σώματα, αὐτῆς δὲ παντελῶς ἀδιαστάτου οὔσης κατὰ βάθος, ἀδιαστάτως ἐξ ἀνάγκης καὶ τὰ μέρη τοῦ σώματος συνάπτουσι πρὸς ἄλληλα κατὰ τὴν ἐπιφάνειαν. κἀνταῦθα δὲ δυνάμει πάλιν τὴν διαίρεσιν ἤτοι τὴν ἐπιφάνειαν λαμβάνομεν. διὰ δὲ τὴν ἐπιφάνειαν καὶ πρὸς γραμμὴν συνάπτουσι τὰ τοῦ σώματος μέρη· ἐπειδὴ γάρ, ὡς εἴπομεν, ῥυεῖσα ἡ γραμμὴ ποιεῖ τὴν ἐπιφάνειαν, τὸν διαιροῦντα τὸ σῶμα κατὰ ἐπιφάνειαν δεῖ ἄρξασθαι ἀπὸ γραμμῆς καὶ ταύτην οἱονεὶ ἐπισύροντα ποιεῖν ἐπιφάνειαν καὶ δι' αὐτῆς τέμνειν τὸ ὑποκείμενον. ὥστε ἐπειδὴ καθ' ὅλην ἑαυτὴν ἡ ἐπιφάνεια τέμνει τὸ σῶμα, ἀνάγκη καὶ κατὰ τὸ πέρας αὐτῆς, λέγω δὴ τὴν γραμμήν, συνάπτειν τὰ τοῦ σώματος ἄκρα.

p. 5a6 Ἔστι δὲ καὶ ὁ χρόνος καὶ ὁ τόπος τῶν τοιούτων· ὁ γὰρ νῦν χρόνος συνάπτει πρὸς τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα. πάλιν ὁ τόπος τῶν συνεχῶν ἐστι· τόπον γάρ τινα τὰ τοῦ σώματος μόρια κατέχει, ἃ πρός τινα κοινὸν ὅρον | 73r
συνάπτει.

Εἰ γὰρ ἀπεδείχθη τὸ σῶμα συνειλημμένα καὶ συνεχῆ ἔχον τὰ μόρια, πᾶν δὲ σῶμα καθ' ὅλον αὐτὸ ἐν τόπῳ ἐστίν, ὁ τόπος ἄρα ὁ περιέχων τὸ σῶμα συνεχὴς ἔσται, ἐπεὶ μηδὲν τῶν τοῦ σώματος μορίων ἐκφεύγει τὸ ἐν τόπῳ εἶναι. οὐκοῦν διὰ τὴν συνέχειαν τοῦ σώματος καὶ ὁ τόπος ἔχει τὸ συνεχές.

p. 5a15 Ἔτι δὲ τὰ μὲν ἐκ θέσιν ἐχόντων πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων συνέστηκε, τὰ δὲ οὐκ ἐξ ἐχόντων θέσιν. |

Ἐπιβλέπειν χρὴ ὅτι τὸν μὲν χρόνον ἐν τῇ προτέρᾳ διαιρέσει συν- 73v
τάττει τοῖς συνεχέσι ποσοῖς, γραμμῇ ἐπιφανείᾳ σώματι τόπῳ, ἐνταῦθα δὲ

1 ἔχεις F λαβεῖν καὶ ἀποδοῦναι a 2 ἢ om. F ὃν] ἣν a: ἃ Arist. 4 τὸν κοινὸν Ca 5 τὴν om. Fa 5. 6 διαιρ. κατὰ β. coll. a 7 καὶ τὰ μ. ἐξ ἀν. coll. C 7. 8 πρὸς ἄλλ. συν. coll. C 7 συνάπτεται a 9 ἤτοι] ἔτι πρὸς a 10 συνάπτει a εἴπομεν] p. 86,8 11 τὴν διαιροῦσαν C τὴν ἐπιφ. (alt. l.) Ca 12 τὴν ἐπιφ. C 17 πρός τε τὸν C 18 καὶ πάλιν C 22 δὲ] γὰρ a ὅλου C αὐτὸ scripsi: αὐτὸ Ca: αὐτῷ F 23 ἐστιν a μερῶν F 26 ἔτι δὲ καὶ C: καὶ (ἔτι δὲ om.) F 27 ἐξ οὐκ coll. a

τοῖς μὴ ἐκ θέσιν ἐχόντων, ἐπεὶ κατὰ τὰ τρία ταῦτα χαρακτηρίζεται τὰ 73v
ἐκ θέσιν ἐχόντων, τὸ κεῖσθαί που καὶ τὸ δεικτὰ εἶναι καὶ τὸ συνεστηκότα
ἔχειν τὰ μόρια, τοῦτ' ἔστιν ἅμα ὅλα ὑφεστηκότα, ὧν οὐδὲ ἓν ὑπάρχει τῷ
χρόνῳ. τὸν δὲ ἀριθμὸν ἐν τῇ πρώτῃ διαιρέσει τοῖς διωρισμένοις συγκατ-
αριθμήσας, δοκεῖ πως ἐνταῦθα τοῖς ἐκ θέσιν ἐχόντων. εἰρήκαμεν δὲ ἀνω-
τέρω περὶ οὗ ἀριθμοῦ αὐτῷ ὁ λόγος.

p. 5a38 Κυρίως δὲ ποσὰ ταῦτα μόνα λέγεται τὰ εἰρημένα, τὰ δὲ ἄλλα πάντα κατὰ συμβεβηκός· εἰς ταῦτα γὰρ ἀποβλέποντες καὶ τὰ ἄλλα ποσὰ λέγομεν, οἷον πολὺ τὸ λευκὸν λέγεται τῷ γε τὴν ἐπιφάνειαν πολλὴν εἶναι. |

Ἔργον ἐπιστήμονος μὴ μόνον τὰ ὑποβεβλημένα τῇ ἐπιστήμῃ αὐτοῦ 74r
πράγματα σκοπεῖν, ἀλλὰ καὶ τὰ δοκοῦντα μὲν εἶναι, κατὰ ἀλήθειαν δὲ μὴ
ὄντα, ἐπεξέρχεσθαι καὶ διελέγχειν. τοῦτο καὶ ὁ Ἀριστοτέλης ποιεῖ· ἀπα-
ριθμησάμενος γὰρ τὰ ἑπτὰ τοῦ ποσοῦ εἴδη, πέντε τοῦ συνεχοῦς καὶ δύο
τοῦ διωρισμένου, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ ζητεῖ εἰ καί τι ἄλλο δύνα-
ται ἀνάγεσθαι ὑπὸ τὸ ποσόν. ἐπεὶ οὖν δοκεῖ τὸ λευκὸν καὶ πολὺ καὶ
ὀλίγον, τὸ δὲ πολὺ καὶ ὀλίγον τοῦ ποσοῦ ἐστιν, ἀλλὰ καὶ τὴν πρᾶξιν λέ-
γομεν καὶ μακρὰν καὶ βραχεῖαν, φησὶν ὅτι οὐ κυρίως ἐστὶ ταῦτα ποσὰ
ἀλλὰ κατὰ συμβεβηκός· τῷ γὰρ ἐν ποσοῖς εἶναι λέγονται ποσὰ καὶ αὐτά·
ἐπειδὴ γὰρ τὸ λευκὸν ἐν ἐπιφανείᾳ ἐστίν, ἐκείνης πολλῆς οὔσης ἢ ὀλίγης
ἐκ μεταλήψεως ταύτης λέγομεν τὸ λευκὸν πολὺ ἢ ὀλίγον εἶναι. καὶ ἡ
πρᾶξις ὁμοίως κατὰ συμβεβηκὸς ἔχει τὸ μακρὰ εἶναι ἢ βραχεῖα· ἐπειδὴ
γὰρ ὁ πόλεμος ὁ Ἰλιακός, εἰ τύχοι, ἔν τινι χρόνῳ γέγονεν, οἷον ἐν δέκα
ἔτεσι, λέγομεν δὲ τὸν χρόνον μακρόν, διὰ τοῦτο καὶ τὴν πρᾶξιν τὴν ἐν
μακρῷ χρόνῳ γενομένην κατὰ συμβεβηκὸς μακρὰν λέγομεν εἶναι. ὥστε
κυρίως μὲν ποσά ἐστι τὰ εἰρημένα, τὰ δὲ ἄλλα κατὰ συμβεβηκὸς δι'
ἐκεῖνα ποσὰ λέγεται. καὶ ἡ κίνησις πολλὴ λέγεται εἶναι τῷ τὸν χρόνον
πολὺν εἶναι ἐν ᾧ γέγονεν· ὁ γὰρ χρόνος μέτρον ἐστὶ κινήσεως· μῆνα

---

1 post ἐχόντων add. τὸ κεῖσθαί που F τὰ (ante τρία) om. Ca 2 post που add. ἄνω κάτω a καὶ om. F δεικτὰ Paris. 2051: δεικτικὰ CFa (cf. p. 88,21) post εἶναι add. δακτύλῳ a 3 ὅλα ἅμα coll. C οὐδὲ ἓν] οὐδὲν C 5 ἐχόντων om. F εἰρήκαμεν] p. 90,4 6 οὗ] ποίου a ὁ λόγος ἐστὶν αὐτῷ C: αὐτῷ ἐστιν ὁ λόγος a post λόγος add. διὰ μὲν τοῦ οὗ ἕκαστον κεῖται τὸ δεικτικὸν λέγει, διὰ δὲ τοῦ καὶ πρὸς ποῖα μόρια τῶν λοιπῶν συνάπτει τὰ ἐξ θετικὰ προσρήματα. διὰ τί δὲ μὴ διεῖλε τὸ ποσὸν εἰς τάξιν ἔχον καὶ μή, ἀλλ' εἰς θέσιν ἔχον καὶ μή; ὅτι ἡ μὲν τάξις ἐν ποσῷ θεωρεῖται. οὐ γὰρ μόνον ἐν τοῖς θετοῖς ἡ τάξις ἀλλὰ καὶ ἐν τοῖς ἀθέτοις. καὶ γὰρ ἐν ἀριθμῷ, ἐπειδὴ πρῶτον τὸ ἓν τῶν δύο. καὶ ἐν λόγῳ, ἐπειδὴ πρῶτον τὸ προοίμιον τῆς διηγήσεως. καὶ ἐν χρόνῳ· πρῶτον γὰρ τὸ παρῳχηκός, εἶτα τὸ ἐνεστώς (sic.), εἶτα τὸ μέλλον. a 7 λέγ. μόνα coll. a 8 ἀποβλέπ.] βλέπ. F 9 γε om. Arist. 11 τοῦ ἐπιστ. C 16 δοκεῖ om. F καὶ (alt.) om. C 18 καὶ (prius) om. Fa ἐστὶ om. a 20 ἐπεὶ C 21 καταλήψεως C 25 γιν. a 26 εἰσι a 27 ante ἡ κίν. add. lemma ἡ κίνησις πολλή. a (fort. recte) τῷ] διὰ τὸ C 28 ἐν ᾧ γέγ. πολὺν εἶναι coll. a μῆνα] χρόνον C

γὰρ λέγομεν τὴν τῆς σελήνης ἀποκατάστασιν, ἐνιαυτὸν δὲ τὴν τοῦ 74r
ἡλίου.

p. 5b5 Τῷ χρόνῳ ὁριεῖ ἐνιαυσιαίαν.

Ἐὰν γάρ τις ἐρωτηθῇ πόση τίς ἐστιν ἡ πρᾶξις, τὸν χρόνον ἀποκρί- 30
5 νεται, οἷον δεκαετής.

p. 5b7 Ὅση γὰρ ἂν ἡ ἐπι|φάνεια ᾖ, τοσοῦτον καὶ τὸ λευκὸν 74v
φήσειεν εἶναι.

Ἐὰν γὰρ ἐρωτηθῶμεν πόσον ἐστὶ τὸ λευκόν, λέγομεν ὅτι δίπηχυ τυχὸν ἢ τρίπηχυ, ὅση ἐστὶ καὶ ἡ ἐπιφάνεια ἡ ἔχουσα τὸ λευκόν. ὥστε
10 οὐκ αὐτὸ τὸ λευκὸν λέγομεν πολὺ εἶναι ἢ ὀλίγον, ἀλλὰ τὴν ἐπιφάνειαν· 5
δύναται γὰρ τὸ ἐν πηχυαίᾳ ἐπιφανείᾳ λευκὸν μᾶλλον λευκὸν εἶναι τοῦ ἐν διπήχει. τότε δὲ οὐ λέγομεν λευκὸν λευκοῦ πλεῖον, ἀλλὰ λευκὸν λευκοῦ μᾶλλον λευκόν.

p. 5b11 Ἔτι τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον.

15 Παραδοὺς ἡμῖν τὴν διαίρεσιν τοῦ ποσοῦ καὶ εἰπὼν ποῖά τέ ἐστι τὰ κυρίως ποσὰ καὶ ποῖα τὰ κατὰ συμβεβηκός, βούλεται νῦν, ὥσπερ ἐπὶ τῆς οὐσίας ἐποίησεν, ἴδιον ἀποδοῦναι τοῦ ποσοῦ· ὁρισμὸν γὰρ ἀποδοῦναι αὐ- 15
τοῦ οὐκ ἐνῆν διὰ τὴν ἐν τοῖς ἔμπροσθεν εἰρημένην ἡμῖν αἰτίαν, ὅτι τῶν γενικωτάτων γενῶν οὐκ ἔστιν ὁρισμὸν ἀποδοῦναι· τὸ γὰρ ὂν οὐχ ὡς γένος
20 κατηγορεῖται τῶν δέκα κατηγοριῶν, ὡς ἐν Εἰσαγωγαῖς ἀπεδείχθη· εἰ μὲν γὰρ περὶ τοῦδέ τινος τοῦ ποσοῦ ἦν αὐτῷ ὁ λόγος, οἷον τοῦ διπήχεος, 20
δυνατὸν ἦν δι' ὁρισμοῦ παραστῆσαι αὐτοῦ τὴν φύσιν, γένος λαμβάνοντα τὸ ἁπλῶς ποσόν. νῦν δὲ περὶ τοῦ ἁπλῶς ποσοῦ ἐστιν αὐτῷ ὁ λόγος, οὗ γένος γενικώτερον εὑρεῖν οὐκ ἦν, δι' οὗ τὸν ὁρισμὸν αὐτοῦ ἀποδώσειεν.
25 ὥσπερ δὲ ἐπὶ τῆς οὐσίας εἶπε πρότερον τὰ δοκοῦντα αὐτῆς ἴδια εἶναι, 25
καὶ ἐλέγξας ἔπειτα τὸ ὄντως ἴδιον αὐτῆς ἡμῖν παρέδωκεν, οὕτω καὶ ἐνταῦθα ποιεῖ καὶ ἐξελέγξας πρότερον ὅσα δοκεῖ ἴδια εἶναι τοῦ ποσοῦ ὕστερον τὸ ὄντως ἴδιον αὐτοῦ παραδίδωσι. καὶ πρότερον μέν φησιν ἴδιον

---

3 lemma om. C ὁριεῖ] περίοδον a 7 φήσεις Fa: φήσειεν ἂν Arist. 10 λέγ. ante ἀλλὰ coll. C εἶναι post ὀλ. coll. C: om. a 11 γὰρ] δὲ Fa post γὰρ add. καὶ a τὸ ἐν] τῇ C λευκοῦ (pr. l.) C 12 τοῦ] τὸ C τότε] τοῦτο C 18 ἐν τοῖς ἔμπροσθεν] p. 63,14 αἰτίαν ἡμῖν coll. C 20 ἐν Εἰσαγωγαῖς] Porph. Isag. p. 6, 5. 9 ἀπεδόθη a 22 παραστήσασθαι a 23 pr. ἁπλῶς] αὐτοῦ F αὐτῷ ἐστιν coll. Fa 24 γενικώτατον Ca 25 post εἶναι add. τοῦ ποσοῦ F 26. 28 ὄντος F αὐτῆς ἡμῖν] ἡμῖν αὐτῆς F: ἅπαν αὐτῆς a παραδέδωκεν Fa 27 καὶ om. a ἐλλέγξας F ἐξελ. post ποσοῦ coll. a

εἶναι δοκεῖν τοῦ ποσοῦ τὸ μηδὲν ἔχειν ἐναντίον· τῷ γὰρ ἀφωρισμένῳ 74ᵛ
ποσῷ τί ἂν εἴη ἐναντί|ον, οἷον τῷ διπήχει ἢ τῷ τριπήχει; 75ʳ

p. 5ᵇ14 Εἰ μὴ τὸ πολὺ τῷ ὀλίγῳ φαίη τις εἶναι ἐναντίον ἢ τὸ μέγα τῷ μικρῷ.

Ἐνταῦθα οἰκείως τὸν περὶ τούτων ἐξετάζει λόγον, εἰ τὸ μέγα καὶ μικρὸν ἐναντία ἐστὶν ἢ ὅλως ποσά· ἐν γὰρ τῷ περὶ τῆς οὐσίας λόγῳ μνημονεύσας αὐτῶν μόνον παρῆλθε, συγχωρήσας αὐτὰ ἐναντία εἶναι. δείκνυσι δὲ νῦν ὅτι ταῦτα οὐκ εἰσὶ ποσὰ ἀλλὰ τῶν πρός τι. καὶ δείκνυσι πάλιν διχῶς, διά τε τῆς ἐνστάσεως ὅτι οὐκ εἰσι ποσά, καὶ τῆς ἀντιπαρα- 20
στάσεως ὅτι εἰ καὶ ποσὰ συγχωρηθείη εἶναι, οὐκ ἔστιν ἐναντία. καὶ πρῶτον μὲν διὰ τῆς ἐνστάσεως λέγων οὕτως· τούτων δὲ οὐδέν ἐστι ποσὸν ἀλλὰ μᾶλλον τῶν πρός τι· οὐδὲν γὰρ αὐτὸ καθ' αὑτὸ μέγα λέγεται ἢ μικρόν, ἀλλὰ πρὸς ἕτερον ἀναφέρεται· τῶν γὰρ πρός τι ἴδιον τὸ ἑνὸς τεθέντος τὸ ἕτερον συνεισάγεσθαι καὶ ἀναιρεθέντος συν- 25
αναιρεῖσθαι· πατρὸς γὰρ τεθέντος συνεισάγεται πάντως καὶ ὁ υἱός, καὶ ἀναιρεθέντος συναναιρεῖται. οὕτω δὲ καὶ τὸ πολὺ οὐ λέγεταί τι αὐτὸ καθ' ἑαυτὸ πολὺ ἀλλὰ πρὸς τὸ ὀλίγον ἀναφερόμενον, καὶ τὸ ὀλίγον ὡσαύτως πρὸς τὸ πολύ. καὶ ἐπὶ τοῦ μικροῦ δὲ καὶ τοῦ μεγάλου ὁμοίως· | ἑκάτερον 75ᵛ
γὰρ πρὸς τὸ ἕτερον τὴν ἀναφορὰν ἔχει καὶ οὐδὲν τούτων αὐτὸ καθ' ἑαυτὸ ὡρισμένην τινὰ ἔχει φύσιν. καὶ δῆλον ἐντεῦθεν· ὅρος γάρ, φησί, μικρὸν λέγεται, κέγχρος δὲ μεγάλη, καίτοι εἰ ἕκαστον τούτων καθ' ἑαυτὸ ἐλέγετο καὶ μὴ πρὸς ἕτερον ἀναφερόμενον τῇ πρὸς ἐκεῖνο παραβολῇ, οὐκ 5
ἂν ὅρος μὲν μικρὸν ἐλέγομεν τὴν δὲ κέγχρον μεγάλην· καταγέλαστον γὰρ τοῦτο. νῦν δὲ τὸ μὲν ὅρος μικρὸν λέγομεν δηλονότι ἄλλου ὅρους μικρότερον, τὴν δὲ κέγχρον μεγάλην ἄλλης δηλονότι μείζονα. οὕτω καὶ ἐν Ἀθήναις μὲν ὀλίγους φαμὲν εἶναι ἀνθρώπους, ἢ αὐτὴν πρὸς ἑαυτὴν παρα- 10
βάλλοντες ἢ πρὸς ἑτέραν πόλιν, ἐν τῇ κώμῃ δὲ πολλούς, ὀλιγωτέρους ὄντας τῶν ἐν Ἀθήναις, πρὸς ἄλλην κώμην τὴν σύγκρισιν δηλονότι ποιούμενοι. ὥστε ἢ δεῖ λέγειν τὴν τοῦ ποσοῦ καὶ τοῦ πρός τι κατηγορίαν μίαν καὶ τὴν αὐτὴν εἶναι ἢ εἰ διωρισμέναι εἰσὶν αἱ κατηγορίαι, οὐχ ὑπὸ τὸ 15
ποσὸν ταῦτα ἀνακτέον, ἀλλὰ μᾶλλον ὑπὸ τὰ πρός τι.

---

2 post τριπ. add. ἢ τῇ ἐπιφανείᾳ ἢ τῶν τοιούτων τινί a 3 μὴ ἄρα a Arist.
5 οἰκείαν F τούτου a 6 εἰσὶν F ἐν τῷ περὶ τῆς οὐσίας λ.] p. 3ᵇ31
7 μόνων a 9. 10 διὰ τῆς ἀντιπ. a 13 τῶ πρὸς ἕτ. ἀναφέρεσθαι Arist.
15 πάντος F 16 καὶ om. a αὐτό τι coll. Ca (τι eicias) 17 τὸ (prius) om. F 21 ἕκ. τούτων εἰ coll. C 22 post ἐλέγετο add. μικρὸν CF
23 γὰρ] δὲ a 26 ἢ om. a πρὸς αὐτὴν F 28 δηλ. τὴν σύγκρ. coll. a
29 ἢ] ἂν C: εἰ F δεῖ λέγ.] εἶναι δεῖ λέγειν C: συνεχῆ λέγωμεν a ante τοῦ πρός add. τὴν a μίαν om. a 30 εἶναι om. C

p. 5b26 Ἔτι τὸ μὲν δίπηχυ καὶ τρίπηχυ καὶ ἕκαστον τῶν τοιούτων ποσὸν σημαίνει. τὸ δὲ μέγα ἢ μικρὸν οὐ σημαίνει ποσὸν ἀλλὰ μᾶλλον πρός τι. 75·

Τὸ γὰρ κυρίως, φησί, ποσὸν καὶ περὶ ὅσον ἐστὶ σημαίνει, οἷον ἥδε ἡ γραμμὴ καὶ ποσόν ἐστι τῇ αὐτῆς φύσει καὶ περὶ ὅσον ἐστὶ σημαίνει· τρίπηχυς γὰρ φέρε εἰπεῖν ἢ δίπηχύς ἐστιν. ὥστε καὶ τὸ περὶ ὅσον ποσὸν καταγίνεται σημαίνουσι τὰ κυρίως ποσά. τὸ δὲ μέγα καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον οὐκ ἔχει ὡρισμένον ποσόν· ἀόριστον γάρ ἐστιν ἕκαστον τούτων. ὥστε ταῦτα ποσὰ οὐκ ἔστι. τί οὖν, εἴποι τις ἂν ἴσως, οὐκ ἔστι ποσὸν ἀόριστον; ὅταν γὰρ εἴπω συνεχὲς ἢ ἀριθμὸν ἢ γραμμὴν ἢ τῶν τοιούτων τι, ποσὸν μέν τι λέγω, οὐ μὴν ἔτι καὶ τὸ περὶ ὅσον ἐστὶν ἀφορίζω, ὥσπερ ὅταν λέγω | τρία ἢ πέντε ἢ τρίπηχυ. λέγω οὖν ὡς 76r
'οὐδὲ ἐν τούτοις ἡ αὐτὴ ἀοριστία θεωρεῖται, ἥτις καὶ ἐν τῷ μικρῷ καὶ μεγάλῳ καὶ πολλῷ καὶ ὀλίγῳ;' ἀεὶ μὲν γὰρ τὰ γένη ἀοριστότερά ἐστι τῶν ἰδίων εἰδῶν· ζῷον γοῦν εἰπὼν οὐχ οὕτως ὁρίζω τὸ ὑποκείμενον ὡς ὅταν εἴπω ἄνθρωπον ἢ ἵππον. πλὴν ἐπεὶ μὴ φωνή ἐστιν ἁπλῶς ὁμώνυμος τὸ ζῷον, ἀλλ' οὐσία τίς ἐστι κοινῶς πλείοσιν ὑπάρχουσα, ἔστιν ἀφορίσαι τὸ ὑπὸ τῆς τοῦ ζῴου φωνῆς σημαινόμενον καὶ εἰπεῖν ὅτι ἐστὶν οὐσία ἔμψυχος αἰσθητικὴ καὶ ἔστιν ὡρισμένη τις φύσις ἡ ὑπὸ τοῦ ζῴου σημαινομένη. οὕτως οὖν καὶ ἐπὶ τῶν προκειμένων· τὸ γὰρ τοῦ συνεχοῦς ὄνομα, γενικώτερον ὄν, ἔστι μὲν ἀοριστότερον τοῦ ἀφωρισμένου ποσοῦ οἷον τοῦ τριπήχεος (τοῦτο γὰρ ἤδη ἄτομόν ἐστιν, ὥσπερ κἀκεῖ Σωκράτης ἄτομόν ἐστιν), ὁμοίως καὶ τὸ τοῦ ἀριθμοῦ γενικώτερον τοῦ τρία καὶ πέντε ἀτόμου ὄντος, ἀλλ' ὅμως κἀν τούτοις ἔστι τι ὡρισμένως δηλούμενον· συνεχὲς γάρ ἐστιν οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει, διωρισμένον δὲ τὸ μὴ οὕτως ἔχον, καὶ γραμμὴν μὲν λέγων τὸ ἐφ' ἓν λέγω διαστατὸν μέγεθος, ἐπιφάνειαν δὲ τὸ ἐπὶ δύο καὶ σῶμα τὸ τριχῇ διαστατόν. καὶ τούτων ἕκαστον ὥρισται ἀεὶ ὡσαύτως ἔχον καὶ οὐχὶ πρὸς διάφορον σχέσιν διάφορον ἀναδέχεται φύσιν, ὥσπερ τὸ μέγα καὶ μικρὸν καὶ τὸ πολὺ καὶ ὀλίγον· εἰ γὰρ μέγα τις λέγει φέρε τὸ ὑπερέχον ἑτέρου καὶ διὰ τοῦτο φέρε μέγα τις τὸ ὄρος λέγει τὸν Ὄλυμπον ὡς τοῦ Ὑμηττοῦ ὑπερέχοντα,

---

1 τὸ τρίπ. F 4 φασί Ca 5 καὶ (prius) om. C τῆς αὐτῆς φύσεως C
6. 7 τὰ περὶ ὅσον ποσὰ a 7 καὶ τὸ μικρὸν om. F 8 τὸ ὀλ. καὶ τὸ πολὺ coll. F διωρισμένον οὐδὲν ποσόν F ἐστιν om. a 11 μέν τι scripsi: μέντοι libri
12 οὖν] δὲ C 14 μὲν om. a ἀοριστότερα μᾶλλον Fa εἰσι C
15 οὖν F ὥσπερ a 17. 18 ἀφωρίσαι F 18. 19 οὐσία ἐστὶν coll. a
21 γενικ.] μερικώτερον C οἷον om. a 22. 23 ὥσπερ — ἐστιν post ὄντος (24) coll. C 24 ὡρισμένον ὡς δηλ. a 26 μὲν] δὲ Fa λέγων] λέγω C λέγω om. C 27 ἐπὶ τὸ coll. a 29 alt. τὸ om. a 30 μέγα γὰρ λέγ. τις coll. C λέγων F: λέγοι a φέρε om. C 31 τις om. C ὑμητοῦ Fa

ἀλλὰ τὸν αὐτὸν τοῦτον πρὸς τὴν γῆν παραβάλλων μικρὸν ἐρεῖ ὡς ἐλλεί- 76r
ποντα αὐτῆς. οὐκ ἄρα τὸ λεγόμενον εἶναι μέγα ἀφωρισμένον τί ἐστι 25
ποσόν, ὥσπερ τῶν εἰρημένων ποσῶν ἕκαστον οὐ μόνον ποσόν ἐστιν ἀλλὰ
καὶ περὶ ὅσον ἐστὶν ἀφορίζει, οἷον ἢ ὅτι ἐφ' ἓν διαστατὸν ὡς ἡ γραμμή,
5 ἢ ὅτι ἐπὶ δύο ὡς ἡ ἐπιφάνεια, ἢ ὅτι ἐν τῇ τῶν μερῶν ἑνώσει θεωρεῖται 30
ὡς τὸ συνε|χές, ἢ ἐν τῇ τούτων διαιρέσει καὶ διακρίσει ὡς τὸ διωρισμένον. 76v
ἄλλως τε τὸ μέγα καὶ τὸ μικρὸν ἐν τοῖς μερικοῖς ποσοῖς ἤδη καταγίνεται,
οἷον ἐν τῇδε τῇ γραμμῇ ἐν τῷδε τῷ σώματι ἐν τῇδε τῇ ἐπιφανείᾳ,
ὁμοίως καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον ἐν τῷδε τῷ ἀριθμῷ. ὥστε τούτων 5
10 ἕκαστον ἐν τοῖς ἀτόμοις ποσοῖς καταγίνεται· οὐδὲ γὰρ ἔστιν ἁπλῶς γένος
τι μεγάλου ἢ μικροῦ. εἰ οὖν δεῖ ἄτομα ἀτόμοις συγκρίνειν καὶ μὴ ἄτομα
γένεσι, τὸ δὲ μέγα καὶ τὸ μικρὸν ἐν ἀτόμοις ποσοῖς καταγίνεται, τὰ δὲ
ἄτομα ποσὰ οὐ μόνον ὅτι ποσὰ σημαίνει ἀλλὰ καὶ περὶ ὅσον ἕκαστον
αὐτῶν καταγίνεται, οἷον ὁ τρία ὁ πέντε, οὐκ ἄρα ποσὸν τὸ μέγα καὶ τὸ
15 μικρόν. ὅθεν καὶ ὁ Ἀριστοτέλης τοιούτοις ἐχρήσατο τοῖς ὑποδείγμασιν 10
εἰπὼν ὅτι τὸ μὲν δίπηχυ καὶ τρίπηχυ καὶ ἕκαστον τῶν τοιού-
τῶν, τοῦτ' ἔστι τῶν ἐν ὑπάρξει ἀτόμων ποσῶν· εἴπερ γὰρ ὅλως ποσόν
ἐστι τὸ μέγα καὶ τὸ μικρόν, πάντως γε ἄτομόν ἐστιν, ἐπεὶ μή ἐστιν, ὅπερ
εἶπον, ἁπλῶς τι μέγα, ἀλλ' ⟨ὃ⟩ λέγομεν εἶναι μέγα, ἐν ὑπάρξει ἐστὶ καὶ
20 ἄτομον μέγεθος. οὐκοῦν εἰ πᾶν μὲν ἄτομον ποσὸν καὶ περὶ ὅσον ἐστὶν 15
ἀφορίζει, τὸ δὲ μέγα καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον ἄτομα
ὄντα ἀόριστά τινά ἐστιν, οὐκ ἄρα ποσά ἐστι τὸ μέγα καὶ τὸ μικρόν. καὶ
οὕτω μὲν διὰ τῆς ἐνστάσεως οὐδὲ συγχωρεῖ αὐτὰ ποσὰ εἶναι, διὰ δὲ τῆς
ἀντιπαραστάσεως συγχωρήσας αὐτὰ εἶναι ποσὰ δείκνυσιν αὐτὰ μὴ ὄντα 20
25 ἐναντία. ἄρχεται δὲ τῆς ἀντιπαραστάσεως ἐντεῦθεν·

p. 5b30 Ἔτι ἐάν τε τιθῇ τις αὐτὰ ποσὰ εἶναι ἐάν τε μὴ τιθῇ,
οὐκ ἔστιν αὐτοῖς ἐναντίον οὐδέν· ὃ γὰρ μή ἐστιν αὐτὸ καθ' 25
αὑτὸ λαβεῖν ἀλλὰ πρὸς ἕτερον ἀναφέρεται, πῶς ἂν εἴη τούτῳ
τι ἐναντίον;

30 Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τὰ ἐναντία πρῶτόν ἐστι καθ' αὑτὰ ἀπολε-
λυμένην ἔχοντα τὴν ὑπόστασιν, εἶθ' οὕτως τὸν πρὸς ἄλληλα ἀναδέχεται
πόλεμον· οἷον τὸ λευκὸν καὶ τὸ μέλαν πρότερον ἄλλα τινὰ ὄντα | (ποιό- 77r

---

2 τὸ λεγόμενον iter. C τί om. C 4 ἐστὶν om. C ὅτι om. a
8 ἐν τῇδε τῇ γρ.—σώματι post πολὺ (9) coll. Fa alt. ἐν] καὶ Fa ἐν τῷδε τῷ σ. fort transponas post ἐπιφανείᾳ 10 οὐδὲ — καταγίνεται (12) om. a 14 ὁ πέντε] καὶ πέντε a παραδείγ. C 16 μὲν] μόνον a τὸ τρίπ. Ca ἕκαστον—ἔστι (17)] ὅσα τοιαῦτα C 17 ποσῶν] ποσὸν σημαίνει a 18 ἐπεὶ μή] εἰπεῖν εἰ Fa 19 εἶπον] v. 10 τι om. C ἀλλ' ὃ scripsi: ἀλλὰ libri εἶναι] ἐστι F ἔστι δὲ a 20 καὶ περὶ ὅσον Paris. 1928 Vind. 10: καὶ περὶ ὅ C: om. Fa 21 ἀφορίζον F τὸ (ante ὀλίγον) om. F 22 εἰσιν (pr. l.) a 23 παραχωρεῖ C 24 ποσὰ εἶναι coll. C 26 ταῦτα Arist. 28 εἴη] φαίη τις Arist.

τητες γάρ εἰσιν) οὕτω τὴν πρὸς ἄλληλα μάχην ἀνεδέξαντο· ταύτῃ γὰρ 77r
τὰ πρός τι τῶν ἐναντίων διαφέρει, ὅτι τὰ μὲν ἐναντία πρῶτον καθ' αὑτά
ἐστιν (ἑξὸν γὰρ τὸ λευκὸν εἰπόντα μὴ παραλαβεῖν τὸ μέλαν μηδ' εἶναι
ὅλως τοῦ λευκοῦ ὄντος καὶ ἔμπαλιν τὸ μέλαν εἶναι τοῦ λευκοῦ μὴ ὄντος), 5
5 ἔπειτα πρὸς ἄλληλα μάχεται, τὰ δὲ πρός τι ἀλλήλοις συντίκτεται καὶ συν-
απόλλυται· τὸν γὰρ πατέρα εἰπὼν καὶ τὸν υἱὸν συνεισήγαγον, καὶ τούτου
πάλιν ἀφαιρεθέντος συνοίχεται καὶ ὁ υἱός. ἐπεὶ οὖν τὸ μέγα καὶ τὸ
μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον αὐτὸ καθ' αὑτὸ οὐκ ἔστιν οὐδ' ἂν 10
ὑποσταίη τι τούτων αὐτὸ καθ' αὑτὸ χωρὶς τῆς πρὸς ἕτερον σχέσεως,
10 δῆλον ὡς οὐκ εἰσιν ἐναντία ἀλλὰ τῶν πρός τι· τὰ γὰρ ἐναντία ἐλέγομεν
αὐτὰ καθ' ἑαυτὰ πρότερον ἰδίαν ὑπόστασιν ἔχειν, εἶθ' οὕτως ἀλλήλοις
μάχεσθαι. 15

p. 5b33 Ἔτι εἰ ἔσται τὸ μέγα καὶ τὸ μικρὸν ἐναντία, συμβήσε-
ται τὸ αὐτὸ ἅμα τὰ ἐναντία ἐπιδέχεσθαι καὶ αὐτὰ αὑτοῖς
15 εἶναι ἐναντία. |

Ἐκ τούτων διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δείκνυσιν αὐτὰ μὴ ὄντα 77v
ἐναντία· φησὶ γὰρ 'εἰ τὸ μέγα καὶ τὸ μικρὸν ἐναντία, συμβήσεται ἐν τῷ
αὐτῷ κατὰ τὸν αὐτὸν χρόνον εἶναι τὰ ἐναντία'· τὸ γὰρ αὐτὸ ἔσται καὶ
μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον, οἷον ἡ κέγχρος πρὸς μὲν κύαμον 5
20 παραβαλλομένη λέγεται μικρά, πρὸς δὲ σίνηπι μεγάλη, καὶ τοὺς ἐν Ἀθή-
ναις πρὸς μὲν τοὺς ἐν τῇ κώμῃ πολλοὺς ἐρεῖς πρὸς δὲ τοὺς ἐν πάσῃ τῇ
Ἑλλάδι ὀλίγους. ὥστε τῶν ἐναντίων ἔσται ταῦτα δεκτικὰ κατὰ τὸν αὐτὸν
χρόνον, ὅπερ ἀδύνατον. ἡ δὲ οὐσία δεκτικὴ μὲν τῶν ἐναντίων ἐλέγετο 10
εἶναι, οὐ μέντοι κατὰ τὸν αὐτὸν χρόνον τὰ ἐναντία ἐπιδέχεσθαι· οὐδέ-
25 ποτε γὰρ ἔσται τὸ αὐτὸ κατὰ τὸν αὐτὸν χρόνον θερμὸν καὶ ψυχρόν, λευ-
κὸν καὶ μέλαν. οὐ μόνον δέ, φησί, τὰ ἐναντία ἐπιδέξεται, ἀλλὰ καὶ
αὐτὰ ἑαυτοῖς ἔσται ἐναντία· τὸ γὰρ αὐτὸ καὶ μικρὸν καὶ μέγα λέγεται 15
καὶ πολὺ καὶ ὀλίγον, ὅπερ ἄτοπον· οὐδὲν γὰρ τῶν ὄντων αὐτὸ ἑαυτῷ
μάχεται.

30 p. 6a8 Οὐκ ἔστιν ἄρα τὸ μέγα τῷ μικρῷ ἐναντίον, οὐδὲ τὸ
πολὺ τῷ ὀλίγῳ.

Πρότερον ὑπέθετο αὐτὰ ἐναντία καὶ ἔδειξεν ὅτι ποσὰ οὐκ εἰσιν, ἔπειτα
ὑπέθετο ποσὰ καὶ ἔδειξεν ὡς οὐκ εἰσιν ἐναντία· κατὰ γὰρ τὸ ἀληθὲς

---

3 εἰσιν a 4 ὄντος τοῦ λ. coll. a 6 συνήγαγον Ca 7 ἀναιρ. a
8. 9 ὑποστ. ἂν coll. C 10 ἐλέγομεν] p. 96,30 12 συμμάχεσθαι a 13 ἔτι δὲ Arist. ἔστι C 14 post αὐτὰ add. δὲ C 16 ἐπαγ. Ca μὴ εἶναι ὄντως a
17 τὸ μέγα τῷ μικρῷ ἐναντίον Ca 20 ante μεγάλη add. λέγεται a 21 pr. τῇ om. a
24 μέντοι γε a 25. 26 καὶ λευκὸν a 26 ἐπιδέχεται a 27 ἑαυτῶν F ἔσονται a 33 ποσὰ ὑπέθ. coll. C

οὔτε ποσά ἐστιν οὔτε ἐναντία, ἀλλὰ τῶν πρός τι. ὅτι μὲν οὖν οὐκ ἔστι 77v
ποσὰ διὰ τῆς ἐνστάσεως ἔδειξεν, ὅτι δὲ οὐδὲ ἐναντία διὰ τῆς ἀντιπαρα- 25
στάσεως. εἰσὶν οὖν, ὅπερ εἶπον, τῶν πρός τι ἐν ποσοῖς ἔχοντα τὸ
εἶναι. λέγεται δὲ τὸ μὲν μέγα καὶ μικρὸν κυρίως ἐπὶ τοῦ συνεχοῦς
5 (μέγα γὰρ σῶμα καὶ μικρὸν λέγομεν, ὁμοίως καὶ μακρὸν καὶ βραχύ, καὶ
ἐπιφάνειαν ὡσαύτως, καὶ τὰ λοιπὰ τοῦ συνεχοῦς εἴδη μεγάλα ἢ μι|κρὰ 78r
ἢ μακρὰ ἢ βραχέα κυρίως λέγομεν), τὸ δὲ πολὺ καὶ ὀλίγον ἐπὶ τοῦ διω-
ρισμένου καὶ θέσιν μὴ ἔχοντος· πολὺς γὰρ ὁ χρόνος καὶ ὀλίγος λέγεται,
ὁμοίως καὶ ὁ ἀριθμός. ὅθεν καὶ αὐτὸς ἐπὶ τῶν ὑποδειγμάτων γυμνάσας 5
10 τὸν λόγον τὸ μὲν μέγα καὶ τὸ μικρὸν ἐπὶ τοῦ ὄρους καὶ τῆς κέγχρου παρ-
έλαβεν, ἅπερ ἦν τοῦ συνεχοῦς (σῶμα γὰρ ἑκάτερον), τὸ δὲ πολὺ καὶ τὸ
ὀλίγον ἐπὶ τοῦ ἀριθμοῦ, λέγω δὴ τῶν ἐν Ἀθήναις ἀνθρώπων καὶ τῶν ἐν
τῇ κώμῃ, ἅπερ ἦν τοῦ διωρισμένου· ὁ γὰρ ἀριθμὸς διωρισμένον ποσόν. 10
πολλάκις δὲ καταχρηστικῶς τὸ μὲν μικρὸν καὶ τὸ μέγα ἐπὶ τοῦ διωρισμέ-
15 νου φέρομεν, τὸ δὲ πολὺ ἐπὶ τοῦ συνεχοῦς· λέγομεν γὰρ μικρὸν εἶναι τὸν
λόγον Δημοσθένους ἢ μέγαν τῷ περὶ ἕνα καὶ συνεχῆ σκοπὸν βλέπειν.
ὥστε τὸ μικρὸν καὶ τὸ μέγα καὶ ἐπὶ τούτου διὰ τὸ συνεχές τε καὶ ἡνω- 15
μένον τοῦ σκοποῦ φέρειν εἰώθαμεν· ἀμέλει οὐκ ἂν εἴποιμεν τοὺς ἐννέα
λόγους τῶν δημοσίων μακρὸν λόγον (οὐ γάρ ἐστιν εἷς καὶ συνεχὴς ὁ τού-
20 των σκοπός), οὐδ' ἔτι τοὺς ἕνδεκα κατὰ Φιλίππου, ἀλλὰ πολλοὺς αὐτοὺς
λέγομεν. καὶ τὸ ὕδωρ δὲ πολὺ λέγομεν συνεχὲς ὂν ἴσως διὰ τὸ εὐδιαίρε- 20
τον. λέγομεν δὲ καὶ τὴν ὁδὸν πολλάκις πολλὴν συνεχῆ οὖσαν διὰ τὸ
εἰς πολλὰ διῃρῆσθαι στάδια καὶ τοῖς ποσὶν ἐν τῇ βαδίσει τρόπον τινὰ
διῃρῆσθαι.

25 Ἀπορῆσαι δὲ κἀνταῦθα εἰκότως ἄξιον, πῶς μικρῷ μὲν πρόσθεν τὸ
πολὺ καὶ ὀλίγον ποσὰ εἶναι ἔλεγεν, ἐν οἷς ἔλεγεν ὅτι κυρίως μὲν ποσὰ 25
ταῦτα μόνα λέγεται, ἅπερ ἔφθη προδιδάξας, τά τε πέντε τοῦ συνεχοῦς
εἴδη, γραμμὴν ἐπιφάνειαν σῶμα χρόνον καὶ τόπον, καὶ τὰ δύο τοῦ διωρι-
σμένου, λόγον τε καὶ ἀριθμόν, τὰ δὲ ἄλλα, φησί, πάντα κατὰ συμβεβη-
30 κός· εἰς ταῦτα γὰρ βλέποντες, φησί, καὶ τὰ ἄλλα ποσὰ λέγομεν, 30
οἷον πο|λὺ τὸ λευκὸν λέγεται τῷ γε τὴν ἐπιφάνειαν πολλὴν 78v
εἶναι· πῶς οὖν ταῦτα πρότερον εἰπών, δι' ὧν σαφῶς τὸ πολὺ

---

1 εἰσιν (pr. l.) a εἰσὶ (alt. l.) C 2 ποσὰ om. C 3 ὥσπερ εἴπομεν a (cf. p. 94,12)
4 μὲν om. a τὸ μικρ. a 8 post ἔχοντος add. ἤγουν τοῦ ἀριθμοῦ καὶ τοῦ χρόνου a 9. 10 ἐπὶ—λόγον om. F 10 μὲν om. F 11 ἦσαν C
13 ἐστὶ ποσόν a 14 καὶ καταχρ. a 14. 15 μικρὸν] μακρὸν F¹ 14 καὶ τὸ μέγα om. F 15 φέρομεν] λέγομεν F post πολὺ addas καὶ τὸ ὀλίγον
16 τοῦ δημοσθ. a ἢ μέγαν Paris. 2051: καὶ μέγα C: ἢ μέγα a: om. F περὶ] an πρὸς? 17 τὸ μικρὸν καὶ om. Fa τοῦ λόγου τούτου a
19 μικρὸν F¹ 20 δώδεκα C φιλιππον F 22 πολλάκις post δὲ coll. a
23 πολλοὺς . . σταδίους C διαιρεῖσθαι Ca 23. 24 καὶ τοῖς—διῃρῆσθαι om. F (fort. recte) 23 καὶ] ἢ a τρόπον Paris. 2051: τόπον Ca 25 ἀπορίας Fa
26 τὸ ὀλίγον a ἐν οἷς ἔλεγεν om. F (cf. p. 5a38) 27 ἔφθην a 30 γὰρ om. C 31 γε om. C Arist. (cf. p. 92,9) τὴν αὐτοῦ ἐπιφ. C

καὶ τὸ ὀλίγον ποσὰ εἶπεν, ἐν τούτοις φησὶ μὴ εἶναι τὸ πολὺ καὶ τὸ ὀλίγον 78v
τοῦ ποσοῦ ἀλλὰ τῶν πρός τι; καὶ εἰ ἐνταῦθα ἀληθῶς δέδεικται τὸ μὴ εἶναι 5
αὐτὰ τοῦ ποσοῦ, κακῶς ἀνωτέρω ποσὰ εἶναι αὐτὰ εἴρηκε. τί οὖν πρὸς
τοῦτό φαμεν; ὃ πολλάκις ἡμῖν εἴρηται, ὅτι τὰ πρός τι οὐκ ἔχει φύσιν
5 ἀφωρισμένην, ἀλλ' ἐν ταῖς ἄλλαις κατηγορίαις συνίσταται. καὶ ἔστι τὸ
πολὺ καὶ ὀλίγον καὶ μέγα καὶ μικρὸν καὶ διπλάσιον καὶ ἥμισυ καὶ τὰ 10
παραπλήσια πρός τι ἐν ποσῷ συνιστάμενα, οὐκ ἐν ποιῷ, ὥσπερ καὶ τὸ
λευκότερον καὶ γλυκύτερον καὶ βαρύτερον πρός τί ἐστιν ἐν ποιῷ τὴν ὕπαρ-
ξιν ἔχοντα. ὅταν οὖν λέγωμεν πολὺ τὸ λευκόν, ἐπεὶ τὸ πολὺ καὶ ὀλίγον
10 πρός τι ὄντα περὶ τὸ ποσὸν καὶ οὐ περὶ τὸ ποιὸν καταγίνεται, οὐ κυρίως 15
δηλονότι λέγομεν οὐδὲ καθ' αὑτά, ἀλλὰ διότι ἡ ἐπιφάνεια πολλή, ἥτις ἦν
τοῦ ποσοῦ. οὐ τοῦτο οὖν ἔλεγεν ἀνωτέρω ὅτι τὸ πολὺ αὐτὸ καθ' αὑτὸ
ποσόν ἐστιν, ἀλλ' ὅτι ἐν ποσῷ πρός τι. καὶ οὐ δεῖ γε τοῦτο ἐπὶ τοῦ
ποσοῦ φέρειν, εἰ μὴ κατὰ συμβεβηκός, τῷ ἐν ποσῷ εἶναι ἐπιδεχομένῳ τὸ 20
15 πολὺ καὶ ὀλίγον.

p. 6a12 Μάλιστα δὲ ἡ ἐναντιότης τοῦ ποσοῦ περὶ τὸν τόπον δοκεῖ ὑπάρχειν· τὸ γὰρ ἄνω τῷ κάτω ἐναντίον τιθέασιν.

Ἐπειδήπερ ἀπέδειξε τὸ μέγα καὶ τὸ μικρὸν μήτε ποσὰ ὄντα μήτε 30
ἐναντία, φησὶν ὅτι εἰ ὅλως βούλεταί τις | ἐπὶ τοῦ ποσοῦ ἐναντιότητα θεω- 79r
20 ρῆσαι, λαμβανέτω τὸ ἄνω καὶ τὸ κάτω· ταῦτα γὰρ καὶ πλεῖστον διεστή-
κασιν ἀλλήλων καὶ διὰ τοῦτο καὶ τὸν ὁρισμὸν τῶν ἐναντίων ἐπιδέχεται·
οὕτως γὰρ ὁρίζονται τὰ ἐναντία 'τὰ πλεῖστον ἐν τῷ αὐτῷ γένει ἀλλήλων 5
διεστῶτα'. τούτῳ δὲ αὐτὸς οὐκ ἀρέσκεται· κατὰ ἀλήθειαν γὰρ οὐκ ἔστιν
ἐν τῇ φύσει τῶν ὄντων τὸ ἄνω καὶ τὸ κάτω, ἀλλὰ τὸ πέριξ καὶ τὸ μέσον,
25 ἃ οὐκ ἔστιν ἐναντία ἀλλὰ τῶν πρός τι· τὸ γὰρ πέριξ μέσου ἐστὶ πέριξ.
τὸ δὲ ἄνω καὶ τὸ κάτω τὴν κατὰ διάμετρον διάστασιν ἀφεστάναι ὀφείλου- 10
σιν ἀλλήλων· ἡ δὲ γῆ κέντρου λόγον ἐπέχει πρὸς τὸ πᾶν, ἐν ᾗ τὰ βαρέα
πάντα φέρεται· πῶς οὖν τὸν τῆς γῆς τόπον, τοῦτ' ἔστι τὸ τοῦ παντὸς
κέντρον, ἐναντίον ἐροῦμεν τῷ τοῦ πυρὸς τόπῳ, τοῦτ' ἔστι τῇ κοίλῃ τῆς
30 σελήνης περιφερείᾳ; οὐ γὰρ τὴν τοῦ παντὸς διάμετρον ταῦτα διεστήκα- 15
σιν ἀλλήλων. ὥστε οὐ πλεῖστον διεστήκασι· πλεῖστον γὰρ διεστήκασι

---

1 primum τὸ om. F τοῦ ποσοῦ a ἐν τ.] ἐνταῦθα δέ φησι Ca μὴ] οὐκ a
1. 2 τοῦ ποσοῦ καὶ τὸ ὀλ. καὶ τὸ πολύ C 2 τὸ om. C 3 κακῶς . . εἴρ.] an πῶς . εἴρηκε;? 4 φασιν a εἴρηται] p. 47,12 ἔχει ἀληθῶς a 5 συνίστανται C ἔστι] ἔτι F 6 τὸ ὀλ. a 7 τῶν πρός a 9 λέγομεν F 10 περὶ τὸ (alt.) om. C καταγίνονται C 11 ἥτις] τις Fa 13 ἀλλ' ὅτι καὶ a ἐν—τι] πρός τι ὂν ἐν ποσῷ ἐστιν C 14 τῷ] τὸ Ca ἐπιδεχομένου C: ἐπιδεχόμενον a τὸ om. F
15 τὸ ὀλ. a 16 τὸν om. C 17 τὸ γὰρ—τιθέασιν in lac. om. C lemma continuant ad εἶναι (6a15) CFa (cf. p. 100,16) 18 εἶναι a 20 alt. καὶ om. C
21 τῶν ἐν. τὸν ὁρ. coll. CF 22. 23 διεστ. ἀλλ. coll. C 23 διεστηκότα a τοῦτο C
25 ἃ] οἷον C 29. 30 τῇ κοίλῃ περιφερείᾳ τῆς σεληνιακῆς σφαίρας a 31 ὥστε διεστ.] ὡς γὰρ εἶπον C 31 πλεῖστον γὰρ διεστ. om. F γὰρ om. C

τὰ πᾶσαν τὴν διάμετρον διεστηκότα. οὐκοῦν οὐδὲ ἐναντία ταῦτά ἐστιν. οὐδ' 79r
ἄνω τε καὶ κάτω, ἀλλ', ὡς εἶπον, τῶν πρός τι (τὸ γὰρ πέριξ μέσου ἐστὶ
πέριξ), εἰ μή τις κάτω ὑπόθοιτο πᾶσαν ἅμα τὴν γῆν, διότι τοῖς καθ' 20
ὁτιοῦν αὐτῆς μέρος οἰκοῦσιν ὑπὸ ποσὶ καὶ κάτω ἐστὶν ἡ γῆ, ὁ δὲ οὐρανὸς
5 ἄνω. εἰ δὲ κατὰ τὴν ἐπιφάνειαν αὐτῆς βούλεταί τις τὸ κάτω λέγειν, ἄνω
δὲ τὴν σφαῖραν, εὑρεθήσεται τὸ αὐτὸ καὶ ἄνω καὶ κάτω ὄν· ἡ γὰρ ἄνω
τῆς γῆς ἐπιφάνεια ὡς μὲν πρὸς τὸν οὐρανὸν κάτω ἐστίν, ὡς δὲ πρὸς τὴν 25
ὑποκάτωθεν ἑαυτῆς ἐπιφάνειαν ἄνω. ἀλλὰ καὶ τῶν ἡμισφαιρίων ἑκάτε-
ρον ἄνω τε καὶ κάτω ἔσται, κατὰ τὴν διάφορον κίνησιν ἀμείβοντα καὶ τὴν
10 σχέσιν. ἀλλ' οὐδέν ἐστιν ἅμα ἐν ἑαυτῷ κατὰ τὸ αὐτὸ τὰ ἐναντία ἔχον.
ὥστε οὐ δυνατὸν ἐν τῇ φύσει τῶν ὄντων εἶναι κυρίως τὸ ἄνω καὶ κάτω, 30
εἰ μή τί γε κατὰ τὸν εἰρημένον τρόπον πᾶσαν | ἅμα τὴν γῆν κάτω λέγειν 79v
τις βούλοιτο. θέσει δέ ἐστι τὸ ἄνω καὶ τὸ κάτω, ὡς ἡ ὑπὲρ κεφαλὴν
ἡμῶν ὀροφή· ὡς γὰρ πρὸς ἡμᾶς ἄνω ἐστίν, ὡς δὲ πρὸς τοὺς ὑπὲρ αὐ-
15 τὴν κάτω.

p. 6a13 Τὴν πρὸς τὸ μέσον χώραν κάτω τιθέντες διὰ τὸ πλεί-
στην τῷ μέσῳ διάστασιν πρὸς τὰ πέρατα τοῦ κόσμου εἶναι. 5

Οἱ βουλόμενοι, φησί, τὸ ἄνω καὶ τὸ κάτω ἐν τῇ φύσει τῶν ὄντων
εἶναι διὰ τὸ τὴν γῆν ὡς πρὸς ἕκαστον πέρας τοῦ κόσμου τὴν κατὰ διάμετρον
20 διάστασιν ἀφεστηκέναι, διὰ τοῦτο τὴν γῆν κάτω βούλονται.

p. 6a15 Ἐοίκασι δὲ καὶ τὸν τῶν ἄλλων ἐναντίων ὁρισμὸν ἀπὸ 10
τούτων ἐπιφέρειν· τὰ γὰρ πλεῖστον ἀλλήλων διεστηκότα τῶν
ἐν τῷ αὐτῷ γένει ἐναντία ὁρίζονται.

Ἐπειδὴ κάτω, φησί, τὴν γῆν ὑπενόησαν εἶναι, αὕτη δὲ ὡς πρὸς
25 ἕκαστον τοῦ κόσμου πέρας τὴν πλείστην διάστασιν διέστηκε, λέγω δὴ τὴν
κατὰ διάμετρον, ἐναντίον δὲ τῷ ἄνω τὸ κάτω, ὑφ' ἓν δὲ γένος ἀνάγονται 15
ταῦτα τὸ ποσόν, ἐκ τούτων καὶ πᾶσι τοῖς ἐναντίοις τὸν ὁρισμὸν ἐπιφέρου-
σιν ἐναντία λέγοντες εἶναι τὰ πλεῖστον ἀλλήλων διεστηκότα τῶν ὑπὸ τὸ
αὐτὸ γένος.

1 κατὰ πᾶσαν C ἑστηκότα F pr. οὐδὲ] οὐκ C ταῦτά ἐστιν om. F
1. 2 οὐδ' ἄνω — κάτω ante εἰ (3) ponas 2 εἶπον] p. 99, 25 3 ὑπόθητο F
4 ὁτιοῦν F μέρος αὐτῆς coll. Ca post κάτω add. εἶναι del. F 7 τὸν
om. F 8 αὐτῆς C 10 οὐδέ ἐστιν a ἐν om. C 11 οὐ δυν.]
οὐκ ἐνὸν C 12 τί] τοί Fa κάτω om. F 13 ante θέσει add. lemma
ἐοίκασι — ὁρίζονται C θέσις C 16 lemma om. C τιθ.] λέγοντες
Arist. 19 ἕκαστον] ἓν C: τὸ F (cf. v. 25) κατὰ om. F 20 βού-
λεται C 21 post δὲ add. φησι CFa: delevi ex Paris. 2051 25 post ἕκαστον
add. μέρος C πέρας om. CF 26 τῷ] τὸ CF 28 εἶναι om. C

p. 6a19 Οὐ δοκεῖ δὲ τὸ ποσὸν ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. 79v

Εἰπὼν ὅτι ἴδιον τοῦ ποσοῦ τὸ μηδὲν ἔχειν ἐναντίον καὶ δείξας ὅτι παντὶ τοῦτο ὑπάρχει, οὐ προσέθηκεν 'οὐκ ἴδιον δὲ τοῦτο τοῦ ποσοῦ, ὅτι καὶ τῇ οὐσίᾳ ὑπάρχει', ὥσπερ καὶ ἐπὶ τῆς οὐσίας ἐποίησε· δῆλον γὰρ τοῦτο ἦν ἐκ τῶν περὶ τῆς οὐσίας εἰρημένων· εἰ γὰρ ἐκεῖ ἔλεγεν ὅτι 'οὐκ ἴδιον δὲ τῆς οὐσίας τὸ μηδὲν ἔχειν ἐναντίον, ὅτι καὶ τῷ ποσῷ ὑπάρχει', δῆλον ὅτι κἀνταῦθα οὐκ ἴδιον ἔσται τοῦ ποσοῦ, ὅτι καὶ τῇ οὐσίᾳ ὑπάρχει. ὥστε τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον, ἀλλ' εἰ ἄρα, δεῖ λέγειν ὅτι τὸ ποσὸν τῶν ἐναντίων ἐστὶ δεκτικόν, ὥσπερ ἐλέγομεν καὶ τῇ οὐσίᾳ μηδὲν μὲν εἶναι ἐναντίον, αὐτὴν δὲ τῶν ἐναντίων εἶναι δεκτικήν. τί οὖν, φασίν, οὐκ ἔστι τὸ παχὺ καὶ τὸ λεπτὸν τοῦ ποσοῦ καὶ τὸ πλατὺ καὶ τὸ στενόν, | ἅπερ 80r ἐναντία ἐστίν; ἀλλὰ λέγομεν ὅτι ταῦτα οὐκ εἰσι ποσὰ ἀλλ' ἐν ποσοῖς ἔχει τὸ εἶναι, ὥσπερ καὶ τὸ μέγα καὶ τὸ μικρόν· παχὺ γὰρ λέγομεν τὸ πολλὴν ἔχον τὴν κατὰ βάθος διάστασιν, καὶ πλατὺ τὸ τὴν κατὰ πλάτος, στενὸν δὲ καὶ λεπτὸν τὸ ὀλίγην ἔχον τὴν κατά τε βάθος καὶ πλάτος διάστασιν. καὶ ὅσα δὲ περὶ τῶν ἄλλων εἰρήκαμεν, μεγάλου λέγω καὶ μικροῦ καὶ πολλοῦ καὶ ὀλίγου, ταῦτα καὶ ἐπὶ τούτων ἐροῦμεν· καὶ γὰρ ταῦτα τῶν πρός τί ἐστιν.

p. 6a19 Οὐ δοκεῖ δὲ τὸ ποσὸν ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον.

Ἐπ' ἄλλο μεταβέβηκεν ἴδιον τοῦ ποσοῦ, τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. καὶ τοῦτο εἰκότως· εἴρηται γὰρ ὅτι ὅπου ἐστὶν ἡ ἐναντιότης, ἐκεῖ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐκ τῆς τῶν ἐναντίων μίξεως γίνεται. ἰστέον δὲ ὅτι καὶ τοῦτο πάλιν ἀποδοκιμάζει ὡς καὶ τῇ οὐσίᾳ ὑπάρχον, καὶ ἐφ' ἕτερον ἴδιον μεταβαίνει καί φησιν·

p. 6a26 Ἴδιον δὲ μάλιστα τοῦ ποσοῦ τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι. |

Τοῦτο κυρίως ἰδιόν ἐστι τοῦ ποσοῦ, ἐπειδὴ καὶ μόνῳ ὑπάρχει καὶ 80v

1. 2. 20. 21 καὶ ἧττον Arist. 4 νῦν οὐ προσέθ. C τοῦτο om. C 5 ἐπὶ τῆς οὐσίας ἐποίησε] p. 3b27 6 τὴν οὐσίαν C 7 δὲ] τοῦτο in ras. C 9 ὥστε τὸ ποσὸν οὐδέν ἐστι δεκτικὸν τῶν ἐναντίων a εἰ] ἢ F 10 ἐλέγομεν] p. 77,27 μὲν] μὴ a: om. F 11 φησίν CF 15 ante πλατὺ add. τὸ F alt. τὴν om. a 16 ἔχον post διαστ. coll. a τε ante κατὰ coll. a: om. C 17 παρὰ F 18 καὶ γὰρ καὶ C τῶν om. F 19 ἐστιν om. C 23 τὸ om. F εἴρηται] p. 75,17 25 πάλιν] μᾶλλον F καὶ (alt.) om. CF 26 καὶ ἐφ ἕτ.] ἐφ' ἕτ. δὲ a μεταβ. ἴδιον coll. a 29 ante τοῦτο add. καὶ a ἐστι om. C

παντί· γραμμὴ γὰρ γραμμῇ ἴση τε καὶ ἄνισος λέγεται καὶ τόπος 80v
τόπῳ καὶ ἐπιφάνεια ἐπιφανείᾳ καὶ σῶμα σώματι καὶ χρόνος χρόνῳ καὶ
λόγος λόγῳ καὶ ἀριθμὸς ἀριθμῷ. ἐὰν δὲ ἐπ' ἄλλου τινὸς λέγωμεν τὸ
ἴσον καὶ ἄνισον, οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός· οἷον λέγομεν ὅτι 10
5 ἴσον ἐστὶ τοῦτο τὸ λευκὸν σῶμα τούτῳ τῷ λευκῷ σώματι, καὶ ἄνισον δὲ
ὡσαύτως, οὐ καθὸ δὲ λευκὰ ἀλλὰ καθὸ σώματα, ἅπερ ἐστὶ τοῦ ποσοῦ.
ἀλλὰ μᾶλλον τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον ἐπὶ τῶν τοιούτων ῥηθείη κυρίως·
λευκὸν γὰρ λευκῷ ὅμοιον καὶ ἀνόμοιον λέγεται, καὶ ἐπὶ τῶν τοιούτων 15
ὡσαύτως.

10 Περὶ τῶν πρός τι.

p. 6a36 Πρός τι δὲ τὰ τοιαῦτα λέγεται, ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται. |

Πρὸ τῆς τῶν πρός τι διδασκαλίας πέντε ταῦτα χρὴ ζητεῖν· πρῶτον 81r
τὴν τάξιν αὐτῶν τὴν πρὸς τὰς κατηγορίας, δεύτερον τὴν αἰτίαν τῆς ἐπι- 5
15 γραφῆς, τρίτον τὴν ὑπόστασιν αὐτῶν τίς ἐστι, τέταρτον τὴν εἰς τὰ εἴδη
διαίρεσιν, πέμπτον τὸν τρόπον τῆς διδασκαλίας. πρῶτον οὖν τὴν τάξιν.
διὰ ποίαν αἰτίαν μετὰ τὸν τοῦ ποσοῦ λόγον ἔταξε τὸν περὶ τῶν πρός τι
καὶ μὴ τὸν περὶ τοῦ ποιοῦ, καίτοι γε τὸ ποιὸν εἶδός τι καθ' αὑτὸ ἔχει 10
καὶ ὑπόστασιν, ταῦτα δὲ ἰδίαν οὐκ ἔχει ὑπόστασιν ἀλλ' ἐν ταῖς ἄλλαις
20 κατηγορίαις ἔχει τὸ εἶναι. τιμιώτερα δὲ τὰ καθ' αὑτὰ ὑφεστηκότα τῶν ἐν
σχέσει μόνῃ τὸ εἶναι ἐχόντων· δεῖ γὰρ αὐτό τι πρῶτον καθ' αὑτὸ εἶναι,
εἶθ' οὕτως τὴν πρὸς ἕτερον ἀναλαβεῖν σχέσιν. λέγομεν οὖν ὅτι ὥσπερ ἐπὶ 15
τοῦ ποσοῦ ἐποίησε καὶ δευτέραν ἔταξε τὴν περὶ τούτου διδασκαλίαν, διὰ
τὸ μνημονεῦσαι αὐτοῦ ἐν τῷ περὶ τῆς οὐσίας λόγῳ, ἵνα μὴ ἐπὶ πολὺ
25 ἐάσῃ τὸν ἀκροατὴν ἀγνοοῦντα τί ποτέ ἐστι τὸ ποσόν, οὕτω καὶ ἐνταῦθα
ποιεῖ· ἐπειδὴ γὰρ ἐν τῷ περὶ τοῦ ποσοῦ λόγῳ ἐμνήσθη τῶν πρός τι, 20
ἔνθα ἔλεγε τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον τῶν πρός
τι εἶναι, ἵνα μὴ ἐπὶ πολὺ ἐάσῃ ἡμᾶς ἀγνοοῦντας τίς ἡ φύσις τῶν πρός τι,
εὐθέως τὸν περὶ τούτων ποιεῖται λόγον. διὰ τί δὲ ἐπιγέγραπται Περὶ
30 τῶν πρός τι καὶ μὴ περὶ τοῦ πρός τι, ὥστε εἶναι τὴν ἐπιγραφὴν ἑνικήν; 25
λέγομεν ἐπειδὴ τὰ πρός τι σχέσις τίς ἐστιν, ἡ δὲ σχέσις τοὐλάχιστον ἐν
δύο πράγμασι θεωρεῖται, διὰ τοῦτο πληθυντικῶς ἐπέγραψε· τὸ γὰρ δεξιὸν

1 post παντί add. πράγματι Fa γὰρ om. C 2 καὶ χρόνος χρόνῳ om. Ca
3 λέγομεν F 4 ἴσον τε a τὸ ἄνισον F κατὰ om. F 5 ἴσον] ὅσον C
6 δὲ om. a 11 τοιαῦτα] ταῦτα F 15 τίς ἐστι om. F 17. 18 παρὰ (utrobique) F
18 καὶ om. F 19 ταῦτα δὲ] τὰ δὲ πρός τι F 24 τῆς om. a 25 τὸν ἀκρ. — ἐάσῃ (28) om. F τὸν ἀκρ. ἀγν.] ἡμᾶς ἀγνοοῦντας a τὸ om. a 27 ἔλεγε] p. 5b27 31 τίς] τί F 32 δυσὶ a

ἀριστεροῦ ἐστι δεξιὸν καὶ οὐκ ἄν τι εἴη αὐτὸ καθ' αὑτὸ δεξιόν, καὶ ὁ 81r
πατὴρ υἱοῦ πατὴρ καὶ οὐκ ἄν τις καθ' αὑτὸν εἴη πατὴρ μὴ πρὸς υἱόν 30
λεγόμενος. ἐπὶ δὲ τῆς οὐσίας | δυνατόν, μᾶλλον δὲ ἀναγκαῖον ἓν πρᾶγμα 81v
καθ' αὑτὸ εἶναι οὐσίαν, οἷον ἄνθρωπον. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ποσοῦ·
5 δυνατὸν γὰρ τὸ δίπηχυ μόνον ποσὸν λέγεσθαι. δυνατὸν δὲ καὶ αὐτὰ μὲν
τὰ πράγματα 'τὰ περὶ τῶν πρός τι' λέγεσθαι πληθυντικῶς, αὐτὴν δὲ τὴν 5
κατηγορίαν ἑνικῶς 'περὶ τοῦ πρός τι', ὥσπερ καὶ ἐπὶ τοῦ ποσοῦ καὶ τῶν
ἄλλων κατηγοριῶν ἑνικῶς προσφερόμεθα τὴν κατηγορίαν, δηλοῦντες διὰ
τῆς ἐπιγραφῆς οὐ τὰ πράγματα τὰ ἐν αὐτῇ, ἀλλὰ τὴν κοινῶς κατ' αὐτῶν
10 λεγομένην φύσιν, ἐπεὶ καὶ ἡ σχέσις εἰ καὶ ἐν πλείοσίν ἐστιν, ἀλλ' οὖν 10
μία τίς ἐστι τῷ ὑποκειμένῳ, ὡς καὶ τὸ σπέρμα καὶ ὁ καρπὸς καὶ ἡ ἀνά-
βασις καὶ ἡ κατάβασις· μία γὰρ ἡ σχέσις τοῦ δούλου πρὸς τὸν δεσπότην,
ἥτις ἀρχομένων μὲν ἡμῶν ἀπὸ τοῦ δούλου δουλεία λέγεται ἀπὸ δὲ τοῦ
δεσπότου δεσποτεία. ὁμοίως καὶ ἐπὶ μαθητοῦ καὶ διδασκάλου καὶ τῶν 15
15 λοιπῶν. ἀλλ' ἵνα, ὡς εἴπομεν, ἐνδείξηται ὅτι ἡ τῶν πρός τι κατηγορία
οὐδέποτε ἐν ἑνὶ πράγματι ὑφίσταται, διὰ τοῦτο πληθυντικῶς Περὶ τῶν
πρός τι τὴν ἐπιγραφὴν πεποίηται.

Περὶ δὲ τῆς ὑποστάσεως ταῦτά φαμεν· τινές φασι μηδὲν εἶναι τῶν 20
πρός τι φύσει, ἀλλὰ ἀνάπλασμα εἶναι ταῦτα τῆς ἡμετέρας διανοίας, λέγον-
20 τες ὅτι οὕτως οὐκ ἔστι φύσει τὰ πρός τι ἀλλὰ θέσει, ὅτι δυνατὸν καὶ τὸν
δεξιὸν ἀριστερὸν γενέσθαι καὶ τὸν ἀριστερὸν δεξιόν, καὶ ὁ πατὴρ καὶ υἱός
ἐστι καὶ ὁ δοῦλος θέσει δοῦλος· οὐδεὶς γάρ ἐστι φύσει δοῦλος· ὁ αὐτὸς 25
γὰρ καὶ δεσπότης κατὰ ταὐτὸν ἑτέρου γένοιτ' ἄν. οὗτοι δὲ οὐκ ὀρθῶς
λέγουσιν· οὕτω γὰρ ἔγνωσται ταῦτα τῇ φύσει, ὡς καὶ τὰ μόρια τοῦ
25 σώματος ἐν σχέσει τινὶ τῇ πρὸς ἄλληλα θεωρεῖται· τὸ μὲν γάρ τι ὑπὸ
τῆς φύσεως δεξιὸν τέτακται οἷον τὸ ἧπαρ, τὸ δέ τι ἀριστερὸν οἷον ὁ
σπλήν, καὶ οὐκ ἄν ποτε γένοιτο οὔτε τὸ ἧπαρ ἀριστερὸν οὔτε ὁ σπλὴν | 30
δεξιός, ἀλλ' εἰ ἀμειφθείη τούτων ἡ τάξις, διέφθαρται τὸ ζῷον. καὶ ὁ 82r
θεὸς ἄρχει μόνως ἡμεῖς δὲ πάντες ὑπ' αὐτοῦ ἀρχόμεθα, καὶ ἡ ψυχὴ
30 μόνως κινεῖ τὸ σῶμα καὶ ἡ φύσις, τὸ δὲ σῶμα μόνως κινεῖται ὑπ' αὐτῶν
καὶ οὐκ ἀντικινεῖ αὐτά. τινὲς δὲ ἐκ διαμέτρου τούτοις ἔχοντες πάντα τὰ 5
πράγματα πρός τι ἔλεγον, ὧν εἷς ἦν Πρωταγόρας ὁ σοφιστής· ἔλεγε γὰρ
οὗτος ὅτι οὐδὲν τῶν πραγμάτων ὡρισμένην ἔχει φύσιν, διὸ καὶ ἔλεγεν ὅτι

---

1 τις F 5 καὶ om. a 6 τὰ (post πρ.) om. a 7 post κατ. add. ἤτοι τὴν σχέσιν αὐτὴν a καὶ (prius) om. a τῶν om. F 10 λεγομένην om. F καὶ (alt.) om. C 11 καὶ (pr.) om. a 13 μὲν om. CF 14 δεσπότου om. C 15 εἴπομεν] p. 102,31 δείξη C 16 ἐν om. a 17 ἐποίησε C 18 post ὑποστ. add. αὐτῶν a τοιαῦτα C τινὲς δὲ a 20 οὕτως ὅτι coll. F τὰ πρός τι φύσει coll. C ὅτι δυν.] ὡς C 20. 21 τὸ δεξ. . . τὸ ἀρ. a 22 γὰρ τίς ἐστι F 23 γὰρ Paris. 2051: δὲ CFa 24 ἔγν. γὰρ οὕτω coll. C 25 θεωρεῖται a Ammon.: θεωρεῖσθαι codd. τι] τοι F 27 ποτε om. C 28 ἀμειφθείη a Paris. 2051: ἀμειφθῇ CF τὸ ζῶον διέφθ. coll. a 29 μόνως Paris. 2051: μόνος CFa καὶ ἡμεῖς δὲ a post πάντες add. μόνως a 31 ἀντικινεῖ] κινεῖ C: ἂν κινῇ F 32 Πρωταγ.] cf. Zelleri Phil. Gr. I⁴ p. 978 sq.

οὐκ ἔστι τινὰ ψευδῆ λέγειν· ἕκαστος γὰρ κατὰ τὸ φαινόμενον αὐτῷ καὶ 82r
δοκοῦν περὶ τῶν πραγμάτων ἀποφαίνεται οὐκ ἐχόντων ὡρισμένην φύσιν 10
ἀλλ' ἐν τῇ πρὸς ἡμᾶς σχέσει τὸ εἶναι ἐχόντων· τοιγαροῦν οἱ μὲν ἰκτε-
ριῶντες τὸ μέλι φασὶ πικρὸν εἶναι καὶ ἀληθεύουσί γε (ὃ γὰρ δοκεῖ καὶ
5 φαίνεται αὐτοῖς, τοῦτο καὶ λέγουσιν), οἱ δὲ ὑγιαίνοντες γλυκὺ καὶ αὐτοὶ
ὁμοίως ἀληθεύοντες. καὶ ὁ τράχηλος δὲ τῆς μελαίνης περιστερᾶς ἐν ἡλίῳ 15
ἑστώσης τοῖς μὲν φαίνεται ἀλουργὸς τοῖς δὲ χρυσοειδής, καὶ ἄλλοις ἄλλως
πως πρὸς τὴν διάφορον αὐτῆς τε καὶ τῶν ὁρώντων θέσιν. ὁμοίως δὲ καὶ
ἐπὶ τῶν ἄλλων ἁπάντων· τὸ γὰρ ἄλλῳ δοκοῦν ἀληθὲς ἄλλος ψευδὲς εἶναι 20
10 οἴεται, καὶ τὸ τῷδε καλὸν εἶναι δοκοῦν ἄλλῳ φαῦλον νενόμισται, τὸ ἀντι-
κείμενον δὲ ἀληθές. νόμῳ οὖν πικρόν φαμεν νόμῳ γλυκύ, θάτερον δὲ
οὐδέν. ὥστε οὐδὲν τῶν πραγμάτων ὡρισμένην τινὰ ἔχει ὑπόστασιν, ἀλλὰ
τῶν πρός τί ἐστι. τοῦτον δὲ ἐλέγχει μὲν καὶ ὁ Ἀριστοτέλης ἐν τῷ τρίτῳ 25
λόγῳ τῆς Μετὰ τὰ φυσικὰ πραγματείας λέγων ὅτι εἰ πᾶν ὃ οἴεταί τις ὅτι
15 ἐστί, τοῦτο καὶ ἀληθές ἐστιν, ἐπειδὴ οἱ μαινόμενοι ὑπολαμβάνουσι τὸ πῦρ
τρέφειν καίειν δὲ μή, ἐχρῆν αὐτοῖς προσαγόμενον τὸ πῦρ τρέφειν καὶ μὴ
καίειν, ἢ ἐπειδὴ τὸν ἄρτον ὑπολαμβάνουσι καίειν, ἐχρῆν τὸν ἄρτον καίειν 30
αὐτοὺς καὶ μὴ τρέφειν. | ἐλέγχει δὲ καὶ ὁ Πλάτων ἐν τῷ Θεαιτήτῳ τῷ 82v
διαλόγῳ αὐτὸ τοῦτο προθέμενος ἐλέγξαι, ἐν ᾧ μετὰ πολλὰς ἀποδείξεις καὶ
20 τοῦτον ἐπιφέρει χαριέντως τὸν λόγον· 'ἐπειδὴ ἡμεῖς,' φησίν, 'ὦ Πρωτα-
γόρα, φαμέν σε μὴ ἀληθεύειν, ἆρα ἀληθεύομεν λέγοντες περὶ σοῦ ὅτι 5
ψεύδῃ ἢ ψευδόμεθα; εἰ μὲν οὖν ἀληθεύομεν, ψεύδεται Πρωταγόρας λέγων
ὅτι πάντες ἀληθῆ λέγουσιν (ἡμεῖς γὰρ ἀληθεύομεν λέγοντές σε ταῦτα
ψευδῆ λέγειν), εἰ δὲ ψευδόμεθα, ἔστιν ἄρα ψευδῆ λέγειν καὶ οὐ πᾶς ὁ
25 λέγων τι ἀληθεύει'. ἄλλοι δὲ παρὰ τούτους ὀρθῶς εἶπον ὅτι τῶν πραγ- 10
μάτων τὰ μέν ἐστι πρός τι τὰ δὲ αὐτὰ καθ' αὑτά· πρός τι μὲν οἷον
δεξιὸν ἀριστερόν, αὐτὰ δὲ καθ' ἑαυτὰ οἷον σῶμα ἄνθρωπος· ὁ γὰρ
ἄνθρωπος καθὸ ἄνθρωπος οὐκ ἔστι τῶν πρός τι. τὰ δὲ πρός τι
ταῦτα οἰκείαν μὲν ὑπόστασιν οὐκ ἔχει, ἐν ταῖς ἄλλαις δὲ κατηγορίαις 15
30 ἔχει τὸ εἶναι· ὅταν γὰρ εἴπω πατέρα, εἶπον ἐν οὐσίᾳ πρός τι, ὅταν
δὲ πολὺ ἢ ὀλίγον, εἶπον ἐν ποσῷ πρός τι, ὅταν δὲ λευκότερον ἢ
μελανώτερον, ἐν ποιῷ, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. καλῶς δέ
τινες ἀπεικάζουσιν αὐτὰ παραφυάσιν, αἵτινες οὐκ ἰδίαν ἔχουσιν ὑπό-
στασιν, ἀλλ' ἐν φυτοῖς ἔχουσι τὸ εἶναι. ἀπεικάζουσι δὲ αὐτὰ καὶ 20
35 τοῖς ἀντερείδουσιν ἄλληλα ξύλοις· τούτων γὰρ τοῦ ἑτέρου ἀναιρεθέντος
οὐκ ἔσται τὸ λοιπόν.

2 τῶν πρ. ἀποφαίν. πέρι (sic) C: ἀποφ. περὶ τῶν πρ. a 4. 5 αὐτοῖς καὶ φαίν. coll. a 8 τὴν om. F αὐτοῖς a 9 ψεῦδος a 11 πικρῷ a 13 εἰσι Fa 13. 14 ἐν τῷ τρίτῳ λόγῳ τῆς Μετὰ τὰ φ.] Γ 4 p. 1007b22. 5 p. 1009a6. 6 p. 1011a17 sq. 14 τὰς φυσικὰς F 14. 15 ὅτι ἐστί] τι ἐστὶ C: τι εἶναι a 18 ἐν τῷ Θεαιτήτῳ] p. 170 C sq. 22 οὖν om. C 24 ψευδῶς (pr. l.) F 25 περὶ CF 28 καθὸ ἄνθρωπος om. C 31 λευκώτ. F 33 περιφ. F (cf. p. 47,16) 34 αὐτὰ om. F

Ἡ δὲ διαίρεσις αὐτῶν ἐστιν αὕτη· τῶν πρός τι τὰ μὲν καθ' ὁμωνυ- 82v
μίαν λέγεται ὡς τὸ ὅμοιον ὁμοίῳ ὅμοιον, τὰ δὲ καθ' ἑτερωνυμίαν. καὶ 25
τῶν καθ' ἑτερωνυμίαν τὰ μὲν ἀπὸ τῆς πρὸς ἄλληλα ὑπεροχῆς ἢ ἐλλεί-
ψεως ὡς τὸ πολὺ καὶ τὸ ὀλίγον καὶ τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ μεῖζον
5 καὶ τὸ ἔλαττον, τὰ δὲ κατὰ τὸ ἄρχον καὶ ἀρχόμενον ὡς ὁ δεσπότης δού-
λου δεσπότης, τὰ δὲ κατὰ τὸ κρῖνον καὶ κρινόμενον ὡς τὸ αἰσθητὸν αἰ- 30
σθήσει αἰθητὸν καὶ τὸ | ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν, ἢ κατὰ τὸ μετέ- 83r
χον καὶ μετεχόμενον ὡς ὁ ἐπιστήμων τῷ μετέχειν ἐπιστήμης λέγεται
ἐπιστήμων, ἢ κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν ὡς ὁ πατὴρ υἱοῦ πατήρ, ἢ
10 κατὰ τὸ ποιοῦν καὶ πάσχον ὡς ὁ τύπτων τυπτόμενον τύπτει, ἢ κατὰ τὴν 5
ἐν τόπῳ διαφορὰν ὡς ὁ δεξιὸς ἀριστεροῦ δεξιός.

Τρόπῳ δὲ διδασκαλίας κέχρηται τοιῷδε· οὐκ εὐθὺς παραδίδωσι τὸν ὑγιῆ
τῶν πρός τι ὁρισμόν, ἀλλὰ πρότερον ἐκτίθεται ὃν οἱ παλαιοὶ ἔθεντο τῶν
πρός τι ὁρισμόν, εἶτα δείκνυσιν ἄτοπα πάμπολλα τῷ ὁρισμῷ τούτῳ ἑπόμενα, 10
15 καὶ οὕτως ἕτερον αὐτὸς ἴδιον ὁρισμὸν αὐτῶν ἀποδίδωσιν, ὃς μόνοις τοῖς
πρός τι καὶ πᾶσιν ὑπάρχει· ἵνα γὰρ μὴ δόξῃ τῶν παλαιῶν καταφρόνειν,
πρότερον τὸν αὐτῶν ὁρισμὸν ἐκτίθεται, καὶ δείξας τὰ παρακολουθοῦντα αὐτῷ
ἄτοπα ἀνεπαχθῶς λοιπὸν τὸν οἰκεῖον ὅρον κρατύνει. 15

Δεῖ δὲ εἰδέναι ὅτι τὰ πρός τι πάντως μὲν ἀπὸ εὐθείας ἄρχεται
20 πτώσεως, ἀποδίδοται δὲ πρὸς μίαν τῶν πλαγίων. καὶ ἔστι μὲν ὅτε πρὸς
ἣν ἀποδίδοται, πρὸς αὐτὴν καὶ ἀντιστρέφει, οἷον ὁ πατὴρ υἱοῦ πατὴρ καὶ
ὁ υἱὸς πατρὸς υἱός, ἔστι δὲ ὅτε οὐ πρὸς ἣν ἀποδίδοται, πρὸς αὐτὴν καὶ 20
ἀντιστρέφει ἀλλὰ πρὸς ἑτέραν, ὡς ἐπὶ τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ·
ἡ γὰρ αἴσθησις αἰσθητοῦ αἴσθησις· ἐνταῦθα πρὸς γενικὴν ἡ ἀπόδοσις·
25 ἀλλ' οὐκ ἀντιστρέφει πρὸς γενικήν, ἀλλὰ πρὸς δοτικήν· τὸ γὰρ αἰσθητὸν
τῇ αἰσθήσει αἰσθητόν. καὶ πρὸς αἰτιατικὴν δὲ γίνεται πολλάκις ἡ ἀπό-
δοσις, ὡς ὅταν λέγωμεν 'ὁ τύπτων τυπτόμενον τύπτει', καὶ πρὸς γενικὴν 25
αὕτη τὴν ἀντιστροφὴν ποιεῖται· ὁ γὰρ τυπτόμενος ὑπὸ τύπτοντος
τύπτεται. |

---

4 τὸ (ante ὀλίγον) om. F 5 τὸ ἀρχόμενον a 12 τῶδε F 14 πάμπολα C: om. F τούτῳ ἑπ. a Ammon.: ἑπ. τούτω C: ἑπ. πολλά F 15 ὁρ. ante αὐτὸς coll. a 19 πάντως om. C 24. 25 ἡ ἀπόδοσις—γενικήν om. F 25 γεν. μόνην ἀλλὰ καὶ C 27 καὶ πρὸς γεν.] πρὸς γεν. δὲ C 28 τοῦ τύπτοντος a 29 post τύπτεται add. Τῶν πρός τι τὰ μὲν καθ' ὁμωνυμίαν λέγεται οἷον ὁ (ὁ om. C) φίλος φίλῳ φίλος, τὰ δὲ καθ' ἑτερωνυμίαν, τὰ μὲν ἀπὸ τῆς ὑπεροχῆς καὶ ἐλλείψεως (ἐκλ. C) ὡς τὸ μεῖζον καὶ ἔλαττον, τὰ δὲ κατὰ τὸ ἄρχον καὶ ἀρχόμενον ὡς ὁ (ὁ om. C) δεσπότης καὶ ὁ (ὁ om. C) δοῦλος, τὰ δὲ κατὰ τὸ κρῖνον καὶ κρινόμενον ὡς αἰσθητὸν καὶ αἴσθησις (αἴσθησις καὶ αἰσθ. C), τὰ δὲ κατὰ τὸ μετέχον καὶ μετεχόμενον ὡς ὁ ἐπιστήμων καὶ ἡ ἐπιστήμη, τὰ δὲ κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν ὡς ὁ (ὁ om. C) πατὴρ καὶ υἱός, τὰ δὲ κατὰ τὸ ποιοῦν καὶ πάσχον (ποιεῖν καὶ πάσχειν C) ὡς ὁ τύπτων καὶ ὁ τυπτόμενος, τὰ δὲ κατὰ τὴν ἐν τόπῳ διαφορὰν ὡς τὸ δεξιὸν καὶ ἀριστερόν. CF: Πρός τι δὲ τὰ τοιαῦτα λέγεται, τουτέστιν ὅσα αὐτὰ οὐ καθὸ ὑπάρχουσι φύσεως, ἀλλὰ κατ' αὐτὸ τοῦτο, καθὸ ἑτέρων εἶναι λέγεται, κατὰ τοῦτο πρός τί ἐστιν. οἷον ὁ πατὴρ καὶ ὁ δεσπότης ἄνθρωποί εἰσιν· ἐὰν οὖν κατὰ τοῦτο ληφθῶσιν, οὐκ εἰσὶ πρός τι, ἀλλὰ καθὸ τὴν πρὸς ἕτερον ἔχουσι σχέσιν λέγονται πρός τι. καὶ δεξιὸς ἄνθρωπος οὐ καθὸ ἄνθρωπος ἑτέρου λέγεται δεξιός, ἀλλὰ καθὸ δεξιός a

p. 6a36 Πρός τι δὲ τὰ τοιαῦτα λέγεται. 83v

Τῷ λέγεται ἐχρήσατο ὡς μὴ ἀρεσκόμενος τῷ λόγῳ· ἄτοπα γὰρ πολλὰ δείξει τῷ ὁρισμῷ ἀκολουθοῦντα καὶ αὐτὸς ἄλλον θήσει ὁρισμόν.

p. 6a36 Ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται.

Οἷον δεξιὸς ἄνθρωπος οὐ καθὸ ἄνθρωπος ἑτέρου λέγεται δεξιός, ἀλλὰ καθὸ δεξιός.

p. 6a37 Ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον.

Ἐπειδὴ πρὸς γενικὴν τὴν ἀπόδοσιν ἐποιήσατο εἰπὼν τὸ ἑτέρων εἶναι λέγεται, ἵνα μὴ ὑπολάβῃς ὅτι πρὸς μόνην γενικὴν ἀποδίδοται τὰ πρός τι, φησὶν ὅτι ἢ ὁπωσοῦν ἄλλως, τοῦτ' ἔστιν εἴτε πρὸς δοτικὴν εἴτε πρὸς αἰτιατικὴν ἡ ἀπόδοσις γένηται.

p. 6b2 Ἔστι δὲ καὶ τὰ τοιαῦτα τῶν πρός τι οἷον ἕξις διάθεσις αἴσθησις ἐπιστήμη θέσις.

Ἐπειδὴ τὰ πρότερα τοῦ ποσοῦ ἐστι ταῦτα δὲ τοῦ ποιοῦ, εἰκότως ἔδοξεν αὐτὰ χωρίζειν, εἰρηκὼς ἔστι δὲ καὶ τὰ τοιαῦτα, ἢ ὅτι τὰ μὲν ἀνωτέρω πρὸς γενικὴν ἀποδέδωκε πτῶσιν, καὶ τὴν ἀντιστροφὴν πάλιν εἶχον πρὸς γενικήν, ταῦτα δὲ πρὸς δοτικὴν ἀντιστρέφει, ἐπίτηδες ὡς ἀπὸ ἑτέρας ἀρχῆς ταῦτα ἐκτίθεται. τὰ δὲ παραδείγματα ἐκτιθέμενος τέχνας ἡμῖν παραδίδωσι τῆς ἀνακάμψεως τῶν πρός τι· ταῦτα γάρ, ὡς ἔφθην εἰπών, πρὸς γενικὴν ἀποδιδόμενα πρὸς δοτικὴν τὴν ἀντιστροφὴν ποιεῖται· ἡ γὰρ ἕξις ἑκτοῦ ἕξις· ἐνταῦθα πρὸς γενικὴν ἡ ἀπόδοσις, ἡ δὲ ἀντιστροφὴ πρὸς δοτικήν· τὸ γὰρ ἑκτὸν ἕξει ἑκτόν. ὁμοίως δὲ καὶ ἡ διάθεσις διαθετοῦ διάθεσις καὶ τὸ διαθετὸν διαθέσει διαθετόν, καὶ ἡ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη τὸ δὲ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν. |

p. 6b11 Ἔτι δὲ καὶ ἡ ἀνάκλισις καὶ ἡ στάσις καὶ ἡ καθέδρα θέσεις τινές. 84r

Βουλόμενος καὶ τὴν ἀνάκλισιν καὶ τὴν στάσιν καὶ τὴν καθέδραν τῶν

1 lemma om. a 2 pr. τῷ] τὸ F λέγεται δὲ a μὴ ἀρεσκ.] ἀπαρεσκ. a 5 ὁ δεξιὸς (pr. l.) a λέγ. δ. ἑτ. coll. C 7 ὁποσοῦν a 8 ἕτερον F 10 post ἄλλως add. πρὸς ἕτερον F 10. 11 εἴτε πρὸς γενικὴν εἴτε πρὸς δοτικὴν ἡ ἀπόδ. C 11 γίνεται a 12. 15 τοιάδε Fa 13 ἐπιστ. αἴσθ. coll. Fa 15 ἔδειξεν C αὐτὰ χωρ. αὐτὰ F post τοιαῦτα add. τῶν πρός τι a ὅτι ἐπειδὴ a 16. 17 εἶχον πάλιν coll. Ca 17 καὶ ὡς C 18 τέχνας] τρόπον a 20 τὴν ἀντιστροφὴν iter. C 22 τὸ] τὸν F 25 ἔτι] ἔστι CF 26 διαθέσεις F 27 καὶ τὴν καθ. post βουλ. coll. C

πρός τι εἰπεῖν, κατασκευάζει τοῦτο ἐκ τοῦ γένους, λέγω δὴ τῆς θέσεως, 84r
ἥτις ἐστὶ γένος τῶν εἰρημένων, αὕτη δὲ τῶν πρός τι· ἡ γὰρ θέσις κει-
μένου θέσις ἐστίν. εἰ δὲ τὸ γένος τῶν πρός τι, δῆλον ὅτι καὶ τὰ τούτου
εἴδη, ἅπερ ἐστὶ τὰ εἰρημένα· ἢ γὰρ ὅλον τὸ σῶμα ὀρθόν ἐστι καὶ καλεῖ- 10
5 ται στάσις, ἢ ὅλον πλάγιον κεῖται καὶ καλεῖται ἀνάκλισις, ἢ μέρος μέν τι
αὐτοῦ ἵσταται μέρος δὲ κεῖται καὶ καλεῖται καθέδρα. ζητητέον δὲ εἰ
ταῦτα ὑπὸ τὰ πρός τι ἀνάγεται, τί ἀνάξομεν ὑπὸ τὸ κεῖσθαι. λέγομεν
οὖν ὅτι ἄλλο ἐστὶ στάσις καὶ ἄλλο ἑστάναι, ἄλλο ἀνάκλισις καὶ ἄλλο ἀνα- 15
κεκλίσθαι, ἄλλο καθέδρα καὶ ἄλλο καθῆσθαι· ἡ μὲν γὰρ στάσις καὶ ἡ
10 ἀνάκλισις καὶ ἡ καθέδρα αὐτὴν τὴν σχέσιν δηλοῖ, τὸ δὲ ἵστασθαι καὶ
ἀνακεκλίσθαι καὶ καθῆσθαι οὐ μόνον τὴν σχέσιν ἀλλὰ καὶ αὐτὴν τὴν
οὐσίαν δηλοῖ, τήν τε ἀνακεκλιμένην καὶ τὴν ἐν ᾗ ἀνακέκλιται. καὶ ἐπὶ 20
τῶν ἄλλων ὁμοίως. ἐκεῖνα οὖν ὡς σχέσιν σημαίνοντα ὑπὸ τὰ πρός τι
ἀνάγονται, ταῦτα δὲ μετὰ τῆς σχέσεως καὶ τὰ πράγματα περὶ ἅ ἐστιν ἡ
15 σχέσις δηλοῦντα ὑπὸ τὸ κεῖσθαι ἀνάγονται· ὥσπερ γὰρ ἄλλο μέν ἐστι τὸ
ἐν χρόνῳ ἄλλο δὲ ὁ χρόνος, καὶ ἄλλο μὲν τὸ ἐν τόπῳ ἄλλο δὲ ὁ τόπος 25
(ὁ μὲν γὰρ χρόνος καὶ ὁ τόπος ποσά ἐστι συνεχῆ, τὸ δὲ ἐν τόπῳ ὑπὸ
τὸ ποῦ ἀνάγεται καὶ τὸ ἐν χρόνῳ ὑπὸ τὸ ποτέ), οὕτω καὶ ἐπὶ τούτων
ἔχει, καθὼς εἴρηται, ὃ καὶ αὐτὸς δηλῶν ἐπήγαγε· τὸ δὲ ἀνακεῖσθαι ἢ
20 ἑστάναι ἢ καθέζεσθαι αὐτὰ μὲν οὔκ εἰσι θέσεις, παρωνύμως δὲ 30
ἀπὸ τῶν εἰρημένων θέσεων εἴληπται. | οὐκ εἴ τι δὲ παρωνύμως 84v
λέγεται, ταὐτόν ἐστιν ἐκείνῳ τῷ ἀφ' οὗ λέγεται· ἀπὸ μὲν γὰρ τῆς
στάσεως τὸ ἑστάναι λέγεται ἀπὸ δὲ τῆς ἀνακλίσεως τὸ ἀνακεκλίσθαι ἀπὸ
δὲ τῆς καθέδρας τὸ καθέζεσθαι. ὥσπερ δὲ ταῦτα ἀπὸ τῶν εἰδῶν τῆς 5
25 θέσεως μετηνέχθησαν, οὕτως καὶ ἀπὸ τοῦ γένους τούτων, τοῦτ' ἔστι τῆς
θέσεως, μετενεχθήσεται τὸ κεῖσθαι, ἥτις ἐστὶ μία τῶν κατηγοριῶν γένος
οὖσα σύστοιχον τοῦ ἑστάναι καὶ ἀνακεκλίσθαι καὶ καθέζεσθαι. ὥστε ἓν
εἶδος τῶν πρός τι, τοῦτ' ἔστιν ἡ θέσις, μίαν ἔτεκε κατηγορίαν τὸ κεῖσθαι.
καὶ οὐδὲν θαυμαστόν, ὅπου γε καὶ ὁ χρόνος τίκτει τὸ ποτὲ καὶ ὁ τόπος 10
30 τὸ ποῦ, τοῦ ποσοῦ ὄντα εἴδη, οὐχ ὅτι αὐτὸς ὁ χρόνος ποτέ ἐστιν οὐδὲ ὁ
τόπος ποῦ, ἀλλὰ τὰ ἐν χρόνῳ καὶ ἐν τόπῳ γινόμενα πράγματα.

p. 6b15 Ὑπάρχει δὲ καὶ ἐναντιότης τοῖς πρός τι, οἷον ἀρετὴ
κακίᾳ ἐναντίον, ἑκάτερον τῶν πρός τι ὄν, καὶ ἐπιστήμη ἀγνοίᾳ. 15

Διαλεχθεὶς περὶ τοῦ πρός τι κατὰ τὰ τοῖς παλαιοῖς περὶ αὐτοῦ 20

7 τά] τὸ F ἀνάγεται] ἀνάγονται C: ἀνάγομεν a 15 ἀνάγεται a 17. 18 ἐν τόπ. καὶ τὸ ἐν χρ. ὑπὸ τὸ ποῦ καὶ ποτὲ ἀνάγ. C 17 post τόπῳ add. καὶ a 19 ἡ] καὶ C 20 ἢ καθῆσθαι a Arist.: om. C 21 εἴρηται C: λέγεται Arist. οὐκ εἴ τι] οὐκέτι F 23 pr. τὸ a Ammon.: om. CF alt. τὸ om. F 27 τοῦ] τῶ F ἑστ. καὶ ἀνακεκλ.] ἑστ. καὶ ἀνακεῖσθαι C: ἀνακεῖσθαι καὶ ἑστ. a 28 τὸ κεῖσθαι κατ. coll. CF 30 οὐχ ὅτι] οὐ γὰρ a 31 τὸ ποῦ CF 32 καὶ ἐναντιότης om. F ἐν τοῖς a Arist. 33 ὄν ante τῶν coll. Arist. τῶν] αὐτῶν F 34 τῶν πρός τι a τὰ om. F αὐτῶν a

δόξαντα, νυνὶ τὸ ἴδιον αὐτοῦ βούλεται ἀποδοῦναι, καὶ πρότερον ἐκτίθεται τὰ 84v
δοκοῦντα μὲν ἴδια εἶναι τῶν πρός τι μὴ ὄντα δὲ κατὰ ἀλήθειαν, ὥσπερ
καὶ ἐπὶ τῆς οὐσίας ἐποίησε καὶ τοῦ ποσοῦ. ἵνα μὴ ὁ ἐπιπολῆς προσβάλ-
λων τούτοις οἰηθῇ αὐτὰ ὄντως ἴδια εἶναι. καὶ πρῶτον μὲν ἴδιον αὐτῶν 25
5 φησι τὸ ἐπιδέχεσθαι τὰ ἐναντία· τῇ γὰρ ἀρετῇ, φησίν, ἐναντίον ἡ κακία
καὶ τῇ ἐπιστήμῃ ἡ ἄγνοια καὶ τῇ δικαιοσύνῃ ἡ ἀδικία· ἕκαστον γὰρ τού-
των πρὸς ἕτερον λέγεται· ἡ γὰρ ἀρετὴ σπουδαίου ἀρετὴ λέγεται καὶ ἡ
ἐπιστήμη ἐπιστητοῦ ἢ ἐπιστήμονος ἐπιστήμη καὶ ἡ κακία κακοῦ κακία, 30
καὶ ἀντιστρέφουσί γε. | οὐ πάντα δὲ τὰ πρός τι ἐπιδέχεται ἐναντιότητα. 85r
10 καὶ τοῦτο εἰκότως· ἐπειδὴ γὰρ παραφυάσιν ἔοικε τὰ πρός τι, ὥσπερ ἐλέ-
γομεν, καὶ πράγματα οὐκ ἔχει ἀφωρισμένα πρὸς οἰκείαν ὑπόστασιν, ἀλλ'
ἐν ταῖς ἄλλαις κατηγορίαις εὑρίσκονται, μιμεῖται ἐκείνας αἷς προσπλέκεται, 5
καὶ ὅσαι μὲν τῶν κατηγοριῶν ἐπιδέχονται τὰ ἐναντία, καὶ τὰ ἐν αὐταῖς
συνιστάμενα πρός τι ἔχουσιν ἐναντιότητα, ὅσαι δὲ οὐδὲν ἔχουσιν ἐναντίον,
15 οὐδὲ τὰ ἐν αὐταῖς πρός τι ἐπιδέχονται ἐναντιότητα· οἷον ἐπειδὴ τῇ οὐσίᾳ
καὶ τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον, οὐδὲ τοῖς πρός τι τοῖς περὶ αὐτὰ 10
ὑφισταμένοις ἔσται τι ἐναντίον, οἷον τῷ τριπλασίῳ· τὸ γὰρ τριπλάσιον καὶ
πρός τί ἐστι (τινὸς γὰρ τριπλάσιον) καὶ ὅμως οὐκ ἔχει τινὰ ἐναντιότητα,
ἐπειδὴ συμπλέκεται, ὡς εἶπον, κατηγορίᾳ μηδὲν ἐχούσῃ ἐναντίον, λέγω δὴ
20 τῷ ποσῷ. ὁμοίως καὶ ἐπὶ οὐσίας, οἷον δεσπότῃ υἱῷ δεξιῷ ἀριστερῷ· 15
τούτοις γὰρ οὐδέν ἐστιν ἐναντίον διὰ τὸ οἷς συμπλέκεται, λέγω δὴ ἀν-
θρώποις, ὑπὸ κατηγορίαν ἀνῆχθαι μηδὲν ἔχουσαν ἐναντίον. ἐπειδὴ δὲ τῇ
ποιότητί ἐστί τι ἐναντίον, διὰ τοῦτο καὶ τοῖς περὶ αὐτὴν πρός τί ἐστιν
ἐναντίον, οἷον ἀρετὴ καὶ κακία ἐναντία καὶ ἐπιστήμη καὶ ἄγνοια· ταῦτα 20
25 γὰρ ποιά ἐστιν. ἰστέον δὲ ὅτι ταῦτα ἄλλοις μέν ἐστιν ἐναντία ἄλλοις δὲ
ὡς πρός τι· οἷον ⟨ἡ⟩ ἀρετὴ σπουδαίου ἀρετὴ καὶ ὁ σπουδαῖος ἀρετῇ σπου-
δαῖος, ὁμοίως καὶ ἡ κακία κακοῦ κακία καὶ ὁ κακὸς τῇ κακίᾳ κακός.
τούτοις μὲν οὖν πρός τι, ἐναντία δὲ ἀρετῇ μὲν κακία σπουδαίῳ δὲ κακός. 25
εἰκότως τοίνυν καὶ ἐναντιότης θεωρεῖται ἐν τοῖς πρός τι καὶ οὐ πᾶσι
30 τοῦτο παρακολουθεῖ.

Ζητητέον δὲ πῶς τὴν ἀρετὴν καὶ τὴν κακίαν τῶν πρός τι λέγει καὶ
τὴν ἐπιστήμην καὶ τὴν ἄγνοιαν. λέγομεν ὅτι οὐ δογματίζων τοῦτό φησιν, 30
ἀλλὰ λεληθότως, βουλόμενος κακίσαι τὸν ἀπο|δοθέντα ὁρισμόν· εἰ γὰρ 85v
τῷ λέγεσθαι ἑτέρων χαρακτηρίζονται τὰ πρός τι, καὶ ταῦτα τῶν πρός τι
35 ἔσται· πρὸς ἕτερα γὰρ καὶ αὐτὰ λέγεται· ἡ γὰρ ἀρετὴ σπουδαίου ἀρετὴ

1 δόξ. post παλ. (107, 34) coll. F 3 ἐπιπολ.] ἐξ ἐπιβολῆς F 3. 4 προσβαλὼν a 4 ἴδια ὄντ. coll. a 4. 5 φησιν αὐτῶν coll. a 5 ἐναντίον ἐστὶν a 6 ἡ (ante ἄγν.) om. C 10 παραφυάδι Fa ὥσπερ om. F 10. 11 ἐλέγομεν] p. 104,33 13 ὅσα F 15 τὴν ἐναντ. a 18 post τριπ. add. ἐστι a τινὸς τι a: om. C ἐναντίον a 19 εἶπον] v. 12 21. 22 ἀνῆχθαι ὑπὸ κατ. οἷς συμπλ. λ. δὴ ἀνθρ. coll. C 24 ἀρετῇ κακία ἐναντίον καὶ ἐπιστήμη ἄγνοια a ἐναντίον F 26 ἡ a addidi 28 ἐναντίον Fa 29 τοίνυν] οὖν C 32 ταῦτά a 33 λελυθότως F 34 τῷ] τὸ C

καὶ ἡ κακία κακοῦ κακία καὶ ἡ ἐπιστήμη ἐπιστήμονος ἐπιστήμη καὶ ἡ 85v
ἄγνοια ἀγνοοῦντος ἄγνοια. τούτῳ δὲ τῷ λόγῳ συμβαίνει καὶ πάσας τὰς 6
ἀπὸ τοῦ συμβεβηκότος κατηγορίας τῶν πρός τι εἶναι, λέγω δὴ τὰς ἐννέα·
πᾶσαι γὰρ τῆς οὐσίας εἶναι λέγονται· αὐτῇ γὰρ ἐπισυμβεβήκασιν· ἡ γὰρ
5 λευκότης λευκοῦ λέγεται λευκότης καὶ τὸ δίπηχυ ξύλου, εἰ τύχοι, δίπηχυ, 10
καὶ τὸ ποτὲ δὲ καὶ τὸ ποῦ καὶ ποιεῖν καὶ πάσχειν καὶ τὰ λοιπὰ τινὸς
λέγονται· οὐ γάρ ἐστί τι αὐτὸ καθ' αὑτὸ τὸ ποτέ, ἀλλ' οὐσίας ἐστί τι τὸ
ποτέ, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. καὶ αὐτὴ δὲ ἡ οὐσία ὅταν ὡς μέρος
λαμβάνηται, πρὸς ἕτερον λέγεται· τὸ γὰρ μέρος ὅλου λέγεται μέρος καὶ τὸ 15
10 ὅλον τοῖς μέρεσιν ὅλον λέγεται. τοῦτο δὲ ἄτοπον, λέγω δὴ τὸ πάσας τὰς
κατηγορίας πρός τι λέγεσθαι· ὅτι γὰρ ἐναργῶς διακρίνονται τῶν πρός τι
αἱ ἄλλαι κατηγορίαι, ἐντεῦθεν δῆλον· εἰ γὰρ τῶν πρός τι ἦσαν, ἔδει ἐν
τῷ ὁρισμῷ αὐτῶν παραλαμβάνεσθαι ἐκεῖνα πρὸς ἃ λέγονται· τὰ γὰρ πρός 20
τι ὁριζόμενοι ἐξ ἀνάγκης μνημονεύομεν καὶ τῶν πρὸς ἃ λέγεται, οἷον εἰ
15 πατέρα ὁριεῖ, ἀνάγκη μνησθῆναι καὶ υἱοῦ· πατέρα γὰρ φήσεις εἶναι υἱοῦ.
τὰς δὲ ἄλλας κατηγορίας ὁριζόμενον οὐκ ἀνάγκη μνησθῆναι πρὸς ὃ λέγον-
ται· τὸ γὰρ δίπηχυ, εἰ τύχοι, ὁριζόμενος οὐκ ἀνάγκην ἕξεις μνημονεῦσαί 25
τινος τῶν ἄλλων, ὧν λέγεται δίπηχυ, οἷον ξύλου, καὶ ἐπὶ τοῦ ποιοῦ καὶ
τῶν ἄλλων ὁμοίως. εἰ τοίνυν αἱ κατηγορίαι πρὸς ἕτερον μὲν λέγονται (τὰ
20 γὰρ συμβεβηκότα τῆς οὐσίας εἶναι λέγεται καὶ τὰ μέρη δὲ τοῦ ὅλου) καὶ
τῶν πρός τι οὔκ εἰσι, δῆλον ὅτι κακῶς ἀποδέδοται ὁ τῶν πρός τι ὁρισμός· 30
περιλαμβάνει γὰρ | καὶ τὰς ἄλλας κατηγορίας· οὐ γὰρ τὸ ἑτέρου λεγό- 86r
μενον ἐν τούτῳ ἔχει τὸ εἶναι ἐν τῷ ἑτέρου λέγεσθαι, τὰ δὲ πρός τι ἐν
τούτῳ ἔχουσι τὸ εἶναι ἐν τῷ πρός τι εἶναι· εἴ τι μὲν γάρ ἐστιν
25 ἑτέρου, τοῦτο καὶ λέγεται ἑτέρου, οὐκ εἴ τι δὲ λέγεται ἑτέρου, ἤδη καὶ ἐν 5
τούτῳ ἔχει τὸ εἶναι τῷ ἑτέρου λέγεσθαι. ἰστέον δὲ ὅτι ὅσοι λέγουσι τὸν
Πλάτωνα οὕτως ὁρίζεσθαι τὰ πρός τι καὶ ἐν τῷ λέγεσθαι ἑτέρων οἴεσθαι
αὐτὸν εἶναι τὴν τῶν πρός τι ὑπόστασιν, συκοφαντοῦσι τὸν φιλόσοφον· καὶ
γὰρ ἀπὸ τῶν εἰρημένων ἐν τῷ Γοργίᾳ ἔστι γνῶναι ὅτι οὐχὶ τῷ λέγεσθαι 10
30 ἀλλὰ τῷ εἶναι ἑτέρων αὐτὰ χαρακτηρίζει· φησὶ γὰρ 'εἰ ἔστι τὸ ποιοῦν,
ἀνάγκη τι εἶναι καὶ τὸ πάσχον'· εἶναι γὰρ εἶπε, καὶ οὐ λέγεσθαι.

---

2 συμβ.] σημαίνει a 4 λέγεται C ἐπισυμβεβήκασιν Paris. 2051: ἐπισυμβέβηκεν CFa 6 καὶ τὰ λοιπὰ om. a 7 τὸ (prius) a: om. codd. τὸ (alt.) om. F 8 ὡς] εἰς F 10 λέγεται om. C 14 λέγονται F εἰ om. a 15 ὁριεῖς F: ὁρίζοντες a εἶναι] τοῦ a 16 ὁριζόμενον scripsi: ὁριζόμενος CF: ὁριζόμενοι a 17 ὁριζόμενοι a ἀν. ἕξεις] ἀνάγκη ἕξῃς a 18 τῶν ἄλλων] ἄλλου C οὐ a 19 λέγεται C 24 alt. εἶναι] λέγεσθαι C 25 post alt. ἑτέρου add. εἶναι a 26 εἶναι τῷ om. F 27 post οἴεσθαι add. ἑτέρων a 28 αὐτῶν F εἶναι iter. C post τι add. τὴν C 29 ἐν om. C ἐν τῷ Γοργίᾳ] p. 476B alt. τῷ] τὸ F 31 τι om. C alt. καὶ om. a λέγεται F

p. 6b20 Δοκεῖ δὲ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεσθαι τὰ πρός τι· ὅμοιον γὰρ καὶ ἄνομοιον μᾶλλον καὶ ἧττον λέγεται καὶ ἴσον καὶ ἄνισον μᾶλλον καὶ ἧττον λέγεται. 86r

Ἐφ' ἕτερον ἴδιον παρακολούθημα τῶν πρός τι μεταβαίνει καταγνοὺς τοῦ προτέρου, τὸ ἐπιδέχεσθαι τὰ πρός τι τὸ μᾶλλον καὶ τὸ ἧττον· λέγομεν γὰρ τόδε τῷδε μᾶλλον εἶναι ὅμοιον καὶ ἧττον, οἷον τὸ ἐν τοίχῳ λευκὸν μᾶλλον εἶναι ὅμοιον λέγομεν τῷ ἐν ἱματίῳ ἢ τῷ ἐν χιόνι. καὶ τοῦτο δὲ τὸ παρακολούθημα ὅμοιον τῷ πρὸ αὐτοῦ ὑπάρχει· οὐδὲ γὰρ τοῦτο πᾶσι τοῖς πρός τι παρακολουθεῖ· ὁ γὰρ πατὴρ οὐ λέγεται ἄλλου πατρὸς μᾶλλον εἶναι πατήρ, οὐδὲ ὁ υἱὸς ὁμοίως. καὶ τοῦτο εἰκότως· εἴρηται γὰρ ὅτι ὅπου ἡ ἐναντιότης θεωρεῖται. ἐκεῖ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττόν ἐστιν, ὅπου δὲ ἐναντιότης οὐκ ἔστιν, οὐδὲ τὸ μᾶλλον καὶ τὸ ἧττον. | ἐπεὶ οὖν τοῖς πρός τι ἐναντιότης ὑπάρχει, ἔστιν ἐν αὐτοῖς καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον, ἐπειδὴ δὲ οὐ πᾶσιν ὑπάρχει ἡ ἐναντιότης, διὰ τοῦτο οὐδὲ τὸ μᾶλλον καὶ τὸ ἧττον πᾶσιν ὑπάρχει. ἴσως δὲ ζητήσειεν ἄν τις ὅτι εἰ ἐν οἷς τὰ ἐναντία ὑπάρχει, ἐν τούτοις καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον τῇ μίξει τῶν ἐναντίων γίνεται, καὶ διὰ τοῦτο ἐν τῷ ποσῷ ἐπειδὴ μή ἐστι τὰ ἐναντία, διὰ τοῦτο οὐδὲ τὸ μᾶλλον καὶ τὸ ἧττον, πάλιν δὲ εἰ τὸ ἴσον καὶ ἄνισον εἶναι τοῦ ποσοῦ ἐστιν ἴδιον, πῶς φησιν ἐνταῦθα ὅτι ἄνισον μᾶλλον καὶ ἧττον λέγεται· ἐλέγομεν γὰρ ὅτι τὸ πρός τι εἰ μὲν ἐν κατηγορίᾳ γένηται ἐχούσῃ ἐναντίον, καὶ αὐτὸ τὰ ἐναντία ἐπιδέχεται, εἰ δὲ ἐν κατηγορίᾳ μὴ ἐπιδεχομένῃ τὰ ἐναντία, οὐδ' αὐτὸ τὰ ἐναντία δέχεται. εἰ οὖν τὸ ἴσον καὶ ἄνισον πρός τί ἐστιν ἐν ποσῷ συνιστάμενον, τῷ δὲ ποσῷ οὐδέν ἐστιν ἐναντίον, οὐδὲ τὸ ἴσον καὶ ἄνισον ἐναντία εἰσίν. ὅπου δὲ οὐκ ἔστιν ἐναντίον, οὐδὲ τὸ μᾶλλον καὶ τὸ ἧττον. οὐκ ἄρα τὸ ἄνισον μᾶλλον καὶ ἧττον λέγεται· εἰ γὰρ τὸ μᾶλλον καὶ ἧττον τῇ ἐπιμιξίᾳ γίνεται τῶν ἐναντίων, οὐ κιρνᾶται δὲ τῷ ἀνίσῳ τὸ ἴσον, οὐδ' ἂν εἴη μᾶλλόν τι καὶ ἧττον ἄνισον· τὸ γὰρ ἧττον ἄνισον τῷ μᾶλλον μετέχειν τοῦ ἴσου ἧττον ἄνισον λέγεται. καὶ ἄλλως εἰ ἔστι τι μᾶλλον καὶ ἧττον ἄνισον, ἔστι καὶ

1 δὲ καὶ Arist. τὸ (alt.) om. a 2 καὶ ἀνόμοιον om. Ca 2. 3 καὶ ἴσον — λέγεται om. Ca 4 ἴδιον] εἴδους F 5 τὸ (ante ἧττον) om. C 6 τῷδε] τῷ F ὅμ. εἶναι coll. C 7 ὅμ. εἶναι coll. Ca 10 πατὴρ — εἰκότως om. F ὁ om. a εἴρηται] p. 75,17 12 pr. ἐστιν — ἧττον om. F τὸ (alt.) om. a 13 ἐπεὶ] ὅπου a ante τοῖς add. ἐν C ἐναντ. ante τοῖς coll. a καὶ om. Fa 14 ἐπεὶ a δὲ] οὖν C 15 τὸ (alt.) om. C εἰ om. Ca 16 καὶ (prius) om. a τὸ ἧττον καὶ μᾶλλον C 18 τὸ (alt.) om. C 19 ἄνισον εἶναι] τὸ ἄνισον Ca τὸ ἄνισον (alt. l.) C 20 ἐλέγομεν] p. 108,13 τὰ πρός C 20. 21 γένωνται C 21 ἐναντία (pr. l.) C 22 δέχ.] ἐπιδέχεται a 24 εἰσίν om. F 25 ἐναντίον] ἐναντία C τὸ ἴσον καὶ ἄνισον a 26 γὰρ] οὖν F 26. 27 τῶν ἐν. γίν. coll. a 28 post τῷ μᾶλλον add. τοῦ ἥττου (sic) F[1] 29. p. 111,1 καὶ ἧττον — pr. μᾶλλον om. C 29 ἔσται (alt. loco) a

ἧττον ἴσον καὶ μᾶλλον· τὸ γὰρ ἧττον ἄνισον μᾶλλόν ἐστιν ἴσον τοῦ ἀνίσου 86ᵛ
μᾶλλον, ὥσπερ τὸ ἧττον λευκὸν μᾶλλόν ἐστι μέλαν τοῦ μᾶλλον λευκοῦ.
εἰ οὖν μὴ ἐνδέχεται τοῦ ἴσου μᾶλλον εἶναι ἴσον καὶ ἧττον (τὸ γὰρ τοῦ 25
ἴσου ἐξελθὸν ἐπὶ τὸ πλέον ἢ ἐπὶ τὸ ἔλαττον οὐκέτι ἴσον), οὐδ' ἄρα ἄνισον
5 μᾶλλον καὶ ἧττόν ἐστιν· ἔστι γὰρ τὸ ἄνισον στέρησις μᾶλλον καὶ ἀοριστία,
οὐκ ἐναντίον τῷ ἴσῳ. μήποτε οὖν ἢ κατεχρήσατο ἐνταῦθα εἰρηκὼς τὸ
ἄνισον μᾶλλον καὶ ἧττον εἶναι οὐκ ἀκριβολογησάμενος ἢ καὶ κατὰ προσθή- 30
κην πρός τινων ὕστερον τοῦτο προσετέθη. |

p. 6ᵇ28 Πάντα δὲ τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται, 87ʳ
10 οἷον ὁ δοῦλος δεσπότου δοῦλος λέγεται καὶ ὁ δεσπότης δούλου
δεσπότης.

Ἐφ' ἕτερον παρακολούθημα μεταβέβηκε τῶν πρός τι, ὅπερ καὶ κυρίως 10
αὐτῶν ἐστιν ἴδιον, τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι. ἵνα δὲ μάθωμεν τί
ἐστι πρὸς ἀντιστρέφοντα λέγεσθαι, μάθωμεν πρότερον τί ἐστιν ἀντιστροφή,
15 πρὸ δὲ τούτου τί ἐστι στροφή. στροφὴ τοίνυν ἐστὶν ἡ ἀπὸ τοῦ αὐτοῦ
ἐπὶ τὸ αὐτὸ ἀποκατάστασις· διὰ τοῦτο γὰρ καὶ στρέφεσθαι λέγομεν τὸ 15
πᾶν, ἐπειδὴ κύκλῳ κινούμενον ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ πάλιν
ἀποκαθίσταται. καὶ ἡμεῖς δὲ στρέφεσθαι λεγόμεθα, ὅταν ἐξ οὗ ἠρξάμεθα
τόπου εἰς ἐκεῖνον καταλήξωμεν. ἀντιστροφὴ δέ ἐστιν οἱονεὶ ἰσοστροφή·
20 τὸ γὰρ ἀντὶ παρὰ τοῖς παλαιοῖς τὸ ἴσον σημαίνει, ὥσπερ τὸ ἀντίθεον 20
ἀντὶ τοῦ ἰσόθεον καὶ ἀντιάνειρα ἡ ἰσουμένη ἀνδράσι, καὶ ἀντίχειρα δὲ τὸν
μέγαν φαμὲν δάκτυλον διὰ τὸ ἴσην ἔχειν δύναμιν τοῖς ἄλλοις. ἰσοστροφὴ
δέ ἐστιν ὅταν μηδὲν μᾶλλον τὸ ἕτερον τοῦ ἑτέρου κατηγορῆται ἢ ἐκεῖνο 25
τοῦ λοιποῦ, οἷον ὁ πατὴρ οὐδὲν μᾶλλον πρὸς υἱὸν λέγεται ἢ ὁ υἱὸς πρὸς
25 τὸν πατέρα. τὰ οὖν πρός τι πρὸς ἀντιστρέφοντα λέγεται, οἷον ὁ δοῦλος
δεσπότου δοῦλος καὶ ὁ δεσπότης δούλου δεσπότης.

p. 6ᵇ33 Πλὴν τῇ πτώσει ἐνίοτε διοίσει κατὰ τὴν λέξιν.

Ἐπειδὴ γὰρ πρὸς γενικὴν ἀποδέδωκε, διὰ τοῦτο ἐπήγαγεν ὅτι οὐ | 30
μόνον πρὸς γενικὴν ἀλλὰ καὶ πρὸς ἄλλην ἀποδίδοται πτῶσιν τὰ πρός τι, 87ᵛ

1 ἧττον — καὶ μᾶλλ.] τι μᾶλλον καὶ ἧττον ἴσον a 2 μᾶλλον (post ἀνίσου) om. CF τοῦ μ. λευκοῦ] τοῦ ἥττου (sic) λευκόν F 3 καὶ ἧττον ἴσον coll. C 5 ἀόριστον F 7 τὸ ἧττον a ἀκριβολογούμενος F καὶ (post ἢ) om. Ca 7. 8 προσθ.] λήθην F 8 πρός τινων haud sanum ὕστ. τοῦτο om. F 10 οἷον om. C ὁ (prius) Paris. 2051: om. CFa post δοῦλος (prius) add. τε γὰρ C λέγ. δοῦλος coll. F ὁ (alt.) om. Fa 11 post δεσπ. add. λέγεται Ca: λέγεται εἶναι F (cf. v. 26) 12 καὶ om. a 13. 14 ἵνα — λέγεσθαι om. F 14 μάθ. δὲ F τί ἐστι πρότ. coll. C 16 γὰρ] δὲ C 17 πάλιν F 18 λέγομεν C 19 οἱονεὶ om. F 21 alt. καὶ om. C 22 δύν. ἔχειν coll. Ca 23 κατηγορεῖται F 24 alt. ὁ om. F 27 γε ἐνίοτε C εἶπε διοίσειν τῇ a

ὅθεν οὐδὲ πρὸς τὴν αὐτὴν πάντως ἀντιστρέφει. εἴρηται δὲ ἡμῖν ἤδη 87v
περὶ τούτων ἔμπροσθεν.

p. 6b36 Οὐ μὴν ἀλλ' ἐνίοτε οὐ δόξει ἀντιστρέφειν, ἐὰν μὴ οἰκείως πρὸς ὃ λέγεται ἀποδοθῇ, ἀλλὰ διαμάρτῃ ὁ ἀποδιδούς.

Τὰ πρός τι ἰσότητα τηρεῖν ὀφείλει πρὸς ἄλληλα, ἵνα καὶ ἀντιστρέφῃ, ὥσπερ ἀντιστρέφει ὁ ἄνθρωπος καὶ τὸ γελαστικόν. ἐὰν δὲ ὦσιν ἄνισα, τῷ μὲν ἐλάσσονι τὸ πλεῖον ἀκολουθεῖ ὡς τῷ ἀνθρώπῳ τὸ ζῷον, τῷ δὲ πλείονι τὸ ἔλασσον οὐκέτι· οὐ γὰρ τῷ ζῴῳ ὁ ἄνθρωπος ἀκολουθεῖ. οὗτος οὖν ὁ κανὼν ἐστι τῶν πρός τι, ἡ ἰσότης, ὡς πατὴρ υἱοῦ καὶ διπλάσιον ἡμίσεος, ἅπερ καὶ ἀντιστρέφει. ἐὰν δὲ ἄνισα ὦσιν, οὐκέτι ἀντιστρέφει, ὃ καὶ αὐτός φησι· τὸ πτερὸν ἐὰν ἀποδοθῇ ὄρνιθος, οὐκ ἀντιστρέφει ὄρνις πτεροῦ· οὐ γὰρ πᾶν πτερὸν ὄρνιθός ἐστι πτερόν· εἰσὶ γάρ τινα πτηνὰ ἃ οὐκ εἰσιν ὄρνιθες· τῶν γὰρ πτηνῶν τὰ μέν εἰσι σχιζόπτερα ὡς τὰ παρ' ἡμῖν, ἃ καὶ μόνα ὄρνιθες καλοῦνται, ὡς καὶ αὐτὸς ἔφη σεν ἐν 88r
τῇ Περὶ ζῴων ἱστορίᾳ τὰ σχιζόπτερα ὄρνις καλεῖσθαι, τὰ δέ ἐστιν ὑμενόπτερα, ὡς αἱ νυκτερίδες, τὰ δὲ κολεόπτερα ὡς οἱ κάνθαροι, ἅπερ οὐκ εἰσιν ὄρνιθες. ἐπεὶ οὖν τὸ πτερὸν καὶ ἡ ὄρνις οὐκ ἐξισάζει, ἀλλ' ἐπὶ πλέον τὸ πτερὸν τῆς ὄρνιθος, δεῖ ταῦτα ἐξισῶσαι, ἵνα καὶ ἀντιστρέφῃ. ἐξισοῦται δὲ τὰ ἄνισα ἢ τοῦ ἐλάττονος αὐξηθέντος ἢ τοῦ μείζονος μειωθέντος. ἐὰν οὖν ἐπὶ τούτων αὐξήσωμεν τὸ ἔλαττον, τοῦτ' ἔστι τὴν ὄρνιν, καὶ ποιήσωμεν οὕτως τὸ πτερὸν πτερωτοῦ πτερόν, πτερωτὸν τὴν ὄρνιν προσαγορεύοντες, οὕτως ἀντιστρέφει· τὸ γὰρ πτερωτὸν πτερῷ πτερωτόν. πάλιν ἐὰν ἀποδοθῇ τὸ πηδάλιον πλοίου πηδάλιον, ἐνταῦθα οὐκ ἀντιστρέφει· οὐ γὰρ δυνατὸν λέγειν τὸ πλοῖον πηδαλίῳ πλοῖον· πολλὰ γὰρ πλοῖα πηδάλια οὐκ ἔχει ὡς τὰ ἀκάτια. ἐπειδὴ οὖν ἄνισά ἐστι καὶ ταῦτα (ἐπὶ πλεῖον γὰρ τὸ πλοῖον ἢ τὸ πηδάλιον), ἐὰν τὸ μεῖζον ἐλαττώσωμεν, λέγω δὴ τὸ πλοῖον, λέγοντες ἀντὶ πλοίου πηδαλιωτόν, τότε ἐξ ἴσης γενόμενα ἀντιστρέφει·

1 εἴρηται] p. 105,19 sq. ἤδη om. F 2 post ἔμπροσθεν add. ex Marc. 217 Πρὸς ἀντιστρέφοντα λέγεται. πρὸς ἀντιστρέφοντα οὖν λέγεται τα πρός τι μετὰ διπλασιασμοῦ. οἷον ὁ δοῦλος δύο τινά ἐστι καὶ δοῦλος καὶ ἄνθρωπος. ὁ οὖν δεσπότης πρὸς τὸ δοῦλος λέγεται δεσπότης, ὅτι καὶ ἀντιστρέφει πρὸς αὐτόν, οὐ μὴν πρὸς τὸ ἄνθρωπος. τὴν ἰσότητα οὖν τηρεῖν ὀφείλει ἀεὶ προσάλληλα, ἵνα καὶ ἀντιστρέφῃ, ὥσπερ ὁ ἄνθρωπος καὶ τὸ γελαστικόν. ἐὰν δὲ ὦσιν ἄνισα, τότε οὐκ ἀντιστρέφει. a 3 δόξειεν F μὴ iter. C 5 καὶ om. a 6 ὡς C ἀντιστρέφει om. C καὶ ὁ ἄνθρ. a 8 post ἀκολ. add. ὡς τῷ ἀνθρώπῳ τὸ ζῶον a 10 ἅπερ] ἃ C ἐὰν] ὅσα a εἰσίν a 11 ὄρνιθι C οὐκέτι F 12 ὁ ὄρνις F 14 καὶ (alt.) om. a ἔφη F 14. 15 ἐν τῷ περὶ ζώων ἱστορίας a (cf. Hist. an. A 5 p. 490a12) 15 τὰ σχιζ. — καλεῖσθαι om. a ἐστιν om. a 15. 16 ὑμενόπ.] δερμόπτερα a 16 κολεόπ.] κυκλόπτερα C: κολλόπτερα F 17 ὁ ὄρνις F 20 οὖν om. CF τοῦτ' ἔστι] ἤγουν C 23 ἐὰν om. F ἀντιστρέψει C 24 πηδαλίου (pr. l.) F πηδάλιον (alt. l.) a 25 ἔχουσιν a εἰσι Ca πλεῖον] πλοῖον F 26 ἢ τὸ πηδ.] τοῦ πηδαλίου a ἐὰν] εἰ C: ἐὰν γὰρ F ἐλαττώσομεν C 27. p. 113,1 τότε — πηδαλιωτόν om. F

τό τε γάρ πηδάλιον πηδαλιωτοῦ πηδάλιον καὶ τὸ πηδαλιωτὸν πηδαλίῳ 88r
πηδαλιωτόν ἐστιν. ἔτι δὲ καὶ ἡ κεφαλὴ τινὸς λέγεται κεφαλή (ζῴου γάρ)·
ἐὰν δὲ ἀποδοθῇ πρὸς τὸ ζῷον, οὐκ ἀντιστρέφει, ἐπειδὴ μὴ οἰκεία πάλιν 20
γίνεται ἡ ἀπόδοσις· ἡ μὲν γὰρ κεφαλὴ ζῴου λέγεται κεφαλή, οὐκέτι δὲ τὸ
5 ζῷον τῇ κεφαλῇ ζῷον· ἔστι γάρ τινα τῶν ζῴων ἃ κεφαλὴν οὐκ ἔχει,
οἷον καρκῖνος, σκώληκες, γῆς ἔντερα. δεῖ οὖν πάλιν μειῶσαι τὸ μεῖζον,
λέγω δὴ τὸ ζῷον, καὶ ποιῆσαι κεφαλωτόν, καὶ οὕτως σωθήσεται ἡ ἀντι- 25
στροφή· ἡ γὰρ κεφαλὴ κεφαλωτοῦ κεφαλή, καὶ τὸ κεφαλωτὸν τῇ κεφαλῇ
κεφαλωτόν. ἐπὶ μὲν οὖν τῆς ὄρνιθος τὸ ἔλαττον ηὐξήσαμεν, λέγω δὴ
10 τὴν ὄρνιν, ἐν δὲ τοῖς ἄλλοις τὸ μεῖζον ἐμειώσαμεν, τὸ πλοῖον λέγω καὶ
τὸ ζῷον.

p. 7a5 Ἐνίοτε δὲ καὶ ὀνοματοποιεῖν ἴσως ἀναγκαῖον, ἐὰν | μὴ 88v
κείμενον ᾖ ὄνομα, πρὸς ὃ οἰκείως ἂν ἀποδοθείη.

Ἵνα γὰρ μή τις εἴπῃ 'τί οὖν; εἰ καινοτομεῖ τὰ ὀνόματα καὶ ἕκαστον 15
15 ὡς βούλεταί τις μετασκευάζει, οὐκοῦν οὕτως συμβήσεται πᾶσαν τὴν συνή-
θειαν τῶν ὀνομάτων ἀφανισθῆναι, ἑκάστου καινοτομοῦντος ὡς βούλεται τὰ
ὀνόματα, καὶ λοιπὸν δόξει ἕκαστος ἄσημα φθέγγεσθαι, ἀντὶ μὲν ἀνθρώπου,
εἰ τύχοι, κεφαλωτὸν λέγων ἀντὶ δὲ πλοίου πηδαλιωτόν, ἢ ὁπωσοῦν ἄλλως 20
τις καινοτομήσει;'· λέγει οὖν πρὸς τοῦτο ὅτι οὐδὲν χαλεπὸν οἷς μὴ ἐφρόν-
20 τισε θεῖναι ὀνόματα ἡ συνήθεια, ἐκείνοις ἡμᾶς αὐτοὺς ἐπινοεῖν· ἡ γὰρ
συνήθεια ἐκείνοις τίθησιν ὀνόματα οἷς γινώσκει, αἱ δὲ τέχναι ἅτε δὴ και-
νοτέρων πραγμάτων οὖσαι εὑρέτιδες ὀφείλουσι τοῖς πράγμασι τοῖς ὑπ' 25
αὐτῶν εὑρισκομένοις τιθέναι ὀνόματα πρὸς τὴν τούτων σημασίαν· οἷον ὁ
γεωμέτρης εὑρὼν ὅτι τῶν τριγώνων τὸ μέν ἐστιν ἔχον τὰς δύο πλευρὰς
25 ἴσας τὸ δὲ τὰς τρεῖς ἴσας τὸ δὲ τὰς τρεῖς ἀνίσους, ἐκάλεσε τὸ μὲν ἰσό-
πλευρον τὸ δὲ ἰσοσκελὲς τὸ δὲ σκαληνόν, καὶ ὁ μουσικὸς ὁμοίως τοῖς δια- 30
φόροις κρούμασιν ἐπέθηκε ὀνόματα καὶ τὸ μὲν ἐκάλεσε χρωματικὸν τὸ 89r
δὲ διατονικὸν ἢ ὁπωσοῦν ἑτέρως. κἀνταῦθα τοίνυν ἐπειδὴ ἠμέλησεν ἡ
συνήθεια τοῖς τοιούτοις θεῖναι ὀνόματα, ἡμᾶς ἀνάγκη τιθέναι· πλοῖον μὲν
30 γὰρ ἐκάλεσεν, οὐκέτι δὲ διέστειλε τὰ πηδαλιωτὰ ἀπὸ τῶν μὴ πηδαλιωτῶν, 5
καὶ ζῷον μὲν ὠνόμασεν, οὐκέτι δὲ διεχώρισε τῇ προσηγορίᾳ τὰ ἔχοντα

1 πηδαλιωτῷ (pr. l.) a 2 ἐστιν om. F δὲ καὶ om. C: καὶ om. a
3 δὲ] οὖν Ca ἀντιστ. οὐδαμῶς (οὐκ om.) C πάλλιν F 5 ζῶον
om. F εἰσὶ Ca 6 ὁ καρκ. Fa οἱ σκώλ. a πάλιν om. C
8 τῇ om. F 9 οὖν om. F 10 λέγω δὴ Fa 13 ἂν om. F 14 γὰρ]
οὖν C εἴπῃ τί om. C εἴποι a 14. 15 εἰ καινοτομεῖ . . μετασκευάζει
scripsi: δεῖ καινοτομεῖν . . μετασκευάζειν (κατασκευάζειν a) libri 17 ἀντὶ τοῦ μὲν ἄν-
θρωπος F 18. 19 ἄλλως — οὖν om. C 19 τις om. a ὅτι om. C
20 αὐτοὺς ἡμᾶς coll. F οἷς] ἃ Ca 24 εὑρηκὼς Ca ante ἔχον add. τὸ a
post πλ. add. μόνας C: ante πλ. a 27 ὀνόμ. ἐπέθ. coll. a ἐπιτέθεικεν F
29 μὲν om. F 30 πηδαλιωτά] πηδάλιά CF μὴ om. C 31 ἐχώρ. Ca

κεφαλὴν ἀπὸ τῶν μὴ ἐχόντων. διὰ τοῦτο, ὡς εἴρηται, ἡμᾶς ὀνοματοποιεῖν 89r
ἐν τοῖς τοιούτοις οὐδὲν ἄτοπον. ὅπως δὲ δεῖ τίθεσθαι τὰ ὀνόματα καὶ
πόθεν, αὐτὸς ἐφεξῆς ἐδήλωσεν εἰπών· 10

p. 7a18 Οὕτως δὲ ῥᾷστα ἂν ἴσως τις λάβοι οἷς μὴ κεῖται ὀνό-
5 ματα, εἰ ἀπὸ τῶν πρώτων καὶ τοῖς πρὸς ἃ ἀντιστρέφουσι τιθείη
τὰ ὀνόματα.

Κανόνα ἡμῖν νῦν παραδίδωσι, δι' οὗ δυνησόμεθα ὀνοματοποιεῖν
οἰκείως, ἐὰν ἐν τῇ κοινῇ συνηθείᾳ ὄνομα μὴ εὑρίσκηται· δεῖ γάρ, φησίν, 20
ἀπὸ τῶν πρώτων καὶ οἰκείως κατηγορουμένων παρώνυμον τιθέναι ὄνομα
10 ἐκείνοις ὧν κατηγοροῦνται, καὶ οὕτως εὑρήσομεν αὐτὰ ἀντιστρέφοντα, οἷον
ἀπὸ τοῦ πηδαλίου καλεῖν τὸ πλοῖον οὗ τὸ πηδάλιον κατηγορεῖται πηδα-
λιωτόν, καὶ ἀπὸ τῆς κεφαλῆς καλεῖν τὸ ζῷον τὸ κεφαλὴν ἔχον κεφα- 25
λωτόν. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καὶ ταῦτα δὲ πάλιν φησὶ λεληθότως
βουλόμενος τὸν ὁρισμὸν κακίσαι· εἰ γὰρ πρός τι ταῦτά ἐστιν ἅπερ ἑτέρων
15 εἶναι λέγεται, καὶ ἡ κεφαλὴ καὶ τὸ πηδάλιον καὶ τὸ πτερὸν ἔσται τῶν
πρός τι, ὅπερ ἄτοπον· ταῦτα γὰρ ὡς μὲν μέρη οὐσιῶν λέγεται εἶναι πρός 30
τι (τὸ γὰρ μέρος ὅλου ἐστὶ μέ|ρος καὶ τὸ ὅλον τοῖς μέρεσιν ὅλον), ὡς 89v
μέντοι γε πτερὸν ἢ πηδάλιον ἢ κεφαλὴ οὔκ εἰσι πρός τι, ἀλλ' οὐσίαι·
ἕκαστον γὰρ τούτων αὐτὸ καθ' αὑτὸ θεωρεῖται· ἀμέλει ἐὰν ἀποτμηθῇ ἡ
20 κεφαλὴ ἢ ἡ χεὶρ τοῦ παντός, οὐδὲν ἧττον λέγεται κεφαλὴ καὶ χείρ, μέρη 5
μέντοι οὐκέτι λέγεται· τὸ γὰρ μέρος ἐν τῷ ὅλῳ θεωρεῖται. τὰ δὲ πρός
τι ἐὰν ἀφαιρεθῇ ἐκείνων πρὸς ἃ λέγεται, καὶ τὴν οἰκείαν ὀνομασίαν εὐθὺς
συναφῃρέθη· οἷον ὁ πατὴρ λέγεται υἱοῦ πατήρ, ἀλλ' ἐὰν ἀφαιρεθῇ ὁ υἱός,
καὶ τὸ πατὴρ εἶναι ὁ πατὴρ συναφῃρέθη. τὰ δὲ ἑτέρων λεγόμενα κἂν 10
25 ἀφαιρεθῇ ἐκείνων ὧν λέγεται εἶναι, φυλάττει οὐδὲν ἧττον τὴν ὀνομασίαν·
οἷον ἡ κεφαλὴ ζῴου λέγεται κεφαλή, καὶ ἐὰν ἀφαιρεθῇ τοῦ ζῴου, οὐδὲν
ἧττον λέγεται κεφαλή, καὶ τὸ πηδάλιον πλοίου καὶ τὸ πτερὸν ὄρνιθος καὶ
ἀφαιρεθέντα τούτων ὧν εἶναι λέγεται οὐδὲν ἧττον πάλιν τῆς οἰκείας ὀνο- 15
μασίας τετύχηκε.

---

1 εἴρηται] p. 113, 19 4 λάβοι τις coll. C λαμβάνοι F 5 post πρώτων add. λαμβάνοι C 7 νῦν om. C: post παραδ. coll. a 8 μὴ] οὐχ a εὑρίσκεται Ca 10 καθ' ὧν F 11 οὗ om. F κατηγ.] ἔχον F 12 καλεῖν post ἔχον coll. C ante κεφαλὴν add. τὴν F 18 τῶν πρός a 19 ἀμέλει — θεωρεῖται (21) om. F 20 τοῦ π. ἢ ἡ χεὶρ coll. a 21 τῷ om. a 22 ἐὰν — ὀνομασίον (25)] τοῦ ἑνὸς ἀφαιρουμένου συναφαιρεῖται καὶ τὸ ἕτερον, οἷον ἂν ἀφαιρεθῇ ὁ υἱὸς καὶ τὸ πατὴρ εἶναι ὁ πατὴρ συναφῃρέθη, τὰ δὲ ἑτέρων λεγόμενα κἂν ἀφαιρεθῇ ἐκείνων πρὸς ἃ λέγεται καὶ τὴν οἰκείαν ὀνομασίαν εὐθὺς συναφῃρέθη, οἷον ὁ πατὴρ υἱοῦ λέγεται πατήρ. ἀλλ' ἐὰν ἀφαιρεθῇ ἐκείνων ὧν λέγεται εἶναι, φυλάττει οὐδὲν ἧττον τὴν ἰδίαν οὐσίαν F ἐὰν] εἰ C ἐκεῖνο a 23 συναφαιρεθήσεται a υἱοῦ λέγ. coll. a 24 ὁ πατὴρ om. C συναφῃρέθη] ἀφῃρέθη C: συναφαιρεθείη a 25 εἶναι om. C 26 ἂν Fa 27 καὶ τὸ πηδ.] τὸ δὲ πηδ. a 28 ἀφαιρεθέντων C καὶ εἶναι Fa τῆς οἰκ. πάλιν coll. a

p. 7a25 Λέγω δὲ ὅτι οὐδὲ τῶν ὁμολογουμένως πρὸς ἀντιστρέ- 89v
φοντα λεγομένων, καὶ ὀνομάτων αὐτοῖς κειμένων, οὐδὲν ἀντι-
στρέφει, ἐὰν πρός τι τῶν συμβεβηκότων ἀποδιδῶται, καὶ μὴ
πρὸς αὐτὰ ἃ λέγεται.

Ἐντεῦθεν ἐκ τοῦ μᾶλλον ἡ ἐπιχείρησις· τί γὰρ θαυμαστόν, φησίν, εἰ ἐπὶ τῶν εἰρημένων οὐ σώζεται ἡ ἀντιστροφὴ διὰ τὸ μὴ κυρίως ἀποδεδόσθαι, ὁπότε οὐδὲ τὰ ὁμολογουμένως ὄντα πρός τι καὶ πρὸς ἀντιστρέφοντα λεγόμενα, οἷς καὶ ὀνόματα κεῖται, οὐκ ἀντιστρέφει, ἐὰν μὴ κυρίως ἡ ἀπόδοσις γένηται; οἷον τὸν δεσπότην ἐὰν μὴ πρὸς δοῦλον ἀλλὰ πρὸς ἄνθρωπόν τις ἀποδῷ λέγων 'ὁ δεσπότης ἀνθρώπου δεσπότης', οὐ δυνήσεται ἀντιστρέψας εἰπεῖν 'ὁ ἄνθρωπος δεσπότου ἄνθρωπος'· τοῦτο γὰρ καταγέλαστον· τὸν μὲν | γὰρ δεσπότην ἀνθρώπου εἰπεῖν δεσπότην οὐ 90r
χαλεπόν, τὸν δὲ ἄνθρωπον δεσπότου ἄνθρωπον ἀτοπώτατον. ὥστε καὶ ἐπὶ τούτων ἐπειδὴ μὴ οἰκεία γέγονεν ἡ ἀπόδοσις, οὐδὲ ἡ ἀντιστροφὴ σώζεται· οὐ γὰρ πρὸς ἴσον ἐποιησάμεθα τὴν ἀπόδοσιν· ἐπὶ πλέον γὰρ ὁ ἄνθρωπος. δεῖ οὖν τὰ ἀντιστρέφοντα ἐξισάζειν ἀλλήλοις, ὥσπερ εἴρηται, ἵνα καὶ ἀντιστρέφῃ· διὰ τοῦτο γὰρ καὶ τὰ ἴδια ἀντιστρέφει πρὸς ἐκεῖνα ὧν ἐστιν ἴδια, ἐπειδὴ καὶ ἐξισάζει ἀλλήλοις. ταῦτα δὲ πάντα φησὶ συναγωνιζόμενος τῷ ὁρισμῷ τῷ λέγοντι τὰ πρός τι εἶναι τῷ ἑτέρων λέγεσθαι καὶ δεικνύειν πειρᾶται κατὰ τὸν ὁρισμὸν τοῦτον τὰ πρός τι ἀντιστρέφοντα, κρατῦναι βουλόμενος αὐτὸν ὡς οἷόν τε, ἵνα μὴ δόξῃ ἐρήμην αὐτοῦ καταψηφίζεσθαι, εἶθ' ὕστερον εὐλόγως αὐτὸν διελέγξαι δεικνὺς ὅτι καὶ μετὰ τοσαύτην συνηγορίαν ὅμως πολλὰ ἄτοπα αὐτῷ παρακολουθεῖ.

p. 7a31 Ἔτι ἐὰν μὲν οἰκείως ἀποδεδομένον ᾖ πρὸς ὃ λέγεται, πάντων περιαιρουμένων τῶν ἄλλων ὅσα συμβεβηκότα ἐστί, καταλειπομένου δὲ μόνου τούτου πρὸς ὃ ἀπεδόθη οἰκείως, πρὸς αὐτὸ ῥηθήσεται.

Κανόνα ἡμῖν παραδίδωσι τῶν οἰκείως κατά τινος ἀποδεδομένων· 90v
λέγει γὰρ ὅτι ἐάν τι ᾖ πλείοσιν ὀνόμασι λεγόμενον, εἶτα ὑπάρχῃ ἄλλο τι

4 αὐτὸ ὃ Arist. 5 ἐντεῦθεν om. C 6. 7 ἀποδίδοσθαι F 8 κεῖνται F 9 τὸν δοῦλον F 10 ἀποδῷ scripsi: ἀποδώσει CF: ἀποδώσῃ a (cf. p. 59,21) 14 ἡ (alt.) om. C 15 πλεῖον C 16 εἴρηται] p. 112,18 17 post ἀντιστρέφῃ add. πρὸς ἐκεῖνα ὧν ἐστιν ἴδια C ἀντιστρ. τὰ ἴδια coll. a 18 ταῦτα] αὐτὰ a 19 tertium τῷ] τῶν F; scribas ἐν τῷ 21 κρατύνειν a ἐρήμην om. C 21 post αὐτοῦ add. ἀλόγως C 22 αὐτὸν εὐλ. coll. C διελέγξει C: διαλέξῃ F 23 αὐτῷ ἄτ. coll. F 24 ἔτι δ' Arist. μέν τι Arist.: μὴ a ἀποδιδόμενον F 26 τούτου μόνου coll. Ca τούτου τοῦ F 26 pr. πρὸς—οἰκείως] τοῦ δεσπότην εἶναι a 26. 27 ἀεὶ πρὸς αὐτὸ ῥηθ. Arist.: ἀεὶ ὁ δοῦλος πρὸς αὐτὸ ῥηθήσεται a 28 παραδ.] ἀποδίδωσι F ἀποδιδομ. F 29 ἐάν τι] ὃ ἂν a ὑπάρχῃ scripsi: ὑπάρχει CF: ὑπάρχον a

καθ' ἑνὸς τούτων τῶν ὀνομάτων κατηγορούμενον, καὶ βούλῃ γνῶναι εἰ 90ᵛ
οἰκείως τὸ κατηγορούμενον ἐκείνῳ τῷ ὀνόματι κατηγορήθη, περιελὼν πάντα
τὰ ἄλλα ὀνόματα τὰ συμβεβηκότα τῷ ὑποκειμένῳ, καταλιπὼν δὲ μόνον
ἐκεῖνο πρὸς ὃ ἀπεδόθη τὸ κατηγορούμενον, ἐὰν εὕρῃς αὐτὸ ἀντιστρέφον 15
5 πρὸς ἐκεῖνο ὅπερ αὐτοῦ κατηγορεῖται, ἴσθι ὅτι οἰκείως ἀπεδόθη τὸ πρό-
τερον· οὐ γὰρ ἂν ἀντέστρεφεν, εἰ μὴ οἰκείως ἀπεδόθη· οἷον ὁ δοῦλος
ἐὰν ἀποδοθῇ δεσπότου δοῦλος, ἐπειδὴ τῷ δεσπότῃ συμβέβηκε τὸ ἀν-
θρώπῳ εἶναι καὶ δίποδι καὶ ἐπιστήμης δεκτικῷ, ἐὰν ταῦτα πάντα ἀφέλῃς 20
αὐτοῦ καὶ ὑποθῇ ὡς μηδὲ ὅλως ὑπάρχοντα, καταλείψῃς δὲ μόνον τὸ
10 δεσπότην εἶναι, οὐδὲν ἧττον εὑρήσεις κυρίως γινομένην τὴν ἀντιστροφήν·
ὁ γὰρ δεσπότης δούλου λέγεται δεσπότης. ἐὰν δὲ μὴ πρὸς δεσπότην ἀπο-
δοθῇ ὁ δοῦλος ἀλλὰ πρὸς ἄνθρωπον, περιαιρουμένων τοῦ ἀνθρώπου τῶν 25
λοιπῶν πάντων, λέγω δὴ τοῦ δεσπότου τοῦ δίποδος καὶ τῶν λοιπῶν, οὐ
σωθήσεται ἡ ἀντιστροφή· οὐ γὰρ δυνατὸν ἀντιστρέψαντα εἰπεῖν 'ὁ ἄνθρωπος
15 δούλου ἄνθρωπος'. ὥστε οὐκ οἰκείως ὁ δοῦλος πρὸς τὸν ἄνθρωπον ἀπε-
δόθη. περιαιρουμένων φησὶν τῶν ἄλλων ἁπάντων ὅσα συμβεβη- 30
κότα ἐστὶ τῷ δεσπότῃ, οἷον | τὸ δίποδι εἶναι ⟨καὶ⟩ τὸ ἐπιστήμης 91ʳ
δεκτικῷ καὶ τὸ ἀνθρώπῳ, καὶ οὐδὲν θαυμαστὸν ὅτι ταῦτα συμβεβηκότα
εἶπεν· οὐχ ἁπλῶς γὰρ συμβεβηκότα εἶπεν, ἀλλ' ἃ συμβεβηκότα πρὸς τὴν τοῦ
20 δούλου σχέσιν εἶεν ἂν καὶ δευτέρως αὐτοῦ κατηγορούμενα, πρώτως δὲ καὶ
καθ' αὑτὸ ὁ δεσπότης· τῇ γὰρ σχέσει τῶν πρός τι, ὡς ἔφθην εἰπών, 5
αὐτῇ καθ' αὑτὴν οὐχ ὑφεστηκυίᾳ ποτὲ μὲν συμβαίνει ἐν οὐσίᾳ εἶναι ποτὲ
δὲ ἐν ποσῷ ἢ ἐν ποιῷ ἢ ἐν ἄλλῃ τινὶ τῶν κατηγοριῶν. ὥστε οὐκ ἀτόπως
τις τῷ διπλασίῳ πρός τι ὄντι, ὅταν μὲν ᾖ, εἰ τύχοι, ἐν ξύλῳ, λέγει αὐτῷ
25 συμβεβηκέναι τὸ ξύλον, ὅταν δὲ ἐν λίθῳ, τὸν λίθον, καὶ ὅταν ἐν ἐπιφα- 10
νείᾳ ἢ ἐν χρόνῳ, τὸν χρόνον ἢ τὴν ἐπιφάνειαν. τῆς σχέσεως καθ' αὑτὴν
τῇ ἐπινοίᾳ θεωρουμένης.

---

1 βούλει Ca 2 κατηγορηθῇ C: κατηγορηθείη a 3 καὶ τὰ συμβ. a
5 ὅπερ] ὃ a κατ. αὐτοῦ coll. a 6 ἂν om. F post ἀπεδόθη add. τὸ πρότερον C οἷον ὁ γὰρ δοῦλος F 7 ἀποδοθείη F συμβ. τῷ δεσπ. coll. a 8 post δίποδι add. εἶναι Fa πάντα ταῦτα coll. a 9 ἀπ' αὐτοῦ Ca μηδὲ] μὴ a 12 περιαιρουμένου a 14 ἀντιστρέφοντα F ὁ om. Ca
16 τῶν ἄλλων ἁπάντων Arist.: τῶν ἁπ. C: τῶν ἄλλων F: ἁπ. a 17 εἰσι C καὶ Arist.: om. CFa 18 pr. καὶ] εἶναι F: om. a alt. καὶ Vind. 10: om. CFa θαυμ.] καινὸν C 19 οὐχ—εἶπεν om. Fa ἀλλ' ἃ scripsi: ἀλλὰ libri 20 πρῶτος Ca alt. καὶ om. C 21 ἔφθην εἰπών] p. 104,28
22 ὡς οὐχ a οὐχ om. C 23 ποσότητι a ἐν (ante ποιῷ) om. F
24 τύχῃ F λέγειν Ca 25 συμβεβηκός τι F 26 κατ' αὐτὴν a 27 τὴν ἐπινοία (sic) C

p. 7b15 Δοκεῖ δὲ τὰ πρός τι ἅμα τῇ φύσει εἶναι. καὶ ἐπὶ μὲν 91r
τῶν πλείστων ἀληθές ἐστιν, ἐπ' ἐνίων δὲ οὐκ ἀληθές· ἅμα γὰρ 15
διπλάσιόν τέ ἐστι καὶ ἥμισυ, καὶ ἡμίσεος ὄντος διπλάσιόν ἐστι.

Ἕτερον τῶν πρός τι παρακολούθημα ἴδιον ἀποδέδωκε μετὰ τὸ πρὸς
5 ἀντιστρέφοντα λέγεσθαι, τὸ ἅμα τῇ φύσει εἶναι. ἅμα δὲ τῇ φύσει ταὐτά
ἐστιν ὧν τοῦ ἑνὸς τεθέντος ἀνάγκη συνεισάγεσθαι καὶ τὸ ἕτερον καὶ ἀναι- 30
ρεθέντος συναναιρεῖσθαι. καὶ μηδέποτε τοῦ | ἑτέρου ὄντος τὸ ἕτερον μὴ 91v
εἶναι· ἅμα γὰρ τῷ εἰπεῖν δοῦλον ἀνάγκη τὸν δεσπότην συνεπινοεῖν, καὶ
διπλασίου ὄντος ἀνάγκη καὶ ἥμισυ εἶναι. καὶ ἐπὶ μὲν τῶν πλείστων
10 φησὶν ἀληθές ἐστιν. ἐπὶ τῶν πλείστων εἶπεν, ἐπειδὴ ἐπί τινων
ἄλλων μέλλει ἀπορεῖν δοκούντων μὴ ἅμα τῇ φύσει ὑπάρχειν. 5

p. 7b22 Οὐκ ἐπὶ πάντων δὲ τῶν πρός τι ἀληθὲς δοκεῖ τὸ ἅμα
τῇ φύσει εἶναι· τὸ γὰρ ἐπιστητὸν τῆς ἐπιστήμης πρότερον ἂν
δόξειεν εἶναι.

15 Ἔνστασιν πρὸς τὸ εἰρημένον κομίζει ὅτι οὐ πᾶσι τοῖς πρός τι δοκεῖ 10
ὑπάρχειν τὸ ἅμα τῇ φύσει εἶναι· ἡ γὰρ ἐπιστήμη καὶ τὸ ἐπιστητὸν τῶν
πρός τι ὄντα οὐχ ἅμα ὑπάρχει· τῶν μὲν γὰρ ἐπιστητῶν ἀναιρεθέντων
ἀναιρεῖται καὶ ἡ ἐπιστήμη· ἐπιστητοῦ γὰρ μὴ ὄντος τίνος ἂν εἴη ἐπι-
στήμη; ἐπιστήμης δὲ μὴ οὔσης οὐδὲν κωλύει εἶναι ἐπιστητά· ὥστε οὐχ 15
20 ἅμα τῇ φύσει ταῦτα ὑπάρχουσι τῶν πρός τι ὄντα. τὸ δὲ πρότερον διττόν.
τὸ μὲν χρόνῳ τὸ δὲ φύσει. καὶ πρότερον μὲν χρόνῳ ἐστὶν οὗ πρὸς τὸ
νῦν πλείων ἡ ἀπόστασις, ὡς ἐπὶ τοῦ παρεληλυθότος· διὰ τοῦτο γὰρ λέγομεν
τὰ Μηδικὰ πρότερα τῶν Πελοποννησιακῶν. ὅτι αὐτῶν πλείων ἐστὶν ἀπὸ 20
τοῦ νῦν ἡ ἀπόστασις. ἐπὶ δὲ τοῦ μέλλοντος ἀνάπαλιν οὐ ἐλάττων ἀπὸ

---

2 ἐπ' ἐνίων .. ἀληθές om. Arist. post οὐκ add. ἔστιν C 3 post ἥμισυ add. ἐστι F post ὄντος add. καὶ a 4 ἀποδέδ.] παρέλαβε F: παραδίδωσι a
5 post εἶναι add. πῶς δέ εἰσιν ἅμα τῇ φύσει τὰ πρός τι; πατὴρ μὲν γὰρ καὶ υἱὸς ἅμα τῇ φύσει, κτήτωρ δὲ καὶ κτῆμα πῶς; ὅτι τὰ πρός τι οὐ τὴν φύσιν τῶν πραγμάτων σκοπεῖ, ἀλλὰ τὴν σχέσιν, ἣν πρὸς τὸ ἕτερον ἔχει. ὁ οὖν πατὴρ οὐ καθὸ ἄνθρωπος ἔχει τὸ ἅμα τῇ φύσει εἶναι, ἀλλὰ καθ' ὃ σχέσιν ἔχει πρὸς τὸν υἱόν a 6. 7 ἀνάγκη — ἀναιρεθέντος om. F
7 οὐδέποτε F ante ἑτέρου add. τεθέντος F 9 ἐπὶ τῶν πλ. δὲ (καὶ et μὲν om.) a 10 φησὶν] εἶπεν Ca ἐστιν] εἶναι a ἐπὶ τῶν πλείστων εἶπεν om. a τινων] τῶν F 11 δοκούντων — πρός τι (12) in mrg. suppl. C 12 δοκεῖ ἀλ. coll. C 13. 14 τὸ γὰρ — εἶναι om. a 13 τῆς ἐπιστ. δόξ. ἂν πρότ. coll. F: πρότ. ἂν δόξ. τῆς ἐπιστ. Arist. 17 μὲν om. a 18 ἐπιστητοῦ] τούτου a
19 οὐδὲν ἧττον F ἐπιστητόν F 20 ὑπ. ταῦτα coll. a διττόν ἐστι a
21 τὸ μὲν γὰρ χρ. C πρότ. μὲν οὖν τῷ χρ. (καὶ om.) F: καὶ τὸ μὲν χρ. (πρότ. om.) a 23 πρότερον F 23. 24 ὅτι — ἀπόστασις om. F 24. p. 118,1 ἐπὶ — pr. πρότερον om. a 24 τὸ ἀνάπ. F ἔλαττον C

τοῦ νῦν ἡ ἀπόστασις, τοῦτο πρότερον· πρότερον γὰρ τὸ αὔριον 91v
τοῦ μεταύριον. τοιοῦτον μὲν οὖν τὸ τῷ χρόνῳ πρότερον. τῇ δὲ
φύσει πρότερον τὸ συναναιροῦν μὲν μὴ συναναιρούμενον δὲ καὶ τὸ συνεισ-
φερόμενον μὲν μὴ συνεισφέρον δέ, ὡς ἐπὶ ζῴου καὶ ἀνθρώπου ἔχει. τὸ 25
5 οὖν ἐπιστητὸν τῆς ἐπιστήμης πρότερον ἂν δόξειεν εἶναι φύσει· ἐπιστητοῦ
γὰρ μὴ ὄντος ἐπιστήμη οὐκ ἔστιν, ἐπιστήμης δὲ μὴ οὔσης τὸ ἐπιστητὸν
δύναται εἶναι. ἀμέλει φασὶ Θαλῆν τὸν Μιλήσιον πρῶτον ἐπιστῆσαι τῇ
αἰτίᾳ τῆς σεληνιακῆς ἐκλείψεως κατανοήσαντα ὅτι ἐκ τοῦ ἡλίου ἡ σελήνη 30
δέχεται τὸ φῶς, διότι ἀεὶ τὸ πεφωτισμένον αὐτῆς μέρος πρὸς τὸν ἥλιον
10 νεύει, ὅθεν αὐξομένη μὲν τῇ ἀποστά|σει τοῦ ἡλίου τὸ μὲν πεφωτισμένον 92r
μέρος ἔχει πρὸς δυσμάς, δυτικωτέρου ὄντος τότε τοῦ ἡλίου, τὸ δὲ κερα-
τοειδὲς αὐτῆς καὶ ἀφώτιστον νεύει πρὸς ἀνατολάς. ἐπὰν δὲ γένηται ἀντι-
πρόσωπος ὅλη τῷ ἡλίῳ, κατὰ διάμετρον αὐτοῦ ἀποστᾶσα, τότε πᾶσα 5
φωτίζεται ὅλη ὅλῳ τῷ ἡλίῳ προσβάλλουσα (ὅλην δὲ λέγω κατὰ τὸ πρὸς
15 ἡμᾶς αὐτῆς νενευκὸς μέρος), ἡνίκα δὲ ἄρξηται μειοῦσθαι τῇ συνόδῳ τῇ
πρὸς τὸν ἥλιον, τότε πάλιν τὸ μὲν πεφωτισμένον αὐτῆς μέρος νεύει πρὸς
ἀνατολάς, τοῦ ἡλίου τότε ἀνατολικωτέρου ὄντος, τὸ δὲ ἀφώτιστον καὶ 10
κερατοειδὲς πρὸς δυσμάς. ἐντεῦθεν τοίνυν ἐπέστησε τῇ σεληνιακῇ ἐκλείψει,
ὅτι ἐπειδὰν ἐμπέσῃ εἰς τὸ καλούμενον σκίασμα τῆς γῆς, τοῦ ἡλίου κατὰ
20 κάθετον αὐτῇ ὄντος ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ, πάσχειν συμβαίνει αὐτῇ
παντελῆ ἔκλειψιν, τῶν ἀκτίνων τῶν ἡλιακῶν μηδαμῶς αὐτῇ προσβαλλου- 15
σῶν. ἀμέλει εἰ μὴ ἐν πανσελήνῳ μόνῃ τοῦτο οὐ συμβαίνει. εἰ τοίνυν
πρῶτος ὁ Θαλῆς ἐπέστησε τῇ σεληνιακῇ ἐκλείψει, δῆλον ὅτι πρὸ αὐτοῦ
τὸ μὲν ἐπιστητὸν ἦν, λέγω δὴ ἡ σεληνιακὴ ἔκλειψις, ἐπιστήμη δὲ ταύτης
25 οὐκ ἦν. δῆλον οὖν ὅτι προϋπάρχει καὶ χρόνῳ καὶ φύσει τὸ ἐπιστητὸν 20
τῆς ἐπιστήμης καὶ οὐχ ἅμα εἰσὶ ταῦτα τῶν πρός τι ὄντα. ὡσαύτως
αἰσθητοῦ μὲν μὴ ὄντος οὐδὲ αἴσθησίς ἐστι (τίνος γὰρ ἔσται αἴσθησις;),
αἰσθήσεως μέντοι μὴ οὔσης οὐδὲν κωλύει τὰ αἰσθητὰ εἶναι, οἷον πῦρ γῆν
καὶ τὰ τοιαῦτα.

30 p. 7b24 Ὡς γὰρ ἐπὶ τὸ πολὺ προϋπαρχόντων τῶν πραγμάτων τὰς ἐπιστήμας λαμβάνομεν.

Τὸ ὡς ἐπὶ τὸ πολὺ αὐτὸς ἐξηγήσατο εἰπὼν ἐπ' ὀλίγων γὰρ ἢ ἐπ'

---

1 τοῦτο πρότερον om. C πρότ. γὰρ — πρότερον (2) in mrg. suppl. C 2 τοιοῦτον] τοῦτο F τῇ] τὸ a δὲ om. F 3 φύσει ἐστι F 5 εἶναι δόξ. coll. a
7 θαλῆ C πρῶτον scripsi: πρότερον libri (cf. v. 23) 7. 8 τὰ αἴτια F
8. 9 δέχ. ἡ σελ.. coll. C 9. 10 ἀεὶ — ὅθεν om. a 10 αὐξομ. a: ἀρξαμ. C: αὐξαμ. F 11 τότε om. F 12 ἀνατολήν C 14 ὅλω om. C προβάλλ. F
καὶ κατὰ a 16 τὸν om. F μὲν om. C μέρος αὐτῆς F: om. a
20 πάσχει ἢ (ἡ a) συμβ. Ca αὐτὴν (alt. l.) F 21 παντελὴς ἔκλειψις C 22 μόνῃ del. C: μόνον F οὐ] μόνῃ (?) sed del. C alt. εἰ om. C 23 ἐλλείψει F
24 αὐτῆς a 28 πῦρ] τὴν C 30 ante ὡς add. εἰπὼν lemmate Ἐπ' ὀλίγων — γινομένην anteposito a 30. 32 τὸ (ante πολὺ) om. F 31 post ἐπιστ. add. αὐτῶν F
32 τὸ ὡς — εἰπὼν om. C αὐτὸς] νῦν a εἰπὼν om. a γὰρ om. F

οὐδενὸς ἴδοι τις ἂν ἅμα τῷ ἐπιστητῷ τὴν ἐπιστήμην γινομένην. 92r
ταῦτα δὲ εἶπε | διὰ τὰ ἀπό τινος τέχνης προαγόμενα· ταῦτα γὰρ οὐ προῦπ- 92v
άρχει, ἀλλ' ἅμα τῷ ἐκ τῆς τέχνης προαχθῆναι τὸ εἶναι ἔχει· τὰ μὲν
γὰρ φυσικὰ προῦπάρχει τῆς ἐπιστήμης, τὰ δὲ τεχνητὰ ἅμα τῇ αὐτῶν
5 ἐπιστήμῃ τὸ εἶναι ἔχει· οἷον ἐπενόησέ τις στιβάδα πρὸς τὸ καθεύδειν· 5
ἐνταῦθα ἅμα τῷ ἐπιστητῷ καὶ ἡ ἐπιστήμη τὸ εἶναι ἔχει. ἴδοις δ' ἂν
τοῦτο μάλιστα ἐπὶ τῶν κατὰ μηχανικὴν εὑρημάτων. οἷον πῶς ἄν τις βάρη 15
κινήσειεν ἢ μετεωρίσειεν ὕδωρ ἤ τι τοιοῦτον· δῆλον γὰρ ὅτι ταῦτα καὶ τὰ
τοιαῦτα ἅμα τῇ περὶ αὐτῶν ἐπιστήμῃ εὕρηται οὐκ ὄντα πρὸ τῆς περὶ
10 αὐτῶν ἐπιστήμης. τάχα δὲ καὶ ἀντιπεπονθότως τοῖς φυσικοῖς ἔχουσι τὰ
τεχνητά· ἐπὶ μὲν γὰρ τῶν φυσικῶν, ὡς εἴρηται, αὐτὰ τὰ ἐπιστητὰ προῦπ-
άρχει τῆς περὶ αὐτῶν ἐπιστήμης, ἐπὶ δὲ τῶν ἐκ τῆς τέχνης συνεστώτων 20
δεῖ πρότερον τὴν περὶ αὐτῶν ὑπάρξαι ἐπιστήμην, εἶτα τὸ ἐπιστητὸν γενέ-
σθαι· πρῶτον γὰρ δηλονότι ἡ περὶ τῆς θύρας ἐπίνοια γέγονε καὶ ὅπως ἂν
15 αὐτὴ συσταίη, εἶτα λοιπὸν γέγονε τῆς ἐπινοίας τὸ ἀποτέλεσμα· εἰ μή τις
ἐκεῖνο εἴποι ὅτι ἡ ἐπιστήμη ἡ περὶ τοῦ πλοίου πρὶν τὸ πλοῖον γενέσθαι 25
εἰ καὶ προῦπῆρξεν ἐν τῇ ψυχῇ τοῦ πρῶτον ἐπινενοηκότος, ἀλλ' οὖν οὔπω
τὸ εἶναι κυρίως ἐπιστήμη εἶχεν, ἀδήλου τέως ὄντος εἰ τῇ ἐπινοίᾳ καὶ τὸ
πρᾶγμα συνακολουθήσει ἢ μή· τότε γὰρ μέχρι μόνον φαντασίας προῆλθε
20 τὸ τοιοῦτον, εἰς ἔργον δὲ ἐκβῆναι οὐ δύναται. ὥσπερ ὁ μῦθος ὁ | περὶ 93r
Δαιδάλου ἔχει, ὅτι πτερῶσαι ἐπινενόηκεν ἑαυτὸν καὶ τὸν υἱὸν Ἴκαρον·
ὥστε ὅταν ἅμα τῇ περί τινος ἐπιστητοῦ ἐπιστήμη καὶ αὐτὸ εἰς ἔργον ἐκβῇ
τὸ ἐπιστητόν, τότε τῷ ὄντι καὶ ἡ ἐπιστήμη κυρίως ἐστὶν ἐπιστήμη τὸ
ἀμφίβολον οὐκ ἔχουσα. ὥστε ἐπὶ τῶν τεχνητῶν ἅμα συνυφίστασθαι ἀλλή- 5
25 λοις τὸ ἐπιστητόν τε καὶ τὴν ἐπιστήμην συμβαίνει.

---

1 ἂν om. Ca τὴν ἐπιστ. ante ἅμα coll. C 2 ταῦτα δὲ εἶπε] Ἐπ' ὀλίγων ἢ ἐπ' οὐδενὸς εἶπε τὴν ἐπιστήμην γινομένην C προσαγ. F . 2. 3 προϋπῆρχεν Ca 3 τὰ μὲν — ἔχει (5) post ἔχει (6) coll. C 4 τεχνητὰ] ἐκ τέχνης a 5 ἔχει τὸ εἶναι coll. F 7 τοῦτο — εὑρημάτων] τοῦτο καὶ ἐπὶ τῶν ἀναπλασμάτων. ἅμα γὰρ τῷ ἀναπλάσαι χίμαιραν ὑπέστη ἅμα ἐπιστήμη χιμαίρας καὶ τὸ φάντασμα αὐτῆς. καὶ ὡς ὁ ζωγράφος εὑρὼν πρῶτος ἅμα τῇ ζωγραφίᾳ εἰσήγαγε τὰς εἰκόνας. καὶ ὁ πρῶτος γράμματα διδάξας ἅμα τῇ ἐπιστήμῃ τῶν γραμμάτων εἰσήγαγε τὰ γράμματα. διὰ τί δὲ προσέθηκεν ἢ ἐπ' οὐδενός: μήποτε καὶ ταῦτα ἦν μὲν ἐν τῇ φύσει, τὰς δὲ ἐπιστήμας ὕστερον ἔλαβε. καὶ ἐπὶ τῶν μηχανικῶν δὲ τοῦτο μάλιστα θεάσοιο εὑρημάτων a μηχανὴν F ἄν τις] τὰ F βάρη] βαρὺ a 8 μετεωρίσειεν Laur. 72,1: μετεωρίσει C: μετωρίσοι (sic) F: μετεωρήσοι a ὕδωρ om. F 9. 10 οὐκ ὄντα — ἐπιστήμης om. a 10 ἀντιπεπονθότα a 11 εἴρηται] p. 118, 5 12 τῆς om. Ca 13 προτέραν F: προτέραν τῆς θύρας a ὑπ. τὴν π. αὐτῶν coll. C 14 δηλονότι om. F ἐπίνοια] ἐπιστήμη C 15 αὕτη a 16 ἡ (prius) om. F τὸ] τοῦ F 17 ἐν om. F ἐπινενοηκότως F 18 κυρ. τὸ εἶναι coll. C ἄδηλα F καὶ om. C 19 ἢ μὴ· τότε] μήποτε a 21 ἐπινενόηται F 22 τινος ἐπιστήμη ἐπιστῇ (sic) C 23 ἡ ἐπιστ. κυρ. ἐστὶν ἐπιστ.] ἡ ἐπιστ. κυρ. λέγεται C: ἐπιστ. κυρ. ἐστὶν F 24 τεχνῶν F συνυφ. ἀλλ. ἅμα τῷ ἐπιστητῷ F

p. 7b27 Ἔτι τὸ μὲν ἐπιστητὸν ἀναιρεθὲν συναναιρεῖ τὴν ἐπι- 93r
στήμην.

Ἐκθέμενος τὸ τῷ χρόνῳ πρότερον ἐπὶ τοῦ ἐπιστητοῦ (ὡς γὰρ ἐπὶ τὸ πολύ, φησί, προϋπαρχόντων τῶν πραγμάτων τὰς ἐπιστήμας λαμβάνομεν) νῦν πάλιν ἐπὶ τοῦ ἐπιστητοῦ τὸ τῇ φύσει ἐκτίθεται πρότερον διὰ τοῦ συναναιρεῖν μὲν τὴν ἐπιστήμην μὴ συναναιρεῖσθαι δὲ ὑπ' αὐτῆς.

p. 7b31 Οἷον καὶ ὁ τοῦ κύκλου τετραγωνισμὸς εἴ γε ἔστιν ἐπιστητόν, ἐπιστήμη μὲν αὐτοῦ οὐκ ἔστι πω, τὸ δὲ ἐπιστητὸν ἔστιν.

Οἱ γεωμέτραι τετράγωνον εἶναι χωρίον λέγουσιν οὐ τὸ ἁπλῶς τέσσαρας πλευρὰς καὶ τέσσαρας γωνίας ἔχον, ἀλλὰ τὸ ἴσας ἔχον τὰς τέσσαρας πλευρὰς καὶ ὀρθὰς τὰς γωνίας. οὕτω δὲ καὶ τὴν ὀρθὴν γωνίαν γίνεσθαί φασιν· ὅταν εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν γωνιῶν ἐστι, καὶ ἡ ἐφεστηκυῖα εὐθεῖα κάθετος λέγεται ἐφ' ἣν ἐφέστηκεν. ὀρθὴ μὲν οὖν γωνία αὕτη. ὀξεῖα δὲ γωνία ἐστὶν ἡ ἐλάττων τῆς ὀρθῆς, ἀμβλεῖα δὲ ἡ μείζων τῆς ὀρθῆς· τῆς γὰρ ἐφεστηκυίας εὐθείας ἐγκεκλιμένης ἡ μὲν τῶν γωνιῶν μείζων γίνεται ἡ δὲ ἐλάττων· τὴν μὲν οὖν ἐλάττονα, ὡς εἴρηται, ὀξεῖαν καλοῦσιν, ἐπειδὴ κατὰ ταύτην γίνονται καὶ οἱ ὀξεῖς τῶν ὄγκων πρὸς τὸ κόπτειν ὄντες ἐπιτήδειοι, οἷον τὸ μαχαίριον, τὴν δὲ μείζονα ἀμβλεῖαν· 93v
κατὰ γὰρ ταύτην οἱ ἀμβλεῖς τῶν ὄγκων γίνονται, οἷον τὸ ὅπερον πρὸς τὸ ὠθεῖν ἐπιτήδειον. τῶν δὲ σχημάτων τὰ μέν φασιν εἶναι εὐθύγραμμα τὰ δὲ περιφερόγραμμα, καὶ τῶν εὐθυγράμμων τὰ μὲν τρίγωνα ἢ τετράγωνα ἢ ἑξάγωνα ἢ ὅσας ἂν ἄλλας ἐπινοεῖν δυνατὸν γωνίας, περιφερόγραμμα δέ φασι τοὺς κύκλους. οἱ γεωμέτραι οὖν ζητοῦσι τῷ δοθέντι εὐθυγράμμῳ, πενταγώνῳ εἰ τύχοι ὄντι, πῶς δυνατὸν ἴσον τετράγωνον συστήσασθαι· καὶ γοῦν μεθόδῳ τοῦτο ἐδίδαξαν. ὥσπερ οὖν ἐπὶ τῶν εὐθυγράμμων ἐζήτησαν, ζητοῦσι καὶ ἐπὶ τοῦ κύκλου πῶς δυνατὸν τῷ δοθέντι κύκλῳ

---

3 τὸ om. a τῷ om. F 4 τὸ om. CF φασι a καὶ τὰς C ἐπιστήμας αὐτῶν F 5 τοῦ ἐπιστ.] τούτου a πρότερον om. F alt. τοῦ] τὸ C: τοῦτο a 6 μὲν om. C 7 οἷόν φησι a καὶ a Ammon.: om. CF 7. 8 εἰ — ἐπιστητὸν ἔστιν om. a 8 ἐπιστήμην F οὐκ ἔτι πω C πω] οὐδέπω Arist. τὸ] αὐτὸς Arist. 9 εἶναι om. Ca 10 γων. ἔχον τεσσ. coll. C ἴσας ἔχον καὶ C 11 καὶ (alt.) om. F 12 ἐπ' εὐθεία C σταθ.] προιοῦσα C[1] καὶ om. C 13 τῶν ἴσων γωνιῶν F 14 εὐθεῖα om. Ca (cf. Eucl. I p. 4 Heib.) 14 ἐφ' ᾗ a 15 γωνία om. F 17 εἴρηται] εἶπον Ca 18 οἱ ὀξεῖς] ὀξεῖαι a 19 κόπτειν] κεντεῖν a 21 ὄντες ἐπιτήδειοι a τὰ μέν] τὸ μὲν F 22 τὰ μέν εἰσι C ἢ τετρ.] τὰ δὲ τετρ. C 23 ἂν om. Ca δυν. ἄλλας ἐπιν. coll. C 24 οὖν γεωμ. coll. Ca 25 πενταγ.] τετραγ. C συνίστασθαι F 26 γοῦν] γὰρ C καὶ ὥσπερ (οὖν om.) F 27 οὕτως καὶ ἐπὶ τ. κ. ζ. C

ἴσον τετράγωνον εὑρεῖν. τοῦτο δὲ πολλοὶ καὶ θεῖοι ἄνδρες ζητήσαντες 93v
οὐχ εὗρον. μόνος δὲ Ἀρχιμήδης τὸ σύνεγγυς παντὶ εὗρε, τὸ μέντοι
ἀκριβὲς οὐχ εὗρε. φησὶ τοίνυν ὁ Ἀριστοτέλης 'εἴπερ ἔστιν ἐπιστητὸν ὁ
τοῦ κύκλου τετραγωνισμός, τῆς ἐπιστήμης αὐτοῦ μήπω μέχρι τοῦ νῦν
5 οὔσης, δῆλον ὅτι πρότερον τὸ ἐπιστητὸν τῆς ἐπιστήμης ἐστί.' τοῦτο δὲ τὸ
ὑπόδειγμα οὐ μᾶλλον τοῦ φύσει πρότερα εἶναι τὰ ἐπιστητὰ τῆς ἐπιστήμης
κατασκευαστικόν ἐστιν, ἀλλ' ἢ τοῦ χρόνῳ· ἐπιστητοῦ γὰρ ὄντος τοῦ
τετραγωνισμοῦ τοῦ κύκλου οὔπω ἡ περὶ αὐτοῦ ἐπιστήμη εὕρηται. τὸ δὲ
ἐπιφερόμενον τοῦ ὅτι καὶ φύσει πρότερον τὸ ἐπιστητὸν τῆς ἐπιστήμης
10 δεικτικόν ἐστιν·

p. 7b33 Ἔτι ζῴου μὲν ἀναιρεθέντος οὐκ ἔσται ἐπιστήμη, τῶν δὲ ἐπιστητῶν πολλὰ ἐνδέχεται εἶναι. |

Πρότερον ἐπὶ ἑνὸς ὑποδείγματος τῶν πρός τι, λέγω δὴ τοῦ ἐπι- 94r
στητοῦ, σκάζον δείξας τὸ παρακολούθημα, νῦν καθολικῶς ἐπὶ πάντων
15 δείκνυσι· ζῴου γὰρ ἀναιρεθέντος, φησίν, ἀναιροῦνται καὶ αἱ ἐπιστῆμαι (ἐν
ψυχῇ γάρ εἰσιν αἱ ἐπιστῆμαι), τὰ μέντοι ἐπιστητὰ οὐδὲν ἧττόν ἐστι καθ'
αὑτά. ὥστε πρῶτον τῇ φύσει τὸ ἐπιστητὸν τῆς ἐπιστήμης.

p. 7b35 Ὁμοίως δὲ τούτοις καὶ τὰ ἐπὶ τῆς αἰσθήσεως ⟨ἔχει· τὸ γὰρ αἰσθητὸν πρότερον τῆς αἰσθήσεως⟩ δοκεῖ εἶναι.

20 Γυμνάσας τὸν λόγον ἐπὶ τῆς ἐπιστήμης καὶ τοῦ ἐπιστητοῦ, νῦν ἐπὶ
τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ γυμνάζει καὶ δείκνυσι τοῖς αὐτοῖς λόγοις
ὅτι πρότερον τὸ αἰσθητὸν τῆς αἰσθήσεως· τὸ μὲν γὰρ αἰσθητὸν συναναιρεῖ
τὴν αἴσθησιν, ἡ δὲ αἴσθησις τὸ αἰσθητὸν οὐ συναναιρεῖ· εἰ γὰρ ἡ αἴσθησις
ἐν ζῴῳ, τὸ δὲ ζῷον ἔμψυχον σῶμα, πᾶν δὲ σῶμα αἰσθητόν, ἀνάγκη
25 αἰσθητοῦ ἀναιρουμένου συναναιρεῖσθαι καὶ τὸ σῶμα, σώματος δὲ ἀναιρε-
θέντος μηδὲ ἔμψυχον εἶναι, ἐμψύχου δὲ μὴ ὄντος μηδὲ ζῷον εἶναι, ζῴου
δὲ ἀναιρεθέντος μηδὲ αἴσθησιν εἶναι· ἐν γὰρ τοῖς ζῴοις ἡ αἴσθησις τὸ
εἶναι ἔχει. αἰσθητοῦ μὲν οὖν ἀναιρεθέντος οὐδὲ αἴσθησις ἔσται, ὡς ἐδεί-
ξα|μεν, διότι πᾶσα αἴσθησις ἐν σώματι ἔχει τὸ εἶναι καὶ περὶ μόνον αὐτὸ 94v
30 θεωρεῖται· τὰ γὰρ ἀσώματα ἐκπέφευγε πᾶσαν αἴσθησιν μήτε αὐτὰ αἰσθήσει

---

1 καὶ θεῖοι ἄνδρες om. a 2 ἀρχιμίδης C παντὶ Ammon.: πάνυ C: ἅπαν F: om. a ἀνεῦρε a 3 ὅτι εἴπερ a 4 alt. τοῦ om. Fa 6 τοῦ τῇ φύσει C 7 ἀλλ' ἢ] ἀλλὰ F: ἀλλὰ καὶ a 9 τοῦ ὅτι] τοῦ C: τοῦτο a 10 ἐστι δεικτικόν C: δεκτικόν ἐστιν Fa 11 τοῦ ζῴου Ca ἔστιν F 13 πρότ. μὲν F 14 σκάζον] εἰκάζοντος F¹: μὲν τῆς ἐπιστήμης σκάζειν F² ἐπὶ] περὶ C 16 ἐστι] εἰσι Ca 17. 18 τῇ φύσει — τούτοις om. a 18. 19 ἔχει — αἰσθήσεως inserui: om. libri 19 εἶναι] ἔχειν C 20 γυμν. οὖν a 21 γυμν.] διδάσκει F 23 εἰ γὰρ ἡ αἴσθ.] αἱ γὰρ αἰσθήσεις Ca 24 pr. δὲ om. F τὸ σῶμα (alt. l.) F 27 γὰρ] γοῦν a ἡ om. F 28 μὲν om. a οὖν om. F 29 τῷ σώμ. F 30 ἀσώμ.] σώμ. F

ὑποπίπτοντα μήτε δεκτικὰ ὄντα αἰσθήσεως. οὐ μήν γε καὶ ἀντιστρέφει· 94v
οὐ γὰρ ἀναιρεθείσης αἰσθήσεως ἀνήρηται καὶ τὸ αἰσθητόν· τί δή ποτε; 5
ἐπειδὴ πᾶν ζῷον ἔμψυχον, πᾶν δὲ ἔμψυχον σῶμα, οὐ πᾶν δὲ σῶμα ἤδη
καὶ ἔμψυχον ζῷον, πᾶν δὲ σῶμα αἰσθητόν. ὥστε καὶ ζῴου ἀναιρεθέντος
5 οὐδὲν κωλύει πλείονα ἄλλα εἶναι, οἷον πῦρ γῆν ὕδωρ ἀέρα γλυκὺ πικρὸν 10
καὶ τὰ τοιαῦτα. ἐκ τούτων ἄρα κατεσκεύασται ὅτι φύσει πρότερα τὰ
αἰσθητὰ τῶν αἰσθήσεων, ὅτι συναναιροῦσι μὲν ἑαυτοῖς τὰς αἰσθήσεις οὐ
συναναιροῦνται δὲ ἐκεῖνα, καὶ συνάγονται μὲν ταῖς αἰσθήσεσιν οὐ συνεισ-
άγουσι δὲ αὐτάς.

10 p. 8a6 Ἔτι ἡ μὲν αἴσθησις ἅμα τῷ αἰσθητικῷ γίνεται· ἅμα 15
γὰρ ζῷον γίνεται καὶ αἴσθησις. τὸ δέ γε αἰσθητόν ἐστι καὶ
πρὸ τοῦ αἴσθησιν εἶναι· πῦρ γὰρ καὶ ὕδωρ καὶ τὰ τοιαῦτα, ἐξ
ὧν τὸ ζῷον συνίσταται, ἔστι καὶ πρὸ τοῦ ζῷον ὅλως εἶναι ἢ
αἴσθησιν.

15 Ἐντεῦθεν πάλιν ἐκ τοῦ μᾶλλον ἡ ἐπιχείρησις καὶ ἐκ τοῦ προσεχέστερον
πρὸς τὸ αἰσθητὸν ἀποδιδομένου, λέγω δὴ τοῦ αἰσθητικοῦ· τὸ γὰρ αἰσθητικὸν
αἰσθητοῦ αἰσθητικόν, αἰσθητικὸν δέ ἐστι τὸ μετέχον αἰσθήσεως. τί οὖν
λέγω, φησίν, ὅτι τῆς αἰσθήσεως προϋπάρχει τὰ αἰσθητά, ὁπότε τὸ αἰσθη- 20
τικόν, λέγω δὴ τὸ ζῷον, ᾧ συγγίνεσθαι πέφυκεν ἡ αἴσθησις, ἐκ τῶν
20 αἰσθητῶν ἔχει τὸ εἶναι, πυρὸς λέγω καὶ ὕδατος καὶ τῶν λοιπῶν στοιχείων;
τὸ δὲ ἔκ τινος γινόμενον, καὶ μάλιστα ὡς ἐξ ὕλης, ὕστερόν ἐστιν ἐκείνου
ἐξ οὗ γέγονε καὶ τῇ φύσει καὶ τῷ χρόνῳ· ὥστε πρότερον τὸ αἰσθητὸν 25
τῆς αἰσθήσεως, φησίν, εἶναι δόξειε. καὶ μέχρι μὲν τοσούτου προέρχεται
αὐτῷ ἡ ἀπορία. οὐκ ἐπήγαγε δὲ τῶν εἰρημένων ἐνστάσεων τὴν λύσιν.
25 λεκτέον οὖν πρὸς ταῦτα ὅτι τὸ πρός τι διχῶς νοεῖται, ἢ ὡς πράγματα
αὐτὰ καθ' αὑτὰ ἀπολελυμένα ἢ ὡς σχέσει τινὶ συνδεδεμένα πρὸς ἄλληλα, 30
οἷον ὁ πατὴρ καὶ ὁ υἱός· ἐν τούτοις γὰρ ἐὰν | μὲν νοήσωμεν τὸν πατέρα 95r
ὡς Σωφρονίσκον τὸν δὲ υἱὸν ὡς Σωκράτην, πρότερος ἔσται ὁ Σωφρονίσκος
τοῦ Σωκράτους (πρότερος γὰρ Σωφρονίσκος ὡς πράγματα νοούντων ἡμῶν
30 τούτους), ἐὰν δὲ ὡς πατέρα καὶ υἱόν, ἅμα ἔσται τῇ σχέσει δεσμούμενα. 5
οὕτως οὖν καὶ τὴν ἐπιστήμην καὶ τὸ ἐπιστητὸν ἐὰν μὲν ὡς πράγματα

---

2 ἀνήρηται] ἀναιρεῖται a 3 ante ζῶον add. μὲν a 4 ζώου μὲν (καὶ om.) ἀναιθέντος (sic) F 5 γῆ (sic) πῦρ ὕδωρ (ἀέρα om.) C: πῦρ ὕδωρ γῆν (ἀέρα om.) a 6 κατασκεύασται F 8 συναναιροῦντα F 10 ante ἔτι add. εἰπὼν δὲ a ἅμα — πάλιν (15) om. a 11 τῷ ζῴῳ Arist. 12 τοῦ ζῷον ἢ αἴσθησιν εἶναι Arist. τοιαῦτα] λοιπά C 13 post ὧν add. καὶ Arist. καὶ om. F ζώου (alt. l.) C 15 πάλιν] μᾶλλον F ποιεῖται τὴν ἐπιχείρησιν a 16. 17 τὸ γὰρ αἰσθητὸν αἰσθητικοῦ αἰσθητόν F 17 αἰσθητοῦ] αἰσθητικοῦ a 18 τὸ αἰσθητόν F 19 ἡ om. F 20 καὶ (prius) om. F 23 δόξει C τούτου Ca 24 οὐκ ἐπήγ. δὲ οὐκέτι C 25 καὶ λεκτέον (οὖν om.) a 26 ἐν σχ. τινὶ συνδεόμενα Ca 28 ὁ om. C 29. 30 πρότερος — τούτους in mrg. suppl. (post σωφρον. add. ὡς ἀρχὴ ὧν) F² 30 ἅμα Ammon.: ἄμεσα CFa 31 μὲν αὐτὰ F

νοήσης, προϋπάρχει τὸ ἐπιστητὸν τῆς ἐπιστήμης, ἐὰν δὲ ὡς σχέσιν, ἅμα 95r
ταῦτα ὑφέστηκεν· οὐδὲ γὰρ ἂν εἴη ἐπιστητόν τι ἐπιστήμης περὶ αὐτὸ μὴ
οὔσης· οἷον τὰ ἄστρα ἐπιστητὰ ὄντα ὡς μὲν πράγματα νοούμενα πρότερα 10
ἔσται τῆς περὶ αὐτὰ ἐπιστήμης, ἐὰν δὲ ὡς πρός τι αὐτὰ νοήσωμεν, φημὶ
5 δὴ ὡς ἐπιστητά, ἅμα ἔσται ταῦτα τῇ περὶ αὐτῶν ἐπιστήμῃ· οὐδὲ γὰρ ἂν
εἶεν ἐπιστητὰ ἐπιστήμης αὐτῶν μὴ οὔσης, ἐξ ἧς καὶ παρωνύμως λέγονται·
τίνι γὰρ ἂν εἶεν ἐπιστητά; τὸ γὰρ ἐπιστητὸν ἐπιστήμῃ ἐστὶν ἐπιστητόν· 15
τῆς οὖν ἐπιστήμης μὴ οὔσης, πῶς ἐκεῖνα ἐκ τῆς μὴ οὔσης τὴν παρωνυ-
μίαν ἕξουσιν; ἀλλ' ὡς μὲν πράγματα εἰσίν, ὡς δὲ ἐπιστητὰ οὐκέτι. τὰ
10 αὐτὰ καὶ περὶ τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ ἐροῦμεν.

Καὶ ἄλλως δὲ τῶν πραγμάτων τῶν μὲν ὄντων δυνάμει τῶν δὲ ἐνερ-
γείᾳ (δυνάμει μὲν τῶν πεφυκότων τι εἶναι μήπω δὲ ὄντων, ἐνεργείᾳ δὲ 20
τῶν τὴν φυσικὴν δύναμιν ἐνεργῇ δεικνύντων, οἷον ἐνεργείᾳ μὲν ὡς ὁ γραμ-
ματικὸς ὁ τέλειος, ᾧ μηδὲν εἰς τέχνην τὴν γραμματικὴν ἐπιλείπει, δυνάμει
15 δὲ ὡς τὸ παιδίον, ὅπερ ἔχει δύναμιν τοῦ γενέσθαι γραμματικόν), ἐπὶ 25
τῶν πρός τι πάντων ὡς ἂν ἔχῃ τὸ ἕτερον, οὕτως ἕξει καὶ τὸ λοιπόν· ἐὰν
μὲν γὰρ τὸ ἕτερον ἐνεργείᾳ ᾖ, καὶ τὸ λοιπὸν ἐνεργείᾳ ἔσται, ἐὰν δὲ δυ-
νάμει, καὶ τὸ λοιπὸν δυνάμει. ὅταν οὖν τὸ ἐπιστητὸν ἢ τὸ αἰσθητὸν
ἐνεργείᾳ ᾖ, καὶ ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις ἐνεργείᾳ ἔσται, ἐὰν δὲ τὰ 30
20 πρότερα δυνάμει, δυνάμει καὶ τὰ δεύτερα. εἴ οὖν τις | τὴν ἔκλειψιν τὴν 95v
σεληνιακὴν πρὸ τοῦ Θαλοῦ ὡς ἐπιστητὸν προεπινοήσειε, δυνάμει ἔσται
ἐπιστητὸν καὶ οὐκ ἐνεργείᾳ, καὶ ἡ ἐπιστήμη δὲ ταύτης πάντως καὶ αὐτὴ
δυνάμει προεπινοηθήσεται· εἰ γὰρ μὴ ἦν πρὸ τοῦ Θαλοῦ ἡ ἐπιστήμη τῆς
σεληνιακῆς ἐκλείψεως δυνάμει, οὐδ' ἂν ἐκβεβήκει εἰς ἐνέργειαν ἐπὶ αὐτοῦ· 5
25 ὃ γὰρ πρότερον οὐκ εἶχε δύναμιν τοῦ γενέσθαι, τοῦτο ἀδύνατον εἰς ὕστερον
γενέσθαι· ὥσπερ γὰρ ὁ ἵππος οὐκ ἔχων δύναμιν τοῦ γενέσθαι γραμματικὸς
οὐδέποτε ἐνεργείᾳ γενήσεται γραμματικός, οὕτως εἰ μὴ πρὸ τοῦ Θαλοῦ 10
δυνάμει ὑπῆρχεν ἡ ἐπιστήμη τῆς σεληνιακῆς ἐκλείψεως, οὐδ' ἂν ὑπ' αὐτοῦ
εἰς ἐνέργειαν προήχθη. ἐνεργείᾳ δὲ ἐπ' αὐτοῦ γενομένης τῆς ἐπιστήμης
30 καὶ τὸ ἐπιστητόν, ἡ σεληνιακὴ ἔκλειψις, ἐνεργείᾳ γεγένηται. τὰ αὐτὰ πάλιν
καὶ ἐπὶ τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ ἐροῦμεν. καὶ νῦν δὲ τὸν τοῦ 15
κύκλου τετραγωνισμὸν εἰ μὲν οἷόν τέ ἐστιν εὑρεθῆναι, νῦν δῆλον ὅτι δυ-
νάμει ἐπιστητός ἐστι καὶ ἡ ἐπιστήμη αὐτοῦ δυνάμει ἔσται. εἰ δὲ μὴ

---

1 σχέσιν ἔχοντα F 3 νοοῦντα F 4 ὡς om. F alt. αὐτὰ] ὄντα a
5 αὐτὰ C 6 εἴη a 7 ἐστὶν] ἔσται C 9 οὐκέτι] οὐκ ἔστιν F 12 τι om. F
post δὲ add. καὶ a 13 ἐνεργῇ] ἐνεργεῖν F: ἐνεργείᾳ a δεικνύντων C
οἷον om. CF 13. 14 ὁ τελ. γραμ. C: γραμ. ὁ τέλ. (ὁ om.) a 14 ᾧ]
ὃς a λείπει (sic) τὴν γρ. Ca 15 τὸ om. C ante ἐπὶ add. καὶ Ca
17 τῇ ἐνεργ. (pr. l.) F ἔσται] ἐστίν F 20. 30 ἔλλειψ. F 21 ἐστὶν C 22 αὐτὴ]
αὕτη a 23 προεπινοηθήσεται Paris. 2051: προσεπενοήθη C: προσεπινοηθήσεται Fa
post θαλοῦ iter. ὡς ἐπιστητὸν — θαλοῦ C 24 οὐδ'] οὐκ CF¹ ἐκβέβηκεν F
ἐπὶ αὐτοῦ] ἐπὶ τὸ αὐτὸ F: om. C 26 τοῦ γενέσθαι Laur. 72, 1: γενέσθαι C: εἶναι F:
τοῦ εἶναι a 27 τοῦ om. Ca 28 ἐλλείψ. F ἐπ' Ca αὐτοῦ τοῦ θαλοῦ a
30 πάλιν om. a 32 μὲν οὖν F ὅτι om. a

ἐνδέχεται αὐτὸν εὑρεθῆναι πώποτε ὑπὸ ἀνθρώπων, οὐδὲ δυνάμει ἔσται 95v
ἐπιστητόν, ἀλλ' ὡς πρᾶγμα μὲν ἔστιν, ἐπιστητὸν δὲ οὐδὲ δυνάμει ἐστίν,
ὥσπερ οὐδὲ δυνάμει ἐστὶν ἐπιστητὸς ἀνθρώποις ὁ τῆς ψάμμου ἀριθμός.
διὰ τούτου δὲ τοῦ λόγου κἀκεῖνο τὸ ἄπορον ἐπιλυόμεθα τὸ ἐπιφερόμενον
ἡμῖν παρὰ τῶν νομικῶν· φασὶ γὰρ ἐκεῖνοι εἶναι δοῦλον ἀδέσποτον· οἷον
ἀποθνήσκων τις, φασίν, εἶπε κατὰ διαθήκας ὅτι ὁ δεῖνα ἐὰν τόδε ποιήσῃ,
λαμβανέτω τόνδε τὸν ἐμὸν δοῦλον οἰκέτην· ἰδοὺ οὖν, φασίν, ἐνταῦθα
ἐν ὅσῳ οὐκ ἐξανύει τὸ προσταχθὲν ὁ κληρονομήσας, ἔστιν ὁ δοῦλος ἀδέ-
σποτος. φαμὲν οὖν ὅτι κἀνταῦθα τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ ἐπιλύεται
τὴν ἀπορίαν· οὔτε γὰρ ἐκεῖνος δεσπότης ἐστὶν ἐνεργείᾳ οὔτε οὗτος δοῦλος,
ἀλλ' ἑκάτερος δυνάμει. ἐπειδὰν δὲ τὸ προσταχθὲν ὁ κληρονόμος ποιήσῃ
καὶ γένηται ἐνεργείᾳ δεσπότης, τότε καὶ ὁ καταλειφθεὶς οἰκέτης ἐνερ- 96r
γείᾳ δοῦλος γενήσεται. ὥστε ὑγιὴς ὁ λόγος ἐπὶ πάντων ὁ λέγων τὰ πρός
τι ἅμα τῇ φύσει εἶναι.

p. 8a13 Ἔχει δὲ ἀπορίαν πότερον οὐδεμία οὐσία τῶν πρός τι λέγεται.

Πληρώσας τὸν τῶν παλαιῶν περὶ τῶν πρός τι ὁρισμὸν καὶ συναγω-
νισάμενος αὐτῷ ὡς ἐνῆν μάλιστα, εἶτα καὶ τὰ παρακολουθήματα τῶν πρός
τι εἰρηκὼς καὶ μέλλων τὸν ἴδιον ὁρισμὸν ἀποδοῦναι, πρότερον τὸ παρα-
κολουθοῦν ἄτοπον τῷ ἀποδεδομένῳ ὁρισμῷ ἐντεῦθεν ἄρχεται διελέγχειν.
ἔστι δὲ τὸ ἄτοπον τὸ τὰ μέρη τῶν δευτέρων οὐσιῶν κατὰ τὸν ἀποδοθέντα
ὁρισμὸν πρός τι εὑρίσκεσθαι, τοῦτ' ἔστι τὴν οὐσίαν συμβεβηκός· τῶν γὰρ
δέκα κατηγοριῶν, ὡς πολλάκις εἴρηται, μία μέν ἐστιν οὐσία, αἱ δὲ ἐννέα
τοῦ συμβεβηκότος, ὧν μία ἡ τῶν πρός τι. εἰ οὖν τὰ μέρη τῶν οὐσιῶν
πρός τι, δῆλον ὅτι καὶ συμβεβηκότα ἂν εἴη· εἰ δὲ τὰ μέρη συμβεβηκότα,
καὶ τὸ | ὅλον ἐξ ἀνάγκης (ἐκ γὰρ τῶν μερῶν τὸ ὅλον συνέστηκεν)· 96v
οὐκοῦν καὶ ἡ οὐσία συμβεβηκὸς ἔσται, οὔ τί ἀτοπώτερον; διαίρεσις δὲ
τῆς οὐσίας ἡμῖν ἐνταῦθα παραδίδοται τοιαύτη· ἡ οὐσία ἢ καθόλου ἐστὶν
ἢ μερικὴ ἢ ὅλον ἢ μέρος. τεσσάρων οὖν ὄντων τμημάτων ἐξ πάλιν γί-
νονται συζυγίαι, καὶ αἱ μὲν δύο, ὡς πολλάκις εἴρηται, ἀσύστατοι αἱ τὰ
ἐναντία συνάγουσαι (οὐ γὰρ δύναται τὸ αὐτὸ κατὰ τὸ αὐτὸ καὶ καθόλου

1 ποτὲ F οὐδὲ] οὐ F 2 alt. ἐστίν] ἔσται F 3 τῆς ἄλλης ψ. C
4 τούτου] δὲ διὰ (sic) C 5 οἷον] ὃν F 6 φησίν F 7 δοῦλον καὶ
οἰκ. a φησιν F: post ἐξανύει (8) coll. φασὶ del. C 8 ὁ δοῦλός ἐστιν coll. F
9 ἐνταῦθα F 10 δεσπ. γὰρ ἐκ. coll. C 11 ἑκάτερα F 12 γενήσηται a
τότε om. C 12. 13 ἐνεργ. καὶ ὁ δοῦλος (καταλ. οἰκ. om.) C 12 alt. καὶ
om. F 13 ὁ λέγων ἐπὶ π. coll. a 16 λέγεται] ἔστιν F 19 παραδοῦναι Ca
20 ante ἄτοπον add. αὐτῷ CF τῷ ἀποδ. ὁρισμῷ om. C 21 pr. τὸ om. C
22 εὑρίσκεται F 23 πολλάκις om. a εἴρηται] p. 49,10 ἡ οὐσία F 25 εἶεν
Ca 27 καὶ om. Ca 28 ἐνταῦθα post παραδ. coll. F: ante τῆς οὐσ. a
παραδέδ. F τοιαύτη om. F 29. 30 γίν. πάλιν coll. F 30 δύο μὲν coll. a
πολλ. εἴρηται] p. 28,20; spectat etiam comm. in Isag. 31 κατὰ τὸ αὐτὸ om. F

εἶναι καὶ μερικόν, καὶ ὅλον καὶ μέρος), συνίστανται δὲ αἱ λοιπαὶ τέσσαρες, 96v
αἵ τε ὑπάλληλοί φημι καὶ αἱ διαγώνιοι· ἢ γὰρ τὸ καθόλου τῷ ὅλῳ συμ- 10
πλεκόμενον ποιεῖ τὸν ἁπλῶς ἄνθρωπον, ὃς καὶ καθόλου ἐστὶ (κατηγορεῖται
γὰρ κατὰ τῶν ἀτόμων καὶ περιέχει αὐτά) καὶ ὅλον τί ἐστι· τῶν οἰκείων
5 γὰρ μερῶν ὁλότης τίς ἐστιν, οἷον ζῴου καὶ λογικοῦ. πάλιν τὸ καθόλου
συμπλεκόμενον τῷ μέρει ποιεῖ τὸ καθόλου μέρος, οἷον ἁπλῶς κεφαλὴν καὶ 15
ἁπλῶς χεῖρα· καθόλου μέν, ὅτι κατὰ πάσης μερικῆς κεφαλῆς ἢ χειρὸς
κατηγορεῖται, μέρος δέ, διότι ἕν τι τῶν τοῦ ζῴου μερῶν ἐστι. τὸ δὲ
μερικὸν συμπλεκόμενον τῷ ὅλῳ ποιεῖ τὸν τινὰ ἄνθρωπον, οἷον Σωκράτην,
10 ὅστις μερικόν ἐστι, διότι κατ' οὐδενὸς κατηγορεῖται, ὅλον δὲ ὡς τῶν οἰκείων 20
μερῶν περιεκτικόν. πάλιν τὸ μερικὸν συμπλεκόμενον τῷ μέρει ποιεῖ τὴν
τινὰ κεφαλὴν ἢ τὴν τινὰ χεῖρα, οἷον Σωκράτους· αὕτη γὰρ μερικὴ μέν,
ὅτι Σωκράτους μόνου, μέρος δέ, ὅτι ἐν τῇ ὁλότητι αὐτοῦ θεωρεῖται· ἐν
τούτῳ γὰρ διαφέρει τὸ μέρος τοῦ μερικοῦ, ὅτι τὸ μὲν μερικὸν πλείοσιν 25
15 ὑπάρχει, τὸ δὲ μέρος ἑνὶ μόνῳ.

Τούτων αἱ μὲν τρεῖς, φησίν, οὐκ ἂν ὑπονοηθεῖεν τῶν πρός τι, ἡ δὲ
μία ἡ τοῦ καθόλου μέρους, ὅ ἐστι κεφαλὴ χείρ, ὅσον ἐπὶ τῷ ἀποδεδομένῳ
τῶν πρός τι ὁρισμῷ δόξειεν εἶναι τῶν πρός τι. καὶ ὅτι μέν, φησίν, ἡ 30
πρώτη συζυγία οὐκ ἔστι τῶν πρός τι, πρόδηλον· ὁ γὰρ | Σωκράτης οὐ 97r
20 λέγεται ἄλλου τινὸς εἶναι Σωκράτης. ἀλλ' οὐδὲ τὸ τούτου μέρος, λέγω δὴ
τὸ μερικὸν μέρος, οἷον ἡ τὶς χείρ, οὐδὲ αὐτὴ δόξειεν εἶναι τῶν πρός τι·
οὐδεὶς γὰρ ἐρεῖ ὅτι ἡ τὶς χεὶρ τινός ἐστι τὶς χείρ· καταγέλαστον γάρ.
ἀλλ' οὐδὲ ἡ δευτέρα ἡ τὸ καθόλου καὶ ὅλον συμπλέκουσα, λέγω δὴ ὁ 5
ἁπλῶς ἄνθρωπος· οὐδεὶς γὰρ ἐρεῖ ὅτι ὁ ἄνθρωπος τινός ἐστιν ἄνθρωπος
25 οὐδὲ ὁ βοῦς τινὸς βοῦς, ἀλλὰ κτῆμα μὲν εἶναι λέγεταί τινος ὁ βοῦς καὶ ὁ
ἄνθρωπος, ὁ ἄνθρωπος δὲ τινὸς εἶναι ἄνθρωπος ἢ ὁ βοῦς τινὸς εἶναι βοῦς
οὐκέτι. μόνως οὖν, φησίν, ἡ τὸ καθόλου καὶ μέρος συμπλέκουσα αὕτη 10
δόξει κατὰ τὸν ἀποδεδομένον ὁρισμὸν τῶν πρός τι εἶναι, ἡ ἁπλῶς λέγω
κεφαλὴ καὶ ἡ ἁπλῶς χείρ· ἡ γὰρ κεφαλὴ τινὸς λέγεται κεφαλὴ καὶ ἡ
30 χεὶρ τινὸς χείρ. ἐμοὶ δὲ καὶ τὸ μερικὸν καὶ μέρος δοκεῖ τῶν πρός τι εἶναι
ὅσον ἐκ τοῦ προαποδοθέντος ὁρισμοῦ· εἰ γὰρ τῶν πρός τι ἐκεῖνα εἶναι 15
ἐλέγετο ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, οὐ μόνον δὲ τὸ καθόλου
μέρος οἷον ἡ ἁπλῶς χεὶρ τοῦ ἁπλῶς ἀνθρώπου λέγεται εἶναι, ἀλλὰ καὶ

---

5 τίς] τί F: om. C οἷον] ἤγουν C καὶ] ἢ C 8 post μερῶν add. ἴδιον a
11 πάλιν δὲ a τὴν om. F 12 ἢ τὴν om. F 13 pr. ὅτι] ὡς C μόνη C: μόνον F αὐτοῦ scripsi: ἑαυτῆς CFa 14. 15 scribas τὸ μὲν μέρος πλ. ὑπ. τὸ δὲ μερικὸν ἑνὶ μ. 16 ἐπινοηθ. a 17 κεφ. ἢ χείρ C: ἡ κεφ. ἢ ἡ χείρ a 19 συζυγία scripsi: οὐσία libri 20 τούτου] ταύτης Fa 22 τὶς χείρ ἐστι coll. C: ἐστι χείρ τις a 23 ἡ δεύτερα Vind. 10: τῆς δευτέρας CFa 24 ἐστιν] εἶναι ἀνθρώπου F 25 λέγεται om. F τινός ἐστι βοῦς C 25. 26 ὁ βοῦς καὶ ὁ ἄνθρ.] ὁ βοῦς καὶ ἄνθρ. C: βοῦς καὶ ἄνθρ. a 26 ὁ (utrobique) om. Ca tert. ἄνθρωπος om. CF τινος εἶναι βοῦς om. CF 27 οὐκέτι] οὐκ ἔστι F: om. C φησιν ὅτι C τὸ μέρος a 30 καὶ (prius) om. a 31 post εἶναι add. ἡ τὶς λέγω κεφαλὴ καὶ ἡ τὶς χεὶρ a 32 ἐλέγ.] λέγεται a λέγ. εἶναι coll. a 23 ἡ om. C post χεὶρ add. οὐ μόνον C

ἡ τὶς χεὶρ τοῦ τινὸς ἀνθρώπου λέγεται εἶναι (λέγομεν γὰρ ὅτι ἥδε ἡ χεὶρ 97r
Σωκράτους ἐστί), καὶ τούτου μεστὴ καὶ ἡ κοινὴ συνήθεια καὶ ἡ τῶν ἀρχαίων 21
χρῆσις (φαμὲν γὰρ 'τῇ χειρί μου ἔγραψα', 'τὴν χεῖρα τοῦδ' ἔπληξα ἢ τὴν
κεφαλήν',

'κείνου γὰρ τοιοίδε πόδες τοιαίδε τε χεῖρες',
'πάντες δ' ἐσσείοντο πόδες πολυπιδάκου Ἴδης',
'κεφαλὴ Διὸς οὐκ ἐπινεύει')· 25

ὥστε εἰ καὶ τὸ μερικὸν μέρος τινός ἐστι μέρος, καὶ τοῦτο ἄρα τῶν πρός
τι ἔσται. τὸ δὲ κατὰ τὴν λέξιν δόξαν ἄτοπον ἕπεσθαι εὐχερὲς λῦσαι·
οὐδὲ γὰρ ἀνάγκη λέγειν ὅτι ἡ τὶς χεὶρ τινὸς τίς ἐστι χείρ. ἐπειδὴ μηδὲ
τὴν καθόλου χεῖρα τινὸς καθόλου χεῖρα λέγομεν. ἀλλὰ ἀνθρώπου χεῖρα.
οὕτω δὴ οὖν | καὶ τὴν τινὰ χεῖρα τινὸς χεῖρα λέγομεν, οἷον Σωκράτους, 97v
ἄνευ τοῦ προσδιορισμοῦ. τὰ οὖν δύο μόρια τοῦ προεκκειμένου διαγράμ-
ματος, τό τε καθόλου μέρος καὶ τὸ μερικὸν μέρος, τῶν πρός τι ἔσται καὶ
συμβήσεται, ὡς εἶπον, τὴν οὐσίαν συμβεβηκὸς εἶναι. τοῦτο οὖν, φησί, τὸ 5
ἄτοπον, λέγω δὴ τὸ τὰ μέρη τῶν οὐσιῶν εἶναι τῶν πρός τι, ἀδύνατον ἢ.
δυσχερὲς λῦσαι κατὰ τὸν προαποδεδομένον τῶν πρός τι ὁρισμόν.

Οὕτω μὲν οὖν διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς διαβάλλει τὸν ἀποδεδο-
μένον ὁρισμόν. ἡ δὲ εἰς ἄτοπον ἀπαγωγή ἐστιν, ὡς ὅταν ἀποδεῖξαί τι 10
βουλόμενοι λάβωμεν τὸ ἀντικείμενον τούτῳ καὶ τούτῳ ἄτοπόν τι ἀκολουθοῦν
δείξωμεν, εἶτα ἐκ τούτου συνάγωμεν ὅτι διὰ τοῦτο ἠκολούθησε τὸ ἄτοπον
ἡμῖν, ὅτι ψευδὴς ἡ δεδομένη πρότασις· οὐδεμιᾷ γὰρ ἀληθεῖ προτάσει ἄτοπόν
τι ἀκολουθεῖ· εἰ δὲ ψευδὴς αὕτη ἡ πρότασις, ἡ ἀντικειμένη ἄρα ταύτῃ 15
ἀληθής. οἷόν τι λέγω, βουλόμενοι δεῖξαι ὡς ἔστιν ἡ ψυχὴ ἀθάνατος, λαμ-
βάνομεν τὴν ἐναντίαν ταύτῃ πρότασιν τὴν λέγουσαν ὅτι θνητή, εἶτα δείκνυμεν
ἄτοπόν τι ταύτῃ ἀκολουθοῦν, ἵν' οὕτως τὸ ἐναντίον κρατύνωμεν· εἰ γὰρ
θνητὴ ἡ ψυχή, οὐκ ἔσται τὰ ὑπὸ γῆν δικαιωτήρια, ἀλλὰ μέχρι τοῦ φαινο- 20
μένου ἡμῖν ὁ βίος καὶ τῷ σώματι ἡ ψυχὴ συναπόλλυται. οὐκ ἔσται οὖν
οὐδὲ ἀγαθῶν ἔργων ἀμοιβὴ οὐδὲ πονηρῶν ἔκτισις· εἰ γὰρ ὁρῶμεν ὅτι
πολλοὶ τῶν δικαίων ἐν θλίψεσι τὸν πάντα βίον διέζησαν, ἁμαρτωλοὶ δὲ 25
πλεῖστοι ἐν εὐδοξίᾳ πολλῇ καὶ εὐπορίᾳ τὸν βίον κατέλυσαν, οὐκ ἔστι δέ

---

2 σωκράτης F 5 ἐκείνου Fa (cf. Hom. δ 149) τοιοίδε πόδες scripsi: τοιήδε κεφαλὴ libri post χεῖρες add. καὶ (εἰ δὲ καὶ F) χεῖρες αἰγέως αὗται Fa
6 πάντες . .] Hom. Υ 59 δὲ σείονται F: δὲ σείοντο a πολυπηδάκου C: πολυπίδακος a 7 κεφαλὴ δὲ a: κορυφὰ Callim. Hymn. V 135 8 ὡς F εἰ om. Fa μερικὸν καὶ μέρος a ἐστι] εἶναι λέγεται, ἀνάγκη πᾶσα τὸ F
9 λύειν εὐχ. F 11 χεῖρα (post alt. καθ.) om. a λέγεται F 12 τινὸς χεῖρα om. C: χεῖρα om. a 13 προκειμ. F 15 τὴν οὐσ. ὡς εἶπον coll. F εἶπον] p. 124, 22 16 post οὐσιῶν add. μὴ Ca ἢ ἀδύν. ἢ F 21 δείξομεν C συνεισάγ. a 23 ἐπακολ. C αὕτη ἡ] ἡ αὐτὴ F 24 post λέγω add. ὅτι F ὡς ἔστιν] εἰ F: ὅτι a 25 πρότ. ταύτῃ coll. C
26 κρατύνομεν C γὰρ δὴ a 27 δικαιότερα a 28 οὐκ ἔσται] ὥστε F 29 ἀμοιβὴ om. C ἔκτ.] κρίσις F 30 ἐν om. C ἔζησαν CF 31 ἐν om. a

τις μετὰ τὸν βίον τοῦτον ἐξέτασις τῶν βεβιωμένων, μέχρι τούτου μόνου 97v
τῆς τῶν ἀνθρώπων ζωῆς περικλειομένης, οὐδεὶς ἄρα τὸ κατ' ἀξίαν ἀπο-
λήψεται, καὶ εἰ οὐδεὶς τὸ κατ' ἀξίαν ἀπολήψεται, οὐκ ἔσται πρόνοια· εἰ
γὰρ ἀγαθοῦ ἄρχοντος πόλιν διοικοῦντος ἔστιν ἰδεῖν πάντα τεταγμένως τὰ
ἐν τῇ πόλει γι|νόμενα καὶ τοὺς μὲν ἀγαθοὺς δωρεαῖς καὶ ἀξιώμασι τι- 98r
μωμένους, τοὺς δὲ πονηροὺς στηλιτευομένους καὶ ἐν τιμωρίαις διάγοντας,
πόσῳ μᾶλλον τοῦ ἀγαθοῦ κατὰ οὐσίαν θεοῦ καὶ μιᾷ ἐπιβολῇ τὰ πάντα
γινώσκοντός τε καὶ προνοουμένου τῶν ὅλων οὐδὲν ἄτακτον ἐν τῷ βίῳ
γενήσεται; τοιγαροῦν οὐκ ἔσται πρόνοια, εἰ μὴ ἔσται τῶν βεβιωμένων ἐξέ-
τασις· ταύτης δὲ τῆς ἀτοπίας τί ἀσεβέστερον; εἰ γὰρ οὐκ ἔσται πρόνοια,
οὐδὲν ἔσται τῶν ὄντων τεταγμένον· τὸ γὰρ ἀπρονόητον ἄτακτον, ἅτε δὴ
ἐκ ταυτομάτου καὶ ὡς ἔτυχε φερόμενον. ὅτι δὲ οὐκ ἐκ ταυτομάτου ὁ
βίος οὐδὲ τυχαῖος, δῆλον ἐντεῦθεν· τὰ γὰρ ἐκ ταυτομάτου καὶ τύχης
σπανιώτατά ἐστι καὶ ἄλλων παρακολουθήματα, τὸ μὲν αὐτόματον τῶν
φυσικῶν ὁρμῶν τὸ δὲ τυχαῖον τῶν προαιρετικῶν· οἷον κατηνέχθη τις
λίθος ἄνωθεν φυσικῇ ὁρμῇ ἐπὶ τὸ κάτω φερόμενος καὶ προσραγεὶς τῇ γῇ
καὶ τῶν ἐξοχῶν αὐτοῦ περιθραυσθεισῶν γέγονεν εἰς καθέδραν ἐπιτήδειος·
τὸ οὖν ἐπιτήδειον αὐτὸν γενέσθαι πρὸς καθέδραν ἐκ ταυτομάτου λέγεται
γεγενῆσθαι, διότι τῇ ἐπὶ τὸ κάτω φυσικῇ ὁρμῇ τοῦ λίθου ἐπηκολούθησε.
σπανίως δὲ καταφερόμενος λίθος ἄνωθεν ἐπιτήδειος γίνεται πρὸς καθέδραν.
πάλιν ἵππος διψήσας ἐν πολέμῳ τοῦ δεσπότου ἀποσκιρτήσας ἔδραμε πιεῖν
καὶ συμβολῆς γενομένης καὶ τοῦ δεσπότου τετελευτηκότος μετὰ πάντων
σώζεται ὁ ἵππος. ἐκ ταυτομάτου οὖν σεσῶσθαι λέγεται ὁ ἵππος. σπα-
νίως δὲ ἵππος ἀποσείεται τὸν δεσπότην ἐν πολέμῳ καὶ σώζεται διὰ τοῦτο.
τὸ δὲ τυχαῖον καὶ αὐτὸ σπάνιον καὶ ταῖς προαιρετικαῖς ὁρμαῖς παρακολου-
θοῦν· οἷον κατῆλθέ τις ⟨ἐπὶ τὸ⟩ λούσασθαι ἢ εὔξασθαι καὶ περιέτυχε βιβλίῳ
πωλουμένῳ, ὃ πάλαι ἐζήτει, καὶ ἠγόρασε. τοῦτο τυχαῖον· οὐ γὰρ ἔκ τινος
προνοίας, οὐδὲ φοιτήσας ἔνθα πιπράσκεσθαι | βιβλία εἴωθεν, ἠγόρασε τὸ 98v
βιβλίον. καὶ τοῦτο δὲ τῶν σπανιωτάτων. τὰ μὲν οὖν ἐκ ταυτομάτου καὶ
τυχαῖα σπανιώτατα, τὰ δὲ τεχνητὰ καὶ φυσικὰ καὶ ὅλως τὰ ἐκ προνοίας
γινόμενα τῶν ὡς ἐπὶ τὸ πολὺ γινομένων ἐστὶν ἢ καὶ ὡς ἐπὶ πᾶν· ὡς
γὰρ ἐπὶ τὸ πολὺ ὁ τέκτων τυγχάνει τοῦ οἰκείου τέλους καὶ ὁ οἰκοδόμος ἢ
ἀποτυγχάνει. καὶ ὁ ἰατρὸς μᾶλλον ὑγιάζει ἢ οὐχ ὑγιάζει· εἰ γὰρ ἐξ ἴσης

---

1 τοῦτον om. F μόνου τούτου coll. F 2 ἄρα] γὰρ F τὸ] τὰ C
3 καὶ — ἀπολ. om. F: εἰ — ἀπολ. om. a 5. 6 τετιμημένους a 6 στηλ.] ἠτιμω-
μένους F 8 τε om. F ἄτοπον a 9 μὴ ἔσται] μή ἐστι a 11 ἀπρο-
νόηστον C 12 καὶ ὡς — ταυτομάτου om. F 13 ἐξ αὐτομ. F
14 εἰσι F 15 ante φυσ. add. μὲν F¹ 17 περιθραυθ. F 18 εἰς
καθ. γίνεσθαι C 18. 23 ἐξ αὐτομ. F 18. 19 γεγεν. λέγ. coll. a 19 περὶ τὰ
κάτω C: ἐπὶ τὰ κ. a 20 πρὸς καθ. γίν. coll. F 22 μετὰ π. τετελ. coll. F
23 τὸν ἵππον λέγεται F: ὁ ἵππος λέγ. a 24 ὁ ἵππ. C τὸν δεσπ. ἀποσ. καὶ
διὰ τ. σ. ἐν πολ. F τοῦτο] ποδῶν C 25 ἐν ταῖς a 26 ἀπῆλθε a
ἐπὶ τὸ inserui 27 πωλουλομένω C 28 post εἴωθε add. τὰ βιβλία C 29 ἐκ
ταυτομάτων C: ἐξ αὐτομάτων F 31 τὸ om. F 33 ἐξ ἴσ.] ἐπίσης F

ὑγίαζέ τε καὶ καὶ οὐχ ὑγίαζεν, οὐδ' ἄν τις αὐτὸν μετεκαλεῖτο, καὶ ἔτι 98v
μᾶλλον, εἰ ἐπ' ἔλαττον ὑγίαζε. καὶ ἡ φύσις δὲ ὡς ἐπὶ τὸ πολὺ πεντα- 10
δάκτυλον ποιεῖ σπανιώτατα δὲ ἑξαδάκτυλον (καὶ τοῦτο διὰ τὴν πλεονεξίαν
τῆς ὕλης), ἀεὶ ἡ σελήνη μειοῦται μὲν τῇ συνόδῳ τῇ πρὸς τὸν ἥλιον αὔξε-
5 ται δὲ τῇ ἀποστάσει, ἀεὶ ὁ ἥλιος ἐν αἰγοκέρῳ γινόμενος ποιεῖ χειμερινὰς
τροπάς, ἀεὶ ἐν καρκίνῳ τροπὰς θερινάς, καὶ οὐκ ἄλλοτε ἄλλως, καὶ τὸ πῦρ 15
ἀεὶ ἀνωφερὲς τὸ δὲ ὕδωρ ἐπὶ τὸ κάτω ῥεῖ, καὶ ἐπὶ πάντων ὁμοίως τῶν
τεχνητῶν καὶ φυσικῶν, καὶ ὅλως τῶν ἐκ προνοίας τὸ ἀεὶ ἢ ὡς ἐπὶ τὸ
πολὺ ἔστιν ἰδεῖν καὶ οὐδέποτε τὸ ἐναντίον. δῆλον οὖν ὅτι οὐκ ἔστιν
10 ἐκ ταυτομάτου ὁ κόσμος, οὐδὲ τὰ τούτου μέρη. εἰ δὲ οὐκ ἔστιν ἐκ 20
ταυτομάτου, ἔχει δηλονότι τινὰ αἰτίαν ἑαυτοῦ προκαθεζομένην καὶ
εὐρύθμως τὰ κατ' αὐτὸν τάττουσαν, ἥνπερ πρόνοιαν λέγομεν. προνοίας
οὖν οὔσης ἕκαστος ἐξ ἀνάγκης τὸ κατ' ἀξίαν ἀπολήψεται. εἰ δὲ τοῦτο
ἀληθές, ὁρῶμεν δέ, ὡς ἔφθην εἰπών, πολλοὺς τὰ ἐναντία τῶν οἰκείων 25
15 πράξεων ὑπομένοντας ἐν τῷ τῇδε βίῳ ὅσον ἐκ τῶν φαινομένων, οὐκ ἄρα
μέχρι τούτου τοῦ βίου ἡ τῶν ἀνθρώπων ζωὴ περιώρισται. ἔσται οὖν τις
πάντως μετὰ τὸν τῇδε βίον τῶν βεβιωμένων ἐξέτασις, ἐν ᾗ ἡ πρόνοια
ἀποκληρώσει ἑκάστῳ τὸ κατ' ἀξίαν. εἰ δὲ τοῦτο, ἀθάνατος ἄρα ἡ ψυχή 30
ἐστι καὶ οὐ συμφθείρεται τῷ σώματι· δεῖ γὰρ αὐτὴν | ὑπομεῖναι λυο- 99r
20 μένου τοῦ σώματος καὶ μὴ φθείρεσθαι, ἵνα ἀπολάβῃ μετὰ τὸν τῇδε βίον
τὸ κατ' ἀξίαν. σκόπει οὖν ἐνταῦθα πῶς βουλόμενοι δεῖξαι τὴν ψυχὴν
ἀθάνατον ὑπεθέμεθα τὴν ἐναντίαν ταύτῃ πρότασιν τὴν λέγουσαν ὅτι
θνητή, καὶ ἐδείξαμεν ταύτῃ ἄτοπόν τι παρακολουθοῦν τὸ εἰσάγεσθαι ἐκ 5
τούτου μὴ εἶναι πρόνοιαν, καὶ οὕτως ὅτι ἀθάνατος κατεσκευάσαμεν· εἰ γὰρ
25 ἄτοπον ἀκολουθεῖ τῷ λέγειν θνητὴν τὴν ψυχήν, τῇ δ' ἀληθεῖ προτάσει
οὐδὲν ἄτοπον οἷόν τε ἀκολουθεῖν, ψευδὴς ἄρα αὕτη. ἀληθὴς οὖν ἡ ταύτῃ
ἐναντία ἡ λέγουσα ὅτι ἀθάνατος· τὸ γὰρ ἀντικείμενον τῷ ψεύδει ἀληθές 10
ἐστιν ἐξ ἀνάγκης.

Αὕτη μὲν οὖν ἐστιν ἡ εἰς ἄτοπον ἀπαγωγή. ᾗ καὶ ἐνταῦθα
30 κέχρηται ὁ φιλόσοφος· αὐτὸς μὲν γὰρ βούλεται τὰ πρός τι τῷ εἶναι

1 μετεκαλέσατο F 3 post ποιεῖ add. τὸ βρέφος a σπαν. δὲ] ἤπερ Ca post ἑξαδάκτυλον add. εἰ οὖν τὰ μὲν ἐξ αὐτομάτου καὶ τυχαῖα σπάνια καὶ ἄλλως παρακολουθήματα, ὁ δὲ κόσμος καὶ τὰ τούτου μέρη ἢ τῶν ἀεὶ ὡσαύτως ἐχόντων ἐστὶν ἢ τῶν ὡς ἐπὶ τὸ πολύ· ἀεὶ γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου καὶ ἵππος ἐξ ἵππου καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. σπανίως γὰρ τὰ τέρατα γίνονται· ὡς γὰρ ἐπὶ τὸ πολὺ ἡ φύσις πενταδάκτυλον ποιεῖ ἢ ἑξαδάκτυλον F 4 ἀεὶ γὰρ C 5 αἰγοκέρωτι (τι superscr. m²) C 6 ἀεὶ δὲ a θερ.] χειμερινὰς C¹ 7 ἀνωφόρον F: ἄνω φέρεται a τὸ δὲ] καὶ τὸ a 8 τεχνητῶν τε a ἢ] καὶ F 9 τὰ ἐναντία F οὖν om. F 10. 11 αὐτομ. (utrobique) F εἰ δὲ — ταυτομάτου om. C 10 εἰ δὲ] καὶ εἰ a 11 post ταυτ. add. ὁ κόσμος οὐδὲ τὰ τούτου μέρη a τινὰ αἰτ. δηλ. coll. a 12 τὰ κατ' om. F 14 ἔφθην εἰπών] p. 126,29 16 ἔσται οὖν] ὥστε ἔσται a 16. 17 πάντ. τις coll. F 17 τῶν βεβιωμένων om. F 21 τὴν ψ. δεῖξαι coll. F 22 ταύτης Ca 24 παρεσκ. a 25 τῷ] τὸ CF 26 παρακολ. a οὖν] δὲ Ca ταύτῃ] ταύτης F 30 μὲν om. F τῷ] τὸ F

ἑτέρων χαρακτηρίζεσθαι, ὑποτίθεται δὲ τὸ ἐναντίον τούτῳ καὶ ἄλλοις 99r
δοκοῦν, λέγω δὴ τὸ τῷ λέγεσθαι αὐτὰ ἑτέρων χαρακτηρίζεσθαι, καὶ δεί- 15
κνυσι τὸ παρακολουθοῦν ἄτοπον· τοῦτο δέ ἐστι τὸ καὶ τὰ μέρη τῶν δευτέρων
οὐσιῶν πρός τι εἶναι· ἑτέρων γὰρ καὶ αὐτὰ λέγεται. καὶ οὕτως ὡς ψευδῆ
5 τὴν δόξαν ταύτην ἀθετήσας τὴν ἰδίαν κρατύνει. συμπεραίνων δὲ ὧδέ πως 20
τὰ εἰρημένα φησίν·

p. 8a28 Εἰ μὲν οὖν ἱκανῶς ὁ τῶν πρός τι ὁρισμὸς ἀποδέδοται, ἢ τῶν πάνυ χαλεπῶν ἢ τῶν ἀδυνάτων ἐστὶ τὸ δεῖξαι ὡς οὐδεμία οὐσία τῶν πρός τι λέγεται.

10 Τοῦτο δὲ εἶπε, λέγω δὴ τὸ τῶν πάνυ χαλεπῶν, διὰ τὸ δοκεῖν
πώς τινα ἀπολογίαν ἔχειν· ἔφη γὰρ ὁ ὁρισμὸς 'αὐτὰ ἅπερ ἐστὶν ἑτέρων 25
εἶναι λέγεται'· ἡ οὖν κεφαλὴ τῶν πρός τι ἐστὶν οὐχ ὡς κεφαλὴ ἢ σῶμα,
ἀλλὰ καθὸ μέρος· τὸ γὰρ μέρος τοῦ ὅλου μέρος. ἀλλὰ τοῦτο οὐκ ἀληθές·
ἡ γὰρ κεφαλὴ οὐ καθὸ μέρος ἑτέρου λέγεται, ἀλλὰ κατὰ αὐτὸ τοῦτο τὸ 30
15 εἶναι κεφαλή. ὥστε καὶ τὰ μέρη τῶν οὐσιῶν τῶν | πρός τι εὑρεθήσονται 99v
κατὰ τὸν προαποδοθέντα ὁρισμὸν τὸν λέγοντα τὰ πρός τι τῷ ἑτέρων
λέγεσθαι χαρακτηρίζεσθαι· καὶ γὰρ ἡ κεφαλὴ τινὸς λέγεται κεφαλή. ὥστε
ἀδύνατον τὸν ἀποδοθέντα τῶν πρός τι ὁρισμὸν ἐκφυγεῖν ταύτην τὴν ἀτο- 5
πίαν· διὰ τοῦτο γὰρ ἐπειδὴ εἶπε τῶν πάνυ χαλεπῶν, ἐπήγαγε καὶ τὸ
20 ἀδυνάτων, δεικνὺς τὸ ἀναπολόγητον τῆς ἀτοπίας.

p. 8a31 Εἰ δὲ μὴ ἱκανῶς, ἀλλ' ἔστι τὰ πρός τι οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν, ἴσως ἂν ῥηθείη τι πρὸς ταῦτα. 10

Νῦν τὸν ἴδιον τῶν πρός τι ὁρισμὸν ἐκτίθεται καί φησιν εἰ δὲ μὴ
25 ἱκανῶς, τοῦτ' ἔστιν εἰ μὴ αὐτάρκως καὶ ἀνελλιπῶς ὁ τῶν πρός τι ὁρισμὸς 15
ὑπὸ τῶν παλαιῶν ἡμῖν παρεδόθη, ἀλλ' ἔστι τὰ πρός τι οἷς τὸ εἶναι
ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν, τοῦτ' ἔστιν οἷς ἡ ὕπαρξις ἐν
τούτῳ ἐστὶν ἐν τῷ πρὸς ἕτερον ἀναδέχεσθαί τινα σχέσιν, ἴσως ἄν, φησί,
ῥηθείη τι πρὸς ταῦτα. πρὸς ποῖα; πρὸς τὰς ἀπορίας τὰς εἰρημένας 20
30 ὅτι καὶ τὰ μέρη τῶν οὐσιῶν τῶν πρός τι εἶναι δόξουσιν· εἰ γὰρ οὕτω,

2 δὴ] δὲ F τὸ τῷ scripsi: τὸ C: τῷ Fa ante ἑτέρων add. τῷ μὴ εἶναι (m² superscr. οὐ) F: post ἑτέρων C post χαρακτ. add. ὑποτίθεται δὲ τοῦτο a
3. 4 τῶν οὐσ. τῶν δευτ. F 4 τῶν πρός τι a λέγονται Fa ὡς om. C
8 τὸ] τῷ C 10 δὲ om. C λέγω δὴ τὸ] εἶναι a 17 χαρακτηρίζονται F: χαρακτηρίζεται a καὶ γὰρ καὶ F 18 ὁρισμῶν C 18. 19 τὴν ἀτ. ταύτην ἐκφεύγειν F 20 ἀδύνατον Fa δεικν. καὶ τὸ F 22. 23 ἴσως — ταῦτα om. a 23. 29 ταῦτα] αὐτά Arist. 25 καὶ ἀνελιπῶς a: om. F
26 ἀπεδόδη Fa 27 ἐν om. F 28 τοῦτο F φησί om. F 29 post ποῖα add. εἶπεν ἴσως ἂν ῥηθείη πρὸς ταῦτα a τὰς εἰρ. ἀπορ. a 30 οὐσιῶν om. F δοξάζουσιν a

φησίν. ἀποδοθείη ὁ ὁρισμὸς ὥσπερ νῦν ἀποδεδώκαμεν, εὐχερῶς ἀπαντῆσαι 99v
δυνάμεθα πρὸς τὰς εἰρημένας ἀτοπίας. τίς δὲ ἡ ἀπάντησις, αὐτὸς ἐπή-
γαγεν· ὁ δὲ πρότερος ὁρισμὸς παρακολουθεῖ μὲν πᾶσι τοῖς πρός 25
τι. οὐ μὴν ταὐτό γέ ἐστι τῷ πρός τι αὐτοῖς εἶναι τὸ αὐτὰ ἅπερ
5 ἐστὶν ἑτέρων λέγεσθαι· οὐ γὰρ εἴ τι, φησί, λέγεται ἑτέρου,
τούτου καὶ τὸ εἶναι ἐν τούτῳ ἐστὶν ἐν τῷ πρὸς ἕτερον λέγεσθαι· εἴ τι
μὲν γάρ ἐστιν ἑτέρου, τοῦτο καὶ ἑτέρου λέγεται. οὐκ εἴ τι δὲ ἑτέρου
λέγεται, ἤδη τοῦτο καὶ ἑτέρου ἐστίν· ὁ μὲν γὰρ πατὴρ υἱοῦ ὢν πα|τὴρ 100r
ἐν τούτῳ ἔχει τὸ εἶναι ἐν τῷ πατὴρ υἱοῦ εἶναι, καὶ μέντοι καὶ υἱοῦ λέγεται
10 πατήρ. ἡ δὲ κεφαλὴ ζῴου λεγομένη κεφαλὴ οὐκέτι καὶ τὸ εἶναι ἐν τούτῳ
ἔχει ἐν τῷ λέγεσθαι ζῴου· καὶ ἀποτμηθεῖσα γὰρ τοῦ ζῴου ἔτι κεφαλὴ
λέγεταί τε καὶ ἔστιν. ὁ δὲ πατὴρ ἀποτμηθεὶς υἱοῦ οὔτε ἔστι πατὴρ οὔτε 5
πρὸς υἱὸν ἔτι λέγεται. ὥστε εἰκότως εἴρηται παρακολουθεῖν τοῖς πρός τι
τὸν πρότερον ὁρισμόν, τὸν δὲ δεύτερον τῷ προτέρῳ μηκέτι. τοῦτο καὶ
15 Ὅμηρος διδάσκει

μηκέτ' ἔπειτ' Ὀδυσῆϊ κάρη ὤμοισιν ἐπείη,
μηδ' ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην· 10

μηκέτι γὰρ ὢν πατὴρ τῷ μηκέτι εἶναι οὐδὲ καλεῖσθαι δύναται· ὥστε τοῦ
εἶναι τὸ λέγεσθαι παρακολούθημα, καὶ οὐκ ἔμπαλιν. εἰ δὲ τοῦτο οὕτως
20 ἔχει, οὐκ ἄρα τὰ μέρη τῶν οὐσιῶν ἑτέρων εἶναι λεγόμενα τῶν πρός τι
κατὰ τοῦτο ἔσται.

Ζητητέον δὲ τί δή ποτε ἐν τῷ ὁρισμῷ τῶν πρός τι τὰ πρός τι παρέ- 15
λαβε λέγων τῷ πρός τί πως ἔχειν· οὐ δεῖ γὰρ ἐν τῷ ὁρισμῷ τὸ ὁριστὸν
παραλαμβάνειν. λέγομεν τοίνυν πρὸς τοῦτο ὅτι τὰ πρός τι διττά ἐστι·
25 λέγονται γὰρ πρός τι καὶ αὐτὰ τὰ πράγματα ἐν οἷς ἡ σχέσις γίνεται καὶ
αὐτὴ δὲ ἡ σχέσις, ὥσπερ καὶ ἡ ποῦ κατηγορία καὶ ἡ ποτὲ σημαίνει μὲν 20
καὶ αὐτὰ τὰ πράγματα, τήν τε οὐσίαν λέγω καὶ τὸν χρόνον ἢ τὸν τόπον,
σημαίνει δὲ καὶ αὐτὴν ψιλὴν τὴν σχέσιν, ἣν ἔχει ἡ οὐσία πρὸς τὸν χρόνον
ἢ τὸν τόπον· ἐπειδὴ οὖν σαφέστερά εἰσι τὰ πράγματα τῆς σχέσεως ἅτε
30 αἰσθητὰ ὄντα, διὰ τοῦτο ἐν τῷ ὁρισμῷ αὐτὰ παραλαμβάνει, ἵνα ἐκ τῶν 25
σαφεστέρων τὴν διδασκαλίαν ποιήσηται.

2 δυνησόμεθα C αὐτὴ C: αὐτῶν F 3 πρότερός φησιν a 4 ταὐτόν γέ ἐστι τῷ Arist.: τοῦτό — τὸ CFa 6 τούτου] τοῦτο a τούτω] ταυτῷ a ἐν τῷ] τὸ C 7 λέγ. ἑτέρου coll. F οὐκ εἴ τι δὲ] οὐ μὴν καὶ ἀντιστρέφει, εἴ τι F 8 ὢν post πατὴρ (alt.) coll. a: om. C 9 ante ἐν τούτῳ add. καὶ C τούτω τε F ἐν (alt.) om. Fa μέντοι γε F 9. 10 πατὴρ λέγ. coll. a 11 ἔτι τοῦ ζῴου coll. C 12 καὶ λέγεται καὶ ἔσται F 15 Ὅμηρος] B 259. 260 16 ὀδυσσῆι C: ὀδυσσῆ F 18. 19 τὸ εἶναι F: τῷ εἶναι a 19 τοῦ λέγ. F 22 τὰ πρός τι om. F 22. 23 περιέλαβε a 23 pr. τῷ] τὸ F 23. 24 παραλ. τὸ ὁρ. coll. C 24. 25 εἰσί· λέγεται a 26 ὡς C 30 παραλαμβάνη (sic) αὐτά F: παραλαμβάνει αὐτά a

p. 8a35 Ἐκ δὲ τούτων δῆλόν ἐστιν ὅτι ἐάν τις εἰδῇ τι ὡρισμένως 100r
τῶν πρός τι, κἀκεῖνο πρὸς ὃ λέγεται ὡρισμένως εἴσεται. |

Τὸν ἴδιον τῶν πρός τι ὁρισμὸν ἀποδεδωκὼς ἐκ τούτου πόρισμά 100v
τι συνάγει κατὰ τοὺς γεωμέτρας. πόρισμα δὲ λέγουσιν ἐκεῖνοι ὃ τῇ ἑτέρου 10
ἀποδείξει συναναφαίνεται, ὥσπερ πρότερον ζητοῦσιν ἡμῖν ἀποδεῖξαι τὴν
τῆς ψυχῆς ἀθανασίαν συνανεφάνη ὅτι ἔστι πρόνοια. κἀνταῦθα οὖν ζητοῦσιν
ἡμῖν τὸν ἀληθῆ τῶν πρός τι ὁρισμὸν συνανεφάνη τούτῳ ὅτι ἐάν τις τῶν
πρός τι τὸ ἕτερον εἰδῇ ὡρισμένως, καὶ τὸ ἕτερον ὡρισμένως εἴσεται, κἂν 15
τὸ ἕτερον ἀορίστως οἶδε, καὶ τὸ ἕτερον ἀορίστως εἴσεται· εἰ γάρ τις ἐπί-
σταται τὸν Σωφρονίσκον πατέρα, καὶ τὸν Σωκράτην εἴσεται ὅτι υἱός· εἰ
γὰρ μὴ οἶδε Σωκράτην ὅτι υἱός, οὐδὲ εἰ πατήρ ἐστι Σωφρονίσκος εἴσεται.
φασὶ δὲ πρὸς τοῦτό τινες ὅτι εἴ τις ὅλον τὸ σῶμα περικαλύπτοιτο, τὴν 20
δὲ κεφαλὴν ἢ τὴν χεῖρα ἔχει γυμνήν, ἐπὶ τούτου τὸ μὲν μέρος, τὴν χεῖρα
εἰ τύχοι ἢ τὴν κεφαλήν, ἔστιν ὡρισμένως εἰδέναι (ἴσμεν γὰρ ὅτι πάντως
ἐστὶ μέρος), τίνος μέντοι γε μέρος, οὐκ ἴσμεν· οὐκ ἄρα, φασίν, ὁ τὸ ἕτερον 25
τῶν πρός τι ὡρισμένως εἰδὼς καὶ τὸ λοιπὸν ὡρισμένως εἴσεται. ἀλλὰ
λέγομεν ὅτι ὡς μὲν κεφαλὴν ἢ ὡς χεῖρα ὡρισμένως γινώσκομεν, ὡς δὲ
μέρος οὐκέτι ὡρισμένως, ἀορίστως δέ· οὐ γὰρ ἴσμεν τίνος μέρος. ὥσπερ
δὲ τοῦτο ἴσμεν ἀορίστως, οὕτω δὴ καὶ οὗ ἐστι μέρος, ἀορίστως γινώσκο-
μεν. δύναται δὲ τοῦτο καὶ ὡς ἐπιλυόμενος τὰς ἀνωτέρω | εἰρημένας 101r
ἀπορίας προσθεῖναι· ἐπειδὴ γὰρ ἔλεγεν εἶναί τινα τῶν πρός τι ἃ μή
ἐστιν ἅμα τῇ φύσει, τὸ γὰρ ἐπιστητὸν προϋπάρχειν τῆς ἐπιστήμης καὶ
τὸ αἰσθητὸν δὲ τῆς αἰσθήσεως φύσει εἶναι πρῶτον (ὡς γὰρ ἐπὶ τὸ πολύ,
ἔφησε, προϋπαρχόντων τῶν πραγμάτων τὰς ἐπιστήμας λαμβάνομεν), τοῦτο 5
οὖν ἐνταῦθα ἐπιλυόμενός φησιν ὅτι εἰ τὰ πρός τι ταὐτά ἐστιν οἷς τὸ εἶναι
ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν, ἀνάγκη ἄρα ὡς ἂν ἔχῃ τῶν πρός τι
θάτερον, οὕτω καὶ τὸ λοιπὸν ἔχειν. ὥστε εἰ μὲν δυνάμει εἴη ἡ ἐπιστήμη,
καὶ τὸ ἐπιστητὸν δυνάμει ἔσται, καὶ εἰ ἐνεργείᾳ θάτερον, καὶ τὸ λοιπόν. 10
εἴπομεν δὲ ἤδη ἐντελῶς περὶ τούτου.

---

1 δὲ] δὴ C 3 τῶν] τὸν F: τοῦ a ἀποδ. ὁρ. coll. C 5 post συναναφ. add. λοιπὸν a ἀποδεῖξαι om. F 7 τοῦτο a 8 ὡρ. εἰδῇ coll. a 9 οἶδε eicias secundum Ammon. 11 μὴ — υἱός] τοῦτο μὴ εἰδείη F ὅτι υἱός] ὡς υἱόν a 13 μέρος μὲν coll. C 14 τύχῃ F ἢ] καὶ Ca 17 ὡς (alt.) om. F γιν. ὡρ. coll. a 18. 19 ὥσπερ — γινώσκομεν om. C 19 δὴ Paris. 1928 Vind. 10: δὲ Fa 20. 21 ἀπ. εἰρ. coll. C 21 προσθεῖναι] ῥηθῆναι F ἐπεὶ C 22 προϋπάρχειν Paris 2051: προϋπάρχει CFa 23 δὲ om. a εἶναι] ὑπάρχειν C (in mrg. εἶναι) alt. τὸ om. F 24 ἔφησε] φησί a: om. F 25 καὶ ἐνταῦθα C 26 ἄρα] γὰρ F 27 εἴη] ἡ F 28 εἰ ἐνεργείᾳ] ὡς ἐπιστητὸν F 29 εἴπομεν] p. 117,15 sq.

p. 8b7 Ὡσαύτως δὲ καὶ τόδε τι εἰ οἶδεν ὅτι κάλλιόν ἐστι. 101r

Ὁ γὰρ εἰδὼς περί τινος ὅτι κάλλιόν ἐστιν ὀφείλει ἀφωρισμένως εἰδέναι καὶ ὅτου κάλλιόν ἐστιν καὶ κατὰ τί κάλλιον· εἰ γὰρ μὴ οἶδε κατὰ τί κάλλιον, οὐδὲ εἰ κάλλιόν ἐστιν οἶδε· πῶς γὰρ τὴν διαφορὰν οὐκ εἰδὼς καθ' ἣν λέγεται ἐκείνου κάλλιον;

p. 8b9 Οὐκ ἀορίστως δὲ εἴσεται ὅτι τοῦτό ἐστι χείρονος | κάλλιον· ὑπόληψις γὰρ τὸ τοιοῦτον γίνεται, οὐκ ἐπιστήμη. 101v

Ὑπόληψιν ἐνταῦθα τὴν ἀμυδρὰν καὶ ἀβέβαιόν φησι γνῶσιν τὴν οἷον δόκησιν. ἡ δὲ ἐπιστήμη γνῶσίς ἐστιν ἄπταιστος. ὥστε ἀορίστως εἰδὼς ὅτι τόδε τι χείρονός ἐστι κάλλιον καὶ μὴ ἐπιστημόνως, ἅτε δὴ πεπλανημένην ἔχων τὴν γνῶσιν, ὑποπτεύσειεν ἄν ποτε καὶ περὶ τοῦ χειρίστου πάντων, λέγω δὴ τῆς ὕλης, ὅτι τινὸς κάλλιόν ἐστι, τὴν διαφορὰν τὴν κατὰ τί κάλλιον καὶ τίνος κάλλιον ἀγνοῶν, ὅπερ ἄτοπον. ἐκ τούτων οὖν ἀποδείκνυσι τὴν κεφαλὴν καὶ τὴν χεῖρα καὶ πάντα τὰ μέρη τῶν οὐσιῶν, ἃ καὶ αὐτὰ οὐσίαι εἰσίν, ὅτι οὔκ εἰσι τῶν πρός τι. εἴ γε αὐτὰ μὲν ἀφωρισμένως ἔστιν εἰδέναι, ὧν δὲ λέγονται εἶναι οὐκ ἀναγκαῖον ἀφωρισμένως εἰδέναι. τὰ δὲ πρός τι ἐλέγετο ὅτι ὡς ἄν τις εἰδῇ τούτων τὸ ἕτερον, οὕτως καὶ τὸ ἕτερον ἀνάγκη εἰδέναι. ὥστε οὔκ εἰσι τῶν πρός τι τὰ τῶν οὐσιῶν μέρη.

p. 8b21 Ἴσως δὲ χαλεπὸν ὑπὲρ τῶν τοιούτων σφοδρῶς ἀποφαίνεσθαι μὴ πολλάκις ἐπεσκεμμένον. τὸ μέντοι διηπορηκέναι περὶ ἑκάστου αὐτῶν οὐκ ἄχρηστόν ἐστιν.

Πάνυ ἐμφιλοσόφως τοῦτό φησιν· ἐπειδὴ γὰρ ἔλεγε τὴν χεῖρα καὶ τὴν κεφαλὴν ὡς μὲν οὐσίας ὡρισμένως γινώσκεσθαι, ὡς δὲ μέρη ἀορίστως, εἰ μὴ γινώσκοιτο τίνος εἴη κεφαλὴ ἢ χείρ, διὰ τοῦτό φησιν ὅτι οὐ δεῖ τὸν μὴ ἐσκεμμένον πάνυ τὰ τοιαῦτα σφοδρῶς περὶ αὐτῶν ἀποφαίνεσθαι. οὐ μόνον δὲ περὶ τούτου, ἀλλὰ καὶ περὶ ἑκάστου πράγματος. ὅμως δὲ

1 εἰ τόδε τι coll. F 2 ὁ γὰρ—ὀφείλει om. F 3 εἰδέναι om. F ὅτου] ὅτι a ἐστιν om. C μὴ γὰρ coll. C 4 οὐκ om. F 7 καὶ οὐκ Ca 8 ἡ ὑπόληψις C: τὴν ὑπόληψιν F φησι post γνῶσιν coll. a: om. C 9 post ἄπταιστος add. καὶ ὑπόληψις ἀμετάπιστος a εἰδὼς] μαθὼν a 10 ἅτε] ὄντως F 11 ὑποπτεύσοι Ca 12 πάντων om. F ἐστι κάλλιον coll. C 13 ἀγνοῶν ante καὶ τίνος coll. a 15 alt. εἰσι] ἔστι a 15. 16 ἀφωρ. μὲν coll. C 17 δὲ] γὰρ Ca ὥσπερ C: ὃς F τις om. F εἰδείη Ca 18 οὗτος F pr. τῶν om. a 21 post ἐσκεμ. add. περὶ αὐτῶν a 22 περὶ] ἐφ' a Arist. ἑκάστου om. F 24 οὐσίαν Ca 25 γινώσκοιτο] γινώσκει a εἴη om. F ἡ κεφ. ἢ ἡ χεὶρ F 26 ἠσκημένον C: ἐπεσκεμμένον a 27 τούτων a

τὸ ἀπορεῖν περὶ τῶν τοιούτων ἀναγκαῖον· ἡ γὰρ ἀπορία ἀρχή ἐστιν εὐπο- 101v
ρίας καὶ ὁδός τις ἐπὶ μάθησιν. ταῦτα δέ φησι βουλόμενος ἡμᾶς μὴ ἐπα-
ναπαύεσθαι τοῖς αὐτοῦ λόγοις, ἀλλὰ καὶ αὐτοὺς ἡμᾶς ζητεῖν τὰ τοιαῦτα
καὶ μὴ ἑτεροκινήτους εἶναι. |

Περὶ ποιοῦ καὶ ποιότητος. 102r

p. 8b25 Ποιότητα δὲ λέγω καθ' ἣν ποιοί τινες εἶναι λέγονται.

Ζητοῦμεν πάλιν ἐνταῦθα περί τε τῆς τάξεως τῆς ποιότητος καὶ τὴν
αἰτίαν τῆς ἐπιγραφῆς τήν τε διαίρεσιν τῆς ποιότητος καὶ τὴν τάξιν τῆς
διαιρέσεως τῶν εἰδῶν. πρῶτον οὖν περὶ τῆς τάξεως· αὕτη δὲ δήλη ἐκ
τῶν προειρημένων· ὡς γὰρ ἐλέγομεν, ἔδει μὲν προτετάχθαι τὸν περὶ ποιό-
τητος λόγον τῶν πρός τι, ἐπειδὴ αὕτη μὲν αὐτὴ καθ' αὑτὴν θεωρεῖται,
τὰ δὲ πρός τι ἐν τῇ πρὸς ἕτερον σχέσει τὸ εἶναι ἔχει. τιμιώτερα δὲ τὰ
καθ' ἑαυτὰ ὑφεστῶτα τῶν μὴ καθ' ἑαυτὰ τὸ εἶναι ἐχόντων, καὶ ὅτι
ἀναιρουμένου τοῦ ποιοῦ καὶ τὸ ἐν τούτῳ ὑφιστάμενον πρός τι συναναι-
ρεῖται, οἷον τὸ λευκότερον καὶ θερμότερον μαθητής τε καὶ διδάσκαλος καὶ
τὰ παραπλήσια, τῶν πρός τι δὲ μὴ ὄντων οὐδὲν κωλύει εἶναι πᾶσαν ποιό-
τητα· εἴπομεν γὰρ ὡς ἰδίαν ὅλως ὑπόστασιν τὰ πρός τι οὐκ ἔχει, ἀλλὰ
ταῖς ἄλλαις ἐπισυμβαίνει κατηγορίαις. ἀλλ', ὡς ἐλέγομεν, διὰ τὸ ἐν τῷ
περὶ τοῦ ποσοῦ λόγῳ μνησθῆναι τὸν φιλόσοφον τῶν πρός τι. ἀναγκαῖον
ἦν εὐθὺς τὴν περὶ αὐτῶν ποιῆσαι διδασκαλίαν. ἵνα μὴ ἐπὶ πολὺ ἀγνοῶμεν
αὐτῶν τὴν φύσιν. καὶ ταῦτα μὲν περὶ τῆς τάξεως. τί δή ποτε δὲ διπλῆν
ποιεῖται τὴν ἐπιγραφὴν περὶ ποιοῦ καὶ ποιότητος, καὶ μὴ ἁπλῆν,
ὥσπερ ἐπὶ τῶν ἄλλων κατηγοριῶν; λέγομεν οὖν ὅτι ἄλλο ἐστὶ ποιὸν καὶ
ἄλλο ποιότης· ποιότης μὲν γάρ ἐστιν αὐτὴ ἡ καθόλου ποιότης, ἀφ' ἧς
παρωνύμως τὰ μετέχοντα ποιὰ ὀνομάζονται, οἷον ἡ καθόλου λευκότης ἢ
μελανία, ποιὸν δέ ἐστι τὸ σῶμα τὸ μεταλαβὸν τῆς ποιότητος καὶ παρω-
νύμως ἀπ' αὐτῆς ὀνομαζόμενον, οἷον τὸ λευκὸν σῶμα ἢ θερμόν. ἡ οὖν
ποιότης νῷ μόνῳ ἐστὶ ληπτή, τὸ δὲ | ποιὸν αἰσθήσει ὑποπίπτει. ἐπεὶ 102v
οὖν διπλοῦν τὸ τῆς ποιότητος ὄνομα, ἢ ὡς αὐτὸ καθ' αὑτὸ καὶ νῷ μόνῳ
νοούμενον, οἷόν ἐστιν αὐτὸ τὸ τῆς ποιότητος γένος, ἢ ὡς αἰσθήσει ληπτόν,
διὰ τοῦτο διπλῆν καὶ τὴν ἐπιγραφὴν ἐποιήσατο. προέταξε δὲ τὸ ποιόν,

1. 2 εὐπορ.] ἀπορ. F 3 ἡμᾶς αὐτοὺς coll. a 4 εἶναι] τυγχάνειν C
6 ποιοί τινες] ποιότητες F 7 δὲ πάλιν Fa τε om. F 7. 8 καὶ om. F
10 ἐλέγομεν ὅτι a (cf. p. 102,17) 11 αὐτὴ μὲν (αὕτη om.) Fa 12 ἕτερα C
14. 15 συναιρεῖται CF 15 καὶ θερ.] τὸ θερ. F 17 εἴπομεν] p. 102,19 οὐκ ἔχει τὰ πρός τι coll. Ca 18 ἐλέγομεν] p. 102,26 19 τοῦ om. F μεμνῆσθαι a
20 αὐτοῦ F: ἑαυτῶν a 23 οὖν om. a 25 τὰ παρ. coll. a 30 αὐτὸ om. C
ὡς τὸ αἰσθ. a

ὅτι γνωριμώτερόν ἐστιν ἅτε αἰσθητὸν ὄν, δεῖ δὲ ἀεὶ ἀπὸ τῶν γνωριμω- 102r
τέρων ἄρχεσθαι τῆς διδασκαλίας. ἔστι δὲ καὶ ἄλλως φάναι ὅτι καὶ ἡ
ποιότης ποιόν ἐστι· τὸ γὰρ ποιὸν κατηγορεῖται ποιοῦ καὶ ποιότητος κοινό-
τερον ⟨ὄν⟩, ὥστε καὶ τὴν ποιότητα ποιὸν λέγεσθαι, ὥσπερ ἀμέλει καὶ τὸ 10
5 ὄνομα κοινῶς κατηγορεῖται ὀνόματός τε καὶ ῥήματος· κἂν γὰρ περὶ ποιῶν
διαλέγηται, οὐ πρώτως περὶ τούτων ποιεῖται τὸν λόγον, ἀλλὰ δι' αὐτὴν
τὴν ποιότητα, ἵνα ὡς ἐκ γνωριμωτέρων σαφὴς ὁ περὶ αὐτῆς γένηται λόγος.

Διαιρεῖ δὲ τὴν ποιότητα εἰς τέσσαρα εἴδη, ὧν τὸ μὲν πρῶτόν φησιν 15
ἕξιν καὶ διάθεσιν, δεύτερον δύναμιν καὶ ἀδυναμίαν, τρίτον παθητικὰς ποιό-
10 τητας καὶ πάθη, τέταρτον σχῆμα καὶ μορφήν. ἵνα δὲ γνῶμεν τίνος ἕνεκεν
τέσσαρα μόνα εἴδη ἐστὶ ποιότητος καὶ οὔτε πλείονα οὔτε ἐλάττονα καὶ
διὰ τί τοιαύτην τάξιν αὐτοῖς ἐπέθηκε, διαίρεσίν τινα τῆς ποιότητος ποιη- 20
σώμεθα. ἡ τοίνυν ποιότης ἢ κατὰ δύναμίν ἐστι καὶ ἀδυναμίαν ἢ κατ'
ἐνέργειαν, κατὰ δύναμιν μὲν ὡς τὸ παιδίον δυνάμει ἐστὶ γραμματικόν,
15 κατὰ ἀδυναμίαν δὲ ὡς ὁ ἵππος ἀδυναμίαν ἔχει τοῦ δέξασθαι γραμματικήν.
εἰ δὲ κατ' ἐνέργειαν εἴη ἡ ποιότης, ἤτοι τελειωτική ἐστιν ἢ κακωτικὴ 25
τοῦ ὑποκειμένου ἢ οὔτε τελειωτικὴ οὔτε κακωτική. καὶ εἰ μὲν τελειωτικὴ
εἴη ἢ κακωτική, ἢ οὐκ ἐμποιεῖ πάθος περὶ τὴν αἴσθησιν τὴν ἡμετέραν ἢ
ἐμποιεῖ. καὶ εἰ μὲν οὐκ ἐμποιεῖ πάθος ἢ δυσαπόβλητός ἐστιν ἢ εὐαπό-
20 βλητος. καὶ εἰ μὲν δυσαπόβλητος εἴη, λέγεται ἕξις, εἰ δὲ εὐαπόβλητος, 30
διάθεσις· οἷον κατ' ἐνέργειαν καὶ τελειωτικὴ | καὶ οὐκ ἐμποιοῦσα πάθος 103r
ἡ ὑγεία καὶ ἐπὶ ψυχῆς ἡ ἀρετή, κακωτικὴ δὲ νόσος καὶ κακία· ἡ γὰρ
ὑγεία καὶ ἡ ἀρετὴ καὶ τελειωτικαὶ τῶν ὑποκειμένων εἰσίν, ἐπεὶ καὶ κατὰ
φύσιν, καὶ πάθος οὐκ ἐμποιοῦσιν· οὐδεμιᾷ γὰρ τῶν αἰσθήσεων ὑποπίπτουσιν, 5
25 εἰ μὴ ἄρα τὰ παρακολουθήματα τῆς ὑγείας, οἷον ἡ εὔχροια, ἢ τῆς νόσου
κακωτικῆς οὔσης, οἷον ἡ ὠχρίασις, αὐτὴ μέντοι ἡ ὑγεία καὶ ἡ νόσος καὶ
τὰ τοιαῦτα οὐδεμιᾷ τῶν αἰσθήσεων ὑποπίπτουσι. πολυχρόνιοι μὲν οὖν
οὖσαι καὶ δυσαπόβλητοι λέγονται ἕξεις· λεγόμεθα γὰρ ἐν ἕξει ἔχειν τὴν 10
ἀρετὴν ἢ τὴν κακίαν, ἀλλὰ καὶ τὴν ὑγείαν ἢ τὴν νόσον· διὸ καὶ εὐεκτεῖν
30 λεγόμεθα, ὁπόταν ἡ ὑγεία ᾖ ἐπιτεταμένη. ἀλλὰ καὶ νόσος τις ἑκτικὴ λέγεται,

---

1 ἐστιν om. F ἀεὶ om. F 3 ποιόν ἐστι — ποιότητος om. C 4 ὄν inserui ποιοῦ CF 6 διαλέγεται a τούτου C ποιεῖται iter. C 7 τῶν γνωρ. a αὐτοῦ C 9 τὸ δὲ δεύτ. a τὸ δὲ τρίτον a 10 τὸ δὲ τέτ. a 11 ἐστὶ εἴδη coll. C alt. καὶ superscr. F² 14 γρ. δυνάμει ἐστι coll. C 15 ante ὡς add. ὡς ἵππος ἀδυναμίαν δὲ del. C ὁ om. CF τοῦ] τὸ F 16 εἴη] ἦ F ἤτοι] ἢ F post κακωτικὴ add. ἐστι F 17 οὔτε (alt.)] ἢ ἢ οὐ F (in mrg. corr.) κακωτική ἐστι C 17. 18 καὶ — κακωτική om. F (καὶ ἡ μὲν τελειωτικὴ in mrg.) 19 οὐκ om. Ca 19. 20 ἢ δυσ. — εὐαπόβλ. καὶ om. a 19 ἢ (ante δυσ.) om. C 19. 20 δυσαπόβλητον et εὐαπόβλητον (utrobique) Ca ἢ εὐαπόβ.] καὶ εὐαπόβ. C 20 μὲν om. C 21 post διάθ. add. λέγεται C οὐκ] οὐδὲν Ca πάθος ἐστὶν C 22 alt. ἡ ante ἐπὶ coll. a κακωτικαὶ F ἡ νόσος καὶ ἡ κακία a 23 ἡ om. a καὶ (ante τελ.) om. F 25 εἰ — ὑποπίπτουσι (27) in mrg. suppl. C 26 αὐτὴ Vind. 10: αὕτη CFa 27 μὲν οὖν] μέντοι Ca 28 λέγομεν (alt. l.) F 30 ὁπόταν — λεγόμεθα (135,1) om. F εἴη a

καὶ καχεκτεῖν δὲ πάλιν λεγόμεθα. ὀλιγοχρόνιοι δὲ οὖσαι καὶ εὐαπόβλητοι 103r
λέγονται διαθέσεις. τοῦτο δὲ πρῶτον λέγει εἶδος εἶναι ποιότητος, ἕξιν λέγω
καὶ διάθεσιν. ἕξιν δὲ λέγουσι τὴν μόνιμον ποιότητα καὶ δυσαπόβλητον, διά-
θεσιν δὲ τὴν εὐαπόβλητον· οὕτως γὰρ ἕξιν λέγομεν ἔχειν τὸν δεῖνα ῥητορικῆς
τὸν εἰδότα μὴ μόνον τὰς τῆς ῥητορικῆς μεθόδους ἀλλὰ καὶ πρὸς τὰς ἀπο-
ρίας τὰς ἐπιφερομένας αὐτῷ ἐνστῆναι δυνάμενον, τὸν δὲ μὴ πάνυ περιγεγο-
νότως κατεσχηκότα τῶν κατὰ τὴν ῥητορικὴν μεθόδων ἄλλως δὲ πεποιω-
μένον πως κατ' αὐτήν, ἕξιν μὲν τοῦτον ῥητορικῆς οὔ φαμεν ἔχειν, δια-
κεῖσθαι δέ πως κατὰ ῥητορικήν. τί οὖν; οὐκ ἔστι καὶ ἡ ἕξις διάθεσις;
ὁ γοῦν τὴν ἕξιν ἔχων διάκειταί πως κατ' αὐτήν. λέγομεν ὅτι τὸ τῆς
διαθέσεως ὄνομα διττόν ἐστι, τὸ μὲν γενικώτερον ὃ κατηγορεῖται καὶ κατὰ
τῆς ἕξεως, τὸ δὲ εἰδικώτερον ὃ ἀντιδιαστέλλεται πρὸς τὴν ἕξιν. ἐνταῦθα
οὖν διάθεσιν παρέλα|βεν οὐ τὴν γενικὴν ἀλλὰ τὴν εἰδικὴν τὴν ἀντιδια- 103v
στελλομένην πρὸς τὴν ἕξιν. ἰστέον δὲ ὅτι τὸ τῆς ἕξεως ὄνομα ἐπὶ τούτων
φέρεται, ἐφ' ὧν καὶ τὸ τῆς εὐεξίας· ἡ γὰρ εὐεξία ἐπίτασίς ἐστι τῆς ἕξεως.
εἰ οὖν τὸ τῆς εὐεξίας ὄνομα ἐπὶ μόνων τῶν ἐμψύχων εἰώθαμεν φέρειν
(οὐδεὶς γὰρ ἂν εἴποι τὸ πῦρ εὐεκτεῖν κατὰ τὴν θερμότητα οὐδὲ τὴν χιόνα
κατὰ τὴν ψῦξιν), καὶ τὸ τῆς ἕξεως ἄρα ὄνομα ἐπὶ μόνων τῶν ἐμψύχων
λεχθήσεται.

Εἰ δὲ κατ' ἐνέργειαν οὖσα ἡ ποιότης τελειωτικὴ εἴη ἢ κακωτικὴ καὶ
ἐμποιεῖ πάθος περὶ τὴν ἡμετέραν αἴσθησιν, λέγεται παθητικὴ ποιότης ὡς
πάθος ἐμποιοῦσα περὶ τὴν ἡμετέραν αἴσθησιν, τελειωτικὴ μὲν ὡς ἡ ἐν τῷ
πυρὶ θερμότης ἢ ἡ ἐν τῷ μέλιτι γλυκότης, κακωτικὴ δὲ ὡς ἡ τοῦ οἴνου
ὀξύτης καὶ ἡ ἐν καρποῖς καὶ τοῖς ἄλλοις σώμασι σῆψις. εἰκότως δὲ αἱ
μὲν τελειωτικαὶ λέγονται (εἰδοποιοῦνται γὰρ κατὰ ταύτας τό τε μέλι καὶ
τὸ πῦρ), αἱ δὲ κακωτικαί, ἐπειδὴ φθαρτικαί εἰσι τοῦ ὑποκειμένου, πᾶσαι
μέντοι πάθος ἐμποιοῦσι περὶ τὴν ἡμετέραν αἴσθησιν. αὗται δὲ ὡς ἀπὸ
πάθους οὐ λέγονται γίνεσθαι, ἐπειδὴ μὴ κατὰ τροπήν τινα τοῦ ὑποκειμένου
γεγόνασι, λέγω δὴ αἱ τελειωτικαί, ἀλλ' οὐσιώδεις αὐτῶν εἰσι ποιότητες.
καθ' ἃς καὶ χαρακτηρίζονται. οὐκ ἀναγκαῖον δὲ τοῦτο ὑποδιελεῖν τὸ
τμῆμα εἴς τε τὸ δυσαπόβλητον καὶ εὐαπόβλητον, ὥσπερ τὸ ἕτερον· ἐκεῖνο
γὰρ ἐπὶ ἐμψύχων μόνων ἐθεωρεῖτο, ἐν οἷς καὶ αἱ κακωτικαὶ ποιότητες
καὶ αἱ τελειωτικαὶ γίνεσθαι πεφύκασι καὶ ἀπογίνεσθαι τοῦ ὑποκειμένου
τοῦ αὐτοῦ μένοντος, διὸ καὶ διῃροῦντο εἴς τε τὰς πολυχρονίους καὶ ὀλιγο-

---

2 εἶναι εἶδος coll. Ca τῆς ποιότ. a 4 ἔχ. λέγ. coll. a τὸν δεῖνα] τόνδε F: τῆς a 5 τῆς ῥητ.] ῥητορικὰς C 6. 7 περιγεγονότα Fa 7 τε καὶ κατεσχηκότα a: om. F 9 καὶ om. C 10 post ἔχων add. πολλῷ μᾶλλον τὴν διάθεσιν· τῆς διαθέσεως γὰρ τὸ μὲν καθολικώτερον τὸ δὲ μερικώτερον a διακ. γὰρ a post αὐτήν add. ὁ διατιθέμενος a λέγ. γὰρ a 11. 12 ὅπερ F 11 καὶ om. C 15 τὸ τῆς εὐεξ.] ἡ ὑγεία F ἐστι post ἕξεως coll. a: om. C τῆς ἕξ.] ὑγείας F 17 ἂν εἴποι] φησὶ F 17. 18 τὴν (ante θερμ. et ψῦξιν) om. Fa 18 μόνων] πάντων F 19 ῥηθήσεται C 20 ἡ om. C 22 τῷ om. CF 23 ἢ om. CF 24 καρπῷ F 27 ἐμποιοῦσαι F 28 μὴ] οὐ C 29 δὴ] δὲ C 30 καὶ om. C 31 εἴς] ὡς F ὥσπερ τὸ ἕτερον om. F

χρονίους· τοῦτο μέντοι τὸ τμῆμα ἐπὶ ἀψύχων θεωρεῖται, ἐν οἷς καὶ αἱ 103ᵛ
τελειωτικαὶ τοῦ ὑποκειμένου καὶ αἱ κακωτικαὶ ποιότητες συμπαρεκτείνονται 30
τοῖς ὑποκειμένοις καὶ μαραινόμεναι συναπομα|ραίνουσιν ἑαυταῖς καὶ τὰ 104ʳ
ὑποκείμενα· ἤγουν τοῖς ὑποκειμένοις συναπομαραίνονται, ὡς ἐπὶ τοῦ ῥόδου καὶ
5 τοῦ μήλου ἔχει· ἡ γὰρ τούτων εὐωδία καὶ εὔχροια φθειρομένη συμφθείρει
ἑαυτῇ καὶ τὸ ὑποκείμενον. ἀλλὰ μὴν καὶ αἱ κακωτικαὶ ὡσαύτως ἔχουσι 5
καὶ αὐταὶ τοῖς ὑποκειμένοις, οἷς ἂν ἐγγένωνται, συμπαρεκτεινόμεναι καὶ
συμφθειρόμεναι, οἷον ἡ τοῦ οἴνου ὀξύτης ἢ τῶν καρπῶν σῆψις καὶ τῶν
ἄλλων σωμάτων. εἰ δὲ καὶ εὑρεθείη ἐπί τινων κακωτικὴ ποιότης ὀλιγο-
10 χρόνιος, ὡς ὁ ἐν ἀργύρῳ ἰὸς ἤ τι τοιοῦτον, μάλιστα μὲν τὰ τοιαῦτα ἴσως 10
τις ἂν κυριώτερον ὀνομάσοι πάθη τὰ ὑπὸ τὴν ποιότητα ἀναφερόμενα,
ἐπειδὴ δὲ ὅλως ἔφθη ἡ κακωτικὴ ποιότης συνταχθῆναι τῇ τελειωτικῇ,
διότι κατὰ τὸ ἕτερον μέρος τῆς ὑποδιαιρέσεως, λέγω δὴ τὸ τὰς τελειω-
τικὰς ἢ κακωτικὰς παραλαμβάνον καὶ οὐκ ἐμποιούσας πάθος, κατὰ πάντα 15
15 κοινωνεῖ τῇ τελειωτικῇ (ἑκατέρα γὰρ ἢ ἕξις ἐγίνετο ἢ διάθεσις καὶ ἐπὶ
μόνων ἐμψύχων ἐθεωρεῖτο), διὰ τοῦτο ἐξ ἀνάγκης καὶ ἐν τῷ ἑτέρῳ μέρει
συνταχθεῖσα, τούτῳ δὴ τῷ προκειμένῳ, συναπηνέχθη αὐτῇ κατὰ πάντα,
μήτ' εἰς τὸ πολυχρόνιον καὶ ὀλιγοχρόνιον διαιρεθεῖσα καὶ ἀπὸ τοῦ πάθος 20
ἐμποιεῖν χαρακτηριζομένη μᾶλλον ἢ τοῦ ἀπὸ πάθους ἐγγίνεσθαι· συνετάχ-
20 θησαν δὲ αὗται ἀλλήλαις, ἡ τελειωτικὴ λέγω καὶ ἡ κακωτική, ἵνα μὴ ἡ
διαίρεσις πολυσχιδὴς γενομένη μήτε ἀσύνοπτος ᾖ καὶ εἰς τὰ αὐτὰ τμήματα
τέμνεσθαι ἀναγκάζηται. 25

Εἰ δὲ μήτε τελειωτικὴ εἴη μήτε κακωτικὴ ἡ ποιότης, ἢ διὰ βάθους
κεχώρηκεν ἢ ἐπιπολῆς ἐστι, καὶ εἰ διὰ βάθους κεχώρηκεν, ἢ δυσαπόβλητός
25 ἐστιν ἢ εὐαπόβλητος. εἰ μὲν οὖν δυσαπόβλητος εἴη, λέγεται παθητικὴ
ποιότης ὡς ἀπὸ πάθους ἐγγινομένη, οἷον ἡ ἐν τῷ ζωμῷ γλυκύτης ἢ ἡ 30
ἐκ γενετῆς ὠχρίασις. αὕτη δὲ οὐ λέγεται ὡς πάθος | ἐμποιοῦσα περὶ 104ᵛ
τὴν ἡμετέραν αἴσθησιν, καίτοι καὶ αὐτὴ ἐμποιεῖ, ἀλλ' ὡς ἀπὸ πάθους
ἐγγινομένη, διότι ἀπὸ τοῦ μᾶλλον ὑπάρχοντος αὐτῇ κυριώτερον αὐτὴν
30 ἐκαλέσαμεν· μᾶλλον γὰρ αὐτὴν χαρακτηρίζει τὸ κατὰ τροπὴν γενέσθαι
τοῦ ὑποκειμένου, τοῦτ' ἔστι κατὰ πάθος, ἢ τὸ τῇ αἰσθήσει τῇ ἡμετέρᾳ 5
πάθος ἐμποιεῖν. εἰ δὲ εὐαπόβλητος εἴη, τοῦτ' ἔστιν ὀλιγοχρόνιος, εἰ μὲν
μὴ ῥᾳδίως ἀποκαθισταῖτο μηδὲ ἐκπτύοιτο, λέγεται πάθος τὸ ὑπὸ τὴν ποιό-
τητα ἀναφερόμενον, ὡς ἡ ἐκ μακρᾶς νόσου ὠχρίασις ἢ ἡ ἐκ πολλῆς ἡλιο-
35 καΐας μέλανσις· καὶ ταῦτα γὰρ ὑπὸ τὴν ποιότητα ἀνάγονται, διότι σώζεται 10

2 παρεκτείν. C 3 μαραινομένοις Ca 4 συμμαρ. Fa 7 αὗται Ca
ἐν οἷς Ca γένωνται C: ἐγγίνωνται a ἀεὶ συμπαρ. C 13 μέρος om. C
15 ἐγένετο C 16 καὶ om. F τῷ om. C 17 αὐτὴ a 18 τοῦ]
τῷ F 21 εὐσύνοπτος Ca εἴη F 22 ἀναγκ. τέμν. coll. C 24 ἐξε-
πιπολῆς Ca , ἐστι om. a καὶ εἰ — κεχώρηκεν a: om. codd. 26 alt. ἡ
om. C 28 αὕτη Ca 29 κυρ. αὐτῇ coll. F 31 τὸ πάθος a
33 ἐκπνοῖτο C 34 ἡ (alt.) om. F 35 γὰρ om. C: ταῦτα γὰρ
om. a

καὶ ἐπ' αὐτῶν τὸ ἴδιον τῆς ποιότητος παρακολούθημα, τὸ παρωνύμως ἀπ' 104v
αὐτῆς τὰ μετέχοντα ὀνομάζεσθαι. εἰ μέντοι ῥᾳδίως ἀποκαθισταῖτο, λέγεται
πάθος τὸ ὑπὸ τὸ πάσχειν ἀναφερόμενον. ὡς εἴ τις διὰ φόβον ὠχρίασεν
ἢ δι' αἰδῶ ἐρυθρὸς ἐγένετο· ταῦτα γὰρ οὐδ' ἀξιοῖ ὅλως καλεῖν ποιότητας,
διότι μὴ ἐξ αὐτῶν παρωνύμως οἱ μετέχοντες ὀνομάζονται· οὐδεὶς γὰρ ἂν
εἴποι, φησί, τὸν δι' αἰδῶ ἐρυθριάσαντα ἐρυθρίαν ἢ τὸν διὰ φόβον ὠχριά-
σαντα ὠχρίαν. ἐκ δὲ τούτων γίνεται τὸ τρίτον εἶδος τῆς ποιότητος. ὅπερ
ἐστὶ παθητικαὶ ποιότητες καὶ πάθη, λέγω δὴ ἡ παθητικὴ ποιότης ἡ ὡς
πάθος ἐμποιοῦσα καὶ ἡ ὡς ἀπὸ πάθους ἐγγινομένη καὶ τὸ πάθος τὸ ὑπὸ
τὴν ποιότητα ἀναφερόμενον καὶ τὸ πάθος τὸ ὑπὸ τὸ πάσχειν ἀναφερό-
μενον· παθητικαὶ μὲν γὰρ ποιότητες τὰ πρότερα τρία, πάθος δὲ τὸ τέταρ-
τον. πῶς δὲ ταῦτά φαμεν διὰ τοῦ βάθους κεχωρηκέναι, λέγω δὴ τὴν
ὠχρίασιν καὶ τὸ ἐρύθημα, καίτοι περὶ τὴν ἐπιφάνειαν μόνην θεωρεῖται;
λέγομεν ὅτι οὐκ ἄνευ τῆς κατὰ βάθος τροπῆς γέγονεν ἡ τοιαύτη περὶ τὴν
ἐπιφάνειαν ποιότης· ὥσπερ γὰρ οἱ ἐκ γενετῆς ἐρυθροὶ διὰ τὴν τοιάνδε
κρᾶσιν γεγόνασι τοιοῦτοι τοῦ | θερμοῦ ἐν αὐτοῖς πλεονάσαντος καὶ περὶ 105r
τὴν ἐπιφάνειαν χωρήσαντος, οὕτως καὶ οἱ διὰ φόβον ἢ αἰδῶ ἐρυθροὶ ἢ
ὠχροὶ γενόμενοι οὐκ ἄνευ τῆς κατὰ βάθος τροπῆς τοιοῦτοι γεγόνασιν.

Εἰ δὲ κατ' ἐνέργειαν ἡ ποιότης οὖσα μήτε τελειωτικὴ εἴη μήτε κακωτικὴ
καὶ ἐπιπολῆς ὑπάρχει, εἰ μὲν ἐπὶ ἀψύχων εἴη καὶ φανταστῶν, λέγεται σχῆμα,
εἰ δὲ ἐπὶ ἐμψύχων, μορφή· φανταστῶν μὲν ὡς ἐπὶ πάντων τῶν μαθημα-
τικῶν, τριγώνων λέγω καὶ κύκλου καὶ τῶν λοιπῶν σχημάτων (ταῦτα γὰρ
ἐν μόνῃ τῇ φαντασίᾳ τὸ εἶναι ἔχει), ἀψύχων δὲ ξύλων καὶ λίθων καὶ
τῶν τοιούτων (τὰ γὰρ φανταστά, λέγω δὴ τὰ σχήματα, ἐν ἀψύχοις γινό-
μενα ποιεῖ καὶ αὐτὰ τοιῶσδε ἢ τοιῶσδε διακεῖσθαι κατὰ τὰς τῶν σχη-
μάτων διαφοράς), ἐπὶ ἐμψύχων δὲ ὡς ἐπὶ πάντων τῶν ζῴων· ἡ γὰρ
μορφὴ περὶ μόνην τὴν ἐπιφάνειαν θεωρεῖται. τί οὖν; οὐ λέγομεν καὶ τὸν
ἀνδριάντα μορφὴν ἔχειν; ἀλλ' οὐχὶ κατὰ πρῶτον λόγον· προηγουμένως
μὲν γὰρ σχῆμα λέγεται ἔχειν, κατὰ δεύτερον δὲ λόγον καὶ μορφήν· διότι
γὰρ μίμημά ἐστιν ἐμψύχου, ἐφ' οὗ ἡ μορφή, καὶ ἐπ' αὐτοῦ καταχρηστι-
κώτερον ἡ μορφὴ φέρεται. ἔχεις καὶ τὸ τέταρτον εἶδος τῆς ποιότητος,
τὸ σχῆμα φημὶ καὶ τὴν μορφήν. καὶ ἡ καταγραφὴ δὲ τῆς διαιρέσεως
εὐληπτοτέραν αὐτῆς ἡμῖν ποιήσει τὴν μέθοδον·

---

1 alt. τὸ] τῷ a 2 ἀποκαθίσταται, τότε λέγ. F 5 παρωνύμως om. C
8 ἡ (ante ὡς) om. C 11 γὰρ om. F 12 τοῦ om. a 16 αὐ-
τῆς F 17 χωρ.] ποιήσαντος F 19 οὖσα ἡ π. coll. F 21 ἐμψ.]
ἀψ. F[1] 23 ξύλων λέγω C 24 ante ἐν add. τὰ C 24. 25 γεν. F
26 τῶν om. F 30 post οὗ add. καὶ a 32 φημὶ] λέγω C
33 αὐτῆς om. a

ἡ ποιότης

- ἢ κατὰ δύναμιν θεωρεῖται καὶ ἀδυναμίαν, ὡς τὸ μὲν παιδίον ἔχει δύναμιν γραμματικὴν ὁ δὲ ἵππος ἀδυναμίαν
- ἢ κατ᾽ ἐνέργειαν
  - ἢ τελειωτικὴ τοῦ ὑποκειμένου ἢ κακωτική
    - ἢ οὐκ ἐμποιεῖ πάθος περὶ τὴν αἴσθησιν τὴν ἡμετέραν ὡς ἡ ἀρετὴ ἡ ὑγεία καὶ ἡ κακία καὶ ἡ νόσος
    - ἢ ἐμποιεῖ, ἥτις λέγεται παθητικὴ ποιότης ὡς πάθος ἐμποιοῦσα περὶ τὴν ἡμετέραν αἴσθησιν οἷον ἡ τοῦ ἡλίου θερμότης ἢ ἡ τοῦ μέλιτος γλυκύτης
    - ἢ δυσαπόβλητός ἐστι καὶ γίνεται ἕξις
    - ἢ εὐαπόβλητος καὶ γίνεται διάθεσις
  - ἢ οὔτε τελειωτικὴ οὔτε κακωτική
    - ἢ διὰ βάθους κεχώρηκεν
      - ἢ δυσαπόβλητός ἐστιν ὡς ἡ ἐκ γενετῆς ὠχρίασις, ἥτις λέγεται παθητικὴ ποιότης ὡς ἀπὸ πάθους ἐγγινομένη
      - ἢ εὐαπόβλητος
        - εἰ μὲν μὴ ῥᾴδιος ἀποκαθισταῖτο ὡς ἡ ἐκ νόσου ὠχρίασις ἢ ἐκ πολλῆς ἡλιοκαΐας ⟨μέλανσις⟩, λέγεται πάθος τὸ ὑπὸ τὴν ποιότητα ἀναφερόμενον
        - εἰ δὲ ῥᾴδιος ἀποκαθισταῖτο ὡς ἡ δι᾽ αἰδῶ ἐρυθριότης, λέγεται πάθος τὸ ὑπὸ τὸ πάσχειν ἀναφερόμενον
    - ἢ ἐπιπολῆς ἐστιν
      - ἢ ἐπὶ ἀψύχων καὶ φανταστῶν καὶ λέγεται σχῆμα
      - ἢ ἐπὶ ἐμψύχων καὶ λέγεται μορφή

Τίνος μὲν οὖν ἕνεκεν τέσσαρα μόνα εἴδη ἐστὶ ποιότητος καὶ οὔτε πλείονα οὔτε ἐλάττονα, ἡ διαίρεσις ἡμῖν ἐσαφήνισε. περὶ δὲ τῆς τάξεως αὐτῶν ταῦτα λέγομεν· πρῶτον μὲν οὖν ἔταξε τὸ τῆς ἕξεως καὶ τῆς δια- 25

figuram recepi ex F, nisi quod ἀποκαθισταῖτο correxi ex ἀποκαθίστατο et μέλανσις addidi: ἡ ποιότης ἢ κατὰ δύναμιν θεωρεῖται ἢ κατ᾽ ἐνέργειαν. καὶ κατὰ δύναμιν μὲν ὡς τὸ παιδίον ἔχει δύναμιν γραμματικὴν ὁ δὲ ἵππος ἀδυναμίαν. τοῦτο δεύτερον εἶδος. ἢ τελειωτικὴ τοῦ ὑποκειμένου ἢ κακωτικὴ ἢ οὔτε τελειωτικὴ οὔτε κακωτική. ἢ διὰ βάθους κεχώρηκεν ἡ ἐπιπολῆς ἐστιν. ἢ οὐκ ἐμποιεῖ πάθος περὶ τὴν αἴσθησιν τὴν ἡμετέραν ὡς ἡ ἀρετὴ ἡ ὑγεία ἡ νόσος ἡ κακία, ἢ ἐμποιεῖ ἥτις λέγεται παθητικὴ ποιότης ὡς πάθος ἐμποιοῦσα περὶ τὴν αἴσθησιν τὴν ἡμετέραν οἷον ἡ τοῦ ἡλίου θερμασία ἡ τοῦ μέλιτος γλυκύτης. ἢ δυσαπόβλητός ἐστι καὶ γίνεται ἕξις ἢ εὐαπόβλητος καὶ γίνεται διάθεσις (reliquis om.) C: om. a 2 ταφηνίσειε F περὶ] πῶς F 3 τὸ τῆς διαθ. CF

θέσεως εἶδος εἰκότως· ἐπειδὴ γὰρ αὗται περὶ τὰ ἔμψυχα καταγίνονται, 105r
τιμιώτερα δὲ πάντων τῶν ἀψύχων τὰ ἔμψυχα, εἰκότως καὶ ἡ ποιότης ἡ
κατὰ ταῦτα θεωρουμένη πρώτην εἴληχε τάξιν. εἰκότως δὲ δεύτερον εἶδός
ἐστι τὸ κατὰ δύναμιν καὶ ἀδυναμίαν· ἐπειδὴ γὰρ ἡ δύναμις καὶ ἡ 105v
5 ἀδυναμία φυσική τίς ἐστιν ἐπιτηδειότης (τό τε γὰρ παιδίον φυσικήν τινα
ἔχει δύναμιν τοῦ δέξασθαι γραμματικὴν ἢ ῥητορικὴν καὶ ὁ ἵππος φυσικὴν
ἀδυναμίαν τοῦ μὴ ἐπιδέχεσθαι τὰ τοιαῦτα, καὶ τὸ πῦρ κατὰ φύσιν ἔχει 5
τὴν τοῦ θερμαίνειν δύναμιν, καὶ τὰ τοιαῦτα ὁμοίως), τὰ δὲ φυσικὰ δευτέραν
τάξιν ἔχει μετὰ τὰ ἔμψυχα, εἰκότως καὶ τὸ κατὰ δύναμιν καὶ ἀδυναμίαν
10 εἶδος τῆς ποιότητος ἐπὶ τῶν φυσικῶν πραγμάτων θεωρούμενον δευτέραν
ἔχει τάξιν. ἐπειδὴ δὲ πρότερον δεῖ ἔχειν φυσικήν τινα ἐπιτηδειότητα, 10
ἔπειτα κατὰ ταύτην ἢ ποιεῖν τι ἢ πάσχειν (εἰ γὰρ μὴ προϋπάρχοι ἡ ἐπι-
τηδειότης, οὐκ ἂν οὐδὲ πάθοι τις ἢ ποιήσαι, οἷον ἐπειδὴ τὸ ἀμίαντον οὐκ
ἔχει ἐπιτηδειότητα τοῦ καίεσθαι, οὐδ' ἂν εἰ μυριάκις τις πῦρ προσαγάγῃ,
15 καήσεται, τὸ δὲ ξύλον ἔχον δύναμιν τοῦ καίεσθαι πυρὸς προσαχθέντος 15
καήσεται), διὰ τοῦτο οὖν τρίτην τάξιν ἔχουσιν ἐν τοῖς εἴδεσι τῆς ποιότητος
αἱ παθητικαὶ ποιότητες καὶ τὰ πάθη, διότι, ὡς εἴρηται, οὐκ ἂν ποιήσαι
τις κατ' αὐτὰς ἢ πάθοι μὴ προϋπαρχούσης ἐν αὐτῷ δυνάμεώς τινος, ἥτις
ἐπιτηδεία ἐστὶ πρὸς τὸ δέχεσθαι τὰ τοιαῦτα. τὸ δὲ σχῆμα καὶ ἡ μορφὴ 20
20 κατὰ μόνην τὴν ἐπιφάνειαν θεωρούμενα τὴν ἐσχάτην εἴληχε χώραν, τῶν
παθητικῶν ποιοτήτων καὶ τῶν παθῶν μέχρι τοῦ βάθους διικνουμένων.
ταῦτα καὶ περὶ τῆς τῶν εἰδῶν τάξεως. ἰστέον δὲ ὅτι ἡ αὐτὴ ποιότης
δύναται πλεοναχῶς λέγεσθαι· οἷον ἡ θερμότης ἐν πυρὶ μὲν οὖσα παθη- 25
τικὴ ποιότης ἐστὶν ὡς πάθος ἐμποιοῦσα περὶ τὴν αἴσθησιν τὴν ἡμετέραν,
25 ἐν ἡμῖν δὲ οἷον ὁ πυρετὸς παθητικὴ ποιότης ὡς ἀπὸ πάθους ἐγγινομένη,
ἐν δὲ τῷ πεπυρακτωμένῳ σιδήρῳ καί, εἰ τύχοι, κατ' αὐτὴν διημερεύοντι
πάθος τὸ ὑπὸ τὴν ποιότητα ἀναφερόμενον, ἡ δὲ θερ|μότης ἡ γενομένη 106r
ἐν ἡμῖν, εἰ τύχοι, ἐκ τοῦ κατὰ πάροδον προσπελάσαι πυρὶ πάθος τὸ ὑπὸ
τὸ πάσχειν ἀναφερόμενον.

30 p. 8ᵇ25 Ποιότητα δὲ λέγω καθ' ἣν ποιοί τινες εἶναι λέγονται.

Διὰ τί τὴν τῆς ποιότητος διδασκαλίαν διὰ τοῦ ποιοῦ ποιεῖται; φαμὲν 5
ὅτι σαφέστερόν ἐστι τὸ ποιόν, ὡς ἤδη εἴρηται, ἅτε τῇ αἰσθήσει ληπτόν.

---

2 τιμ.] προτιμότερα Ca τῶν ἀψύχων om. Ca 5 τινα om. F
6 ῥητ. ἢ γραμ. coll. C 7 τοῦ om. F ἐπιδέξασθαι a
9 ἔχει τάξιν coll. C κατὰ om. C 11 τάξιν ἔχει coll. a 12 κατ' αὐτὴν a προυπάρχει Ca 13 ποιήσαι scripsi: ποιήσει Ca: ποιήσοι F
14 προσαγ. τις πῦρ coll. F 15 καυθήσεται C: κατακαήσεται a προσενεχθέντος a 16 ἔχει F 17 ποιήσαι scripsi: ποιήσοι a: ποιωθείη CF (cf. v. 13)
18 πάθη C 20 χώραν] τάξιν a 21 post παθῶν add. τῶν Ca
24 τὴν ἡμ. αἴσθ. a 26. 28 τύχη F 26 αὐτὸν F 28 ἐν om. Ca 29 τὸ om. F 30 lemma om. C εἶναι om. F (cf. p. 133, 6) 31 alt. διὰ] ἐκ F
32 εἴρηται] p. 134,1 ἅτε δὴ F

καὶ ὅλως ἀπὸ τοῦ ποιοῦ εἰς ἔννοιαν τῆς ποιότητος ἐρχόμεθα· θεασάμενοι 106r
γὰρ τὸ ἐν γάλακτι λευκὸν καὶ τὸ ἐν χιόνι καὶ τὸ ἐν ψιμυθίῳ εἰς ἔννοιαν
ἐρχόμεθα τῆς λευκότητος, ὁμοίως γευσάμενοι μέλιτος καὶ φοίνικος καὶ 10
ἰσχάδος εἰς ἔννοιαν ἐρχόμεθα τῆς γλυκύτητος. ἐκ τοῦ οὖν ποιοῦ σαφε-
5 στέρου ὄντος τὴν διδασκαλίαν ποιεῖται. ἔστι δὲ αὐτὸ τὸ μετέχον ποιόν,
ποιότης δὲ τὸ μετεχόμενον.

p. 8b26 Ἔστι δὲ ἡ ποιότης τῶν πλεοναχῶς λεγομένων.

Τοῦτο λέγων σημαίνει οὐχὶ τὸ ὁμωνύμως λέγεσθαι, ἀλλὰ τὸ δια- 25
φόρως· τὸ γὰρ πλεοναχῶς λέγεσθαι ἢ τὸ ὁμωνύμως δηλοῖ ἢ τὸ διαφόρως,
10 ὡς ἐνταῦθα· εἰ γὰρ ὁμωνύμως εἴληπτο, εἰς διάφορα ἂν σημαινόμενα ἐγί-
νετο ἡ διαίρεσις· ἐπεὶ δὲ τὸ διαφόρως εἴληπται, διὰ τοῦτο γίνεται καὶ ἡ
διαίρεσις ὡς γένους εἰς εἴδη. ἆρα οὖν οὐκ ἔστι γένος ἡ ποιότης; διὰ τί 30
οὖν τῶν εἰδῶν αὐτῆς τὸ μὲν πρῶτον | λέγεται τὸ δὲ δεύτερον; λέγομεν 106v
ὅτι καθὸ ποιότης οὐκ ἔστι τὸ μὲν πρῶτον τὸ δὲ δεύτερον, ἀλλὰ μόνῳ
15 ἀξιώματι διαφέρουσιν, ὡς καὶ ἄνθρωπος ἵππου.

p. 8b26 Ἓν μὲν οὖν εἶδος ποιότητος ἕξις καὶ διάθεσις λεγέσθωσαν. 5

Πρῶτον εἶδος τῆς ποιότητος ἕξις καὶ διάθεσις. διαφέρει δέ, φησίν,
ἡ ἕξις τῆς διαθέσεως τῷ τὴν μὲν διάθεσιν εὐαπόβλητον εἶναι τὴν δὲ ἕξιν
20 δυσαπόβλητον, καὶ ὅτι ἡ μὲν ἕξις πάντως καὶ διάθεσις, ἡ δὲ διάθεσις οὐκ 10
ἐξ ἀνάγκης καὶ ἕξις.

p. 8b29 Τοιαῦται δὲ αἵ τε ἐπιστῆμαι καὶ αἱ ἀρεταί.

Ἐπιστήμας ἐνταῦθα λέγει οὐ τὰς ἀπταίστους, ἀλλὰ πᾶσαν ἁπλῶς
τέχνην μόνιμον, ὥστε κατὰ τοῦτο τὸ σημαινόμενον καὶ γραμματικὴν ἐπι- 20

1 ἀρχόμ. (sic) τῆς ποιότ. F 2 τῇ χιόνι C τῷ ψιμυθ. C: ψιμυθ. a 3 τῆς om. CF 4 τῆς om. F 5 αὐτὸ μὲν a 6 post μετεχόμενον add. ex Marc. 217 διὰ τί δὲ πρόσκειται τὸ καθ' ἣν ποιοί τινες λέγονται; ἢ διὰ τὸ δι' αἰδῶ ἔρευθος καὶ ἣν διὰ φόβον ὠχρίασιν· οὐ γὰρ ποιότητες αὗται, ἐπειδὴ μὴ ἐρευθίαι (sic) ἢ ὠχρίαι οἱ αἰσθέντες καὶ φοβηθέντες λέγονται, φθάνει γὰρ τὴν προσηγορίαν ἡ μεταβολή, ἀλλ' ἠριθριακέναι (sic) καὶ ὠχριακέναι, ὃ οὐ φθάνει τὴν προσηγορίαν. καὶ οὐδὲ ὑπὸ τὴν ποιότητα ἀνάγεται τὸ πάθος τοῦτο διὰ τὸ αὐτὸ ἀλλ' ὑπὸ τὸ πάσχειν. οὐ γὰρ πάσχοντες λέγονται ἀλλὰ πεπονθέναι μόνον a 8 ante τοῦτο add. πῶς πλεοναχῶς; τουτέστι κατὰ (τὰ ὡς add. a) ἀφ' ἑνὸς καὶ πρὸς ἕν (ἀλλ' οὐχ ὡς ὁμώνυμος φωνή add. a). φησὶν οὖν ὅτι ἡ ποιότης πλεοναχῶς λέγεται Fa; eademque post εἴδη (12) add. C τοῦτο – εἴδη (12) om. F 9 οὐ τὸ ὁμων. ὁ. ἀλλὰ τὸ διαφ. a 10 εἴληπτο — διαφόρως (11) om. C 12 ἔσται F 13 λέγομεν — δεύτερον (14) om. F 14 μόνον Fa 15 διαφέρει F 18 τὸ πρῶτον τῆς ποιότ. εἶδος a 19 ἡ om. Fa 21 καὶ om. F 22 τε om. F 24 τὸ om. C

στήμην εἶναι καὶ τεκτονικὴν καὶ τὰς ἄλλας βαναύσους τέχνας· ἑκάστη γὰρ 106v
ἕξις τίς ἐστι μόνιμος. ἡ δὲ ἐπιστήμη τριχῶς λέγεται· λέγεται γὰρ ἐπι-
στήμη ἡ ὑποκείμενον ἔχουσα ἄπταιστον καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως
ἔχοντα καταγινομένη, καθ' ὃ σημαινόμενον καὶ ἡ γεωμετρία ἐπιστήμη καὶ
5 ἡ ἀστρονομία καὶ ἡ ἀριθμητική. ἰατρικὴ δὲ κατὰ τοῦτο οὐκ ἐπιστήμη 25
περὶ ῥευστὸν καταγινομένη ὑποκείμενον. λέγεται δὲ ἐπιστήμη καὶ ἡ ἐξ
ἀρχῶν αὐτοπίστων ὁρμωμένη, ἣ καὶ ὄντως ἐστὶν ἐπιστήμη, ἣν καλοῦσιν
ἀνυπόθετον φιλοσοφίαν παρὰ τὸ ἐκ κοινῶν ἐννοιῶν ὁρμᾶσθαι. κατὰ τοῦτο
δὲ οὔτε γεωμετρίαν οὔτε ἀστρονομίαν οὔτε τῶν τοιούτων οὐδε|μίαν ἐπι- 107r
10 στήμην ἐρεῖς, ἐπειδὴ μὴ ἐξ αὐτοπίστων ἀρχῶν ὁρμῶνται ἀλλ' ἀποδείξεως
δεομένων· ἀρχαὶ γὰρ γεωμετρίας τὸ σημεῖον ἡ γραμμὴ ἡ ἐπιφάνεια καὶ
τὰ τοιαῦτα. καὶ ὁρίζεται μὲν ἕκαστον τούτων ὁ γεωμέτρης, τὸ μὲν
σημεῖον λέγων οὗ μέρος οὐδέν, τὴν δὲ γραμμὴν μῆκος ἀπλατές, καὶ τὰ 5
ἄλλα ὡς ἔχει· τούτων δὲ τὴν ἀπόδειξιν, λέγω δὴ διὰ τί τὸ σημεῖον ἀμερὲς
15 ἢ ἡ γραμμὴ μῆκος ἀπλατές, οὐκέτι οἶδεν ᾗ γεωμέτρης ἐστίν, ἀλλὰ τῷ
πρώτῳ φιλοσόφῳ ἀναπέμπει τούτων τὰς ἀποδείξεις ποιεῖσθαι· οὐδεμία γὰρ 10
ἐπιστήμη αὐτὴ τὰς ἑαυτῆς ἀρχὰς ἀποδείκνυσιν. αἱ τοίνυν μὴ ἐξ ἀρχῶν
αὐτοπίστων ὁρμώμεναι οὐκ ἂν εἶεν κυρίως ἐπιστῆμαι, ὡς καὶ ὁ Πλάτων
φησὶν 'ᾧ γὰρ ἀρχαὶ μὲν ἃς οὐκ οἶδε, μέσα δὲ καὶ τελευταῖα ἐξ ὧν οὐκ
20 οἶδε, πῶς ἂν εἴη τοῦτο ἐπιστήμη;'. ἔστι δὲ καὶ κατὰ τρίτον τινὰ λόγον
ἐπιστήμη ἡ ὁδοποιητική, ἥτις οἶδε τίνα δεῖ προλαμβάνειν καὶ τίνα ἕπεσθαι. 15
καθ' ὃ σημαινόμενον καὶ ἡ ἰατρικὴ ἐπιστήμη καὶ πᾶσα βάναυσος τέχνη.
ᾧ καὶ ἐνταῦθα κέχρηται σημαινομένῳ τῆς ἐπιστήμης ὁ φιλόσοφος. ἀρετὰς
δὲ ἐνταῦθα λέγει τὰς τελείας τὰς καὶ τὸ ὅτι ἐπισταμένας καὶ τὸ διότι· 20
25 τῶν γὰρ ἀρετῶν αἱ μέν εἰσι φυσικαί, ὡς οἱ φυσικήν τινα ἔχοντες σωφρο-
σύνην ἢ πραεῖς ὄντες φύσει ἢ καί τινα τῶν ἀλόγων ἔχειν λέγονται, ὡς
ἡ τρυγὼν καὶ ἡ κορώνη τὴν σωφροσύνην καὶ οἱ πελαργοὶ τὴν δικαιοσύνην,
αἱ δὲ ἠθικαὶ αἱ εἰδυῖαι ὅτι καλὸν ἡ δικαιοσύνη καὶ ἁπλῶς ἡ ἀρετή, διὰ 25
τί μέντοι καλὸν οὐκ εἰδυῖαι, ὀρθοδοξαστικῶς ἐκ πατέρων ἢ διδασκάλων
30 τοῦτο γινωσκόντων τῶν κεκτημένων, αἱ δὲ πολιτικαί, αἵτινες μετὰ τοῦ
ὅτι καὶ τὸ διότι ἴσασιν, αἱ δὲ καθαρτικαί. διαφέρουσι δὲ αἱ καθαρτικαὶ
τῶν πολιτικῶν, ὅτι αἱ μὲν πολιτικαὶ ἐπιστρέφονται πρὸς τὰ καταδεέστερα 30
καὶ τῶν ἡδονῶν ἀντιποιοῦνται | τῶν σεμνοτέρων καὶ χρόνον καὶ τόπον 107v
καὶ ποσὸν παραφυλάττουσαι, οἱ μέντοι καθαρτικῶς ἐνεργοῦντες ἀνεπί-

1 καὶ τεκτ. post τέχνας coll. C 2 alt. λέγεται om. Ca 3 ἡ om. F ante ἀεὶ add. ἡ C 4 ἔχον a καταγινομένη om. a 5 ἡ (ante ἀστρ. et ἀρ.) om. F 7 ὄντος F¹ 8 ὡρμᾶσθαι CFa 9 οὔτε ἀστρονομίαν om. C τινὰ τῶν τοι. a 15 εἶδεν a γεωμετρία C 16 ἀποπέμπει C 18 ὁ Πλάτων] Rei publ. VII, 13 p. 533 C 19 φησὶν ὅτι F τελευταῖον C: τελευτὴ a 20 τούτῳ a 22 βαύσανος F 23 σημ. κέχρ. coll. a ὁ φιλ. τῆς ἐπ. coll. C 24 λέγει ἐντ. coll. F ἐπιστήμας F 25 ὡς] an ἃς? 26 alt. ἢ] οἷον C: ἢ εἰ F: ἢν a 29 μέντοι] μὲν C ἢ ἐκ διδασκ. C 32 καὶ ἐπιστρέφ. F 33 καὶ τόπον om. F 34 φυλάττουσι C: παραφυλάττουσι F αἱ μέντοι καθαρτικαὶ F καθαρτικοὶ καὶ C ἐνεργοῦνται καὶ CF

στρεπτοί εἰσι πρὸς τὰ χείρονα καὶ καθάπαξ τῶν ἡδονῶν ὑπερορῶσιν. αἱ 107v
δὲ τῶν ἀρετῶν εἰσι θεωρητικαί. ἐνταῦθα οὖν, ὡς εἴρηται, τὰς τελείας 5
ἀρετὰς λέγει, τάς τε πολιτικὰς καὶ καθαρτικὰς καὶ θεωρητικάς.

p. 8b31 Ἐάν περ μὴ μεγάλη μεταβολὴ γένηται ὑπὸ νόσου ἢ
5 ἄλλου τινὸς τοιούτου.

Εἰκὸς γὰρ ἐν μακρᾷ τινι νόσῳ γενόμενον ἢ ἐν ἄλλοις ἀσχοληθέντα πράγμασι δι' ἀμελετησίαν ἀπολέσαι τὴν ἐπιστήμην.

p. 8b35 Διαθέσεις δὲ λέγονται ἅ ἐστιν εὐκίνητα καὶ ταχὺ μετα- 10
βάλλοντα, οἷον θερμότης καὶ κατάψυξις καὶ νόσος καὶ ὑγεία
10 καὶ ὅσα ἄλλα τοιαῦτα.

Λέγεται γὰρ διακεῖσθαί πως κατὰ ταῦτα ὁ ἄνθρωπος, οὐ μέντοι ἕξεις ἔχειν.

p. 9a1 Εἰ μή τις καὶ αὐτῶν τούτων τυγχάνοι διὰ χρόνου πλῆθος 30
ἤδη πεφυσιωμένη καὶ ἀνίατος | ἢ πάνυ δυσκίνητος οὖσα, ἣν 108r
15 ἄν τις ἴσως ἕξιν προσαγορεύσοι.

Ἡ γὰρ τοιαύτη οὐκέτι διάθεσις ἀλλ' ἕξις προσαγορεύεται. πεφυσιωμένη δέ φησι, τοῦτ' ἔστιν εἰς φύσιν μεταβληθεῖσα καὶ αὐτὴ φύσις γενομένη διὰ τὸν συνεθισμὸν τοῦ πολλοῦ χρόνου. 5

p. 9a5 Τοὺς γὰρ τῶν ἐπιστημῶν μὴ πάνυ κατέχοντας οὔ φασιν
20 ἕξιν ἔχειν.

Τὸν μὲν γὰρ ἕτοιμον ὄντα ἐν ῥητορικῇ ἢ γραμματικῇ ἀποκρίνεσθαι, περὶ ὧν ἂν ἐρωτᾶται θεωρημάτων ῥητορικῆς ἢ γραμματικῆς, καὶ λόγον ὑπέχοντα τούτων καὶ τὰ ὑποπίπτοντα ἄπορα ἐξ ἑτοίμου ἐπιλυόμενον τοῦτόν 10
φασιν ἕξιν ἔχειν ῥητορικῆς ἢ γραμματικῆς· ἐὰν δὲ ἄλλος τις πεποίωται
25 κατὰ ταύτας μετρίως, οὗτος ἕξιν μὲν τούτων οὐ λέγεται ἔχειν, διακεῖσθαι δέ πως κατ' αὐτάς.

---

1 ὑπερορ.] κατολιγωροῦσι C 2 τῶν ἀρετῶν om. F εἴρηται] p. 141,24 3 καὶ θεωρητικάς om. CF 4 μεγάλη τις C ἀπὸ F: ἢ ὑπὸ a 5 ὑπὸ ἄλλου C: ἀπὸ ἄλλου F 8 ἀκίνητα F 8. 9 μεταβάλλουσαι C 9 καὶ (post θερμ.) om. F κατάψ.] ψυχρότης C καὶ ὑγεία om. C 11 λέγεται—ἔχειν (12) om. C γὰρ] μὲν a 12 ἕξιν a 13 τυγχάνει Ca 15 ἴσως om. C προσαγορεύσῃ CF: προσαγορεύοι Arist. 16 οὐκ ἔστι F 17 αὐτὸ CF 18 συνηθισμὸν F 19 μὲν γὰρ C μετέχοντας a post κατέχ. add. ἀλλ' εὐκινήτους ὄντας Arist. 21 ἐν τῇ F γρ. ἢ ῥητ. coll. a 22 ἂν om. C ἐρωτᾶ τις F 24 ἐὰν] an εἰ? ἄλλος Marc. 217: ἄλλως CFa τις] πως Ca 25 ante μετρίως add. ἤγουν a οὕτως F: om. C 26 κατὰ ταύτας C

p. 9a10 Εἰσὶ δὲ αἱ μὲν ἕξεις καὶ διαθέσεις, αἱ δὲ διαθέσεις οὐκ 108r
ἐξ ἀνάγκης ἕξεις.

Ὥσπερ γὰρ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος κατηγορεῖται τὸ ὄνομα καὶ τὸ μὲν ὄνομά ἐστι γένος ὀνόματος καὶ ῥήματος τὸ δὲ πρὸς τὸ ῥῆμα ἀντιδιαστελλόμενον, οὕτω καὶ τῆς ἕξεως καὶ τῆς διαθέσεως κατηγορεῖται ἡ διάθεσις καὶ ἡ μέν τίς ἐστι διάθεσις ὡς γένος κατηγορουμένη ἕξεως καὶ διαθέσεως ἡ δὲ ὡς εἶδος ἀντιδιαστελλομένη πρὸς τὴν ἕξιν. ὥστε ἡ μὲν ἕξις πάντως καὶ διάθεσις, ἐπειδὴ γένος αὐτῆς ἡ διάθεσις, ἡ δὲ διάθεσις οὐκέτι καὶ ἕξις· κατὰ ἀντιδιαστολὴν γὰρ αὐτῆς λέγεται ἡ ἕξις.

p. 9a14 Ἕτερον δὲ γένος ποιότητος καθ' ὃ πυκτικοὺς ἢ δρομικοὺς ἢ ὑγιεινοὺς ἢ νοσώδεις λέγομεν. |

Τοῦτο δεύτερον εἶδος τῆς ποιότητος, τὸ κατὰ δύναμιν λέγω καὶ 108v
ἀδυναμίαν. διὰ τί δὲ γένος τῆς ποιότητος αὐτὸ προσηγόρευσεν; αὕτη γάρ ἐστι γένος γενικώτατον. φασὶν ὅτι ἀντὶ τοῦ εἰπεῖν εἶδος γένος εἶπεν, ἵνα μή τις ὑπολάβῃ τοῦτο εἶδος εἶναι εἰδικώτατον· ἀμέλει γοῦν οὐκ εἶπε γενικώτατον γένος, ἀλλὰ γένος, ἵνα σημάνῃ ὅτι ὑπάλληλόν ἐστι γένος, ὡς ἂν εἴποιμεν γένος εἶναι τῆς οὐσίας τὸ ζῷον ἀντὶ τοῦ ὑπὸ τὴν οὐσίαν. τὸ οὖν δεύτερον εἶδος, ὡς εἶπον, τῆς ποιότητος παραδίδωσι τὸ κατὰ δύναμιν καὶ ἀδυναμίαν, καθ' ὃ πυκτικοὺς ἢ δρομικοὺς ἢ ὑγιεινοὺς ἢ νοσώδεις λέγομεν. λέγει δὲ πυκτικοὺς ἢ δρομικοὺς τοὺς φύσιν ἔχοντας ἐπιτηδείαν πρός τι τῶν τοιούτων, τοῦτ' ἔστι τοὺς δυνάμει τοιούτους ὄντας. καὶ τὸ μὲν πρῶτον εἶδος τῆς ποιότητος ἐνεργείᾳ θεωρεῖται, ἡ ἕξις καὶ ἡ διάθεσις, τὸ δὲ δεύτερον δυνάμει· ἕτερον γάρ ἐστι πύκτης εἰπεῖν καὶ ἕτερον πυκτικός, καὶ δρομεὺς καὶ δρομικός· τὸ μὲν γάρ ἐστιν ἐνεργείᾳ, ὁ πύκτης καὶ ὁ δρομεύς, τὸ δὲ δυνάμει, ὁ πυκτικὸς καὶ ὁ δρομικός, ὁ μήπω μὲν ἐνεργείᾳ ὢν τοιοῦτος δύναμιν δὲ φυσικὴν ἔχων, τοῦτ' ἔστιν ἐπιδεικτότητα εἰς τὸ γενέσθαι τοιοῦτος. ὁ δὲ ἐνεργείᾳ ὢν πύκτης ἢ δρομεὺς οὐκέτι κατὰ δύναμιν φυσικὴν λέγεται, ἀλλ' ἕξιν ἔχει ἢ διάθεσιν. πῶς δὲ καὶ τὴν 109r
ἀδυναμίαν ποιότητά φησιν; ὅτι διακείμεθά πως καὶ κατὰ ταύτην· τῷ γὰρ

1 δὲ] γὰρ a 3 post γὰρ add. καὶ C κατηγορεῖτο C 4 ἐστι ὄνομά coll. F 4 τὸ πρὸς coll. F 5 καὶ τῆς διαθέσεως om. C 5. 6 κατηγορεῖται — διάθεσις] ἡ μὲν a 6 κατηγορούμενον F 7 ἀντιδιαστελλόμενον F 8 ἡ διάθεσις (post αὐτῆς) om. F 9 αὐτῶν C 12 τῆς om. Ca 13 αὐτὸ τῆς ποιότ. coll. Fa 15 ὑπολάβοι F οὖν C 16 σημ.] δείξῃ a post γένος add. εἶδος δὲ ὑπὸ τὴν ποιότητα ἀναφερόμενον a ἐὰν C 17 ἀντὶ τοῦ εἰπεῖν τὸ C 19. 20 ἢ ὑγ. — δρομικοὺς om. F 22 ἕξις φημὶ a 23 ὁ πύκτης et ὁ πυκτ. C εἰπεῖν om. F 25 ὁ (ante δρομικός) om. F 26 ὢν om. F: ante ἐνεργ. coll. a ἔχων φυσ. coll. C 28 ἔχειν F post διάθεσιν add. ex Marc. 217 πυκτικὸν δὲ βρέφος φαμὲν τὸ μακρὰς ἔχον χεῖρας, ἃς χρειώδεις πρὸς τὸ ἀκροχειρίζεσθαι, καὶ δρομικὸν βρέφος τὸ μὴ πληθωρικὸν ἀλλὰ καὶ εὔρρωστον a 29 καὶ om. Ca

τοιῶσδε τὸν ἵππον διακεῖσθαι ἀδυναμίαν αὐτόν φαμεν ἔχειν τοῦ δέξασθαι 109r
ἐπιστήμην. καὶ ὅλως ἐφ' ὧν θεωρεῖται ἡ δύναμις, ἐπὶ τούτων καὶ ἡ
ἀδυναμία· ὁ γὰρ δύναμιν ἔχων τοῦ πάσχειν οὗτος ἀδυναμίαν ἔχει τοῦ μὴ
πάσχειν, καὶ ὁ δύναμιν ἔχων τοῦ μὴ παθεῖν ἀδυναμίαν ἔχει τοῦ παθεῖν. 10
5 καὶ ἄλλως ἐπειδὴ τῶν ἀντικειμένων τὸ αὐτό ἐστι γένος, εἴτε οὖν ὡς
ἐναντία ταῦτά τις βούλεται ἀντικεῖσθαι, ὑφ' ὃ γένος τὸ ἕτερον τῶν ἐναν- 20
τίων ἀνάγεται, ὑπ' ἐκεῖνο καὶ τὸ ἕτερον ἀναχθήσεται, ἐπειδὴ καὶ τὸ λευκὸν
καὶ τὸ μέλαν ἐναντία ὄντα ὑπὸ τὸ αὐτὸ γένος, τὴν ποιότητα, ἀνάγονται
(εἰ τοίνυν ἡ δύναμις ὑπὸ τὸ ποιὸν ἀνάγεται, καὶ ἡ ἀδυναμία ὑπὸ τὸ αὐτὸ
10 ἀναχθήσεται), εἴτε ὡς τὰ κατὰ στέρησιν καὶ ἕξιν ταῦτα ἀντικεῖσθαί τις 25
βούλοιτο, καὶ οὕτως ὑπὸ τὸ αὐτὸ γένος αὐτὰ ἀνάξει· οὐ γὰρ λέγεται εἶναι
ἡ ἕξις, τούτου καὶ ἡ στέρησις λεχθήσεται, οἷον ὀφθαλμοῦ· αὐτοῦ γάρ
ἐστι καὶ ἡ ὄψις καὶ ἡ τύφλωσις. ὑφ' ὃ οὖν γένος ἀνάγεται ἡ ἕξις, ὑπὸ
τὸ αὐτὸ καὶ ἡ στέρησις ἀναχθήσεται.

15 p. 9a16 Οὐ γὰρ τῷ διακεῖσθαί πως ἕκαστον τῶν τοιού|των 109v
ποιὸν λέγεται.

Ἀντὶ τοῦ τοῦ 'οὐ τῷ εἶναι αὐτοὺς ἐνεργείᾳ τοιούτους λέγομεν, ἀλλὰ
τῷ δύναμιν ἔχειν τοιαύτην'. λέγεται δὲ ἡ δύναμις τριχῶς· ἢ γὰρ πρὸς
τὸ ποιῆσαί τις δύναμιν ἔχειν λέγεται ἢ πρὸς τὸ παθεῖν ἢ πρὸς τὸ μὴ παθεῖν, 5
20 οἷον ὡς λέγομεν τὸν νοσώδη δύναμιν ἔχειν τοῦ πάσχειν ὑπὸ πολλοῦ περι-
πάτου ἢ ἡλιοκαΐας, τὸν δὲ ὑγιεινὸν δύναμιν ἔχειν τοῦ μὴ πάσχειν ὑπὸ
τῶν τοιούτων, καὶ τὸν τέκτονα δύναμιν ἔχειν τοῦ ποιῆσαι θύραν. ὁσαχῶς
δὲ ἡ δύναμις λέγεται, τοσαυταχῶς καὶ ἡ ἀδυναμία ῥηθήσεται· ὁ γὰρ 10
δυνάμενος παθεῖν ἀδυναμίαν ἔχει τοῦ μὴ πάσχειν, καὶ ὁ δυνάμενος μὴ
25 παθεῖν ἀδυναμίαν ἔχει τοῦ παθεῖν, οὐκέτι δὲ ὁ δυνάμενος ποιῆσαι πάντως
καὶ ἀδυναμίαν ἔχει τοῦ μὴ ποιῆσαι. διὰ τί οὖν ὥσπερ ἐπὶ τῆς τοῦ
παθεῖν δυνάμεως παρελάβομεν καὶ τὴν τοῦ μὴ παθεῖν, οὕτως καὶ ἐπὶ τῆς 15
τοῦ ποιεῖν τὴν τοῦ μὴ ποιεῖν οὐ παρελάβομεν; φαμὲν οὖν ὅτι ἐπειδὴ ἔστι

1 φαμὲν αὐτὸν coll. Ca 3 οὗτος om. C μὴ superscr. F 4 παθεῖν (pr. l.) C καὶ ὁ — τοῦ παθεῖν om. C post τοῦ παθεῖν add. ex Marc. 217 δύναται μὲν γὰρ ποιεῖν ὁ πύκτης, δύναται δὲ μὴ πάσχειν ὁ ὑγιεινός. λοιμοῦ γὰρ καταλαβόντος οὐχ ἑτοίμως ἁλίσκεται ὑπὸ τῶν νοσοποιῶν αἰτίων. καὶ οὐ δύναται μὲν ποιεῖν ὁ ἀργὸς τὴν διάνοιαν, περὶ οὗ εἴρηται τὸ 'αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.' οὐ δύναται ποιεῖν τὸ πῦρ ψύχειν, οὐ δύναται μὴ ποιεῖν τὸ πῦρ θερμαίνειν, καὶ οὐ δύναται μὲν μὴ πάσχειν τὸ μαλακὸν ἢ ὁ νοσώδης λοιμοῦ καταλαβόντος, δύναται δὲ μὴ πάσχειν τὸ σκληρόν a 8 τῆς ποιότητος F 9 αὐτὸ] ποιὸν C 10 τὰ om. C 11. 12 εἶναι ἡ ἕξις γένους F: ἡ ἕξις εἶναι γένους a 13 καὶ (prius) om. C 15 γέ πως Arist. 16 ποιὸν om. CF 17 οὐ γὰρ a 18 τῷ] τὸ C ἔχειν αὐτοὺς a δὲ om. C post γὰρ add. τῷ πεφυκέναι ποιεῖν τις ἤγουν a 19 λέγ. ἔχειν coll. C 20 οἷον om. C 21 ἡλιοκαυσίας F 23 γὰρ om. F 24. 25 τοῦ μὴ — ἔχει om. C 25 τοῦ μὴ παθεῖν (alt. l.) F alt. παθεῖν] πάσχειν C 28 καὶ τὴν C ὅτι om. Fa

τινὰ τῶν πραγμάτων τὴν πρὸς τὸ ποιεῖν μόνως δύναμιν ἔχοντα, οὐδαμῶς 109v
δὲ καὶ τὴν πρὸς τὸ μὴ ποιεῖν, ὡς καὶ ἐν τῷ Περὶ ἑρμηνείας φησὶν ὁ
Ἀριστοτέλης ὅτι ἡ δύναμις ἡ μέν τίς ἐστιν ἐπαμφοτερίζουσα ἡ δὲ μόνως
τὸ ἕτερον τῶν ἐναντίων ἔχουσα· καὶ ἐπαμφοτερίζει μὲν πᾶσα ἡ λογοειδής,
ἡ δὲ μὴ λογοειδὴς μόνον τὸ ἕτερον τῶν ἐναντίων ἔχει· οἷον ὁ ἰατρὸς
δύναται ὑγιάζειν, ἀλλὰ καὶ μὴ ὑγιάζειν οὐδὲν ἧττον, καὶ ὁ τέκτων δύναμιν
ἔχων τοῦ ποιῆσαι θύραν, οὐδὲν ἧττον καὶ τὴν τοῦ μὴ ποῆσαι δύναμιν
ἔχει. τὸ μέντοι γε πῦρ δύναμιν ἔχον τοῦ θερμαίνειν οὐκέτι καὶ τοῦ μὴ
θερμαίνειν ἔχει δύναμιν, καὶ ἡ χιὼν ὁμοίως τοῦ ψύχειν δύναμιν ἔχουσα
καὶ τοῦ μὴ ψύχειν οὐκέτι ἔχει δύναμιν, καὶ ὁ θεὸς δύναμιν ἔχων τοῦ
ποιεῖν ἀγαθὰ οὐκέτι καὶ τοῦ μὴ ποιεῖν ἔχει. καὶ εἰκότως τὰ λογοειδῆ
ἐπαμφοτερίζουσαν ἔχει τὴν δύναμιν, ἐπειδὴ ἐπὶ τούτων οὐ συντρέχει 110r
τῇ βουλήσει ἡ δύναμις· οὐ γὰρ ἃ βούλονται, ταῦτα πάντως καὶ δύνανται,
οὐδὲ ἃ δύνανται, ταῦτα καὶ βούλονται. τὸ μέντοι θεῖον σύνδρομον ἔχει
τῇ βουλήσει τὴν δύναμιν· ἐὰν γὰρ βούλεσθαι μὲν αὐτὸν εἴπωμεν, μὴ 5
δύνασθαι δὲ ἃ βούλεται, ἀνόητος ἡ βούλησις, ὥσπερ καὶ ἄνθρωπος ἀνόητος
ἐκεῖνος ὁ βουλόμενος ἃ μὴ δύναται, οἷον ἵπτασθαι ἢ ἀθάνατος εἶναι.
πάλιν εἰ δύνασθαι μὲν αὐτὸν εἴπωμεν, μὴ βούλεσθαι δέ, ματαίαν ἕξει τὴν
δύναμιν· εἰ γὰρ δυνάμενός τις ποιεῖν τοῦτο μὴ βούλεται ποιεῖν, οὐ ποιήσει 10
πάντως οὐδὲ τὴν δύναμιν εἰς ἐνέργειαν ἄξει· ὥστε ματαία ἔσται ἡ δύναμις
ἀνενέργητος διαμένουσα. διὰ τοῦτο ἐπὶ θεοῦ τὸ δύνασθαι μόνον λέγομεν,
οὐκέτι δὲ καὶ τὸ μὴ δύνασθαι, διότι ἃ δύναται ποιεῖν, ταῦτα καὶ βούλεται,
βουλόμενος δὲ πάντως καὶ ποιεῖ, καὶ οὐ τάχα μὲν ποιεῖ τάχα δὲ οὐ ποιεῖ, 15
ἀλλὰ πάντως ποιεῖ· πᾶν γὰρ ὃ βούλεται δύναται καὶ ὃ δύναται βούλεται.
βούλησιν δὲ λέγομεν ἐνταῦθα τὸ θέλημα, οὐ τὸ βουλεύεσθαι ἢ τὴν βουλήν·
οὐδὲ γὰρ κυρίως ἐπὶ θεοῦ φέρεται ἡ βουλή, εἴ γε, ὥς φησιν ὁ Ἀριστο- 20
τέλης, οὐδὲν ἕτερόν ἐστιν ἡ βουλὴ ἡ ἔνδεια φρονήσεως· βουλευόμεθα γὰρ
ἀγνοοῦντες ὅ τι δέοι ποιεῖν καὶ πότερον τόδε ἢ τόδε ποιητέον ἐστίν· ἐφ'
ὧν γὰρ ἡ προαίρεσίς ἐστιν, ἐπὶ τούτων καὶ ἡ βουλή, εἴ γε ἡ προαίρεσις
οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ τόδε πρὸ τοῦδε αἱρεῖσθαι, ἡ δὲ βουλὴ αἱρέσεως
τῶν πραγμάτων ἕνεκεν γίνεται. βουλευόμεθα δὲ ἀγνοοῦντες, ἀγνοοῦμεν 25
δὲ ἐνδεεῖς ὄντες φρονήσεως· ᾧ γὰρ φρόνησις πάρεστι, πάντα γνώριμα τὰ

---

1 τὴν om. Fa τὸ μὴ ποιεῖν F μόνον C 2 περὶ ἑρμ.] p. 22b36 sq. 5 ἔχειν C 6 οὐδὲν] οὐχ a καὶ ὁ] ἀλλὰ καὶ C 7 τὴν om. a 8 ante τοῦ μὴ add. τὴν Ca 9 δύν. ἔχει coll. F τὴν τοῦ ψύχ. a ἔχουσα δύν. coll. a 10 δύν. ἔχει coll. Fa 13 βούλεται C δύναται C 15 γὰρ om. F 15. 18 an αὐτό? 17 ἵπτεσθαι C: ἵππασθαι F 19 ὁ δυνάμ. a τι Fa μὴ βούλ. τοῦτο coll. a 20 ἕξει C ἐστὶν F 21 τοῦ θεοῦ F μόνον τὸ δύν. coll. C 22 καὶ (prius) om. a 23 οὐ (alt.)] ἃ F 25 τὸ θέλημα om. Ca, sed. post βουλήν add. καὶ τὸ θέλημα αὐτοῦ C: ἀλλὰ τὸ θέλημα a βούλεσθαι CF βουλήν] βούλησιν C 26 post γὰρ add. τὸ βούλεσθαι a ἢ ἡ βουλή a 26. 27 ὥς φησιν ὁ Ἀριστ.] spectare videtur Eth. Nic. VI 10 p. 1142a31 sq. 30 ἐστιν ἕτερον coll. F τὸ om. F 31 βουλόμεθα F δὲ] an οὖν? 32 ante φρόνησις add. ἡ C

πρακτέα· τελειοτάτη γάρ ἐστιν ἀρετή. εἰ τοίνυν τὸ θεῖον αὐτοφρόνησίς 110r
ἐστιν, οὐ δεήσεται βουλῆς, εἴ γε αὕτη κατ' ἔνδειαν γίνεται φρονήσεως. 30
διὰ ταῦτα μὲν οὖν ὁ Ἀριστοτέλης τὴν λογοειδῆ | δυνάμιν μόνην ἔφασκεν 110v
ἐπαμφοτερίζειν. εἰ δὲ δεῖ ἀκριβέστερον εἰπεῖν, ἡ μὲν ὀρεκτικὴ πᾶσα
5 δύναμις τὴν ἐπ' ἀμφότερα ῥοπὴν ἔχει, ἡ δὲ παρὰ τὴν ὀρεκτικὴν πᾶσα,
ἥ τε κρείττων οὖσα ταύτης καὶ ἡ καταδεεστέρα, τὸ ἕτερον μόνον τῆς 5
ἀντιφάσεως μέρος κέκτηται, ὡς ἤδη ἐδείξαμεν ἐπί τε τοῦ πυρὸς καὶ τῆς
χιόνος. εἰ τοίνυν ἐδείχθη ἐπί τινων πραγμάτων ἡ τοῦ ποιεῖν δύναμις
χώραν ἔχουσα μόνον, οὐκέτι δὲ καὶ τὸ ἕτερον τῆς ἀντιφάσεως μέρος,
10 εἰκότως οὐχ ὥσπερ ἐπὶ τοῦ πάσχειν ἀντετάξαμεν τὸ μὴ πάσχειν, οὕτως 10
καὶ ἐπὶ τοῦ ποιεῖν τὸ μὴ ποιεῖν, ἐπειδὴ περὶ πάσης δυνάμεως εἰπεῖν
βουλόμεθα, οὐ πάσῃ δὲ δυνάμει πάντως ἕπεται ἀδυναμία. δεῖ δὲ καὶ
τὴν καταγραφὴν αὐτῶν οὕτως ποιεῖσθαι καὶ τῶν ἀποφάσεων·

δύναται ποιεῖν	οὐ δύναται ποιεῖν
δύναται πάσχειν	οὐ δύναται πάσχειν
δύναται μὴ πάσχειν	οὐ δύναται μὴ πάσχειν
κατάφασις	ἀπόφασις

διὰ ταῦτα τοίνυν καὶ αὐτὸς τὸ τριττὸν τοῦτο τῆς δυνάμεως εἶδος παρα- 20
δίδωσι, καὶ τὴν μὲν τοῦ ποιεῖν λέγων οἷον πυκτικοὶ ἢ δρομικοὶ λέ-
20 γονται οὐ τῷ διακεῖσθαί πως ἀλλὰ τῷ δύναμιν ἔχειν φυσικὴν
τοῦ ποιῆσαί τι ῥᾳδίως (ἐνταῦθα ἡ τοῦ ποιεῖν δύναμις), ὑγιεινοὶ δὲ
λέγονται τῷ δύναμιν ἔχειν φυσικὴν τοῦ μηδὲν πάσχειν ὑπὸ τῶν 25
τυχόντων ῥᾳδίως (ἰδοὺ καὶ τὸ δεύτερον), νοσώδεις δὲ τῷ ἀδυνα-
μίαν ἔχειν φυσικὴν τοῦ μηδὲν πάσχειν ῥᾳδίως ὑπὸ τῶν τυχόν-
25 των (ἐνταῦθα τὸ τρίτον)· οἱ μὲν γὰρ νοσώδεις δύναμιν ἔχουσι τοῦ πάσχειν
τι ῥᾳδίως, ἀδυναμίαν δὲ τοῦ μὴ πάσχειν, οἱ δὲ | ὑγιεινοὶ τὸ ἀνάπαλιν. 111r
ἀκριβῶς δὲ εἶπεν ὑπὸ τῶν τυχόντων τὰ ὑγιεινὰ μὴ πάσχειν, οἷον ὑπὸ
καύματος ἢ ἀνέμου· πάθοι γὰρ ἂν ὑπὸ ξίφους ἢ πυρὸς ἢ ἄλλου τινὸς

1 ἡ ἀρετή F καὶ τὸ θεῖον a 2 οὐ] οὐδὲν F 3 τὴν om. C 4 ἡ μὲν] ἡμῖν F
5 παρὰ] περὶ C 6 μόνον om. C 6. 7 μέρος τῆς ἀντιφ. coll. C 7 ἐδείξαμεν]
p. 145,8 9 τὸ ἕτερον τὸ C 11 ἐπειδὴ — εἰπεῖν om. F 12. 13 δὲ καὶ τὴν] γὰρ C
13 ἀντιφάσεων C 14 supra figuram add. καταφάσεις et ἀποφάσεις (κατάφασις et ἀπόφασις
infra om.), atque in diagonalibus add. ὑγιεινοί — νοσώδεις a 15. 16 οὐ δύναται π. et οὐ
δύναται μὴ π. inter se commutavit C 17 τὰ μὲν κατάφασις τὰ δὲ ἀπόφασις C
18 τὸ post τοῦτο transponas τρίτον C εἶδος τοῦτο τῆς δ. coll. C 18. 19 ἡμῖν
παραδ. C 19 οἷον πυκτ.] πυκτ. γὰρ Fa 19. 20 λέγονται post πως coll. Arist.
20 φυσικὴν om. Fa 21 ἐνταῦθα — δύναμις om. C 22. 23 ὑπὸ τῶν τυχ. πάσχ.
coll. C 23 ῥᾳδίως om. F ἰδοὺ — δεύτερον om. C 24 μηδὲν] μὴ F: om. C ῥᾳδίως
om. Fa 24. 25 τυχόντων] Arist. verba continuat usque ad αὐτοῦ τούτου (27) C
25 ἐνταῦθα τὸ τρίτον] Ἰδοὺ καὶ τὸ δεύτερον εἶδος δείκνυσιν ἐν τῷ εἰπεῖν· πυκτικοὶ ἢ δρο-
μικοὶ λέγονται, ὡσαύτως καὶ ὑγιεινοὶ λέγονται τῷ δύναμιν ἔχειν φυσικὴν τοῦ μηδὲν ὑπὸ τῶν
τυχόντων πάσχειν ῥᾳδίως. καὶ τὸ τρίτον δὲ ἐν τῷ εἰπεῖν· νοσώδεις δὲ τῷ ἀδυναμίαν ἔχειν
φυσικὴν τοῦ ῥαδίως πάσχειν ὑπὸ τῶν τυχόντων C ante πάσχειν add. μὴ F
26 τι om. a 28 post ἀνέμου add. ἢ ἁπλῶς ἀφ' ὧν οὐ πέφυκε πάσχειν τὰ
ὑγιεινά a

τοιούτου. τὰ δὲ νοσώδη δύναμιν ἔχει ὑπὸ τῶν τυχόντων πάσχειν, ἀδυνα- 111r
μίαν δὲ μὴ πάσχειν. 6

p. 9a24 Ὁμοίως δὲ τούτοις καὶ τὸ σκληρὸν καὶ τὸ μαλακόν.

Τὸ μὲν γὰρ ἔχει δύναμιν τοῦ μὴ ῥᾳδίως διαιρεῖσθαι, ἀδυναμίαν δὲ
5 αὐτοῦ τούτου, τὸ δὲ μαλακὸν τοῦ μὲν διαιρεῖσθαι ῥᾳδίως δύναμιν ἔχει,
ἀδυναμίαν δὲ τοῦ μὴ διαιρεῖσθαι. 10

p. 9a28 Τρίτον δὲ γένος ποιότητος παθητικαὶ ποιότητες καὶ πάθη.

Γένος πάλιν εἶπεν ἀντὶ τοῦ εἶδος. τοῦτο δὲ τετραχῶς θεωρεῖται· ἡ
10 γὰρ παθητικὴ ποιότης ἢ παντὶ τῷ εἴδει πάρεστιν, ὡς πάσῃ χιόνι τὸ
λευκόν, ἢ οὐ παντί, φυσικῶς μέντοι καὶ ἐκ γενετῆς, ὡς τοῖς Αἰθίοψι τὸ
μέλαν. καὶ εἰ παντί, ἢ συμπληρωτική ἐστι τοῦ ὑποκειμένου ἢ οὐχί·
συμπληρωτικὴ μὲν ὡς τῆς χιόνος ἡ λευκότης καὶ ἡ ψυχρότης καὶ τοῦ
πυρὸς ἡ θερμότης καὶ ἡ ξηρότης, | οὐ συμπληρωτικὴ δὲ ὡς ἡ τῶν 111v
15 κοράκων μελανία καὶ ἡ τῶν κύκνων λευκότης· οὐ γὰρ συμπληροῖ τὸν
κόρακα ἡ μελανία, ὡς πολλάκις εἴρηται, διότι τῶν πτερῶν ἀφαιρεθεὶς 5
μέλας μὲν οὐκέτι ἐστί, κόραξ δὲ οὐδὲν ἧττόν ἐστι. καὶ ἄλλως ἐπειδὴ
μηδὲ ἐν τῷ ὁρισμῷ αὐτῶν παραλαμβάνομεν τὰς τοιαύτας τῶν ποιοτήτων
διαφοράς, εἰ μή που δι' ἀπορίαν πολλάκις τῶν οὐσιωδῶν διαφορῶν·
20 οὐδὲν γὰρ θαυμαστὸν ἀνθρώπους ὄντας μὴ ἐπὶ πάντων εὑρίσκειν τὰς
οὐσιώδεις διαφορὰς καὶ διὰ τοῦτο ἀναγκάζεσθαι ἀπὸ τῶν τοιούτων τὰ 10
πράγματα χαρακτηρίζειν. εἰ τοίνυν παντὶ τῷ εἴδει ὑπάρχει καὶ συμπλη-
ρωτικὴ εἴη, λέγεται παθητικὴ ποιότης ὡς πάθος ἐμποιοῦσα περὶ τὴν
αἴσθησιν τὴν ἡμετέραν, εἰ δὲ παντὶ μὲν τῷ εἴδει ὑπάρχει μὴ συμπληρω-
25 τικὴ δὲ εἴη, λέγεται παθητικὴ ποιότης ὡς ἀπὸ πάθους ἐγγινομένη. εἰ δὲ 15
μὴ παντὶ τῷ εἴδει ὑπάρχει, ἤτοι πολυχρόνιός ἐστιν ἢ ὀλιγοχρόνιος· εἰ
μὲν οὖν μὴ παντὶ ὑπάρχει εἴη δὲ πολυχρόνιος, πάλιν λέγεται παθητικὴ
ποιότης ὡς ἀπὸ πάθους ἐγγινομένη, ὡς ἡ ἐν ζωμῷ γλυκότης καὶ ἡ ἐκ 20
γενετῆς ὠχρίασις καὶ τὸ ἐρύθημα, εἰ δὲ μὴ παντὶ τῷ εἴδει ὑπάρχουσα
30 ὀλιγοχρόνιος εἴη, εἰ μὲν μὴ ῥᾳδίως ἀποκαθισταῖτο μηδὲ εὐαπόβλητος εἴη,

---

2 τοῦ μὴ a 4 δύν. ἔχει coll. C 5 post τούτου add. τοῦ διαιρεῖσθαι C 6 τοῦ om. F
9 γένος δὲ a εἴδους a post εἶδος add. ex Marc. 217 εἰ δὲ ὑπάρχουσιν εἴδη τῆς ποιότητος ταῦτα, πῶς γένη αὐτὰ ἐκάλεσε; διὰ τὸ ἔχειν καὶ αὐτὰ ἕτερα εἴδη ὑποκάτω αὐτῶν καὶ εἶναι ἐκείνων γένη a 14 post ξηρότης add. ex Marc. 217 ὃν γὰρ λόγον ἔχει ἕξις πρὸς παθητικὴν ποιότητα καὶ διάθεσις πρὸς πάθος, τοῦτον καὶ λευκὸν πρὸς ψυχρόν· διακριτικὰ γὰρ ἄμφω· καὶ μέλαν πρὸς θερμόν· συγκριτικὰ γάρ. οὐ μέντοι ταὐτά ἐστι ταῦτα a
16 ὡς πολλάκις εἴρηται om. C (relegare videtur ad Porph. Isag. comm.) 17 οὐκ ἔστιν ἔτι Ca 20 ἐξευρίσκειν a 22 τῷ εἴδει] ἔδει F 25 post ἐγγιν. add. ὡς ἡ τῶν κοράκων μελανία a 26 ἤτοι] ἢ C 27 ὑπάρχει om. F 28 καὶ ἡ] ἢ F 29. 30 ὑπάρχει ὀλιγοχρόνιος δὲ a 30 ἀποκαθίστοιτο F

λέγεται πάθος τὸ ὑπὸ τὴν ποιότητα ἀναφερόμενον, ὡς ἡ ἐκ μακρᾶς νόσου 111v
ὠχρίασις ἢ ἡ ἐκ πολλοῦ χειμῶνος ἐγγινομένη ψῦξις, εἰ δὲ εὐαπόβλητος 25
εἴη καὶ ῥᾳδίως καὶ παραχρῆμα ἀποκαθισταῖτο, λέγεται πάθος τὸ ὑπὸ τὸ
πάσχειν ἀναφερόμενον, ὡς ἡ ὠχρότης ἡ διὰ φόβον ἄκαιρον ἢ ἡ δι' αἰδῶ
5 ἐρυθρότης· ποιότητας γὰρ ὁ Ἀριστοτέλης οὐκ ἀξιοῖ καλεῖν τὰ τοιαῦτα,
ὅτι μὴ παρωνύμως ἀπ' αὐτῶν λέγονται οἱ μετέχοντες. πάλιν δὲ ἡ κατα- 30
γραφὴ εὐσύνοπτον | ποιήσει τὴν διαίρεσιν· 112r

ἡ παθητικὴ ποιότης

- ἢ παντὶ τῷ εἴδει ὑπάρχει
  - ἢ συμπληρωτική ἐστι τοῦ ὑποκειμένου· παθητικὴ ποιότης ὡς πάθος ἐμποιοῦσα περὶ τὴν αἴσθησιν τὴν ἡμετέραν ⟨ὡς⟩ ἡ τοῦ πυρὸς θερμότης
  - ἢ ⟨οὐ⟩ συμπληρωτική· παθητικὴ ποιότης ὡς ἀπὸ πάθους ἐγγινομένη ὡς ἡ τῶν κοράκων μελανία
- ἢ οὐ παντί
  - ἢ πολυχρόνιός ἐστι· πάλιν παθητικὴ ποιότης ὡς ἀπὸ πάθους ἐγγινομένη ὡς ἡ ἐκ γενετῆς ὠχρίασις
  - ἢ ὀλιγοχρόνιος
    - ἢ δυσαπόβλητος· πάθος τὸ ὑπὸ τὴν ποιότητα ἀναφερόμενον ὡς ἡ ἐκ μακρᾶς νόσου ὠχρίασις
    - ἢ εὐαπόβλητος· πάθος τὸ ὑπὸ τὸ πάσχειν ἀναφερόμενον ὡς ἡ δι' αἰδῶ ἐρυθρότης

Ταῦτα δὲ τὰ τέσσαρα τῶν παθητικῶν ποιοτήτων εἴδη οὐ μόνον περὶ
σῶμα θεωρεῖται, ἀλλὰ καὶ περὶ ψυχήν· εἰ γάρ τις ἕξιν ἀρίστην ἔχει εἰς
10 ἐπιστημονικὴν ἢ ἁπλῶς εἰς λογικὴν θεωρίαν, λεχθείη ἂν τὸ τοιοῦτον παθη- 5
τικὴ ποιότης ὡς πάθος ἐμποιοῦσα περὶ τὴν αἴσθησιν τὴν ἡμετέραν καὶ
οὐχ ὡς ἀπὸ πάθους ἐγγινομένη, διότι συμπληρωτική ἐστι καὶ τελειωτικὴ
ἡ τοιαύτη ἕξις τῆς οὐσίας τῆς ψυχῆς. πάθος δὲ ποιεῖ περὶ τὴν αἴσθησιν,

2 ἡ om. a ἐγγεν. F 3 ῥᾳδίως καὶ om. C; καὶ om. F ἀποκαθίστοιτο F 4 ὠχρίασις a ἡ (alt.) om. F 5 γὰρ] δὲ C καλ.] ποιεῖν F 6 οἱ μετέχοντες om. F 7 figuram recepi ex F, nisi quod ὡς ante ἡ τοῦ πυρός et οὐ ante συμπλ. (alt.) inserui et ἐγγινομ. utrobique pro ἐγγενομ. scripsi: verba continua ἡ παθητικὴ ποιότης ἢ παντὶ τῷ εἴδει ὑπάρχει ἢ οὐ παντί. καὶ ἡ ἐν παντὶ αὕτη συμπληρωτική ἐστι τοῦ ὑποκειμένου ἢ οὐ συμπληρωτική. καὶ ἡ ἐν οὐ παντὶ ἢ πολυχρόνιος ἢ ὀλιγοχρόνιος, ἢ καθεξῆς δυσαπόβλητος ἢ εὐαπόβλητος. παθητικὴ ποιότης ὡς πάθος ἐμποιοῦσα περὶ τὴν αἴσθησιν τὴν ἡμετέραν ὡς ἡ τοῦ πυρὸς θερμότης. παθητικὴ ποιότης ὡς ἀπὸ πάθους ἐγγινομένη ὡς ἡ ἐκ γενετῆς ὠχρίασις. πάθος τὸ ὑπὸ τὴν ποιότητα ἀναφερόμενον ὡς ἡ ἐκ μακρᾶς νόσου ὠχρίασις. πάθος τὸ ὑπὸ τὸ πάσχειν ἀναφερόμενον ὡς ἡ δι' αἰδῶ ἐρυθρότης C: om. a 9 τὸ σῶμα et τὴν ψυχὴν a εἰς scripsi: καὶ libri 10 ἢ om. Ca post λεχθείη add. εἴη C τοῦτον F 12 ἐγγινομένην F καὶ τελ. ἐστιν coll. C

οὐ τὴν σωματοειδῆ δῆλον, ἀλλὰ τὴν θείαν λεγομένην καὶ λογικήν· λεγόμεθα 112r
γοῦν αἰσθάνεσθαι λόγων καὶ ὕβρεων, κατὰ ψυχὴν δηλονότι καὶ οὐ κατὰ 11
τὰς σωματικὰς αἰσθήσεις. τοὺς δὲ κατά τινα κρᾶσιν σωματικὴν μανικοὺς
ἢ ὀργίλους ἤ τινας τοιούτους εἴποι ἄν τις παθητικὴν ἔχειν ποιότητα ὡς
5 ἀπὸ πάθους ἐγγινομένην, τοὺς δὲ διὰ νόσον τοιούτους γενομένους πάθος 15
ἔχειν τὸ ὑπὸ τὴν ποιότητα ἀναφερόμενον. τοὺς δὲ διά τινα περίστασιν
ἐκ συναρπαγῆς ὀργισθέντας ἤ τι τοιοῦτον παθόντας εἴποιμεν πάθος ἔχειν
τὸ ὑπὸ τὸ πάσχειν ἀναφερόμενον. δῆλον δὲ ὅτι καταχρώμενοι τοῖς ὀνό-
μασι ταῦτά φαμεν, ἐπεί τοί γε κυρίως ὑπὸ τὴν ἕξιν καὶ τὴν διάθεσιν 20
10 ταῦτα πάντα ἀνάγεται.

Διχῶς δὲ ἐκληπτέον τὰς παθητικὰς ποιότητας· ἢ γὰρ ἀπὸ τοῦ τὸ
ὑποκείμενον πεπονθέναι καὶ ἀπὸ πάθους αὐτῷ ποιότητά τινα ἐγγενέσθαι
παθητικὴν ποιότητα λέγεται ἔχειν ἢ ἀπὸ τοῦ τὴν αἴσθησιν ἡμῶν πάσχειν 25
κατὰ τὴν τούτων τῶν ποιοτήτων ἀντίληψιν, αὐτὰς δὲ μὴ κατὰ πάθος
15 ἐγγενέσθαι, οἷς ἂν ὑπάρχωσιν, ἀλλὰ φυσικῶς, ὥσπερ ἐπὶ τοῦ πυρός· οὐ
γὰρ κατὰ πάθος ἐγγέγονε τῷ πυρὶ ἡ θερμότης· οὐσιωδῶς γὰρ ὑπάρχει
αὐτῷ καὶ εἰδοποιὸς αὐτοῦ ἐστιν. ὁμοίως καὶ ἐπὶ τῆς τοῦ μέλιτος γλυκύ- 30
τητος ἔχει ἢ τῆς ἐν χιόνι λευκότητος | καὶ τῶν τοιούτων. ἡ μέντοι 112v
λευκὴ σὰρξ ἀπὸ πάθους τὴν λευκότητα ἔχει· συμβέβηκε γὰρ τὸ λευκὸν
20 αὐτῇ καὶ οὐκ οὐσιωδῶς αὐτῇ ὑπάρχει οὐδὲ εἰδοποιὸν αὐτῆς ἐστιν. ὡσαύ-
τως καὶ ἐπὶ τοῦ μέλανος ἐροῦμεν καὶ ἐπὶ τοῦ γλυκέος ζωμοῦ καὶ τῶν 5
τοιούτων. πάσχει μὲν οὖν καὶ ἐπὶ τούτων ἡ αἴσθησις, ἀλλ' ἐπειδὴ κυριώ-
τερόν ἐστιν ἐπὶ τούτων τὸ ἀπὸ πάθους ἐγγενέσθαι αὐτοῖς λέγειν ἢ τὸ
πάθος ἐμποιεῖν, διὰ τὸ προηγουμένως τοῦτο αὐτοῖς ὑπάρχειν δευτέρως δὲ
25 καὶ τὸ πάθος ἐμποιεῖν, ἀπὸ τοῦ κυριωτέρου αὐτὰ ἐκαλέσαμεν· ἐφ' ὧν γάρ 10
ἐστιν ἄμφω, ἐπὶ τούτων ἄμεινόν ἐστιν ἴσως ἀπὸ τοῦ κυριωτέρου τὴν ἐπί-
κλησιν τῆς παθητικῆς ποιότητος γίνεσθαι. καὶ ἐπὶ τοῦ μέλιτος οὖν ἐπειδὴ
ἡ γλυκύτης οὐκ ἀπὸ πάθους αὐτῷ γίνεται (χαρακτηριστικὴ γάρ ἐστιν αὐτοῦ),
διὰ τοῦτο ἀπὸ τοῦ τῇ αἰσθήσει πάθος αὐτὴν ἐμποιεῖν παθητικὴ ποιότης 15
30 λέγεται. |

---

1 an δηλονότι? (cf. Arist. Pol. p. 1313a18) 2 γοῦν] γὰρ C: οὖν F κατὰ (alt.) om. C 3. 4 ὀργ. ἢ μαν. coll. F 7 εἴποιμεν ἂν a 8 πάσχειν] πάθος F 8. 9 ὀνόμασι] τοιούτοις F 9 τὴν (alt.) om. C 10 ἀνάγονται πάντα C: ἀνάγεται πάντα a 11 παθητ. ταύτας C γὰρ om. F 11. 12 τὸ ὑποκείμ.] ὑποκειμένου F 15 ἐγγίνεσθαι C ὑπάρχουσι F 16 κατὰ πάθος γὰρ coll. C ἐγγίνεται C: ἐγεγόνει a 16. 17 αὐτῷ ὑπ. coll. a 19 ἔχει τὴν λευκ. coll. F 19. 20 αὐτῇ τὸ λ. coll. a 20 ὑπάρχοι F 20. 21 ὡσαύτως δὲ a 21. 22 ante τῶν τ. add. ἐπὶ F 22 τούτων] τούτοις C 24 τὸ] τοῦτο Ca ὑπάρχει a 25. 26 αὐτὰ—κυριωτέρου om. Fa 27 φαμὲν γίνεσθαι F γίνεσθαι ante τῆς παθ. coll. C 28 γάρ] δὲ F 29 τῇ om. F αὐτὴν πάθος coll. C 30 post λέγεται add. ex Marc. 217 παθητικαὶ δὲ ποιότητες λέγονται. ἡ παθητικὴ ποιότης διχῶς· ἢ ἐν ψυχῇ ἢ ἐν σώματι. ἡ ἐν ψυχῇ ἢ παντὶ τῷ εἴδει, ὡς τοῖς λέουσιν ὁ θυμός, ἢ τισί, καὶ ἢ ἀπὸ πάθους τινὸς ἐκ γενέσεως, ὡς ἡ μανία, ἢ ἀπὸ συμπτώματος, ὡς οἱ πανοῦργοι. καὶ ἡ ἐν σώματι ἢ παντὶ τῷ εἴδει ὑπάρχει, ὡς τῇ χιόνι ἡ λευκότης, ἢ τισί. ⌈καὶ ἢ ἀπὸ πάθους τινός ἐστιν ἐκ γενέσεως, ὡς

p. 9b 11 Ὅτι μὲν οὖν γίνονται διὰ πάθος πολλαὶ μεταβολαὶ χρωμάτων, δῆλον. 113r

Εἰπὼν τὰ χρώματα παθητικὰς ποιότητας εἶναι τῷ ἀπὸ πάθους ἐγγίνεσθαι αὐτάς, κατασκευάζει καὶ δείκνυσιν οὕτως ἔχον. |

p. 9b 19 Ὅσα μὲν οὖν τῶν τοιούτων συμπτωμάτων. 113v

Τὰ χρώματα συμπτώματα εἶπεν εἶναι διὰ τὸ ἄλλοις πάθεσιν ἐπισυμβαίνειν, ὡς τῇ μακρᾷ νόσῳ ἕπεται ἡ ὠχρίασις. ἔστι δὲ καί τι χρῶμα οὐσιῶδες, ὡς τὸ λευκὸν τῷ ψιμυθίῳ ἢ τῇ χιόνι καὶ τὸ ἐρυθρὸν τῷ αἵματι καὶ τὸ μέλαν ἐν τῷ τῆς σηπίας χυμῷ.

p. 9b 27 Ὁμοίως γὰρ ποιοὶ κατὰ ταύτας λεγόμεθα.

Ποιότης καθ' ἣν ποιοί τινες εἶναι λέγονται· εἰ οὖν οὐ λέγονται ποιοὶ ἀπὸ τῶν εὐαποβλήτων πα|θῶν, δῆλον ὅτι οὐδὲ ποιότητες ταῦτα λέγονται. 114r

p. 9b 33 Ὁμοίως δὲ τούτοις καὶ κατὰ τὴν ψυχὴν παθητικαὶ ποιότητες καὶ πάθη λέγονται.

Οὐ μόνον γὰρ περὶ τὸ σῶμα θεωροῦνται αἱ παθητικαὶ ποιότητες καὶ τὰ πάθη, ἀλλὰ καὶ περὶ τὴν ψυχήν.

τοῖς αἰθίοψιν ἡ μελανία, ἢ οὐκ ἀπὸ γενέσεως, ἀλλ' ὕστερον ἀπὸ πάθους ἐγένετο. τοῦτο δὲ διχῶς· ἢ πάθος ἐμποιεῖ, ὡς ὁ πυρετός, ἢ οὐκ ἐμποιεῖ, ὡς ἡ ὠχρότης. λευκότης δὲ καὶ μελανία καὶ αἱ ἄλλαι χροιαὶ οὐ τὸν αὐτὸν τρόπον τοῖς εἰρημένοις. οὐ ποιοῦσι φησὶ πάθος παρώνυμον ἑαυταῖς· οὐ γὰρ λευκαίνεται ὁ λευκὸν ὁρῶν, ὡς γλυκάζεται καὶ θερμαίνεται ὁ γλυκέος καὶ θερμοῦ ἀντιλαμβανόμενος. εἰ ἔστι δὲ παθητικὴ ποιότης ἡ λευκότης καὶ μελανία, ἐκ ποίου πάθους ἐγένετο καὶ τί πάθος ἐμποιεῖ; ἡ μὲν λευκότης ἀπὸ πάθους ἐστὶ ψυχροῦ, ἡ δε μελανία θερμοῦ. ποιοῦσι δὲ πάθη οὐ περὶ τὸν ἔχοντα, ἀλλὰ περὶ τὴν ὄψιν τοῦ ὁρῶντος. ἡ μὲν γὰρ διακρίνει τὴν ὄψιν, ἡ δὲ συγκρίνει a 1 πάθους CF 3 παθητικὴν ποιότητα C τῶ] τὸ F 4 post ἔχον add. ex Marc. 217 οἱ φοβηθέντες γάρ φησιν ὠχριῶσι τοῦ φιλίου αἵματος τῇ φύσει καταφεύγοντος ἐπὶ τὴν οἰκείαν πηγὴν τὴν καρδίαν ὡς ἀκρόπολιν ἰσχυρὰν τὴν πηγὴν τῆς ζωῆς καὶ διὰ τοῦτο τελευταίαν πάντων φθειρομένην. εἰ γὰρ καὶ τὰ καρδιουλκούμενα ζῇ καὶ δύο καὶ τρεῖς ἡμέρας, ἀλλὰ διὰ τὸ ἔχειν τὰς ἀρτηρίας ἀπ' αὐτῆς οὔσας. μία δὲ κράσις ποιεῖ καὶ τὸ πρὸς καιρὸν ὠχρὸν καὶ τὸ ἐκ γενετῆς. ἐνδείᾳ γὰρ αἵματος γίνεται, ὥσπερ πλεονεξίᾳ αἵματος καὶ τὸ ἐκ γενετῆς ἐρυθρὸν ποιεῖ καὶ τὸ πρόσκαιρον. αἰδουμένη γὰρ ἡ φύσις προβλήματι τῷ φιλίῳ ἑαυτῇ κέχρηται, δίκην τῶν ἐπιτεθέντων τὰς χεῖρας τοῖς ὀφθαλμοῖς, ἵνα μὴ θεάσωνται ἃ μὴ δεῖ, μονονοὺ διδοῦσα λέγειν ἡμῖν τὸ Πάντων δὲ μάλιστα αἰσχύνεο σαυτόν a 5 οὖν om. F 7 ὠχριότης F 8 τῶ ψιμ. τὸ λ. coll. F ψυμμιθίω C 10. 15 γάρ φησι a 10 καὶ κατὰ a 11 ποιότης δὲ Fa 13 τὴν om. F 14 λέγεται Arist. 15. 16 αἱ et τὰ om. a

p. 9b35 Ὅσα τε γὰρ ἐν τῇ γενέσει εὐθὺς ἀπό τινων παθῶν 114r
δυσκινήτων γεγένηται, ποιότητες λέγονται. 11

Ὥσπερ γὰρ ἡ ἐν τῷ Αἰθίοπι μελανία ἐκ γενετῆς οὖσα παθητικὴ ποιότης λέγεται, οὕτως καὶ ἡ ἐκ γενετῆς ἔκστασις καὶ ἡ ὀργὴ παθητικὴ
5 ποιότης λέγεται.

p. 10a2 Ὁμοίως δὲ καὶ ὅσαι ἄλλαι ἐκστάσεις μὴ φυσικαί, ἀλλ' ἀπό τινων ἄλλων συμπτωμάτων γεγένηνται. 16

Πάλιν ὥσπερ ἡ ἀπὸ μακρᾶς νόσου γενομένη ἄχροια λέγεται παθη- 25
τικὴ ποιότης, οὕτως καὶ ἡ ἀπό τινος συμπτώματος ἔκστασις ἢ ἄλλο τι
10 τοιοῦτων παθητικὴ ποιότης λέγεται. |

p. 10a12 Τέταρτον δὲ γένος ποιότητος σχῆμά τε καὶ ἡ περὶ 114v
ἕκαστον ὑπάρχουσα μορφή.

Τέταρτον τοῦτο εἶδος ποιότητος. γένος δὲ πάλιν φησὶν ἀντὶ τοῦ 10
εἴδους. ἔστι δὲ σχῆμα καὶ μορφή. ἐπὶ πλέον δὲ τὸ σχῆμα τῆς μορφῆς·
15 πᾶσα γὰρ μορφὴ καὶ σχῆμα καὶ μορφὴν ἔχει, οὐ πᾶν δὲ τὸ ἔχον σχῆμα καὶ μορφὴν ἔχει. διὰ τοῦτο γὰρ προέταξε τὸ σχῆμα τῆς μορφῆς, ἐπειδὴ κυριώτερον καὶ καθολικώτερον. ἐλέγετο δὲ καὶ πρώην ὅτι τὸ μὲν σχῆμα 15
ἐπὶ ἀψύχων θεωρεῖται ἢ φανταστῶν, ἡ δὲ μορφὴ ἐπὶ ἐμψύχων ἤτοι φυσι-
κῶν, καὶ ὅτι εἰ καὶ ἐπὶ ἀψύχων ποτὲ φέροιμεν τὸ τῆς μορφῆς ὄνομα,
20 καταχρηστικώτερον τοῦτο ποιοῦμεν διὰ τὸ μιμήματα εἶναι τῶν ἐμψύχων.
καὶ ταῦτα δὲ ποιότητες εἰκότως, ἐπειδὴ διάκειναί πως κατὰ ταῦτα τὰ 20
μετέχοντα καὶ ἀπ' αὐτῶν ὀνομάζεται.

---

1 τε om. Arist. 2 γεγ. δυσκ. coll. a γεγένηνται Fa 4 καὶ (prius) om. C καὶ ἡ] ἢ Fa 6 ἄλλαι om. Arist. 7 ἄλλων om. F 8 ὥσπερ a Ammon.: ὡς CF ἄχροια] ὠχρία C 9 ποιότης ἐστίν (λέγεται om.) C 10 post λέγεται add. ex Marc. 217 Ὅσα δὲ ἀπὸ ῥᾳδίως διαλυομένων καὶ ταχὺ ἀποκαθισταμένων γίγνεται, πάθη λέγεται, ποιότητες δ' οὔ. Τὸ οὖν λέγονται ποιοί τινες κατὰ ταύτας ἀντὶ τοῦ οὐκ ἐπιδέχονται τὸν ὅρον τῆς ποιότητος, καὶ ποιοὶ κατ' αὐτὰς λέγονται οἱ μετασχόντες. οὐ γὰρ ἐρυθρίας ἢ ὠχρίας ὁ ἐν τῷ καιρῷ μόνῳ τῆς αἰδοῦς ἢ τοῦ δέους ἐρυθρὸς ἢ ὠχρὸς γεγονώς. οὐ λέγονται δέ, ἐπειδὴ οὐδὲ ἀναμένει τὴν προσηγορίαν ἡ μεταβολή, ἀλλ' ἀνάγεται τὰ πάθη ταῦτα ὑπὸ τὸ πάσχειν. ἠρυθριακέναι γὰρ καὶ ὠχριακέναι μόνον λέγεται καὶ πεπονθέναι τι, ἅπερ ἐστὶ πάσχειν. τὰ δὲ αὐτὰ καὶ ἐν ψυχῇ φησιν. οὐ γὰρ ὀργίλος ὁ ἐν τῷ λυπεῖσθαι μόνον ὀργισθείς a 13 τῆς ποιότ. C 14 εἴδους C 16 γὰρ om. C 17 ἐλέγετο] p. 137,20 sq. 18 θεωρεῖται — ἐμψύχων om. F 19 ποτὲ φέρ.] πολλάκις φέρεται C 20 μίμημα a τῶν om. F 21 εἰκότες C

p. 10a12 Ἔτι δὲ πρὸς τούτοις εὐθύτης καὶ καμπυλότης, καὶ εἴ 114v
τι τούτοις ὅμοιόν ἐστι.

Ἀπὸ γὰρ εὐθύτητος παρωνύμως εὐθεῖα γραμμὴ λέγεται, ἀπὸ δὲ τῆς καμπυλότητος ἡ καμπύλη, καὶ ἔστι πάθη τῆς γραμμῆς ἡ εὐθύτης καὶ ἡ καμπυλότης· ἰστέον γὰρ ὅτι τεσσάρων τούτων ὄντων ἐφεξῆς ἀλλήλοις. τοῦ τε | σημείου καὶ τῆς γραμμῆς καὶ τῆς ἐπιφανείας καὶ τοῦ σώματος, τὸ 115r μὲν σημεῖον ἅτε ἀμερὲς ὂν οὔτε πάθος ἀνεδέξατο οὔτε σχῆμα, πολλῷ δὲ πλέον οὐδὲ μορφήν, ἡ δὲ γραμμὴ μίαν ἔχουσα διάστασιν πάθος μόνον ἀνεδέξατο (ἢ γὰρ καμπύλη ἐστὶν ἢ εὐθεῖα ἢ εἴ τις ἄλλη λέγεται), ἡ δὲ ἐπιφάνεια δύο διαστάσεις ἔχουσα, τήν τε κατὰ μῆκος λέγω καὶ πλάτος, καὶ πάθος ἀνεδέξατο καὶ σχῆμα. πάθη μὲν οὖν ἐστι τῆς ἐπιφανείας τὸ στενόν τε καὶ τὸ πλατύ, σχήματα δὲ τρίγωνον ἢ τετράγωνον καὶ ὅσα τοιαῦτα· διότι γὰρ πᾶσα ἐπιφάνεια ὑπὸ γραμμῶν περιέχεται (ἐπιφανείας γάρ, φησὶν Εὐκλείδης, πέρατα γραμμαί), διὰ τοῦτο εἰκότως καὶ σχήματα ἀνεδέξατο· τὰ γὰρ σχήματα ἐκ γραμμῶν σύγκειται. τὸ μέντοι σῶμα τὰς τρεῖς ἔχον διαστάσεις, τήν τε κατὰ μῆκος καὶ βάθος καὶ πλάτος, καὶ πάθη ἀνεδέξατο καὶ σχήματα καὶ μορφάς· πάθη μὲν τὸ παχύ τε καὶ λεπτόν, σχήματα δὲ διότι ἢ κυβικόν ἐστιν ἢ κυλινδρικὸν ἤ τι τοιοῦτον. ἀλλὰ δὴ καὶ μορφὴν ἐπιδέχεται τὸ ἔμψυχον σῶμα.

p. 10a16 Τὸ δὲ μανὸν καὶ τὸ πυκνὸν καὶ τὸ τραχὺ καὶ τὸ λεῖον δόξειε μὲν ἂν ποιόν τι σημαίνειν, ἔοικε δὲ ἀλλότρια τὰ τοιαῦτα εἶναι τῆς περὶ τὸ ποιὸν διαιρέσεως· θέσιν γάρ τινα μᾶλλον φαίνεται τῶν μορίων ἑκάτερον δηλοῦν. |

Διότι γὰρ διάκειταί πως κατὰ τὴν μάνωσιν ἢ τὴν πύκνωσιν καὶ 115v τὴν τραχύτητα καὶ τὴν λειότητα καὶ ἀπ' αὐτῶν ὀνομάζεται τὰ μετέχοντα, δόξαν τινὰ ἔχουσι ποιοτήτων, οὐκ ἀληθὲς δὲ τοῦτο, ὑπὸ τὸ κεῖσθαι δὲ μᾶλλον ἀναχθήσεται· θέσιν γάρ τινα σημαίνουσι· πυκνὸν γάρ ἐστιν οὗ τὰ μόρια σύνεγγυς κεῖται ὡς μὴ δύνασθαι δέξασθαι ἑτερογενὲς σῶμα,

5 ἰστέον γὰρ om. C γὰρ] δὲ a 7 ἅτε om. C 9 ἐπεδέξ. F εἴ] ἤ CF 10 ante πλάτος add. κατὰ C 11 ἐδέξ. C 14 εὐκλ. φησίν coll. F (cf. Euclidis def. VI) εἰκότως] ὄντως C 15 σύγκεινται F 17 ἐδέξατο a μορφήν C λεπτόν ex χαλεπόν corr. F 18 κυβιστικόν C: κωνικόν F 19 post σῶμα add. ex Marc. 217 διὰ τί δὲ προσέθηκε· καὶ εἴ τι τούτοις ὅμοιόν ἐστι; διὰ τὰ ἄπειρα τὰ μεταξὺ εὐθέος καὶ περιφεροῦς περὶ τὸ μᾶλλον καὶ ἧττον θατέρου μετέχειν, τουτέστιν ἑλικοειδῆ πάντα. ποιότητες δὲ ταῦτα· δι' αὐτὰς γὰρ ποιά τινα λέγεται τὰ μετασχόντα. τρίγωνον γὰρ καὶ τὸ μετεχόμενον καὶ μετέχον καὶ εὐθὺ καὶ καμπύλον καὶ ἑλικοειδές a 21 μὲν om. F post ἂν add. φησι F 23 ἑκάτερα F: ἕκαστον a 24 κατὰ] περὶ F 25 ὀνομάζονται F 26 ante οὐκ add. φησίν a 27 ἀναχθήσονται Fa 28 σῶμα] ὄνομα F

μανὸν δὲ τὸ διεστηκότα ἔχον τὰ μόρια ὡς δύνασθαι δέξασθαι ἑτερογενὲς 115v
σῶμα. πάλιν λεῖον λέγομεν τὸ ἴσα ἀλλήλοις ἔχον τὰ μόρια καὶ ἴσως 11
ἐξέχοντα, τραχὺ δὲ τὸ ἄνισα ἀλλήλοις κατὰ τὰς ἐξοχὰς ἔχον τὰ μόρια,
οἷον λεῖον μὲν τὸ μῆλον (ὁμαλὴ γὰρ τούτου ἐστὶν ἡ ἐπιφάνεια), τραχὺ
5 δὲ τὸ πρόσωπον, διότι ἐξ ἀνωμάλων καὶ ἀνίσων σύγκειται μορίων, στό- 15
ματος καὶ ῥινὸς καὶ ὀφθαλμῶν καὶ τῶν λοιπῶν τῶν μὲν προπετῆ ἐχόντων
τὴν θέσιν τῶν δὲ κοίλην· οὐκοῦν θέσιν τινὰ μᾶλλον φαίνεται τὰ μόρια
αὐτῶν δηλοῦντα. καὶ τὸ μὲν τραχὺ καὶ τὸ λεῖον ὁμολογουμένως ὑπὸ τὸ
κεῖσθαι ἀνάγονται διὰ τὰς εἰρημένας αἰτίας, μανὸν δὲ καὶ πυκνὸν ἐνταῦθα 20
10 μόνον ἔλαβε τὸ ἐξ ἐπιτεχνήσεως· τοῦτο γάρ ἐστι τὸ ὑπὸ τὸ κεῖσθαι
ἀναγόμενον, οἷον εἴ τις τὸν ἱμάντα ἐκτείνας μανὸν ποιήσει· οὐ γὰρ ὅλος
δι' ὅλου μανοῦται, ἀλλά τινων μορίων αὐτοῦ ἡ θέσις ἀμείβεται τῷ μᾶλλον
ἀφεστηκέναι ἀλλήλων. πάλιν εἴ τις τὴν χεῖρα πληρώσειε καρύων, τὸ ἐκ 25
πάντων σῶμα μανὸν λέγεται παρὰ τὸ μὴ ἓν εἶναι· μανὸν γὰρ λέγεται τὸ
15 μὴ ἓν ὄν. ὁμοίως δὲ καὶ τὸ πυκνόν· ἐὰν γὰρ νοήσωμεν τὰ κάρυα συν-
τεθρυμμένα, τὸ ἐκ πάντων σῶμα πυκνὸν ἔσται. καὶ πάλιν εἴ τις τὸν
πόκον τῶν ἐρίων συνεσφιγμένον καὶ πεπυκνωμένον διαξαίνων | ἀραιὸν 116r
ποιήσει, μανὸν λέγομεν. καὶ ταύτην μὲν τὴν τεχνικὴν μάνωσιν ἢ
πύκνωσιν ὑπὸ τὸ κεῖσθαι εἰκότως ἐνταῦθα ἀνάγει ὡς πρὸς εἰσαγομένους
20 διαλεγόμενος, διότι κατὰ τὴν τῶν μορίων θέσιν ἢ πυκνὰ ἢ ἀραιὰ ταῦτα
λέγονται. οὐκ εἰσὶ δὲ ποιότητες, μήτε φυσικὴν ἔχοντα τὴν μάνωσιν ἢ 5
πύκνωσιν μηδὲ ὅλα δι' ὅλων ἢ πυκνὰ ὄντα ἢ μανά, ἀλλὰ κατὰ μόνην
τὴν τῶν μορίων θέσιν, οὐχὶ δὲ καὶ αὐτῶν τῶν μορίων ἀναδεξαμένων τὴν
ὁμοίαν τῷ ὅλῳ μάνωσιν.

25 Ἐν δὲ τῇ Φυσικῇ ἀκροάσει ποιότητα εἶναι βούλεται τὴν φυσικὴν
μάνωσιν ἢ πύκνωσιν τὴν περὶ ἓν καὶ τὸ αὐτὸ καταγινομένην ὑποκείμενον· 10
οἷον τὸ ὕδωρ φυσικὴν ἔχον πυκνότητα καὶ ὅλον δι' ὅλου ἑαυτοῦ πυκνὸν
ὂν ἐὰν ταύτην ἀποβαλὸν ἀραιωθῇ, ἀὴρ γίνεται, διὸ τὸ ξεστιαῖον ὕδωρ
ποιήσειε τυχὸν δεκαξεστιαῖον ἀέρα. καὶ τοῦτο γίνεται οὐκ εἰς μικρὰ
30 μόρια τοῦ ὕδατος κατακερματιζομένου, ὥσπερ εἴ τις κονιορτοῦ τὴν χεῖρα 15
πληρώσας ῥίψειεν ἐν ἀέρι καὶ πλεῖστον καταλάβοι τόπον ὁ κονιορτὸς τῷ

---

1. 2 μανὸν — σῶμα om. F 2 ante ἔχον add. κατὰ τὰς ἐξοχὰς a 5 ἀνωμάλλων F 7 ἐκφαίν. C 8 δηλοῦντα a Ammon.: δηλοῦν codd. 9 ἀνάγεται C 10 μόνον om. C ὑπὸ] ἐπὶ a 11 ὅλως Fa 12 ἡ θέσις αὐτοῦ coll. C τῷ] τὸ F¹ 13 ἀφεστῶτα C ἀλλήλοις F πληρώσει C 14 εἶναι] ὄν Ca 15 γὰρ om. F 15. 16 συντεθημένα C 16 πυκνὸν] μανὸν F 18 μανὸν λέγομεν Laur. 72,1: om. CFa; sed eicias καὶ (16) — λέγομεν τέχνην F 19 ἐντ. εἰκ. coll. C 22 δι' ὅλων] διόλου a: in lac. VII litt. om. C μανὰ ὄντα ἢ πυκνὰ coll. C 23 ἀναδεξαμένων τὴν in lac. VII litt. om. C 24 τῶν ὅλων a 25 ἐν δὲ τῇ Φυσ. ἀκρ.] Δ 9 p. 216b30 sq. ποιότητας Fa φυσικὴν in lac. VII litt. om. C 27 ἔχει C πυκν.] ποιότητα F ἑαυτῷ C 28 διὸ τὸ Paris. 2051: διότι τὸ CF: διότι a ξεστιαῖον] ἀραιὸν C 29 δέκα ξέστας ἀέρος a μακρὰ C 31 ῥίψει Fa καταλάβῃ F τόπον] ἀέρα C

ἐξηπλῶσθαι τὰ μόρια αὐτοῦ, ἐπεὶ εἰ τοῦτο ἦν, ἔδει καὶ ἡμᾶς εἰς μικρὰ 116r
διασκεδαννύντας τὸ ὕδωρ ἀέρα ποιεῖν. εἰ δέ τις εἴποι 'ἀλλ' οὐ δυνάμεθα
ἡμεῖς εἰς λεπτότατα οὕτω κατακερματίζειν τὸ ὕδωρ', ἀλλ' εἰ καὶ μὴ ἔργῳ
δυνάμεθα, οὐδ' ἂν τῷ λόγῳ ὑποθώμεθα, οὐδὲ οὕτως τοῦτο δυνατόν ἐστι;
τὰ γὰρ μόρια πάντως τοῦ ὕδατος ὑδάτιά ἐστι· τὰ γὰρ μέρη τῷ ὅλῳ
εἰσὶν ὅμοια κατ' οὐσίαν, καὶ ἐξ ὧν ἕκαστον σύγκειται, εἰς ταῦτα καὶ διαλύεται. εἰ οὖν τὸ ὕδωρ ἐκ τῶν ὁμοίων μερῶν σύγκειται ὑδάτων ὄντων
(τὰ γὰρ μέρη, ὡς εἴπομεν, τῷ ὅλῳ ὅμοια), καὶ εἰς ταῦτα πάντως ἀναλύομενον μερίζεται. ἔμελλε δὲ μηδὲ συνεχὴς εἶναι ὁ ἀήρ, ἀλλὰ κεναῖς
χώραις μεταξὺ διαλαμβάνεσθαι· ἀνάγκη γὰρ ἢ συνεχῆ εἶναι τὰ μόρια τοῦ
ὕδατος ἢ διῃρῆσθαι· ἅπτεσθαι γὰρ ἀδύνατον· ἁπτόμενα γὰρ | εὐθὺς 116v
συνεχῆ γίνεται διὰ τὴν ὑγρότητα. εἰ μὲν οὖν διῄρηται, οὐ συνεχὴς ὁ
ἀήρ, ὅπερ ἐστὶ ψεῦδος καὶ παρὰ τὴν ἐνάργειαν. εἰ δὲ συνῆπται, ὕδωρ
ἔσται πάλιν τὸ ὅλον καὶ οὐκ ἀήρ. ὥστε οὐ κατακερματιζόμενον τὸ ὕδωρ
ποιεῖ τὸν ἀέρα, ἀλλὰ πάντῃ τρεπόμενον καὶ ἀλλοιούμενον. ὅτι δὲ ποιότη- 5
τές εἰσι ταῦτα, σαφῶς δείκνυσιν ὁ Ἀριστοτέλης ἐν τῇ Φυσικῇ· λέγει
γὰρ ὅτι ὥσπερ τὸ σῶμα ποιοτήτων ὂν δεκτικὸν μεταβάλλει κατὰ ταύτας
καθ' ὅλον ἑαυτὸ ἐκ λευκοῦ μέλαν γινόμενον καὶ ἐκ μέλανος λευκόν,
οὕτως ἐπειδὴ καὶ ἡ μανότης καὶ ἡ πυκνότης εἰσὶ ποιότητες, εἰκότως καὶ 10
κατὰ ταύτας τὸ σῶμα μεταβάλλει, καὶ δεχόμενον μὲν πυκνότητα γίνεται
ὕδωρ, ἔτι δὲ μᾶλλον πυκνούμενον γίνεται γῆ, μεταβάλλον δὲ ἐκ πυκνότητος εἰς μανότητα γίνεται ἀήρ, ἔτι δὲ μᾶλλον μανωθὲν γίνεται πῦρ. ἡ μὲν
οὖν φυσικὴ μάνωσις ἢ πύκνωσις ἡ περὶ ἓν καταγινομένη ὑποκείμενον 15
ποιότης ἐστίν, εἰ δὲ μὴ περὶ ἓν ἀλλὰ περὶ πλείονα σώματα καταγίνεται,
κἂν φυσικὴ ᾖ, οὐ λέγεται ποιότης, ἀλλὰ θέσις, οἷον ἡ τῶν ὀδόντων
πυκνότης ἢ μανότης· εἰ γὰρ καὶ ἐκ φύσεώς ἐστιν, ἀλλὰ τῷ μὴ περὶ
ἓν γίνεσθαι ὑποκείμενον ἀλλὰ περὶ πλείονα τοὺς ὀδόντας, οὐ λέγεται 20
ποιότης, θέσις δὲ μᾶλλον. ταῦτα μὲν ἐπὶ τοσοῦτον.

Τοῦ δὲ Ἀριστοτέλους τὴν μὲν εὐθύτητα καὶ καμπυλότητα ποιότητας
εἶναι λέγοντος, τραχύτητα δὲ καὶ λειότητα μηκέτι ποιότητας, θέσιν δὲ
μόνην τῶν μορίων εἶναι τὸ τραχὺ καὶ τὸ λεῖον, ὡς ἔφθημεν εἰπόντες, 25
ἀποροῦσί τινες ὅτι μήποτε καὶ τὸ εὐθὺ καὶ καμπύλον θέσιν μόνην τῶν

2 σκεδαννύντα F: σκεδαννύντας a 3 λεπτότατα Paris. 2051: λεπτότητα CFa οὕτω om. C 4 οὐδ' ἂν] ἀλλ' οὖν C οὐδὲ] δὴ ὅτι C 5 ὑδάτιά] ὕδατά C 6 εἰς ταῦτα] ἐνταῦθα F 7 γοῦν C ὁμοίων a: ἰδίων codd. μορίων C 8 εἴρηται a 8. 9 ἀναλυόμενα a: ἀναλόγως C 9 μηδὲ] μὴ a 11 ἅπτεσθαι δὲ ἀδ. F 15 ποιεῖται F 16 σαφῶς om. F δείκνυσιν ὁ Ἀρ.] cf. Zelleri Phil. Gr. II, 2³ p. 414 sq. 17 κατὰ] καὶ C 18 καθόλου a ἑαυτῷ F¹ 19 ἐπειδὴ post πυκνότης coll. C 20 κατὰ om. C 22 πῦρ γίν. coll. F μαν. μᾶλλον coll. a 23 οὖν om. C ἢ] καὶ ἡ F 24 εἰ] ἢ C: ἡ a καταγινομένη a 25 οἷον] ὡς C 26 ἤτοι F καὶ om. C τῷ] τὸ a 28 ἀλλὰ θέσις (δὲ μᾶλλον om.) F 29 ποιότητα C 31 ἔφθημεν εἰπόντες] p. 152,26 32 τὸ καμπ. F

μορίων δηλοῖ, εἴπερ εὐθεῖα γραμμή ἐστιν ἥτις ἐξ ἴσου τοῖς ἐφ' ἑαυτῆς 116v
σημείοις κεῖται ἢ πάλιν ἧς τὰ μέσα τοῖς ἄκροις ἐπιπροσθεῖ· δῆλον γὰρ
ὅτι κἀνταῦθα ἡ τοιάδε θέσις τῶν τῆς γραμμῆς μορίων | ποιεῖ τὴν εὐ- 117r
θεῖαν, ὥστε μηδὲν αὐτῆς μόριον ἐκτὸς ἢ ἐντὸς νεύειν ἀλλ' ἐπιπροσθεῖν
5 διὰ τὴν ἰσότητα τὰ μέσα τοῖς ἄκροις. καὶ τὸ καμπύλον δὲ μόνῃ τῇ τῶν
μορίων θέσει τῆς εὐθύτητος διαφέρει· τῶν γὰρ μορίων αὐτῆς ἐπικαμ-
πτομένων καὶ τῶν μὲν ἐκτὸς τῶν δὲ ἐντὸς νευόντων συμβαίνει τὴν καμ- 5
πυλότητα γενέσθαι. ἢ οὖν καὶ τὸ τραχὺ καὶ τὸ λεῖον ποιότητες, ἢ εἰ
ταῦτα θέσιν μόνην τῶν μορίων σημαίνει, τὸ αὐτὸ ἂν σημαίνοι καὶ τὸ
10 εὐθὺ καὶ τὸ καμπύλον. ἡ μὲν οὖν ἀπορία τοιαύτη. ἐπιλυόμεθα δὲ αὐ-
τὴν τοῦτον τὸν τρόπον· οὐκ ἔστι ταὐτὸν καμπύλην εἰπεῖν γραμμὴν καὶ 10
κεκλασμένην· ἡ μὲν γὰρ κεκλασμένη γραμμὴ οὐκ ἀμείβει τὸ τῆς εὐθείας
εἶδος, ᾗ εὐθεῖα εἴη, ἀλλὰ μόνον ἡ μία δύο γίνεται καὶ γωνίαν ποιεῖ, ἡ δὲ
καμπύλη ἄλλο τὸ εἶδος ἔχει παρὰ τὴν εὐθεῖαν· τὸ γὰρ καμπύλον τὸ περι-
15 φερὲς σημαίνει. ὅτι δὲ κατ' εἶδος ἐξήλλακται ἡ περιφέρεια τῆς εὐθείας, 15
πολλαχόθεν δῆλον. πρῶτον μὲν ὅτι τῆς περιφερείας πᾶν μόριον παντὶ
μορίῳ ἐφαρμόζει, ὥσπερ καὶ τῆς εὐθείας πάλιν τὰ μόρια ἅπαντα ἀλλήλοις
ἐφαρμόζουσιν· οὐδὲν δὲ μόριον εὐθείας οὐδενὶ μορίῳ περιφερείας ἐφαρ-
μόζει. δεύτερον εἰ τὰ ἐξ εὐθειῶν συγκείμενα σχήματα κατ' εἶδος διε- 20
20 νήνοχε τῶν ἐκ περιφερείας συγκειμένων, καὶ ἡ εὐθεῖα ἄρα τῆς περιφερείας
κατ' εἶδος ἐξαλλάσσει. ἔτι εὐθεῖα μὲν γραμμὴ οὔτε μία σχῆμα ἀποτελεῖ
οὔτε δύο, ἀλλὰ τοὐλάχιστον τρεῖς, ὅθεν πρῶτον τῶν εὐθυγράμμων σχη-
μάτων καὶ ἁπλούστατον τὸ τρίγωνον ἐκ τριῶν εὐθειῶν περιεχόμενον· ἡ 25
δὲ περιφερὴς μία οὖσα ποιεῖ τὸ τοῦ κύκλου σχῆμα· κύκλος γάρ ἐστι
25 σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον καὶ τὰ ἑξῆς. εἰ τοίνυν
ἰδέας διαφόρου ἡ εὐθεῖα τετύχηκε καὶ ἡ περιφέρεια, οὐκ ἄρα τῇ θέσει
μόνῃ τῶν μορίων διενηνόχασι. τὸ μέντοι τραχὺ καὶ τὸ λεῖον | μόνῃ τῇ 117v
θέσει τῶν μορίων διαφέρει. ὅθεν οὐδὲ ἐξαλλάσσεται παρὰ ταῦτα κατ'
εἶδος τὸ ὑποκείμενον, ἀλλὰ τοῦ αὐτοῦ μένοντος εἴδους τῆς ἐπιφανείας ἡ
30 αὐτὴ τραχεῖα καὶ λεῖα γίνεται· οἷον εἰ τετράγωνον εἴη χωρίον, εἶτα τὰ
μέν τις ὀρύξας κοιλανεῖ, τὰ δὲ ἐπεγείρει, τραχὺ γίνεται μένον τετράγωνον. 5
καὶ ἐὰν πάλιν τὰ τῶν μορίων ἐξέχοντα περιξέσας τὰς κοιλότητας ἀναπλη-
ρώσῃ, λεῖον γίνεται μὴ ἐξαλλάξαν τὸ τοῦ τετραγώνου εἶδος μηδὲ ποιότητά

---

1 ἑαυτοῖς F 2 γὰρ] δὲ a 4 ἐπιπροσθεῖναι C: ἐπιπροσθεῖ F 5 διὰ om. C: κατ' F τὴν om. F μόνον C διαφέρειν CF 8 γίγνεσθαι a pr. ἢ Laur. 72,1: εἰ CFa 8. 9 ἢ εἰ ταῦτα] εἰσι ταῦτα δὲ a 9 μόνην superscr. C σημαίνοι Paris. 1928: σημαίνη C: σημαίνει Fa 10 εὐθὺ καὶ τὸ καμπ.] τραχὺ καὶ τὸ λεῖον Ca ἐπιλυσόμεθα Ca 11 τούτῳ τῷ τρόπῳ C: τὸν τρόπον τοῦτον a γρ. καμπ. εἰπεῖν coll. C 13 ᾗ a: εἰ CF 17 προσαρμόζει C καὶ εἰ a ἀλλ. ἅπαντα coll. a 19 δεύτερον δὲ C 21 διαλάσσει (sic) C ἔτι] ὅτι C οὔτε] οὐδὲ C 23 ἁπλούστατον Marc. 217: ἁπλουστάτων CFa περιεχόμενόν ἐστι Ca 25 ἐπίπεδον om. CF 26 τετύχηκε ἡ εὐθεῖα coll. a 27 alt. τὸ om. F 28 παρὰ] περὶ Fa 31 ἐπεγείρῃ F γίνεται iter. C μένον] μὲν CF 33 μὴ] τὸ F¹

τινα προσλαβόν. ἀλλὰ μόνον τὴν τῶν μορίων ἐξαμεῖψαν θέσιν. ὥστε 117v
καλῶς τὴν μὲν εὐθύτητα καὶ καμπυλότητα, τοῦτ' ἔστι περιφέρειαν, ποιότη- 10
τας εἶπεν ὁ Ἀριστοτέλης, τὸ δὲ τραχὺ καὶ τὸ λεῖον κατὰ μόνην τὴν τῶν
μορίων διαφέρειν θέσιν.

p. 10a25 Ἴσως μὲν οὖν καὶ ἄλλος ἄν τις φανείη τρόπος
ποιότητος, ἀλλ' οἵ γε μάλιστα λεγόμενοι σχεδὸν οὗτοί εἰσι. 15

Παραδοὺς ἡμῖν τὰ τέσσαρα τῆς ποιότητος εἴδη ἐπάγει τὸ συμπέρασμα καί φησιν ὅτι οὗτοι οἱ τρόποι τῆς ποιότητος. βουλόμενος δὲ ἡμᾶς μὴ ἐπαναπαύεσθαι τοῖς παρ' αὐτοῦ λεγομένοις μηδὲ ἀργοὺς μένειν καὶ ἑτερο-
10 κινήτους, ἀλλ' ἔχειν τι αὐτοκίνητον καὶ ἡμᾶς αὐτοὺς καὶ ζητεῖν, φησὶν 20
ὅτι ἴσως ἂν φανείη καὶ ἄλλος τρόπος ποιότητος. οὐκ ἔστι δὲ κατὰ ἀλήθειαν ἕτερος παρὰ τοὺς παραδεδομένους τρόπους, ὡς ἥ τε διαίρεσις ἔδειξε καὶ ἡ τῶν παλαιοτέρων καὶ ἐμφρόνων ἀνδρῶν ζήτησις.

p. 10a27 Ποιότητες μὲν οὖν εἰσιν αἱ εἰρημέναι, ποιὰ δὲ τὰ 25
κατὰ ταύτας παρωνύμως λεγόμενα.

Διαλεχθεὶς περὶ τῆς ποιότητος νῦν περὶ τοῦ ποιοῦ διαλέγεται· καὶ γὰρ περὶ ἀμφοτέρων τὴν ἐπιγραφὴν ἐποιήσατο. ποιότητες μὲν οὖν εἰσιν οἷον ἡ λευκότης ἡ μελανία καὶ τὰ τοιαῦτα, ποιὸν δὲ τὸ μετέχον τῶν 30
ποιοτήτων, | οἷον τὸ λευκὸν σῶμα καὶ τὰ τοιαῦτα. καὶ αἱ μὲν ποιότητες 118r
20 μετέχονται, τὰ δὲ ποιὰ μετέχει. παρωνύμως δὲ τὰ ποιὰ ἀπὸ τῶν ποιοτήτων λέγονται, ὡς πολλάκις εἴρηται. οὐ πάντα δὲ παρωνύμως ἀπ' αὐτῶν 5
λέγεται. ἀλλά τινα καὶ ὁμωνύμως, ἢ οὐδὲ ὅλως ἀπ' αὐτῶν ὀνομάζεται· διὰ τοῦτο γὰρ καὶ εἶπεν ἢ ὁπωσοῦν.

p. 10a29 Ἐπὶ μὲν οὖν τῶν πλείστων καὶ σχεδὸν ἐπὶ πάντων
25 παρωνύμως λέγεται.

Ἐπειδὴ ἐν τῇ ἀρχῇ τοῦ λόγου τοῦ περὶ ποιότητος εἶπεν ἐκείνην εἶναι ποιότητα ἀφ' ἧς παρωνύμως τὰ μετέχοντα ὀνομάζεται, ὁλοσχερέστερον ἀποφηνάμενος περὶ αὐτῆς καὶ οὐκ ἀκριβῶς (οὐ γὰρ πάσῃ παρακολου- 15

1 τινα om. F [illegible] C 2. 3 ποιότητα C 3 δὲ om. C alt. τὸ om. C [illegible] ὀνομ. coll. C διάθεσιν F 5 ἄλλως F ἄν om. F 6 ποιότητος om. F τοσοῦτοι a 7 καὶ τὸ συμπ. a 10 αὐτοὺς ἡμᾶς coll. F an καὶ καθ' ἡμᾶς αὐτ. ζητεῖν? φασὶν F 11 καὶ ἄλλος φαν. coll. F τῆς ποιότ. C 12 post ἕτερος add. τρόπος C παραδεδ.] δεδ. F 13 ὁμοφρόνων C: ἐγεφρόνων a 15 κατ' αὐτὰς Fa 19 τὸ om. Fa post σῶμα add. μέλαν γλυκὺ πικρὸν ἢ σώφρων ψυχὴ ἢ θυμώδης a post τοιαῦτα add. σωματικά τε καὶ ψυχικά a 22 ὀνομάζονται F 23 καὶ om. C post ὁπωσοῦν add. ἄλλως ἀπ' αὐτῶν a (fort. recte)

θεῖ τοῦτο ποιότητι), νῦν ἀναλαμβάνει τὸν λόγον καὶ ἀκριβέστερον ἀποφαί- 118r
νεται ὅτι ἐπὶ μὲν τῶν πλείστων ἀληθὴς ὁ λόγος τὸ παρωνύμως ἀπὸ τῆς
ποιότητος ὀνομάζεσθαι τὰ μετέχοντα (ἀπὸ γὰρ τῆς λευκότητος ὁ λευκὸς
λέγεται καὶ ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικός), ἐπ' ἐνίων δὲ ποιοτή- 20
5 των διὰ τὸ μὴ κεῖσθαι ὀνόματα ταῖς ποιότησιν οὐ λέγεται παρωνύμως
ἀπ' αὐτῶν τὰ μετέχοντα. | τοῦτο δὲ συμβέβηκεν ἐπὶ τοῦ δευτέρου εἴδους 118v
τῆς ποιότητος, τοῦ κατὰ δύναμιν καὶ ἀδυναμίαν· οὔτε γὰρ ὁ δρομικὸς
οὔτε ὁ πυκτικός, οἱ φυσικήν τινα ἐπιτηδειότητα ἐν τούτοις ἔχοντες, παρω-
νύμως ἀπὸ τούτων τῶν δυνάμεων λέγονται· οὐδὲ γὰρ κεῖται ὀνόματα ταῖς 10
10 δυνάμεσι ταύταις διὰ τὸ τὴν συνήθειαν τοῖς τελείοις τῶν πραγμάτων καὶ
κατ' ἐνέργειαν οὖσιν ἐσπουδακέναι θεῖναι τὰ ὀνόματα· τὸ γὰρ πυκτικὸς ἢ
δρομικὸς ἀπὸ τῶν κατ' ἐνέργειαν ἐπιστημῶν, τῆς τε πυκτικῆς λέγω καὶ
δρομικῆς, ὀνομάζονται. καὶ τί λέγω ἐπὶ τῶν δυνάμεων αἷς οὐ κεῖται 15
ὀνόματα, ὅπου γε καὶ ἐπί τινων ποιοτήτων ἐχουσῶν ὀνόματα οὐ λέγεται
15 ἀπ' αὐτῶν παρωνύμως τὰ μετέχοντα; ἀπὸ γὰρ τῆς ἀρετῆς οὐ λέγεται ὁ
μετέχων ἐνάρετος ἀλλὰ σπουδαῖος. ἐνίοτε δὲ καὶ ὁμωνύμως ἀπὸ τῶν
ποιοτήτων λέγονται τὰ μετέχοντα, ὡς ἀπὸ τῆς γραμματικῆς ἡ γραμματικὴ 20
γυνὴ καὶ ἀπὸ τῆς μουσικῆς ἡ μουσική. διό, ὡς εἶπον, ἀκριβέστερον ἡμῖν
τὸν λόγον παραδιδοὺς ἐνταῦθα τῆς ποιότητος προσέθηκε τὸ ἢ ὁπωσοῦν
20 ἄλλως ἀπ' αὐτῶν.

p. 10b12 Ὑπάρχει δὲ καὶ ἐναντιότης κατὰ τὸ ποιόν, οἷον δικαιοσύνη ἀδικίᾳ ἐναντίον καὶ λευκότης μελανίᾳ. |

Ἐπὶ τὸ ἴδιον τῆς ποιότητος μέτεισι τῷ αὐτῷ κανόνι τῆς διδασκα- 119r
λίας κεχρημένος ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν. φησὶν οὖν ἴδιον
25 ποιότητος τὸ ἐπιδέχεσθαι ἐναντιότητα. εἰκότως· κυρίως γὰρ ἡ ἐναντιότης 5
περὶ τὴν ποιότητα θεωρεῖται· καὶ γὰρ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν ἡ
ἐναντιότης κατὰ τὴν ποιότητα ἐθεωρεῖτο· καὶ γὰρ ἡ οὐσία διὰ ταύτην 10
τῶν ἐναντίων ἐστὶ δεκτικὴ καὶ τῶν πρός τι τὰ ἐπιδεχόμενα τὴν ἐναντίω-
σιν ἐκ τῆς τοῦ ποιοῦ ἐλαμβάνοντο κατηγορίας. κυρίως μὲν οὖν, ὡς ἔφθην
30 εἰπών, ἡ ἐναντιότης περὶ τὴν ποιότητα θεωρεῖται. οὐκ ἐν πάσῃ δὲ τῇ
ποιότητί ἐστιν ἐναντιότης· ταῖς γὰρ μεταξὺ τῶν ἐναντίων ποιοτήτων 15

---

2 μὲν om. a ἀληθές ἐστι (ὁ λόγος om.) C τὸ] τῷ a 4 λέγεται om. C 7. 8 οἱ δρομικοὶ οὔτε οἱ πυκτικοὶ a 8 ἔχοντες ante ἐπιτ. coll. C 9 τούτων τῶν] τῶν τοιούτων C ὀνόματα a: ὄνομα CF 11. 12 πυκτικὸν ἢ δρομικὸν C 13 τῆς δρομικῆς a 14 λέγονται Fa 16 ἐνάρ.] ἀρεταῖος a 17 γραμματικῆς ἐπιστήμης a 18 εἶπεν F (cf. 156, 23) 19 τὸ om. C 20 post αὐτῶν add. προσέθηκε δὲ ταῦτα διὰ τὰ ἀκατονόμαστα καὶ ἑτερώνυμα a 22 ἡ λευκ. F 24 κεχρημ.] χρώμενος (iteratum) C 25 post εἰκότως add. καὶ γὰρ ἐν σώματι τὸ λευκὸν τῷ μέλανι καὶ ἐν ψυχῇ ἡ δικαιοσύνη τῇ ἀδικίᾳ καὶ ἐν τῷ συναμφοτέρῳ ἡ ὑγεία τῇ νόσῳ a 26 περὶ] κατὰ Ca 28 τῶν πρός] τὰ πρός a 31 ἡ ἐναντ. a ἐναντίων om. F ποιοτήτων om. C

ποιότησιν οὐδέν ἐστιν ἐναντίον, οἷον τῷ πυρρῷ ἢ τῷ ὠχρῷ ἢ τοῖς τοι- 119ʳ
ούτοις. ἀλλ' οὐδὲ τοῖς σχήμασιν οὐδέν ἐστιν ἐναντίον, τῷ τριγώνῳ λέγω καὶ τῷ κύκλῳ καὶ τοῖς τοιούτοις. ὁμοίως δὲ καὶ τοῖς ποιοῖς ὑπάρχει ἐναντιότης· λέγεται γὰρ τὸ λευκὸν τῷ μέλανι ἐναντίον καὶ τὸ θερμὸν τῷ ψυχρῷ.

p. 10ᵇ17 Ἔτι ἐὰν τῶν ἐναντίων θάτερον ᾖ ποιόν, καὶ τὸ λοιπὸν ἔσται ποιόν. τοῦτο δὲ δῆλον ἐκ τῶν καθ' ἕκαστα προχειριζομένῳ τὰς ἄλλας κατηγορίας.

Δῆλον γὰρ ὅτι ὑφ' ἣν κατηγορίαν ἀνάγεται ἕτερον τῶν ἐναντίων, 30
ὑπὸ ταύτην καὶ τὸ ἕτερον ἀναχθήσεται ἐκ τοῦ | μὴ δύνασθαι ἡμᾶς ὑπὸ 119ᵛ
ἄλλην κατηγορίαν αὐτὸ ἀναφέρειν· τῶν γὰρ ἐναντίων τὸ αὐτὸ γένος ἐστίν.

p. 10ᵇ26 Ἐπιδέχεται δὲ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον τὰ ποιά· λευκὸν γὰρ μᾶλλον καὶ ἧττον ἕτερον ἑτέρου λέγεται.

Ἕτερον παρακολούθημα τοῦ ποιοῦ τὸ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ
ἧττον· λευκὸν γὰρ λευκοῦ μᾶλλον λευκὸν λέγεται καὶ αὐτὸ δὲ ἑαυτοῦ 10
λευκότερον. οὐδὲ τοῦτο δὲ πᾶσι παρακολουθεῖ. εἰκότως· εἴρηται γὰρ ὅτι ὅπου ἐναντιότης θεωρεῖται καὶ ἡ τῶν ἐναντίων μῖξις, ἐκεῖ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον, ὅπου δὲ ἐναντιότης οὐκ ἔστιν οὐδὲ ἡ τῶν ἐναντίων μῖξις, οὐδὲ τὸ μᾶλλον καὶ τὸ ἧττον.

p. 10ᵇ30 Δικαιοσύνη γὰρ δικαιοσύνης εἰ λέγεται μᾶλλον καὶ 15
ἧττον, ἀπορήσειεν ἄν τις.

Ὅτι οὐκ ἐπὶ πάσης τῆς κατηγορίας ἁρμόσει τὸ λέγειν τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι, δῆλον ἐξ ὧν τινες περὶ ταῦτα ἀποροῦσι, μὴ βουλόμενοι δικαιοσύνην δικαιοσύνης εἶναι μᾶλλον καὶ ἧττον καὶ ὑγείαν ὑγείας καὶ τὰ
τοιαῦτα. ἀλλ' ὁ μὲν Ἀριστοτέλης οὐ διήρθρωσεν ἡμῖν τὸν περὶ | τούτων 120ʳ
λόγον. ἡμεῖς δὲ περὶ αὐτῶν ταῦτά φαμεν· λέγομεν γὰρ ὅτι τὰ μὲν ποιὰ ὁμολογουμένως τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεται κατὰ τὸν εἰρημένον

1 ὀχρῷ C 2 οὐδέν om. F 5 ἔτι δὲ Arist. 6 ἐστι F ἐκ τῶν καθ' ἕκαστα om. a Arist. 6. 7 προχειριζομένοις C: προχειριζομένων F 8 γὰρ om. F ἕτερον ed. Ald. 1546: ἕκαστον CFa 10 κατηγοριῶν C 12 καὶ (prius) om. Arist. 13 γὰρ om. F 15 λευκὸν (alt.) om. C: λευκοῦ F αὐτὸ] ἑαυτὸ (ex ἑαυτῷ corr.) F 16 οὐ a δὲ om. C δέ φησι a παρακ. πᾶσι coll. C καὶ εἰκ. a εἴρηται] p. 75,14 17 καὶ (post ἐκεῖ) om. CF 18. 19 ὅπου—ἧττον om. C 18 ἡ om. F 20 εἰ om. C λέγοιτο a 22 ὅτι δὲ a τῆς om. C alt. τὸ om. Ca 23 ἐπιδέχεσθαι] καὶ C μὴ] οἱ C 24 δικαιοσύνης δικαιοσύνην coll. C 25 τούτου C 27 τὸ (alt.) om. a

τρόπον, αὐτὴ μέντοι γε ἡ ποιότης ἡ λόγῳ ὁριστὴ τὸ μᾶλλον καὶ τὸ ἧττον 120r
οὐκ ἐπιδέχεται, οἷον ἡ δικαιοσύνη καὶ ἡ ὑγεία καὶ τὰ τοιαῦτα· δικαιο- 5
σύνη γὰρ δικαιοσύνης αὐτὴ καθ' αὑτὴν οὐκ ἂν εἴη μᾶλλον καὶ ἧττον· εἰ
γάρ τι μὴ ἐπιδέχοιτο τὸν τῆς δικαιοσύνης ὁρισμόν, οὐδὲ δικαιοσύνη ὅλως
5 ἐστίν· ὥσπερ γὰρ οἷς ἐφαρμόζει ὁ τοῦ ἀνθρώπου ὁρισμός, ἄνθρωποί
εἰσιν οὐδὲν ἧττον, ἐφ' ὧν δὲ καὶ τὸ βραχύτατον τῶν ἐν τῷ ὁρισμῷ μὴ 10
ἐφαρμόζει, οὐδὲ ὅλως ἄνθρωποί εἰσιν, ἢ τὸ λογικὸν ἢ τὸ ἐπιστήμης δεκ-
τικὸν ὡς τοῖς ἀλόγοις ἢ τὸ θνητὸν ὡς τοῖς ἀγγέλοις, οὕτως εἴ τι μὴ
ἔχοι ἀπαραλλάκτως τὸν τῆς δικαιοσύνης ὁρισμὸν ἢ τὸν τῆς ὑγείας ἤ τινος
10 τῶν τοιούτων, οὐδὲ δικαιοσύνη τὸ τοιοῦτόν ἐστιν οὐδὲ ὑγεία οὐδὲ ἄλλο 15
τῶν τοιούτων οὐδέν. τὰ μέντοι γε ποιὰ ταῦτα τὸ μᾶλλον καὶ τὸ ἧττον
ἐπιδέχεται, πρὸς ὃ ἕκαστον μετέχει τῆς ποιότητος εἴτε πλέον εἴτε ἔλαττον·
τὸν γὰρ πλέον τῆς λευκότητος μετεσχηκότα ἢ τοῦ μέλανος μᾶλλον λευκὸν
λέγομεν τοῦ πλέον μετεσχηκότος μελανίας ἢ λευκότητος. ὁμοίως δὲ καὶ 20
15 δίκαιον μᾶλλον λέγομεν τὸν πλείονα τὴν πρὸς τὸ δίκαιον κοινωνίαν σπα-
σάμενον καὶ ὑγιεινὸν τὸν ἄλλου μᾶλλον μετεσχηκότα τῆς ὑγείας, καὶ ἐπὶ
πάντων τῶν τοιούτων ὁμοίως· ὥσπερ γὰρ τῆς ἐν πυρὶ θερμότητος οὐχ
ὁμοίως πάντες οἱ περιεστηκότες, εἰ τύχοι, μεταλαμβάνουσιν, ἀλλ' οἱ μὲν 25
ἐγγυτέρω μᾶλλον, ὅσῳ καὶ πλείονος ἀντιλαμβάνονται τῆς αὔρας, οἱ δὲ
20 πορρωτέρω ἧττον, καίτοι τῆς τοῦ πυρὸς θερμασίας μιᾶς καὶ τῆς αὐτῆς
οὔσης, οὕτω καὶ ἐπὶ πασῶν τῶν ποιοτήτων οἴεσθαι χρὴ ὅτι αὗται μὲν 30
καθ' ἑαυτὰς ἀνεπίτατοί εἰσι καὶ ἀνάνετοι, | ἐν ὑποκειμένοις δὲ γινόμεναι 120v
τοῖς σώμασιν, ἐν οἷς καὶ πεφύκασι μίγνυσθαι, ἢ ἐπιτείνονται ἢ ἀνίενται
τῇ τῶν ἐναντίων πλεῖον ἢ ἔλαττον ἐπιμίξει.

25 p. 11a5 Τρίγωνον δὲ καὶ τετράγωνον οὐ δοκεῖ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι, οὐδὲ τῶν ἄλλων σχημάτων οὐδέν. 5

Ἔτι διὰ τούτων κατασκευάζει ὅτι οὐ πάσῃ ποιότητι ὑπάρχει τὸ
μᾶλλον καὶ ἧττον· οὐδὲ γὰρ τῶν σχημάτων οὐδενί· οὐδὲν γὰρ τρίγωνον 10
τριγώνου μᾶλλον καὶ ἧττον (ἑκάτερον γὰρ τούτων ὁμοίως τὸν τοῦ τριγώ-
30 νου λόγον ἐπιδέχεται) οὐδὲ κύκλος κύκλου, κἂν μυριοπλάσιος ᾖ· καὶ

1 μέντοι] μέν C τὸ (alt.) om. Ca 2 καὶ (pr.) om. F ὑγεία] ἀδικία C 4 τι] τοι CF 5 ἐφαρμόζοι C 7. 8 ἢ τὸ λογ.—ἀγγέλοις eicias ὡς τοῖς ἀλ. ἢ τὸ ἐπ. δεκτ. coll. a 8 εἴ τι] ἐστὶν εἰ a 9 ἔχοι] δέχοιτο a ἀπαραλάκτως C 12 ἐπιδέχονται F μετέσχε a τῆς τούτων ποιότητος C 13 τὸν] τὸ a μετέχοντα C: μετεσχηκὸς a τοῦ μέλ.] an τῆς μελανίας? 14 πλέον] μᾶλλον C 15 μᾶλλον—δίκαιον a: om. CF μᾶλλον λέγ. Paris. 2051: λέγ. μᾶλλον a κοινωνίας CF 15. 16 σπασάμενον Paris. 2051: ἀσπασάμενον Ca: παυσάμενον F 16 ἄλλου μᾶλλον] μᾶλλον τῶν ἄλλων a 19 αὔρας] πυρᾶς a 20 θερμότητος C 22 ἀνάν.] ἄνετοι C 24 πρὸς τῶν ἐναντίων a 25. 26 καὶ ἧττον om. Arist. 28 τὸ ἧττον a pr. γὰρ om. C 28. 29 τριγώνου μᾶλλον τρίγ. coll. C 29 post ἧττον add. λέγεται τρίγωνον a τούτων] τῶν τοιούτων C 30 μυριονταπλάσιος Fa

τούτων γὰρ ἑκάτερος ὁμοίως τὸν τοῦ κύκλου λόγον ἐπιδέχεται. καὶ 120v
ἐπὶ τῶν ἄλλων δὲ ὡσαύτως, ἐφ' ὧν ὁ αὐτὸς λόγος ἀπαραλλάκτως
ἐφαρμόζει.

p. 11a9 Τῶν δὲ μὴ ἐπιδεχομένων οὐδὲν μᾶλλον ἕτερον ἑτέρου
ῥηθήσεται.

Ὃ βούλεται λέγειν διὰ τούτων, τοῦτό ἐστι· δεῖ, φησίν, ἐν οἷς τὸ μᾶλλον καὶ τὸ ἧττον θεωρεῖται, ἐν τούτοις τὸν αὐτὸν ἐφαρμόζειν ὁρισμόν, οὐκ ἀπαραλλάκτως μέντοι· εἰ γὰρ ἀπαραλλάκτως ἐφαρμόζει, οὐκ ἐπιδέξονται τὸ μᾶλλον καὶ τὸ ἧττον. οἷον ὑγιεινόν ἐστι τὸ συμμέτρως ἔχον πρὸς ὑγείαν· οὗτος ὁ λόγος ἐφαρμόσει καὶ γυμνασίῳ καὶ σιτίοις καὶ οὔροις καὶ πλείοσιν ἄλλοις. ἐπειδὴ τοίνυν πάντα τὸν αὐτὸν ὁρισμὸν ἐπιδέχονται, οὐκ ἀπαραλλά|κτως δέ, ἀλλὰ τὸ μὲν γυμνάσιον ὡς φυλακτικὸν ὑγείας, τὸ δὲ 121r
σιτίον ὡς ποιητικόν, τὰ δὲ οὖρα ὡς σημαντικά, εἰκότως καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχονται· μᾶλλον γὰρ ἐρεῖς τὸ γυμνάσιον τοῦ σιτίου ὑγιεινόν (τὸ μὲν γὰρ τὴν οὖσαν ὑγείαν φυλάττει, τὸ δὲ τὴν ἀπελθοῦσαν ἀνακαλεῖται), μᾶλλον δὲ τῶν οὔρων τὸ σιτίον· τοσοῦτον γὰρ μόνον τοῦ ὑγιεινοῦ μετέχουσι τὰ οὖρα τῷ σημαίνειν τὴν ὑγιεινὴν διάθεσιν. εἰ δὲ ἐπί τινων ὑπάρχει ἀπαραλλάκτως ὁ αὐτὸς ὁρισμὸς ἢ παντελῶς ἕτερος, ταῦτα τὸ μᾶλλον καὶ τὸ ἧττον οὐκ ἐπιδέχεται· τὰ μὲν γὰρ πάντῃ ἕτερά εἰσι, τὰ δὲ πάντῃ ταὐτά, οἷον ἄνθρωπος καὶ ἵππος· οὐδεὶς γὰρ ἂν εἴποι τὸν ἄνθρωπον τοῦ ἵππου μᾶλλον ἄνθρωπον οὐδὲ τὸν ἵππον τοῦ κυνὸς μᾶλλον ἵππον, ἐπειδὴ ἕτερα παντελῶς εἰσιν, ἀλλ' οὐδὲ ἄνθρωπον ἀνθρώπου μᾶλλον ἄνθρωπον κατ' αὐτὴν τὴν οὐσίαν οὐδὲ ἵππον ἵππου μᾶλλον ἵππον. ἐπειδὴ πάντῃ ἀλλήλοις εἰσὶ ταὐτὰ καὶ τὸν αὐτὸν ὁρισμὸν ἐπιδέχονται ἀπαραλλάκτως. ἐπειδὴ δὲ τὸ ἐν χιόνι λευκὸν καὶ τὸ ἐν ἱματίῳ τὸν αὐτὸν λόγον ἐπιδέχονται, οὐκ ἀπαραλλάκτως δέ, εἰκότως μᾶλλον ἕτερον ἑτέρου λέγεται· ἐπιδέχονται γὰρ τὸν αὐτὸν ὁρισμὸν οὐχ ὁμοίως ἑκάτερον, ἀλλ' ἡ μὲν χιὼν ὡς συμπεφυκὸς ἔχουσα τὸ λευκὸν καὶ συμπληρωτικὸν τῆς οἰκείας οὐσίας καὶ ἀνεπίδεκτον τοῦ ἐναντίου, τὸ δὲ ἱμάτιον ἐξ ἐπιτεχνήσεως, εἰ τύχοι, καὶ οὐ συμπληρωτικὸν τῆς οὐσίας οὐδὲ ἀνεπίδεκτον τοῦ ἐναντίου. καὶ ἐπὶ τοῦ μέλανος δὲ καὶ τῶν ἄλλων ὡσαύτως. διὰ τοῦτο τοίνυν τὸ πολύγω-

1 ὁμοίως post λόγον coll. C 2 ἀπαραλάκτως C 4 μᾶλλον καὶ ἧττον καὶ ἕτ. F 4. 5 ῥηθ. ἑτέρου coll. C 7 ἐν τούτοις — ἧττον (9) om. C 8. 9 ἐπιδέχονται a 10 ἐφαρμόζει a 11 post αὐτὸν add. παρόντα (πάντα om.) F 12 τὸ (prius) om. C 16 ἀνακαλεῖται] ἀποτελεῖται F μόνου C: om. F 17 τῷ] τὸ F 18. 26 ἀπαραλάκτ. C 18 ἢ γοῦν CF ταῦτα om. F 19 ἐπιδέχονται Ca 20 ὁ ἄνθρ. καὶ ὁ ἵππος a εἴπῃ F 21 τοῦ ἵππου] ἀνθρώπου F 22 οὐδὲ τὸν ἄνθρ. a 23 κατ' — οὐσίαν] κατὰ ταύτην τὴν αἰτίαν a 25 ἐπεὶ καὶ C δὲ om. Ca 26 οὐκ om. C εἰκότως] εἰ καὶ C 27 γὰρ] δὲ F 28 ὡς om. C ἐμπεφ. C 29 et 30 ἐναντ.] μέλανος C 29 τύχῃ C 31 ὁμοίως F

νον τοῦ τριγώνου οὐ λέγεται μᾶλλον κύκλος, ἐπειδὴ οὐδέτερον τῶν εἰρη- 121r
μένων ἐπιδέχεται τὸν τοῦ κύκλου ὁρισμόν. οὐδὲ μέντοι τῶν ἄλλων κύκλων
ἧττον κύκλος λέγεται τὸ πολύγωνον διὰ τὸν αὐτὸν πάλιν λόγον.

p. 11a15 Τῶν μὲν οὖν εἰρημένων οὐδὲν ἴδιον ποιότητος, 30
5 ὅμοια | δὲ καὶ ἀνόμοια κατὰ μόνας τὰς ποιότητας λέγεται. 121v

Ὥσπερ ἐπὶ τῆς οὐσίας καὶ τῶν ἄλλων ἐποίησε, πρότερον ἀπο- 5
δοκιμάσας τὰ δοκοῦντα ἴδια καὶ ὕστερον παραδοὺς τὰ ὄντως ἴδια, οὕτως
καὶ ἐνταῦθα ἀποδοκιμάσας τὰ δύο παρακολουθήματα τοῦ ποιοῦ, τό τε
ὑπάρχειν αὐτῷ ἐναντιότητα καὶ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι, ὡς μὴ
10 παντὶ τῷ ποιῷ παρακολουθοῦντα, ἐκκρίνει τὸ ὅμοιον λέγεσθαι καὶ ἀνό- 10
μοιον· ἐπ' οὐδεμιᾶς γὰρ τῶν ἄλλων κατηγοριῶν τοῦτο λέγεται. οὐκ
αὐτὴ δὲ ἡ ποιότης τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον δέχεται, ἀλλὰ τὰ ποιά·
ἑκάστη γὰρ τῶν ποιοτήτων αὐτὴ καθ' ἑαυτὴν θεωρουμένη καὶ οὐκ ἐν
ὑποκειμένῳ μία ἐστὶ καὶ ἡ αὐτή· πῶς οὖν ἂν εἴη αὐτὴ ἑαυτῇ ὅμοιος 15
15 ἢ ἀνόμοιος; ἐν ὑποκειμένῳ μέντοι γενομένη τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον
ἐπιδέχεται, ἢ εἰλικρινὴς ἐπὶ τῶν αὐτῶν φοιτῶσα ἢ ὁμοίως τὴν τοῦ ἐναν-
τίου ἐπιμιξίαν ἀναδεχομένη καὶ οὕτως ὅμοια ἀλλήλοις κατ' αὐτὴν τὰ ὑπο-
κείμενα αὐτῇ ἀποτελοῦσα ἢ ἀνόμοια τῷ μὴ ὁμοίως παραγίνεσθαι ἀλλὰ 20
μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι ἐν τοῖς ὑποκειμένοις τὴν τοῦ ἐναντίου μῖξιν.
20 διὰ τοῦτο τοίνυν ἵνα ἐφαρμόσωμεν πάσῃ τῇ κατηγορίᾳ τὸ ἴδιον, ὥσπερ
ἐπὶ τῆς οὐσίας ἐποιήσαμεν, προσθέντες τι τῷ ἀποδεδομένῳ αὐτῆς ἰδίῳ
καὶ εἰπόντες ἴδιον τῆς κατηγορίας τῆς οὐσίας εἶναι τὸ τὰ ἐν αὐτῇ ἄτομα 25
μένοντα ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ παρὰ μέρος τῶν ἐναντίων εἶναι δεκτικά,
καὶ οὕτως πάσης τῆς οὐσίας ἴδιον ἐποιήσαμεν τὸ παρακολούθημα, οὕτω
25 κἀνταῦθα ποιήσωμεν ἴδιον λέγοντες εἶναι τῆς κατηγορίας τῆς ποιότητος τὸ
τὰ ἐν αὐτῇ ἄτομα ὅμοια ἢ ἀνόμοια λέγεσθαι· οὕτω γὰρ ἂν καὶ πάσῃ τῇ 30
κατη|γορίᾳ ἐφαρμόσειε τὸ παρακολούθημα καὶ μόνῃ. 122r

p. 11a20 Οὐ δεῖ δὲ ταράττεσθαι μή τις ἡμᾶς φήσῃ ὑπὲρ ποιό-
τητος τὴν πρόθεσιν ποιησαμένους πολλὰ τῶν πρός τι συγ-
30 καταριθμεῖσθαι.

Ἐπειδὴ περὶ ποιότητος ἦν ὁ λόγος αὐτῷ τὰς δὲ ἕξεις καὶ τὰς δια-
θέσεις ὑπὸ τὴν ποιότητα ἀνήγαγεν, ἅπερ ἦν τῶν πρός τι (καὶ γὰρ ὑπὸ

---

1 μᾶλλον κ. λέγ. (οὐ om.) C ἐπειδὴ — λέγεται (3) om. C 2 οὐδὲ] οὐ F 5 λέγονται C 6 ante ἐπὶ add. καὶ F 9 ante μᾶλλον add. μὴ F 10 ἐγκρίνει CF 14 ἡ om. F εἴη αὐτὴ] εἴη ἡ αὐτὴ C 15 μέντοι] μὲν C γινομ. C τὸ (alt.) om. F 17 τὰ κατ' αὐτὴν coll. a 18 παράγεσθαι a 19 τὸ μᾶλλον a 21 ἐπὶ τῆς οὐσίας ἐποιήσαμεν] p. 78,34 22 εἶναι τῆς οὐσ. coll. a 25 ποιήσομεν a 27 ἐφαρμόσειε scripsi: ἐφαρμόσῃ Ca: ἐφαρμόσει F 29. 30 συγκαταριθμεῖν F

τὰ πρός τι αὐτὰ καὶ αὐτὸς πρότερον ἀνήγαγε καὶ τὴν ἕξιν ἑκτοῦ ἕξιν καὶ 122r
τὴν διάθεσιν διαθετοῦ λέγων εἶναι διάθεσιν), διὰ τοῦτο αἰσθόμενος τῆς
ἀπορίας ἐπιλύεται αὐτὴν διχῶς, καὶ πρῶτον μὲν ἐπιπολαιότερον δεύτερον
δὲ ἀκριβέστερον. καὶ ἡ μὲν πρώτη ἐπίλυσις ὧδε ἔχει·

p. 11a23 Σχεδὸν γὰρ ἐπὶ πάντων τῶν τοιούτων τὰ γένη πρός τι λέγεται. τῶν δὲ καθ' ἕκαστα οὐδέν.

Αὕτη πρώτη τῆς ἀπορίας ἐπίλυσις· φησὶ γὰρ ὅτι τὰ μὲν γένη τῶν
ποιοτήτων ὑπὸ τὰ πρός τι ἀναφέρεται, τὰ δὲ εἴδη ὑπὸ τὸ ποιόν· οἷον ἡ
ἐπιστήμη τῶν πρός τί ἐστι | (γένος γὰρ ἡ ἐπιστήμη) καὶ λέγεται ἐπιστη- 122v
τοῦ ἐπιστήμη, ἡ δὲ γεωμετρία οὐκ ἔστι τῶν πρός τι εἶδος οὖσα τῆς
ἐπιστήμης, ἀλλ' ὑπὸ τὸ ποιὸν ἀναφέρεται. ὁμοίως καὶ ἐπὶ τῆς ἕξεως
ἔχει καὶ διαθέσεως καὶ πάντων τῶν τοιούτων· ἡ γὰρ ἕξις ἑκτοῦ ἕξις καὶ
τὸ ἑκτὸν τῇ ἕξει ἑκτὸν καὶ ἡ διάθεσις διαθετοῦ διάθεσις καὶ τὸ διαθετὸν
τῇ διαθέσει διαθετόν. ἡ μέντοι ὑγεία ἢ ἡ νόσος, εἴδη ὄντα τῆς ἕξεως
ἤτοι τῆς διαθέσεως, ποιότητές εἰσι· κατὰ ταύτας γὰρ ποιοί τινές ἐσμεν
καὶ παρωνύμως ἀπ' αὐτῶν λεγόμεθα γραμματικοὶ ἢ ῥητορικοὶ ἢ ὑγιεινοὶ
ἢ ὁπωσοῦν ἄλλως. καὶ ἐπιστήμονες δὲ λεγόμεθα οὐ τῷ ἁπλῶς μετέχειν ἐπι-
στήμης ἀλλὰ τῷ μετέχειν τινὸς τῶν κατὰ μέρος ἐπιστημῶν, γραμματικῆς
ἢ μουσικῆς ἤ τινος ἄλλης. ἡ μὲν οὖν ἐπιπολαιοτέρα λύσις αὕτη. ἐπιπο-
λαιοτέρα δέ ἐστι, διότι τὰ γένη ἐπὶ πασῶν τῶν κατηγοριῶν ὑπὸ τὴν
αὐτὴν ἀνάγονται κατηγορίαν ὑφ' ἣν καὶ τὰ εἴδη. ἡ δέ γε ἀκριβεστέρα
ὧδε ἔχει·

p. 11a37 Ἔτι εἰ τυγχάνει τὸ αὐτὸ ποιὸν καὶ πρός τι ὄν, οὐδὲν ἄτοπον ἐν ἀμφοτέροις τοῖς γένεσιν αὐτὸ καταριθμεῖσθαι.

Ὡς γὰρ ὁ πατὴρ καὶ ὁ υἱὸς ἀνάγονται μὲν καὶ ὑπὸ τὴν οὐσίαν,
ἀνάγονται δὲ καὶ ὑπὸ τὰ πρός τι, κατ' ἄλλο μέντοι καὶ ἄλλο, οὕτως οὐδὲν
ἄτοπον καὶ τὰς ἕξεις καὶ τὰς διαθέσεις ὡς μὲν πράγματα ἀνάγεσθαι ὑπὸ
τὴν ποιότητα, ὡς δὲ σχέσιν τινὰ ἀναδεξάμενα ὑπὸ τὰ πρός τι.

1 alt. καὶ om. C post ἑκτοῦ add. λέγειν C 2 εἶναι λέγων coll. C 3 πρότερον C 5 πασῶν τῶν ποιοτήτων (τοιούτων om.) F 5. 6 τῶν πρός τι a 8 ποιοτήτων] τοιούτων a 9 καὶ λέγ. καὶ C 10 εἶδος — ἐπιστ. ante οὐκ coll. C 11 ἀνάγεται a 12 τῶν τ. πάντων coll. F 13 τῇ om. C 14 μέντοι γε C 15 κατ' αὐτὰς C 16 pr. ἢ om. C 17 ἄλλως om. Fa 18 τῷ] τὸ F 19 ἢ μουσικῆς om. C 20 ἐπὶ om. C 20. 21 τὴν αὐτὴν] ταύτην C 21 τὴν κατ. C 22 ὧδέ πῃ a 23 τυγχάνοι a Arist. αὐτὸ τοῦτο ποιὸν C: αὐτὸ καὶ ποιὸν F πρός τι καὶ ποιὸν coll. Arist. 25 καὶ (alt.) om. C 26 τὸ πρός F οὕτως οὐδὲν] ἀλλ' οὐδὲ F 28 δεξάμενα C

Περὶ τοῦ ποιεῖν καὶ πάσχειν. 122v

p. 11b1 Ἐπιδέχεται δὲ καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν ἐναντιότητα. |

Τῶν κατηγοριῶν αἱ μέν εἰσιν ἁπλαῖ αἱ δὲ κατὰ συνδυασμὸν καὶ συμ- 123r
πλοκὴν τῶν ἁπλῶν τὸ εἶναι ἔχουσι. καὶ ἁπλαῖ μέν εἰσιν αἱ εἰρημέναι τέσσαρες, ἥ τε οὐσία καὶ τὸ ποσὸν καὶ τὰ πρός τι καὶ τὸ ποιόν, κατὰ συμπλοκὴν δὲ τῆς οὐσίας πρὸς μίαν τούτων ἢ πρὸς ἑαυτὴν αἱ λοιπαὶ ἓξ γίνονται. ἵνα δὲ τοῦτο γνῶμεν, λέγω δὴ ὅτι αἱ μὲν κυρίως κατηγορίαι τέσσαρές εἰσιν αἱ εἰρημέναι αἱ δὲ λοιπαὶ ἓξ ἐκ τῆς πρὸς ἄλληλα συμπλοκῆς τούτων γίνονται, ἐκ τῆς διαιρέσεως λάβωμεν τὰ εἰρημένα· τῶν ὄντων τὰ μὲν καθ' ἑαυτὰ ὑφέστηκεν, ὡς ἡ οὐσία, τὰ δὲ ἐν ἑτέροις ἔχει τὸ εἶναι. τῶν δὲ ἐν ἑτέροις ἐχόντων τὸ εἶναι τὰ μὲν ἐν σχέσει θεωρεῖται, οἷον τὰ πρός τι, τὰ δὲ ἄσχετά εἰσι. καὶ τῶν μὴ ἐχόντων σχέσιν τὰ μέν ἐστι μεριστά, οἷον τὰ ποσά (τοῦτο γὰρ ἴδιον ἐλέγομεν τοῦ ποσοῦ εἶναι, τὸ μεριστόν), τὰ δὲ ἀμέριστα, οἷον αἱ ποιότητες. αὗται μὲν οὖν αἱ κυρίως καὶ πρώτως λεγόμεναι κατηγορίαι, αἱ δὲ ἄλλαι ἓξ γίνονται τῆς οὐσίας συμπλεκομένης | ταῖς λοιπαῖς τρισί, τῷ ποσῷ λέγω καὶ τῷ πρός τι καὶ τῷ 123v
ποιῷ, ⟨ἢ ἑαυτῇ⟩· ἡ γὰρ οὐσία τῷ ποσῷ συμπλεκομένη ποιεῖ δύο κατηγορίας, τήν τε ποτὲ καὶ τὴν ποῦ· τῷ μὲν γὰρ χρόνῳ συμπλεκομένη ποιεῖ τὴν ποτέ (τὸ γὰρ ποτὲ οὔτε οὐσίαν μόνως σημαίνει οὔτε χρόνον, ἀλλ' οὐσίαν ἐν χρόνῳ οὖσαν), τῷ δὲ τόπῳ συμπλεκομένη ποιεῖ τὴν ποῦ· τὸ γὰρ ποῦ οὔτε τόπον μόνον σημαίνει (οὐ γάρ ἐστι τόπος ἐν τόπῳ) οὔτε μὴν οὐσίαν, ἀλλ' οὐσίαν ἐν τόπῳ οὖσαν. πάλιν ἡ οὐσία συμπλεκομένη τῷ ποιῷ ἑτέρας δύο ποιεῖ κατηγορίας, τήν τε τοῦ ποιεῖν καὶ τοῦ πάσχειν· τὸ γὰρ ποιεῖν καὶ τὸ πάσχειν κατὰ ποιότητα γίνονται· ὁ γὰρ ποιῶν εἴς τι ἢ τῷ

---

6 τὸ ποιὸν καὶ τὰ πρός τι coll. a 7 ἢ καὶ F 8 post γίνονται add. οἷον ἐξ οὐσίας καὶ ποσοῦ τὸ ποῦ καὶ ποτέ, ἐξ οὐσίας καὶ ποιοῦ τὸ ποιεῖν καὶ πάσχειν, ἐξ οὐσίας καὶ τῶν πρός τι τὸ ἔχειν καὶ τὸ κεῖσθαι a (Marc. 217) δὲ καὶ a γνῶμεν Marc. 217: γνωσόμεθα C: γνωσώμεθα Fa 9. 10 τούτων συμπλ. coll. a 10 τῆς om. C post εἰρημ. add. λέγοντες C 11 ὑφεστήκασιν C ὡς ἡ οὐσία post εἶναι coll. F post εἶναι add. καθ' ἑαυτὸ μὲν ὑφέστηκεν ἡ οὐσία a 12 θεωροῦνται C 14 ἐλέγομεν] cf. p. 84,6 εἶναι τοῦ ποσοῦ coll. a 16. 17 συμπλ. τῆς οὐσίας coll. C 17. 18 τῷ ποιῷ καὶ τῷ πρός τι coll. C 18 ἢ ἑαυτῇ inserui (cf. v. 7 p. 164,4) 21 post οὖσαν add. ποτὲ δέ ἐστι χρόνῳ (sic) δηλωτικὸν κατὰ τὴν τριμέρειαν αὐτοῦ, ἐνεστῶτα παρεληλυθότα μέλλοντα a (Marc. 217) συμπλ. ἡ οὐσία a 21. 22 τὸ γὰρ ποῦ οὔτε] οὔτε δὲ τὸ ποῦ C 22 μόνως a 23 post οὖσαν add. ποῦ δέ ἐστι τόπου δήλωσις καὶ διαιρεῖται ἄνω κάτω δεξιὰ ἀριστερὰ ἔμπροσθεν ὄπισθεν a (Marc. 217) 24 ποιεῖν ex ποιοῦ corr. F² τοῦ πάσχειν] τὸ πάσχειν F¹ 24. 25 τὸ γάρ — πάσχειν om. F (αἱ superscr. F²) 25 τὸ om. a γίνεται a ποιῶν γὰρ coll. C τῷ] τὸ F

θερμαίνειν ποιεῖ ἢ τῷ ψύχειν ἢ κατ' ἄλλην τινὰ ποιότητα, καὶ ὁ πάσχων 123v
δὲ ἢ τῷ θερμαίνεσθαι ἢ μελαίνεσθαι ἢ κατ' ἄλλην τινὰ ποιότητα πάσχει. 20
πάλιν ἡ οὐσία τοῖς πρός τι συμπλεκομένη ποιεῖ τὸ κεῖσθαι, τὴν δὲ θέσιν 25
τῶν πρός τι ἐλέγομεν εἶναι. αὐτὴ δὲ ἑαυτῇ συμπλεκομένη ποιεῖ τὸ ἔχειν·
5 τὸ γὰρ ἔχειν οὐσίας περὶ οὐσίαν σημαίνει περίθεσιν. |

Ἀποδοὺς δὲ ὁ Ἀριστοτέλης τῶν τεσσάρων κατηγοριῶν τοὺς ὅρους 124r
καὶ τὰ παρακολουθήματα, τῶν λοιπῶν ἓξ οὔτε τοὺς ὁρισμοὺς ἀποδέδωκεν 5
οὔτε τὴν εἰς τὰ εἴδη διαίρεσιν, ὡς ἡμῶν δυναμένων ἐκ τῶν ῥηθέντων
τούτοις ἐπιστῆσαι. δεῖ οὖν ἡμᾶς ἑκάστου τὸν ὁρισμὸν ἀποδοῦναι καὶ τὴν
10 εἰς τὰ εἴδη διαίρεσιν. ἔστιν οὖν ποιεῖν μὲν τὸ εἴς τι ἐνεργεῖν. τούτου
δὲ εἴδη δύο· τὸ γὰρ ποιοῦν ἢ εἰς ἑαυτὸ ποιεῖ, ὥσπερ ἡ ψυχὴ ἑαυτὴν 10
γινώσκουσα, ἢ εἰς ἕτερον, ὡς τὸ πῦρ εἰς ἡμᾶς ποιεῖ θερμαῖνον ἡμᾶς.
πάσχειν δέ ἐστι τὸ ὑπό τινος ἀλλοιοῦσθαι. τούτου δὲ εἴδη δύο· ἢ γὰρ 15
ὡς εἰς φθοράν τι ἀγόμενον πάσχει, ὡς τὸ ξύλον ὑπὸ πυρὸς καιόμενον, ἢ
15 ὡς εἰς τελειότητα, ὡς ὅταν εἴπωμεν πάσχειν τὴν ὅρασιν ὑπὸ τοῦ ὁρατοῦ·
εἰς τελειότητα γὰρ ἄγεται ἡ ὅρασις ὑπὸ τῶν ὁρατῶν τὴν οἰκείαν ἀπολαμ-
βάνουσα ἐνέργειαν. καὶ ὁ μαθητὴς ὑπὸ τοῦ διδασκάλου πάσχει καὶ αὐτὸς 20
οὐ φθειρόμενος ἀλλὰ τελειούμενος. κεῖσθαι δέ ἐστι τὸ θέσιν τινὰ ἔχειν.
τούτου δὲ εἴδη τρία, τὸ ἀνακεκελίσθαι τὸ καθῆσθαι τὸ ἑστάναι· ἢ γάρ, 25
20 ὡς πολλάκις εἴρηται, τὸ ὅλον σῶμα κέκλιται καὶ λέγεται ἀνακεκλίσθαι, ἢ
τὸ μέν τι κέκλιται τὸ δὲ ὀρθόν ἐστι καὶ λέγεται καθῆσθαι, ἢ ὅλον ὀρθόν
ἐστι καὶ λέγεται ἵστασθαι. ποτὲ δέ ἐστι τὸ χρόνου δηλωτικὸν ἤτοι τὸ
ἐν χρόνῳ ὄν· τούτου δὲ εἴδη τρία, ἐνεστὼς παρεληλυθὼς μέλλων. ποῦ
δέ ἐστι τὸ τόπου δη|λωτικὸν ἢ τὸ ἐν τόπῳ ὄν· τούτου δὲ εἴδη ἕξ, τὸ 124v
25 ἄνω τὸ κάτω τὸ δεξιὸν τὸ ἀριστερὸν τὸ ἔμπροσθεν τὸ ὄπισθεν. εἰκότως δὲ

---

1 τῷ] τὸ F post ποιότητα add. πάσχει F¹: ποιεῖ F²: καὶ ἄλλως· ποιεῖν ἐστι τὸ εἴς τι ἐνεργεῖν, καὶ ἢ εἰς ἑαυτὸν ἐνεργεῖν, ὡς κοπιᾶν δι' ἑαυτοῦ ὁρᾶν ὁμιλεῖν, ἢ εἰς ἕτερον, ὡς ὁ τύπτων τυπτόμενον τύπτει a (Marc. 217) 2 δὲ om. C τῷ] τὸ F τῷ μελαίν. a post πάσχει add. πάσχειν γάρ ἐστι τὸ ὑπό τινος ἀλλοιοῦσθαι καὶ διαιρεῖται ἢ ὡς εἰς φθοράν τινα ἄγεσθαι ὑπεναντίου ἢ εἰς τελειότητα ὡς ἡ ὅρασις ὑπὸ τοῦ ὁρατοῦ a (Marc. 217) 3 post κεῖσθαι add. κεῖσθαι δέ ἐστιν ἡ τοιάδε τοῦ σώματος θέσις καὶ διαιρεῖται εἰς τὸ ἀνακεῖσθαι καθέζεσθαι ἑστάναι a (Marc. 217) 4 ἐλέγομεν] p. 107,1 αὐτὴ Laur. 72,1: αὕτη CFa ante ποιεῖ add. ἐπὶ τεχναστῷ τινι a 5 σημ.] ποιεῖ C post περίθεσιν add. τοῦτο δὲ τὸ τεχναστὸν ἢ ὅλον ἐν ὅλῃ τῇ οὐσίᾳ, ὡς ὁ χιτὼν τῷ σώματι, ἢ ὅλον ἐν μέρει, ὡς ὁ δακτύλιος ἐν τῷ δακτύλῳ καὶ τὸ δόρυ ἐν τῇ χειρί. tum ex Marc. 217 τὸ γὰρ ἔχειν τριχῶς· ἐν ψυχῇ ὡς ἕξις, ἐν σώματι ὡς ὐλή, περὶ σῶμα ὡς ἱμάτιον χιτὼν ὑπόδημα ὅπλα a 6 δὲ] γὰρ F τοὺς λόγους καὶ τοὺς ὅρους a 7 ἀπέδωκεν C 10 οὖν] δὲ C 11. 12 ὥσπερ — γινώσκουσα om. C 11. 12 ζωοῦσα ἑαυτὴν καὶ γιν. a 12 post alt. ἡμᾶς add. καὶ ὡς ἡ αἴσθησις ἐνεργοῦσα περὶ τὸ αἰσθητόν. ἢ καὶ ἄλλως διττὸν τὸ ποιεῖν, καθ' ὁρμὴν ὡς ἐπὶ κυνὸς ὑλακτοῦντος, κατὰ φύσιν ὡς ἐπὶ τῆς καύσεως τοῦ πυρός a (Marc. 217) 13 καὶ τούτου δὲ a 14 ἀγόμ. τι coll. a τοῦ πυρὸς a 15 post τελειότ. add. ἄγεται a 16. 17 λαμβάν. C 18 post τελειούμενος add. καὶ πάλιν τὸ πάσχειν διττόν· ἢ γὰρ φθαρτικόν ἐστιν ὡς ἐπὶ τοῦ τέμνεσθαι καίεσθαι ἢ τελειωτικὸν ὡς τὸ μανθάνειν ἀναγινώσκειν a (Marc. 217) 19 εἴδει F¹ 20 εἴρηται] p. 107,4 21 τι] τοι Fa 22 alt. ἐστι om. F alt. τὸ] τῷ F¹ 23 καὶ μέλλων a 24 δηλ.] σημαντικὸν a τὸ (ante ἐν) om. F 25 κάὶ τὸ ὄπισθεν Fa

ἓξ τοῦ τόπου εἰσὶν αἱ διαφοραί· εἰ γὰρ τόπος ἐστίν, ὡς εἴρηται ἡμῖν, 124v
πέρας τοῦ περιέχοντος καθ' ὃ περιέχει τὸ περιεχόμενον, τὸ δὲ περιεχό- 5
μενον σῶμά ἐστι, πᾶν δὲ σῶμα τρεῖς ἔχει διαστάσεις, ἑκάστη δὲ
διάστασις κατ' εὐθεῖαν γραμμὴν θεωρεῖται ὡρισμένως καὶ οὐ κατ'
5 ἄλλην τινά (εἰ γάρ τις βουληθείη τοίχου, εἰ τύχοι, τὴν κατὰ μῆκος
διάστασιν γνῶναι πόση τίς ἐστι, κατὰ κάθετον ταύτην μετρήσει, ἡ δὲ
κάθετος εὐθεῖα γραμμή ἐστιν, ὡσαύτως δὲ καὶ εἰ τὴν κατὰ πλάτος ἢ 10
βάθος διάστασίν τις γνῶναι βούλοιτο πόση ἐστί, σπάρτον ἐκτείνας ταύτην
μετρήσει, ἥτις καὶ αὐτὴ εὐθεῖα γραμμή ἐστι), πᾶσα δὲ εὐθεῖα γραμμὴ
10 δύο πέρατα ἔχει· εἰ τοίνυν πᾶν σῶμα τρεῖς ἔχει διαστάσεις, ἑκάστη δὲ
διάστασις κατ' εὐθεῖαν γραμμὴν χαρακτηρίζεται, πᾶσα δὲ εὐθεῖα γραμμὴ 15
δύο ἔχει πέρατα, εἰκότως τὸ σῶμα ἓξ ἔχει πέρατα. εἰ οὖν τὸ σῶμα ἓξ
ἔχει πέρατα, καὶ ὁ τόπος ὁ περιέχων αὐτὸ ἐξ ἀνάγκης ἓξ σχήσει πέρατα,
ἐπειδὴ κατὰ πᾶσαν διάστασιν περιέχει ὁ τόπος τὸ σῶμα. καὶ ἔστι τῆς
15 μὲν ὡς ἐπὶ ἐμψύχων εἰπεῖν κατὰ μῆκος διαστάσεως πέρατα τὸ ἄνω καὶ 20
τὸ κάτω, τῆς δὲ κατὰ πλάτος τὰ δεξιὰ καὶ τὰ ἀριστερά, τῆς δὲ κατὰ
βάθος τὸ ἔμπροσθεν καὶ τὸ ὄπισθεν. ἔχειν δέ ἐστιν οὐσίας περὶ οὐσίαν
περίθεσις. τοῦτο δὲ ἢ ὅλον περὶ ὅλον περίκειται, ὡς ὁ χιτὼν ὅλον περι-
έχει τὸ σῶμα, ἢ ὅλον περὶ μέρος, ὡς ὁ δακτύλιος ἐν δακτύλῳ.

20 p. 11b1 Ἐπιδέχεται δὲ καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν ἐναν- 25
τιότητα.

Ζητητέον ἐνταῦθα τί δή ποτε τὸ ποιεῖν καὶ τὸ πάσχειν οὐχ ὑπὸ τὰ
πρός τι ἀνάγει ὁ φιλόσοφος, ἀλλ' ἑτέρας αὐτὰς εἶναι λέγει κατηγορίας·
ὁ γὰρ ποιῶν εἰς πάσχοντα ποιεῖ καὶ ὁ πάσχων ὑπὸ ποιοῦντος πάσχει· 30
25 ὥστε καὶ αὗται τῶν πρός τί εἰσι. λέγομεν οὖν πρὸς τοῦτο ὅτι τὰ μὲν 125r
ἀπαρέμφατα ῥήματα μόνης εἰσὶ τῆς φύσεως τῶν ἐνεργειῶν ἢ τῶν παθῶν
σημαντικά (ἢ γὰρ ἐνέργειαν μόνως ἢ πάθος σημαίνει), τὰ μέντοι γε ἄλλα
ῥήματα ἤτοι αἱ μετοχαὶ τὴν σχέσιν σημαίνουσι τῶν οὐσιῶν ἤτοι πρὸς τὴν 5
ἐνέργειαν ἢ πρὸς τὸ πάθος. τὸ τοίνυν ποιεῖν καὶ τὸ πάσχειν, ἀπαρέμ-
30 φατα ὄντα ῥήματα, τῆς ποιήσεως αὐτῆς ἢ παθήσεώς ἐστι δηλωτικὰ καὶ
οὐχὶ τῶν πρός τι· οὐδεὶς γὰρ ἂν εἴποι τὸ ποιεῖν εἰς τὸ πάσχειν ποιεῖν ἢ

---

1 τοῦ om. F εἰ γὰρ τόπος] τόπος γάρ a εἴρηται] p. 33,22 87,7 2 τὸ πέρας F 3 πᾶν] τὸ a 7 εἰ post διάστασιν (8) coll. a 7. 8 βάθος ἢ πλάτος coll. C 8 βουληθείη a 9 γραμή (pr. l.) F¹ 10. 11 ἑκάστη δὲ διάστασις om. C 11 εὐθεῖαν δὲ C δὲ om. F¹ 12 πέρ. ἔχει (pr. l.) coll. F 13 σχοίη (alt. l.) a 15 ἀψύχων F: ἐμψύχου a κατὰ μ. διαστ.] διαστάσεως τῆς κατὰ μ. C 16 τὸ δεξιὸν καὶ ἀριστερόν a 17 τὸ (ante ὄπισθεν) om. C 18 περὶ ὅλον om. a 20 τὸ (alt.) om. C 23 αὐτὰ a 24 πάσχοντα] πάσχον τι codd. (cf. p. 166, 2) 26 μόνως a 29 πρὸς om. F τὸ τοίνυν καὶ τὸ (sic) πάσχειν καὶ τὸ ποιεῖν C 30 εἰσι C 31 τὸ (alt.) om. Fa ποιεῖν (alt.)] ποιεῖ a

τὸ πάσχειν ὑπὸ τοῦ ποιεῖν πάσχειν. ὁ μέντοι γε πάσχων ἢ ποιῶν ὑπὸ 125r
τὰ πρός τι ἀναφέρεται· ὁ γὰρ ποιῶν εἰς πάσχοντα ποιεῖ καὶ ὁ πάσχων 11
ὑπὸ ποιοῦντος πάσχει. καλῶς δὲ ὁ Ἀριστοτέλης ἐν τῇ Φυσικῇ ἀκροάσει
ζητεῖ ὅτι εἰ ἐκ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν ἡ κίνησις, πότερον ἐν τῷ
5 ποιοῦντι θεωρεῖται ἢ ἐν τῷ πάσχοντι, καί φησιν ὅτι ἐν τῷ πάσχοντι· ἡ 15
γὰρ κίνησις ὁδός ἐστιν ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ· ἐνέργεια δέ
ἐστιν αὐτὴ ἡ προβολὴ τῆς ἕξεως· ἐκεῖνα οὖν κινεῖται ὅσα ἐνδεᾶ ἐστι καὶ
ἀπὸ τοῦ ἀτελοῦς μεταβάλλει ἐπὶ τὸ τέλειον. ὅσα γοῦν πλειόνων τινῶν δέεται,
πλείονας κινήσεις κινεῖται, τὰ δὲ ὀλιγοδεᾶ ὀλιγοκίνητα· ἀμέλει τὸ θεῖον 20
10 ἀνενδεὲς ὂν καὶ πάντῃ ἐστὶν ἀκίνητον. εἰ τοίνυν ὁ ποιῶν κατ' αὐτὸ
τοῦτο ὃ ποιεῖ τελείαν ἔχει τὴν ἕξιν, οὐ κινηθήσεται κατ' ἐκεῖνο ὃ ποιεῖ,
ὁ δὲ πάσχων ἅτε δεόμενος τοῦ ποιοῦντος, ἵνα τὴν ἐν αὐτῷ ἐνοῦσαν δύνα-
μιν εἰς ἐνέργειαν προαγάγῃ, εἰκότως κινεῖσθαι λέγεται, ἐκ τοῦ δυνάμει 25
εἰς τὸ ἐνεργείᾳ εἶναι, ὃ πέφυκεν εἶναι, προαγόμενος. ὥστε ἡ κίνησις μία
15 ἐστὶν ἐπὶ μόνου τοῦ πάσχοντος θεωρουμένη, ὁ μέντοι λόγος ὁ τῆς κινή-
σεως δύναται εἶναι διττός· δύναται γὰρ θεωρεῖσθαι καὶ ἐπὶ τοῦ ποιοῦν-
τος καὶ ἐπὶ τοῦ πάσχοντος· ὅταν μὲν γὰρ τὴν κίνησιν θεωρήσωμεν | 30
ἀρχομένην ἀπὸ τοῦ ποιοῦντος καὶ λήγουσαν ἐπὶ τὸ πάσχον, ποίησιν αὐ- 125v
τὴν λέγομεν. ὅταν δὲ θεωρήσωμεν αὐτὴν ἀπὸ τοῦ πάσχοντος ἀρχομένην
20 τελευτῶσαν δὲ ἐπὶ τὸ ποιοῦν, πάθησιν λέγομεν, ὥσπερ καὶ διδαξιν καὶ
μάθησιν ὁμοίως. ὥστε τῷ μὲν ὑποκειμένῳ μία ἐστὶν ἡ κίνησις, διαφέρει 5
δὲ τῷ λόγῳ. τὰ δὲ πρός τι οὐ μόνον τῷ λόγῳ διαφέρουσιν, ἀλλὰ καὶ
τῷ ὑποκειμένῳ διάφορά ἐστιν. ὥστε τὸ ποιεῖν καὶ τὸ πάσχειν περὶ ἓν
καταγινόμενα ὑποκείμενον, τὴν κίνησιν, οὐκ ἂν εἴη πρός τι, εἴ γε τὰ πρός
25 τι οὐ μόνον τὴν σχέσιν διάφορον θέλουσιν ἔχειν, ἀλλὰ καὶ τὰ ὑπο- 10
κείμενα.

Διὰ τί οὖν μὴ ἐπέγραψε 'περὶ ποιήσεως καὶ παθήσεως'; λέγομεν
ὅτι ἡ ποίησις διττή ἐστι· καὶ γὰρ αὐτὴ ἡ ὁδὸς ποίησις λέγεται, οἷον ἡ
τοῦ οἰκοδόμου ἐνέργεια, καὶ τὸ τέλος δὲ αὐτὸ τῆς ἐνεργείας, οἷον ἡ οἰκία.
30 ἵνα οὖν μὴ διὰ τὴν ὁμωνυμίαν πλάνη τις γένηται καὶ νομίσωμεν αὐτὸν 15
περὶ τοῦ τέλους διαλέγεσθαι, διὰ τοῦτο οὕτως ἐπέγραψε Περὶ τοῦ
ποιεῖν καὶ τοῦ πάσχειν, τοῦτ' ἔστι περὶ αὐτῆς τῆς ἐνεργείας καὶ τῆς
ὁδοῦ. ἐπιδέχεται δὲ καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν ἐναντιότητα καὶ τὸ μᾶλλον
καὶ τὸ ἧττον. εἰκότως· ἐν γὰρ ταῖς ποιότησι μόνον ἡ ἐναντιότης θεωρεῖται· 20

1 alt. πάσχειν] πάσχει a ὁ ποιῶν a 3 ἐν τῇ Φυσικῇ ἀκρ.] E 2 p. 225b13
7 προσβολὴ a 8 μεταβάλει C ὅσα] ὅσῳ CF πλειόνων τινῶν] τι πλειόν C: πλειόν. F 11 τελείαν ἔχει] τέλος ἔχει (iter.) C ὅπερ (alt. l.) a
13 προσαγάγει (superscr. η) F 14 προαγόμενον C 17 ἐπὶ om. F
τὴν κίνησιν om. CF 18 εἰς τὸ πάσχειν C: ἐπὶ τοῦ πάσχοντος F
19 πάσχοντος ex τυχόντος corr. F 20 ἐπὶ] ὑπὸ F πάθησιν] πεῖσιν CF2: πῆσιν F1 (cf. v. 27) 27 παθήσεως καὶ ποιήσεως coll. C 28 ὅτι ἐπειδὴ a
ποίησις] πάθησις F ἐστι om. Ca 29 οἷον] ἤγουν C 30 νοήσωμεν C
32 τοῦ om. C 33 primum καὶ om. C το (ante πάσχειν) om. F
34 μόνη C ἡ om. a

τὸ δὲ ποιεῖν καὶ τὸ πάσχειν ἐκ τῆς συμπλοκῆς τῆς οὐσίας πρὸς τὴν 125v
ποιότητα συνέστηκε. καὶ τὸ μᾶλλον δὲ καὶ τὸ ἧττον ἐπιδέχεσθαι ἐκεῖνα
πολλάκις εἰρήκαμεν τὰ καὶ τὴν ἐναντιότητα ἐπιδεχόμενα. ἐπειδὴ δὲ οὐ
πᾶσα ποιότης ἐπιδέχεται τὴν ἐναντιότητα οὐδὲ τὸ μᾶλλον καὶ τὸ ἧττον, 25
5 οἷον τὰ σχήματα, εἰκότως ἄρα οὐδὲ πάσῃ τῇ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν
κατηγορίᾳ παρακολουθεῖ τὸ ἐπιδέχεσθαι ἐναντιότητα καὶ τὸ μᾶλλον καὶ τὸ
ἧττον, ἀλλὰ τῇ μὲν ἐκ ποιότητος εἰλημμένῃ ἐπιδεχομένης τὸ μᾶλλον καὶ τὸ
ἧττον ὑπάρχει αὐτὸ τοῦτο, τῇ δὲ ἐκ ποιότητος λαμβανομένῃ μὴ ἐπιδε-| 30
χομένης ἐναντιότητα οὐδὲ αὐτῇ ὑπάρξει τι ἐναντίον. 126r

10 p. 11b15 Ὑπὲρ μὲν οὖν τῶν προτεθέντων γενῶν ἱκανὰ τὰ εἰρημένα.

Ἐκ τούτου τοῦ ῥησειδίου ὑπέλαβόν τινες τῶν ἐξηγητῶν τὸν σκοπὸν
εἶναι τῶν κατηγοριῶν περὶ νοημάτων μόνων· ὁ γὰρ Ἀριστοτέλης, φασί, 5
γένη μόνα οἶδε τὰ ὑστερογενῆ καὶ ἐννοηματικά· τὰ γὰρ καθόλου, φησὶν
15 αὐτὸς ἐν τῷ Περὶ ψυχῆς, ἢ οὐδέν ἐστιν ἢ ὕστερον, τὰ δὲ πρὸ τῶν πολ-
λῶν οὐδ' ὅλως βούλεται εἶναι, ἀλλὰ τερετίσματα αὐτὰ λέγει καὶ φλυαρίας
περιττάς.

Περὶ τῶν ἀντικειμένων. 10

p. 11b16 Περὶ δὲ τῶν ἀντικειμένων ποσαχῶς εἴωθεν ἀντικεῖ-
20 σθαι, ῥητέον.

Πεπλήρωται ὁ τῶν κατηγοριῶν λόγος καὶ ἄρχεται τοῦ μετὰ τὰς 15
κατηγορίας τμήματος· εἰρήκαμεν γὰρ κατ' ἀρχὰς τοῦ βιβλίου ὅτι εἰς τρία
μέρη διῄρηται τοῦτο τὸ βιβλίον, εἴς τε τὸ πρὸ τῶν κατηγοριῶν καὶ τὸ
περὶ αὐτῶν τῶν κατηγοριῶν καὶ τὸ μετὰ τὰς κατηγορίας, καὶ ὅτι ἐν μὲν
25 τῷ πρὸ τῶν κατηγοριῶν περὶ φωνῶν διαλέγεται, αἷς μέλλει χρήσασθαι ἐν 20
τῇ διδασκαλίᾳ τῶν κατηγοριῶν, ἀγνώστων ἡμῖν ἐκ τῆς συνηθείας οὐσῶν,
ἐν δὲ τῷ δευτέρῳ τμήματι περὶ αὐτῶν τῶν κατηγοριῶν, ἐν δὲ τῷ τρίτῳ,

---

1 ἐκ] ἐκτὸς C 2 τὸ (alt.) om. C 3 εἰρήκαμεν] p. 158,16 5 τοῦ (alt.) om. C 6. 7 τὸ μ. καὶ τὸ ἧτ. καὶ ἐναντ. coll. C 7 μὲν om. F ἐπιδεχομένης scripsi: ἐπιδεχομένη libri 8 αὐτῇ a ποσότητος Ca 8. 9 μὴ ἐπιδεχομένης om. F 9 ὑπάρχει F τι om. C 10 προθέντων C 13 φησί C 14 μόνον C 15 Περὶ ψυχῆς] A 1 p. 402b7 16 εἶναι om. CF 21 περὶ τῶν κατ. a 22 εἰρήκαμεν] p. 13, 6 23 τὸ βιβλ. τοῦτο coll. F alt. τὸ] τὰ C: τῶν F 23. 24 τὸ περὶ αὐτῶν τ. κ.] εἰς τὰς κατηγορίας αὐτὰς C 24 τὸ] εἰς τὰ C 25 τῷ] τὸ F¹ 26 ἀγν.] γνωρίμων C οὐσῶν om. Fa

τοῦτ' ἔστι τῷ προκειμένῳ, περί τινων φωνῶν ὧν παρέλαβεν ἐν τῇ 126r
διδασκαλίᾳ τῶν κατηγοριῶν, ὧν ἔννοιαν μέν τινα ἔχομεν οὐ μὴν διηρ- 25
θρωμένην. ὅτι δὲ οὐκ ἔστιν ἀπηρτημένον τὸ τμῆμα τοῦτο τοῦ σκοποῦ
τῶν κατηγοριῶν, ὥς τινες ἐνόμισαν, δῆλον μὲν καὶ ἐκ τῶν εἰρημένων,
5 καὶ ἐξ αὐτοῦ δὲ τοῦ συνεχοῦς τῆς φράσεως δῆλον· τὸν γὰρ μὲν σύνδεσμον
εἰρηκὼς ἐν τῷ τέλει τοῦ τμήματος τοῦ πρὸ τούτου, ἐν τούτῳ | τὸν δὲ 126v
ἐπήγαγεν· εἰρηκὼς γὰρ ἐν ἐκείνῳ ὑπὲρ μὲν οὖν τῶν προτεθέντων
γενῶν ἐν τῇ ἀρχῇ τούτου φησὶ περὶ δὲ τῶν ἀντικειμένων. ὥστε
καὶ ἐκ τούτου δήλη ἡ τοῦ σκοποῦ συνέχεια. πρῶτον δὲ διδάσκει περὶ
10 τῶν ἀντικειμένων· καὶ γὰρ ἐν τῷ Περὶ ποσοῦ λόγῳ μνήμην τούτων 5
ἐποιήσατο, ἡνίκα ἔλεγε τὸ μέγα τῷ μικρῷ ἀντικεῖσθαι οὐχ ὡς τὰ ἐναν-
τία ἀλλ' ὡς τὰ πρός τι. βούλεται τοίνυν ἐνταῦθα διδάξαι ποσαχῶς τὰ
ἀντικείμενα λέγεται. τὰ τοίνυν ἀντικείμενα, φησί, τετραχῶς ἀντίκειται, 10
ἢ ὡς πρός τι ἢ ὡς ἐναντία ἢ ὡς στέρησις καὶ ἕξις ἢ ὡς κατάφασις καὶ
15 ἀπόφασις.

Ζητητέον δὲ τί δή ποτε τέσσαρα μόνα τὰ εἴδη τῶν ἀντικειμένων καὶ
οὔτε πλείονα οὔτε ἐλάττονα, καὶ τίς ἡ αἰτία τῆς τοιαύτης αὐτῶν τάξεως.
ἵνα οὖν μάθωμεν διὰ τί τέσσαρα μόνα, εἴπωμεν οὕτως· τὰ ἀντικείμενα ἢ 15
ὡς λόγοι ἀντίκεινται ἢ ὡς πράγματα. τὰ δὲ ὡς πράγματα ἀντικείμενα ἢ
20 ἐν σχέσει τινὶ θεωρεῖται ἢ ἄσχετά εἰσι. καὶ εἰ ἄσχετά ἐστιν, ἢ μεταβάλλει
εἰς ἄλληλα ἢ οὐ μεταβάλλει. ὡς λόγοι μὲν οὖν ἀντίκεινται κατάφασις καὶ 20
ἀπόφασις, οἷον Σωκράτης περιπατεῖ — Σωκράτης οὐ περιπατεῖ, ὡς πράγματα
δὲ καὶ σχέσιν ἔχοντα ἀντίκεινται τὰ πρός τι, οἷον πατὴρ καὶ υἱός, δεξιὸν
καὶ ἀριστερόν, ἐπιστήμη καὶ ἐπιστητόν, ὡς πράγματα δὲ καὶ σχέσιν μὴ ἔχοντα 25
25 καὶ μεταβάλλοντα εἰς ἄλληλα τὰ ἐναντία, οἷον τὸ μέλαν καὶ τὸ λευκόν, τὸ
θερμὸν καὶ τὸ ψυχρόν, ὡς πράγματα δὲ ἄσχετα καὶ μὴ μεταβάλλοντα εἰς
ἄλληλα ἕξις καὶ στέρησις, οἷον ὄψις καὶ τυφλότης· ἡ μὲν γὰρ ἕξις μετα-
βάλλει εἰς τὴν στέρησιν, οἷον ἡ ὄψις εἰς τὴν τυφλότητα, ἡ μέντοι γε 30
στέρησις | οὐ μεταβάλλει εἰς τὴν ἕξιν, οἷον ἡ τυφλότης εἰς τὴν ὄψιν· 127r
30 στέρησιν γὰρ ἐνταῦθα λαμβάνει τὴν παντελῆ τοῦ εἴδους φθορὰν καὶ αὐτῆς
τῆς δυνάμεως, ἐν δὲ τῇ Φυσικῇ ἀκροάσει στέρησιν λέγει οὐ τὴν παντελῆ

---

1 τῷ προκ. τουτέστι coll. C 3 ἀπηρτ. post κατηγ. (4) coll. C τοῦτο] ἅπαν C
4 καὶ om. C ἐκ om. F[1] 5 δῆλον om. C μὲν γὰρ coll. F 7 προτεθ.] εἰρημένων C 8 post γενῶν add. ἱκανὰ τὰ εἰρημένα, νῦν a δὲ om. F[1]
10 τοῦ ποσοῦ a 11 ἔλεγε] p. 5b15 ἀντίκειται C 12 διδ. ἐντ. coll. a 13 τὰ τοίνυν — ἀπόφασις (15) om. C ἀντίκεινται F 19 λόγος C 20 θεωροῦνται a post θεωρ. add. οἷον τὰ πρός τι ὡς δεξιὸν καὶ ἀριστερὸν C: οἷον τὰ πρός τι a ἐστιν] εἰσιν Ca 21 εἰς] πρὸς C post ἄλληλα add. ὡς τὰ ἐναντία λευκὸν καὶ μέλαν a post οὐ μεταβ. add. ὡς στέρησις καὶ ἕξις, οἷον ὄψις καὶ τυφλότης a οὖν om. F 22 alt. σωκράτης om. F ὡς πράγματα — ἐπιστητόν (24) om. CF 25 post ἐναντία add. ἀντίκεινται a μέλι C post λευκὸν add. καὶ Ca 26 καὶ ἄσχετα a 28 alt. τὴν om. C 29 εἰς τὴν ἕξιν οἷον ἡ τυφλότης om. codd.; defectus origo appareat, si post τυφλ. addas οὐ μεταβάλλει
31 ἐν δὲ τῇ Φυσ. ἀκρ.] E 1 p. 225a3 sq.

τῆς δυνάμεως φθοράν (βούλεται γὰρ ἐν ἐκείνοις καὶ τὴν στέρησιν εἰς τὴν 127r
ἕξιν μεταβάλλειν), ἀλλὰ τῆς ἐνεργείας μόνης τὴν ἀπουσίαν. τίνος μὲν 6
οὖν ἕνεκα τέσσαρα μόνα τὰ εἴδη τῶν ἀντικειμένων ἐστίν, ἡ διαίρεσις
ἡμῖν ἐδήλωσεν. διὰ τί δὲ πρώτην ἔταξε τὴν τῶν πρός τι ἀντίθεσιν, δευ-
5 τέραν δὲ τὴν τῶν ἐναντίων, τρίτην δὲ τὴν τῆς ἕξεως καὶ τῆς στερήσεως, 10
τετάρτην δὲ τὴν τῆς καταφάσεως καὶ ἀποφάσεως, νυνὶ ἐροῦμεν. φαμὲν
οὖν ὅτι ἀπὸ τῶν μαλακωτέραν τὴν ἀντίθεσιν ἐχόντων ἤρξατο, λέγω δὴ
τῶν πρός τι· ταῦτα γὰρ τῷ ἀντικεῖσθαι οὐ μόνον οὐ φθείρει ἄλληλα, ἀλλὰ
καὶ συνεισφέρει· ἑνὸς γὰρ τεθέντος, οἷον πατρός, συνεισάγεται καὶ τὸ ἕτε- 15
10 ρον, οἷον ὁ υἱός, καὶ ἀναιρεθέντος ἑνὸς συνανῄρηται καὶ τὸ ἕτερον· ἀλλή-
λων γάρ εἰσιν ὑποστατικά. δευτέραν τάξιν ἔχει ἡ τῶν ἐναντίων ἀντίθεσις,
οἷον λευκοῦ καὶ μέλανος· ἰσχυροτέρα γάρ πώς ἐστιν ἡ τούτων ἀντίθεσις,
διότι οὐ μόνον οὐ συνεισφέρει ἄλληλα, ἀλλὰ καὶ φθείρει· τοῦ γὰρ ἑνὸς 20
παρόντος οὐχ ὑπομένει τὸ ἕτερον. καὶ εἰς ἄλληλα μέντοι γε ταῦτα μετα-
15 βάλλει, οἷον θερμὸν καὶ ψυχρόν, λευκὸν καὶ μέλαν. τρίτην ἔχουσι τάξιν
τὰ κατὰ ἕξιν καὶ στέρησιν· καὶ γὰρ ἡ τούτων ἀντίθεσις ἰσχυροτέρα ἐστὶ
τῆς τῶν ἐναντίων ἀντιθέσεως· τὰ μὲν γὰρ ἐναντία μεταβάλλει εἰς ἄλληλα, 25
ἡ δὲ στέρησις οὐδέποτε μεταβάλλει εἰς τὴν ἕξιν· οὐδὲ γὰρ ἐκ τυφλοῦ τις
ἀναβλέψει κατά γε τὸν φυσικὸν ἢ τεχνικὸν λόγον, εἰ μή που θείᾳ δυνάμει.
20 ἐσχάτην ἔχουσι τάξιν τὰ κατὰ ἀπόφασιν καὶ κατάφασιν ἀντικείμενα· 30
σφοδροτέρα γὰρ τούτων ἡ ἀντίθεσις, διότι ἐπὶ | πάντων τῶν ὄντων καὶ 127v
μὴ ὄντων διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος· λέγεται γὰρ Σωκράτης ἢ
δεξιὸς εἶναι ἢ μὴ εἶναι δεξιός. καὶ ἀληθής γε αὕτη ἡ διαίρεσις, κἂν
μόνος ὢν τύχῃ Σωκράτης κἂν μετὰ πλειόνων κἂν μηδὲ ὅλως ᾖ· κἄν τε 5
25 γὰρ μόνος ᾖ, ἀληθεύει ἡ διαίρεσις λέγουσα μὴ εἶναι αὐτὸν δεξιόν, κἄν τε
μετὰ μετὰ πλείονων, ὁμοίως· ἢ γὰρ δεξιός ἐστιν ἐν πλείοσιν ὢν ἢ οὐκ
ἔστι δεξιός, ἀλλὰ ἢ μέσος ἢ ἀριστερός, ἀμφότερα δὲ τὸ μὴ δεξιὸν ση-
μαίνει. ἀλλὰ κἂν μηδὲ ὅλως ᾖ, ἀληθὲς τὸ λέγειν ὅτι οὐκ ἔστι δεξιός·
πῶς γὰρ ὁ μηδὲ ὅλως ὤν; καὶ ἡ φωνὴ δὲ λέγεται ἢ λευκὴ εἶναι ἢ μὴ 10
30 λευκή, καὶ ὁ λίθος ἢ ὄψιν ἔχειν ἢ μὴ ἔχειν. καὶ ἐπὶ πάντων δὲ εὑρή-
σεις τὴν ἀντίθεσιν ταύτην ἀληθῆ ὑπάρχουσαν, οὐ μόνον ἐπὶ τῶν κατὰ
μέρος ἀντιθέσεων ἀλλὰ καὶ ἐπὶ τῶν καθόλου· τὰ γὰρ ὄντα ἢ δεξιά εἰσιν ἢ
οὔκ εἰσι δεξιά, ἢ λευκά εἰσιν ἢ οὔκ εἰσι λευκά, ἢ ὄψιν ἔχει ἢ οὐκ ἔχει ὄψιν. 15
οὐ μόνον δὲ ἐπὶ σωμάτων αὕτη ἡ ἀντίθεσις χώραν ἔχει, ἀλλὰ καὶ ἐπὶ

---

1 an ἐκείνῃ? alt. τὴν om. C 2 μόνον C 3 ἀντικ.] ἐναντίων F
4 ἐδήλωσεν ἡμῖν coll. a 7 ὅτι om. C 8 τῷ] τὸ F οὐ (alt.)
om. F 10 ὁ om. a συναναιρεῖται a 11 δευτέραν δὲ C
12 οἷον om. C 17 γὰρ om. C 18 τις om. C 19 post δυνά-
μει add. τοῦτο συμβαίη a 21 ἡ om. F τῶν τε ὄντων a
22 διαιρεῖ] συναναιρεῖ F¹ ὁ σωκρ. a 23 alt. εἶναι om. F ἀληθεία C
24 post πλειόν. add. καὶ F 26. 27 οὐκ ἔστι] οὐκέτι F 28 λέγειν] εἶναι F
32 τῶν] τὴν F 33 post alt. οὔκ εἰσιν add. ὅλως C 34 μόνων F δὲ Marc.
217: γὰρ CFa

ἀσωμάτων· καὶ γὰρ κἀκεῖνα οὐκ ἔχει τὴν δεξιὰν θέσιν, ἐπειδὴ οὐδὲ σώ- 127ᵛ
ματά εἰσιν, οὔτε λευκά εἰσιν οὔτε ὄψιν ἔχει τὴν ἡμετέραν. καὶ τὸ μὴ
ὂν δὲ οὔτε δεξιόν ἐστιν οὔτε λευκὸν οὔτε ὄψιν ἔχει. ἡ μὲν οὖν κατάφα- 20
σις καὶ ἀπόφασις, ὡς προείρηται, πάντα τὰ ὄντα καὶ τὰ μὴ ὄντα διαιρεῖ,
5 αἱ δὲ ἄλλαι ἀντιθέσεις οὐδαμῶς· ἥ τε γὰρ τῶν πρός τι ἀντίθεσις οὐκ
ἐπὶ πάντων λέγεται· ἂν γὰρ τύχῃ τις μόνος ὤν, οὐ λέγεται δεξιὸς εἶναι
ἢ ἀριστερός. ἀλλ' οὐδὲ τῶν ἀσωμάτων οὐδέν, οἷον ἡ ψυχή· οὔτε γὰρ 25
δεξιά ἐστιν οὔτε ἀριστερά. ἀλλ' οὐδὲ ἡ τῶν ἐναντίων· ἡ γὰρ φωνὴ οὐ
λέγεται λευκὴ εἶναι ἢ μέλαινα· ἔστι γὰρ καὶ ἡ λεγομένη σομφή. οὐδὲ
10 ἐπὶ τῶν χρωμάτων τὰ μέν ἐστι λευκὰ τὰ δὲ μέλανα· εἰσὶ γὰρ καὶ τὰ
μεταξύ, τὸ φαιὸν καὶ τὸ ὠχρὸν καὶ τὰ τοιαῦτα. ἀλλ' οὐδὲ ἐπὶ τῆς στε- 30
ρήσεως καὶ τῆς ἕξεως· ὁ γὰρ λίθος οὐ λέγεται τυφλὸς εἶναι ἢ ὄψιν ἔχειν. 128ʳ
εἰκότως οὖν πρώτην μὲν εἶπε τὴν τῶν πρός τι, δευτέραν δὲ τὴν τῶν
ἐναντίων, τρίτην δὲ τὴν κατὰ στέρησιν καὶ ἕξιν, τετάρτην δὲ τὴν κατα-
15 φάσεως καὶ ἀποφάσεως, ἐκ τῶν μαλακωτέραν τὴν ἀντίθεσιν ἐχόντων ἀρ- 5
ξάμενος καὶ προκόψας ἐπὶ τὰ σφοδροτέρως ἀντικείμενα.

p. 11ᵇ19 Ἀντίκειται δὲ ἕκαστον τῶν τοιούτων, ὡς τύπῳ εἰπεῖν, ὡς μὲν τὰ πρός τι, οἷον τὸ διπλάσιον τῷ ἡμίσει.

Διὰ τούτων ἔννοιάν τινα ἡμῖν αὐτῶν παραδίδωσιν, ἐπὶ παραδειγμάτων
20 γυμνάζων τὸν λόγον, εἶτα οὕτως διακρίνει ἕκαστον ἰδίᾳ ἀπὸ τῶν λοιπῶν,
ἵνα μή τις ὑπολάβῃ τὴν αὐτὴν τούτων ἀντίθεσιν εἶναι· καὶ γάρ τινες 15
ὑπενόησαν τὴν αὐτὴν ἀντίθεσιν εἶναι τῶν ἐναντίων τοῖς πρός τι· τὸ γὰρ
ἐναντίον φασὶ τῷ ἐναντίῳ ἐναντίον. λέγομεν οὖν πρὸς τοῦτο ὅτι τὰ μὲν
πράγματα τὰ ὑποδεχόμενα τὴν ἐναντιότητα ποιότητές εἰσιν, οἷον τὸ λευκὸν
25 καὶ τὸ μέλαν, τὸ θερμὸν καὶ τὸ ψυχρόν· οὐδεὶς γὰρ ἂν εἴποι τὸ λευκὸν 20
τῷ μέλανι λευκὸν οὐδὲ τὸ μέλαν τῷ λευκῷ μέλαν. αὐτὴ μέντοι ἡ ἐναν-
τιότης τῶν πρός τί ἐστι. καὶ οὐδέν γε ἄτοπον τὴν ἐναντιότητα τῶν πρός
τι οὖσαν ἐν ἑτέροις πράγμασι θεωρεῖσθαι· τὰ γὰρ πρός τι ἐλέγομεν μὴ
ἰδίαν ἔχειν ὑπόστασιν, ἀλλ' ἐν ταῖς ἄλλαις κατηγορίαις συνίστασθαι. 25

30 p. 11ᵇ21 Ὡς δὲ τὰ ἐναντία, οἷον τὸ κακὸν τῷ ἀγαθῷ.

Ἀγαθὸν ἐνταῦθα λέγει οὐ τὸ ὑπερούσιον (τούτῳ γὰρ οὐκ ἀντίκειται

2 alt. εἰσιν om. C 2. 3 τὴν ἡμετέραν — ἔχει om. C 4 τὰ ὄντα καὶ om. C
8 οὔτε ἀριστερά ἐστιν coll. C post ἐναντ. add. ἀντίθεσις a 9 ἢ μέλ. εἶναι
coll. C 12 τῆς om. C τυφλὸς] λευκὸς C 14. 15 κατάφασιν καὶ
ἀπόφασιν Fa 19 ἔννοιαν iter. C ἡμῖν τινα coll. C παραδ. αὐτῶν
coll. a 20 οὕτως om. F 21 ὑπολάβοι C 22 εἶναι om. a
24 ἐπιδεχ. C τὴν om. C 25 pr. καὶ om. CF γὰρ om. C ἂν om. F
28 θεωρεῖται F ἐλέγομεν] p. 104,28 28. 29 ἰδίαν μὴ coll. a 30 οἷον τῷ
κακῷ τὸ ἀγαθὸν καὶ τῷ ἀγαθῷ τὸ κακόν C 31 λέγων C τοῦτο F

τὸ κακόν), ἀλλὰ τὸ ἐναντίον τῷ κακῷ· διττὸν γὰρ τὸ ἀγαθόν, τὸ μὲν 128r
καθ' αὑτὸ τὸ οὐσιωδῶς ὑπάρχον θεῷ, ὅπερ οὐδὲν ἔχει ἐναντίον (τῇ | 30
οὐσίᾳ γὰρ οὐδέν ἐστιν ἐναντίον), τὸ δὲ κατὰ συμβεβηκὸς τὸ πρὸς ἀντι- 128v
διαστολὴν τοῦ κακοῦ λεγόμενον, λέγω δὴ τὸ ἐν ἡμῖν· ὥσπερ καὶ τὸ φῶς
5 εἰρήκαμεν διττόν, τὸ μὲν ἐν ἡλίῳ, ὅπερ οὐκ ἔχει ἀντικείμενον ἑαυτῷ
σκότος, ἐπειδὴ συμπληροῖ τὴν οὐσίαν τοῦ ἡλίου καὶ οὐσιῶδες αὐτοῦ ἐστι, 5
τὸ δὲ ἐν ἀέρι κατὰ συμβεβηκὸς αὐτῷ γινόμενον, ᾧ ἀντίκειται τὸ σκότος
καὶ αὐτὸ ἐπισυμβαῖνον τῇ ἀποστάσει τοῦ φωτὸς τῷ ἀέρι. καὶ ἡ γνῶσις
δὲ διττή, ὥς φησι καὶ ὁ Πλάτων, ἡ μὲν νοερά, ἥτις μόνως τὸ ἀληθὲς
10 οἶδεν, οὐκ ἔχει δὲ τὸ ψεῦδος ἀντικείμενον, ἡ δὲ διανοητικὴ καὶ ἔτι ἡ δόξα, 10
αἵτινες ἔχουσιν ἀντικείμενον τὸ ψεῦδος· ἔστι γὰρ καὶ διανοεῖσθαι καὶ δο-
ξάζειν ψευδῆ, νοεῖν μέντοι ψευδῆ οὐκ ἔστιν· εἴη γὰρ ἂν ὁ νοῦς ἀνόητος·
'ἢ γὰρ ἥψατο τοῦ νοητοῦ ὁ νοῦς ἢ οὐχ ἥψατο' φησὶν ὁ Ἀριστοτέλης·
ὥστε ἀναμάρτητος. τούτῳ οὖν ἐνταῦθα τῷ ἀγαθῷ, λέγω δὴ τῷ ἐν τῇ 15
15 γενέσει, λέγει ἀντικεῖσθαι τὸ κακόν.

p. 11b32 Ὅσα οὖν ἀντίκειται ὡς τὰ πρός τι, αὐτὰ ἅπερ ἐστὶ ἑτέρων λέγεται. |

Βούλεται δεῖξαι ὅτι ἡ τῶν πρός τι ἀντίθεσις οὐκ ἔστιν ἡ αὐτὴ 129r
τῇ τῶν ἐναντίων ἀντιθέσει, καὶ δείκνυσιν αὐτὸ συλλογισμῷ χρώμενος ἐν
20 δευτέρῳ σχήματι τούτῳ· τὰ ὡς πρός τι ἀντικείμενα αὐτὰ ἅπερ ἐστὶ ἑτέ-
ρων λέγεται, οἷον τὸ δεξιὸν ἀριστεροῦ δεξιὸν λέγεται, τὰ δὲ ὡς ἐναντία
ἀντικείμενα αὐτὰ ἅπερ ἐστὶν οὐ λέγεται ἑτέρων· τὸ γὰρ λευκὸν οὐ λέγεται
μέλανος λευκόν. τὰ ἄρα ὡς πρός τι ἀντικείμενα ἕτερά ἐστι παρὰ τὰ ὡς
ἐναντία ἀντικείμενα. 10

25 p. 11b38 Ὅσα δὲ τῶν ἐναντίων τοιαῦτά ἐστιν ὥστε ἐν οἷς πέφυκε γίνεσθαι ἢ ὧν κατηγορεῖται ἀναγκαῖον αὐτῶν θάτερον ὑπάρχειν, τούτων οὐδέν ἐστιν ἀνὰ μέσον. |

Διακρίνας τὴν τῶν πρός τι ἀντίθεσιν τῆς τῶν ἐναντίων βούλεται 129v

---

1 τὸ κακόν om. F τὸ ἐναντ. τῷ κακῷ] τῷ ἐναντίῳ τὸ κακόν C: τὸ ἐν γενέσει καὶ φθορᾷ, ὅπερ ἔχει ἐναντίον τὸ κακόν a 2 τὸ om. F 2. 3 τῇ οὐσία — ἐναντίον om. CF 3 τὸ (alt.) om. CF 5 ante ἑαυτῷ add. ἐν C 6 οὐσιῶδες a Paris. 1928 Vind. 10 (ἕτερ. καὶ οὐσία αὐτοῦ ἐστι in mrg.): οὐσία CF 7 ὧ] ὃ F 9 καὶ ὁ om. F Πλάτων] Theaet. p. 151 E sq. alias μόνη C 10 καὶ οὐκ ἔχει (δὲ om.) a 10. 11 αἱ δὲ διανοητικαί εἰσι δόξαι, αἵτινες a ἔτι] εἴ τι F 12 ψευδῶς (priore l.) a εἴη] ἢ C 13 γὰρ ἂν F φησὶν ὁ Ἀρ.] cf. Metaph. Θ 10 p. 1051b24. 25 16 μὲν οὖν C (cf. Arist. p. 11b24) ὡς τὰ πρός τι ἀντίκ. coll. C 17 τῶν ἑτέρων F: τῶν ἀντικειμένων C εἶναι λέγεται a 19 αὐτῷ F 20 τοιούτῳ a 21 λέγ. δεξιόν coll. a 21. 22 ὡς τὰ ἐναντ. ἀντ. C: ὡς ἀντικ. ὡς (superscr. m.2) ἐναντ. F 26 αὐτῶν om. C 27 οὐδὲν αὐτῶν (τούτων om.) Fa ἀνὰ μέσον] ἐναντίον a

νῦν αὐτὴν τῶν λοιπῶν διακρῖναι. καὶ πρότερον διακρίνει τῆς τῶν καθ' 129v
ἕξιν καὶ στέρησιν ἀντιθέσεως. ἐπειδὴ δὲ συμβάλλεται αὐτῷ πρὸς τοῦτο
ἡ τῶν διαφόρων εἰδῶν τῶν καθ' ἕξιν καὶ στέρησιν ἀντικειμένων ἀπαρίθ-
μησις, πρότερον παραδίδωσιν ἡμῖν τὰς τούτων διαφοράς. καὶ πρό γε
τούτων τὰ διάφορα τῶν ἐναντίων εἴδη παραδίδωσι· μέλλει γὰρ εὐθὺς καὶ
ταῦτα διακρίνειν τῶν καθ' ἕξιν καὶ στέρησιν ἀντικειμένων. μετὰ δὲ τὴν
ἀπαρίθμησιν τῶν διαφόρων εἰδῶν τῶν καθ' ἕξιν καὶ στέρησιν ἀντικειμένων
ἐκτίθεται καὶ τὰς διαφορὰς τῶν κατὰ κατάφασιν καὶ ἀπόφασιν ἀντικειμέ-
νων· τελευταῖον γὰρ καὶ ταῦτα διακρίνει τῶν λοιπῶν· εἰ γὰρ εἰδείημεν
τὰς διαφορὰς καὶ τὰ παρακολουθήματα ἑκάστης ἀντιθέσεως, ῥᾳδίως καὶ
τὴν πρὸς ἀλλήλας τῶν ἀντιθέσεων διαφορὰν εἰσόμεθα. πρῶτον οὖν, ὡς
εἴρηται, τὴν τῶν ἐναντίων διαίρεσιν παραδίδωσιν. ἔχει δὲ δυνάμει τοῦτον
τὸν τρόπον· τῶν ἐναντίων τὰ μὲν ἄμεσα οἷον ἄρτιον καὶ περιττόν, τὰ δὲ
ἔμμεσα ὡς τὸ λευκὸν καὶ τὸ μέλαν· μέσον γὰρ τὸ φαιὸν καὶ τὰ λοιπὰ
χρώματα. καὶ τῶν ἐμμέσων τὰ μὲν οὕτως ἔχει ὡς δυνατὸν εἶναι ἀμφό-
τερα ἀπεῖναι τοῦ ὑποκειμένου (οὐδὲ γὰρ ἀναγκαῖον πᾶν σῶμα λευκὸν
εἶναι ἢ μέλαν· δύναται γὰρ καὶ φαιὸν εἶναι), τὰ δὲ οὕτως ἔχει ὥστε ἐξ
ἀνάγκης τὸ ἕτερον ἀφωρισμένως παρεῖναι τῷ ὑποκειμένῳ, καὶ οὐχ ὅπερ
ἔτυχεν, ὡς τῷ πυρὶ ἡ θερμότης καὶ οὐδέποτε ἡ ψῦξις, τῇ δὲ χιόνι ἡ
ψυχρότης καὶ οὐδέποτε ἡ θερμότης διὰ τὸ οὕτως ἑκάτερον τούτων πεφυ-
κέναι. καὶ αὕτη μὲν ἡ διαίρεσίς τε καὶ ἡ ὑποδιαίρεσις. καὶ κατὰ ἄλλον
δὲ τρόπον ἐπιδιαιρεῖται τὰ ἔμμεσα ἐναντία· τῶν γὰρ | ἐμμέσων ἐναντίων 130r
τὰ μὲν ἔχουσι τὰ μέσα ὀνόμασι δηλούμενα, τὰ δὲ λόγῳ καὶ τῇ τῶν ἄκρων
ἀποφάσει· τοῦ μὲν γὰρ λευκοῦ καὶ μέλανος τὰ ἐν μέσῳ ὀνόμασιν ἐπικέ-
κληνται, οἷον τὸ φαιὸν τὸ ὠχρὸν τὸ ξανθὸν καὶ τὰ τοιαῦτα, τοῦ δὲ φαύ-
λου καὶ σπουδαίου τὸ ἀνὰ μέσον ὀνόματι μὲν οὐ δηλοῦται, τῇ δὲ τῶν
ἄκρων ἀποφάσει σημαίνεται τὸ μήτε φαῦλον μήτε σπουδαῖον.

---

4 πρός γε a 5 τὰ Paris. 2051: om. CFa μέλλει] ἀμέλει a 6 διακρίνει a 8 κατὰ om. F 9 pr. γὰρ] οὖν a διαφέρει C 10 καὶ τὰς διαφ. C 11 τὰς.. διαφορὰς a ἄλλας C 13 ἄμεσά ἐστιν a οἷον] ὡς τὸ a καὶ περ. Ammon.: περ. CF: καὶ τὸ περ. a 14 τὸ (ante μέλαν) om. F 16 ἢ ἀπεῖναι C οὐδὲ F²a: οὔτε C: ὥστε F¹ 17 ante pr. εἶναι add. ἅμα C: post εἶναι a 18 ἀφωρισμένον F 19 ὁμοίως καὶ τῇ χιόνι (δὲ om.) a 20 ψυχρ.] φύξις C καὶ οὐδέποτε ἡ θερμότης om. F 20. 21 πεφ. τούτων coll. CF 21 ἡ (alt.) om. C καὶ (alt.) om. C 23 λόγοις a 24. 25 ἐπικέκληται a 25 καὶ τὸ ξανθὸν CF 26 ὀνόμασι C 27 post σπουδαῖον add. τῶν ἐναντίων τὰ μὲν ἔμμεσά ἐστιν ὡς τὸ λευκὸν καὶ τὸ μέλαν, τὰ δὲ ἄμεσα ὡς (ἡ add. CF) ἀρτιότης καὶ (ἡ add. CF) περιττότης. τὰ μὲν (δὲ F) ἀμφότερα δύναται ἀπεῖναι τοῦ ὑποκειμένου, ὡς τοῦ ἀνθρώπου (τῷ ἀνθρώπῳ a) τὸ λευκὸν καὶ τὸ μέλαν, τὰ δὲ οὕτως ἔχει ὥστε τὸ ἕτερον ἐξ ἀνάγκης (τὰ δὲ — ἀνάγκης om. a) παρεῖναι τῷ ὑποκειμένῳ ὡς τῷ πυρὶ ἡ θερμότης. ἔτι τῶν ἐμμέσων ἐναντίων τὰ μὲν ἔχει τὰ μέσα ὠνομασμένα ὡς τὸ λευκὸν καὶ (τὸ add. a) μέλαν, οἷον τὸ φαιὸν (ἢ add. CF) τὸ ἐρυθρόν, τὰ δὲ ἔχει τὰ μέσα τῇ τῶν ἄκρων ἀποφάσει δηλούμενα ὡς τὸ φαῦλον καὶ σπουδαῖον τὸ μήτε φαῦλον μήτε σπουδαῖον in figuram digesta F: oratione continua Ca

p. 11b38 Ὅσα δὲ τῶν ἐναντίων τοιαῦτά ἐστιν ὥστε ἐν οἷς πέφυκε γίνεσθαι ἢ ὧν κατηγορεῖται. 130r

Τῶν ἐναντίων τὰ μὲν κατὰ συμβεβηκὸς ὑπάρχει τῷ ὑποκειμένῳ, τὰ δὲ καθ' αὑτό. διὰ μὲν οὖν τοῦ πεφυκέναι γίνεσθαι ἐδήλωσε τὰ κατὰ συμβεβηκὸς ὑπάρχοντα τῷ ὑποκειμένῳ, διὰ δὲ τοῦ κατηγορεῖσθαι τὰ καθ' αὑτὸ ὑπάρχοντα. τὸ δὲ καθ' αὑτὸ διττόν, ὡς αὐτός φησιν ἐν τοῖς Ἀποδεικτικοῖς· τὸ μὲν ὃ μέρος γίνεται τοῦ ὁρισμοῦ τοῦ ὑποκειμένου πράγματος, ὡς τὸ ζῷον τὸ λογικόν (ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχουσι τῷ ἀνθρώπῳ καὶ ἐν τῷ ὁρισμῷ αὐτοῦ παραλαμβάνονται), τὸ δὲ οὗ ἐν τῷ ὁρισμῷ τὸ ὑποκείμενον παραλαμβάνεται, ὡς τὸ ἄρτιον καὶ τὸ περιττόν, σιμότης καὶ γρυπότης· τό τε γὰρ ἄρτιον καὶ τὸ περιττὸν ὁριζόμενοι μνημονεύομεν τοῦ ὑποκειμένου, λέγω δὴ τοῦ ἀριθμοῦ· ἄρτιον γὰρ λέγομεν ἀριθμὸν | τὸν δίχα τεμνόμενον καὶ περιττὸν ἀριθμὸν τὸν μὴ δυνάμενον 130v δίχα διαιρεθῆναι. τὸν μέντοι ἀριθμὸν ὁριζόμενος οὐκ ἀνάγκη μνημονεύσεις ἀρτίου· ἀριθμὸς γάρ ἐστι πλῆθος καὶ συναγωγὴ μονάδων, καὶ εἰ τὰ μάλιστα, πᾶς ἀριθμὸς ἢ ἄρτιός ἐστιν ἢ περιττός. καὶ τὴν σιμότητα δὲ καὶ τὴν γρυπότητα ὁριζόμενοι ἐξ ἀνάγκης καὶ τοῦ ὑποκειμένου, τῆς ῥινός, μνημονεύομεν, σιμότητα λέγοντες εἶναι κοιλότητα ἐν ῥινί, γρυπότητα δὲ κυρτότητα ἐν ῥινί.

p. 12a1 Ἀναγκαῖον αὐτῶν θάτερον ὑπάρχειν, τούτων οὐδέν ἐστιν ἀνὰ μέσον.

Ὃ βούλεται λέγειν ἐν τούτοις, τοιοῦτόν ἐστιν· ὅσα τῶν ἐναντίων τοιαῦτά ἐστιν ὡς ἐξ ἀνάγκης δεῖν τὸ ἕτερον αὐτῶν ὑπάρχειν ἢ ὡς καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός, τούτων οὐδέν ἐστιν ἀνὰ μέσον, ὅσα δὲ τοιαῦτά ἐστιν ὡς δύνασθαι ἀμφότερα τὰ ἐναντία ἀπεῖναι τοῦ ὑποκειμένου, ἐν ᾧ ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκὸς ὑπάρχουσι, ταῦτα οὐκ ἄμεσά ἐστιν ἀλλ' ἔχει τι ἑαυτῶν ἀνὰ μέσον· παράδειγμα τοῦ μὲν προτέρου τῶν καθ' αὑτὸ ὑπαρχόντων ἐναντίων τὸ ἄρτιον καὶ τὸ περιττόν

---

1 lemma om. C δὲ om. F 3 τῶν γὰρ ἐναντ. a 4 πέφυκε a
6 αὐτός om. C 6. 7 τῇ ἀποδεικτικῇ a (cf. Anal. post. p. 73a34 sq.)
9 παραλαμβάνεται a οὗ] ὡς C 10 τὸ περ. καὶ τὸ ἄρτιον coll. C
12 γὰρ εἶναι F 13 τὸν (prius) om. F 14 τμηθῆναι C τοῦ . . ἀριθμοῦ F μέντοι γε a ὁριζομένου F: ὁριζόμενοι a 14. 15 μνημονεῦσαι Fa 15 τοῦ ἀρτίου a 17 τὴν om. C ἤγουν τῆς ῥινός a
18 μνημονεύσομεν F 18. 19 καὶ κοιλ. et καὶ κυρτ. C 20 τούτων om. CF 21 ἐστιν αὐτῶν F 23. 34 ἢ ὡς καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός a: ἐν οἷς πέφυκε γίνεσθαι ἢ οἷς καθ' αὑτὸ C: ἢ οἷς καθ' αὑτὸ F 25 εἶναι ἢ ἀπεῖναι C 26 ante ταῦτα add. τῷ ὑποκειμένῳ C 27 παραδείγματα F
28 τῶν μὲν a

(τούτων γὰρ οὐδέν ἐστιν ἀνὰ μέσον), τῶν δὲ κατὰ συμβεβηκὸς νόσος καὶ 130v
ὑγεία· καὶ γὰρ οὐδὲ τούτων ἐστί τι μεταξύ, ἀλλ' ἐξ ἀνάγκης δεῖ τὸ ἕτε- 20
ρον αὐτῶν παρεῖναι τῷ τοῦ ζῴου σώματι, ἵνα λάβωμεν πᾶσαν τὴν ὁπωσ-
οῦν ἐκ τοῦ κατὰ φύσιν ἔκβασιν. τοῦ δὲ δευτέρου παράδειγμα τῶν μὲν
5 καθ' αὑτὸ ὡς τῷ πυρὶ ἡ θερμότης τῷ ὕδατι ἡ ψυχρότης (ἔστι γάρ τι
τούτων ἀνὰ μέσον τὸ χλιαρόν), τῶν δὲ κατὰ συμβεβηκὸς ὡς ἐν ἡμῖν τὸ 25
μέλαν καὶ τὸ λευκόν· ἔστι γὰρ μεταξὺ τὸ φαιόν.

p. 12a6 Καὶ περιττὸν δὲ καὶ ἄρτιον ἀριθμοῦ κατηγορεῖται.

Πᾶς γὰρ ἀριθμὸς ἢ περιττός ἐστιν ἢ ἄρτιος, καὶ οὐκ ἂν ῥηθείη
10 ἀριθμὸς μὴ ὢν τοιοῦτος.

p. 12a13 Καὶ φαῦλον δὲ καὶ σπουδαῖον κατηγορεῖται μὲν καὶ 30
κατὰ ἀνθρώπου καὶ ἄλλων πολλῶν. |

Οὐ μόνον γὰρ ἐπ' ἀνθρώπου λέγομεν τὸ φαῦλον καὶ σπουδαῖον, 131r
ἀλλὰ καὶ ἐπ' ἄλλων, οἷον ἵππου.

15 p. 12a20 Ἐπ' ἐνίων μὲν οὖν ὀνόματα κεῖται τοῖς ἀνὰ μέσον.

Διὰ τούτων, ὡς ἤδη εἶπον, κατ' ἄλλον τρόπον τὴν τῶν ἐμμέσων
ἐναντίων ποιεῖται ὑποδιαίρεσιν, ἤδη πρότερον ὑποδιελὼν αὐτὰ ταῦτα εἴς τε 10
τὰ δυνάμενα ἄμφω ἀπεῖναι τοῦ ὑποκειμένου καὶ εἰς τὰ ἐξ ἀνάγκης πεφυ-
κότα κατὰ τὸ ἕτερον τῶν ἀντικειμένων ὑπάρχειν τῷ ὑποκειμένῳ.

20 p. 12a26 Στέρησις δὲ καὶ ἕξις λέγεται μὲν περὶ ταὐτόν τι.

Εἰρηκὼς τὰ διάφορα τῶν ἐναντίων σημαινόμενα, τρέπεται νῦν διδάξαι 25
περὶ τῆς στερήσεως καὶ τῆς ἕξεως· εἴρηται γὰρ ἡμῖν ὅτι συμβάλλε-
ται αὐτῷ ἡ τούτων διδασκαλία πρὸς τὴν διάκρισιν αὐτῶν τὴν πρὸς τὰ
πρός τι, οὐ μόνον δὲ ἀλλὰ καὶ εἰς τὴν τῶν ἄλλων ἀντικειμένων διάκρισιν.

---

1 γάρ] δὲ C ἀνὰ] ἐναντίον C 2. 3 δεῖ εἶναι τὸ ἕτ. (παρεῖναι om.) C 3 post σώματι add. νόσον ἢ ὑγείαν a ἵνα] an ἐὰν? ante πᾶσαν inseras νόσον 7 καὶ om. F 11 φαῦλος . . σπουδαῖος CF 11. 12 μὲν κατὰ ἀνθρώπων (καὶ om.) a 12 κατὰ ἄλλων Arist. 13 ἀνθρώπων Fa 14 ἐπὶ ἵππου a 15 μὲν οὖν] δὲ F 16 διὰ om. F τοιούτων F: τοῦτο a εἶπον] p. 172,21 20 ταὐτόν] αὐτό F 21 post ἐναντ. add. ἀντικείμενα a 22 τῆς (alt.) om. F εἴρηται] p. 172, 2 ἡμῖν ἤδη a 23 αὐτῷ] αὐτῶν F alt. πρὸς] εἰς a

p. 12a27 Καθόλου δὲ εἰπεῖν, ἐν ᾧ πέφυκεν ἡ ἕξις γίνεσθαι, 131r
περὶ τοῦτο λέγεται ἑκάτερον αὐτῶν. | 31

Τρία δὲ δεῖ παρατηρεῖν ἐπὶ τῆς ἕξεως καὶ τῆς στερήσεως, τό τε 131v
πεφυκὸς δέχεσθαι καὶ ὅτε πέφυκε δέχεσθαι, τοῦτ' ἔστιν ἐν τῷ χρόνῳ 10
5 ἐν ᾧ πέφυκε, καὶ ἐν ᾧ μέρει πέφυκε. περὶ ὃ δὲ πρᾶγμα λέγεται ἡ ἕξις,
περὶ τοῦτο καὶ ἡ στέρησις θεωρεῖται· οὐ γὰρ λέγομεν τὸν λίθον ἐστερῆ-
σθαι ὄψεως, ἐπειδὴ οὐδὲ ὅλως πέφυκεν ἔχειν ὄψιν, οὔτε τὸν ἄνθρωπον
κατὰ τοὺς πόδας λέγομεν ἐστερῆσθαι ὄψεως, ἐπειδὴ μὴ κατ' ἐκεῖνο τὸ 15
μέρος πέφυκεν ἔχειν τὴν ὄψιν. ἀλλ' οὐδὲ τὸ σκυλάκιον ἐστερῆσθαι ὄψεως
10 λέγομεν, ἐπειδὴ μὴ ἐν ἐκείνῳ τῷ καιρῷ πέφυκεν ἔχειν. λέγομεν δὲ τὸν
ἄνθρωπον κατὰ τὸ πρόσωπον ἐστερῆσθαι τῆς ὄψεως, ἐπειδὴ καὶ πέφυκεν
ἔχειν ὄψιν ὁ ἄνθρωπος καὶ ἐν τῷ μέρει τούτῳ καὶ τῷ χρόνῳ, ὁμοίως 20
καὶ νωδὸν λέγομεν οὐχ ἁπλῶς τὸν μὴ ἔχοντα ὀδόντας (οὐ γὰρ δήπου καὶ
τὸν ἄρτι τεχθέντα· οὐ γὰρ τηνικαῦτα πέφυκεν ἔχειν), ὥσπερ οὐδὲ τυφλὸν
15 τὸ σκυλάκιον, ἀλλὰ νωδὸν λέγομεν τὸν ὑπὸ γήρως, εἰ τύχοι, ἢ ὑπὸ πάθους 25
τῶν ὀδόντων ἐστερημένον.

p. 12a35 Τὸ δὲ ἐστερῆσθαι καὶ τὸ τὴν ἕξιν ἔχειν οὐκ ἔστι
στέρησις καὶ ἕξις. |

Βούλεται διὰ τούτων δεῖξαι ὁ φιλόσοφος ὅτι οὐκ ἔστι ταὐτὸν τὸ 132r
20 ἐστερῆσθαι τῇ στερήσει οὐδὲ τὸ ἕξιν ἔχειν τῇ ἕξει· αὐτὴ μὲν γὰρ ἡ
ἕξις καὶ ἡ στέρησις ποιότητές εἰσι, τὰ δὲ ἔχοντα τὴν ἕξιν καὶ τὴν στέρη-
σιν ποιά εἰσι παρωνύμως ἀπ' αὐτῶν λεγόμενα, ὥσπερ ἡ λευκότης καὶ τὸ 5
λευκόν· ἡ μὲν γάρ ἐστι ποιότης, τὸ δὲ ποιὸν παρωνύμως ἀπ' αὐτῆς
λεγόμενον. δείκνυσι δὲ τοῦτο ὁ φιλόσοφος, λέγω δὴ ὅτι ἕτερόν ἐστιν ἡ
25 ἕξις καὶ τὸ ἔχειν ἕξιν, οὐ διὰ τῶν γενῶν, λέγω δὴ τῆς ἕξεως καὶ τοῦ

---

1 ἡ ἕξις πέφ. coll. Arist. γενέσθαι F 3 ante τρία add. ἵνα εἴπῃ τὸ πρᾶγμα, ἐν ᾧ πέφυκέ φησιν, ἵνα δηλώσῃ τὸ μερικόν. τὸ δὲ πέφυκεν ἔχειν εἶπεν, ἵνα δηλώσῃ τὸν χρόνον. ἰστέον δὲ ὅτι ἡ στέρησις ἢ οὐσίας ἐστὶν ἢ δυνάμεως, ἢ ἕξεως ἢ ἐνεργείας, ἢ ὀρθότητος ἢ τελειότητος. ἀλλ' ἐπί τινων μὲν τὸ ὄνομα καὶ τὸ πρᾶγμά ἐστι στερητικόν, ὡς ἐπὶ τοῦ ἀναισθήτου, ἐπί τινων δὲ τὸ ὄνομα μόνον, ὡς ἐπὶ τοῦ ἀϊδίου καὶ τοῦ ἀσωμάτου τοῦ ἀντιδιαιρουμένου τῷ σώματι, ἐπί τινων τὸ πρᾶγμα μόνον, ἀλλ' οὐ τὸ ὄνομα, ὡς ἐπὶ κωφοῦ καὶ τυφλοῦ a (Marc. 217) δεῖ οὖν τρία C: τρία δεῖ a 4. 5 corrigas τὸν χρόνον ἐν ᾧ vel ἐν ᾧ χρόνῳ 7 ὄψεως om. F ἐπεὶ C 9 τὴν om. F 10 ἐπειδὴ μὴ ἐν ἐκείνω C²: ἐν ὑποκειμένω post lacunam X litt. C¹ 11 κατὰ] καὶ F 12 ἐν τῷ χρ. C ὁμοίως δὲ C 15 ante σκυλ. add. τυφλὸν C εἰ τύχοι, ἢ ὑπὸ [illegible] C τύχη F ἀπὸ πάθους F 17 τὸ (alt.) om. F ἔχειν τὴν ἕξιν coll. Fa ἔστι] ἔτι F 19 βουλ. δὲ a 20 τῇ ἕξει] ἕξις C 23 τὰ μὲν γὰρ ἔστι [illegible] ἡ δὲ ποιότης παρων. C αὐτῶν F 24 λεγόμενα C τὸ ὅτι C ἡ om. Fa 25 ἕξιν ἔχειν coll. F post ἕξεως add. καὶ τῆς στερήσεως F

τὴν ἕξιν ἔχοντος ἢ διὰ τῆς στερήσεως καὶ τοῦ τὴν στέρησιν ἔχοντος, ἀλλὰ 132r
διὰ τῶν εἰδῶν, λέγω δὴ τῆς ὄψεως καὶ τῆς τυφλότητος καὶ τοῦ τὴν ὄψιν 11
ἔχοντος καὶ τὴν τυφλότητα· σαφέστερα γὰρ τὰ εἴδη τῶν γενῶν· πρόδηλον
γὰρ ἐπὶ τούτων ὅτι ἕτερον μέν ἐστιν ἡ τυφλότης ἕτερον δὲ τὸ τὴν τυφλότητα
5 ἔχον, καὶ ἡ ὄψις μέν ἕτερον ὁ δὲ τὴν ὄψιν ἔχων ἕτερος· τὰ μὲν γὰρ ποιό- 15
τητές εἰσί τινες, τὰ δὲ οὐσίαι μετέχουσαι τούτων. εἰ τοίνυν ταῦτα διά-
φορα, καὶ τὰ τούτων γένη διάφορα· ὡς γὰρ ἔχει ἡ ὄψις καὶ ἡ τυφλότης
πρὸς τὸν ἔχοντα τὴν ὄψιν καὶ τὴν τυφλότητα, οὕτως ἔχει καὶ ἡ ἕξις καὶ
ἡ στέρησις πρὸς τὸν ἔχοντα τὴν ἕξιν καὶ τὴν στέρησιν, ἐπειδὴ καὶ ὡς 20
10 ἔχει ἡ ὄψις καὶ ἡ τυφλότης πρὸς τὴν ἕξιν καὶ τὴν στέρησιν, οὕτω καὶ ὁ
τὴν ὄψιν ἔχων καὶ ὁ τὴν τυφλότητα πρὸς τὸν τὴν ἕξιν ἔχοντα καὶ τὴν
στέρησιν· εἴδη γὰρ αὐτῶν εἰσιν. εἰ τοίνυν διάφορα ταῦτα, λέγω δὴ ἡ
ὄψις καὶ ὁ τὴν ὄψιν ἔχων καὶ ἡ τυφλότης καὶ ὁ τὴν τυφλότητα ἔχων, καὶ 25
τὰ τούτων γένη διάφορα, λέγω δὴ ἡ ἕξις καὶ ὁ τὴν ἕξιν ἔχων καὶ ἡ
15 στέρησις καὶ ὁ τὴν στέρησιν ἔχων.

p. 12a39 Ἔτι εἰ ἦν ἡ τυφλότης ταὐτὸν τῷ τυφλὸν εἶναι, κατη-
γορεῖτο ἂν ἀμφότερα κατὰ τοῦ αὐτοῦ. |

Καὶ ἄλλως δέ φησιν· εἰ ἦν ταὐτὸν ἡ ὄψις καὶ ὁ τὴν ὄψιν ἔχων, 132v
κατηγορεῖτο ἂν ἀμφότερα κατὰ τοῦ αὐτοῦ· ὡς γὰρ βροτὸς καὶ ἄνθρωπος
20 καὶ μέρος ταὐτὸν ὄντα καθ' ἑνὸς ὑποκειμένου κατηγορεῖται, οὕτω καὶ 10
ταῦτα εἰ ἦσαν ταὐτά, καθ' ἑνὸς ἂν καὶ τοῦ αὐτοῦ ὑποκειμένου κατηγο-
ροῦντο. νῦν δὲ τυφλότητα μὲν ἔχειν ἢ ὄψιν ὁ ἄνθρωπος λέγεται, τυφλό-
της δὲ ἁπλῶς ἢ ὄψις οὐ λέγεται. ὥστε καὶ ἐκ τούτου δῆλον ὅτι διάφορα
ταῦτά ἐστιν. ἀλλ' εἰ καὶ διάφορα ταῦτά ἐστι, φησίν, ἀλλ' οὖν τὸν αὐτὸν 15
25 ἔχει τῆς ἀντιθέσεως τρόπον· ὡς γὰρ ἀντίκειται ἡ ὄψις τῇ τυφλότητι, ὡς
στέρησις καὶ ἕξις, οὕτω καὶ τὸ ἔχειν ὄψιν τῷ τὴν τυφλότητα ἔχειν ἀντί-
κειται, καθ' ἕξιν καὶ στέρησιν.

---

1 ἢ διὰ τῆς στερήσεως καὶ τοῦ τὴν στέρησιν ἔχοντος om. CF 2 δὴ] δὲ F
4 τούτων] πάντων CF ἡ τυφλ. ἐστὶ coll. C 5 ἡ om. F
6 τινες om. F 7 ex τυφλότης corr. τύφλωσις F 11 ὁ om. a 12 ταῦτα
διαφ. coll. a ἡ eras. C 14 ἡ (ante ἕξις et στέρ.) om. CF 16 ἔτι] ἐπεὶ
CF ταὐτὸν ἡ τυφλ. coll. Fa τῷ] τὸ F: καὶ τῷ a εἶναι τυφλὸν coll. a
16. 17 κατηγοροῖτο C 17 κατὰ τοῦ] ἐπ' F: κατὰ a post lemma iter.
ἐπεὶ (sic) εἰ ἦν ταυτὸν ἡ τυφλότης τῷ τυφλὸν εἶναι, κατηγορεῖτο ἂν ἀμφότερα κατὰ τοῦ αὐ-
τοῦ a 19 κατηγοροῖτο C τοῦ αὐτοῦ Marc. 217: αὐτοῦ CF: τοῦ αὐτοῦ
ὑποκειμένου a 22 ὁ om. F 25 ὄψις τυφλ. (ἡ et τῇ om.) a
25. 26 ante ὡς στέρ. add. καὶ F; ὡς στέρησις καὶ ἕξις eicias 26 οὕτω καὶ τὸ
τυφλὸν εἶναι τῷ ἔχειν ὄψιν C

p. 12ᵇ6 Οὐκ ἔστι δὲ οὐδὲ τὸ ὑπὸ τὴν κατάφασιν καὶ ἀπόφασιν κατάφασις καὶ ἀπόφασις. 132ᵛ 20

Ὅτι δὲ οὐδὲ ἡ κατάφασις | καὶ ἀπόφασις ταὐτόν ἐστι τοῖς ὑπ' αὐ- 133ʳ
τῶν σημαινομένοις, δείκνυσι τοῦτο ἐκ τοῦ τὴν μὲν ἀπόφασιν καὶ τὴν κατά-
5 φασιν λόγους εἶναι, τὰ δὲ ὑπ' αὐτῶν σημαινόμενα πράγματα· τὸ μὲν γὰρ
'Σωκράτης κάθηται' λόγος ἐστίν, αὐτὸς δὲ ὁ καθήμενος Σωκράτης 5
πρᾶγμά ἐστιν· οὐσία γάρ ἐστι μετά τινος ἐνεργείας, λέγω δὴ τοῦ καθῆ-
σθαι. καὶ ταῦτα μέντοι ἀντίκειται ἀλλήλοις τῷ αὐτῷ τῆς ἀντιθέσεως
τρόπῳ· καὶ γὰρ ὥσπερ ἀντίκειται ὁ λόγος ὁ λέγων 'Σωκράτης κάθηται'
10 τῷ λέγοντι 'Σωκράτης οὐ κάθηται', οὕτως καὶ ὁ καθήμενος Σωκράτης 10
τῷ μὴ καθημένῳ ἀντίκειται· ἑκατέρα γὰρ τῶν ἀντιθέσεων ὡς κατάφασις
καὶ ἀπόφασις ἀντίκειται.

p. 12ᵇ16 Ὅτι δὲ ἡ στέρησις καὶ ἡ ἕξις οὐκ ἀντίκεινται ὡς τὰ πρός τι, φανερόν.

15 Διδάξας ἡμᾶς ἰδίᾳ περὶ ἑκάστης ἀντιθέσεως νῦν τὴν διάκρισιν αὐτῶν
ποιεῖται καὶ διακρίνει τὰ ὡς πρός τι ἀντικείμενα τῶν καθ' ἕξιν καὶ στέρη-
σην ἀντικειμένων· τῶν γὰρ ἐναντίων ἤδη αὐτὰ διέκρινε. πάλιν δὲ ἐπὶ
τῶν εἰδῶν γυμνάζει τὸν λόγον ὡς σαφεστέρων, λέγω δὴ τῆς ὄψεως καὶ
τῆς τυφλότητος. καὶ πρῶτον μὲν δείκνυσιν οὕτως συλλογισμῷ πάλιν χρώ- 25
20 μενος ἐν δευτέρῳ σχήματι· τὰ πρός τι αὐτὰ ἅπερ ἐστὶ τοῦ ἀντικειμένου
λέγεται (ὁ γὰρ πατὴρ υἱοῦ λέγεται πατὴρ καὶ τὸ δεξιὸν τοῦ ἀριστεροῦ
δεξιόν), τὰ δὲ καθ' ἕξιν καὶ στέρησιν αὐτὰ ἅπερ ἐστὶν οὐ λέγεται τῶν 30
ἀντικειμένων· ἡ γὰρ ὄψις οὐ λέγεται τυφλό|τητος εἶναι ὄψις. τὰ ἄρα ὡς 133ᵛ
πρός τι ἀντικείμενα ἕτερά εἰσι τῶν καθ' ἕξιν καὶ στέρησιν ἀντικειμένων.
25 καὶ οὕτω μὲν πρῶτον ἔδειξεν ἀπὸ τοῦ σαφεστέρου καὶ ὁμολογουμένου,
λέγω δὴ ἀπὸ τοῦ τὴν ὄψιν μὴ λέγεσθαι τυφλότητος ὄψιν, εἶτα ὕστερον
δείκνυσι καὶ ἀπὸ τοῦ ἀμφιβόλου ὅτι οὐδὲ ἡ τυφλότης ὄψεως τυφλότης 5
λέγεται· τοῦτο γὰρ δοκεῖ λέγεσθαι.

p. 12ᵇ18 Οὐδὲ ἄλλως οὐδαμῶς ἡ ὄψις πρὸς αὐτὸ λέγεται.

30 Ἀντὶ τοῦ 'ὡς δ' ἂν ὀνοματοποιήσῃς, οὐδαμῶς πρὸς τὸ ἀντικείμενον

1 ἀπόφασιν καὶ κατάφασιν coll. Arist. 2 ἀπόφασις καὶ κατάφασις coll. C Arist.: ταυτὸν καταφάσει a post lemma iter. οὐκ ἔστιν οὐδὲ τὸ ὑπὸ τὴν κατάφασιν καὶ ἀπόφασιν κατάφασις καὶ ἀπόφασις a 3 δὲ om. F ἡ ἀπόφ. C 4 τὴν (alt.) om. C 7 pr. ἐστιν om. F 8 ἀντίκεινται C 13 ἀντίκειται a Arist. 18 σαφέστερον F: σαφεστέρων ὄντων a 21 post ἀριστ. add. λέγεται a 25 μὲν om. C 27 ἡ om. CF 29 ἡ ὄψις om. Arist.

λέγεται, κἄν τε πρὸς δοτικὴν ἢ ἄλλην πτῶσιν ἀποδῷς· οὐδὲ γὰρ ἡ ὄψις 133ᵛ
τῇ τυφλότητί ἐστιν ὄψις'.

p. 12ᵇ19 Ὡσαύτως δὲ οὐδὲ ἡ τυφλότης λέγοιτ' ἂν τυφλότης ὄψεως.

Δείξας ἐπὶ τοῦ ὁμολογουμένου, λέγω δὴ τῆς ὄψεως, ὅτι οὐ λέγεται πρὸς τὸ ἀντικείμενον, νῦν ἐπὶ τοῦ ἀμφιβόλου δείκνυσιν· ἡ γὰρ τυφλότης στέρησις μὲν ὄψεως λέγεται, τυφλότης δὲ ὄψεως οὐδαμῶς. μήποτε δὲ οὐ καλῶς φαμεν τὴν τύφλωσιν μὴ λέγεσθαι ὄψεως τύφλωσιν· εἰ γάρ, ὡς καὶ αὐτός φησι, στέρησιν ὄψεως λέγομεν, τοῦ γένους δὲ κατηγορουμένου τινὸς ἀνάγκη πᾶσα καὶ τῶν εἰδῶν τι κατηγορεῖσθαι (οὐ γὰρ οἷόν τέ τι εἶναι ζῷον ὃ μὴ πάντως ἢ ἄνθρωπος ἔσται ἢ ἵππος ἤ τι τῶν λοιπῶν ζῴων, ὁμοίως δὲ οὐδὲ στέρησιν εἶναι ἐνδέχεται, εἰ μὴ πάντως εἴη τι οὗ εἶναι λέγεται ἡ στέρησις)· ἀνάγκη οὖν πᾶσα καὶ τὴν κατ' εἶδος ἀντικειμένην τῇ ἕξει ἐκείνῃ στέρησιν ⟨στέρησιν⟩ ἐκείνης εἶναι λέγεσθαι· εἰ γὰρ ἡ τῆς 134ʳ ὄψεως στέρησις οὐκ ἔστιν ἁπλῶς καὶ καθόλου πάντως στέρησις, ἀλλὰ τὶς δηλονότι στέρησις, τοῦτ' ἔστι τύφλωσις· εἰ οὖν ἡ τῆς ὄψεως στέρησις τίς ἐστι στέρησις, αὕτη δὲ ἡ τὶς στέρησις οὐδὲν ἄλλο ἐστὶν ἢ τύφλωσις, ἡ ἄρα τύφλωσις ὄψεώς ἐστι τύφλωσις· πῶς γὰρ οἷόν τε ἦν τοῦ γένους τινὸς εἶναι λεγομένου μὴ καὶ τὸ εἶδός τινος εἶναι λέγεσθαι, εἴπερ ἐν ὑπάρξει εἶναι τὰ γένη ἄνευ τινὸς τῶν εἰδῶν ἀδύνατον; ἢ οὖν οὐδὲ τὸ γένος, τοῦτ' ἔστιν ἡ στέρησις, λέγεται ὄψεως εἶναι στέρησις, ἢ εἰ τὸ γένος, πάντως καὶ τῶν εἰδῶν τι. ἀλλ' ἴσως εἴποι ἄν τις πρὸς τοῦτο ὡς εἴπερ λέγομεν γνώσεως στέρησιν, ἀνάγκη ὅσον ἐπὶ τῷ λόγῳ τούτῳ εἶναί τι τῶν εἰδῶν τῆς στερήσεως ταύτης ὃ τῆς γνώσεως κατηγορηθήσεται ἢ πρὸς αὐτὴν λεχθήσεται· νῦν δὲ τοῦ γένους κατηγορουμένου τῆς γνώσεως, εἶδός τι τῆς αὐτῆς κατηγορούμενον οὐχ εὑρίσκομεν. ἔστιν οὖν πρὸς τοῦτο εἰπεῖν ὅτι μηδ' ἔχομεν τὴν ἀντικειμένην τῇ γνώσει στέρησιν ὠνομασμένην, ὥσπερ ἡ τῇ ὄψει ἀντικειμένη στέρησις τυφλότης καλεῖται, ὡς εἴπερ ἦν, ἐλέχθη ἂν κἀκείνη πρὸς τὴν γνῶσιν, ὡς ἡ τυφλότης ὄψεως λέγεται τυφλότης· ὁπηνίκα γὰρ τὰς στερήσεις κατὰ στερήσεις τῶν ἕξεων ὀνομάζο-

1 post λέγεται add. δηλοῖ τοίνυν τὸ οὐδαμῶς ὅτι a 1. 2 οὐδὲ — ἐστιν ὄψις om. C lemma incipit ab ἡ γὰρ ὄψις (p. 12ᵇ18) C 3 λέγεται (ἂν om.) Fa 5 ante δείξας add. ex Marc. 217 οὐ γὰρ ἡ ὄψις τυφλότης γίνεται, εἰ καὶ ὀφθαλμὸς τυφλὸς γίνεται. οὐ λέγεται οὖν ἡ τυφλότης ὄψεως τυφλότης, ἀλλ' ἡ τυφλότης ὄψεως στέρησις. οὐδὲ γὰρ τὸ σκότος φωτὸς σκότος λέγεται, ἀλλὰ φωτὸς στέρησις. οὐδὲ γὰρ τὸ φῶς σκότος γίνεται, ἀλλ' ὁ ἀὴρ σκοτεινός, εἰ καὶ δι' ἐπιπρόσθησιν φωτός. ἰστέον δὲ ὅτι ἡ ὄψις οὐ μόνον τὴν ὀπτικὴν ἐνέργειαν δηλοῖ, ἀλλὰ καὶ τὸ ὑποκείμενον, τὸν ὀφθαλμόν. a ἐπὶ] ἀπὸ C 6 post τυφλ. add. φησὶ a 7 λέγεται om. C alt. δὲ om. F 8. 9 μὴ λέγεσθαι — φησι om. CF 10 post εἰδῶν add. αὐτοῦ a post κατηγορεῖσθαι add. τινος a τι (alt.) om. F 14 στέρησιν inserui εἰ γὰρ ἡ] ἡ γὰρ a, fort. recte, nisi malis εἰ γὰρ — τύφλωσις (16) eicere 20 post τινὸς add. εἶναι a 22 ὡς] ὥσπερ F 23 ὅσα C τοῦτο F 26 εὑρίσκ. οὐδαμῶς (οὐχ om.) C

μεν, ὡς ἀγνωσίαν καὶ ἀμαθίαν καὶ τὸ ἄσοφον καὶ τὰ παραπλήσια, οὐκέτι 134r
δηλονότι τοῦ ἀντικειμένου τὰ τοιαῦτα εἶναι λέγεται, ἀλλὰ τοῦ δεκτικοῦ· οὐ
γὰρ ἡ ἀγνωσία γνώσεως ἀγνωσία λέγεται, ἀλλὰ ψυχῆς ἀγνωσία, καὶ
ἀμαθία καὶ τὰ λοιπά· ἔχει γὰρ ἐν ἑαυτοῖς τὸ ἀντικείμενον, οὗ τὴν στέρη- 25
5 σιν κατηγορεῖ. ἀλλ' εἰ καὶ ἡ στέρησις αὐτὸ ὅπερ ἐστὶ τοῦ ἀντικειμένου
εἶναι λέγεται, οὐ μόνον αὐτὸ τὸ γένος, ἀλλ' εἴ τι καὶ τῶν ὑπὸ ταύτην
εἰδῶν εἴη ὠνομασμένον, ἀλλ' οὖν οὐκέτι καὶ ἡ ἕξις αὐτὸ ὅπερ ἐστὶ τῆς
στερήσεως | εἶναι λέγεται, τῶν δὲ πρός τι ἑκάτερον τῶν ἀντικειμένων 134v
αὐτὸ ὅπερ ἐστὶ τοῦ ἀντικειμένου εἶναι λέγεται, ὡς ἐφεξῆς φησιν ὁ Ἀρι-
10 στοτέλης. ὥστε ταύτῃ ἂν διακρίνοιτο τὰ καθ' ἕξιν καὶ στέρησιν ἀντικεί- 5
μενα τῶν πρός τι. καὶ τοῦτο δ' ἄν τις εἴποι ὅτι οὐχ ὃν τρόπον τὰ πρός τι
αὐτὰ ἅπερ ἐστὶ τῶν ἀντικειμένων εἶναι λέγεται, οὕτως καὶ ἡ στέρησις
τῆς ἕξεως εἶναι λέγεται στέρησις· τὰ μὲν γὰρ πρός τι ὡς συναίτια ἀλλή-
λων οὕτως ἑκάτερον τῶν ἀντικειμένων τοῦ λοιποῦ εἶναι λέγεται, ἡ δὲ
15 στέρησις τῆς ἕξεως εἶναι λέγεται οὐχ ὡς τοῦ εἶναι αὐτῆς τοὐναντίον δὲ 10
τοῦ μὴ εἶναι αἰτία οὖσα. μήποτε δὲ ἔστι συνηγορῆσαι τῷ Ἀριστοτέλους
λόγῳ φάσκοντι τὴν μὲν στέρησιν ὄψεως εἶναι λέγεσθαι στέρησιν τυφλό-
τητα δὲ ὄψεως μηκέτι· ἰδοὺ γοῦν καὶ φωτὸς μὲν στέρησίν φαμεν, σκότος
δὲ φωτὸς οὐκέτι, καίτοι τὸ σκότος οὐδὲν ἄλλο ἐστὶν ἢ φωτὸς στέρησις, 15
20 ὡς ἡ τυφλότης ὄψεως στέρησις, ὡς ἐν ἑτέροις ἡμῖν διὰ πλειόνων δέδει-
κται. ἀλλ' ὥσπερ πήρωσιν μὲν σκελῶν φέρε λέγομεν, οὐκέτι δὲ πήρωσιν
ἀρτιότητος ἢ ὀρθότητος ἢ εὐθύτητος, ἢ ὅπως ἄν τις τὴν τῶν σκελῶν
κατὰ φύσιν θέσιν καλῇ, ὀνομάσειεν, οὕτω δηλονότι καὶ σκότος μὲν ἀέρος 20
λέγομεν, σκότος δὲ φωτὸς οὐκέτι. οὐδ' ἄρα τύφλωσιν ὄψεως, ἀλλ' εἴπερ
25 ἄρα, ὀφθαλμῶν τύφλωσιν, ὡς καὶ πήρωσιν ὀφθαλμῶν· ὁ μὲν γὰρ ὀφθαλ-
μὸς τὸ μόριον σημαίνει τὸ μετέχον τῆς ὄψεως, ἡ δὲ ὄψις αὐτὴν τὴν
δύναμιν. ἀλλ' ἐπειδὴ καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ποιοτήτων πολλάκις 25
ὁμωνύμως τῇ ποιότητι τὸ πεποιωμένον ὀνομάζομεν, λευκὸν λέγοντες καὶ τὸ
λελευκασμένον σῶμα καὶ αὐτὴν τὴν λευκότητα, καὶ θερμὸν καὶ ψυχρὸν
30 ὁμοίως καὶ βαρὺ καὶ κοῦφον καὶ τὰ λοιπά, οὕτω δὲ καὶ ὄψιν οὐ μόνον
ἐπὶ τῆς δυνάμεως ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν ὀργάνων φέρομεν, τοὺς 30
ὀφθαλ|μοὺς ὄψιν καλοῦντες, τὴν δὲ τύφλωσιν τῶν ὀφθαλμῶν εἶναι 135r
λέγομεν κυρίως, λέγονται δέ, ὡς εἶπον, οἱ ὀφθαλμοὶ ὄψις· διὰ τοῦτο
ἄρα καὶ τύφλωσιν ὄψεως λέγομεν οὐκ ἐπὶ τῆς δυνάμεως ἀλλ' ἐπὶ
35 τῶν ὀργάνων φέροντες τὸ τῆς ὄψεως ὄνομα. ὁ δὲ Ἀριστοτέλης φησὶ 5
πρὸς τὴν ἀντικειμένην δύναμιν μὴ λέγεσθαι τὴν τύφλωσιν, ὅπερ
ἐστὶν ἀληθές.

6 εἶναι om. C τούτων C 7 ὀνομαστέον F 8 post τῶν δὲ add. τῶν F
10 ταύτης F 16 τῷ τοῦ ἀριστ. a 18 γοῦν] γὰρ F 19 καίτι F
20 post alt. ὡς add. καὶ C ἐν ἑτέροις] quo nos releget nescio 21 alt.
πήρωσιν] στέρησιν C 22 ἢ εὐθ. ἢ ὀρθ. coll. a 23 καλεῖ C¹: καλῶν F
ὀνομάσειεν eicias οὕτω om. F 28 ante λευκὸν add. σῶμα a 32 δὲ
om. F 33 οἱ] κυρίως a ὄψεις CF 34 ἀλλ'] ἀλλὰ καὶ F

Λείπεται ἄρα ἐνεῖνο ἡμᾶς ἐπιλύσασθαι, πῶς τοῦ γένους αὐτῆς, λέγω 135ʳ
τῆς στερήσεως, τῆς ἕξεως εἶναι λεγομένης οὐχὶ καὶ τῶν τῆς στερήσεως
ἕκαστον εἰδῶν τινὸς ἀντικειμένης ἕξεως λέγεται, εἴπερ ἀληθὲς ὡς ἐφ' ὧν
τὸ γένος λέγεται, πάντως καὶ τῶν ὑπὸ τὸ γένος εἰδῶν τι κατηγορεῖται.
φημὶ οὖν ὅτι αἱ μὲν ἕξεις πράγματά τινά εἰσιν εἰδοποιηθέντα καὶ ὑφε-
στηκότα, καὶ διὰ τοῦτο εἰκότως γένος οὖσα ἡ ἕξις ἔχει καὶ τὰ ὑποκεί-
μενα εἴδη ὑπάρχοντα καὶ εἶδός τι φυσικὸν ἔχον ἕκαστον, ἡ δὲ στέρησις
οὐδὲν ἕτερόν ἐστιν ἢ ἀπουσία τῆς ἕξεως, ὥστε αὐτὴ κατὰ τὸν ἑαυτῆς
λόγον τὸ μὴ ὄν ἐστι. πῶς οὖν τοῦ μὴ ὄντος ὡς ὑπάρχοντός τινα εἴδη
ζητοῦμεν; ὥστε εἰ καὶ ἔστι τις εἰδικωτέρα τινὶ ἕξει στέρησις ἀντικειμένη,
οὐχ ὡς ὄν τι ἀντίκειται ἀλλὰ πάλιν ὡς μὴ ὂν κατὰ ἀπόφασιν τῆς ἕξεως,
οἷον τῷ σοφῷ τὸ ἄσοφον καὶ τῷ ὀδόντας ἔχοντι τὸ νωδόν, παρὰ τὸ νῶ
στερητικὸν καὶ τὸν ὀδόντα. καὶ αὗται μὲν οὖν αἱ μερικαὶ στερήσεις ὁμοίως
τῷ γένει κατὰ ἀπόφασιν τῆς ἕξεως λέγονται. εἴ που δὲ εὑρεθείη στερήσει
τινὶ κείμενον ὄνομα, ὡς ἡ ἀπουσία τῆς ὄψεως τύφλωσις ὀνομάζεται ἢ ἡ
τοῦ φωτὸς ἀπουσία σκότος, οὐ τῆς ἀπουσίας τῆς ἕξεως κατηγορεῖται τὸ
τοιοῦτον ὄνομα, ἀλλὰ τοῦ πάθους τοῦ περὶ τὸ δεκτικὸν γενομένου ἢ ἄλλου
τινὸς ἐπισυμβαίνοντος τῇ ἀπουσίᾳ τῆς ἕξεως, ὥσπερ τὸ σκότος παρὰ τὸ
σκιάζειν εἴρηται ἡ δὲ σκιὰ ἐπιπρόσθησίς ἐστι φωτός, ἥτις ἐν τῷ ἀέρι ἢ
ἁπλῶς ἐν τῷ | διαφανεῖ συμβαίνει, ἤ, ὡς Ἡρωδιανός φησι, παρὰ τὸ 135ᵛ
σχέθειν· ἐπέχει γὰρ ἡμῶν τὸ εἰδέναι ἢ τῶν προόδων καὶ τῶν πολλῶν
ἐνεργειῶν ἐπιχείρησις. καὶ ἡ τύφλωσις δὲ ἴσως παρὰ τὸ τύφειν καὶ ὁ τυφλὸς
οἱονεὶ τυφὸς ὁ ὑποκεκαυμένας τὰς ὄψεις ἔχων ("κενεαὶ γάρ," φησὶν ὁ ποιη-
τής, "ὑποσμύχονται ὀπωπαί"), ὡς καὶ ὁ πηρὸς παρὰ τὸ πήθω — πήσω
— πηρός, ὡς παρὰ τὸ ὀκνῶ — ὀκνήσω — ὀκνηρός. εἰκότως ἄρα τὰ τοιαῦτα
τῶν ὀργάνων εἶναι λέγεται καὶ οὐχὶ τῶν ἕξεων· πάθη γὰρ τῶν ὑποκει-
μένων σωμάτων εἰσὶ ταῖς ἕξεσι καὶ οὐχὶ αὐτῶν τῶν ἕξεων.

p. 12ᵇ21 Ἔτι τὰ πρός τι πάντα πρὸς ἀντιστρέφοντα λέγεται.

Πάλιν ἑτέρῳ συλλογισμῷ δείκνυσιν ὅτι ἕτερά εἰσι τὰ ὡς πρός τι ἀντικεί-
μενα τῶν κατὰ στέρησιν καὶ ἕξιν ἀντικειμένων· λέγει γὰρ δυνάμει οὕτως·

2 λεγομένων F 2. 3 τῶν τῆς στερ. ἕκαστον εἰδῶν] τῶν στερήσεων ἕκαστον εἶδος C: τῶν εἰδῶν τῆς στερήσεως ἕκαστον εἶδος a 3 τινὸς τῆς F 5 τινά om. C 6. 7 ὑποκείμ. αὐτῇ a 10 ἰδικωτ. C 12. 13 παρὰ — ὀδόντα eicias 13 post στερητ. add. μόριον F μὲν om. F οὖν om. C 14 εἴ που] ὅπου C 17 περὶ] παρὰ a 18 ἐπισυμβεβηκότος a 19 τῷ om. F 20 Ἡρωδιανός] fr. 673 (II 380, 15) Lentz, qui cum Lobeckio (Rhem. p. 89) non ad σκιά sed ad σκότος haec referre debebat 21 σχεθὲν C ἡμῶν τὸ εἰδέναι] ἡμᾶς τοῦ θεάσασθαι Laur. 72,1 (correctione, ut videtur, necessaria) προσόδων a 22 ἐπιχείρησις C: ἐπέχει Fa: an ἐπιχειρήσεως? 23 ἐπικεκαυμ. a 23. 24 ὁ ποιητής om. CF (cf. Apoll. Arg. II 415) 24 ὑποσμήχονται a 25 ὀκνῶ om. CF 26 εἶναι om. C λέγονται Fa 26. 27 πάθη — ἕξεων om. C 27 σωμάτων Paris. 2051: αὐτῶν CFa 28 πάντα om. F 29 ἐστι a

τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται (ὥσπερ γὰρ ὁ πατὴρ υἱοῦ πατήρ, οὕτω καὶ ὁ υἱὸς πατρὸς υἱός), τὰ δὲ καθ' ἕξιν καὶ στέρησιν οὐ λέγεται πρὸς ἀντιστρέφοντα· οὐ γὰρ λέγεται ἡ ὄψις τυφλότητος εἶναι ὄψις. τὰ ἄρα πρός τι ἕτερά εἰσι τῶν καθ' ἕξιν καὶ στέρησιν ἀντικειμένων.

p. 12b26 Ὅτι δὲ οὐδὲ ὡς τὰ ἐναντία ἀντίκειται τὰ κατὰ στέρησιν καὶ ἕξιν λεγόμενα, ἐκ τῶνδε δῆλον.

Διέκρινε τὴν τῶν πρός τι ἀντίθεσιν τῆς τῶν ἐναντίων ἀντιθέσεως ⟨καὶ τῆς⟩ τῶν κατὰ στέρησιν καὶ ἕξιν· εἶτα νῦν διακρίνει τὰ κατὰ στέρησιν καὶ ἕξιν ἀντικείμενα τῶν ὡς ἐναντίων ἀντικειμένων. καὶ ὤφειλε μὲν ὅσον ἐπὶ τῇ ἀκολουθίᾳ τὰ πρός τι διακρῖναι τῶν κατὰ κατάφασιν καὶ ἀπόφασιν ἀντικειμένων, ἐπειδὴ δὲ μέλλει ἑνί τινι λόγῳ διακρίνειν τὰ | κατὰ κατάφασιν 136r καὶ ἀπόφασιν ἀντικείμενα τῶν λοιπῶν, διὰ τοῦτο νῦν ὑπερτίθεται διακρῖναι τὰ πρός τι τῆς καταφάσεως καὶ ἀποφάσεως, ἵνα μὴ τὰ αὐτὰ λέγειν ἀναγκάζηται. πάλιν δὲ ἀναλαμβάνει τὴν ἀπαρίθμησιν τῶν εἰδῶν τῶν ἐναντίων· βούλεται γὰρ ἀντικείμενα πάντων τῶν ἐναντίων τὰ καθ' ἕξιν καὶ στέρησιν.

p. 12b27 Τῶν μὲν γὰρ ἐναντίων, ὧν μηδέν ἐστιν ἀνὰ μέσον, ἀναγκαῖον, ἐν ᾧ πέφυκε γίνεσθαι ἢ ὧν κατηγορεῖται, θάτερον αὐτῶν ὑπάρχειν.

Πάντως γὰρ ἀνάγκη τὸν ἀριθμὸν ἢ ἄρτιον εἶναι ἢ περιττὸν καὶ νοσεῖν ἢ ὑγιαίνειν τὸ ζῷον.

p. 12b32 Ὧν δὲ ἔστι τι ἀνὰ μέσον, οὐδέποτε ἀνάγκη παντὶ ὑπάρχειν θάτερον.

Οὐδὲ γὰρ ἐξ ἀνάγκης πᾶν σῶμα ἢ λευκόν ἐστιν ἢ μέλαν (ἔστι γὰρ καὶ τὸ φαιόν) ἢ πάλιν θερμὸν ἢ ψυχρόν· ἔστι γὰρ καὶ τὸ χλιαρόν.

p. 12b35 Ἔτι δὲ καὶ τούτων ἦν τι ἀνὰ μέσον, ὧν μὴ ἀναγκαῖον ἦν θάτερον ὑπάρχειν τῷ δεκτικῷ, εἰ μὴ οἷς φύσει τὸ ἓν ὑπάρχει.

Τοῦτο ἦν τὸ τρίτον τῶν ἐναντίων εἶδος, ὅπερ ἔχει μέν τι ἀνὰ μέσον, πλὴν τὸ ἕτερον τῶν ἐναντίων ἐξ ἀνάγκης | πάρεστι τῷ δεκτικῷ διὰ τὸ 136v

1 γὰρ] καὶ C: om. F 2 δὲ om. C 4 ἐστι a 5 ἀντίκεινται C 7 ante τῶν πρός add. περὶ C 8 καὶ τῆς inserui 9 ἐναντία C 10 τὰ πρός τι om. C ἀπόφ. καὶ κατάφ. coll. a 11 διακρίνειν post ἀπόφ. (12) coll. C 12 ἀντικείμενα om. C 13 ἵνα γὰρ F 14 δὲ om. F 15 βούλεται — ἐναντίων τὰ om. F an γὰρ ⟨δεῖξαι⟩? 24 ἢ (prius) om. F 25 θερμὸν om. F 27 ἦν om. F

κατὰ φύσιν αὐτῷ ὑπάρχειν, οἷον τῷ πυρὶ τὸ θερμόν, τῇ χιόνι τὸ λευκόν. 136v
οὐδέποτε δὲ ἑκάτερον τῶν ἐναντίων ἐνδέχεται ἀπεῖναι τοῦ δεκτικοῦ· ἀδύνατον γὰρ τὸ πῦρ μὴ θερμὸν εἶναι ἢ τὴν χιόνα μὴ ψυχρὰν ἢ μὴ βαρεῖαν τὴν γῆν ἢ τὸ πῦρ μὴ κοῦφον.

5 p. 13a3 Ἐπὶ δὲ τῆς στερήσεως καὶ τῆς ἕξεως οὐδέτερον τῶν εἰρημένων ἀληθές.

Ἀναμνήσας ἡμᾶς τῶν διαφόρων τρόπων τῆς τῶν ἐναντίων ἀντιθέσεως νῦν δείκνυσιν ὅτι κατ' οὐδένα τῶν εἰρημένων τρόπων δύναται ἡ αὐτὴ εἶναι τῶν ἐναντίων ἀντίθεσις τῇ κατὰ στέρησιν καὶ ἕξιν· καὶ πρότερόν γε αὐτὴν 10 διακρίνει τῶν ἀμέσων ἐναντίων· φησὶ γὰρ οὕτως·

p. 13a4 Οὐ γὰρ ἀεὶ τῷ δεκτικῷ ἀναγκαῖον θάτερον αὐτῶν ὑπάρχειν.

Ἐπὶ γὰρ τῶν ἀμέσων ἐναντίων ἐξ ἀνάγκης τὸ ἑτέρον ὑπῆρχε τῷ ὑποκειμένῳ, ἐπὶ δὲ τῶν κατὰ στέρησιν καὶ ἕξιν οὐκ ἐξ ἀνάγκης τὸ ἕτερον 15 πάρεστι τῷ ὑποκειμένῳ, ἀλλ' ἐνδέχεται ἑκάτερον ἀπεῖναι· τὸ γὰρ σκυλάκιον οὔτε τυφλόν ἐστιν οὔτε ὄψιν ἔχει, καὶ τὸ ἄρτι τεχθὲν παιδίον οὔτε νωδόν ἐστιν οὔτε ὀδόντας ἔχει· ὁ δὲ ἀριθμὸς πάντως ἢ ἄρτιός ἐστιν ἢ περιττός, καὶ τὸ ζῷον ἐξ ἀνάγκης ἢ νοσεῖ ἢ ὑγιαίνει. ὥστε οὐκ ἔστιν ἡ τῶν ἀμέσων ἐναντίων ἀντίθεσις ἡ αὐτὴ τῇ κατὰ στέρησιν καὶ ἕξιν.

20 p. 13a8 Ἀλλ' οὐδὲ ὧν τί ἐστιν ἀνὰ μέσον· ἀναγκαῖον γάρ ποτε παντὶ τῷ δεκτικῷ θάτερον αὐτῶν ὑπάρχειν.

Νῦν διακρίνει τῶν ἐμμέσων ἐναντίων τὰ κατὰ στέρη|σιν καὶ ἕξιν, 137r
καὶ πρότερόν γε τῶν πεφυκότων κατὰ ἀμφότερα τὰ ἐναντία ἀπεῖναι τοῦ ὑποκειμένου· ἐπὶ μὲν γὰρ τῶν καθ' ἕξιν καὶ στέρησιν ἀντικειμένων, ὅταν 25 ᾖ τὸ ὑποκείμενον τούτων δεκτικόν, ἐξ ἀνάγκης αὐτῷ τὸ ἕτερον πάρεστιν· 5
ὁ γὰρ Σωκράτης ἐξ ἀνάγκης ἢ τυφλός ἐστιν ἢ ὄψιν ἔχει. οὐκ ἐξ ἀνάγκης δὲ ἢ λευκός ἐστιν ἢ μέλας· δυνατὸν γὰρ αὐτῷ μηδέτερον τούτων ὑπάρχειν καὶ πεφυκότα γε δέχεσθαι τῶν ἐναντίων ἑκάτερον.

---

1 αὐτῷ om. F λευκόν (superscr. ψυχρόν) C 2 τῷ δεκτικῷ C 3 ψυχρὰν] an λευκὴν? 4 μὴ τὸ πῦρ coll. F 8 ὅτι om. C 9 ἀντιθέσεων C 11 οὐδὲ a Arist. 13. 14 ἐπὶ — ὑποκειμένῳ om. C 13 γὰρ] δὲ F ὑπάρχει a 15 πάρεστι] ἐστι a 16 ἔχον CF 18 ἢ (ante νοσεῖ) om. CF ὥστε] οὕτως C 20 τι om. Fa ἀνὰ μ. ἐστίν coll. C 23 γε om. C 26 ὁ γὰρ σωκρ. ὅταν ἤδη πεφυκώς, ἀνάγκη τυφλὸς ἢ ὄψιν ἔχειν ῥηθήσεται· ἐπὶ δὲ τῶν ἐναντίων οὐχ οὕτως· οὐκ ἐξ ἀνάγκης δὲ ἢ λευκός a 27 ἢ μέλας ἢ λευκός ἐστιν coll. C αὐτῶν F: αὐτὸν a ὑπάρχειν] εἶναι a 28 an πεφυκότι? γε] δὲ C

p. 13a11 Καὶ τούτων οὐκ ἀφωρισμένως θάτερον, ἀλλ' ὁπότερον 137r
ἔτυχεν· οὐ γὰρ ἀναγκαῖον ἢ τυφλὸν ἢ ὄψιν ἔχον εἶναι, ἀλλ' 30
ὁπότερον ἔτυχεν.

Διὰ τούτων πάλιν διακρίνει τὰ κατὰ στέρησιν καὶ ἕξιν τῶν ἐμμέσων
5 ἐναντίων, ἐφ' ὧν πέφυκεν ὡρισμένως τὸ ἕτερον τῶν ἐναντίων παρεῖναι τῷ 20
δεκτικῷ· ἐπὶ μὲν γὰρ τῆς στερήσεως, φησί, καὶ τῆς ἕξεως οὐκ ἀφωρισμένως
τὸ ἕτερον πάρεστι τῷ ὑποκειμένῳ, ὁπόταν πέφυκε δέχεσθαι, ἀλλ' ὁπότερον
ἔτυχεν (οὐ γὰρ ἀφωρισμένως Σωκράτης ἢ τυφλός ἐστιν ἢ ὄψιν ἔχει, ἀλλ'
ὡς ἂν ἔτυχεν), ἐπὶ δὲ τῶν ἐμμέσων ἐναντίων, ἐφ' ὧν τὸ ἕτερον πέφυκε 25
10 παρεῖναι τῷ ὑποκειμένῳ, ἀνάγκη ἀφωρισμένως τὸ ἓν παρεῖναι καὶ οὐδέ-
ποτε τὸ ἐναντίον· τῷ γὰρ πυρὶ ἀφωρισμένως πάρεστι ἡ θερμότης καὶ τῇ
χιόνι ἡ λευκότης καὶ ἡ ψῦξις, τὸ δὲ ἐναντίον οὐδέποτε. καὶ τοῦτο διὰ
τὴν τοῦ ὑποκειμένου φύσιν, ἐπεὶ καθ' αὑτὴν ἡ θερμότης καὶ ἡ ψυχρότης 30
* ἔμμεσά ἐστιν· ὥστε κατ' οὐδέτερον τρόπον τῶν ἐμμέσων ἐναντίων ἡ 137v
15 τῶν κατὰ στέρησιν καὶ ἕξιν ἀντίθεσις ἡ αὐτή ἐστιν.

p. 13a17 Ἔτι ἐπὶ μὲν τῶν ἐναντίων ὑπάρχοντος τοῦ δεκτικοῦ
δυνατὸν εἰς ἄλληλα μεταβολὴν γενέσθαι.

Διελὼν τὰ ἐναντία καὶ δείξας κατὰ μέρος ὡς οὐδενὶ τῶν ἐναντίων εἴδει
ἡ αὐτή ἐστιν ἀντίθεσις ἡ τῶν κατὰ στέρησιν καὶ ἕξιν, νῦν καθολικῷ λόγῳ 25
20 ταῦτα ἀλλήλων διακρίνει λέγων οὕτως· τὰ ἐναντία μεταβάλλει εἰς ἄλληλα
(τὸ γὰρ θερμὸν εἰς ψυχρὸν μεταβάλλει καὶ τὸ ψυχρὸν εἰς θερμὸν καὶ τὸ
μέλαν εἰς λευκὸν καὶ τὸ λευκὸν εἰς μέλαν), τὰ δὲ κατὰ στέρησιν καὶ ἕξιν
οὐ μεταβάλλει εἰς ἄλληλα· εἰ γὰρ καὶ ἡ ὄψις εἰς τύφλωσιν μεταβάλλει,
ἀλλ' οὐχὶ καὶ ἡ τύφλωσις εἰς τὴν ὄψιν· τὰ ἄρα ἐναντία οὐκ ἔστι τὰ 138r
25 αὐτὰ τοῖς κατὰ στέρησιν καὶ ἕξιν. καλῶς δὲ εἶπεν ὑπάρχοντος τοῦ
δεκτικοῦ· διὰ γὰρ τοῦτο καὶ ἡ τῶν ἐναντίων εἰς ἄλληλα μεταβολὴ γίνε-
ται, ἐπεὶ καθ' ἑαυτὰς αἱ ποιότητες ἀμετάβλητοί εἰσιν, ἐν ὑποκειμένῳ δὲ 5
γινόμεναι τὴν μεταβολὴν ὑπομένουσι. καλῶς δὲ εἶπε καὶ τὸ δυνατόν·
οὐ γὰρ ἀεὶ τὰ ἐναντία τὴν εἰς ἄλληλα μεταβολὴν ποιοῦνται· ὅσα γὰρ ἀφω-
30 ρισμένως φύσει τινὶ ὑποκειμένῳ ὑπάρχουσι, ταῦτα οὐδέποτε εἰς τὰ ἐναντία
μεταβάλλει· οὔτε γὰρ ἡ ἐν πυρὶ θερμότης μεταβάλλοι ἂν εἰς ψυχρότητα 10
οὔτε ἡ ἐν χιόνι ψυχρότης ἢ λευκότης εἰς θερμότητα ἢ μελανίαν μεταβάλλοι.

---

2 ἔχον ὄψιν coll. Arist. 7 ὁπόταν haud sanum 8 ἔτυχεν] ἔσχεν C
ὁ σωκρ. a 11 ἡ θερμ. πάρεστι coll. a 13 post ψυχρότης defectum signavi; supple-
veris τῷ πυρὶ καὶ τῇ χιόνι πάρεισιν. ἡ δὲ θερμότης καὶ ἡ ψυχρότης 14 οὐδένα C
17 γίνεσθαι Arist. 18 οὐδὲν C 19 ἀντίθεσις post ἕξιν coll. a 21 τὸ
γὰρ — ἄλληλα (23) om. C μεταβάλλει — θερμὸν om. F 23 εἰς ἄλλ. οὐ μετα-
βάλλει coll. a 26 τούτων C 27 ἐπεὶ καὶ C 30 ὑπάρχ. ὑποκ.
coll. C 32 μεταβάλλει (sic) ante εἰς θερμ. coll. C

p. 13ᵃ22 Καὶ ἐκ σπουδαίου γε φαῦλον καὶ ἐκ φαύλου σπουδαῖον δυνατὸν γενέσθαι. 138ʳ

Ὅτι μὲν ἐκ σπουδαίου φαῦλον δυνατὸν γενέσθαι οὐ δείκνυσιν, ὅτι δὲ ἐκ φαύλου σπουδαῖον κατασκευάζει. σπουδαῖον δὲ ἐνταῦθα λέγει οὐ τὸν τέλειον καὶ ἐν ἐπιστήμῃ τὸ καλὸν ἔχοντα· οὗτος γὰρ ἀμετάβλητον ἔχει τὴν ἕξιν, ἅτε δὴ μὴ μόνον ὅτι καλὸν ἡ ἀρετὴ εἰδὼς ἀλλὰ καὶ διότι καλόν. οὐ τοῦτον τοίνυν λέγει μεταβάλλειν, ἀλλὰ τὸν ὀρθοδοξαστικόν· οὗτος γὰρ μεταβάλλοι ἂν ἐπὶ τὸ φαυλότερον παραλογιζόμενος καὶ ἀπατώμενος ὑπὸ μοχθηρῶν ἀνδρῶν τὸ διότι καλὸν ἡ ἀρετὴ μὴ ἐπιστάμενος.

p. 13ᵃ29 Καὶ τοῦτο ἀεὶ γινόμενον τελείως εἰς τὴν ἐναντίαν ἕξιν ἀποκαταστήσειεν ἄν, εἴπερ μὴ χρόνῳ ἐξείργηται.

Εἰκὸς γὰρ ἢ νόσῳ μεταξὺ διακοπῆναι τὴν συνέχειαν ἢ πραγμάτων φροντίσιν ἢ διατριβῇ φαυλοτέρων ἀνδρῶν. καὶ ἄλλως δὲ εἴ τις ἐν ἐσχάτῳ γήρᾳ ἄρξηται φιλοσοφεῖν, εἶτα μεταξὺ θανάτῳ διακοπῇ, πρὶν ἢ εἰς τὴν τελείαν τῆς ἀρετῆς ἕξιν μεταβάλλοι.

p. 13ᵃ34 Οὔτε γὰρ τυφλὸς γενόμενός τις πάλιν ἀνέβλεψε.

Κατά γε ἰατρικὸν λόγον καὶ φυσικὸν οὐδείς ποτε τυφλὸς ὢν ἀνέβλεψεν, εἰ μὴ ἄρα κατά | τινα θείαν ἔλλαμψιν. 138ᵛ

p. 13ᵃ37 Ὅσα δὲ ὡς κατάφασις καὶ ἀπόφασις ἀντίκειται, φανερὸν ὅτι κατ' οὐδένα τῶν εἰρημένων τρόπων ἀντίκειται.

Διέκρινε τὰ πρός τι τῶν κατὰ στέρησιν καὶ ἕξιν καὶ τῶν ἐναντίων καὶ ταῦτα τῶν κατὰ στέρησιν καὶ ἕξιν· γίνονται οὖν συζυγίαι τρεῖς· λείπονται τοίνυν ἄλλαι τρεῖς συζυγίαι κατὰ τὴν παραδεδομένην ἐν τῇ Εἰσαγωγῇ μέθοδον. ἡ δὲ μέθοδος ἦν τοιαύτη· δεῖ πολλαπλασιάζειν τὸ προτεθὲν πλῆθος ἐπὶ τὸν μονάδι ἐλάττονα ἀριθμὸν καὶ τοῦ συναχθέντος ἀριθμοῦ λαβεῖν τὸ ἥμισυ, καὶ τοσαύτας ἀποφαίνεσθαι τὰς συζυγίας· οἷόν ἐστι τὰ προτεθέντα ἡμῖν πράγματα τέσσαρα, ταῦτα πολλαπλασιάζομεν ἐπὶ

1 γε Marc. 217: δὲ C: τε Fa 3 μὲν γὰρ C 6 ἡ om. CF διότι] διὰ τί CF (cf. v. 9) 7 λέγει om. F 10 γινόμενος C 11 ἀποκαθίστησιν (ἂν om.) a Arist. ἐάν περ a Arist. ἐν χρόνῳ CF 12 τὴν συνέχειαν om. F 14 ἄρξεται CF ἢ om. F 15 μεταβάλλει F¹ 17 γε post ἰατρ. coll. a: om. F λόγον δηλονότι a ποτε om. C 19 ante lemma add. tit. περὶ τῶν ὡς κατάφασις καὶ ἀπόφασις ἀντικειμένων C ἀντίκεινται C 20 τρόπον τῶν εἰρημένων (τρόπων om.) F 21 διάκριναι F 23 τοίνυν] οὖν C 25 post ἀριθμὸν add. τουτέστι τὸν τρίτον F 26 τὰς om. CF 27 παραπλασ. C

τὸν μονάδι ἐλάττονα, τοῦτ' ἔστι τὸν τρία, καὶ γίνονται τετράκις τρία — 138v
δώδεκα, τούτων τὸ ἥμισυ ἕξ· τοσαῦται οὖν εἰσιν αἱ συζυγίαι. τῶν τριῶν
τοίνυν ἡμῖν παραδεδομένων, ὡς εἴρηται, λείπονται αἱ λοιπαὶ τρεῖς, ἃς νῦν
κοινῷ λόγῳ παραδίδωσι· τὰ γὰρ κατὰ κατάφασιν καὶ ἀπόφασιν τῶν λοιπῶν
τριῶν κοινῷ λόγῳ διακρίνει· ἐπὶ μόνων γὰρ τούτων ἀναγκαῖον ἀεὶ τὸ μὲν
ἀληθὲς αὐτῶν τὸ δὲ ψεῦδος εἶναι· ἐὰν γὰρ εἴπω 'Σωκράτης κάθηται —
Σωκράτης οὐ κάθηται', τὸ μὲν ἀληθὲς αὐτῶν τὸ δὲ ψεῦδός ἐστι. τῶν δὲ |
ἄλλων τριῶν οὐδὲν οὔτε ἀλήθειαν οὔτε ψεῦδος σημαίνει· ἐὰν γὰρ 139r
μυριάκις εἴπω 'πατὴρ ἢ υἱός' ἢ 'λευκὸν ἢ μέλαν' ἢ 'ὄψις ἢ τυφλότης',
οὐδεμίαν οὔτε ἀλήθειαν οὔτε ψεῦδος ἐσήμανα· τὰ γὰρ ὀνόματα αὐτὰ καθ'
ἑαυτὰ ἄνευ ῥημάτων λεγόμενα οὐδεμίαν οὔτε ἀλήθειαν οὔτε ψεῦδος σημαί-
νουσι, συμπλεκόμενα δὲ ῥήμασι τότε ἀληθείας ἢ ψεύδους εἰσὶ σημαντικά.
καὶ αὐτὰ δὲ τὰ ῥήματα καθ' ἑαυτὰ λεγόμενα οὔτε ἀλήθειαν οὔτε ψεῦδος
σημαίνουσι, μετὰ δὲ ἀντωνυμιῶν λεγόμενα ἢ ἀληθείας ἢ ψεύδους εἰσὶ
δηλωτικά, οἷον 'περιπατῶ ἐγώ'. καὶ αὐτὸ δὲ τὸ περιπατῶ δυνάμει τὴν
ἀντωνυμίαν ἐν ἑαυτῷ περιέχει· καὶ γὰρ προσώπου ἐστὶ δηλωτικόν· ἀμέλει
τὰ ἀπαρέμφατα μὴ σημαίνοντα πρόσωπα οὐ σημαίνουσιν ἀλήθειαν ἢ
ψεῦδος, οἷον περιπατεῖν ἢ τρέχειν· ψιλὸν γάρ ἐστιν αὐτὸ καθ' αὑτὸ
τὸ ῥῆμα, οὐδὲ δυνάμει περιέχον τὴν ἀντωνυμίαν, ὥσπερ τὸ περιπατῶ.
εἰ τοίνυν τὰ μὲν κατὰ κατάφασιν καὶ ἀπόφασιν ἀληθείας ἢ ψεύδους
εἰσὶ δηλωτικά, τῶν δὲ ἄλλων τριῶν οὐδὲ ἓν ἀλήθειαν ἢ ψεῦδος ση-
μαίνει, οὐδενὶ ἄρα τούτων ἡ τῶν κατὰ κατάφασιν καὶ ἀπόφασιν ἀντίθεσις
ἡ αὐτή ἐστιν.

p. 13b3 Οὔτε γὰρ ἐπὶ τῶν ἐναντίων ἀναγκαῖον ἀεὶ θάτερον ἀληθὲς εἶναι, θάτερον δὲ ψεῦδος.

Τὸ ἀεὶ προσέθηκε, διότι τοῖς ὑποκειμένοις ταῦτά ποτε συμπλεκόμενα ἀληθείας ἢ ψεύδους δεκτικὰ γίνονται, οἷον ὑγιαίνει Σωκράτης — οὐχ ὑγιαίνει Σωκράτης.

---

1 γίνεται F τετρ. τρεῖς C: τετρ. τὰ τρία a 4 κατὰ om. F 5 κοινῷ νῦν λ. a 6 γὰρ om. a 7 ψευδές a 8 τριῶν om. F ἀληθὲς C 9 εἴπω μυρ. coll. C ἢ υἱός om. a ὄψις ἢ τ.] τυφλότης ἢ ὄψις C: τυφλότητα ἢ ὄψιν F: ὄψιν ἢ τυφλότητα a 10 οὐδεμία C οὔτε (prius) om. C τὰ γὰρ—σημαίνουσι (11. 12) om. C 12 ante ἀληθ. add. ἢ a 13. 14 οὔτε ἀλήθ.—λεγόμενα om. F 14 σημαίνει a ἀντ. δὲ coll. a 15 τὸ] τῷ F 16 περιέχει ἐν ἑαυτῷ coll. C 20. 22 ἀπόφ. καὶ κατάφ. coll. a 22 οὐδὲν C 24 θάτερον μὲν ἀλ. a 25 θάτ. δὲ ψ.] ἢ ψευδὲς θάτ. C: θάτ. δὲ ψεύδους F: θάτ. δὲ ψευδές a 27. 28 οὐχ ὑγιαίνει σωκράτης om. CF; scribas νοσεῖ σωκρ. (cf. p. 186,11

p. 13b10 Ὅλως δὲ τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων 139r
οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδός ἐστι.

Τὰ κατὰ μηδεμίαν συμπλοκὴν λεγόμενα οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδος δηλοῖ, τὰ δὲ πρός τι καὶ τὰ ἐναν|τία καὶ τὰ κατὰ στέρησιν καὶ 139v
ἕξιν ἄνευ συμπλοκῆς λέγεται· ταῦτα ἄρα οὐδὲν ἀληθὲς οὐδὲ ψεῦδος δηλοῖ· ὥστε οὐκ εἰσὶ τὰ αὐτὰ τοῖς κατὰ κατάφασιν καὶ ἀπόφασιν λεγομένοις.

p. 13b12 Οὐ μὴν ἀλλὰ μάλιστα ἂν δόξειε τὸ τοιοῦτον συμβαίνειν
ἐπὶ τῶν κατὰ συμπλοκὴν ἐναντίων λεγομένων.

Ὃ ἄν τις ἠπόρησεν αὐτῷ, τοῦτο προλαβὼν αὐτὸς καὶ ἀπορεῖ καὶ ἐπι-
λύεται· φησὶ γὰρ ὅτι τὰ ἐναντία τὰ με|τὰ συμπλοκῆς τοῦ ὑποκειμένου 140r
λεγόμενα διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος· τὸ γὰρ ὑγιαίνειν Σωκράτην ἢ νοσεῖν τὸ μὲν ἀληθὲς τὸ δὲ ψεῦδός ἐστιν. ἀλλὰ δὴ καὶ τὸ ὄψιν ἔχειν ἢ τυφλὸν εἶναι ἢ πατέρα ἢ υἱὸν καὶ ταῦτα ἀληθείας ἢ ψεύδους εἰσὶ δεκτικά. πρὸς τοῦτο τοίνυν φησὶν ὅτι εἰ καὶ κατὰ συμπλοκὴν δοκεῖ διαιρεῖν ταῦτα τὴν ἀλήθειαν ἀπὸ τοῦ ψεύδους, ἀλλὰ καὶ οὕτως πολὺ διενηνόχασι καταφάσεως καὶ ἀποφάσεως· ἡ μὲν γὰρ κατάφασις καὶ ἀπόφασις ἀεὶ καὶ ἐπὶ πάντων τῶν ὄντων καὶ μὴ ὄντων διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος· τὸ γὰρ τυφλὸν εἶναι Σωκράτην ἢ μὴ εἶναι τυφλὸν ἢ λευκὸν εἶναι ἢ μὴ εἶναι λευκὸν ἢ πατέρα εἶναι ἢ μὴ εἶναι πατέρα ὄντος τε αὐτοῦ ἐξ ἀνάγκης ἀεὶ τὸ μὲν ἀληθὲς τὸ δὲ ψεῦδος μὴ ὄντος τε ἀεὶ τὸ ἕτερον ἀληθές· ὁ γὰρ μηδὲ ὅλως ὢν οὔτε πατήρ ἐστιν οὔτε τυφλὸς οὔτε λευκός. καὶ τὴν ψυχὴν ὁ λέγων λευκὴν εἶναι ἢ μὴ εἶναι λευκὴν καὶ ὄψιν ἔχειν ἢ μὴ ἔχειν ὄψιν καὶ δεξιὰν εἶναι ἢ μὴ εἶναι δεξιὰν τὸ μὲν ἀληθεύσει τὸ δὲ ψεύσεται. τὰ μέντοι γε ἐναντία οὐχ οὕτως ἔχει, ἀλλ' ὄντος μὲν Σωκράτους ἀνάγκη τὸ μὲν ἀληθὲς εἶναι τὸ δὲ ψεῦδος (ἢ γὰρ ὑγιαίνειν αὐτὸν ἢ νοσεῖν ἀνάγκη) μὴ ὄντος δὲ ἀμφότερα ψευδῆ· ὁ γὰρ μηδὲ ὅλως ὢν πῶς ἂν ὑγιαίνειν δύναιτο ἢ νοσεῖν; ἐπὶ δὲ τῆς στερήσεως καὶ τῆς ἕξεως καὶ ὄντος οὐκ ἀεὶ ἀληθὲς ἕτερον τῶν ἐναντίων, ἀλλ' ἔστιν ὅτε ἀμφότερα ψευδῆ, μὴ ὄντος τε ἀεὶ ἀμφότερα ψευδῆ· τὸ γὰρ νωδὸν εἶναι Σωκράτην ἢ ὀδόντας ἔχειν ὄντος

1 ὅλως] ἁπλῶς C 2 ἐστιν οὔτε ψ. coll. F 3. 4 τὰ — ψεῦδος om. F 4 δῆλον F δὲ Ammon.: γὰρ a: om. CF τὰ (ante ἐναντ.) om. F 5 λέγονται C 7 μᾶλλον F 9 προσλαβὼν a: παρέλαβεν F ὁ αὐτὸς F 9. 10 αὐτὸς ἀπορῶν ἐπιλ. C 11 τὸ γὰρ] τῷ γὰρ F 11. 12 ὑγιαίνει σωκράτης ἢ νοσεῖ a 12 ψευδές C 13 εἰσὶ ἢ ψεύδους coll. C δεικτικά Fa (cf. p. 187,18) 16 καὶ (ante ἐπὶ) om. a 18 τυφλὸν — μὴ εἶναι om. C 19 τε] δὲ οὐκ C: δὲ F 21 οὔτε λευκὸς οὔτε τυφλός C: οὔτε τυφλός ἐστιν οὔτε λευκός a 22 μὴ ὄψιν ἔχειν coll. C 24 ἔχειν F 25 εἶναι post ψεῦδος coll. a ψευδές C 26 ἂν om. C ἢ ὑγ. F 27 δύναιτο scripsi: δύναται libri δύν. νοσ. ἢ ὑγ. coll. C 29 ante γὰρ add. τε F τὸν σωκρ. F

τε οὐκ ἀεὶ τὸ ἕτερον ἀληθές, ἀλλ' ἔστιν ὅτε ἀμφότερα ψευδῆ (ὅτε μηδὲ 140r
πέφυκεν ὅλως ἔχειν), καὶ μὴ ὄντος ἀεὶ ἀμφότερα ψευδῆ· ὁ μηδὲ ὅλως
γὰρ ὢν τὸ παράπαν πῶς ἂν ἢ νωδὸς εἴη ἢ ὀδόντας ἔχοι; καὶ ἐπὶ τοῦ
σκυλακίου ὁμοίως ἀμφότερα, καὶ ἡ ἕξις καὶ ἡ στέρησις, καὶ ὄντος καὶ μὴ
5 ὄντος ψευδῆ, τό τε ὄψιν ἔχειν καὶ τὸ τυφλὸν εἶναι. καὶ ἐπὶ τῶν πρός τι
ὁμοίως· τό τε γὰρ | δεξιὸν εἶναι ἢ ἀριστερὸν καὶ ὄντος οὐκ ἀεὶ τὸ ἕτερον 140v
ἀληθές, ἀλλ' ἔστιν ὅτε ἀμφότερα ψευδῆ (εἰ μόνος τις εἴη), μὴ ὄντος τε
πάλιν ἀμφότερα ψευδῆ. καὶ τὸ πατέρα ἢ υἱὸν εἶναι ὁμοίως καὶ μὴ ὄντος
ἀμφότερα ψευδῆ καὶ ὄντος ἔστιν ὅτε ἀμφότερα ψευδῆ· εἰ γὰρ μήτε πατέρα 5
10 τις ἔχει μήτε υἱόν, τίνος ἂν πατὴρ ἢ υἱὸς κληθείη; εἰ μή τί γε κατὰ
μνήμην, ἐπεὶ τῇ ἀληθείᾳ οὐδενὸς ἂν κληθείη. ὥστε καὶ οὕτω πολύ γε
διενήνοχε τῶν ἄλλων τὰ κατὰ ἀπόφασιν καὶ κατάφασιν· εἰ γὰρ ταῦτα μὲν
ἀεὶ καὶ ἐπὶ ὄντων καὶ μὴ ὄντων διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος τὰ δὲ 10
λοιπὰ ἐπί τε τῶν ὄντων οὐκ ἀεὶ ἐπί τε τῶν μὴ ὄντων οὐδέποτε διαιρεῖ
15 τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, οὐκ ἄρα ταὐτὸν κατάφασις καὶ ἀπόφασις τοῖς
ἄλλοις. καὶ ἄλλως δὲ τὸ ὅλως ἐπιδέξασθαι ταῦτά ποτε ἀλήθειαν ἢ ψεῦδος
οὐκ ἄλλοθεν αὐτοῖς ἐπισυνέβη ἢ ἐκ τοῦ γενέσθαι καταφάσεις, ἐπεὶ καθ' 15
ἑαυτά γε οὐδενὸς τούτων εἰσὶ δεκτικά· τὸ γὰρ 'Σωκράτης ὑγιαίνει ἢ τυφλός
ἐστιν ἢ πατὴρ ἤ τι τῶν τοιούτων' κατάφασίς ἐστιν· ὥστε διὰ τὴν κατά-
20 φασιν καὶ τό ποτε ὅλως διαιρεῖν τὸ ἀληθὲς ἢ τὸ ψεῦδος εἰλήφασιν. ἰστέον
δὲ ὅτι πάλιν ἐπὶ τούτων μέσην ἔχουσι τάξιν τὰ κατὰ στέρησιν καὶ ἕξιν 20
καὶ τὰ πρός τι τῶν ἐναντίων καὶ τῆς καταφάσεως καὶ ἀποφάσεως· τῆς
μὲν γὰρ καταφάσεως ⟨καὶ ἀποφάσεως⟩ ἐπὶ πάντων τῶν ὄντων καὶ μὴ
ὄντων διαιρούσης ἀεὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος * *

25 p. 13ᵇ36 Ἐναντίον δέ ἐστιν ἐξ ἀνάγκης ἀγαθῷ μὲν κακόν· τοῦτο 25
δὲ δῆλον τῇ καθ' ἕκαστον ἐπαγωγῇ. |

Πληρώσας τὸν τῶν ἀντικειμένων λόγον νῦν θεωρήματά τινα τῶν 141r
ἐναντίων ἡμῖν παραδίδωσι, καὶ πρῶτον μὲν θεώρημα ὅτι τῷ μὲν ἀγαθῷ
τὸ ἀντικείμενον πάντως κακόν ἐστι, τῷ δὲ κακῷ οὐ πάντως τὸ ἀντικεί-

---

1. 2 ὅτε μηδὲ — ψευδῆ om. a 1 μηδὲ] μὴ F 2. 3 ὁ γὰρ μηδὲ ὢν ὅλως coll. a 3 ἂν om. F ἔχη C 4 ὁμοίως om. C post ἀμφ. add. ψευδῆ C ἕξις] ὄψις C 5 τὸ (ante τυφλὸν) om. a 7 καὶ ἀμφ. C ante μόνος add. μὴ a 9 καὶ ὄντος — ψευδῆ om. F ante alt. ψευδῆ add. εἴη ἂν C 10 ἔχοι a ἢ πατὴρ ἢ C τί Laur. 71, 1: τοί CF: τίς a 11 οὐδὲν C γε om. C 12 ἐνήνοχε F κατάφ. καὶ ἀπόφ. coll. C 13. 14 τὰ δὲ λοιπὰ — ψεῦδος (15) om. C 16 ποτε om. C 17 κατάφασιν C 19 πατὴρ ἤ τι τῶν] τινῶν F 21 ἔχει C τὰ δὲ κατὰ F 22 καὶ τῆς ἀποφ. καὶ τῆς καταφ. C 22. 23 τῆς μὲν γὰρ καταφάσεως om. F 23 καὶ ἀποφάσεως inserui ante ἐπὶ add. ὡς C 24 διαιροῦσιν C καὶ τὸ ψεῦδος om. CF; post ψεῦδος defectum signavi 25 καὶ ἐναντ. δέ ἐστιν ἀγαθῷ μὲν ἐξ ἀν. F 26 ἕκαστα F 27 λόγον in lac. om. C alt. τῶν om. a 28. 29 ἀγαθῷ — τῷ δὲ om. CF 29 οὐ πάντως om. CF

μενον ἀγαθόν ἐστιν, ἀλλ' ἔστιν ὅτε καὶ κακόν· οἷον τῇ δικαιοσύνῃ ἀγαθῷ 141r
οὔσῃ ἀντίκειται ἡ ἀδικία κακὸν οὖσα καὶ τῇ σωφροσύνῃ ἡ ἀκολασία, τῇ
μέντοι πλεονεξίᾳ κακῷ οὔσῃ οὐ πάντως ἡ δικαιοσύνη ἀντίκειται, ἀλλὰ καὶ
ἡ μειονεξία ὡς ὑπερβολῇ ἔνδεια. τί οὖν; οὕτως ἄδικος ἡ φύσις ὡς δύο
ἑνὶ ἀντιτάξαι; πανταχοῦ γὰρ ὁρῶμεν ἓν ἑνὶ ἀντιτεταγμένον, οἷον πῦρ ὕδατι
τῷ βαρεῖ τὸ κοῦφον τῷ ξηρῷ τὸ ὑγρόν. λέγομεν οὖν ὅτι τῷ μὲν κακῷ
ἀντίκειται τὸ ἀγαθὸν ὡς συμμετρία ἀσυμμετρίᾳ, τὸ μέντοι κακὸν οὐκέτι
ὡς συμμετρία ἀσυμμετρίᾳ (ἀμφότερα γὰρ ἀμετρίαι) ἀλλ' ὡς ἔνδεια ὑπερ-
βολῇ· τῆς γὰρ ἀρετῆς ἐν συμμετρίᾳ θεωρουμένης ἑκατέρωθεν κακία μία
θεωρεῖται, ἡ μὲν καθ' ὑπερβολὴν ἡ δὲ κατ' ἔνδειαν ἀντικειμένη· οἷον
τῆς δικαιοσύνης ἐν συμμετρίᾳ θεωρουμένης ὑπερβολὴ μέν ἐστιν ἡ πλεο-
νεξία ἔνδεια δὲ ἡ μειονεξία, ἑκατέρα ἀμετρία οὖσα· ὡς γὰρ ἀμετρία συμ-
μετρίᾳ ἀντίκειται. πάλιν τῆς σωφροσύνης ὑπερβολὴ μὲν ἡ ἀκολασία ἔνδεια
δὲ ἡ ἠλιθιότης καὶ ἀνδρείας ἡ δειλία καὶ ἡ θρασύτης φρονήσεως ἡ παν-
ουργία καὶ ἡ ἄνοια. ἑκατέρα οὖν τῶν ἐκτροπῶν τῇ μὲν ἀρετῇ ἀντίκειται
ὡς κακὸν ἀγαθῷ καὶ ὡς ἀμετρία συμμετρίᾳ, ἀλλήλοις δὲ οὐχ οὕτως, ἀλλ'
ὡς ἔνδεια ὑπερβολῇ. ὥστε ἓν ἑνί ἐστιν ἀντικείμενον καὶ οὐ δύο ἑνί.

p. 14a7 Ἔτι ἐπὶ τῶν ἐναντίων οὐκ ἀναγκαῖον, ἂν θάτερον ἦ, καὶ τὸ λοιπὸν εἶναι. 141v

Τοῦτο δεύτερον τῶν ἐναντίων θεώρημα· φησὶν ὅτι ἑνὸς τῶν ἐναντίων
ὄντος οὐκ ἀνάγκη καὶ τὸ ἕτερον εἶναι· ἐὰν γὰρ ὑποθώμεθα πάντας ὑγιαίνειν
ἀνθρώπους, ὑγεία μὲν ἐξ ἀνάγκης ἔσται, νόσος δὲ οὔ. ὁμοίως καὶ ἐπὶ
νόσου καὶ λευκότητος καὶ μελανίας καὶ τῶν τοιούτων. ταῦτα δέ φησιν ὁ
Ἀριστοτέλης αὐτὰ καθ' ἑαυτὰ τὰ πράγματα ἐξετάζων τὰ τὴν ἐναντίωσιν
ἀναδεξάμενα, οὐκέτι δὲ ὡς ἐναντία· τὸ γὰρ λευκὸν ὡς μὲν πρᾶγμα
δύναται εἶναι καὶ δίχα τοῦ μέλανος, ὡς μέντοι ἐναντίον τούτῳ οὐκέτι
καθ' ἑαυτὸ δύναται θεωρεῖσθαι, διότι τὰ ἐναντία τῶν πρός τί ἐστι
καὶ ἐν σχέσει ἑτέρων τὸ εἶναι ἔχουσι· τὸ γὰρ ἐναντίον ἐστὶ τῷ ἐναντίῳ
ἐναντίον.

---

2 οὔσῃ] ὄντι Fa 3 οὔσῃ] ὄντι libri (cf. v. 2) οὐ om. CF πάντῃ a
4 μειονεξία] πλεονεξία C: μιονεξία F ἄδικος ἡ φ. οὕτως coll. C 5 pr. ἑνὶ] τινὶ F 7. 8 τὸ μέντοι—ἀσυμμετρίᾳ om. C 7 post κακὸν add. τῷ κακῷ a
9 μὲν γὰρ a συμμέτρω C ἑκατέρωθεν—θεωρουμένης (11) om. F
10 ἀντικ.] θεωρουμένη a 12 pr. ἀμετρ.] ἀσυμμετρία C 14 ἡ (ante ἠλιθ.) om. F φρονήσεως δὲ a 15 ἑκατέρων C μὲν om. C 18 post ἀν. add. ἐστιν Ca
ἐὰν Ca 20 τουτὶ a ante θεώρ. add. ἐστὶ a φησὶ γὰρ a
ἐναντίων in mrg. suppl. F² 22 ὁμοίως δὲ καὶ C 23 ὁ om. F
27 τὰ μὲν ἐναντ. F εἰσι Fa 28 ἑτέρου a

p. 14a10 Ἔτι εἰ τὸ Σωκράτην ὑγιαίνειν τῷ Σωκράτην νοσεῖν 141v
ἐναντίον ἐστί, μὴ ἐνδέχεται δὲ ἅμα ἀμφότερα τῷ αὐτῷ ὑπάρχειν, οὐκ ἂν ἐνδέχοιτο τοῦ ἑτέρου τῶν ἐναντίων ὄντος καὶ τὸ λοιπὸν εἶναι.

Εἰδέναι δὲ δεῖ ὅτι τοῦτο ἢ πρὸς κατασκευὴν εἴρηται τοῦ προτέρου ἢ ὅτι ἐπὶ τῶν ἐναντίων τὰ μὲν ἐλέγομεν εἶναι ἁπλᾶ τὰ δὲ κατὰ συμπλοκὴν τῶν ὑποκειμένων θεωρεῖσθαι, δείξας διὰ τῶν προτέρων ὅτι ἐπὶ τῶν ἁπλῶν δυνατὸν ἑνὸς τῶν ἐναντίων ὄντος τὸ ἕτερον μὴ εἶναι, νῦν δείκνυσιν ὅτι καὶ ἐπὶ τῶν κατὰ συμπλοκὴν θεωρουμένων τοῦτο δυνατόν· εἰ γὰρ ὁ νοσῶν Σωκράτης ἐναντίος ἐστὶ τῷ ὑγιαίνοντι Σωκράτει, ἀδύνατον δὲ τὰ ἐναντία ἐν τῷ αὐτῷ εἶναι, πᾶσα ἀνάγκη τοῦ ἑνὸς τῶν ἐναντίων ὄντος τὸ ἕτερον μὴ εἶναι· Σωκράτους γὰρ ὑγιαίνοντος οὐ δυ|νατὸν κατὰ τὸν αὐτὸν χρόνον 142r αὐτὸν νοσεῖν.

p. 14a15 Δῆλον δὲ ὅτι καὶ περὶ ταὐτὸν ἢ εἴδει ἢ γένει πέφυκε γίνεσθαι τὰ ἐναντία.

Τρίτον τοῦτο θεώρημα περὶ τῶν ἐναντίων· λέγει δὲ ὅτι τὰ ἐναντία ἢ περὶ ἓν καὶ τὸ αὐτὸ γένος πέφυκε γίνεσθαι ἢ περὶ ἓν καὶ τὸ αὐτὸ εἶδος· οἷον ἡ λευκότης καὶ ἡ μελανία περὶ ἓν καὶ ταὐτὸν τῷ γένει καταγίνονται, λέγω δὴ ἐν λίθῳ καὶ ἵππῳ καὶ ἀνθρώπῳ καὶ ἁπλῶς ἔν τε ἐμψύχῳ καὶ ἀψύχῳ σώματι, ἅπερ ἐστὶ τῷ γένει ταὐτά (γένος γὰρ τούτων τὸ ἁπλῶς σῶμα), ἡ μέντοι ὑγεία καὶ ἡ νόσος περὶ ἓν καὶ ταὐτὸν τῷ εἴδει, οἷον ἐν ἀνθρώπῳ καὶ ἵππῳ καὶ ἁπλῶς παντὶ ζῴῳ, ἅτινα ταὐτὰ τῷ εἴδει ἐστί· τὸ γὰρ τοῦ ζῴου σῶμα εἶδός ἐστι τοῦ ἁπλῶς σώματος. ὁμοίως καὶ ἡ δικαιοσύνη καὶ ἡ ἀδικία ἐν τῇ ἀνθρωπείᾳ ψυχῇ πέφυκε γίνεσθαι, αὕτη δὲ εἶδός ἐστι τῆς ἁπλῶς ψυχῆς, ἤτοι τῆς ἀσωμάτου. διὰ τί δὲ εἰρηκὼς περὶ ταὐτὸν ἢ εἴδει ἢ γένει οὐ προσέθηκεν 'ἢ ἀριθμῷ'; τὸ γὰρ ταὐτόν, ὡς ἐλέγομεν πρότερον, ἢ γένει ἐστὶ ταὐτὸν ἢ εἴδει ἢ ἀριθμῷ, ὥσπερ καὶ ἡ ἑτερότης· γένει μὲν ὡς ἄνθρωπος καὶ ἵππος, εἴδει δὲ ὡς Σωκράτης καὶ Πλάτων, ἀριθμῷ δὲ ὡς ἄορ ξίφος καὶ τὰ τοιαῦτα. λέγομεν οὖν ὅτι ἢ ὡς ὁμολογούμενον τοῦτο παρῆκεν, ὡς ἡμῶν δυναμένων τοῦτο

---

1 νοσεῖν σωκρ. coll. F 2 ἐνδέχοιτο C: ἐνδέχεσθαι a 5 δὲ om. F
6 ἐλέγομεν] p. 185,26 186,10 7 θεωρεῖσθαι — ἁπλῶν in mrg. suppl. F² προτ.] προειρημένων F 10 σωκράτη (alt. l.) C 12 χρόνον] τρόπον F 13 αὐτὸν om. C 16 τοῦτο τρίτον coll. C λέγεται C δὲ ὅτι Marc. 217: διότι CFa ἢ] ἀεὶ C 17 γίνεσθαι om. F 17. 18 καὶ τὸ αὐτὸ εἶδος — ἓν om. CF 18 ταὐτὸν τῷ γένει Paris. 2051: τῷ γ. ταὐτὸν CFa 19 δὴ] δὲ C 21 ἡ μέντοι — σώματος (23) om. C 23 ὁμοίως δὲ καὶ a 24 γίν. πέφ. coll. F αὐτὴ F 25 τῆς ἀσωμάτου a: τοῦ ἀσωμ. C: τοῦ σώματος F 26 tert. ἢ om. C 27 post pr. ταὐτὸν iter. ἢ εἴδει — ταυτὸν F ἐλέγομεν πρότερον] p. 37,17 alt. ταυτὸν] ταυτὰς (sic) F 29 ante ἄορ add. σπάθη F post ξίφος add. φάσγανον μάχαιρα a τοιαῦτα] λοιπά C 30 οὖν om. F

προσυπακοῦσαι, ἢ ἐπειδὴ εἰ καὶ περὶ ταὐτὸν τῷ ἀριθμῷ καταγίνονται τὰ 142r
ἐναντία, ἀλλ' οὐχὶ κατὰ τὸ αὐτὸ μέρος· καθ' ἕτερον γὰρ μέρος λευκὸς ὢν
ὁ Σωκράτης καθ' ἕτερον μέλας ἐστὶ καὶ καθ' ἕτερον μὲν θερμὸς καθ'
ἕτερον δὲ ψυχρός· ἅμα γὰρ ἐν τῷ | αὐτῷ μέρει ἀδύνατον συστῆναι τὰ 142v
ἐναντία.

p. 14ª19 Ἀνάγκη δὲ πάντα τὰ ἐναντία ἢ ἐν τῷ αὐτῷ γένει εἶναι ἢ ἐν τοῖς ἐναντίοις γένεσιν ἢ αὐτὰ γένη εἶναι.

Τέταρτον τοῦτο τῶν ἐναντίων θεώρημα· ἔστι δὲ ὅτι τὰ ἐναντία ἢ ὑπὸ
ἓν καὶ τὸ αὐτὸ τελεῖ γένος, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν (ὑπὸ τὸ χρῶμα
γάρ), ἢ ὑπὸ τὰ ἐναντία, οἷον ἀδικία καὶ δικαιοσύνη (ἡ μὲν γὰρ ὑπὸ τὴν
ἀρετὴν ἡ δὲ ὑπὸ τὴν κακίαν· ἐναντίον δὲ ἀρετῇ κακία), ἢ αὐτὰ γένη εἶναι,
ὡς τὸ ἀγαθὸν καὶ τὸ κακόν· ταῦτα γὰρ οὐχ ὑπὸ ἄλλο τελεῖ γένος, μόνως
δὲ γένη εἰσί. τί οὖν; δεῖ προσθεῖναι ταῖς δέκα κατηγορίαις ἑτέρας δύο, τὴν
τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, ὡς μηκέτι δέκα εἶναι τὰς κατηγορίας ἀλλὰ
δώδεκα; φαμὲν οὖν ὅτι γένη ταῦτα ἐκάλεσεν οὐ κατὰ τὸ αὐτὸ σημαινό-
μενον ταῖς ἄλλαις κατηγορίαις, λέγω δὴ ὡς καθ' ἑαυτὰ τούτων ὑφεστη-
κότων, ὥσπερ καὶ αἱ κατηγορίαι, ἀλλ' ὥσπερ καὶ ὁ Πλάτων γένη τῶν
ὄντων εἶπε τὰ πέντε ἐκεῖνα, φημὶ δὴ τὸ ὂν τὴν ταυτότητα τὴν ἑτερότητα
τὴν κίνησιν τὴν στάσιν, διὰ τὸ ἐν πᾶσι τοῖς οὖσι θεωρεῖσθαι, οὐχὶ δὲ τῷ
αὐτὰ καθ' ἑαυτὰ ταῦτα ὑφεστηκέναι. οὕτως δὴ καὶ ὁ Ἀριστοτέλης
ἐνταῦθα γένη εἶπεν εἶναι τὸ ἀγαθὸν καὶ τὸ κακὸν οὐχ ὡς αὐτὰ καθ'
αὑτὰ ἀλλ' ὡς ἐν πάσαις ταῖς κατηγορίαις θεωρούμενα· ἔστι γάρ τι καὶ ἐν
οὐσίᾳ ἀγαθὸν καὶ κακὸν καὶ ἐν ποσῷ καὶ ἐν ποιῷ καὶ ταῖς ἄλλαις κατη-
γορίαις· ἐν οὐσίᾳ μὲν γὰρ ἀγαθὸν ἡ καθ' αὑτὴν τελειότης, τὸ ἀπηρ-
τισμένον ἔχειν τὸν λόγον τῆς φύσεως καὶ μὴ τέρας εἶναι ἢ τῷ | πλεο- 143r
νάζειν κατὰ τὸν λόγον ἢ ἐλλείπειν, ἐν ποσῷ δὲ ἡ σύμμετρος ἑκάστῳ πράγ-
ματι ποσότης καὶ ἐν ποιῷ τὸ σύμμετρον ἑκάστῳ χρώματι, καὶ ἐπὶ τῶν
ἄλλων ὁμοίως. ἀκριβολογουμένοις δὲ οὐδὲ ἐναντία τὸ ἀγαθὸν καὶ τὸ κακὸν
φανήσεται, ἀλλὰ κατὰ στέρησιν καὶ ἕξιν ἀντικεῖσθαι· δεῖ γὰρ τῶν ἐναντίων
ἑκάτερον εἰδοπεποιῆσθαι καὶ ὡρισμένην ἔχειν φύσιν, ὥσπερ τὸ λευκὸν καὶ
τὸ μέλαν· τὸ δὲ κακὸν οὐκ ἔχει ὡρισμένην ὑπόστασιν· ἀμετρία γάρ τίς
ἐστιν, ἡ δὲ ἀμετρία πῶς ἂν εἶδος σχοίη ὡρισμένον; ὅθεν οὐδὲ ὁρισμῷ

3 μέλας ἐστὶ] μ. ἂν εἴη F: ἐστι μ. οἷον ἐν θριξί a καὶ om. F 4 δὲ om. F
6 ἀναγκαῖον F ἅπαντα C 10 pr. γὰρ om. C 11 τῇ ἀρετῇ ἡ κακία C
γένει F¹ 15 ταῦτα γένη coll. a ἐκάλεσαν C 16 καθ' αὑτὰ ed. Ven.
1545 et Ald. 1546: καθ' ἑαυτῶν vel αὑτῶν reliqui libri 17 Πλάτων] cf. Sophist.
c. 40 p. 254 D. E 20 δὴ] δὲ CF 21 εἶπε γένη coll. C εἶναι om. C
22 ταῖς om. C ἔστι — κατηγορίαις (23. 24) om. C 23 alt. ἐν om. F 24 τὸ]
τῷ C 25 ἔχει F μὴ τέρας] μὴ ἑτέρας C: μήτε a τῷ] τὸ a 27 καὶ ἐν
ποιῷ — χρώματι om. Marc. 217 (recte) 28 καὶ τὸ κακὸν om. F 30 εἰδοπεποιῆσθαι
Paris. 2051: εἰδοποιεῖσθαι CF: εἰδοπεποιεῖσθαι a 32 σχοίη εἶδος coll. F ὅθεν] ὥστε C

ὑποπίπτει ἡ κακία, ἀλλ' ὥσπερ ἡ στέρησις τῇ ἀπουσίᾳ τῆς ἕξεως παρα- 143r
γίνεται αὐτὴ οὐκ ἔχουσα ὡρισμένην τινὰ φύσιν, οὕτω καὶ ἡ κακία τῇ
ἀπουσίᾳ τῆς ἀρετῆς παραγίνεται ἢ καθ' ὑπερβολὴν ἢ κατ' ἔλλειψιν· ἐκείνης
γὰρ ἐν συμμετρίᾳ θεωρουμένης ἡ τοῦ μετρίου παρατροπὴ κακίαν ἐποίησε 15
5 κατά τε τὸ πλεονάζον καὶ τὸ ἐλλεῖπον. ἰστέον δὲ ὅτι εἰ καὶ ὑπὸ τὰ ἐναν-
τία τελεῖν γένη ἔφη τὰ ἐναντία, οὐ κατὰ τὸ γενικώτατον αὐτῶν γένος
εἴρηκεν, ἀλλὰ κατὰ τὸ προσεχὲς καὶ ὑπάλληλον· ἀνάγκη γὰρ πάντα τὰ
ἐναντία ὑπὸ τὸ αὐτὸ τελεῖν γένος· εἰ γὰρ καὶ ἡ ἀδικία καὶ ἡ δικαιοσύνη 20
ὑπὸ τὴν κακίαν καὶ τὴν ἀρετὴν τελοῦσιν, ἀλλὰ καὶ αὗται ὑφ' ἕν τι κοινὸν
10 τελοῦσι γένος, τὴν ἕξιν λέγω καὶ τὴν διάθεσιν, αὗται δὲ ὑπὸ τὴν ποιότητα,
ἥτις ἐστὶ γένος γενικώτατον πάντων τῶν ἐναντίων. καὶ εἰκότως ὑφ' ἓν
τὰ ἐναντία τελοῦσι γένος· ἐσπούδασε γὰρ ἄνωθέν τε καὶ κάτωθεν ἡ φύσις 25
τὸν πρὸς ἄλληλα αὐτῶν εἰδυῖα πόλεμον ἄνωθέν τε καὶ κάτωθεν αὐτὰ συν-
δῆσαι, ἄνωθεν μὲν τῷ κοινῷ γένει κάτωθεν δὲ τῷ κοινῷ ὑποκειμένῳ.

15 Περὶ τοῦ προτέρου.

p. 14a26 Πρότερον ἕτερον ἑτέρου λέγεται τετραχῶς.

Ἐμνημόνευσε τοῦ προτέρου ἐν τῷ περὶ τῶν πρός τι λόγῳ, | ἔνθα 143v
ἔλεγε τὸ ἐπιστητὸν τῆς ἐπιστήμης πρότερον εἶναι καὶ τὸ αἰσθητὸν τῆς
αἰσθήσεως. διὰ τοῦτο τοίνυν ἐνταῦθα τὰ διάφορα αὐτοῦ σημαινόμενα ἀπα-
20 ριθμεῖται καί φησιν εἶναι τὸν ἀριθμὸν τέσσαρα, καὶ πρῶτον μὲν τὸ τῷ
χρόνῳ πρότερον δεύτερον δὲ τὸ τῇ φύσει τρίτον τὸ τῇ τάξει τέταρτον τὸ 5
τῇ ἀξίᾳ. καὶ πρῶτον μὲν καὶ κυριώτατά φησι πρότερον λέγεσθαι τὸ
τῷ χρόνῳ πρεσβύτερον καὶ παλαιότερον ὄν· λέγομεν γὰρ Σωκράτην πρότερον
εἶναι τῷ χρόνῳ Ἀριστοτέλους. πρῶτον δὲ καὶ κυριώτατα τοῦτο τὸ σημαι-
25 νόμενον τοῦ προτέρου φησί, διότι καὶ ἡ συνήθεια μάλιστα πρότερον εἴωθε 15
λέγειν τὸ κατὰ χρόνον πρεσβύτερον. ἰστέον δὲ ὅτι τὸ μὲν παλαιότερον

---

1 ἀλλ' ὥσπερ] ὥσπερ C: ὡς γὰρ F 3 περιγίνεται a 4 παραδρομὴ F
5 pr. τὸ om. F τὰ om. F 6 γένος αὐτῶν coll. a 9 τὴν (alt.) om. C 9. 10 τελ. γένος κοινόν coll. C 12 ἄνωθέν τε καὶ κάτωθεν om. Paris. 2051 (recte, cf. v. 13) 13 τὸν — καὶ κάτωθεν om. C 14 ἄνω μὲν . . κάτω δὲ C 15 τοῦ om. C 16 πρότερον δὲ C 17 ἐν τῷ περὶ τῶν πρός τι λόγῳ] p. 7b23 18 τῷ ἐπιστητῷ F¹ 19. 20 αὐτῶν ἀπαρ. σημ. a 21 tert. τὸ] τῷ C 22 post ἀξίᾳ add. πρότερον F καὶ (ante πρῶτον) omisso inserit lemma πρῶτον μὲν — πρεσβύτερον καὶ παλαιότερον λέγεται a κυριώτατον C post πρότερον add. ὁ ἀριστοτέλης C 23 καὶ παλαιότερον — ἀριστοτέλους (24) om. C: καὶ παλ. — χρόνῳ (24) om. F 24 ἀριστοτέλης F πρώτως F κυριώτατον C 25 καὶ om. C 26 ἰστέον — πρεσβύτερον (192, 1) in mrg. suppl. C δὲ om. C μὲν om. C post παλαιότ. add. καὶ ἐπὶ ἐμψύχων a

καὶ ἐπὶ ἀψύχων εἴωθε λέγεσθαι, τὸ δὲ πρεσβύτερον ἐπὶ μόνων τῶν 143v
ἐμψύχων.

p. 14a29 Δεύτερον δὲ τὸ μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν.

Δεύτερον τοῦτο τοῦ προτέρου σημαινόμενον τὸ μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, τοῦτ' ἔστιν ἐφ' οὗ μὴ ἀντιστρέφει ἡ τοῦ εἶναι ἀκολούθησις· ταῦτα γὰρ λέγεται ἀντιστρέφειν κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν ἐφ' ὧν μηδὲν μᾶλλον τὸ ἕτερον τῷ ἑτέρῳ ἀκολουθεῖ ἢ τὸ λοιπὸν τῷ λοιπῷ, ὡς ὁ πατὴρ καὶ ὁ υἱός, τὸ δεξιὸν καὶ τὸ ἀριστερόν· ἐπὶ τούτων γὰρ ὁπότερον ἂν τεθῇ, ἀκολουθεῖ καὶ τὸ ἕτερον. αὕτη μὲν οὖν ἡ ἀντιστροφή. ἐνταῦθα δέ φησι πρότερον εἶναι τὸ μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, οἷον δύο τεθέντων ἐξ ἀνάγκης ἀκολουθεῖ τὸ ἕν· ἀλλ' αὕτη ἡ ἀκολούθησις οὐκ ἀντιστρέφει ἐπὶ τοῦ ἑνός· τοῦ γὰρ ἑνὸς τεθέντος οὐκ ἀνάγκη τὰ δύο ἀκολουθεῖν. ὡσαύτως καὶ ἐπὶ ζῴου καὶ ἀνθρώπου· ἀνθρώπου μὲν γὰρ ὄντος ἀκολουθεῖ τὸ ζῷον εἶναι, ζῴου δὲ τεθέντος οὐκ ἐξ ἀνάγκης ἀκολουθεῖ τὸ ἄνθρωπον εἶναι· πρότερον γὰρ τὸ ζῷον τοῦ ἀνθρώπου οὐ τῷ χρόνῳ ἀλλὰ τῇ φύσει. |

p. 14a36 Τρίτον δὲ κατά τινα τάξιν τὸ πρότερον λέγεται, καθάπερ ἐπὶ τῶν ἐπιστημῶν καὶ τῶν λόγων. 144r

Τρίτον σημαινόμενον τοῦ προτέρου τὸ τῇ τάξει πρότερον. ὥσπερ ἔχει, φησίν, ἐπὶ τῶν ἐπιστημῶν· ἔν τε γὰρ τῇ ἀποδεικτικῇ ἐπιστήμῃ προη-

1 καὶ om. C 2 ἐμψ.] ἀψ. F¹ 3 δὲ om. F 7 ταῦτα — φύσει (17)] ἤγουν τὸ συνεισφερόμενον μὲν μὴ συνεισφέρον δέ, οἷον δυοῖν ὄντοιν ἐξ ἀνάγκης ἓν ἔσται· συνεισφέρεται γὰρ τὸ ἕν· ἑνὸς δὲ ὄντος οὐκ ἐξ ἀνάγκης ἔσονται δύο. οὐ γὰρ συνεισφέρονται τῷ ἑνί. ὥστε πρότερον τὸ ἓν τῶν δύο. πάλιν ἀνθρώπου μὲν ὄντος ἐξ ἀνάγκης ἔσται ζῶον (συνεισφέρεται γὰρ τὸ ζῶον τῷ ἀνθρώπῳ) ζώου δὲ ὄντος οὐ πάντως ἔσται ἄνθρωπος· οὐ γὰρ συνεισφέρεται αὐτῷ ὁ ἄνθρωπος· πολλὰ γάρ ἐστι ζῶα, ἃ οὐκ εἰσὶν ἄνθρωποι. οὐκοῦν τὸ ζῶον πρότερον τοῦ ἀνθρώπου τῇ φύσει, ἀλλ' οὐ τῷ χρόνῳ. ἔστι μὲν δὴ σχεδὸν ἀλλοτριώτατος τῶν τρόπων οὗτος, ἐπείπερ οὗτος ἐκ τῆς ἡμετέρας προαιρέσεως τέθειται καὶ οὐκ ἐκ τῆς φύσεως τῶν πραγμάτων. Τῶν γὰρ ἀντιστρεφόντων κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. ἐὰν γάρ φησι τῶν ἀντιστρεφόντων κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν αἴτιον τοῦ εἶναι εἴη ἕτερον τοῦ ἑτέρου, ἢ ἐφ' ὧν μηδὲν μᾶλλον τὸ ἕτερον τῷ ἑτέρῳ ἀκολουθεῖ ἢ τὸ λοιπὸν τῷ λοιπῷ, εἰκότως πρότερον λέγοιτ' ἄν, οἷον ὁ πατὴρ υἱοῦ ἐστι πατήρ. ἀλλὰ καὶ πατρὸς ἀντιστρέφει ὁ υἱός. εἰ οὖν ὁ ἕτερος εὑρεθείη αἴτιος τοῦ τὸν ἕτερον εἶναι, εἰκότως λέγοιτ' ἂν τῇ φύσει πρότερος. εὑρίσκεται τοίνυν ὁ πατὴρ αἴτιος τοῦ εἶναι τὸν υἱόν· οὐκοῦν οὗτος τῇ φύσει πρότερος τοῦ υἱοῦ. ὥστε κατὰ πέντε τρόπους πρότερον ἕτερον ἑτέρου λέγοιτ' ἄν· εἰπὼν περὶ τοῦ προτέρου καὶ τοῦ ὑστέρου ἐμνημόνευσεν· ἐκ γὰρ τῆς τούτου διδασκαλίας καὶ ὁ τοῦ ὑστέρου λόγος σαφής· ἅμα γὰρ ταῦτα ὑπάρχει, ἐπεὶ καὶ τῶν πρός τί ἐστι· τὸ γὰρ πρότερον ὑστέρου λέγεται πρότερον. κατὰ τοσούτους τρόπους λέγεται τὸ πρότερον καὶ τὸ ὕστερον a (Marc. 217) λέγονται F 10 ἀκολουθῇ F 19 τῶν (prius) om. F 20 τῇ om. C 20. 21 φησὶν ἔχει coll. C

γοῦνται μὲν αἱ προτάσεις ἕπονται δὲ τὰ συμπεράσματα καὶ ἐπὶ τῆς 144r
γεωμετρίας τὰ στοιχεῖα, φησί, πρότερα τῶν διαγραμμάτων. στοιχεῖα
δὲ καλοῦσιν οἱ γεωμέτραι τὸ σημεῖον τὴν γραμμὴν τὴν ἐπιφάνειαν καὶ τὰ 20
τοιαῦτα, ὅσα τῆς τῶν θεωρημάτων ἀποδείξεως προλαμβάνεσθαι εἴωθε,
5 διαγράμματα δὲ αὐτὰ τὰ θεωρήματα. καὶ ἐπὶ τῶν γραμμάτων δὲ τῶν
μὲν λέξεων πρότεραι αἱ συλλαβαί, τῶν δὲ συλλαβῶν τὰ στοιχεῖα. τὸ αὐτὸ
καὶ ἐπὶ τῶν λόγων ἐροῦμεν· προηγοῦνται μὲν γὰρ τὰ προοίμια, ἀκολουθεῖ 25
δὲ ἡ προκατάστασις, εἶτα ἡ κατάστασις, τούτοις δὲ ἕπονται τὰ διηγήματα,
εἶτα οἱ ἀγῶνες. ταῦτα δὲ πάντα τῇ τάξει μόνῃ τὸ πρότερον ἔχουσιν,
10 οὔτε δὲ τῇ φύσει οὔτε τῷ χρόνῳ· δυνατὸν γὰρ καὶ τὸν ἄτεχνον ῥήτορα
πρῶτον μὲν χρήσασθαι τοῖς ἀγῶσιν εἶτα τοῖς προοιμίοις καὶ τότε τῷ διηγή- 30
ματι, καὶ τὸν | γεωμέτρην πρότερον ἐκθεῖναι τὸ θεώρημα εἶτα τὰ στοι- 144v
χεῖα· ὥστε ταῦτα τῇ τάξει μόνῃ τὸ πρότερον ἔχουσι. περὶ μὲν οὖν τῶν
ἄλλων ἴσως τις ἂν συγχωρήσειε μόνῃ τῇ τάξει τὸ πρότερον λέγεσθαι, ἐπὶ
15 δὲ τῶν γραμμάτων οὐκέτι μόνῃ τῇ τάξει τὰ στοιχεῖα δοκεῖ τῶν συλλαβῶν 5
ἢ τῶν ὀνομάτων ἢ τῶν λόγων εἶναι πρῶτα· οὐδὲ γὰρ οἷόν τε ἀντιστρέ-
ψαντα τὴν τάξιν πρῶτον τὰ ὀνόματα μαθεῖν εἶτα τὰς συλλαβὰς εἶτα τὰ
στοιχεῖα (ἀδύνατον γὰρ τῶν στοιχείων μὴ γνωσθέντων τὰ λοιπὰ γνωσθῆναι)
καὶ ἀναιρουμένων μὲν τῶν στοιχείων τὰ λοιπὰ συναναιρεῖται ἐκείνων δὲ 10
20 ἀναιρουμένων τὰ στοιχεῖα μένειν ἐνδέχεται. ὥστε οὐ μόνον τῇ τάξει, ἀλλὰ
καὶ τῇ φύσει τὰ στοιχεῖα πρῶτα τῶν ἐξ αὐτῶν. οὐ καλῶς ἄρα μόνῃ τῇ
τάξει ἐπὶ τῆς γραμματικῆς τὰ στοιχεῖα πρῶτα εἶναί φησιν, εἰ μή τι πρὸς
ἐκεῖνο ἀπέβλεψεν ὅτι καὶ οἱ τῶν γραμμάτων ἀνεπιστήμονες λόγους μὲν 15
εἴρειν καὶ ὀνόματα δύνανται, τὴν δὲ τῶν στοιχείων ἀγνοοῦσι δύναμιν, ἀλλὰ
25 δηλονότι κἂν ἀπὸ τριβῆς διαλέγωνται, τὰ μὲν σημαινόμενα τῶν φωνῶν
ἴσασιν, αὐτὴν μέντοι τὴν κατὰ τὴν φωνὴν τοῦ λόγου δύναμιν ἀγνοοῦσι, 20
τὰ ἐξ ὧν σύγκειται ἀγνοοῦντες.

p. 14b4 Ἔτι παρὰ τὰ εἰρημένα τὸ βέλτιον καὶ τὸ τιμιώτερον.

Οὗτος ὁ τέταρτος τοῦ προτέρου τρόπος, λέγω δὴ τὸ τιμιώτερον, ὅπερ
30 ἡ συνήθεια πρότερον καλεῖ. ἀλλότριον δὲ τοῦτο παντελῶς τῶν τοῦ προ-
τέρου σημαινομένων, διόπερ καὶ αὐτὸς τοῦτο μὲν ἀθετεῖ, πέμπτον δέ τινα 30
τρόπον | ἐφεξῆς ἀντὶ τούτου φησίν, ἵνα πληρώσῃ τὰ τέσσαρα τοῦ προ- 145r
τέρου σημαινόμενα. διὸ καὶ τὰ διάφορα τοῦ ἅμα σημαινόμενα ἀπαριθ-

2 ante pr. στοιχ. add. γὰρ CF 6 πρότερα C 7 γὰρ om. C 9 μόνῃ om. C 10 καὶ om. C τὸν αὐτὸν ἄτ. F 11 πρῶτον F¹a: πρώτοις CF² μὲν om. a alt. τοῖς et τῷ om. F 13 μόνον (sic Ca) post ἔχουσι coll. C μὲν οὖν] γοῦν C 14 ἂν τις χωρήσειε C 17 μαθεῖν] θεῖναι F 18 μὴ γνωσθ. τῶν στ. coll. C γνωρισθ. (utrobique) F 19 συναναιρεῖσθαι C 20 μόνῃ C 21 τὰ στοιχεῖα om. C 22 τι] που a 23 ἐπέβλ. C 24 ἀγνοεῖν Ca 25 ὑπὸ Ca διαλέγονται a 27 σύγκεινται C 28 τὸ (alt.) om. a 29 τρόπος] λόγος CF 32 ἀντὶ τοῦ τοιούτου C

μούμενος καὶ ἑκάστῳ τῶν τοῦ προτέρου σημαινομένων ἕνα τῶν τοῦ ἅμα 145r
τρόπων ἀντιτάξας, τούτῳ μόνῳ οὐκ ἀντέθηκε παντελῶς ἐξορίζων αὐτὸ τῶν 5
τοῦ προτέρου σημαινομένων.

p. 14b10 Δόξειε δ' ἂν παρὰ τοὺς εἰρημένους καὶ ἕτερος εἶναι
5 προτέρου τρόπος· τῶν γὰρ ἀντιστρεφόντων κατὰ τὴν τοῦ εἶναι
ἀκολούθησιν τὸ αἴτιον ὁπωσοῦν θατέρῳ τοῦ εἶναι πρότερον
εἰκότως τῇ φύσει λέγοιτ' ἄν. 10

Πέμπτον προστίθησι τοῦτον· ὁ γὰρ τέταρτος, ὡς εἴρηται, ἀλλότριος ἦν 20
τῶν τοῦ προτέρου σημαινομένων, ἐπειδήπερ ἀπὸ τῆς ἡμετέρας προαιρέσεως
10 καὶ οὐκ ἀπὸ τῆς φύσεως τῶν πραγμάτων ὑπῆρχεν. ἔστι δὲ τὸ δεύτερον
τῷ πέμπτῳ ἐναντίον· ἐκείνου γὰρ μὴ ἀντιστρέφοντος κατὰ τὴν τοῦ εἶναι
ἀκολούθησιν μήτε αἰτίου ὄντος τοῦ ἑτέρου τῷ ἑτέρῳ, τοῦτο καὶ ἀντιστρέφει 25
καὶ αἴτιόν ἐστι τοῦ ἑτέρου τὸ ἕτερον, οἷον ὁ πατὴρ καὶ ὁ υἱός· ταῦτα γὰρ
καὶ ἀντιστρέφει πρὸς ἄλληλα κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν (ὁπότερον
15 γὰρ ἂν τεθῇ, τὸ ἕτερον πάντως ἀκολουθεῖ), ἔστι μέντοι καὶ τὸ ἕτερον αἴτιον
τοῦ λοιποῦ, ὁ πατήρ φημι τοῦ υἱοῦ. | ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τοῦ πρά- 145v
γματος καὶ τοῦ ἀληθοῦς περὶ αὐτοῦ λόγου· καὶ τούτων γὰρ ἀντιστρεφόντων
κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν τὸ ἕτερον τῷ ἑτέρῳ αἴτιόν ἐστιν· οἷόν 10
ἐστι Σωκράτης φιλόσοφος καὶ λόγος τις περὶ αὐτοῦ λέγων ὅτι φιλόσοφός
20 ἐστιν. ὁπότερον οὖν τούτων τεθῇ, ἐξ ἀνάγκης ἀκολουθεῖ καὶ τὸ ἕτερον·
εἰ γὰρ ἀληθὴς ὁ λόγος ὁ λέγων ὅτι φιλόσοφός ἐστιν, ἀνάγκη εἶναι τὸν
Σωκράτην φιλόσοφον, καὶ εἰ ἔστι Σωκράτης φιλόσοφος, ἐξ ἀνάγκης ἀληθὴς 15
ὁ λόγος ὁ λέγων ὅτι φιλόσοφός ἐστιν. ἀλλ' εἰ καὶ ταῦτα ἀντιστρέφει πρὸς
ἄλληλα, αἴτιον μέντοι τοῦ εἶναι τὸν λόγον ἀληθῆ τὸ πρᾶγμά ἐστιν· εἰ μὴ
25 γὰρ ἦν τὸ πρᾶγμα, οὐκ ἂν ἦν ὁ περὶ αὐτοῦ λόγος ἀληθής.

p. 14b22 Ὥστε κατὰ πέντε τρόπους πρότερον ἕτερον ἑτέρου
λέγοιτο ἄν.

Εἰπὼν δὲ περὶ τοῦ προτέρου οὐκέτι τοῦ ὑστέρου ἐμνημόνευσεν· ἐκ 20
γὰρ τῆς τοῦ προτέρου διδασκαλίας σαφὴς ἦν ἡ τοῦ ὑστέρου· ἅμα γὰρ
30 ταῦτα ὑπάρχει καὶ τῶν πρός τί ἐστι. διὸ καὶ ἑνὸς γνωσθέντος ἐγνωσμένον

---

1 ἑκάστου τοῦ τῶν πρ. a alt. τῶν] τὸν C 2 τρόπον Ca 4 ante lemma add. φησὶ δὲ C post ἂν add. καὶ C: τις Fa καὶ om. Fa 5 ante προτ. add. τοῦ F 7 τῇ om. F λέγεται (ἄν om.) F 8 τοῦτο F 10 καὶ om. C τῆς om. CF 10. 11 τὸ πέμπτον τῷ δευτέρῳ a 13 τὸ ἕτ. τοῦ ἑτ. αἴτιόν ἐστιν coll. C 15 ἂν om. C καὶ om. Ca 16 φησι C δὲ om. a 17 τοῦ αὐτοῦ F 19 τις om. F post τις add. ἐστι a 20 ὁπότερον — φιλοσοφός ἐστὶν (21) om. C 22 σωκράτη F 23 ὁ λέγων λόγος F 24 μέντοι Paris. 2051: μὲν CFa 25 τὸ om. C ἀληθής post αὐτοῦ coll. F: post ἦν a 26 πρότερον om. F: post ἄν coll. C: post ἑτέρου coll. a: correxi ex Paris. 2051 27 λέγεται Arist. 28 post οὐκέτι add. περὶ Fa 30 ὑπάρχουσι C εἰσι C τοῦ ἑνὸς C

ἐστὶ καὶ τὸ ἕτερον· τὸ γὰρ πρότερον ὑστέρου λέγεται πρότερον καὶ τὸ 145ᵛ
ὕστερον προτέρου λέγεται ὕστερον. ὥστε καθ' ὅσους τρόπους λέγεται τὸ 25
πρότερον, κατὰ τοσούτους ῥηθήσεται καὶ τὸ ὕστερον· τῶν γὰρ πρός τι ὡς
ἂν ἔχῃ τὸ ἕτερον, οὕτως ἔχει καὶ τὸ λοιπόν.

Περὶ τοῦ ἅμα.

p. 14ᵇ24 Ἅμα δὲ λέγεται ἁπλῶς μὲν καὶ κυριώτατα, ὧν ἡ γένεσίς ἐστιν ἐν τῷ αὐτῷ χρόνῳ. |

Ἐμνημόνευσε καὶ τοῦ ἅμα ἐν τῷ περὶ τοῦ πρός τι λόγῳ, ἔνθα 146ʳ
ἔλεγε "δοκεῖ δὲ τὰ πρός τι ἅμα τῇ φύσει εἶναι", διὸ νῦν εἰκότως τὸν περὶ
10 αὐτοῦ ποιεῖται λόγον. ἐπειδὴ δὲ ἀντίκειται τὸ ἅμα τῷ προτέρῳ, παραδί- 5
δωσι τριττὴν τοῦ ἅμα διαφοράν. καὶ τὸν μὲν πρῶτον τρόπον ἀντιτίθησι τῷ
πρώτῳ τοῦ προτέρου τρόπῳ, τὸν δὲ δεύτερον τῷ δευτέρῳ καὶ τῷ πέμπτῳ, τὸν
δὲ τρίτον τῷ τρίτῳ, τῷ δὲ τετάρτῳ οὐδένα ἀντιτίθησι τρόπον· καὶ γὰρ ἔφθην
εἰπὼν ἀλλοτριώτατον αὐτὸν εἶναι τῶν τοῦ προτέρου σημαινομένων. πρῶτον 10
15 οὖν τοῦ ἅμα τρόπον φησίν, ὃν καὶ κυριώτατον εἶναι λέγει, τὸν κατὰ χρόνον·
οἷον εἴ τινες δύο ἢ πλείους ἐν τῷ αὐτῷ χρόνῳ τὴν γένεσιν ἔχοιεν. εἰκότως
δὲ τοῦτον κυριώτατά φησι· καὶ γὰρ ἐπὶ τούτων μάλιστα ἡ συνήθεια τὸ
ἅμα φέρει, ἐπὶ τῶν κατὰ τὸν αὐτὸν χρόνον ὑπαρχόντων. ἀντίκειται δὲ 15
οὗτος, ὡς ἔφαμεν, τῷ πρώτῳ τοῦ προτέρου σημαινομένῳ, ὅπερ καὶ αὐτὸ
20 μάλιστα καὶ κυριώτατα πρότερον ἐλέγετο εἶναι, λέγω δὴ τὸ κατὰ χρόνον,
ὡς Σωκράτης καὶ Ἀλκιβιάδης· πρότερος γὰρ τῷ χρόνῳ ὁ Σωκράτης. εἰ 20
τοίνυν τὸ τῷ χρόνῳ πρότερον μάλιστα ἂν λεχθείη καὶ κυριώτατα πρότερον,
ἀντίκειται δὲ τῷ προτέρῳ τὸ ἅμα, καὶ τὸ τῷ χρόνῳ ἅμα κυριώτατον ἂν
λεχθείη.

25 p. 14ᵇ27 Φύσει δὲ ἅμα, ὅσα ἀντιστρέφει μὲν κατὰ τὴν τοῦ εἶναι 25
ἀκολούθησιν, μηδαμῶς δὲ αἴτιον θάτερον θατέρῳ τοῦ εἶναί ἐστιν.

Οὗτος ὁ δεύτερος τοῦ ἅμα τρόπος, ἀντίκειται δὲ τῷ δευτέρῳ καὶ τῷ 30

---

2 λέγεται (prius) om. a 4 ἔχει οὕτως καὶ τὸ ἕτερον (sic) F 5 tit. om. C¹: περὶ τῶν ἅμα suppl. C² 6 μὲν om. C κυριώτατον F 7 ἐστίν om. F: post χρόνῳ coll. C 8 τῶν πρός τι a 9 ἔλεγε] p. 7ᵇ15 10 λόγον π. coll. C 12 τὸ πέμπτω F¹ 13 ἔφθη CF (cf. p. 193,30) 17 τοῦτο CF κυριώτατον a τὸ] τὰ F 18 καὶ ἐπὶ τῶν C 19 σημαινομένου F¹ ὃ C 20 κυριώτατον CF πρότερον] πρῶτον F τὸν χρόνον F 22 τὸ τῷ] αὐτῷ a μάλιστα scripsi: μᾶλλον Ca: om. F κυριώτατον C 23 κυριώτερον Fa 24 post λεχθείη add. ἅμα δέ ἐστι τὰ μήτε πρότερα μήτε ὕστερα a 25 τὴν om. F

πέμπτῳ τοῦ προτέρου σημαινομένῳ, τῷ | μὲν δευτέρῳ, ὅτι ἐκεῖ μὲν τὸ 146v
πρότερον ἐλέγομεν τὸ μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν,
ὡς τὸ ἓν καὶ τὰ δύο (οὐδὲ γὰρ ὥσπερ ἠκολούθει τὸ ἓν τοῖς δυσίν, οὕτως
καὶ τὰ δύο τῷ ἑνί), ἐνταῦθα δὲ ἅμα φησὶ τὸ ἀντιστρέφον κατὰ τὴν τοῦ 5
5 εἶναι ἀκολούθησιν, ὡς τὸ διπλάσιον καὶ τὸ ἥμισυ· ὥσπερ γὰρ διπλασίου
ὄντος ἀκολουθεῖ τὸ εἶναι ἥμισυ, οὕτω καὶ ἡμίσεος ὄντος ἐξ ἀνάγκης
ἀκολουθεῖ τὸ εἶναι διπλάσιον. τῷ δὲ πέμπτῳ ἀντίκειται, ὅτι ἐκεῖ
μὲν ἐλέγετο πρότερον εἶναι τὸ ἀντιστρέφον μὲν κατὰ τὴν τοῦ εἶναι
ἀκολούθησιν, τῷ ἑτέρῳ μέντοι τοῦ εἶναι αἴτιον ὑπάρχον τὸ λοιπόν, ὡς ἐπὶ 10
10 τοῦ πατρὸς ἐλέγετο καὶ τοῦ υἱοῦ· ταῦτα γὰρ εἰ καὶ ἀντιστρέφει κατὰ τὴν
τοῦ εἶναι ἀκολούθησιν (ὁποίου γὰρ οὖν τεθέντος ἀκολουθεῖ καὶ τὸ ἕτερον),
ἀλλ' οὖν ὁ πατὴρ αἴτιος τοῦ εἶναί ἐστι τῷ υἱῷ· διὸ καὶ πρότερος ἐλέγετο
εἶναι. ἐνταῦθα δὲ ἅμα λέγεται τὰ ἀντιστρέφοντα μὲν κατὰ τὴν τοῦ εἶναι 15
ἀκολούθησιν, μηδαμῶς δὲ τὸ ἕτερον τῷ ἑτέρῳ ἐστὶν αἴτιον, λέγω δὴ τὸ
15 διπλάσιον καὶ τὸ ἥμισυ· ταῦτα γὰρ καὶ ἀντιστρέφει (ἑνὸς γὰρ τεθέντος ἐξ
ἀνάγκης εἰσάγεται καὶ τὸ ἕτερον) καὶ οὐδέτερον τῷ ἑτέρῳ αἴτιον τοῦ εἶναί
ἐστι.

p. 14b33 Καὶ τὰ ἐκ τοῦ αὐτοῦ δὲ γένους ἀντιδιῃρημένα ἀλλήλοις ἅμα τῇ φύσει λέγεται. |

20 Οὗτος τρίτος τοῦ ἅμα τρόπος, ὃς ἀντίκειται τῷ τρίτῳ τοῦ προτέρου 147r
σημαινομένῳ τῷ κατὰ τὴν τάξιν προτέρῳ, οἷα ἦν τὰ στοιχεῖα ἐν ταῖς
συλλαβαῖς καὶ ἐν ταῖς λέξεσιν αἱ συλλαβαὶ καὶ τὰ προοίμια ἐν τοῖς λόγοις.
ἐνταῦθα δὲ ἅμα ἐστὶ τὰ τὴν αὐτὴν ἐκ τοῦ προτέρου τάξιν ἔχοντα, οἷά
ἐστι τὰ ἐκ τῆς αὐτῆς διαιρέσεως εἰλημμένα γένη, ὡς τὸ σῶμα καὶ τὸ
25 ἀσώματον· ταῦτα γὰρ ἔκ τε τῆς οὐσίας τὴν αὐτὴν ἔχει ἀπόστασιν ἔκ τε 20
τῶν εἰδικωτάτων εἰδῶν, ἀνθρώπου λέγω καὶ ἵππου, ἀγγέλου καὶ ψυχῆς.
ὡσαύτως τὸ ἔμψυχον καὶ τὸ ἄψυχον ἅμα λέγεται· ἐκ γὰρ τοῦ ἁπλῶς
σώματος τὴν αὐτὴν ἔχει ἀπόστασιν καὶ ἐκ τοῦ ζῴου. ἔτι τὸ πεζὸν καὶ
τὸ πτηνὸν καὶ τὸ ἔνυδρον καὶ πάντα τὰ τοιαῦτα ἅμα λέγεται· οὐδὲν γὰρ 25

---

1 σημαινομένου C τὸ om. F 2 ἐλέγομεν om. F (cf. p. 192,5) 3 γὰρ om. F δύο F 6 et 7 καὶ τὸ εἶναι C 6 ἐξ ἀν. post ἀκολ. (7) coll. C: post διπλ. a 7 ἐκεῖ scripsi: ἐκεῖνο libri (cf. v. 1) 8 alt. μὲν om. C τὴν κατὰ coll. F 9 ὑπῆρχε Fa 11 οὖν om. C 12 ἐστὶ τοῦ εἶναι coll. C 14 τῷ ἑτ.] τοῦ ἑτέρου Fa ἐστὶν] an ὄν? αἴτιον post δὲ coll. C λέγεται C 17 ἐστι] δοκεῖ F post ἐστι add. ex Marc. 217 εἰς δὲ τὸ 'μηδαμῶς δ' αἴτιον θάτερον θατέρῳ' δεῖ προσθεῖναι τὸ μόνως, ἐπεὶ ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ αὐτὸ τὸ διπλάσον καὶ τὸ ἥμισυ ἀπορίαν ποιεῖ. τό τε γὰρ διπλάσιον τοῦ ἡμίσεος αἴτιον, εἰ καὶ μὴ μόνως. καὶ γὰρ καὶ αἰτιατόν ἐστιν, ἔχον αἴτιον τὸ ἥμισυ. ὡσαύτως καὶ ὁ πατὴρ τοῦ υἱοῦ κατὰ τὴν σχέσιν αἴτιον ὧν ἔχει αἴτιον τὸν υἱόν. προσκεῖσθαι δεῖ οὖν τὸ μόνως. τοῦτο γὰρ καὶ κυρίως αἴτιον τὸ μόνως αἴτιον, ἀλλὰ καὶ μὴ αἰτιατὸν τοῦ οὗ ἐστιν αἴτιον. a 18 δὲ om. Fa 20 τοῦ ἅμα τρίτος coll. C 21 τὴν om. a 24 διαρ. αὐτ. coll. C 27 ὡσ. καὶ a τὸ (alt.) om. F 28. 29 τὸ πτ. καὶ τὸ πεζὸν coll. C 29 λέγονται a

αὐτῶν ἕτερον ἑτέρου πρότερόν ἐστιν· ἔκ τε γὰρ τοῦ ἀνωτάτου γένους ἴσην 147r
καὶ τὴν αὐτὴν ἔχει ἀπόστασιν ἔκ τε τοῦ εἰδικωτάτου εἴδους ὁμοίως. ἐὰν
δέ τις διέλῃ τὸ πτηνόν, εἰ τύχοι, εἰς ὄρνιθας καὶ ἀκρίδας, οὐκέτι ἡ ὄρνις
καὶ τὸ πτηνὸν ἅμα λέγεται, ἀλλὰ πρότερον τὸ πτηνόν, διότι ἐκ τῆς διαι- 30
5 ρέσεως τοῦ ζῴου εἴληπται, ἡ δὲ ὄρνις ἐκ τῆς τοῦ πτηνοῦ διαιρέσεως· ἀεὶ
δὲ | πρότερα τὰ γένη τῶν εἰδῶν, ἐπειδὴ μηδὲ ἀντιστρέφει κατὰ τὴν 147v
τοῦ εἶναι ἀκολούθησιν· τοῦ μὲν γὰρ εἴδους τεθέντος ἐξ ἀνάγκης ἀκολουθεῖ
τὸ γένος, τῶν δὲ γενῶν τεθέντων οὐκ ἐξ ἀνάγκης ἀκολουθεῖ τὰ εἴδη.

Περὶ κινήσεως. 5

10 p. 15a13 Κινήσεως δέ ἐστιν εἴδη ἕξ· γένεσις φθορὰ αὔξησις
μείωσις ἀλλοίωσις ἡ κατὰ τόπον μεταβολή.

Ὁ περὶ κινήσεως λόγος πρέπων μέν ἐστιν ἀνδρὶ φυσιολόγῳ· πάντα
γὰρ τὰ φυσικὰ πράγματα ἐν κινήσει ἔχει τὸ εἶναι· καὶ γάρ ἐστιν ἡ φύσις, 15
ὡς αὐτὸς ὡρίσατο, ἀρχὴ κινήσεως καὶ ἠρεμίας. διόπερ καὶ ἐν τῇ Φυσικῇ
15 ἀκροάσει πολὺν περὶ αὐτῆς ἀποτείνει λόγον καὶ ἀκριβέστατον. ζητητέον
δὲ τίνος ἕνεκεν ἐνταῦθα ταύτης ἐμνήσθη. τινὲς μὲν οὖν εἰρήκασιν ὅτι
ἐπειδὴ τῶν κατηγοριῶν αἱ τοῦ ποιεῖν καὶ πάσχειν κινήσεις ἦσαν, οὐδὲν 20
δὲ εἶπε περὶ αὐτῶν, διὰ ταύτην τὴν αἰτίαν ἐνταῦθα τὸν περὶ τῆς κινήσεως
ποιεῖται λόγον· μήποτε γάρ, φασίν, ἡ μὲν κίνησίς ἐστι γένος, εἴδη δὲ τῆς
20 κινήσεως ἄλλα τε πολλὰ καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν. τινὲς μὲν οὖν
οὕτω περὶ τούτων διωρίσαντο. οὐκ ἀποδεκτέον δὲ τὸν τοιοῦτον λόγον· οὐ 25
γὰρ προήρηται ὁ φιλόσοφος περὶ τοῦ ποιεῖν καὶ πάσχειν πλέον τι τῶν
ἐξ ἀρχῆς εἰρημένων εἰπεῖν. ἄλλως τε καί, ὡς ἐν ἀρχαῖς ἐλέγομεν, τὸ
μὲν κινεῖν ὑπὸ τὸ ποιεῖν ἀνάγεται καὶ τὸ κινεῖσθαι ὑπὸ τὸ πάσχειν, αὕτη
25 μέντοι ἡ κίνησις οὐκέτι· οὐ γάρ ἐστιν ἡ κίνησις ποιεῖν· ἐλέγομέν γε ὅτι 30

---

1 τε om. C 2 εἴδους ex γένους corr. F 3 διέλοι CF 4 λέγονται a
6 ante πρότερα add. τὰ F μηδὲ] μὴ C 8 καὶ τὸ γένος C οὐκ om. C
τὰ εἴδη] καὶ τὸ εἶδος C 10. 11 μείωσις αὔξ. coll. F 11 καὶ ἡ a 12 ante
ὁ περὶ add. ex Marc. 217 ὅτι ἡ κίνησις ἐν ταῖς κατηγορίαις ὁρᾶται, οὐχ ὑπὸ ταύταις τελεῖ. ἐν γὰρ τῇ οὐσίᾳ γένεσις καὶ φθορά, ἀλλ' οὐκ οὐσία ἡ γένεσις καὶ ἡ φθορά, οὔτε ἡ αὔξησις καὶ ἡ μείωσις ποσόν, ἀλλ' οὐδὲ ἡ ἀλλοίωσις ποιότης, ἀλλ' οὐδὲ ἡ τοπικὴ κίνησις ποῦ λέγεται, ἀλλ' οὐδὲ πρός τι, ὅτι μηδὲ τὸ εἶναι ἔχει ἡ κίνησις ἐν τῷ πρός τί πως ἔχειν. Ἰστέον δὲ ὅτι a τῆς κιν. C 14 αὐτὸς ὡρίσατο] Phys. Γ 1 p. 200b11 ἠρεμ.] μεταβολῆς Arist. διὸ C 14. 15 ἐν τῇ Φυσ. ἀκρ.] Γ 1 p. 200b11 sq.
15 πολλὺν C ἀκριβέστερον Fa 16 ἕνεκεν] ἕκατι C ταύτης ἐντ. coll. C
οὖν om. C εἰρήκ.] ἐνόμισαν C 17 αἱ] ἡ F 19 μήπως a φασίν scripsi: φησίν libri 20 οὖν om. C 21 τούτων] αὐτῶν C ὡρίσ. CF 22 προείρηται C 23 ἐλέγομεν] p. 8,23 24 ἀνάγεται — ποιεῖν (25) a: om. CF
25 ἐλέγομεν] p. 48,25 γε] τε a

αἱ κινήσεις οὐ κατηγορίαι εἰσὶν ἀλλ' ὁδοὶ εἰς τὰς κατηγορίας. τί οὖν ἡμεῖς | 147v
λέγομεν; ὅτι ὥσπερ τῶν προλαβουσῶν φωνῶν τὴν διδασκαλίαν ἐποιή- 148r
σατο διὰ τὸ μεμνημονευκέναι αὐτῶν ἐν τῇ τῶν κατηγοριῶν διδασκαλίᾳ,
οὕτω δὴ κἀπὶ τῆς κινήσεως ἐροῦμεν· ἐμνημόνευσε γὰρ τῆς κινήσεως ἐν
5 τῷ περὶ τῆς οὐσίας λόγῳ· ἀποδεδωκὼς γὰρ τὸ τῆς οὐσίας ἴδιον τὸ ἓν 5
καὶ ταὐτὸν τῷ ἀριθμῷ παρὰ μέρος τῶν ἐναντίων εἶναι δεκτικὸν καὶ πρὸς
τοῦτο ἠπορηκὼς ὅτι μήποτε οὐκ ἔστι τοῦτο ἴδιον τῆς οὐσίας (οὐδὲ γὰρ
αὐτῇ μόνῃ ὑπάρχει, ἀλλὰ καὶ τῷ λόγῳ καὶ τῇ δόξῃ· καὶ ταῦτα γὰρ ἓν
καὶ ταὐτὸν μένοντα τῷ ἀριθμῷ παρὰ μέρος τῶν ἐναντίων ἐστὶ δεκτικά. 10
10 ἀληθείας λέγω καὶ ψεύδους), ἐπήγαγεν ἐπιλυόμενος τὴν ἀπορίαν ὅτι οὐ
κατὰ ταὐτὸν τῇ οὐσίᾳ ταῦτα τῶν ἐναντίων ἐστὶ δεκτικά· ἡ μὲν γὰρ
οὐσία αὐτὴ κινουμένη τῶν ἐναντίων γίνεται δεκτική, ἐκεῖνα δὲ οὐκ αὐτὰ
κινούμενα ἀλλ' ἑτέρων κινουμένων ἐπιδέχονται ἀλήθειαν καὶ ψεῦδος. διὰ 15
τοῦτο τοίνυν ἐπειδὴ ἐμνήσθη ἐκεῖσε τῆς κινήσεως, ἀναγκαῖον ἐνόμισεν
15 ἐκδιδάξαι ἡμᾶς περὶ αὐτῆς. ὡς μὲν οὖν φθάσας εἶπον, φυσικῷ ἀνδρὶ ὁ περὶ
τῆς κινήσεως πρεπώδης ἐστὶ λόγος καὶ αὐτὸς γοῦν τῶν ὀκτὼ τῆς Φυσικῆς
ἀκροάσεως λόγων τοὺς ὑστέρους τέσσαρας εἰς τὸν περὶ κινήσεως κατηνά- 20
λωσε λόγον· ἐνταῦθα δὲ τοσοῦτον περὶ αὐτῆς διαλέγεται, ὅσον λογικῷ
ἀνδρὶ πρέπει ζητεῖν, εἰς πόσα εἴδη διαιρεῖται ἡ κίνησις καὶ τίνα ἐστὶν
20 αὐτῆς τὰ εἴδη καὶ τίνα τίσιν ἕπονται ἢ οὔ.

p. 15a33 Κινήσεως δέ ἐστιν εἴδη ἕξ· γένεσις φθορὰ αὔξησις μείωσις ἀλλοίωσις ἡ κατὰ τόπον μεταβολή. 25

Ἐν τῷ τῆς κινήσεως λόγῳ τρία ταῦτα ζητοῦνται· πόσα τὰ εἴδη | τῆς κινήσεώς εἰσι καὶ τίνι διακρίνονται ἀλλήλων καὶ τρίτον ἐπὶ τούτοις 148v
25 ποίῳ εἴδει κινήσεως ποῖον ἀντίκειται. πόσα μὲν οὖν εἴδη κινήσεως, αὐτὸς φθάσας ἀπηριθμήσατο ἕξ εἶναι λέγων. ἀλλ' ἵνα καὶ ἐπιστημονικῶς τοῦτο γινώσκωμεν ἡμεῖς διὰ τί ἕξ εἰσι τὰ εἴδη τῆς κινήσεως καὶ οὔτε 5 πλείονα οὔτε ἐλάττονα, ἐκ διαιρέσεως παραγάγωμεν τὸν λόγον. λέγομεν οὖν ὅτι τρία τινά ἐστι περὶ τὴν ἡμετέραν φύσιν θεωρούμενα, αὐτὴ ἡ οὐσία

---

1 ὁδὸς a 2 ὅτι om. C 4 κἐπὶ F post γὰρ add. περὶ F 4. 5 ἐν τῷ π. τῆς οὐσ. λ.] p. 4a10 sq. 5 γὰρ om. a 6 δεκτικὴν a 7 τούτω (pr. l.) C οὐδὲ] οὐ a 8 καὶ ταῦτα μὲν γὰρ F: καὶ γὰρ ταῦτα a 9 et 11 εἰσὶ F 10 λέγω om. C 13 δέχονται a 14 ἐκεῖσε om. a 15 εἶπον] p. 197,12 16 ἐστὶ om. CF οὖν C φυσ.] φύσεως F 17 τῆς κιν. a 18 αὐτῶν Ca 19 πρέπει] ὑπάρχει F ζητῶν F 21 lemma om. C ἐστιν om. F 22 post lemma add. ex Marc. 217 διὰ τί ἐστιν ἡ κίνησις ἑξαχῶς; διότι ἡ κίνησις ἔκστασίς τίς ἐστι καὶ ἐξάλλαξις. ἐξίσταται δέ τι ἢ τῆς ἑαυτοῦ οὐσίας καὶ ποιεῖ γένεσιν καὶ φθοράν, ἢ τῶν ἐν αὐτῇ τῇ οὐσίᾳ κατὰ τὸ ποσὸν καὶ ποιεῖ αὔξησιν καὶ μείωσιν, ἢ κατὰ τὸ ποιὸν καὶ ποιεῖ ἀλλοίωσιν, ἢ τῶν περὶ ἑαυτὸ καὶ ποιεῖ τὴν κατὰ τόπον μεταβολήν. Ἰστέον δὲ ὅτι a 23 Ἔτι ἐν C 24 pr. καὶ om. C τίσι a καὶ τρίτον ἐπὶ τούτοις om. C 25 εἴδη (pr. l.) C¹ ποῖον ἀντίκειται suppl. C² 26 καὶ om. C 27 καὶ ἡμεῖς CF 28 προάγωμεν F

τὰ ἐν τῇ οὐσίᾳ τὰ περὶ τὴν οὐσίαν· τὰ μὲν ἐν αὐτῇ, ὡς εἰς μεγάλα μέρη 148ᵛ διελεῖν, εἰσὶ τὸ ποσὸν καὶ τὸ ποιόν (εἰς μεγάλα δὲ εἴπομεν, ὅτι εἰ καὶ ἄλλαι κατηγορίαι εἰσὶν ἐν τῇ οὐσίᾳ, ἀλλ' οὖν ἐκ τούτων ἔχουσι τὴν γενέσιν, ὡς φθάσαντες εἴπομεν), περὶ τὴν οὐσίαν δέ ἐστιν ὁ τόπος [καὶ ὁ χρόνος]. τριῶν οὖν τούτων ὄντων τῆς μὲν οὐσίας κίνησίς ἐστιν ἡ γένεσις καὶ φθορά, τῆς δὲ ποιότητος ἀλλοίωσις, τῆς δὲ ποσότητος αὔξησις καὶ μείωσις, τοῦ δὲ τόπου ἡ κατὰ τόπον μεταβολή, ἥτις καλεῖται φορά. τῆς δὲ φορᾶς ἡ μὲν καλεῖται εὐθυφορία, ἡ ἄνω καὶ κάτω, ἡ δὲ περιφορά, ἡ ἐπὶ τὸ πέριξ ὡς ἡ τοῦ οὐρανοῦ. ἐνταῦθα μὲν οὖν ταῦτα τὰ ἓξ φησιν εἴδη τῆς κινήσεως εἶναι, τὴν φορὰν οὐ διαιρῶν εἰς εὐθυφορίαν καὶ κυκλοφορίαν, ἐν δὲ τῇ Φυσικῇ ἀκροάσει τὴν μεταβολὴν γένος εἶναι βούλεται καὶ ταύτης εἶναι εἴδη τρία, κίνησιν γένεσιν φθοράν· ἀντιδιαιρεῖ γὰρ ἐκεῖ τῇ γενέσει καὶ τῇ φθορᾷ τὴν κίνησιν· οὐ γὰρ βούλεται ἐν ἐκείνοις τὴν γένεσιν μενόντων τινῶν καὶ εἰδοποιηθέντων εἶναι μεταβολὴν κατά τι τῶν περὶ αὐτὰ συμβεβηκότων. διό φησι τὰ κινούμενα κινεῖσθαι ἢ κατὰ ποσὸν ἢ κατὰ ποιὸν ἢ κατὰ τόπον φυλάττοντα τὸ ἐξ ἀρχῆς οὐσιῶδες εἶδος. ἐπὶ δὲ τῆς γενέσεως καὶ τῆς φθορᾶς οὐ μένει τὸ ἐξ ἀρχῆς εἶδος ἐν τῷ μεταβάλλοντι, διότι ἡ μὲν γένεσις ὁδός ἐστιν ἀπὸ τοῦ πῇ μὴ ὄντος εἰς τὸ πῇ ὄν, τοῦτ' ἔστιν ἀπὸ τοῦ δυνάμει ὄντος εἰς τὸ ἐνεργείᾳ ὄν, ἡ δὲ φθορὰ ὁδός ἐστι πάλιν ἀπὸ τοῦ ὄντος εἰς τὸ μὴ ὄν. ἐνταῦθα μέντοι ἐπειδὴ | εἰσαγωγικόν 149ʳ ἐστι τὸ βιβλίον καὶ λογικὸν μᾶλλον, οὐ φυσικόν, οὐκ ἀκριβολογεῖται περὶ τούτων, ἀλλὰ καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν κινήσεις εἶναι λέγει· οὐ γὰρ ὡς φυσικὸς ἐνταῦθα διαλέγεται, ἀλλ' ὡς λογικός, ζητῶν ἐν τούτοις τίνα τίσιν ἕπεται ἢ οὐχ ἕπεται.

p. 15ᵃ15 Αἱ μὲν οὖν ἄλλαι κινήσεις φανερὸν ὅτι ἕτεραι ἀλλήλων εἰσίν· οὐ γάρ ἐστιν ἡ γένεσις φθορὰ οὐδέ γε ἡ αὔξησις μείωσις οὐδὲ ἡ κατὰ τόπον μεταβολή, ὡσαύτως δὲ καὶ αἱ ἄλλαι.

Ἀπαριθμησάμενος τὰ εἴδη τῆς κινήσεως ἐντεῦθεν λοιπὸν διακρίνει ταῦτα ἀλλήλων καὶ δείκνυσι πῶς οὐκ εἰσὶ τὰ αὐτά· οὔτε γὰρ ἡ γένεσις,

---

1 καὶ τὰ περὶ C εἰς om. a 2 εἰς scripsi: ὡς libri 3 εἰσὶν post οὐσίᾳ coll. a 4 εἴπομεν] p. 163,8 καὶ ὁ χρόνος inclusi 5. 6 ἡ φθορά . . ἡ ἀλλ. . . ἡ αὔξ. καὶ ἡ μ. a 7 τόπου δὲ C: δὲ ποῦ a 8 post ἄνω add. δηλαδὴ a τὸ] τοῦ Ca 9 post οὐρανοῦ add. ἡ κίνησις ἢ κατ' οὐσίαν ἢ κατὰ ποσὸν ἢ κατὰ ποιὸν ἢ κατὰ τόπον· γένεσις φθορὰ αὔξησις μείωσις ἀλλοίωσις (τόπος add. C) φορὰ εὐθυφορία περιφορία CF ταῦτα om. C φησὶ τὰ ἓξ coll. C 10 εἶναι post φησιν (9) coll. F: om. a οὐ om. a 10. 11 ἐν δὲ τῇ Φυσ. ἀκρ.] E 1 p. 225ᵃ3 sq. 12 γέν. φθ. κίν. C: κίνησις γένεσις φθορὰ F ἐκεῖ Marc. 217: ἐκείνη Ca: ἐν ἐκείνῃ F 13 alt. τὴν] τοῖς F¹ 14 αὐτὴν a 15 κινεῖται C 15. 16 τὸ ποσὸν . . τὸ ποιὸν F 20 ἐπειδὴ om. C 21 ἐστι om. F φυσικὸν ὄν C 22 τούτου C λέγεται C 26 ante οὐδὲ ἡ κατὰ add. οὐδὲ ἡ μείωσις αὔξησις F 27 post οὐδὲ add. γε F αἱ ἄλλαι] ἐπὶ τῶν ἄλλων C: ἄλλαι F

φησί, φθορά ἐστιν οὔτε ἡ αὔξησις μείωσις (πῶς γάρ, ὁπότε καὶ ἐναντία 149r
ἐστίν;), ἀλλ' οὐδὲ μὴν ἡ αὔξησις γένεσις (αὔξεται μὲν γὰρ τὸ ὄν, γίνεται
δὲ τὸ μὴ ὄν), ἀλλ' οὔτε μὴν ἡ μείωσις φθορά· καὶ ἐπὶ τούτων γὰρ ὁ
αὐτὸς λόγος· ἡ μὲν γὰρ μείωσις ὕφεσίν τινα κατὰ ποσὸν τοῦ ὄντος σημαίνει, 15
5 ἡ δὲ φθορὰ παντελῆ τοῦ ὄντος ἀφανισμόν. οὔτε δὲ πάλιν ἡ κατὰ τόπον
μεταβολὴ ἑνὶ τῶν εἰρημένων συμβαίνει· τὸ γὰρ ἐκ τόπου εἰς τόπον μετα-
βάλλον οὔτε γίνεται οὔτε φθείρεται οὔτε αὔξεται οὔτε μειοῦται· οὐδὲ γὰρ εἰ 20
ἐξ Ἀθηνῶν τυχὸν ἐπὶ Κόρινθον μεταβαίνοι Σωκράτης, ἕν τι τῶν εἰρημένων
πείσεται, ἀλλ' ὁ αὐτὸς μένων κατὰ πάντα μεταβάλλει κατὰ μόνον τὸν τόπον.

10 p. 15a18 Ἐπὶ δὲ τῆς ἀλλοιώσεως ἔχει τινὰ ἀπορίαν, μήποτε
ἀναγκαῖον ἢ τὸ ἀλλοιούμενον κατά τινα τῶν λοιπῶν κινήσεων 25
ἀλλοιοῦσθαι.

Ὅτι μέν, φησίν, αἱ ἄλλαι πᾶσαι κινήσεις οὐκ εἰσὶν ἀλλή|λαις αἱ 149v
αὐταί, οὐδεὶς διημφισβήτηκεν· ἐπὶ δὲ τῆς ἀλλοιώσεως ἀπορητέον, μήποτε
15 τὸ ἀλλοιούμενον ἀνάγκη ἤτοι κατὰ γένεσιν ἀλλοιοῦσθαι ἢ κατὰ φθορὰν ἢ
αὔξησιν ἢ μείωσιν ἤ τινα τῶν λοιπῶν. ἀλλὰ τοῦτο, φησίν, οὐκ ἔστιν
ἀληθές· ἐπὶ γὰρ τῶν πλείστων παθῶν, θερμάνσεώς φησι καὶ ψύξεως καὶ 5
τῶν ὁμοίων, ἀλλοιούμεθα μὲν πάντως, οὐ μήν τινα τῶν λοιπῶν κινήσεων
ὑπομένομεν· οὔτε γὰρ αὔξεσθαι δεῖ τὸ θερμαινόμενον ἢ ψυχόμενον ἢ
20 μειοῦσθαι ἢ γίνεσθαι ἢ φθείρεσθαι ἤ τι τῶν λοιπῶν ὑπομένειν. ὥστε
κεχώρισται τῶν ἄλλων κινήσεων ἡ ἀλλοίωσις. 10

p. 15a25 Εἰ γὰρ ἦν ἡ αὐτή, ἔδει τὸ ἀλλοιούμενον εὐθὺς καὶ αὔξε-
σθαι ἢ μειοῦσθαι ἤ τινα τῶν ἄλλων ἀκολουθεῖν κινήσεων.

Εἰ ταὐτὸν ἦν, φησίν, ἡ ἀλλοίωσις μιᾷ τῶν ἄλλων κινήσεων, ἔδει 15
25 πάντως τὸ ἀλλοιούμενον καί τινα τῶν λοιπῶν ὑπομένειν κινήσεων. νῦν
δὲ τοῦτο οὐ συμβαίνει· ἀλλοιοῦται μὲν γὰρ τὰ σώματα διατρίψαντα ἐν
ἡλίῳ, θερμαινόμενά τε καὶ μελαινόμενα, οὐ μὴν τούτου γε ἕνεκεν αὔξεται
ἢ μειοῦται ἤ τι τῶν λοιπῶν ὑπομένει. τὰ αὐτὰ δὲ ἔστιν εἰπεῖν καὶ περὶ 20
τῶν ὑπὸ ψύχους ἀλλοιουμένων ἢ ὁπωσοῦν ἄλλως.

1 φθορά φησιν coll. F οὔτε] οὐδὲ C ὁπότε μὲν a ἐναντίον C
3. 5 οὔτε] an οὐδὲ? 4 τινα om. a 6 γὰρ om. C 8 τυχὼν C
μεταβαίνει C 9 μεταβάλλει post τόπον coll. C τὸν om. Fa 11 ἀναγκ.
ἢ] ἀνάγκη F 18 μὲν ante γὰρ (17) coll. C 19 post αὔξ. add. πάντως a
19. 20 ἢ μειοῦσθαι post δεῖ coll. C 23 ἢ μειοῦσθ.] καὶ μ. Fa τινι C
24 φησιν ἦν coll. C 25 καί] κατὰ C 26 διατρίψαντα om. C 28 τῶν
λοιπῶν τι coll. F 29 ὑπὸ] ἀπὸ F

p. 15a28 Ὡσαύτως δὲ καὶ τὸ αὐξανόμενον ἤ τινα ἄλλην κίνησιν κινούμενον ἀλλοιοῦσθαι. 149v

Ἀνάπαλιν κατασκευάζει τὸν λόγον· οὐ μόνον γάρ, φησίν, εἴ γε ἦν ταὐτὸν ἀλλοίωσις ταῖς ἄλλαις κινήσεσιν, ἔδει τὸ ἀλλοιούμενον εὐθὺς καὶ κατὰ μίαν τῶν ἄλλων κινεῖσθαι κινήσεων, ἀλλὰ καὶ ἀνάπαλιν εἴ τι κινηθείη κατὰ αὔξη|σιν ἢ μείωσιν ἤ τινα τῶν λοιπῶν, τοῦτο εὐθὺς καὶ ἀλλοιοῦσθαι, εἰ καὶ τὰ μάλιστα προϋπάρχει τῶν λοιπῶν κινήσεων ἡ ἀλλοίωσις ἤτοι παρακολουθεῖ αὐταῖς· δεῖ γὰρ τὸ αὐξανόμενον πάντως καὶ ἀλλοιότερον γενέσθαι· δεῖ γὰρ ἐν τοῖς αὐξανομένοις πρῶτον ἀλλοιοῦσθαι τὴν τροφὴν εἰς αἷμα κἀκεῖνο εἰς σάρκα, καὶ οὐκ ἂν ἄλλως αὔξησις γένοιτο μὴ προηγουμένης ἀλλοιώσεως. ἀλλὰ μὴν καὶ τῶν γινομένων ἀλλοίωσις προηγεῖται· τὸ γὰρ σπέρμα ἀλλοιωθεὶν ἂν εἰς αἷμα κἀκεῖνο εἰς σάρκα καὶ ὅπως ἂν ἄλλως οἱ τῆς φύσεως ἄγωσι νόμοι. καὶ ἐπὶ πασῶν δὲ τῶν ἄλλων κινήσεων ἔστι τὴν ἀλλοίωσιν ἤτοι ἑπομένην ἢ καὶ ἡγουμένην θεωρῆσαι· τοῖς τὴν κατὰ τόπον κινουμένοις καὶ μάλιστα, εἰ πλεῖον καὶ συντονώτερον κινηθεῖεν, ἕπεται ἀλλοίωσις, θερμαινομένων φέρε τῶν κινουμένων. εἰ οὖν, ὅπερ εἶπον, καὶ παρέπεται ταῖς ἄλλαις κινήσεσιν ἡ ἀλλοίωσις, ἀλλ' οὐ παρὰ τοῦτο ταὐτόν φαμεν ἀλλοίωσιν εἶναι ταῖς ἄλλαις κινήσεσιν, ἐπεὶ καὶ ἡ ἐν τόπῳ κίνησις πάσαις ταῖς ἄλλαις παρακολουθεῖ· τό τε γὰρ γινόμενον πάντως καὶ τὴν κατὰ τόπον κινεῖται κίνησιν καὶ τὸ φθειρόμενον ὁμοίως, ἔτι τε τὸ αὐξανόμενον καὶ μειούμενον· τούτων γὰρ ἑκάστης ἀνάγκη τὴν κατὰ τόπον προηγήσασθαι, καὶ ταύτης μὴ οὔσης τῶν ἄλλων τινὰ γενέσθαι ἀδύνατον· κοινῶς τε γὰρ πλησιάζοντός τε τοῦ ἡλίου καὶ ἀφισταμένου ἡ καθόλου γένεσις καὶ φθορὰ γίνεται, καὶ ἰδίᾳ δὲ δεῖ τὸ σπέρμα δηλονότι πεσεῖν εἰς τὴν γῆν ἢ καὶ εἰς τὴν μήτραν ἢ καὶ τὸ ἄρρεν τῷ θήλει προσελθεῖν· τοῦτο δὲ κατὰ τόπον ἐστὶ κίνησις. καὶ ἐπὶ φθορᾶς δηλονότι δεῖ τὰ συνελθόντα στοιχεῖα διακριθῆναι ἀπ' ἀλλήλων. ἐπὶ δὲ αὐξήσεως καὶ φθίσεως προφανὴς ἡ κατὰ τόπον μεταβολή· δεῖ γὰρ τὸ αὐξανόμενον ἐξ ἐλάττονος μείζονα καταλαβεῖν τόπον καὶ τὸ μειούμενον ἐκ μείζονος ἐλάττονα. ἀλλὰ μὴν καὶ τὸ ἀλλοιούμενον· ἀπὸ γὰρ τοῦ βάθους διέρχεται ἡ ποιό|της ἐπὶ τὴν ἐπιφάνειαν, ὡς ἐπὶ τῶν ἐρυθριώντων ἢ ὠχριώντων, καὶ ὅτι δεῖ πλησιάσαι τὸ ἀλλοιοῦν τῷ ἀλλοιουμένῳ. ἀλλ' εἰ καὶ πάσῃ κινήσει ἡ κατὰ τόπον παρακολουθεῖ, ἀλλ' οὖν προφανὲς ὡς ἄλλη ἐστὶ 150r 150v

---

1 αὐξόμενον F τινας ἄλλας κινήσεις Fa 4 ταὐτὸν om. C ἡ ἀλλ. C καὶ ταῖς ἄλλ. F ante ἔδει add. ἡ αὐτή C 5 τὸ ἀνάπ. F 5. 6 κινηθῇ C 6 ἢ κατά τινα a 7 προϋπάρχων F¹ 8 αὐξόμενον F 9 γίνεσθαι a αὐξομ. F 10 ἄλλως post γένοιτο coll. a: om. C 11 ἀλλοιώσεις προηγοῦνται C 12 ἂν om. a 14 καὶ om. C ante τοῖς inseras. ἀμέλει, nisi malis τοῖς — κινουμ. (16) eicere 15 πλείω F καὶ om. C συντομώτερον CF 17 ὥσπερ a ἡ ἀλλοίωσις — κινήσεσιν (18) om. C 18 φαμεν ταυτόν coll. F 21 τὸ μειούμ. C 22 γίνεσθαι F 23 τε om. C 25 ἢ καὶ εἰς τὴν μήτραν om. C θῆλυ CF¹ 28 ἐξ om. F¹ 29 ἐλάττονα μείζονος (pr. l.) F¹ 32 καὶ ὅτι om. C; an καὶ ⟨δῆλον⟩ ὅτι?

παρ' αὐτάς, ἐπεὶ καὶ τῷ ἐν φωτὶ σώματι παρακολουθεῖ μὲν πάντως ἡ 150v σκιά, οὐ μὴν διὰ τοῦτο ἤδη καὶ ταὐτόν ἐστιν ἡ σκιὰ τῷ ἐν φωτὶ σώματι. οὕτως οὖν λέγω καὶ ἐπὶ τῆς ἀλλοιώσεως, ὅτι εἰ καὶ ταῖς ἄλλαις πάσαις παρακολουθεῖ, ἀλλ' οὐχὶ διὰ τοῦτο καὶ ταὐτόν ἐστιν ἐκείναις, ὁπότε οὐδὲ πάσῃ κινήσει παρακολουθεῖ ἡ ἀλλοίωσις· τὰ γὰρ κατὰ πρόσθεσιν αὐξανόμενα αὔξεται μέν (μείζονα γὰρ ἐξ ἐλαττόνων γίνεται), ὡς εἰ τῇ δεξαμενῇ προστεθείη ὕδωρ, ἀλλοιότερα δὲ οὐ γίνεται. τοῦτο δὲ καὶ αὐτὸς δηλῶν ἐπιφέρει καὶ τὸ τετράγωνον, φησί, γνώμονος αὐτῷ περιτεθέντος αὔξεται μὲν ἀλλοιότερον δὲ οὐ γεγένηται· μένει γὰρ καὶ αὐξηθὲν ἔτι τετράγωνον.

Ἀλλ' ἐπειδὴ βουλόμενος ὁ Ἀριστοτέλης δεῖξαι τὴν ἑτερότητα τῆς ἀλλοιώσεως πρὸς τὰς λοιπὰς κινήσεις τοῦ τετραγώνου καὶ τοῦ γνώμονος ἐμνημόνευσε, φέρε σαφηνίσωμεν τὸ εἰρημένον. γνώμονα τοίνυν φασὶν οἱ γεωμέτραι ἕν τι τῶν περὶ τὴν διάμετρον τετραγώνων, ὅταν ᾖ σὺν τοῖς δύο ἅμα παραπληρώμασιν. ἵνα δὲ σαφῆ ποιήσωμεν τὰ λεγόμενα, ἐπ' αὐτοῦ τούτου τοῦ διαγράμματος τὸν λόγον γυμνάσωμεν. τετράγωνον τοίνυν χωρίον λέγεται εἶναι τὸ ὑπὸ τεσσάρων πλευρῶν ἴσων ἀλλήλαις καὶ γωνιῶν ὀρθῶν περιεχόμενον.



ἔστω οὖν τετράγωνον χωρίον ᾱ β̄ γ̄ δ̄, ἴσας ἔχον τὰς τέσσαρας γωνίας καὶ τὰς τέσσαρας | πλευράς, καὶ ἤχθω αὐτοῦ διάμετρος 151r

1. 2 ἡ σκιὰ πάντως coll. C 2 οὐ — σκιὰ om. F διὰ τοῦτο om. C (cf. v. 4) 3 λέγεται a 5 παρακ. κινήσει coll. C αὐξόμενα F 6 ἐξ om. C 7 ἀλλοιότερον C post γίνεται add. ex Marc. 217 τὸ γὰρ ἐν αὐτῇ ὕδωρ προσλαβὸν ἕτερον ὕδωρ ηὔξηται μὴ ἀλλοιωθέν. καὶ ἐκβαλλομένη ἡ εὐθεῖα αὔξεται μὴ ἀλλοιουμένη. ἀλλ' οὐδὲ πᾶν τὸ ἀλλοιούμενον αὔξεται, εἴ γε ὁ μανθάνων καὶ ὁ θυμούμενος καὶ ὁ δεδοικὼς ἀλλοιοῦται μὴ αὐξόμενος a alt. καὶ om. a; an οἷον? 8 αὐτῷ om. Arist. 9 οὐδὲν Arist. γίνεται Ca post τετράγωνον add. ὥστε ἡ ἀλλοίωσις οὐδὲ μείωσίς ἐστιν· ἀφαιρεθέντος γὰρ γνώμονος ἀπὸ τοῦ τετραγώνου τὸ καταλειπόμενον τετράγωνον ἔμεινεν. a (Marc. 217) 10 ἐνδεῖξαι a 12 εἰρημ.] ῥητόν a 13 περὶ] παρὰ F τοῖς δυσὶν ἅμα πληρώματα (sic) C 15 εἶναι om. C 17 figuram ante ἔστω posui: post γνώμονα (p. 203,11) habet C: ante τετραγώνῳ (p. 203,10) cum tribus aliis figuris F: om. a

ἡ β γ̄. ἐπὶ δὲ τῆς ᾱ β̄ πλευρᾶς εἰλήφθω τὸ τυχὸν σημεῖον τὸ ε̄, 151r
καὶ ἀπ' αὐτοῦ τοῦ ε̄ σημείου ὁποτέρᾳ τῶν ᾱ γ̄ β̄ δ̄ πλευρῶν γεγράφθω
παράλληλος γραμμὴ ἡ ε̄ ζ̄, ἀπὸ δὲ τῆς ᾱ γ̄ πλευρᾶς ἀφῃρήσθω ἴση τῇ
ε̄ β ἡ ᾱ η̄, καὶ ἀπὸ τοῦ η̄ σημείου ἤχθω παράλληλος ὁποτέρᾳ τῶν ᾱ β
γ̄ δ̄ ἡ η̄ θ̄. τοῦ οὖν ᾱ β̄ γ̄ δ̄ τετραγώνου γίνονται ἐντὸς τέσσαρα χωρία,
ὧν τὰ μὲν δύο τὰ περὶ τὴν διάμετρον, τό τε ε̄ β̄ θ̄ κ̄ καὶ κ̄ η̄ γ ζ̄, τετρά-
γωνά ἐστι, τὰ δὲ λοιπὰ δύο παραπληρώματα καλεῖται. τῶν οὖν δύο τετρα-
γώνων ὁποιονοῦν, οἷον φέρε τὸ η̄ γ̄ ζ̄ κ̄, μετὰ τῶν δύο παραπληρωμάτων,
τοῦ τε ᾱ ε̄ κ̄ η̄ καὶ τοῦ κ̄ θ̄ δ̄ ζ̄, γνώμων καλεῖται. ἡ δὲ κατασκευή, ὅπως
ἐστὶν ὅμοιον τὸ ε̄ β̄ κ̄ θ̄ τετράγωνον τῷ ᾱ β̄ γ̄ δ̄ τετραγώνῳ, δήλη. σκόπει
τοίνυν ὅτι περιθεὶς μὲν τὸν γνώμονα τῷ ε̄ β̄ θ̄ κ̄ τετραγώνῳ μεῖζον ἐποίησα
τὸ ὅλον (γέγονε γὰρ τὸ ᾱ β̄ γ̄ δ̄ τετράγωνον) ἐκεῖνο δὲ οὐκ ἠλλοίωσα· αὐξη-
θὲν γὰρ τὸ μικρὸν τετράγωνον ὁμοίως μεμένηκε τετράγωνον ὑπάρχον.
ἀλλὰ δὴ κἂν τοῦ ὅλου τετραγώνου τοῦ ᾱ β̄ γ̄ δ̄ ἀφέλῃς τὸν ᾱ ε̄ η̄ θ̄ γ̄ δ̄
γνώμονα, καταλείπεται τὸ ε̄ β κ̄ θ τετράγωνον· καὶ τὸ μὲν ὅλον τὸ ἐξ
ἀρχῆς ἐμειώθη καὶ ἔλαττον γέγονεν, οὐκ ἠλλοίωται δέ, ἀλλ' ἔμεινε τὸ αὐτὸ
τοῦ τετραγώνου εἶδος. εἰ δὲ μήτε ἡ μείωσις μήτε ἡ αὔξησις, κίνησις
οὖσα κατὰ ποσόν, τὴν κατὰ τὸ εἶδος τοῦ τετραγώνου ἰδιότητα ἐκίνησε,
δῆλον ὡς ἄλλη ἐστὶν ἡ κατὰ ποιότητα κίνησις καὶ ἄλλη ἡ κατὰ μείωσιν
καὶ αὔξησιν. εἰ δὲ αὗται ἕτεραι, πολλῷ μᾶλλον καὶ αἱ κατὰ γένεσιν καὶ
φθοράν.

p. 15b1 Ἔστι δ' ἁπλῶς μὲν κινήσει ἠρεμία ἐναντίον, ταῖς δὲ
καθ' ἕκαστα αἱ καθ' ἕκαστα, γενέσει μὲν φθορά, | αὐξήσει δὲ 151v
μείωσις, τῇ δὲ κατὰ τόπον μεταβολῇ ἡ κατὰ τόπον ἠρεμία.
μάλιστα δὲ ἔοικεν ἀντικεῖσθαι ἡ πρὸς τὸν ἐναντίον τόπον μετα-
βολή, οἷον τῇ κάτωθεν ἡ ἄνω, τῇ ἄνωθεν ἡ κάτω.

Νῦν λοιπὸν τὸ τρίτον, ὧν εἰρήκαμεν, ζητεῖ ἐν τῷ περὶ κινήσεως λόγῳ,

1 τῆς] τῇ C τὸ (prius) om. a 2 ἀπ'] ἐπ' C 3 ἡ om. CF τῇ] τὸ C
Ἤδη μὲν ἡμῖν ἐν τοῖς προλαβοῦσιν εἴρηται συγγράμμασιν, οὐκ ἄτοπον δὲ ὑπομνῆσαι καὶ νῦν, ὡς ἔξ ἐστι τὰ ὀφείλοντα προλέγεσθαι ἑκάστου Ἀριστοτελικοῦ συγγράμματος, εἰ μή τι τῶν κεφαλαίων αὐτόθεν εἴη φανερόν, σκοπός, χρήσιμον, τάξις ἀναγνώσεως, αἰτία ἐπιγραφῆς, εἰ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον, ἡ εἰς τὰ κεφάλαια διαίρεσις. προσθήσω δὲ καὶ ἕβδομον, ὑπὸ ποῖον τῆς φιλοσοφίας μέρος ἀνάγεται, καὶ εἰ ὅλως ὑπό τι τῶν μερῶν ἢ οὔ. πρῶτον μὲν οὖν περὶ τοῦ σκοποῦ ῥητέον. σκοπὸς τῷ φιλοσόφῳ εἰπεῖν περὶ ἀποδείξεως. ἀλλ' ἐπειδὴ ἡ ἀπόδειξις συλλογισμός τίς ἐστι, δῆλον ὅτι δεῖ πρῶτον περὶ τοῦ ἁπλῶς συλλογισμοῦ διαλαβεῖν· πολλὰ γὰρ συλλογισμῶν εἴδη. ἵνα δὲ ἐκ διαιρέσεως μάθωμεν πόσα ἐστὶ συλλογισμῶν εἴδη, εἴπωμεν οὕτως. ὁ συλλογισμὸς γνῶσίς τίς ἐστιν· ἡ δὲ γνῶσις μέση ἐστὶ τοῦ τε γινώσκοντος καὶ τοῦ γινωσκομένου. τριῶν οὖν τούτων ὄντων, γινώσκοντος, γνώσεως καὶ γνωστοῦ, καθ' ἕκαστον αὐτῶν ἔστι τὴν διαίρεσιν ποιήσασθαι τῶν συλλογισμῶν, ἔκ τε τοῦ γινώσκοντος καὶ τῆς γνώσεως καὶ τοῦ γινωσκομένου. καὶ ἐκ μὲν τοῦ γινώσκοντος οὕτως. τὸ γινῶσκον ἢ νοῦς ἐστιν ἢ διάνοια ἢ δόξα ἢ φαντασία ἢ αἴσθησις. ἀλλ' ὁ μὲν νοῦς καὶ ἡ αἴσθησις οὐ συλλογίζονται, ὁ μὲν νοῦς ὡς κρείττων ὢν τοῦ συλλογίζεσθαι (διὸ καὶ ὁ θεῖος Πλωτῖνός φησι περὶ αὐτοῦ ὅτι ἢ ἅπτεται ἢ οὔ, καὶ πάντῃ ἐστὶν ἀναμάρτητος· ἢ γὰρ ἅπτεται ἁπλαῖς ἐπιβολαῖς γινώσκων τὰ πράγματα, ἢ οὐδὲ τὴν ἀρχὴν ἅπτεται, καὶ

1 γραμματικοῦ V et in subscr. P cf. ad f. XXXI v 53: σχολαστικοῦ Q: om. t 2 post ἀλεξανδρέως add. τοῦ φιλοπόνου t σχόλια καὶ V 4 τῶν—πρῶτον Q et om. τὰ V: μετά τινων ἰδίων ἐπιστάσεων. | Προοίμιον t 5 ἡμῖν om. t ἐν τοῖς προλ. εἴρ. συγγρ.] Categ. p. 8,23 sq. 8 αἰτία τῆς ἐπιγραφῆς post 9 βιβλίον colloc. Q 9 ante ἡ add. καὶ Q κεφάλαι sic Q 10 μέρος τῆς φιλοσοφίας Q 12 τίς om. Vt πρότερον V 13 post γὰρ add. εἰσι Q 14 μάθωμεν—εἴπωμεν t 15 τίς om. Vt ἐστὶ om. Q 16 οὖν om. Vt ὄντων τούτων V γινώσκοντος om. V 17 ἔστι om. V ποιήσασθαι τὴν διαίρεσιν V 18 ἔκ τε et καὶ primum om. Vt 20 συλλογίζεται Vt 21 Πλωτῖνος] Enn. A I, 9 p. 9,23 ed. Muell. 22 ἢ γὰρ ἅπτεται om. Q

ὁμοίως ἐστὶν ἀναμάρτητος), ἡ δέ γε αἴσθησις ὡς χειρόνως ἔχουσα τοῦ συλλο- III r
γίζεσθαι οὐ συλλογίζεται. ἀλλ' οὐδὲ ἡ φαντασία συλλογίζεται· εἰ γὰρ τῶν ὑπὸ
τῆς αἰσθήσεως φανέντων στάσις ἐστὶ καὶ τήρησις, τῆς αἰσθήσεως μὴ συλλο-
γιζομένης οὐδὲ ἡ φυλάττουσα ἄρα τὰ ὑπὸ τῆς αἰσθήσεως φανέντα συλλογίσαιτ'
5 ἄν. ὁ γὰρ συλλογισμὸς κίνησίς ἐστιν ἀφ' ἑτέρου εἰς ἕτερον· ἐκ γὰρ ἄλλου
ἄλλο συλλογίζεται ὃ οὐκ ἦν δεδομένον· ἡ δὲ φαντασία μονή τε καὶ τήρησίς 20
ἐστι τῶν τύπων τῶν αἰσθητῶν καὶ πλέον οὐδὲν ὧν ἐκ τῆς αἰσθήσεως ἐδέξατο
οὐδε. στάσει γάρ, ὡς εἶπον, ἔοικε μᾶλλον ἢ κινήσει, ὡς καὶ τοὔνομα δηλοῖ·
φαοστασία γάρ τίς ἐστι, τουτέστι τῶν φανέντων στάσις. οὐκ ἄρα οὐδὲ ἡ
10 φαντασία συλλογίζεται. λείπεται οὖν ἡ δόξα καὶ ἡ διάνοια. ἀλλ' εἰ ἐμάθομεν
ὡς ἡ δόξα συμπέρασμά ἐστι διανοίας, δῆλον ὡς οὐδὲ αὕτη συλλογίζεται.
λείπεται ἄρα τῶν γνωστικῶν τῆς ψυχῆς μορίων μόνην τὴν διάνοιαν συλλο-
γίζεσθαι. ἐπειδὴ δὲ συλλογίσασθαί τι μηδενὸς ὁμολογουμένου ληφθέντος 25
ἀμήχανον· εἰ γὰρ συλλογισμός ἐστιν οἱονεὶ συλλογή τινων λόγων (τὸν γὰρ
15 ἀκριβῆ τοῦ συλλογισμοῦ ὅρον προϊόντες εἰσόμεθα), δεῖ πάντως ἐν τῷ συλλο-
γισμῷ δοθῆναί τινας λόγους, ὧν δεῖ τὴν συλλογὴν καὶ οἷον ἕνωσιν τὸν συλλο-
γιζόμενον ποιεῖσθαι. τούτους οὖν τοὺς λόγους, οἷς χρήσεται ὁ συλλογιζό-
μενος, καὶ αὐτοὺς γνώσεις τινὰς ὄντας ἀνάγκη ἐκ τῶν λοιπῶν γνωστικῶν τῆς
ψυχῆς μορίων εἰλῆφθαι. εἰ γὰρ συλλογιζομένη ἐστὶν ἡ διάνοια, ἀνάγκη πᾶσα
20 ἢ ἐκ τοῦ νοῦ ⟨ἢ ἐκ δόξης⟩ ἢ ἐξ αἰσθήσεως καὶ φαντασίας· μονὴ γὰρ αἰσθήσεως 30
ἡ φαντασία· διὸ μᾶλλον δεῖ λέγειν ἐκ φαντασίας, ἐπεὶ καὶ μύων τις συλλο-
γιεῖται τὰς ἀρχὰς ἐκ φαντασίας δεξάμενος [ἤγουν ἐκ δόξης]. σκόπει οὖν ὡς
ἐκ τῶν εἰρημένων ἀνάγκη πᾶσα μόνα τὰ τρία εἴδη τῶν συλλογισμῶν ἀνα-
φαίνεσθαι καὶ μήτε πλείονα μήτε ἐλάττονα. ἢ γὰρ ἐκ τοῦ νοῦ τὰς ἀρχὰς
25 δεξαμένη ἡ διάνοια συλλογίζεται, ἃς καὶ καλοῦμεν κοινὰς ἐννοίας, καὶ ποιεῖ
τὸν ἀποδεικτικὸν συλλογισμὸν ἀεὶ ἀληθῆ ὄντα καὶ μηδέποτε ψευδόμενον,
ἐπεὶ καὶ αἱ κοιναὶ ἔννοιαι ἐξ ὧν ὁ συλλογισμὸς ἀεὶ ἀληθεῖς καὶ αὐτόπιστοι. 35
ἢ τῇ δόξῃ συμπλακεῖσα ἐξ αὐτῆς τὰς ἀρχὰς τοῦ συλλογισμοῦ δέχεται, καὶ
ποιεῖ τὸν διαλεκτικὸν συλλογισμόν, διαλεκτικὸν καλούμενον, διότι ἐν ταῖς
30 κοιναῖς συνουσίαις καὶ ταῖς πρὸς ἀλλήλους διαλέκτοις τοῖς τοιούτοις χρώ-
μεθα συλλογισμοῖς· ὃς οὐ πάντως ἀεὶ ἀληθεύσει, ἀλλὰ ποτὲ καὶ ψεύσεται,
ἐπεὶ καὶ ἡ δόξα τοιαύτη, οὐκ ἀεὶ ἀληθής· πολλαὶ γὰρ καὶ ψευδεῖς ἐν ἀνθρώ-
ποις δόξαι. ἢ τρίτον τῇ φαντασίᾳ συμπλακεῖσα ἡ διάνοια καὶ τὰς ἀρχὰς
τῶν συλλογισμῶν ἐξ αὐτῆς λαβοῦσα συλλογίζεται, καὶ ποιεῖ τὸν σοφιστικὸν 40
35 συλλογισμὸν ἀεὶ ψευδῆ ὄντα· τοῦτο γὰρ σκοπὸς τοῖς σοφισταῖς πάντα ἀνα-
σκευάζειν καὶ μάλιστα τὰ δόξαντα ἀληθῆ εἶναι καὶ ἀποδεδεῖχθαι τοῖς ἐπι-

1 post ὁμοίως add. κατ' ἄμφω t γε om. Q 2 εἰ Q: καὶ Vt 4 τὰ κατὰ τῶν αἰσθήσεων φανέντων Vt 6 λογίζεται Q ὃ Q: καὶ ὃ Vt 9 post ἄρα add. δὲ λοιπὸν Q 10 εἰ om. Q ἐμάθομεν] ο in ras. Q 11 αὐτὴ libri 12 ἄρα om. V μορίων τῆς ψυχῆς ante ras. II litt. Q 13 τι om. Q 15 ὁρισμὸν Q προϊόντες] p. 24 b 18 sq. 16 post λόγους del. οἷς χρήσεται ὁ συλλογιζόμενος e vs. 17 illata Q 18 καὶ αὐτοὺς Vt: ὡς αὐτὸ Q γνωστικῶν om. Vt 19 εἰ Q: ἡ Vt post ἀνάγκη add. οὖν Vt 20 ἢ ἐκ δόξης addidi cf. vs. 22 21 μύων Qt: μεῖον V 22 ἤγουν ἐκ δόξης delevi 24 πλείω Q 25 συλλογιεῖται Vt 30 ante καὶ III litt. eras. Q 31 ἀεὶ om. Vt ἀληθεύει Vt 32 καὶ alt. om. Q

στήμοσιν. ἆρα οὖν ὡς | τῆς φαντασίας ἀεὶ ψευδομένης, οὕτω φαμὲν καὶ III
τὴν διάνοιαν ταύτῃ συμπλεκομένην ἀεὶ ψευδῆ συλλογίζεσθαι; ἀλλ' οὐκ ἔστι
τοῦτο ἀληθές· οὐ γὰρ μόνον τὰ μὴ ὄντα φανταζόμεθα ἀλλὰ καὶ τὰ ὄντα.
πῶς οὖν φαμεν αἰτίαν τὴν φαντασίαν γενέσθαι συμπλακεῖσαν τῇ διανοίᾳ τοῦ
5 σοφιστικῶς συλλογίσασθαι; λέγω οὖν ὡς ὅτι πᾶσα ψευδὴς δόξα ἐκ φαντα-
σίας τὴν ἀρχὴν ἔχει. ἐπειδὴ γὰρ τοὺς τόπους τῶν αἰσθητῶν ἐν αὐτῇ 5
φυλάττομεν, ὁπηνίκα ἂν περὶ τῶν νοητῶν καὶ λόγῳ θεωρητῶν διασκέψασθαί
τι βουλώμεθα περὶ ὧν αἱ ἀποδείξεις, παρεμπίπτουσα αὕτη, ὡς καὶ ὁ Πλάτων
φησί, ταράττει τοὺς μὴ παιδευθέντας αὐτὴν τῶν λογικῶν ἐνεργειῶν διακρίνειν
10 τὰ τοῖς αἰσθητοῖς ὑπάρχοντα καὶ τοῖς νοητοῖς περιάπτουσα, οἷον, εἰ τύχοι,
τοῖς ἀσωμάτοις μορφὴν καὶ σχῆμα καὶ ὄγκον, τοῖς ἐξ ἀφαιρέσεως εἴδεσιν
ὕλην πάντως ὑποβάλλουσα· ἐπεὶ γὰρ μετὰ ὕλης αὕτη τοὺς τόπους καὶ τὰ
εἴδη τῶν αἰσθητῶν διὰ τῆς αἰσθήσεως ἐθεάσατο, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύ- 10
τως τοῦτο ποιεῖ. οὐ τὴν τῶν αἰσθητῶν οὖν φαντασίαν φαμὲν ἀεὶ εἶναι ψευδῆ
15 ἀλλὰ τὴν ταῖς λογικαῖς νοήσεσι συμπλεκομένην, ἐπεὶ καὶ ὁ σοφιστικὸς ἐκ
δόξης μὲν καὶ αὐτὸς τὰς ἀρχὰς λαμβάνει (οὐ γὰρ δὴ τὸ φάντασμα πρότασις
ἂν γένοιτο), ἀλλὰ δόξης ψευδοῦς, ἥτις τὸ ψεῦδος ἔχει οὐκ ἀλλαχόθεν ἢ ἐκ
τῆς πρὸς τὴν φαντασίαν συμπλοκῆς. ταύτῃ οὖν λέγεται ὁ σοφιστικὸς συλλο-
γισμὸς συμπλεκομένης τε τῆς δόξης πρὸς τὴν φαντασίαν γίνεσθαι καὶ ἀεὶ
20 ψευδὴς εἶναι. οὕτω μὲν οὖν ἐκ τῶν γινωσκόντων τῆς ψυχῆς μορίων ἀπο- 15
δέδεικται ὡς τρία εἴδη συλλογισμῶν εἰσι. καὶ τοὺς ἐξ ὁμωνυμίας δὲ σοφιστι-
κοὺς συλλογισμοὺς εὐλόγως ἄν τις τῇ φαντασίᾳ περιάψοι, οἷον ὡς ἐπὶ τοῦ
τοιούτου· τὰ λάχανα τῆς γῆς ὑπερέχει· τὸ ὑπερέχον τοῦ ὑπερεχομένου
μεῖζον· τὰ λάχανα ἄρα τῆς γῆς μείζονα. ὅτι μὲν γάρ ἐστί τι ὑπερέχον
25 μεῖζον τοῦ ὑπερεχομένου, οἶδεν ἡ φαντασία, οἷον τὸ πᾶν ἐντὸς ἑαυτοῦ κατὰ
τὰς τρεῖς διαστάσεις περιέχον τι, διακρῖναι δὲ οὐκ οἶδεν· ὁ οὖν σοφιστὴς
τῷ φαντάσματι τῷ μερικῷ ὡς καθόλου χρῆται. εἰδέναι μέντοι χρὴ ὅτι 20
ἐνδέχεται τὴν διάνοιαν τὰ οἰκεῖα συμπεράσματα λαβοῦσαν, ἅπερ διὰ συλλο-
γισμῶν εὗρε, καὶ ταῦτα συμπλέξασαν ποιῆσαι πάλιν συλλογισμόν. ἀλλ' εἰ μὲν
30 ἀληθῆ εἴη τὰ συμπεράσματα, ἅπερ ἐν τῷ ὑστέρῳ συλλογισμῷ ὡς προτα-
σεις παρέλαβε, δῆλον ὅτι ἢ ἐκ τῶν κοινῶν ἐννοιῶν ἀποδέδεικται ἢ ἐξ ἀληθοῦς δόξης· εἰ δὲ ψευδῆ, ἐκ ψευδῶν δῆλον ὅτι προτάσεων συνῆκται. καὶ πάλιν ἡ φαντασία τοῦ ψεύδους αἰτία, τοῦ συλλογιστικοῦ δηλονότι σχήματος ἐρρωμένου· ἐπεὶ οὐδὲ συλλογισμὸς ἂν εἴη. ὥστε κἂν προσεχῶς ἡ διανοια 25

2 ἀεὶ om. V 5 συλλογίζεσθαι t 7 λόγων t 8 βουλόμεθα Vt περὶ ὧν ἀπόδειξις περιπίπτουσα Q αὕτη scripsi: αὐτὴ Vt: εἰς τὸ μέσον αὕτη αἰτία τοῦ τοιῶσδε συλλογίζεσθαι γίνηται Q καὶ πλάττων V ὁ Πλάτων] Phaed. c. 11 p. 66 D 9 συλλογιστικῶν Q 10 περιάπτουσιν V τύχη V 12 ὑποβαλοῦσα Vt γὰρ om. Vt post μετὰ add. τῆς Vt 13 ἐθεάσατο διὰ τῆς αἰσθήσεως Q 14 τοῦτο ποιεῖ om. Vt ἀεὶ om. Vt 15 post ταῖς ras. Q post συμπλ. add. εἶναι Vt 17 δόξα ψευδὴς Q ἄλλοθεν Q 19 τε τῆς Vt: inv. ord. QV 20 ψευδεῖς t 21 συλλογισμοῦ Q εἰσι om. Q 25 κατὰ Qt: καὶ V 26 περιέχεται, om. τι V 27 τὸ φάντασμα τὸ μερικὸν Vt ὡς κ. χρῆται ante τῷ φ. collocat Q 30 εἴη post τὰ σ. collocat Q 32 δηλονότι ἐκ ψευδῶν V

ἐξ ἑαυτῆς λάβῃ τὰς προτάσεις αὐτὴ ταύτας συλλογισαμένη, ἀλλ' οὖν πάλιν III^v
αἱ τούτων ἀρχαὶ ἢ ἀπὸ νοῦ εἰσιν ἢ ἀπὸ δόξης ἢ ἀπὸ φαντασίας. ἀδύνατον
γὰρ συλλογισμὸν γενέσθαι μὴ δοθέντων τινῶν ὁμολογουμένων ἀσυλλογίστων,
ἅπερ οὐκ ἐκ διανοίας εἴληπται· ἔργον γὰρ διανοίας τὸ συλλογίζεσθαι. ὁμοίως
5 δὲ καὶ ἐκ τοῦ γινωσκομένου τὰ αὐτὰ τρία εἴδη εὑρήσεις διελὼν οὕτως· τὰ
πράγματα, περὶ ὧν ὁ συλλογισμός, ἢ ἀεὶ ὡσαύτως ἔχει, καὶ γίνεται ὁ περὶ
αὐτῶν συλλογισμὸς ἀποδεικτικός, ἢ οὐδέποτε ὡσαύτως ἔχει, καὶ γίνεται ὁ 30
σοφιστικός, ἢ ποτὲ μὲν οὕτως ἔχει ποτὲ δὲ οὐχ οὕτως, καὶ γίνεται ὁ δια-
λεκτικός. ἐκ δὲ τῆς γνώσεως οὕτως· ἡ γνῶσις ἢ ἄπταιστός ἐστι καὶ ἀλη-
10 θὴς ἀεί, καὶ γίνεται ὁ περὶ αὐτῆς συλλογισμὸς ἀποδεικτικός, ἢ ἀεὶ ψευδής,
καὶ γίνεται ὁ σοφιστικός, ἢ ποτὲ μὲν ἀληθὴς ποτὲ δὲ ψευδής, καὶ γίνεται
ὁ διαλεκτικός. ἕκαστος δὲ τούτων συλλογισμός ἐστι. δῆλον ἄρα ἐκ τούτων
ὅτι τρία μόνα ἐστὶ τὰ τῶν συλλογισμῶν εἴδη καὶ οὔτε πλείονα οὔτε ἐλάτ-
τονα. καὶ ἐν μὲν τοῖς μετὰ ταῦτα δύο βιβλίοις τῶν Δευτέρων ἀναλυτικῶν 35
15 διδάξει περὶ τοῦ ἀποδεικτικοῦ, ἐν δὲ τοῖς Τόποις περὶ τοῦ διαλεκτικοῦ, ἐν
δὲ τοῖς Σοφιστικοῖς ἐλέγχοις περὶ τοῦ σοφιστικοῦ, οὐχ ἵνα αὐτῷ χρησώμεθα,
ἀλλ' ἵνα μήποτε ἀπατώμεθα ὑπὸ τῶν χρωμένων αὐτῷ· διὸ καὶ Σοφιστι-
κοὺς ἐλέγχους ἐπέγραψε. καὶ ταῦτα μὲν περὶ συλλογισμῶν, ζητήσωμεν δὲ
περὶ ποίου αὐτῷ ἐνταῦθα ὁ λόγος. φαμὲν ὅτι περὶ οὐδενὸς τούτων, ἀλλὰ
20 περὶ τοῦ ἁπλῶς καὶ καθόλου συλλογισμοῦ. καὶ ὁ μὲν σκοπὸς οὗτος. δεῖ
δὲ εἰδέναι ὅτι τριῶν ὄντων τῶν συλλογισμῶν, ἀποδεικτικοῦ, διαλεκτικοῦ
καὶ σοφιστικοῦ, ἐν ταῖς συνουσίαις τῷ διαλεκτικῷ χρώμεθα μόνῳ· οὔτε 40
γὰρ τοσαύτην σχολὴν ἄγομεν ἐν ταῖς συνουσίαις ὥστε ἀποδεικτικοὺς πλέκειν
συλλογισμούς, οὔτε μὴν τοὺς προσδιαλεγομένους ἀνεκτὸν ἡγούμεθα διὰ παν-
25 τὸς σοφίζεσθαι· καταγέλαστον γὰρ τοῦτο.

Ὅτι δὲ χρήσιμον τὸ βιβλίον, δῆλον ἐκ τῶν εἰρημένων ἐν ταῖς προλα-
βούσαις πραγματείαις· εἰ γὰρ χρήσιμος πρὸς φιλοσοφίαν ἡ ἀπόδειξις, τοῦτο
δὲ εἰς τὴν ἀπόδειξιν συντελεῖ περὶ τῶν ἁπλῶς συλλογισμῶν διαλαμβάνον
δι' ὧν αἱ ἀποδείξεις, δῆλον ὅτι καὶ τοῦτο χρήσιμον πρὸς φιλοσοφίαν. 45

30 Ἡ δὲ τάξις ἐστὶν αὕτη· δεῖ πρότερον ἡμᾶς τὸν ἁπλῶς συλλογισμὸν
μαθεῖν, εἶθ' οὕτως καὶ τὸν τοιόνδε συλλογισμόν. ἵνα δὲ σαφὲς ᾖ τὸ λεγό-
μενον, εἴπωμεν οὕτως· ἔδει περὶ ἀποδείξεως μέλλοντα διδάσκειν τὸν φιλόσοφον
πρότερον διαλεχθῆναι περὶ ἁπλῶν φωνῶν· τοῦτο πεποίηκεν ἐν ταῖς Κατη-
γορίαις· δεύτερον περί τε τῆς ἐν αὐταῖς διαφορᾶς καὶ πρώτης συνθέσεως·

1 λαβοι V (η) ταῦτα Vt 2 ἀπόδειξις V 3 οὖν V ὡμολογημένων Q 4 post γὰρ add. τῆς Q 5 εὕρη τις Q διελθὼν V 7 ὁ om. Q 10 ἀεί om. Vt παρ' V 14 μὲν om. V 15 περὶ ἀποδείξεως Vt post διαλ. add. συλλογισμοῦ Vt 16 χρησόμεθα t 18 post περὶ add. τῶν Q ζητήσομεν t 19 ποίων Vt 20 τοῦ om. V 21 ὄντων τῶν Q: τούτων ὄντων Vt ante ἀποδ. add. τοῦ τε Q ante διαλ. et ante 22 σοφ. add. τοῦ Q 26. 27 ἐν ταῖς προλ. πρ.] Categ. p. 10,19 sq. 27 χρήσιμον V φιλοσοφίαν] so superscr. Q² ἀπόδειξις (ξις post spatium II fere litt.) Q: ἀποδεικτική Vt 28 συντελεῖ om. Q τῶν om. V διαλαμβάνων Qt 31 τὸν om. V 32 εἴπωμεν οὕτως Q cf. p. 1,14 5,25: ἔστιν εἰπεῖν Vt ἔδει B: ἐπεὶ QVt 33 ante περὶ add. ἔδει V post περὶ add. τῶν Q ἁπλῶς V post φωνῶν add. ἔδει Q

τοῦτο πεποίηκεν ἐν τῷ Περὶ ἑρμηνείας περὶ ὀνομάτων καὶ ῥημάτων καὶ III[v]
προτάσεων διαλαβών. καὶ αὕτη ἡ πρώτη σύνθεσις τῶν ἁπλῶν φωνῶν, τουτέστιν οἱ ἁπλοῖ λόγοι· ὧν δὴ λοιπὸν συντιθεμένων γίνεται συλλογισμός. 50
ἐπειδὴ δέ, ὡς ἔφαμεν, τρεῖς εἰσι τῶν συλλογισμῶν αἱ διαφοραί, δεῖ τὸν
5 μέλλοντα τούτων τινὰ μαθεῖν εἰδέναι πρότερον τί ποτέ ἐστιν ὁ ἁπλῶς συλλογισμὸς καὶ τίνα τρόπον συντιθέμενοι οἱ ἁπλοῖ λόγοι, τουτέστιν αἱ προτάσεις, ποιοῦσι συλλογισμόν, καθάπερ καὶ τὸν μέλλοντα μαθεῖν τὴν Δώριον ἢ τὴν Λύδιον ἁρμονίαν δεῖ πρότερον μαθεῖν τὸ ἁπλῶς κιθαρίζειν καὶ τί δήποτε ὅλως ἐστὶν ἁρμονία, καὶ τὸν βουλόμενον εἰδέναι γράφειν ὀξύρυγχον
10 ἢ στρογγύλον χαρακτῆρα | πρότερον εἰδέναι τὸ ἁπλῶς γράφειν. εἰ οὖν IV[r]
καὶ αὐτὸς διδάσκει ἐνταῦθα μὲν περὶ τοῦ ἁπλῶς συλλογισμοῦ, ἐν δὲ τοῖς Ὑστέροις ἀναλυτικοῖς περὶ τοῦ ἀποδεικτικοῦ, ἐν δὲ τοῖς Τόποις περὶ τοῦ διαλεκτικοῦ καὶ ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις περὶ τοῦ σοφιστικοῦ, εἰκότως ἕπεται μὲν τῷ Περὶ ἑρμηνείας τόδε τὸ σύνταγμα, προηγεῖται δὲ τῶν λοιπῶν.
15 Τὴν δὲ αἰτίαν τῆς ἐπιγραφῆς ζητητέον, διὰ τί Ἀναλυτικὰ ἐπιγέγραπται καὶ οὐ Περὶ συλλογισμῶν. λέγεται γὰρ ἀνάλυσις πολλαχῶς· καὶ γὰρ ἡ τοῦ 5
ὅλου εἰς μέρη καὶ ἡ τῶν συνθέτων εἰς τὰ ἁπλᾶ, ᾗ χρῶνται οἱ γεωμέτραι, καὶ ἡ τῶν φυσικῶν σωμάτων εἰς τὰ τέσσαρα στοιχεῖα καὶ ἡ εἰς τὰ οἰκεῖα εἴδη τῶν συλλογισμῶν ἀναγωγή. καὶ ἄλλως δὲ πολλαχῶς λεγομένης ἀνα-
20 λύσεως ἔστι περιλαβόντα εἰπεῖν· ἀνάλυσίς ἐστιν ἀνάκαμψις ἐπὶ τὸ πρότερον καὶ τῆς συνθέσεως τὸ αἴτιον. ὅθεν ἄξιον ζητῆσαι, εἰ ὁ συλλογισμὸς σύνθεσίς ἐστι καὶ συναγωγὴ πλειόνων λόγων καὶ οὐκ ἀνάλυσις, διὰ τί τὴν περὶ συλλογισμῶν πραγματείαν Ἀναλυτικὰ ἐπέγραψεν· ἔδει γὰρ μᾶλλον Συν- 10
θετικὰ ἐπιγράψαι. ἵνα οὖν αὐτόθεν ἡμῖν ἀναφανῇ ἡ τῆς ἐπιγραφῆς αἰτία
25 καὶ ἡ τοῦ βιβλίου διαίρεσις, εἴπωμεν οὕτως· διαιρεῖται τοῦτο τὸ βιβλίον εἰς κεφάλαια τρία, καὶ διδάσκει ἡμᾶς τὸ μὲν πρῶτον μέρος τὴν γένεσιν τοῦ συλλογισμοῦ, τὸ δὲ δεύτερον τὴν εὐπορίαν τῶν προτάσεων, τὸ δὲ τρίτον τὴν εἰς τοὺς συλλογισμοὺς ἀνάλυσιν. ἐκ τούτου οὖν τοῦ τρίτου τὴν ἐπιγραφὴν ἐποιήσατο ἅτε κυριωτέρας καὶ τελειοτέρας οὔσης τῆς ἀναλύσεως· πᾶς γὰρ
30 συλλογισμὸς ἐξ ἀναλύσεως εὑρίσκεται ἔχων τὸ οἰκεῖον σχῆμα. ἄλλως τε ὁ 15
εἰδὼς τὴν ἀνάλυσιν οἶδε καὶ τὴν σύνθεσιν· ἃ γὰρ ἀνέλυσε, ταῦτα συνθεῖναι οὐ δυσχερές· οὐκέτι δὲ καὶ τοὐναντίον· καὶ γὰρ ὁ ἰδιώτης ἐπίσταται μὲν συνθέσεις ὀνομάτων καὶ ῥημάτων εἰς τὸν λόγον ἀποτελέσαι καὶ εἰπεῖν, οἷον Σωκράτης περιπατεῖ, ἀναλῦσαι δὲ αὐτὸν οὐκέτι οἶδε καὶ εἰπεῖν ποῖον μέν

2 διαλαμβάνων Q πρώτη om. Vt 4 post δὲ add. καὶ Q αἱ διαφοραὶ τῶν συλλογισμῶν V 10 χαρακτῆρα ἢ στρογγύλον Q 12 περὶ ἀποδεικτικῶν Vt ἐν—13 διαλεκτικοῦ om. Vt 13 περὶ τῶν σοφιστικῶν Vt 14 ἕψεται Vt τὸ Vt τόδε τὸ σύνταγμα om. Vt προηγεῖται corr. Q[1]: προηγήσεται Vt, pr. Q 16 περὶ om. V 19 ante ἀναλ. add. τῆς Q 20 περιλαβόντας Q 21 post ἄξιον add. ἐστι Q 22 καὶ alt. om. Vt post περὶ add. τῶν Vt 24 ἀναφανῇ (sic) post αἰτία collocat Q 25 εἴπομεν t τοῦτο om. Q 26 πρότερον Q 27 τὴν εὐπορίαν τῶν Vt: πῶς ἂν εὐπορήσειε Q τὴν alt. om. V 28 τούτου om. Vt οὖν om. V: post τρίτου collocat t 31 εἶδε Q 32 δυσχεραίνει Q καὶ prius om. Vt 33 τὸν scripsi: τὸ libri 34 σωκράτους t διαλῦσαι Vt αὐτὸν om. Vt

ἐστι τὸ ὄνομα, ποῖον δὲ τὸ ῥῆμα. Πρότερα δὲ ἐπιγέγραπται, ἐπειδὴ περὶ IV r
τοῦ ἁπλῶς συλλογισμοῦ ἐνταῦθά φησι τοῦ ἀναλογοῦντος ὕλῃ καὶ χωρὶς
εἴδους ὄντος, καὶ ἐπειδὴ πρότερον τὸ γένος τῶν οἰκείων εἰδῶν, γένος δὲ
ὁ καθόλου συλλογισμὸς τῶν ἀποδεικτικῶν καὶ τῶν λοιπῶν δύο εἰδῶν· ὥστε
εἰκότως ἐν οἷς μὲν περὶ τοῦ γένους αὐτῶν διαλέγεται, Πρότερα ἐπέγραψεν, ἐν
οἷς δὲ περὶ τῶν εἰδῶν, τουτέστι περὶ τῶν ἀποδεικτικῶν, Ὕστερα ἀναλυτικά.

Ὅτι δὲ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον, δῆλον· φασὶ γὰρ ὡς τεσσαράκοντα εὑρέθη τῶν Ἀναλυτικῶν βιβλία ἐν ταῖς παλαιαῖς βιβλιοθήκαις, καὶ τὰ τέσσαρα μόνα ταῦτα ἐκρίθησαν εἶναι Ἀριστοτέλους, καὶ πρὸς τοῦτο οὐδεὶς ἀμφέβαλε. καὶ ἐν μὲν τῷ πρώτῳ βιβλίῳ διδάσκει ἡμᾶς περὶ τοῦ εἴδους τῶν συλλογισμῶν, ἐν δὲ τῷ δευτέρῳ περὶ τῆς ὕλης. εἶδος δὲ λέγομεν τῶν συλλογισμῶν τὸ συμπέρασμα, ὕλην δὲ τὰς προτάσεις· ὡς γὰρ ἡ ὕλη ἕνεκά τού ἐστι, λέγω δὲ τοῦ εἴδους, οὕτω καὶ αἱ προτάσεις τοῦ συμπεράσματος ἕνεκα. ἐνταῦθα γενόμενος ὁ Θεμίστιος ἀπορεῖ λέγων "ἆρά γε Ἀριστοτέλους ἐστὶ γέννημα τὰ Ἀναλυτικὰ ἢ οὔ"; καί φησιν ὅτι γέννημα μὲν αὐτοῦ οὐκ ἔστι· φαίνεται γὰρ ὁ θεῖος Πλάτων συλλογιστικῶς καὶ ἀποδεικτικῶς φερόμενος ἔν τε τῷ Φαίδωνι καὶ ἐν πᾶσι σχεδὸν αὐτοῦ τοῖς διαλόγοις· συντάξαι δὲ αὐτὸν καὶ τεχνῶσαι κανόσι τισὶ τὸ προκείμενον σύγγραμμα οὐδὲν ἄτοπον.

Ἑξῆς ζητητέον πότερον μέρος ἐστὶν ἢ ὄργανον ἡ λογική τε καὶ διαλεκτικὴ πραγματεία τῆς φιλοσοφίας, ἐπείπερ ἐναντίως καὶ διαφόρως δοκεῖ τοῖς παλαιοῖς περὶ αὐτῆς. οἱ μὲν γὰρ Στωικοὶ ἄντικρυς μέρος αὐτὴν ἀποφαίνονται, τοῖς ἄλλοις δύο μέρεσι τῆς φιλοσοφίας αὐτὴν ἀντιδιαιροῦντες· οἱ δὲ Περιπατητικοί, τουτέστιν οἱ ἀπὸ Ἀριστοτέλους, ὄργανον· οἱ δὲ ἀπὸ τῆς Ἀκαδημίας, ὧν ἐστι καὶ Πλάτων, καὶ μέρος καὶ ὄργανον φαίνονται λέγοντες. καὶ οἱ μὲν Στωικοὶ τοιούτῳ τινὶ λόγῳ τὸ εἶναι αὐτῆς μέρος κατασκευάζουσι. περὶ ὃ καταγίνεται, φασί, τέχνη τις ἢ ἐπιστήμη, εἰ μὴ ἀναφέροιτο εἰς ἑτέραν τέχνην ἢ ἐπιστήμην ὡς μέρος ἢ μόριον αὐτῆς, ἐκείνης μέρος ἐστὶν ἢ μόριον. εἰ τοίνυν ἡ φιλοσοφία καταγίνεται περὶ τὴν λογικὴν μέθοδον, ἥτις οὐκ ἀνάγεται εἰς ἑτέραν τέχνην ἢ ἐπιστήμην ὡς μέρος ἢ μόριον, ἡ λογικὴ ἄρα τῆς φιλοσοφίας ἐστὶ μέρος ἢ μόριον. μόριον μὲν οὖν οὐκ ἔστιν· οὔτε γὰρ τοῦ θεωρητικοῦ οὔτε τοῦ πρακτικοῦ μέρος ἐστί· τὸ γὰρ μόριόν τινος καὶ τῆς ὕλης κοινωνεῖ καὶ τοῦ σκοποῦ ἐκείνῳ οὗ ἐστι μόριον. τῷ μὲν οὖν πρακτικῷ οὐ κοινωνεῖ· τούτου γὰρ ὕλη τὰ ἀνθρώπινα πράγματα καὶ ἡ μετριοπάθεια, σκοπὸς δὲ τὸ περὶ ταῦτα αἱρετόν πως ἢ φευκτόν· ἡ δὲ

1 ῥῆμα—ὄνομα Q ἐπειδήπερ Q 5 πρότερον V 6 περὶ alt. om. Q
7. 8 τεττερακοντα Q 9 ante Ἀριστ. add. τοῦ Q 10 ἀμφίβαλλε Q: ἀμφέβαλλεν t
βιβλίω—δευτέρω (11) inter duo folia om. V 11 δὲ alt. QV: γὰρ t 12 post ὕλη
add. τῶν Q, τοῦ V 15 γεννήματα (post ὅτι) t: γεννήματα αὐτὰ V αὐτοῦ superscr. V
16 εἰσι Q πλάττων V καποδεικτικῶς Q 17 αὐτοῦ σχεδὸν Vt 18 κανόνι V
σύνταγμα Q 21 περὶ αὐτοῖς V 21. 22 ἀπεφαίνοντο Vt 23 οἱ ἐξ Q
ἀπὸ τῆς Vt: ἐξ Q 24 πλάττων V 25 immo αὐτὴν 26 ἀναφαίροιτο V
27 ante ἐπιστ. add. εἰς Vt 28 καταγίνεται om. V 30 ἢ μόριον μὲν ⟨ἑτέρας⟩
prave Prantl *Gesch. der Logik im Abendl.* I 409,29 οὖν om. Vt 32 τῆς ὕλης b:
τῇ ὕλῃ libri τοῦ σκοποῦ t: τῷ σκοπῷ QV ἐκείνῳ] ω om. V 34 ἡ prius
om. t πως om. V

λογικὴ ὕλην μὲν ἔχει τὰς προτάσεις, σκοπὸν δὲ τὸ διὰ τῆς τοιᾶσδε συνθέ- IVr
σεως τῶν προτάσεων τῶν ἑπομένων τι ἐξ ἀνάγκης δεικνύναι συναγόμενον· ὃ
οὐκ ἔστι τοῦ πρακτικοῦ τέλος, ἀλλ' ὡς εἶπον, ἡ μετριοπάθεια ἢ ἁπλῶς τὸ
ἀγαθόν. καὶ οὕτως μὲν ἡ λογικὴ οὐκ ἔστι μόριον τοῦ πρακτικοῦ. ἀλλ'
5 οὔτε μὴν τοῦ θεωρητικοῦ· τούτου γὰρ ὕλη μὲν τὰ θεῖα, τέλος δὲ ἡ περὶ
ταῦτα θεωρία. εἰ δὲ μήτε τοῦ θεωρητικοῦ μήτε τοῦ πρακτικοῦ ἐστι μέρος,
οὐκ ἔσται ἄρα τῆς φιλοσοφίας μόριον. λείπεται οὖν ἀντιδιαιρεῖσθαι τῷ 15
θεωρητικῷ καὶ πρακτικῷ τὴν λογικὴν καὶ μέρος εἶναι τῆς φιλοσοφίας. καὶ
οὕτω μὲν οἱ Στωικοί. ἐμμεθόδως δὲ αὐτοὺς ἐλέγξομεν, εἰ τὸν κανόνα
10 ὅλον αὐτῶν σκοπήσομεν. δυνατὸν μὲν γὰρ καὶ πρὸς τοῦτον αὐτὸν ἀντιστῆναί
τε καὶ ἐλέγξαι τὴν πρότασιν ὡς κακῶς προβεβλημένην· ὅμως καὶ εἰ συγ-
χωροῦμεν αὐτοὺς ἀληθῆ λέγειν, πλὴν ἐλλιπῶς αὐτοῖς ἔχει τὰ τῆς διαιρέ-
σεως. τί γάρ φασι; 'περὶ ὃ καταγίνεται τέχνη τις ἢ ἐπιστήμη, εἰ μὴ ἑτέρας
εἴη μέρος ἢ μόριον'. ἔδει δὲ αὐτοὺς προσθεῖναι 'ἢ ὄργανον'· καταγίνονται 50
15 γὰρ καὶ περὶ τὰ ὄργανα αἱ τέχναι, καὶ ἢ ἑαυταῖς ταῦτα ἢ ἑτέραις κατα-
σκευάζουσιν. οἱ δὲ ἀποσιωπήσαντες τὸ ὡς ὄργανον τὸ μέρος μόνον καὶ
μόριον προφέρονται. ἐχρῆν δὲ αὐτοὺς τοῖς τελείοις ποιεῖσθαι τῆς προτάσεως
τὴν ἀπόδοσιν λέγοντας οὕτως 'περὶ ὃ καταγίνεται τέχνη τις ἢ ἐπιστήμη,
τοῦτο, εἰ μὴ ἑτέρας τινὸς ἐπιστήμης ἢ τέχνης εἴη μέρος ἢ μόριον ἢ ὄργανον,
20 αὐτῆς ἐκείνης ἐστὶ μέρος ἢ μόριον ἢ ὄργανον', ἵνα ἀνελόντες τὰ δύο, εἴπερ τὸ
ἀληθὲς κατασκευάζειν ἐβούλοντο, ἀποδείξωσιν ὄργανον εἶναι φιλοσοφίας |
τὴν λογικήν. οἱ δὲ τὸ ὄργανον ἀποσιωπήσαντες καὶ ἀνελόντες τὸ μόριον IVv
τὸ μέρος εἰσάγουσιν. ἀλλ' εἰ μὴ μέρος ἐστί, φασί, φιλοσοφίας ἡ λογικὴ
ὄργανον δέ, πῶς καὶ αἱ λοιπαὶ ταύτῃ χρῶνται; οὐχ ὡς μέρει δηλαδὴ φιλο-
25 σοφίας αὐτῇ χρῶνται· ἐπεὶ καὶ ὁ κανὼν γέγονε μὲν ὑπὸ τεκτονικῆς, ἀλλ'
οὐχ ὡς μέρος τεκτονικῆς· οὐ γὰρ ἁπλῶς τῷ τέκτονι σκοπὸς κανόνα ποιῆσαι
ὡς θύραν ἢ ἀβάκιον, ἀλλ' ἵνα ᾖ ὄργανον αὐτῷ, εἶτα, ἵνα οὕτως εἴπωμεν, 5
μέρη, κυριώτερον δὲ ἀποτελέσματα. καὶ οὐ δήπου τεκτονικὴ χείρων οἰκοδο-
μικῆς· οὐδ' ἄρα φιλοσοφία τῶν λοιπῶν, κἂν τῷ ὑπ' αὐτῆς γενομένῳ ὀργάνῳ,
30 τῇ συλλογιστικῇ λέγω μεθόδῳ, χρῶνται. οὐδὲ γὰρ πάντως ἀνάγκη τὸ ὑπὸ
τέχνης τινὸς γενόμενον ἐκείνης καὶ μέρος εἶναι· ὁ γοῦν χαλκεὺς ἄκμονα
καὶ σφύραν ἑαυτῷ κατασκευάζει ὡς ὄργανα τῆς ἰδίας τέχνης, καὶ ὁ τέκτων
ὁμοίως σφύραν καὶ πῆχυν, ἃ οὐκ ἔστι μέρη χαλκευτικῆς καὶ τεκτονικῆς.
οὕτως οὖν καὶ φιλοσοφία τὴν λογικὴν εὑροῦσα ὡς ὀργάνῳ αὐτῇ χρῆται,
35 ὡς καὶ ὁ τέκτων τῇ σφύρᾳ· οὐ γὰρ ἂν ἦλθεν εἰς ἀνθρώπους φιλοσοφία ἄνευ 10

---

2 συνεισαγόμενον Q 3 τὸ ἁπλῶς Vt 9 ἐμμεθόδως Q: ἐν μεθόδῳ t [illegible] V: pr. Q: ξ corr. Q¹ 10 αὐτῶν Y: αὐτὸν QVt πρὸ V 11. 12 κἂν συγχωρήσωμεν αὐτοῖς Q 12 τἀληθῆ Vt πλὴν om. Q ἐλλειπῶς Qt 15 γὰρ om. V 16 an ἢ ὅ.? 17 προσφέρονται Q τὰ τέλεια Vt 18 τέχνην V τις τέχνη Q 21 ἠβούλοντο Q 23 ἀλλ'—αὐτῇ (25) Q: εἰ μέρος αὐτῆς εἴη τὸ λογικόν. εἰ δὲ ὄργανον οὐκέτι, κἂν αἱ λοιπαὶ αὐτῷ χρῶνται. οὐδὲ γὰρ ὡς μέρει ὄντι φιλοσοφίας αὗται Vt 25 post κανὼν add. μὲν Q τέκτονος Q 26 οὐχ] χ bis, alt. del. Q [illegible] σκοπὸς τῷ τέκτονι Q 27 ὄργανον ἢ Q εἶτα om. Q εἴπω Vt 28 δήπω V 29 λόγῳ Vt 30 λέγω om. Vt 31 γεγονὸς Q 33 καὶ prius iterat V μέρος V τεκτονικῆς τε καὶ χαλκευτικῆς Q 34 χρῆται αὐτῇ Q

ἀποδείξεως. εἰ δὲ χρῶνται ταύτῃ καὶ ἕτεραι τέχναι, οὐκ ἄτοπον· τῷ γοῦν IVv
ὅπλῳ ὁ στρατιώτης χρῆται τῆς ὁπλοποιητικῆς ἀποτελέσματι, καὶ ὁ ἡνίοχος
χαλινῷ ὄντι χαλινοποιητικῆς ἀποτελέσματι. καὶ πολλαὶ δὲ ἄλλαι τῶν τεχνῶν
καὶ ἑαυταῖς καὶ ἑτέραις τὰ αὐτὰ κατασκευάζουσιν ὄργανα· ὁ γοῦν τέκτων
5 καὶ ἑαυτῷ καὶ λαοξόῳ καὶ ἑτέροις κανόνα κατασκευάζει καὶ ἄλλα τοιαῦτα
μυρία. ἄλλως τε εἰ μέρος τῆς φιλοσοφίας ἡ λογική, ταύτῃ δὲ οἱ ῥήτορες
καὶ οἱ ἰατροὶ φαίνονται ὡς ἰδίῳ ὀργάνῳ προσχρώμενοι, ⟨οἱ⟩ καὶ αὐτοὶ 15
συλλογίζονται, συμβήσεται τὴν φιλοσοφίαν ἀτιμοτέραν ἰατρικῆς τε καὶ
ῥητορικῆς εἶναι. ἐὰν γὰρ δύο τινὲς ὦσι τέχναι καὶ τὸ τῆς ἑτέρας μέρος
10 ἢ ἀποτέλεσμα ὄργανον ᾖ τῆς ἑτέρας, τιμιωτέρα ἔσται καὶ βελτίων καὶ
τὸν οὗ ἕνεκα λόγον ἔχουσα ἡ ὡς ὀργάνῳ χρωμένη τῷ τῆς ἑτέρας μέρει,
ὡς ἔχει ἡ χαλινοποιητικὴ ἢ ἁπλῶς χαλκευτικὴ καὶ ἱππική· ὄργανον γὰρ
ἱππικῆς ὁ χαλινός, μέρος δὲ καὶ ἀποτέλεσμα χαλκευτικῆς· διὰ τοῦτο καὶ χει-
ρουργικὴ πάλιν χαλκευτικῆς κρείττων. ἀτιμοτέρα ἄρα ἔσται φιλοσοφία ἰατρι- 20
15 κῆς τε καὶ ῥητορικῆς· αἱ μὲν γὰρ ὡς ὀργάνῳ χρῶνται τῇ λογικῇ· φιλοσο-
φίας δέ ἐστι μέρος. οὐ μόνον δὲ ἀλλὰ καὶ πλεῖσται τῶν βαναύσων τεχνῶν
ἢ πᾶσαι κρείττους ἔσονται φιλοσοφίας· κἀκεῖναι γὰρ κατὰ τὴν κοινὴν ἔννοιαν
συλλογίζονται λαμβάνουσαί τινα προηγούμενα καὶ ἑπόμενα· λέγει γὰρ ὁ οἰκο-
δόμος ὅτι, ἐπειδὴ τὴν οἰκίαν ἀσφαλῶς στῆσαι βουλόμεθα, τοῦτο δὲ οὐκ ἂν
20 γένοιτο μὴ καταβληθέντων θεμελίων, καταβλητέον ἄρα· καὶ αἱ λοιπαὶ ὁμοίως.
ὥστε καὶ τῶν βαναύσων τεχνῶν ἔσται χείρων ἡ φιλοσοφία. ἔτι καθόλου 25
τοῦτό ἐστι μέρος ὃ καὶ παρὸν συντελεῖ τῷ ὅλῳ καὶ ἀπὸν λυμαίνεται τὸ ὅλον·
εἰ οὖν συνίσταται καὶ χωρὶς τῆς λογικῆς ἡ φιλοσοφία κατὰ φύσιν θεωρητική
τε οὖσα καὶ πρακτική, οἱ δὲ ἄνθρωποι τῆς ἀποδείξεως εἰς κατάληψιν αὐτῆς
25 ἐδεήθημεν, οὐκ ἔσται μέρος αὐτῆς ἡ λογική. ἔτι τὸ μέρος μὲν ἑαυτοῦ χάριν
παραλαμβάνεται, τὸ δὲ ὄργανον ἑτέρου· ἡ δὲ λογικὴ ἑαυτῆς μὲν χάριν οὐ
παραλαμβάνεται, ἀποδείξεως δὲ ἕνεκα. ἔτι τὰ μέρη μὲν ἀναιρούμενα συναναι-
ρεῖ τὸ ὅλον, τὰ δὲ ὄργανα οὐδαμῶς· ἀναιρεθέντος γὰρ τοῦ σκεπάρνου ἔστι 30
τὸ ἀβάκιον· καὶ λογικῆς ἀναιρεθείσης φιλοσοφία οὐδὲν ἧττον ἔστι. καὶ πάλιν
30 συντιθέμενα τὰ μέρη ποιεῖ τὸ ὅλον, τὰ δὲ ὄργανα οὐδαμῶς· τὰ ἄρα μέρη
οὐκ ὄργανα. εἰ δέ τις εἴποι 'καὶ μὴν ἡ χεὶρ μέρος οὖσά ἐστι καὶ
ὄργανον, ὥστε οὐκ ἄτοπον τὴν λογικὴν καὶ ὄργανον οὖσαν εἶναι καὶ
μέρος', φαμὲν ὅτι ἀλλ' οὐ τοῦ αὐτοῦ· οὐ γὰρ οὗ ἐστι μέρος ἡ χείρ,
τούτου ἐστὶ καὶ ὄργανον, ἀλλὰ πρὸς ἄλλο καὶ ἄλλο· μέρος μὲν γὰρ τοῦ
35 σώματος ὡς σώματος, ὄργανον δὲ τῆς ψυχῆς. οὕτως οὖν καὶ ἡ λογικὴ
ὄργανον μὲν τῆς ἀληθοῦς καταλήψεως, μέρος δὲ οὔ. ὡς οὐδὲ ἡ χεὶρ τῆς 35

2 ὁ prius superscr. Q¹ καὶ ὁ—ἀποτελέσματι (3) om. Q 4 ἑαυταῖς Q: αἱ αὐταῖς Vt
5 ἑτέρῳ Q: ἑτέραις t 6 τῆς om. Q, superscr. V 7 οἱ addidi 8. 9 καὶ ῥητορικῆς
iterat V 10 ante ὄργανον add. ἢ V 11 ὡς om. Vt 12 ὡς ἔχει ἐπὶ
τῆς χαλκοποιητικῆς τε καὶ ἱππικῆς Q post γὰρ add. ∾ Q 13 χαλκοποιητικῆς Q
17 κρείτους V 20 post λοιπαὶ add. δὲ Q 22 παρὼν—ἀπὼν t καὶ ἀπὸν
bis, semel del. Q 23 ἢ οὖν t τῆς λογικῆς χωρὶς, om. καὶ Vt 24 οὖσα
om. V αὐτῆς superscr. Q 25 ἔστι Q μὲν om. Qt 27 μὲν om. Q
29 τὸ βάθρον Q φιλοσοφίας Q 30 τὰ μέρη συντιθέμενα ἀποτελεῖ τὸ Q
31 εἴπη Q 35 οὕτως—δὲ οὔ (36) om. V

ψυχῆς· καὶ ἄνευ γὰρ αὐτῆς ἔστιν, ὡς εἴρηται, φιλοσοφία. ἀλλ' ἐπεὶ τῶν IV[v]
Στωικῶν ἱκανῶς τὴν δόξαν ἠλέγξαμεν καὶ τὴν λογικὴν ἄντικρυς φιλοσοφίας
ἀπεδείξαμεν ὄργανον, εἴπωμεν καὶ περὶ τῆς τοῦ Πλάτωνος δόξης. οὗτος
γὰρ καὶ ὄργανον καὶ μέρος φησὶ τὴν διαλεκτικὴν οὐκ ἐναντία ἑαυτῷ δοξάζων
5 οὐδὲ ἀντιφάσει περιπίπτων· ἀλλ' ὅταν μὲν τὴν διαλεκτικὴν αὐτὴν καθ' αὑτὴν
χωρὶς ὕλης καὶ πραγμάτων λαμβάνῃ, τουτέστι τῷ λόγῳ καὶ τῇ διανοίᾳ
γυμνὴν θεωρουμένην τῆς χρήσεως, τότε ὡς ὄργανον αὐτὴν λαμβάνει, ὅταν
δὲ ἐν χρήσει καὶ γυμνασίᾳ πραγμάτων, τότε αὐτῷ τὴν τοῦ μέρους ἀναπλη- 40
ροῖ χρείαν. οἷον τὸ μὲν ἐκ δύο καθόλου καταφατικῶν συνάγεσθαι κατα-
10 φατικὸν καθόλου συμπέρασμα, τοῦτο ἔσται αὐτῷ ὡς ὄργανον ὕλῃ μὴ προσ-
πτόμενον· ὅταν δὲ προσάπτοντες ὕλην λέγωμεν, οἷον πᾶς ἄνθρωπος ζῷον.
πᾶν ζῷον ἔμψυχον. πᾶς ἄνθρωπος ἄρα ἔμψυχον. τότε ἔσται ὡς μέρος.
καθάπερ ὁ πῆχυς καὶ μέρος ἐστίν, ὅταν τὸ μετρούμενον μέρος τοῦ σώματος
λέγωμεν, καὶ ὄργανον, ὅταν αὐτὸν καθ' αὑτὸν τὸν μετροῦντα θεωρῶμεν·
15 καὶ ἡ αὐτὴ ὀνομασία τοῦ μετροῦντος καὶ τοῦ μετρουμένου· εἰ μὲν μεθ'
ὕλης λαμβάνοιτο, ἔσται μέρος τοῦ μετρουμένου, εἰ δὲ ἄνευ ὕλης, τουτέστιν 45
αὐτὸ τὸ μέτρον, ἔσται ὄργανον. οὕτω καὶ ἡ διαλεκτικὴ παρὰ τῷ Πλάτωνι·
ἐν μὲν γὰρ τῷ Φαίδρῳ καὶ Φαίδωνι μεθ' ὕλης αὐτὴν ὡς μέρος λαμβάνει,
ἐν δὲ τῷ Παρμενίδῃ ὡς ὄργανον ἄνευ ὕλης. καὶ ἁπλῶς ἄνευ μὲν ὕλης
20 ἔσται ὡς κανὼν καὶ ὄργανον, ἐν πράγμασι δὲ καὶ μεθ' ὕλης μέρος.

p. 24 a10 Πρῶτον εἰπεῖν.

Κατὰ τὸ Ἀττικὸν ἔθος τὸ 'χρή' παρέλειψε· τοῦ γὰρ 'χρή' καὶ δεῖ' 51
πρὸς τὰ ἀπαρέμφατα συνταττομένου, οἷον χρὴ γράφειν, δεῖ ἀναγινώσκειν, καὶ
τῆς προκειμένης συντάξεως τοῦτο ἀπαιτούσης, πρῶτον εἰπεῖν χρή, ἔθος
25 Ἀττικοῖς κατ' ἔλλειψιν τοῦ 'χρή' καὶ 'δεῖ' τὰ τοιαῦτα προφέρεσθαι.

p. 24a10 Περὶ τί καὶ τίνος ἡ σκέψις, ὅτι περὶ ἀπόδειξιν καὶ ἐπιστήμης ἀποδεικτικῆς.

Πρὸς ἑκατέραν τῶν προτάσεων ἀποδέδωκε, πρὸς μὲν | τὸ περὶ τί Vr
εἰπὼν περὶ ἀπόδειξιν, πρὸς δὲ τὸ καὶ τίνος ἐστὶν ἡ σκέψις τὸ καὶ
30 ἐπιστήμης ἀποδεικτικῆς. διαφέρει δὲ τῆς ἀποδεικτικῆς ἐπιστήμης ἀπό-
δειξις τῷ τὴν μὲν ἐπιστήμην ἕξιν εἶναι τῆς ψυχῆς, τὴν δὲ ἀπόδειξιν ἐνέρ-
γειαν ἀπὸ τῆς ἐπιστήμης προϊοῦσαν. ὁ μέντοι Ἀριστοτέλης ἐν τῷ τέλει
τῆς Ἀποδεικτικῆς πραγματείας φησὶν ὅτι οὐδὲν διαφέρει ἀπόδειξις ἐπιστήμης

1 ὡς εἴρηται ἔστιν Q 4 μέρος—ὄργανον Vt φασὶ Q 5 μὲν om. V
ἑαυτὴν Q 6 λαμβάνει t 9. 10 καθόλου συνάγεσθαι κ. V: συνάγεσθαι καθόλου κ. t
10 τοῦτο Vt: τότε Q ὡς om. Q 10. 11 προ . . . μενον V: πραττόμενον t
12 ἔμψυχος (post ἄρα) t 13 ante ὅταν del. καὶ Q 14 ἑαυτὸν Q 15 τοῦ alt.
om. Vt 17 τῷ om. Vt 19 μὲν ἄνευ t 21 ante lemma add. ἀρχὴ τοῦ
κειμένου Q 22 ante κατὰ repetit πρῶτον εἰπεῖν t παράλειψε Q 23 μετὰ ἀπαρεμ-
φάτου Q οἷον R: om. QVt 25 ἀττικῆς V κατάλειψιν t 28 post ἑκατέραν
add. δὲ V 29 τὸ καὶ prius scripsi: inv. ord. Vt: τὸ Q 31 τῷ Q
τῆς om. Q 32. 33 ἐν τῷ τέλει τῆς Ἀποδ.] II 19 p. 99b15 sq. 33 τῆς om. V

ἀποδεικτικῆς, λέγων οὕτως "περὶ μὲν οὖν συλλογισμοῦ καὶ ἀποδείξεως, Vr
τί ἑκάτερόν ἐστι καὶ πῶς γίνεται, φανερόν ἐστιν, ἅμα δὲ καὶ περὶ ἐπιστήμης 6
ἀποδεικτικῆς· τὸ αὐτὸ γάρ ἐστιν". τὸν δὲ σκοπὸν ἐκ προοιμίων ἀνακηρύττει
τοῦ βιβλίου, ἀπόδειξιν αὐτῷ παραδοῦναι τὸ προκείμενον εἶναι λέγων. εἰ
5 δέ τις εἴποι ὅτι Ἀριστοτέλης οὐ δεόντως οὐδὲ ἀκολούθως ἀνεκήρυξε τὸν σκο-
πόν (οὐ γὰρ διαλέγεται ἐν τῷ πρώτῳ βιβλίῳ οὐδὲ ἐν τῷ δευτέρῳ περὶ τοῦ
ἀποδεικτικοῦ συλλογισμοῦ· αὐτὸς δὲ ὡς εὐθὺς περὶ αὐτοῦ διαλεξόμενος,
οὕτως ἐποιήσατο τὴν ἀρχὴν εἰρηκὼς ὅτι περὶ ἀπόδειξιν καὶ ἐπιστήμης 10
ἀποδεικτικῆς), ἐροῦμεν πρὸς αὐτὸν ὅτι ὁ κυρίως σκοπὸς τοῦ Ἀριστοτέλους
10 οὗτός ἐστι, τὸ διαλαβεῖν περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ· ἀλλ' ἐπειδὴ
ἀδύνατον ἦν διαλαβεῖν περὶ αὐτοῦ πρὶν ἢ παραδοῦναι τὸν ἁπλῶς συλλογισμόν,
τούτου χάριν πρῶτον περὶ τούτου ποιεῖται τὴν διδασκαλίαν. ἐπεὶ οὖν καὶ
ἡ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ διδασκαλία σκοπὸν ἔχει τὴν ἀπόδειξιν, εἰκό-
τως καὶ τὴν προκειμένην πραγματείαν ὡς πρὸς τὸν σκοπὸν ἀναφέρων εἶπεν
15 εἶναι αὐτὴν περὶ ἀποδείξεως, ὥσπερ ἂν εἰ καὶ γεωργὸς λέγοι σκοπὸν εἶναι
αὐτῷ τῆς γεωργίας τὴν ἀρτοποιίαν καὶ δρυοτόμος τὴν ναυπηγίαν. ἄλλως 15
τε μιᾶς οὔσης τῆς ἀναλυτικῆς πραγματείας ἐν μὲν τοῖς πρώτοις περὶ τῶν
πρὸς τὴν ἀπόδειξιν συμβαλλομένων διδάξει οἱονεὶ τὴν ὕλην τῆς ἀποδείξεως
καὶ τὸ γένος παραδιδούς, ἐν δὲ τοῖς τελευταίοις περὶ αὐτῆς τῆς ἀποδείξεως·
20 πάντα δὲ τὰ πρὸ τοῦ τέλους πρὸς τὸ τέλος ἀναφέρεται. ἀμέλει καὶ αὐτὸς
ἐν τῷ τέλει τῆς Ἀποδεικτικῆς, λέγω δὴ τῶν Ὑστέρων ἀναλυτικῶν, ὡς δὴ 20
τέλος λαβούσης τῆς ἐξ ἀρχῆς προτεθείσης πραγματείας, ἣν προανεφώνησεν
ἐν τῷ παρόντι προοιμίῳ, εἶπεν, οὗπερ ἤδη ἀρτίως ἐμνήσθημεν, "περὶ μὲν
οὖν συλλογισμοῦ καὶ ἀποδείξεως" καὶ τὰ ἑξῆς, συμπεραινόμενος ἐκεῖ τὰ
25 ἐνταῦθα προβληθέντα.

p. 24a11 Εἶτα διορίσαι τί ἐστι πρότασις καὶ τί ὅρος καὶ τί συλλογισμός, καὶ ποῖος τέλειος καὶ ποῖος ἀτελής.

Μιμεῖται κἀν τοῖς ἐνταῦθα ὁ Ἀριστοτέλης τὴν γεωμετρικὴν διδασκαλίαν· ὥσπερ γὰρ ἐκεῖνοι προλαμβάνειν εἰώθασι θεωρήματά τινα συμβαλλόμενα 25
30 αὐτοῖς πρὸς τὰ δειχθησόμενα, οὕτω καὶ αὐτὸς ἐνταῦθα τὰ ἐσόμενα αὐτῷ χρήσιμα πρὸς τὴν τῶν συλλογισμῶν διδασκαλίαν προλαμβάνει. ἄξιον δὲ ζητῆσαι τί δήποτε μὴ ἀπὸ τοῦ ὅρου ἤρξατο ὡς ἁπλουστέρου, εἶτα ἐπὶ τὰ συνθετώτερα ἔληξεν, ἢ εἰ ἀπὸ τῶν συνθέτων ἠβούλετο τὴν ἀρχὴν ποιήσα-

1 οὖν om. V 2 περὶ om. Q 3 γὰρ om. Vt προοιμίου Q
6 post διαλέγεται add. οὔτε Q οὔτε Q τοῦ om. Q 7 περὶ αὐτὴν V
10 τὸ Q: τοῦ Vt 11 ἦν om. Vt 12 περὶ τούτου πρῶτον Q ποιεῖ Vt
16 ἀροτροποιίαν Q δρυτόμος Q 18 post ὕλην ras. VII fere litt. Q
22 προανεφώνησε, om. ἐν Vt 23 εἶπεν om. Vt post ἐμνήσθημεν add. οὕτω φησὶ Q
24 οὖν superscr. V τὰ Qt: ἐν τοῖς V post ἑξῆς add. ἐρεῖ V 28 κἀν
om. Vt 30 αὐτῷ Qt: αὐτοῖς V 31 τῶν συλλογισμὸν V συλλαμβάνει V
post προλαμβάνει add. καὶ λέγει περὶ αὐτῶν Q 33 ἐβούλετο Q

σθαι, διὰ τί μὴ ἀπὸ τοῦ συλλογισμοῦ τὴν ἀρχὴν ἐποιήσατο καὶ κατέληξεν V r
εἰς τὸν ὅρον. καὶ τινές φασιν ὅτι, ἐπειδὴ ἐν τῷ Περὶ ἑρμηνείας διελέχθη
περὶ προτάσεων, διὰ τοῦτο ἀπὸ τῶν γνωριμωτέρων ἡμῖν ἄρξασθαι βουλό- 30
μενος ἀπὸ τῆς προτάσεως ἤρξατο. καὶ ἄλλως τὴν μὲν πρότασιν ᾤδει ὠνο-
5 μασμένην οὐ μόνον φιλοσόφοις ἀλλὰ καὶ ῥήτορσι, τὸν δὲ ὅρον αὐτὸς ὠνό-
μασεν, ὡς καὶ ὑποκατιὼν δείκνυσι. τούτου οὖν ἕνεκεν δεύτερον αὐτὸν ἔταξεν
ὡς δυσχερέστερον διὰ τὴν καινοφωνίαν. ἡ δὲ ἀληθεστέρα ἐπίλυσίς ἐστιν
αὕτη· δεῖ τὰ πρὸς διδασκαλίαν τινῶν παραλαμβανόμενα γνωριμώτερα εἶναι
ἐκείνων ὧν παρελήφθησαν εἰς διδασκαλίαν· ἐπειδὴ τοίνυν μέλλει ἐν τῷ ὁρι-
10 σμῷ τοῦ ὅρου παραλαμβάνειν τὴν πρότασιν λέγων "ὅρον δὲ καλῶ εἰς ὃν 35
διαλύεται ἡ πρότασις", διὰ τοῦτο πρότερον περὶ αὐτῆς διδάσκει· δεῖ γὰρ τὰ
πρὸς ὁρισμόν τινων παραλαμβανόμενα γνωριμώτερα ἐκείνων εἶναι, εἴπερ
μέλλοιμεν συνήσειν τὸν ὁρισμόν. προέταξε δὲ ἂν τὸν συλλογισμὸν τῆς προ-
τάσεως, εἰ ἐδέετο αὐτοῦ ἐν τῷ τῆς προτάσεως ὁρισμῷ. νῦν δὲ τοὐναντίον·
15 προσχρῆται γάρ πως τῇ προτάσει ἐν τῷ τοῦ συλλογισμοῦ ὅρῳ λέγων "ἐν
ᾧ τεθέντων τινῶν", ὅπερ ἐστὶ 'τῶν προτάσεων'. διά τε τοίνυν τὸ ἁπλου-
στέρας εἶναι τὰς προτάσεις καὶ διὰ τὸ μεμνῆσθαί πως αὐτῶν ἐν τῷ περὶ 40
συλλογισμοῦ λόγῳ, εἰκότως προτέραν τὴν περὶ αὐτῶν διδασκαλίαν ποιεῖται
τοῦ συλλογισμοῦ. ἰστέον μέντοι ὅτι ὅρος καὶ φάσις καὶ ἁπλῆ φωνὴ καὶ
20 ὄνομα καὶ ῥῆμα τῷ μὲν ὑποκειμένῳ ταὐτά εἰσι, τῇ σχέσει δὲ διαφέρουσιν·
ὅταν μὲν γὰρ ὡς συλλογισμοῦ μέρος λαμβάνηται, ὅρος λέγεται, ὅταν δὲ ὡς
μέρος προτάσεως, φάσις, ὅταν δὲ ὡς ὑποκείμενον ἐν τῇ προτάσει, ὄνομα,
ὅταν δὲ ὡς κατηγορούμενον, ῥῆμα, ὅταν δὲ ὡς φωνὴ ἁπλῶς σημαντική, 45
ἁπλῆ φωνή. καὶ ἄλλως· ὄνομα μέν, ὅταν μετὰ ἄρθρου λέγηται, ῥῆμα δέ,
25 ὅταν προσσημαίνῃ χρόνον. ὥσπερ καὶ πρότασις καὶ πρόβλημα καὶ ἔνστασις
καὶ συμπέρασμα καὶ ἀπόφανσις πάλιν ἓν καὶ ταὐτὸν τῷ ὑποκειμένῳ εἰσίν,
ὡς ἤδη καὶ ἐν ἄλλοις εἴρηται, τῇ σχέσει δὲ διαφέρουσιν· ὅταν μὲν γὰρ
συλλογισμὸν κατασκευάσαι βουλόμενοι ὡς μέρος αὐτὴν παραλαμβάνωμεν
συλλογισμοῦ, πρότασις λέγεται· ὅταν δὲ εἰς τὸ δεῖξαι ἑτέρῳ προβαλλώμεθα,
30 ὡς ὅταν λέγωμεν 'δεῖξον εἰ ἡ ψυχὴ ἀθάνατος', πρόβλημα· ὅταν δέ τινος 50
καταφήσαντός τι ἢ ἀποφήσαντος ἡμεῖς τὰ ἐναντία ἀποφαινώμεθα, ἔνστασις.
οἷον εἴ τινος εἰπόντος ὅτι ἡ ψυχὴ ἀθάνατος ἡμεῖς εἴπωμεν ὅτι οὐκ ἀθάνατος·
συμπέρασμα δὲ αὐτὸ τοῦτο, ὅπερ ἂν ὁ συλλογισμὸς συμπεραίνηται, οἷον ὅτι
ἡ ψυχὴ αὐτοκίνητος, τὸ δὲ αὐτοκίνητον ἀεικίνητον, τὸ δὲ ἀεικίνητον ἀθάνατον,
35 ἡ ψυχὴ ἄρα ἀθάνατος· ἀπόφανσις δέ, ὅταν ἁπλῶς ἀποφαινώμεθά τι κατά τινος
ἤ τι ἀπό τινος. τελείους δὲ καλεῖ συλλογισμοὺς πάντας τοὺς ἐν τῷ πρώτῳ

1 κατέλυσε V 2 διηλέχθη Q 6 ἕνεκε sic Q αὐτὸν superscr. Q¹ 7 καινοφωνίαν pr. Q, corr. Q² 9 post ὧν add. ἂν V 10 λέγων] p. 24ᵇ16 12 τινος Q εἶναι ἐκείνων Q 13 συνοίσειν Q 15 λέγων] p. 24ᵇ19 16 τοι (ante τοίνυν) Q 17 αὐτοῦ t 18 συλλογισμῶν Q ὅρῳ V προτέραν post ποιεῖται collocat V ποιεῖται διδασκαλίαν Q 19 τῶν συλλογισμῶν Vt 20 ἐστι Vt 21 ὡς alt. Q: καὶ Vt 25 προσσημαίνει Q καὶ alt. superscr. Q¹ 26 καὶ tert. QV: τὸ t 27 δὲ σχέσει Q 29 ἕτερον V 32 εἴπωμεν t: εἴπομεν QV 33 ὅταν post conicio συμπεράνῃ Q 34 δὲ utrumque om. Q 35 ἀπόφασις V

σχήματι, ἀτελεῖς δὲ τοὺς ἐν τῷ | δευτέρῳ καὶ τρίτῳ. ὅπως δὲ οἱ μέν Vᵛ
εἰσι τέλειοι οἱ δὲ ἀτελεῖς, ἐν τοῖς ἑξῆς λεχθήσεται.

p. 24ᵃ13 Μετὰ δὲ ταῦτα τί τὸ ἐν ὅλῳ εἶναι ἢ μὴ εἶναι τόδε τῷδε, καὶ τί λέγομεν τὸ κατὰ παντὸς ἢ μηδενὸς κατηγορεῖσθαι.

Δύο σχέσεων οὐσῶν ἐν ταῖς προτάσεσι, τοῦ τε ὑποκειμένου πρὸς τὸν κατηγορούμενον καὶ τοῦ κατηγορουμένου πρὸς τὸν ὑποκείμενον, ἡ μὲν τοῦ ὑποκειμένου πρὸς τὸν κατηγορούμενον λέγεται ἐν ὅλῳ, ὡς ὅταν εἴπωμεν τὸν ἄνθρωπον ἐν ὅλῳ τῷ ζῴῳ περιέχεσθαι ἢ ἐν οὐδενὶ λίθῳ εἶναι· ἡ δὲ τοῦ κατηγορουμένου πρὸς τὸν ὑποκείμενον καλεῖται κατὰ παντός, ὡς ὅταν εἴπωμεν τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου κατηγορεῖσθαι ἢ κατ' οὐδενὸς λίθου εἶναι. ταῦτα δὲ πάντα τῷ μὲν ὑποκειμένῳ ταὐτά εἰσι, τῇ σχέσει δὲ διαφέρουσιν.

p. 24ᵃ16 Πρότασις μὲν οὖν ἐστι λόγος καταφατικὸς ἢ ἀποφατικὸς τινὸς κατά τινος.

Καθὼς ἐπηγγείλατο, βούλεται ὁρίσασθαι ἅπερ προέτεινε, καὶ πρώτην τὴν πρότασιν κατὰ τὴν προτεθεῖσαν τάξιν. λαμβάνει δὲ γένος μὲν τὸν λόγον· κατηγορεῖται γὰρ οὐ μόνον τοῦ ἀποφαντικοῦ ἀλλὰ καὶ τοῦ ἐρωτηματικοῦ καὶ τῶν ἄλλων ὁμοίως. διαφορὰς δὲ λαμβάνει ἔκ τε τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ, καὶ τοῦ ποιοῦ μὲν κατάφασιν καὶ ἀπόφασιν, τοῦ δὲ ποσοῦ καθόλου καὶ μερικὸν καὶ ἀπροσδιόριστον. ὥστε ἐκ τούτων εὑρεθήσονται εἴδη προτάσεων ἕξ, ἑκάστης τῶν τριῶν τῶν ἐκ τοῦ ποσοῦ κατὰ τὸ ποιὸν διπλασιαζομένης. τῶν δὲ καθ' ἕκαστα νῦν οὐκ ἐμνημόνευσεν ὡς μὴ περὶ ταύτας καταγινόμενος, διότι οὐδεμία ἐπιστήμη περὶ τὰ καθ ἕκαστα ἔστι. καὶ τινὲς βούλονται λέγειν, ὧν εἷς ἐστι καὶ Ἀλέξανδρος ὁ Ἀφροδισιεύς, ὅτι κυρίως ὁρισμὸν οὐ παραδέδωκεν ὁ Ἀριστοτέλης τῆς προτάσεως· καὶ κατασκευάζει τοῦτο πάνυ δεινῶς. φησὶ γὰρ ὅτι δεῖ ἐπὶ τοῦ κυρίως ὁρισμοῦ τὰ μέρη αὐτοῦ περιττεύειν τοῦ ὁριστοῦ πάντως· οἷον ὁριζόμεθα τὸν ἄνθρωπον οὕτως 'ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν', καὶ εὑρίσκομεν πάντως ἐξ ἀνάγκης πάντα τὰ μέρη τοῦ ὁρισμοῦ τούτου περιττεύοντα τοῦ ὁριστοῦ· καὶ γὰρ καὶ τὸ ζῷον περιττεύει τοῦ ἀνθρώπου καὶ τὸ λογικόν· τὸ μὲν γὰρ διαφορά ἐστι, τὸ λογικόν, τὸ δὲ γένος· ὁμοίως δὲ περιττεύει καὶ τὸ θνητὸν τοῦ ἀνθρώπου. ἐπὶ δὲ τοῦ νῦν παραδεδομένου ὁρισμοῦ τῆς προτάσεως οὐχ ὁρῶμεν ταῦτα οὕτως ἔχοντα· ἡ γὰρ κατάφασις καὶ ἡ ἀπόφασις, ἃς παρέλαβεν ὡς διαφοράς, οὐδὲν περιττεύουσι τοῦ ὁριστοῦ, τουτέστι τῆς

2 ἐν τοῖς ἑξῆς] p. 24ᵇ22 sq. ῥηθήσεται Q 6 καὶ τοῦ—7 κατηγορούμενον om. V post μὲν add. ἐκ Qt: om. Y 7 λέγεται iteratum del. Q¹ 8 post δὲ add. ἐκ Qt 9 τὸ V 10 παντὸς Vt: οὐδενὸς Q 11 ἐστι Vt 16 σύνταξιν Q 17 ἀποφατικοῦ V 19 an κἀκ τοῦ? ποιοῦμεν libri 23 ἔστι V: ἔχει t: τοῖς φιλοσόφοις Q 24 Ἀλέξ. ὁ Ἀ.] p. 10,28 sq. 25 ὁ om. t 26 δεῖ om. V 28 καὶ alt. om. Vt 29 πάντα om. Q τοῦ ὁρισμοῦ τούτου Vt: αὐτοῦ Q 30 καὶ alt. om. Q περιττεύειν t τὸ μὲν—31 λογικόν om. V 31 τὸ λογικόν ἐστι t γένος Q: εἶδός ἐστι V: εἶδος t δὲ alt. QV: καὶ t καὶ bis Q 32 ἀποδεδομένου Q, at cf. vs. 25 34 περιττεύει Q τουτέστι Vt: ἤτοι Q

προτάσεως, τοὐναντίον δὲ καὶ ἐλλείπει ἕκαστον ἰδίᾳ λαμβανόμενον. κατα- V[v]
σκευάζει δὲ πάλιν ὅτι οὐδὲ ὁ λόγος εἴληπται ὡς γένος καταφάσεως καὶ
ἀποφάσεως, λόγος δὲ δηλονότι ὁ ἀποφαντικός. λέγει γὰρ ὅτι τὰ εἴδη ἀντι-
διαιρεῖται ἀλλήλοις καὶ οὐ τὸ μέν ἐστι πρῶτον τὸ δὲ δεύτερον, ἐπὶ δὲ τῆς
5 καταφάσεως καὶ ἀποφάσεως οὐκ ἔστι τοῦτο· προτέρα γὰρ ἡ κατάφασις τῆς
ἀποφάσεως οὐ μόνον ἀξιώματι, ὡς τινὲς ὑπέλαβον, ἀλλὰ καὶ χρόνῳ· ἁπλου-
στέρα γάρ ἐστιν ἡ κατάφασις καὶ προσλαβοῦσα τὸ ἀρνητικὸν μόριον ποιεῖ 30
τὴν ἀπόφασιν. ἔστι δὲ πρὸς ταῦτα εἰπεῖν, καὶ τέως γε πρὸς τὴν ὑστέραν
ἀπορίαν ἀπαντητέον, καὶ διαρθρωτέον πῶς λέγεται ἐν τοῖς ἀντιδιῃρημένοις
10 εἴδεσι μὴ εἶναι ἄλλο ἄλλου τιμιώτερον ἢ ἀτιμότερον. τοῦτο γάρ ἐστιν
ἀληθὲς κατὰ τὴν τοῦ γένους μετουσίαν, οὐκέτι μέντοι κατὰ τὰς ἑκάστου εἴδους
συστατικὰς διαφοράς· τοῦ μὲν γὰρ γένους ἰσοτίμως μετέχειν ἀνάγκη τὰ
ἀντιδιῃρημένα ἀλλήλοις εἴδη, καὶ ταύτῃ κριτέον εἰ γένος τὸ κοινῶς αὐτῶν 35
κατηγορούμενον, οὐ μὴν τῷ τῆς αὐτῆς εἶναι ἀξίας τὰ εἴδη. τοῦτο γάρ
15 ἀδύνατον, εἴγε καὶ οὐσιῶν διαφορὰς δεῖ εἶναι· ὁ γὰρ τοῦτο λέγων ἀναιρεῖ
τῶν οὐσιῶν τὰς διαφοράς· εἰ δέ εἰσιν οὐσιῶν διαφοραί, ἀνάγκη ἢ ἐπὶ τὸ
κρεῖττον ἢ ἐπὶ τὸ χεῖρον διαφέρειν. οὐ ταύτῃ οὖν διαγνωστέον τὰ ἀντι-
διῃρημένα ἀλλήλοις εἴδη καὶ ὑπὸ τὸ αὐτὸ γένος ἀναγόμενα, ἐπεὶ οὕτως
οὐδὲν οὐδενὸς ὡς γένος κατηγορηθήσεται (ἐν πᾶσι γάρ ἐστι τὸ τιμιώτερον
20 καὶ ἀτιμότερον), ἀλλ' ὡς εἶπον, εἰ ὁμοτίμως πάντα τὰ εἴδη τοῦ γένους μετέ- 40
χει, κἂν διαφορᾶς τὸ μὲν κρείττονος τὸ δὲ χείρονος ἔτυχεν, ὥσπερ, εἰ τύχοι,
ἄνθρωπος καὶ ἵππος· ταῦτα γὰρ τῆς μὲν τοῦ ζῴου φύσεως ἰσοτίμως κοινωνεῖ.
διαφορᾶς δὲ κρείττονος ὁ ἄνθρωπος τῆς τοῦ λογικοῦ τετύχηκε. τί οὖν θαυ-
μαστὸν εἰ καὶ ἡ κατάφασις, εἶδος οὖσα τῆς ἀποφάνσεως ἀντιδιῃρημένον τῇ
25 ἀποφάσει, τιμιωτέρας τυχοῦσα διαφορᾶς τῆς καταφατικῆς τιμιωτέρα ἐστίν;
ἀλλ' οὐδὲ διὰ τὸ ἁπλουστέραν εἶναι τὴν κατάφασιν συνθετωτέραν δὲ τὴν
ἀπόφασιν, ἤδη διὰ τοῦτο καὶ προϋπάρχειν δεῖ χρόνῳ ἢ φύσει τὴν κατά- 45
φασιν τῆς ἀποφάσεως· πολλὰ γὰρ καὶ ἄλλα ἐστὶ τῶν ἀντιδιῃρημένων ἀλλή-
λοις εἰδῶν ἄλλα ἄλλων συνθετώτερα. τοῦ γὰρ ζῴου διαφορῶν οὐσῶν τοῦ
30 τε λογικοῦ καὶ τοῦ ἀλόγου, ἤτοι τῆς ἀλογίας καὶ τῆς λογικότητος, τὰ μὲν
ἄλλα ζῷα τῆς ἀλογίας μόνης μετείληφεν, οἷον ἵπποι, κύνες καὶ τὰ παρα-
πλήσια· ἴσμεν δὲ ὡς ἡ ἄλογος οὐσία θυμῷ καὶ ἐπιθυμίᾳ καὶ αἰσθήσει καὶ
φαντασίᾳ χαρακτηρίζεται· ὁ δὲ ἄνθρωπος καὶ αὐτῶν τούτων τῶν ἀλόγων δυνά-
μεων μετειληφὼς καὶ τῆς ἑτέρας τῶν διαφορῶν, τῆς λογικότητος, μετέσχε· χαρα- 50
35 κτηρίζεται δὲ κατὰ τὸ κρεῖττον, ὡς καὶ τῶν λοιπῶν ἕκαστον. ὡς οὖν ἐνταῦθα
οὐκ ἄν τις εἴποι τὸν ἵππον ἢ τὸν κύνα ἤ τι τῶν παραπλησίων διὰ τὸ ἐλατ-

2 ὁ om. t ὡς om. V 3 ὁ om. Vt γὰρ V: δὲ Qt 8 γε om. Q
πρὸς alt. om. V 10. 11 ἀληθές ἐστι Q 11 ante κατὰ prius add. κατασκευάσαι
ὅτι V, superscr. Q[1]: κατασκευάσαι t οὐ Q 12 συστατικὰς superscr. Q[1]
13 διηρημένα V 14 τὸ Vt 17 post διαγνωστέον add. ἰσότιμα V 18 οὕτως
om. Vt 19 οὐδὲν Qt: οὐδενὸς V 21 χείρονος—κρείττονος V 22 τῆς Qt: τὰ V
μὲν Q: μεταξὺ Vt κοινωνοῖ V 26 δὲ Qt: οὖν V 27 καὶ om. Vt
ἢ Q: καὶ Vt 30 τοῦ om. Vt λογιότητος V 34. 35 χαρακτηρίζεσθαι t
35 ὡς prius om. Q 36 ἢ prius Q: καὶ Vt ἤ alt. Qt: καὶ V

τόνων δυνάμεων μετασχεῖν καὶ ταύτῃ ἁπλούστερον εἶναι τοῦ ἀνθρώπου ἤδη Vv
καὶ τῷ χρόνῳ ἢ τῇ φύσει πρῶτον, οὐδ' ἄρα τὴν κατάφασιν πρώτην ἂν
εἴποι τις τῆς ἀποφάσεως. ἔτι δὲ καὶ τοῦ ἐμψύχου διαιρουμένου εἴς τε τὸ
ζῷον καὶ τὸ ζωόφυτον καὶ φυτὸν τὰς μὲν τοῦ φυτοῦ διαφοράς, | λέγω δὴ τὸ VIr
5 θρεπτικόν, γεννητικόν, αὐξητικόν, ἔχει καὶ τὸ ζωόφυτον, πλεονάζει δὲ τῇ
ἁπτικῇ αἰσθήσει καὶ τῇ περὶ τὸν αὐτὸν τόπον κινήσει· ὁ δὲ ἵππος ἔχει
ταῦτά τε καὶ τὰς αἰσθητικὰς ἁπάσας δυνάμεις μετὰ τῆς ἐκ τόπου εἰς τόπον
κινήσεως, ὀρέξεώς τε καὶ φαντασίας· πρὸς τούτοις δὲ ὁ ἄνθρωπος καὶ τὰς λογι-
κάς. ὥστε συνθετώτερος πάντων ὁ ἄνθρωπός ἐστιν, ἁπλούστερον δὲ τὸ φυτόν,
10 μέσα δὲ τά τε ἄλογα ζῷα καὶ τὰ ζωόφυτα· καὶ οὐ δήπου εἴποι τις ἂν πρῶτον 5
εἶναι τῇ φύσει τὰ φυτὰ διὰ τὸ ὡς πρὸς τὴν τῶν ἐν τῷ ἀνθρώπῳ ψυχικῶν
δυνάμεων σύνθεσιν ἁπλούστερα εἶναι. τί οὖν, εἴποι τις ἂν ἴσως, οὐ προϋπάρχειν
ἀνάγκη καὶ φύσει καὶ χρόνῳ τῶν συνθέτων τὰ ἁπλᾶ ἐξ ὧν τὰ σύνθετα τὸ εἶναι
ἔχουσι; ναί, φημί, ἀλλ' οὐ ταὐτόν ἐστιν εἰπεῖν ἁπλᾶ καὶ ἁπλούστερα· τὰ μὲν
15 γὰρ ἁπλᾶ στοιχείων ἐπέχοντα λόγον ἢ στοιχεῖα ὄντα προϋπάρχει τῶν ἐξ αὐτῶν
συγκειμένων· ἐνδέχεται μέντοι τῶν ἐκ τῶν ἁπλῶν συγκειμένων τὰ μὲν συνθε-
τώτερα εἶναι τὰ δὲ ἧττον σύνθετα, καὶ ἐν τούτοις οὐκέτι τὰ ἧττον σύνθετα 10
οὐκ ἔστι πρῶτα τῇ φύσει τῶν μᾶλλον συνθετωτέρων. οἷον τί λέγω; ὀκτὼ
εἶναι τὰ μέρη τοῦ λόγου λέγεται, ἐξ ὧν πᾶς λόγος σύγκειται. παντὸς δὲ
20 λόγου ταῦτα προϋπάρχει· ἀναιρουμένων δὲ τούτων καὶ πᾶς λόγος ἀναιρεῖται.
ἐνδέχεται δὲ τοὺς ἐκ τούτων συγκειμένους λόγους τοὺς μὲν ἐκ δύο μόνων
μερῶν συγκεῖσθαι, οἷον ἄνθρωπος τρέχει, τοὺς δὲ ἐκ τριῶν, οἷον ὁ ἄνθρωπος
τρέχει, τοὺς δὲ ἐκ τεσσάρων, οἷον οὗτος ὁ ἄνθρωπος τρέχει, τοὺς δὲ ἐκ 15
πέντε, οἷον οὗτος ὁ ἄνθρωπος καλῶς τρέχει· ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν.
25 καὶ δῆλον ὅτι ὁ ἐκ δύο μόνων μερῶν συγκείμενος ἁπλούστερός ἐστι τοῦ ἐκ
τριῶν καὶ οὗτος τοῦ ἐκ τεσσάρων καὶ οὗτος τοῦ ἐκ πέντε, συνθετώτερος
δὲ ὁ ἐκ τῶν ὀκτώ, οἷον "πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον"·
καὶ οὐ δήπου πρῶτός ἐστι τῇ φύσει ὁ λέγων 'ἄνθρωπος τρέχει' τοῦ λέγοντος
"πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον". πρῶτον γάρ ἐστι τῇ
30 φύσει τὸ συναναιροῦν μὲν μὴ συναναιρούμενον δὲ καὶ τὸ συνεισφερόμενον 20
μὲν μὴ συνεισφέρον δέ, ὡς τὸ ζῷον τοῦ ἀνθρώπου τῇ φύσει πρῶτον· οὐχ
οὕτως δὲ ἔχει ἐπὶ τῶν εἰρημένων λόγων· οὐδεὶς γὰρ αὐτῶν τὸν ἕτερον
οὔτε συναναιρεῖ οὔτε συνεισφέρει. τὰ αὐτὰ ἄρα καὶ ἐπὶ τῶν φυσικῶν· καὶ
ἐπὶ τούτων γὰρ αἱ μὲν διαφοραὶ καὶ τὰ γένη, ἐξ ὧν τὰ εἴδη συνίσταται,

1 μετασχεῖν Q τοῦ om. Vt 3 εἴπη Q τις om. Vt ἔστι δὲ V
4 post καὶ prius add. εἰς Q 5 γενητικόν t καὶ ante αὐξητικόν habet Q: om. t
9 συντεθώτερον Vt πάντως t ἐστιν om. Vt 11 τῶν post ἀνθρώπῳ collocant Vt 12 ἁπλούστερον t ἂν om. Q προϋπάρχει t
14 ἀλλὰ, om. οὐ V 15 γὰρ om. Vt 18 οὐκ ἔστι deleverim 19 δὲ Q: μὲν Vt 20 an γὰρ? καὶ om. Q 21 τοὺς prius iterat Q 22 ὁ superscr. V
23 οἷον om. Vt ὁ ἄνθρωπος οὗτος Q 24 δὲ om. Vt 25 ὅτι om. Vt
26 συντεθώτατος Q 27 πρὸς δ' κτλ.] Hom. X 59 δέ με itemque vs. 29 Q
28 καὶ superscr. Q 30 συναιροῦν—συναιρούμενον pr., αν superscr. V ἀναιροῦν Q
31 τῷ ἀνθρώπῳ pr. Q πρότερον Q 32 τὸν λοιπὸν V: τῶν λοιπῶν t
33 συναναιρεῖ] αν superscr. V

ἁπλᾶ ἐστι, καὶ ἀναιρουμένων αὐτῶν συναναιρεῖται καὶ τὰ εἴδη· τῶν μέντοι VI r
εἰδῶν οὐδέν ἐστι τῇ φύσει πρῶτον οὐδὲ ὕστερον, κἂν τὸ μὲν πλειόνων διαφορῶν μετέχῃ τὸ δὲ ἐλαττόνων, ὡς ἐπὶ τοῦ ἵππου τυχὸν καὶ τοῦ ἀνθρώπου· 25
οὐδὲν γὰρ τούτων οὔτε συναναιρεῖ τὸ λοιπὸν οὔτε συνεισφέρει. τὸ αὐτὸ δὲ
5 καὶ ἐπὶ καταφάσεων καὶ ἀποφάσεων· οὐδετέρα γὰρ οὔτε συναναιρεῖ τὴν λοιπὴν οὔτε συνεισφέρει. εἰ γὰρ καὶ δοκεῖ ἡ μερικὴ καταφατικὴ εἰσφέρειν τὴν μερικὴν ἀποφατικήν, ἀλλὰ καὶ ἔμπαλιν ἡ ἀποφατικὴ τὴν καταφατικὴν συνεισφέρει, ὅταν δι' ἑαυτὰς ἀληθεύωσιν. αἱ δὲ καθόλου συναναιροῦσι μὲν ἑαυταῖς τὰς μερικάς, ἀλλὰ καὶ συνεισφέρουσιν, ὅπερ τοῖς ὑστέροις τῇ φύσει
10 ὑπῆρχε, καὶ οὐ συνεισφέρονται ὑπὸ τῶν μερικῶν, ὅπερ εἶχον τὰ τῇ φύσει πρῶτα. 30
ἀλλ' οὐδὲ αἱ ἀντιφατικῶς ἀντικείμεναι οὔτε συναναιροῦσιν οὔτε συνεισφέρουσιν ἀλλήλας· τοὐναντίον δὲ τῆς ἑτέρας οὔσης ἀληθοῦς τὴν ἑτέραν ἐπὶ τοῦ αὐτοῦ εἶναι ἀληθῆ ἀδύνατον. ὅπερ ὁρῶμεν ὑπάρχον καὶ τοῖς ἀντιδιῃρημένοις εἴδεσιν· οἷον τῆς οὐσίας τὸ μέν ἐστι σῶμα τὸ δὲ ἀσώματον, καὶ ἀνάγκη ἐφ' οὗ ἂν
15 τὸ σῶμα κατηγορῆται, ἐπὶ τοῦ αὐτοῦ τὸ ἀσώματον μὴ κατηγορεῖσθαι· πάλιν τοῦ σώματος τὸ μέν ἐστιν ἔμψυχον τὸ δὲ ἄψυχον, καὶ ταῦτα ἀσυνύπαρκτα κατὰ τοῦ αὐτοῦ· ὁμοίως τοῦ ποσοῦ τὸ μέν ἐστι συνεχὲς τὸ δὲ διωρισμένον, καὶ ταῦτα 35
ἀσυνύπαρκτα ἐν τῷ αὐτῷ κατὰ τὸν αὐτὸν χρόνον. ὥστε εἰ καὶ ἡ ἀντίφασις οὕτως ἔχει, καλῶς ἄρα εἴδη φαμὲν τῆς ἀποφάνσεως τὴν κατάφασιν καὶ τὴν
20 ἀπόφασιν. ἀλλὰ γὰρ ἐλάθομεν ἑαυτοὺς παραχρῆμα τἀναντία περὶ τῶν αὐτῶν ἀποφηνάμενοι· ἐλέγομεν γὰρ ὡς ἐν τῷ ἀνθρώπῳ αἱ ἀντιδιῃρημέναι τῶν διαφορῶν ὁρῶνται· πάλιν δὲ εὐθὺς εἴπομεν μὴ δύνασθαι ἐν τῷ αὐτῷ ὑποστῆναι τὰ ἀντιδιαιρούμενα. φημὶ οὖν, ὡς εἴ τις ἀκριβῶς προσέχει τῷ λόγῳ, 40
οὐκ εἰς ἀντίφασιν περιπεπτώκαμεν. ἐν τῷ αὐτῷ μὲν γὰρ ἐνδέχεται τὰ
25 ἐναντία εἶναι, ἀλλ' οὐ κατὰ τὸ αὐτό· ἐν γοῦν τῷ ὀφθαλμῷ καὶ τὸ λευκόν ἐστι καὶ τὸ μέλαν, ἀλλ' οὐ κατὰ τὸ αὐτὸ μόριον, καὶ ἐν τῇ χειρὶ τὸ συνεχὲς καὶ τὸ διωρισμένον, ἀλλ' ἐν μὲν δακτύλοις τὸ διωρισμένον, ἐν δὲ τῷ λοιπῷ ἡ συνέχεια. οὕτως οὖν καὶ ἐν τῷ ἀνθρώπῳ ἐν ἄλλῳ μὲν θεωρεῖται ἡ λογικότης, ἐν ἄλλῳ δὲ ἡ ἀλογία. καὶ δῆλον τὸ λεγόμενον· διὸ τὴν ἐπὶ
30 πλέον ἐξέτασιν τούτου παρίημι. οὕτως οὖν καὶ ἡ ἀντίφασις ἐν τῷ αὐτῷ 45
ὑπάρξειεν, ἀλλ' οὐ κατὰ τὸ αὐτό, ὡς εἰ τὸν αὐτὸν λέγοις ὀφθαλμὸν καὶ λευκὸν καὶ μὴ λευκόν. καὶ ἄλλως πρότερον μὲν ἐλέγομεν ὅτι ἐνδέχεται τὰς ἀντιδιῃρημένας τῶν διαφορῶν ἐν τῷ αὐτῷ θεωρεῖσθαι, εἰ καὶ μὴ κατὰ τὸ αὐτό, καὶ τὸ αἰσθητικὸν καὶ τὸ ἀναίσθητον ἐν τοῖς ζῴοις ἔστιν ἰδεῖν,
35 οἷον ἐν μὲν σαρξὶ τὸ αἰσθητικόν, ἐν δὲ ὀστέοις τὸ ἀναίσθητον, καὶ τὸ

---

1 συναναιροῦνται Q 2 πρότερον V καὶ Q 3 μετέχῃ Vt: μετέχει QV
τοῦ utrumque om. Q 5 οὐδέτερον Vt ἡ μερικὴ καταφατικὴ δοκεῖ Q
7 καταφατικήν pr. Q, ἀπο superscr. Q¹ 8 συναροῦσι V 9 εἰσφέρουσιν V
10 ὅπερ scripsi: ἅπερ libri 13 ἀληθῆ εἶναι Q 15 κατηγορεῖται (post σῶμα) V
16 ἐστιν om. Vt 17 ἐστι om. Vt διωρισμένον (διορισμένον V) — συνεχές Vt
18 post ἀσυνύπαρκτα del. κατὰ τοῦ αὐτοῦ Q¹ 22 ἐν τῶ ἀνθρώπω (compend.) Q
23 τι V 24 περιπέπτωκεν Vt 25 post αὐτὸ del. μόριον Q 27 τὸ prius om. V
28 ἐν alt. supra καὶ deletum scr. V 30 τοῦδε ἀφίημι Q ἡ ἀπόφασις καὶ ἡ κατάφασις ἐν Q 31 λέγεις Q 34 fort. ⟨ὡς⟩ καὶ αἰσθητὸν Vt τὸ tert. om. Vt 35 δὲ post ὀστ. collocant Vt ὀστοῖς t

σῶμα καὶ τὸ ἀσώματον, εἴγε αἱ ποιότητες ἀσώματοι. ὕστερον δὲ ἔφαμεν VIr
τὰ ἀντιδιῃρημένα τῶν εἰδῶν μὴ ἐνδέχεσθαι τῷ αὐτῷ ὑπάρχειν· τῶν
γὰρ εἰδῶν τοῦ ἐμψύχου ὄντων τοῦ τε ζῴου καὶ ζωοφύτου καὶ φυτοῦ οὐχ
οἷόν τε τὸ αὐτὸ καὶ ζῷον εἶναι καὶ ζωόφυτον, ἢ τὸ ζωόφυτον ἅμα καὶ
φυτὸν εἶναι, εἰ καὶ τῶν ὑποκάτω διαφοραὶ ἅμα καὶ τῶν ἐπάνω ὑπάρχουσιν·
ὁμοίως καὶ τὸν αὐτὸν ἄνθρωπον εἶναι καὶ ἵππον ἀδύνατον. εἰ τοίνυν οὕτως
ἔχει καὶ ἡ κατάφασις πρὸς τὴν ἀπόφασιν καὶ μάλιστα αἱ ἀντιφατικῶς ἀντι-
κείμεναι, ὡς ἤδη εἴπομεν, καὶ κατὰ τοῦτο εἴδη ἂν εἶεν τῆς ἀποφάνσεως.
μήποτε δὲ οὐδὲ καλῶς συγκεχωρήκαμεν τὴν κατάφασιν ἁπλουστέραν εἶναι
τῆς ἀποφάσεως, συνθετωτέραν δὲ τὴν ἀπόφασιν· τὰ γὰρ σύνθετα ἔχει ἐν
ἑαυτοῖς τὴν τῶν ἁπλῶν | σημασίαν· ἡ δὲ ἀπόφασις τὸ σημαινόμενον τῆς VIv
καταφάσεως οὐκ ἔχει. ἡ μὲν γὰρ φωνὴ συνθετωτέρα ἐστί, τὸ δὲ σημαινό-
μενον οὐκέτι· ἐν γὰρ τῷ 'Σωκράτης οὐ περιπατεῖ' οὐκ ἔστιν ἡ τοῦ 'Σωκρά-
της περιπατεῖ' κατάφασις, ἀλλ' ὥσπερ ἡ τοῦ 'Σωκράτης περιπατεῖ' κατά-
φασις ὑπάρχειν λέγει τῷ Σωκράτῃ τὸ περιπατεῖν, οὕτω τὸ 'Σωκράτης οὐ
περιπατεῖ' μὴ ὑπάρχειν. οὐ δεῖ δὲ μόνῃ τῇ τῶν φωνῶν προσέχειν συν-
θέσει, ἀλλὰ πολλῷ πρότερον εἰ τὸ σημαινόμενον σύνθετόν ἐστιν· ἐνδέχεται
γὰρ καὶ ἁπλῆν φωνὴν σύνθετον ἔχειν τὸ σημαινόμενον καὶ σύνθετον ἁπλοῦν,
ὡς ἐν τῷ Περὶ ἑρμηνείας ἐρράθημεν. τάχα δέ, εἴ τις ἀκριβῶς κατανοήσειε,
μᾶλλον ἁπλουστέρα ἐστὶ κατὰ τὸ σημαινόμενον ἡ ἀπόφασις τῆς καταφάσεως·
ἡ μὲν γὰρ ἄλλο ἄλλῳ συμπλέκει. ἡ δὲ ἀπόφασις οὐχ ὑπάρχειν φησὶ τῷ
ὑποκειμένῳ τὸ κατηγορούμενον· ὅθεν, ὡς εἶπον, οὐ συναναιρεῖ οὐδετέρα
τὴν ἑτέραν οὐδὲ συνεισφέρει. ἐνδέχεται γὰρ τὴν μὲν κατάφασιν ἀεὶ ψεύδε-
σθαι, ὡς ἐπὶ τῆς ἀδυνάτου ὕλης, τὴν δὲ ἀπόφασιν ἐπὶ τῆς αὐτῆς ἀληθεύειν·
καὶ ἔμπαλιν τῆς καταφάσεως ἐπὶ τῆς ἀναγκαίας ὕλης ἀεὶ ἀληθευούσης ἡ
ἀπόφασις ἐπὶ τῆς αὐτῆς ἀεὶ ψεύδεται. ἀδύνατον δέ ἐστιν ἢ τοῦ συνθέτου
ὄντος μὴ καὶ τὰ ἁπλᾶ εἶναι ἢ τῶν ἁπλῶν μὴ ὄντων τὰ σύνθετα εἶναι· οὐκ
ἄρα ἁπλουστέρα ἡ ἀπόφασις τῆς καταφάσεως.

Περὶ μὲν οὖν τῆς ἑτέρας τῶν ἀπορίων τοσαῦτα. περὶ δὲ τῆς ἑτέρας,
φημὶ δὴ τῆς λεγούσης ὅτι τὰ μέρη τῶν ὁρισμῶν ἐπὶ πλέον ἐστὶ τῶν ὁριστῶν,
ἐνταῦθα δὲ τοὐναντίον καὶ ἐπ' ἔλαττον (ἡ γὰρ κατάφασις ἐπ' ἔλαττον τῆς
προτάσεως, ὁμοίως δὲ καὶ ἡ ἀπόφασις), ἔστιν εἰπεῖν πρῶτον μὲν ὡς οὐ
πάντως ἀληθὲς τὸ μὴ ἐπὶ πλέον εἶναι τοῦ ὁριστοῦ κἀνταῦθα τὰ τοῦ ὁρι-
σμοῦ μέρη· ἡ γὰρ κατάφασις καὶ ἡ ἀπόφασις καὶ ὅλως τὸ κατά τινος οὐ μόνον
ἐπὶ προτάσεως φέρεται ἀλλὰ καὶ προβλήματος καὶ ἐνστάσεως καὶ συμπερά-

---

1 τὸ om. Q 2 τῶν εἰδῶν τὰ ἀντιδιῃρημένα Q τὸ αὐτὸ t 4 καὶ primum om. Q ἢ supra καὶ delet. scr. V 5 ante φυτὸν add. τὸ Vt 6 καὶ prius om. Vt 7 πρὸς bis V ἀντιφαντικῶς Q 7. 8 ἀντικείμεναι] ἀντι supra περι scr. V 8 εἴδη om. V ἀντιφάσεως Q 9 δὲ om. Q 12 τὸ in ras. Q δὲ om. V 13 τὸ (post γὰρ) V 13. 14 Σωκράτης περιπατεῖ scripsi: σωκράτους περιπάτησις libri 14 σωκράτους pr. Q, corr. Q¹ 15 τὸ prius om. Q 16 περιπατεῖν V μόνον Q 17 ἐστιν om. Vt 18 ἁπλῆν (post σύνθ.) t 19 ἐν τῷ Περὶ ἑρμ.] c. 11 p. 20b15 sq. κατανοήσει Vt 20 ἁπλούστερόν Vt 21 ἄλλῳ ἄλλο Q¹, corr. Q² 22 συναιρεῖ V ἡ ἑτέρα Q, at cf. p. 15.5 24 ante ἐπὶ alt. add. ὡς Q 26 post ἢ add. καὶ Q 30 φημὶ δὴ om. Q 32 μὲν οὖν t πρῶτον εἰπεῖν ὅτι Vt 34 καὶ prius scripsi: ἢ libri 35 an ἀλλὰ κἀπὶ?

σματος. ἀλλὰ τοῦτο μὲν ἴσως οὐκ ἀναγκαῖον· ἓν γάρ εἰσιν ἅπαντα κατὰ VI[v]
τὸ ὑποκείμενον. ῥητέον οὖν ὅτι τῶν ὁρισμῶν ἐκ γένους ὄντων καὶ διαφορῶν
ἀνάγκη ἐν τῇ τῶν διαφορῶν λήψει καὶ τὰς εἰδικωτάτας διαφορὰς παρα-
λαμβάνεσθαι, αἵτινες ἰδίως τῷ ὑποκειμένῳ καὶ οὐδενὶ ἄλλῳ ὑπάρχουσιν· τὸ 20
5 γὰρ νοῦ καὶ ἐπιστήμης δεκτικὸν μόνῳ τῷ ἀνθρωπείῳ εἴδει ὑπάρχει, καὶ τὸ
ἄρτιον καὶ τὸ περιττὸν μόνῳ τῷ ἀριθμῷ. καὶ γάρ εἰσί τινα ἃ μόνοις τισὶν
ὑπάρχουσι, ἑτέρῳ δὲ οὐδενί, ὡς εἶπον τὸ περιττὸν καὶ τὸ ἄρτιον τῷ ἀριθμῷ
μόνῳ, καὶ ὡς τῷ κύκλῳ τὸ ὑπὸ μιᾶς γραμμῆς περιέχεσθαι καὶ τὸ τὰς ἀπὸ
τοῦ κέντρου πρὸς τὴν περιφέρειαν ἴσας εἶναι. ὁπηνίκα οὖν ὁριζόμενοι τὸν
10 κύκλον λέγωμεν ὅτι κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχό-
μενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τοῦ ἐντὸς τοῦ κύκλου πᾶσαι αἱ [πρὸς τὴν 25
περιφέρειαν] προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν, ἀνάγκη τὰς τελευταίας
διαφορὰς μὴ ἐπὶ πλέον εἶναι τοῦ κύκλου ἀλλὰ μόνῳ αὐτῷ ὑπάρχειν. καὶ
ἔστιν εἰς τοῦτο μυρία παραθέσθαι. ταύτῃ γοῦν, ἐπειδὴ δεόμεθα ἐν τοῖς
15 ὁρισμοῖς μάλιστα τῶν εἰδικωτάτων διαφορῶν, ὁπηνίκα ἂν τούτων ἀπορήσω-
μεν, τοῖς ἰδίοις κεχρήμεθα· ὁριζόμενοι γὰρ τὸν ἵππον φαμὲν ζῷον ἄλογον
χρεμετιστικόν, τῷ χρεμετιστικῷ ὡς εἰδικωτάτῃ διαφορᾷ χρησάμενοι διὰ τὸ
ἀπορεῖν οὐσιώδους τοιαύτης διαφορᾶς. τί οὖν θαυμαστόν, εἰ καὶ ἐπὶ τοῦ 30
τῆς προτάσεως ὁρισμοῦ παρελήφθησαν εἰδικώταται διαφοραὶ μηδενὶ ἄλλῳ
20 ὑπάρχουσαι; τοῦτο γὰρ καὶ ἐξ ἀνάγκης ὤφειλεν ὑπάρχειν τῷ ὄντως ὁρισμῷ.
ταύτῃ οὖν τὸ κατά τινος μόνῳ τῷ ἀποφαντικῷ λόγῳ ὑπάρχον παρείληπται εἰς
τὸν τῆς προτάσεως ὁρισμόν· τὸ γὰρ καταφατικὸς ἢ ἀποφατικός, εἰ μὲν
ὡς ἓν ἄμφω λάβωμεν, οὐκ ἔσται ἐπ' ἔλαττον τῆς προτάσεως ἀλλ' ἐξισάζει.
τὸν γὰρ 'ἤ' σύνδεσμον οὐ διαζευκτικὸν ἀλλὰ παραδιαζευκτικὸν ληψόμεθα ἀντὶ
25 τοῦ 'καί', ἵνα ἄμφω κατὰ τοῦ γένους κατηγορῆται τῆς ἀποφάνσεως ἢ προ- 35
τάσεως· ἡ γὰρ ἀπόφανσις, ἤτοι ἡ πρότασις, καταφατική ἐστι καὶ ἀποφατική·
δέδεικται γὰρ ἐν Εἰσαγωγαῖς ὡς αἱ ἀντικείμεναι διαφοραὶ ἐν τῷ γένει εἰσίν,
ἀλλὰ μόνον δυνάμει, οὐ καὶ ἐνεργείᾳ. εἰ γὰρ μὴ ὡς ἓν ἄμφω λάβωμεν
καὶ μίαν διαφορὰν ἀλλὰ διαζευκτικῶς, οὐ συστατικαὶ ἔσονται τοῦ γένους
30 διαφοραὶ ἀλλὰ διαιρετικαί· ἐν δὲ τοῖς ὁρισμοῖς οὐ τὰς διαιρετικὰς τῶν ὁριστῶν
διαφορὰς παραλαμβάνομεν ἀλλὰ τὰς συστατικάς. οἷον τοῦ ζῴου συστα-
τικαὶ μὲν διαφοραὶ τὸ ἔμψυχον καὶ τὸ αἰσθητικόν· διὰ μὲν γὰρ τοῦ ἐμψύχου 40

2 γενῶν Q 3 εἰδικωτέρας Q 3. 4 περιλαμβάνεσθαι Vt 4 τοῖς ὑποκειμένοις Q ἑτέρῳ Q 6 μόνοις scripsi: μόνως libri 7 ὑπάρχει Vt 8 καὶ prius om. Vt τῷ Q: τὸ Vt τὸ prius e τῷ corr., ut videtur Q[1] τὸ alt. om. t 10 λέγομεν Vt cf. p. 21,4 κύκλος om. Vt 11 τοῦ prius Q: τῶν Vt 11. 12 πρὸς τὴν περιφέρειαν delevi 12 ἀλλήλοις V εἰσίν Vt: εἰσί. καὶ τοίνυν Q τελευταίας in ras. Q 13 καὶ om. t 14 οὖν V 16 γὰρ Q: οὖν: V γοῦν t 17 χρεμετίζων V τὸ χρεμετιστικὸν Vt 20 ὑπάρχειν ὤφειλε Q 21 ἀποδεικτικῷ Q 22 καταφατικὸς ἢ ἀποφατικὸς ex Arist. Waitz Org. I 29: καταφατικὸν ἢ ἀποφατικὸν QV: καταφατικῶς ἢ ἀποφατικῶς t 23 λάβομεν V ἔστιν V 24 ἢ] εἰ V διαζευτικὸν V παραδιαζευκτικὸν t: παραδιαζευτικὸν V: παραζευκτικὸν Q 25 post ἢ add. τῆς V 26 ἡ alt. om. Q 27 ἐν Εἰσαγωγαῖς] p. 11,3 sq. ἐν τῷ γένει εἰσὶ post 28 μόνον colloc. Q 28 ἀλλὰ—οὐ scripsi: οὐ—ἀλλὰ libri 29 καὶ μίαν διαφορὰν om. Q διαζευτικῶς V 30. 31 διαφορὰς τῶν ὁριστῶν Vt 31. 32 μὲν συστατικαὶ Vt

διακρίνεται τῶν ἀψύχων, διὰ δὲ τοῦ αἰσθητικοῦ τῶν φυτῶν· διαίρετικαὶ δὲ VIv
τὸ λογικὸν καὶ ἄλογον καὶ θνητὸν καὶ ἀθάνατον· καὶ δῆλον ὅτι αἱ πρῶται εἰς
τὸν ὁρισμὸν παραλαμβάνονται, οὐχ αἱ ὕστεραι. ὥστε καὶ ἐπὶ τῶν προκει-
μένων; λέγω δὴ τῆς προτάσεως, ἤτοι τοῦ ἀποφαντικοῦ λόγου, εἰ ὡς συστα-
5 τικὴν διαφορὰν παραληψόμεθα τὸ καταφατικὸν ἢ ἀποφατικόν, ὡς ἕν τι τὸ
συναμφότερον δεκτέον· εἰ γὰρ διαζευκτικῶς ἀκούσομεν, διαιρετικαὶ ἔσονται τῆς
προτάσεως διαφοραί, οὐ συστατικαί· ὡς ἓν δὲ ἀκουόντων ἐξισάζει. εἰ δέ 45
τις καὶ μὴ παραδέξοιτο ταύτην τὸν ἐξήγησιν, ἀλλὰ διαζευκτικῶς εἰρῆσθαι
φαίη τὸ καταφατικὸς ἢ ἀποφατικός, οὐδὲ οὕτως ἐλεγχθήσεται ὁ ὁρισμός·
10 οὐ γὰρ εἰς τὸν ὁρισμὸν συντελεῖν ταῦτα φήσομεν ἀλλ' εἰς διάκρισιν τῶν
διαφόρων τῆς προτάσεως εἰδῶν. ἤρκει γὰρ καὶ οὕτως ὁρίσασθαι, ὅτι πρότασίς
ἐστι λόγος τινὸς κατά τινος· ἀλλ' ἐπεὶ μὴ μονοειδεῖς εἰσιν αἱ προ-
τάσεις (διαιροῦνται γὰρ εἴς τε τὰς καταφατικὰς καὶ ἀποφατικάς), εἰς διά-
κρισιν τῶν διαφόρων εἰδῶν προσέθηκε τὸ καταφατικὸς ἢ ἀποφατικός, ὡς
15 εἴ τις καὶ τὸν ἀριθμὸν ὁριζόμενος διορίσοιτο μὲν ὡς ἔστι τὸ ἐκ μονάδων 50
συγκείμενον πλῆθος, εἶτα τὰ εἴδη τούτου σημᾶναι βουλόμενος προσθῇ τὸ
ἄρτιον ἢ περιττόν, οὐ πρὸς σύστασιν τοῦ γένους, φημὶ τοῦ ἀριθμοῦ, ἀλλὰ
πρὸς διαίρεσιν. ὥστε κατὰ ταύτην τὴν ἐξήγησιν τὸ ἑξῆς εἶναι οὕτως· 'λόγος
τινὸς κατά τινος καταφατικὸς ἢ ἀποφατικός'. καὶ ὅτι γε προσφυὴς καὶ ἡ
20 τοιαύτη ἐξήγησις καὶ τῆς προτέρας προσφυεστέρα, δῆλον ἐκ τῶν ἐπιφερο-
μένων. τί γάρ φησιν;

p. 24a 17 Οὗτος δὲ ἢ καθόλου ἢ ἐν μέρει ἢ ἀδιόριστος. | 55

Οὐδέποτε γὰρ ἐν ὁρισμῷ διαζευκτικὸς παραλαμβάνεται σύνδεσμος· τὰ VIr
γὰρ ἐν τῷ ὁρισμῷ παραλαμβανόμενα παντὶ τῷ ὁριστῷ πάντα ὑπάρχει· παντὶ
25 γὰρ ἀνθρώπῳ καὶ τὸ ζῷον καὶ τὸ λογικὸν καὶ τὸ θνητὸν καὶ τὸ νοῦ καὶ
ἐπιστήμης δεκτικόν· οὐ πάσῃ δὲ προτάσει τὸ καταφατικὸν καὶ ἀποφατικὸν
ἢ τὸ καθόλου καὶ ἐν μέρει καὶ ἀδιόριστον. διαίρεσις ἄρα τοῦτό ἐστι προ-
τάσεως καὶ οὐ συστατικαὶ διαφοραί, εἰ μὴ ὡς ἕν, ὅπερ εἶπον, ληφθείη. 5
ἀλλ' οὐδὲ ἅμα παραλαμβάνεσθαι δύναται, διότι, ὡς ἤδη εἶπον, ἕκαστον τῶν
30 ἐν τῷ ὁρισμῷ παραλαμβανομένων ἑκάστῳ τῶν ὑπὸ τὸ ὁριστὸν εἴτε εἰδῶν,
εἰ γένος εἴη τὸ ὁριστόν, εἴτε ἀτόμων, εἴπερ εἶδος εἴη εἰδικώτατον, ὑπάρχειν
ὀφείλει. οἷον ζῷόν ἐστιν οὐσία ἔμψυχος αἰσθητική, καὶ παντὶ ζῴῳ ὑπάρχει
τὸ εἶναι οὐσίαν καὶ ἔμψυχον καὶ αἰσθητικόν· ὁμοίως καὶ ὁ τοῦ ἀνθρώπου
ὁρισμὸς παντὶ τῶν ὑπὸ τὸν ἄνθρωπον ἀτόμων καὶ τῶν ἐν τῷ ὁρισμῷ ἕκα-

2 τὸ om. Vt καὶ (ante ἀλ. et ante θν.) om. Vt 3 οὐχὶ V 4 εἰ QV: ἢ t
6 δεκτέον Vt δὲ Q ἀκούσωμεν t 7 ἐξιζάζει V 8 τις om. Vt παραδέξοιτο]
εξ corr. nescio unde Q¹: παραδέξαιτο b 9 καταφατικὸς (κατα supra ἀπο deletum scr.)
ἢ ἀποφατικὸς V: καταφατικὸν ἢ ἀποφατικὸν Q: καταφατικῶς ἢ ἀποφατικῶς t ἐλεχθήσεται
pr. Q, ex ἐλελεχθήσεται corr. V 10 post ὁρισμὸν del. οὕτως φ Q¹ 11 εἰδῶν τῆς
προτάσεως Q 11. 12 ἔστι πρότασις Vt 12 ἐπειδὴ Q 14 καταφατικῶς ἢ ἀποφατικῶς
(quod correxit Waitz l. c.) Qt 15 post ἔστι add. ποσὸν Q 17 post ἢ add. τὸ t
19 καταφατικῶς ἢ ἀποφατικὸς t 26 καὶ Q: ἢ Vt 29 ὡς om. Vt 30 τῶν V: τὸ Qt
30. 31 εἶδος εἴτε Q 31 εἴπερ Vt: εἴτε Q εἴη alt. om. Q 34 τῶν (ante ἄνθρ.) V

στον, ὡς ἔφθην εἰπών. ἐπὶ δὲ τῆς καταφάσεως καὶ ἀποφάσεως τῶν ὑπὸ VII r
τὴν πρότασιν οὐκέτι τοῦτο συμβαίνει· εἰ γὰρ ὑφ' ἓν λάβωμεν τὸ κατα- 10
φατικὸν καὶ ἀποφατικόν, ἐπ' οὐδενὸς ἁρμόσει, οὔτε ἐπὶ τῆς καταφάσεώ-
φημι οὔτε ἐπὶ τῆς ἀποφάσεως· ὁμοίως δὲ οὐδὲ τὸ καθόλου καὶ ἐν μέρει
καὶ ἀδιόριστον. ὥστε διαιρετικῶς τοῦτο ἀκουστέον, ἵνα ὁ μὲν ὅρος τῆς
προτάσεως εἴη λόγος τινὸς κατά τινος, διαίρεσις δὲ αὐτῆς ταύτης κατὰ μὲν
τὸ ποιὸν κατάφασις ἢ ἀπόφασις, κατὰ δὲ τὸ ποσὸν καθόλου ἢ ἐν μέρει ἢ
ἀδιόριστος. τούτου δὲ οὕτως ἔχοντος οὐκέτι χώραν ἡ ἀπορία ἕξει ἡ λέγουσα
τὰς διαφορὰς τὰς ἐν τῷ ὁρισμῷ παραληφθείσας, τὸ καταφατικὸν φημι καὶ 15
τὸ ἀποφατικὸν καὶ τῶν ἑξῆς ἕκαστον, ἐπ' ἔλαττον εἶναι τοῦ ὁριστοῦ· οὐδὲ
γὰρ εἰς τὸν ὁρισμὸν αὐτῆς τῆς προτάσεως παρελήφθησαν, ἀλλ' εἰσὶν αὐτῆς
διαιρετικαί. μόνη δὲ παρείληπται ἡ τὶ κατά τινος, ἥτις ἐξισάζει τῇ προτά-
σει· πάσῃ γὰρ προτάσει καὶ μόνῃ τοῦτο ὑπάρχει. εἰ δὲ λέγοι τις ὅτι ἀλλ'
ἔδει, ὥσπερ ἐπὶ τῶν ἄλλων ὁρισμῶν, εἰ καὶ εἰδικώταται διαφοραὶ παραλαμ-
βάνονται, ἀλλ' οὖν καὶ κοιναί εἰσιν, ὡς ἐπὶ τοῦ ἀνθρώπου τὸ λογικὸν καὶ τὸ
θνητόν, οὕτως καὶ ἐπὶ τοῦ ὁρισμοῦ τῆς προτάσεως καὶ κοινοτέρας τινὰς εἶναι 20
διαφοράς, ἴστω ὅτι ἐπὶ μὲν τῶν ἄλλων εἰδῶν τῶν ὑπὸ τὰ γένη ἦσάν
τινες κοιναὶ πλειόνων εἰδῶν διαφοραί, ὡς τὸ λογικὸν ἀνθρώπου καὶ ἀγγέλου,
ἐνταῦθα δὲ οὐκ ἐχορήγησεν ἡμῖν τὸ τοιοῦτον ἡ φύσις· εὐθὺς γὰρ μετὰ τὸ
γένος, τὸν λόγον, τὰ εἴδη εἰσὶ μηδενὶ μέσῳ κοινοτέρῳ διειργόμενα εἰ μὴ
μόναις ταῖς εἰδικωτάταις διαφοραῖς, αἷς ἕκαστον τῶν ὑπὸ τὸν λόγον εἰδῶν
χαρακτηρίζεται. ἀλλὰ πάλιν ἡμῖν ὁ περὶ τῆς διαφορᾶς προσίσταται ὁρισμός,
εἴπερ ἐστὶ "τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι 25
κατηγορούμενον"· οὐδὲ γὰρ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατη-
γορεῖται τὸ τὶ κατά τινος, εἴπερ ἐξισάζει τῷ ὁριστῷ. φημὶ οὖν καὶ πρὸς
τοῦτο ὅτι πρῶτον μὲν ἡ αὐτή ἐστιν ἀπορία καὶ ἐπὶ τῶν ἄλλων εἰδικωτάτων
διαφορῶν, οἷον τοῦ νοῦ καὶ ἐπιστήμης δεκτικοῦ ἐπὶ ἀνθρώπου, τοῦ ὑπὸ μιᾶς
γραμμῆς περιέχεσθαι ἐπὶ τοῦ κύκλου. ἄλλως τε ἐνταῦθα οὐδὲ τοῦτο ἕπεται·
ἡ γὰρ πρότασις ὑπάλληλόν ἐστι γένος διαιρούμενον εἰς εἴδη τὴν κατάφασιν 30
καὶ τὴν ἀπόφασιν· ἑκάστῃ δὲ τούτων προσαρμόζει τὸ τὶ κατά τινος. ὥστε
ἐνταῦθα μὲν κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖται τὸ τὶ
κατά τινος· τὸ μέντοι νοῦ καὶ ἐπιστήμης δεκτικόν, εἰ μόνου ἐστὶν ἀνθρώπου
εἰδικωτάτη διαφορά, οὐ κατὰ διαφερόντων τῷ εἴδει ἀλλὰ κατὰ διαφερόντων
τῷ ἀριθμῷ κατηγορεῖται· ὁμοίως καὶ ἐπὶ τοῦ κύκλου τὸ ὑπὸ μιᾶς γραμμῆς
περιέχεσθαι. μήποτε οὖν κάλλιόν ἐστιν οὕτως ὁρίζεσθαι τὴν διαφοράν, ὅτι
τὸ κατὰ πλειόνων καὶ διαφερόντων ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ ἐν τῷ ὁποῖόν τί 35

2 post γὰρ add. καὶ t λάβομεν t 4 οὐδὲ Qt: ἐπὶ V 7 an καταφατικὸς ἢ ἀποφατικός? 8 ἀδιόριστος ex Arist. scripsi: ἀδιόριστον libri 10 τὸ om. Vt ὁρισμοῦ V 12 ἐξιζάζει V 13 λέγει Vt 14 ἔδει om. Vt 15 ἀλλὰ om. οὖν, Q 16 καὶ prius om. Vt 17 post ἴστω add. ὡς Q post γένη del. εἰ Q¹ 21 μόνον Vt 22 προίσταται Vt 23 τὸ κατὰ κτλ.] Porph. Isag. p. 11,7 post εἴδει add. καὶ Vt ποῖόν Vt 25 ἐξιζάζει V ante φημὶ del. λεγ Q¹ 26 ὅτι om. t post μὲν add. ἐστιν V 27 τὸ—τὸ Q 36 τὸ om. Q ἢ prius om. Q ποῖόν Vt

ἐστι κατηγορούμενον. εἰ δὲ καὶ οὗτος ὁ ὅρος μὴ ἐφαρμόσει ταῖς εἰδικωτά- VIIr
ταις διαφοραῖς, ἀλλ' οὖν οἱ ἄλλοι ὅροι ἐφαρμόσουσι, "διαφορά ἐστιν ᾗ περιττεύει τὸ εἶδος τοῦ γένους".

Τινὸς κατά τινος. τινὰ τῶν ἀντιγράφων καὶ τινὸς ἀπό τινος ἔχει: ἀλλ' ἄμεινον τὸ πρῶτον μόνον. εἰ δέ τις εἴποι 'ἀλλὰ μόνης τῆς καταφάσεως ὁ ὁρισμὸς εὑρίσκεται· δοκεῖ γὰρ τὸ κατά τινος μὴ ἁρμόζειν τῇ ἀποφάσει· αὕτη γὰρ διὰ τὸ διαιρεῖν μᾶλλον ἂν καλοῖτο τινὸς ἀπό τινος', ἐροῦμεν ὅτι τὸ τινὸς αὐτὸν μόνον τὸν κατηγορούμενον ὅρον δηλοῖ, τὸ δὲ κατά τινος τὸν ὑποκείμενον. εἰ οὖν καὶ ἡ ἀπόφασις ἐκ τούτων συνέστηκε, δῆλον ὡς καὶ περὶ ταύτης ἂν εἴη διειληφώς· λέγομεν γάρ τι κατά τινος ὑπάρχειν ἢ μὴ ὑπάρχειν.

p. 24a18 Ἐν μέρει δὲ τὸ τινὶ ἢ μὴ τινὶ ἢ μὴ παντὶ ὑπάρχειν.

Τί δήποτε τὴν μὲν μερικὴν καταφατικὴν μιᾷ φωνῇ ἐσήμανε, τὴν δὲ μερικὴν ἀποφατικὴν δύο φωναῖς, τῷ τε μὴ τινὶ καὶ τῷ μὴ παντί; λέγομεν οὖν πρὸς τοῦτο ὅτι ἡ μερικὴ ἀποφατική, ὡς καὶ ἐν τῷ Περὶ ἑρμηνείας εἴρηται, δύο προτάσεσι μάχεται, τῇ τε τὶς καὶ τῇ πᾶς, ἀλλὰ τῇ μὲν τὶς ὡς αὐτὸ τοῦτο τὸ μερικὸν ἀναιροῦσα ὅπερ κατέφησεν ἡ ἰδία αὐτῆς κατάφασις, τῇ δὲ πᾶς μάχεται ὡς ἀντιφατικῶς αὐτῇ ἀντικειμένη, καὶ ὀνόματα μὲν δύο, πρᾶγμα δὲ ἕν.

p. 24a19 Ἀδιόριστον δὲ τὸ ὑπάρχειν ἢ μὴ ὑπάρχειν ἄνευ τοῦ καθόλου ἢ κατὰ μέρος, οἷον τὸ τῶν ἐναντίων εἶναι τὴν αὐτὴν ἐπιστήμην ἢ τὸ τὴν ἡδονὴν μὴ εἶναι ἀγαθόν.

Παραδοὺς ἡμῖν περὶ τῆς καθόλου προσδιωρισμένης καὶ τῆς μερικῆς προσδιωρισμένης νῦν παραδείγματα λέγει τῆς ἀπροσδιορίστου προτάσεως τὸ τῶν ἐναντίων εἶναι τὴν αὐτὴν ἐπιστήμην· αὕτη γὰρ ἀπροσδιόριστός ἐστι πρότασις· οὐ γὰρ πρόσκειται εἴτε πάντων τῶν ἐναντίων ἢ τινῶν, καὶ εἴτε οὐδεμία ἡδονὴ ἀγαθὸν ἢ οὐ πᾶσα, ἀλλ' ἀπροσδιόριστον ἔχει τὴν προφοράν. ἠπόρησαν δέ τινες | πῶς ἀπροσδιορίστων προτάσεων ὑποδείγματα VIIv
θεῖναι βουληθεὶς εἶπε τῶν ἐναντίων μίαν εἶναι τὴν ἐπιστήμην ἢ τὴν ἡδονὴν μὴ εἶναι ἀγαθὸν μετὰ τῶν ἄρθρων τοὺς ὅρους θείς· δοκοῦσι

1 οὕτως pr. Q, corr. Q¹ ἐφαρμόσει V: ἐφαρμόση corr. ex ἐφαρμόσειν Q¹: ἐφαρμόσοι t 2 ὅροι om. Q ante διαφορά addiderim οἷον; an aliae definitiones exciderunt? διαφορά κτλ.] Porph. Isag. p. 10,22 7 διαιροῦν t καλῆται Q 8 ὅρον superscr. Q¹ 9 τούτων scripsi: τούτου libri 10. 11 λέγομεν—μὴ ὑπάρχειν QV: λέγω δὲ καθόλου μὲν τὸ παντὶ ἢ μηδενὶ ὑπάρχειν sequenti lemmati continuata t 12 lemma om. Q ἢ μὴ τινὶ t Arist.: om. V 13 καταφατικὴν corr. Q¹: κατάφασιν Vt, pr. Q 14 φωναῖ V τῇ—τῇ e τῷ—τῷ corr. V παντὶ—τινί V 15 ἐν τῷ Περὶ ἑρμ.] c. 7 p. 17b16 sq. 16 μάχεται] τ supra σθ scr. V 17 ἀναιροῦντα V 19 post δὲ add ἐστιν Q 26 πρόκειται V εἴτε prius om. Vt ἢ Vt: εἴτε Q τινος Vt 27 ἔχουσα Vt 28 παραδείγματα Q 29 βουλόμενος Q post εἶπε add. τὸ t 30 τιθεὶς Vt

γὰρ τὰ ἄρθρα ἰσοδυναμεῖν τοῖς καθόλου προσδιορισμοῖς, καὶ οὕτως ἐν τῷ VII^v
Περὶ ἑρμηνείας ἐδόκει λέγεσθαι. φημὶ οὖν ὅτι οὐ παντάπασι τὰ ἄρθρα
τοῖς προσδιορισμοῖς τὴν αὐτὴν ἔχουσι δύναμιν· τοῦτο γὰρ οὐκ ἔστιν ἀληθές,
ἐπεί τοί γε, εἰ τοῦτο ἦν, ὁπηνίκα τις εἴπῃ ὅτι ὁ Σωκράτης φιλόσοφός ἐστιν, 5
5 τοῦτο λέγει, ὅτι πᾶς Σωκράτης φιλόσοφός ἐστιν. εἰ τοίνυν τοῖς καθ' ἕκαστα
ὅροις δυνατὸν τὰ ἄρθρα προσάπτειν, τοὺς δὲ προσδιορισμοὺς ἀδύνατον, οὐκ ἄρα
ἀληθὲς δύνασθαι ταὐτὸν τοῖς προσδιορισμοῖς τὰ ἄρθρα. ἀλλ' ἐπὶ μὲν τῶν καθ'
ἕκαστα ὅρων οὐδὲν ἄλλο σημαίνουσιν ἢ ἀναφορὰν καὶ τὸν προεγνωσμένον
ἡμῖν φέρε Σωκράτην ἢ ὁντινοῦν· ἐπὶ δὲ τῶν καθόλου ὅρων ἔοικεν, ὡς
10 καὶ ἐν τοῖς εἰς τὸ Περὶ ἑρμηνείας ὁ ἡμέτερος εἶπε διδάσκαλος, αὐτὴν τὴν
φύσιν καὶ τὴν ἰδέαν τοῦ ἀνθρώπου δηλοῦν ἢ οὑτινοσοῦν. ὅταν γὰρ λέγω- 10
μεν 'ὁ ἄνθρωπος ζῷον', τί ἄλλο φαμὲν ἢ ὅτι αὐτῇ τῇ ἀνθρωπείᾳ φύσει
ὑπάρχει τὸ εἶναι ζῴῳ; ὅταν μέντοι 'πᾶς ἄνθρωπος ζῷον', τὰ ὑπὸ τὸ εἶδος
δηλοῦμεν ἄτομα. ὥστε ἀπροσδιόριστος μὲν ἡ λέγουσα 'ὁ ἄνθρωπος ζῷον'
15 καὶ 'ἄνθρωπος ζῷον' ἐκτὸς τοῦ ἄρθρου, ἀλλ' ἡ μὲν αὐτὸ τὸ καθόλου εἶδος
ζῷον εἶναί φησιν ἡ μετὰ τοῦ ἄρθρου, ἡ δὲ μέρος τι τῶν ὑπὸ τὸ εἶδος.
ἀμέλει ὅτι μὲν ὁ ἄνθρωπος λευκός ἐστιν ἢ γραμματικός, οὐκ ἀληθές· ἐκτὸς
δὲ τοῦ ἄρθρου 'ἔστιν ἄνθρωπος λευκός, ἔστιν ἄνθρωπος γραμματικός' ἀληθές. 15
ὥστε κἂν μετὰ τοῦ ἄρθρου εἴπε τὸ τῶν ἐναντίων καὶ τὸ τὴν ἡδονήν,
20 ἀπροσδιορίστοις ἐχρήσατο ταῖς προτάσεσιν.

p. 24ᵃ22 Διαφέρει δὲ ἡ ἀποδεικτικὴ πρότασις τῆς διαλεκτικῆς.

Τὸν ὁρισμὸν πάσης προτάσεως κοινὸν ἔμπροσθεν ἀποδεδωκὼς νῦν τὰς
διαφορὰς αὐτῶν παραδίδωσι λέγων εἶναι τῶν προτάσεων τὴν μὲν ἀποδει- 20
κτικὴν τὴν δὲ διαλεκτικήν· παρέλειπε δὲ τὴν σοφιστικὴν ὡς διὰ παντὸς
25 ἄχρηστον οὖσαν. λαμβάνει δὲ διαφορὰς δύο, μίαν μὲν ἐκ τῆς χρήσεως τῆς
ἡμετέρας, ἑτέραν δὲ ἐκ τῆς φύσεως τῶν πραγμάτων· ἐκ μὲν τῆς φύσεως
τῶν πραγμάτων, ὅτι ὁ μὲν διαλεκτικὸς οὐ πάντως τἀληθῆ λαμβάνει ἀλλὰ
τὰ δοκοῦντα τοῖς προσδιαλεγομένοις, εἴτε ἀληθῆ εἴη εἴτε ψευδῆ, ὁ δὲ ἀπο-
δεικτικὸς μόνα τἀληθῆ, κἂν μηδενὶ δοκῇ· ἐκ δὲ τῆς χρήσεως, ὅτι ὁ μὲν
30 διαλεκτικὸς τὴν ὅλην ἀντίφασιν ἐρωτᾷ καὶ ὃ ἂν δόξῃ τῷ προσδιαλεγομένῳ 25
λαβὼν ἐκ τούτου εἰς ἀντίφασιν αὐτὸν ἀπάγει (εἰς γὰρ δόξαν ὁρῶν κατα-

1. 2 ἐν τῷ Περὶ ἑρμ.] c. 14 p. 24ᵃ3 sq. 2 οὐ om. V 3 ἀληθές] η e λ corr. Q¹ 4 τοι γε om. Q εἴπῃ t cf. p. 17,10: εἴποι QV σοκράτης Q 5 φιλόσοφός ἐστιν om. Vt 5—8 (κα)θέκαστα—(ἀδύ)νατον—ἀλη(θὲς)—(τοῖς) προσδιορισμοῖ(ς)—τῶ(ν κα)θέκαστα] unc. incl. in lac. expl. Q² (post τοῖς lac. VIII fere litt. usque ad lineae finem) 7 τὸν αὐτὸν τρόπον δύνασθαι Q 10 καὶ om. Q ἐν τοῖς εἰς τὸ Περὶ ἑρμ.] p. 269,14 11 ὁτινοσοῦν V 12 αὐτῇ om. Vt 13 εἶναι ζῶον Q 14 μὲν om. Q 15 καὶ ἄνθρωπος ζῶον om. Q τοῦ om. Q 16 φημὶ V ἡ prius corr. ex ὡς Q² 17 ὁ om. V 18 τοῦ om. V ἀληθές V: om. QVt 19 τὸ alt. om. Q 23 post μὲν add. αὐτῶν Vt 25 φύσεως t 26. 27 ἐκ μὲν—πραγμάτων om. Vt 27 τὰ ἀληθῆ Q itemque vs. 29 29 ἀληθῆ supra τὰ ψευδῆ scr. V δοκεῖ t 30 ἐὰν Vt 31 τούτων Vt αὐτὸν superscr. V ἐπάγει t: ἐρωτᾶ ἐπάγει V

βάλλειν ἀεὶ βούλεται τὸν προσδιαλεγόμενον), ὁ δὲ ἀποδεικτικὸς πρὸς τὴν VII[v]
ἀλήθειαν βλέπων ἀεὶ οὐκ ἐρωτᾷ, ἀλλὰ τὸ δοκοῦν αὐτῷ καὶ ἀληθὲς λαμβάνει,
καὶ οὔτε τὴν ὅλην ἀντίφασιν λαμβάνει ἀλλὰ τὸ ἕτερον μόριον τὸ ἀληθές.
ἄξιον δὲ ζητῆσαι διὰ τί ἐν τῷ προλαβόντι βιβλίῳ τῷ Περὶ ἑρμηνείας περὶ
5 προτάσεων διαλεχθεὶς πάλιν ἐνταῦθα τί ἐστι πρότασις ἡμᾶς διδάσκει. φαμὲν 30
οὖν, ὡς ἤδη εἴρηται, ὅτι ἀπόφανσις, πρότασις, πρόβλημα, συμπέρασμα,
ἔνστασις τῷ μὲν ὑποκειμένῳ ταὐτά εἰσι, τῇ δὲ σχέσει μόνον διαφέρουσιν.
φέρε γὰρ τὸ 'ἡ ψυχὴ ἀθάνατος'· πάντα ταὐτά ἐστιν· ἡνίκα μὲν γὰρ ὡς
ἀποφαινόμενος λέγω, καλεῖται ἀπόφανσις, ὅταν δὲ ὡς μέρος συλλογισμοῦ,
10 πρότασις· καὶ γὰρ τοὺς συλλογισμούς φαμεν ἐκ δύο προτάσεων συγκεῖσθαι
τοὐλάχιστον· ὅταν δὲ ὡς ἀπορῶν τις οὕτως εἴπῃ 'ἆρα ἡ ψυχὴ ἀθάνατος;',
τότε πρόβλημα λέγεται· ὅταν δὲ ἐκ συλλογισμοῦ συναχθῇ, τότε συμπέρασμα· 35
ὅταν δέ τινος ἀποδείξαντος, ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἐνστῇ ἄλλος καὶ
εἴπῃ ὅτι οὐκ ἀθάνατος, τότε ἔνστασις. ἐν μὲν οὖν τῷ Περὶ ἑρμηνείας ὡς
15 περὶ ἀποφάνσεως διελέγετο, ἐνταῦθα δὲ ὡς περὶ μέρους συλλογισμοῦ.

p. 24a24 Οὐ γὰρ ἐρωτᾷ ἀλλὰ λαμβάνει ὁ ἀποδεικνύων.

Λαμβάνει, ἀφ' ἑαυτοῦ δηλονότι, ὥσπερ εἴρηται, τῆς ἀληθείας ἀντιποιού- 40
μενος, κἂν μὴ δοκῇ τῷ ἀκροατῇ ἢ μηδ' ὅλως ᾖ ἀκροατής· λήψεται γάρ,
εἰ τύχοι, ὁ ἀποδεικτικὸς ὅτι ὁ ἥλιος μείζων τῆς γῆς ἐστι, καὶ εἰ πολλοῖς
20 δοκεῖ ποδιαῖος εἶναι, οὐχ ὡς ὁ διαλεκτικὸς βουλόμενος ἀεὶ κρατεῖν τοῦ προσ-
διαλεγομένου ἐκ τῶν παρ' αὐτοῦ ὁμολογουμένων, ἄν τε ἀληθῆ εἴη ἄν τε ψευδῆ.

p. 24a25 Ἡ δὲ διαλεκτικὴ ἐρώτησις ἀντιφάσεώς ἐστι.

Τί δήποτε ἐν τῷ Περὶ ἑρμηνείας λέγων τὴν διαλεκτικὴν πρότασιν ἐρώ-
τησιν εἶναι τοῦ ἑτέρου μορίου τῆς ἀντιφάσεως, ἐν οἷς φησιν "ἡ διαλεκτικὴ 45
25 ἐρώτησις ἀποκρίσεώς ἐστιν αἴτησις, ἢ τῆς προτάσεως ἢ θατέρου μορίου τῆς
ἀντιφάσεως", ἐνταῦθα τοὐναντίον λέγει; τὴν γὰρ ὅλην ἀντίφασίν φησιν
ἐρωτᾶν τὸν διαλεκτικόν. λέγομεν οὖν ὅτι οὐκ ἔστι ταῦτα ἐναντία· καὶ γὰρ
καὶ ὅλην δεῖ ἐρωτᾶν τὴν ἀντίφασιν τὸν διαλεκτικὸν καὶ οὐχ ὅλην ἀλλὰ τὸ
ἕτερον μόριον· ἐνεργείᾳ μὲν γὰρ τὸ ἕτερον μόριον ἐρωτᾷ, δυνάμει δὲ τὴν
30 ὅλην ἀντίφασιν. ὅτι δὲ τοῦτο βούλεται ὁ φιλόσοφος, δῆλον ἐντεῦθεν· αὐτός
φησιν ὅτι δεῖ τὴν διαλεκτικὴν ἐρώτησιν οὕτω προφέρεσθαι ὡς διδόναι τῷ 50

1 post προσδιαλεγόμενον add. καὶ εἰς ἀντίφασιν αὐτὸν περιάγειν Vt 2 ἀεὶ om. Vt
3 an οὐδὲ ? at cf. Ind. 4 τῷ alt. Y: τοῦ Q: ἐν τῷ Vt 5 ἐνταῦθα om. V
6 εἴρηται] p. 11,25 7 ἔνστασις] ν postea add. Q[1] σχέσει δὲ Q 9 ἀποφαινό-
μενοι λέγωμεν Q cf. p. 25,18. 19 11 post τις add. ἐρωτῶν Vt εἴποι V
12 τότε prius Q: τοῦτο Vt τότε alt. om. Vt 13 ἀντιστῇ Q 14 εἴποι V
ὅτι om. Q τότε om. Vt ὡς om. Qt 15 ὡς μέρος Vt
16 ἀποδεικτικός Q 19 ὅτι om. Vt ἐστι τῆς γῆς Q 20 post τοῦ del.
ἀποδει Q[1] 21 post ὁμολ. add. λαμβάνει Vt 23 ἐν τῷ Περὶ ἑρμ.] c. 11 p. 20b22
24 post ἡ add. δὲ Qt 27 ὅτι om. V 28 καὶ prius om. Q τὸν διαλεκτικὸν
om. Vt 31 διδοὺς Vt

προσδιαλεγομένῳ διὰ μόνης τῆς κατανεύσεως ἢ ἀνανεύσεως τὸ βούλημα VII r
ἑαυτοῦ ἡμῖν ἐμφαίνειν. τούτῳ γὰρ καὶ διαφέρει ἡ διαλεκτικὴ ἐρώτησις
τῆς πυσματικῆς, ὅτι πρὸς μὲν τὴν διαλεκτικὴν ἐρώτησιν ἀρκεῖ ἢ τὸ ναὶ
ἢ τὸ οὐ ἀποκρίνεσθαι, οἷον 'πότερον ἡ ψυχὴ ἀθάνατος;' πρὸς τοῦτο ἱκανὸν
5 ἢ τὸ ναὶ ἢ τὸ οὔ· πρὸς δὲ τὰς πυσματικὰς πλείονος δεῖ λόγου, οἷον
"τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;" αὕτη πυσματική ἐστιν |
ἐρώτησις, πρὸς ἣν πλειόνων δεῖ λόγων τῷ ἀποκρινομένῳ· ἐπάγει γοῦν VIII r
"Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν". ἐὰν τοίνυν τὴν πᾶσαν
ἀντίφασιν ἐρωτώμεθα ἐνεργείᾳ, οἷον 'ἡ ψυχὴ ἀθάνατός ἐστιν ἢ οὐκ ἔστιν
10 ἀθάνατος;', οὐκέτι ὁ προσδιαλεγόμενος δύναται ποιεῖν τὰς ἀποκρίσεις τὰς διαλεκτικάς, αἵ εἰσι τὸ ναὶ ἢ τὸ οὔ· εἴτε γὰρ ναὶ εἴποι εἴτε οὔ, οὐκ οἶδεν ὁ ἐρωτήσας ποίῳ μορίῳ τῆς ἀντιφάσεως συγκατέθετο ἢ ἀπεῖπεν. ὅτι δὲ 5
δυνάμει ἐν τῷ ἑτέρῳ μορίῳ τῆς ἀντιφάσεως καὶ τὸ ἕτερον ἐρωτᾷ ὁ διαλεκτικός, δῆλον ἐξ ὧν πολλάκις πρὸς τὸ μὴ ἐνεργείᾳ ἐρωτηθὲν μόριον
15 ἀπαντᾷ ὁ ἀποκρινόμενος· ὅπερ οὐκ ἂν ἐγένετο, εἰ μὴ ἐνῆν ἐν τῇ ἐρωτήσει δυνάμει ἡ πᾶσα ἀντίφασις· ἐρωτωμένου γὰρ ὅτι 'πότερον ἡ ψυχὴ ἀθάνατος;' ἀποκρίνεται πολλάκις ὁ προσδιαλεγόμενος ὅτι οὔ.

p. 24a25 Οὐδὲν δὲ διοίσει πρὸς τὸ γενέσθαι τὸν ἑκατέρου συλλογισμόν· καὶ γὰρ ὁ ἀποδεικνύων καὶ ὁ ἐρωτῶν συλλογίζεται. 10

20 Σκοπὸν ἔχων ὁ φιλόσοφος διαλαβεῖν περὶ τοῦ ἁπλῶς συλλογισμοῦ, ὑπὸ φιλοτιμίας ἡμῖν νῦν παρεδίδου τὴν διαφορὰν τῆς ἀποδεικτικῆς προτάσεως καὶ τῆς διαλεκτικῆς. γνοὺς οὖν ὅτι τὰ νῦν ὑπ' αὐτοῦ ζητούμενα οὐδὲν συμβάλλεται εἰς τὸν ἁπλῶς συλλογισμόν, τούτου χάριν προσέθηκε τοῦτο νῦν, ὅτι οὐδὲν διαφέρει πρὸς τὸ κατασκευάσαι ἡμᾶς τὸν ἁπλῶς
25 συλλογισμὸν τὸ εἰδέναι εἴτε ἐρωτῶν ὁ διαλεκτικὸς συλλογίζεται ἢ μή, ὁμοίως 15
οὐδὲ εἰ ὁ ἀποδεικτικὸς λαμβάνει καὶ οὐκ ἐρωτᾷ· οὐδὲν γὰρ ἧττον ἑκάτερος αὐτῶν συλλογίζεται, ἡμῖν δὲ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ πρόκειται νῦν διαλαβεῖν. καὶ διὰ μὲν τοῦ εἰπεῖν ὁ ἀποδεικνύων σημαίνει τὴν ἀποδεικτικὴν πρότασιν, διὰ δὲ τοῦ ἐρωτᾶν τὴν διαλεκτικήν.

30 p. 24a27 Λαβών τι κατά τινος ὑπάρχειν ἢ μὴ ὑπάρχειν.

Ἐντεῦθεν δῆλον ὅτι τὸ κατά τινος ἐνδέχεται λαβεῖν κοινῶς ἐπί τε τῆς 22

2 τοῦτο Vt διαφέρειν τὴν διαλεκτικὴν ἐρώτησιν Vt 3 ἀποκρίνασθαι Vt
οἷον om. Vt 5 οἷον mrg. Q¹ 6 τίς πόθεν κτλ.] Hom. velut α 170 (sed Alcinous Ulixem sic non interrogat) ἧς Q: ἧς t post ἀνδρῶν add. ἄριστε Q
ἐστιν Q: ἡ t: om. V 8 Ἰλιόθεν κτλ.] Hom. ι 39 πέλασεν Q πᾶσαν τὴν Q 9 ἔστιν om. Vt 10 post οὐκέτι add. ὅτι t 11 ναὶ alt. om. V
εἴτε alt. Q: ἢ Vt 12. 13 συγκατέθετο—ἀντιφάσεως om. V 13 καὶ τὸ ἕτερον om. Vt 15 τῷ ἀποκρινομένῳ Q 16 πᾶσα ἡ Vt ἐρωτωμένῳ Q ἀθάνατος Vt: ἀγαθὸν Q 18 δὲ om. Q 19 post γὰρ add. καὶ Vt (Marc. 231) 20 διαλαβεῖν post συλλ. collocat Q 21. 22 προτάσεως post διαλ. collocat Q: πρότερον t 22 τῆς om. Q 23 συμβάλλονται Vt προσέθηκε om. V 24 πρὸς om. Q 25 ἢ Vt: εἴτε Q
26 οὐκ om. Q 27 νῦν Qt: ἡμῖν V 29 an ⟨ὁ⟩ ἐρωτῶν? 30 λαμβάνων Q

καταφάσεως καὶ τῆς ἀποφάσεως, ὅπερ ἄνω ἐλέγομεν· αὐτὸς γὰρ κοινῶς VIIIr
εἰπὼν τὸ τὶ κατά τινος ὑποδιεῖλε προσθεὶς τὸ ἢ ὑπάρχειν ἢ μὴ ὑπάρχειν.

p. 24a30 Ἀποδεικτικὴ δέ, ἐὰν ἀληθὴς ᾖ καὶ διὰ τῶν ἐξ ἀρχῆς ὑποθέσεων εἰλημμένη.

Οὐ γὰρ ἀρκεῖ μόνον, ἐὰν ἀληθὴς ᾖ, εἰς τὸ ποιῆσαι πρότασιν ἀπο- 25
δεικτικήν (ὑπάρχει γάρ ποτε τοῦτο καὶ τῇ διαλεκτικῇ), [ἀλλ'] εἰ μὴ καὶ ἐκ τῶν κοινῶν ἐννοιῶν ἢ ἐκ τῶν ἐξ ἐκείνων κατασκευαζομένων ὑπάρχει. ἐξ ἀρχῆς δὲ ὑποθέσεις καλεῖ τὰς κοινὰς ἐννοίας, διότι κρείττους εἰσὶ τῶν ἀποδείξεων καὶ τιμιώτεραι, εἴπερ αὗται μέν εἰσιν αὐτόπιστοι δι' ἑαυτάς, αἱ δὲ ἀποδείξεις διὰ ταύτας τὸ πιστὸν ἔχουσιν. ἢ διὰ τῶν ἐξ ἀρχῆς φησιν ὑποθέσεων, ἐπειδὴ ὁ ἀποδεικτικὸς συλλογισμὸς ἐπιστημονικός ἐστιν, ἑκάστη δὲ ἐπιστήμη ἰδίας ἀρχὰς ἔχει καὶ ὑποθέσεις καὶ περαιτέρω οὐ πρόεισιν· 30
οἷον ἡ γραμματικὴ ἀρχὴν ἔχει τὰ στοιχεῖα καὶ περαιτέρω οὐ πρόεισι καὶ ἡ γεωμετρία τὸ σημεῖον καὶ ἡ ἀριθμητικὴ τὴν μονάδα. ταύτην οὖν λέγει ἀποδεικτικὴν πρότασιν τὴν ἐκ τῶν οἰκείων ἀρχῶν καὶ ὑποθέσεων εἰλημμένην καὶ μὴ ὑπερβᾶσαν τὴν τοῦ ἐπαγγέλματος ὑπόθεσιν, ὥσπερ τῷ γραμματικῷ οἰκεῖαι προτάσεις αἱ περὶ στοιχείων καὶ συλλαβῶν καὶ τῶν ἑπομένων· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐπιστημῶν.

p. 24b11 Συλλογιζομένῳ δὲ λῆψις τοῦ φαινομένου καὶ ἐνδόξου, καθάπερ ἐν τοῖς Τοπικοῖς εἴρηται. 35

Τοῦτό φησιν, οὐχ ὅτι δεῖ αὐτὸν ἐρωτήσαντα τὸ ἔνδοξον πάντως λαβεῖν (ὃ γὰρ βούλεται ὁ προσδιαλεγόμενος ἀποκρίνεται καὶ ἔσθ' ὅτε τὸ ἐναντίον τοῦ ἐνδόξου· οἷον εἰ ἐρωτήσει 'ἆρα Σωκράτης δίκαιός ἐστιν;', ἴσως φήσει οὔ) 40
ἀλλὰ τῷ διὰ τῶν φαινομένων μάλιστα τῷ προσδιαλεγομένῳ ἐνδόξων συλλογίζεσθαι ὅ τι ἂν βούλοιτο. τὸ δὲ ἔνδοξον πολλαχῶς λέγεται· ἢ γὰρ τὸ τοῖς πᾶσι δοκοῦν ἢ τὸ τοῖς πλείοσιν ἢ τὸ τοῖς ἐνδόξοις, καὶ ἄλλως δὲ πολλαχῶς. καὶ αὐτὸς ἐν τοῖς Τοπικοῖς σαφῶς διορίζεται περὶ αὐτοῦ.

p. 24b16 Ὅρον δὲ καλῶ εἰς ὃν διαλύεται ἡ πρότασις.

Τῶν προτάσεων οὐ μόνον ἐξ ὑποκειμένου καὶ κατηγορουμένου οὐσῶν ἀλλὰ καὶ ἐκ τρίτου προσκατηγορουμένου καὶ τρόπου, τί δήποτε τὴν πρότασιν 45

1 ἄνω] p. 20,7 sq. 2 τὶ om. Vt ἢ τὸ Vt 3 ante lemma ex Arist. add. καὶ γάρ—ὥστε ἔστι—τὸν εἰρημένον τρόπον, om. alt. ὁ et κατὰ V ἐὰν] ἂν om. Q ἐξ ἀρχῆς om. Q 5 ἀληθής] ληφθὴς sic Q 6 τῆς διαλεκτικῆς Vt ἀλλ' delevi 8 κρείττους Q 13 πρόεισι Q: πρόεισιν ὥσπερ Vt 14 ἡ alt. om. Vt 17 στοιχείου Vt 22 τὸ om. V 23 ἐρωτήσοι t: fort. ἐρωτήσεις φήσει V 24 τῷ prius scripsi: τὸ libri 26 τὸ alt. om. t 27 τόπαις Vt ἐν τοῖς Τοπ.] I 1 p. 100b21 διορίζεται σαφῶς Q 28 ante lemma add. ex Arist. τί μὲν οὖν—καὶ τίνι—ἀποδεικτικὴ διαλεκτική, ἀκριβείας—διορίσθω τὰ νῦν V 29 οὐ μόνον om. V κατηγοριῶν V 30 προσκατηγορίαν V

εἴς τε τὸν ὑποκείμενον καὶ κατηγορούμενον διαλύεσθαί φησι μόνους; καὶ VIII r
λέγομεν ὅτι κυρίως ταῦτα τὰ δύο εἰσὶ μόνα τῆς προτάσεως μέρη, τό τε περὶ
οὗ ὁ λόγος καὶ τὸ περὶ ἐκείνου λεγόμενον, ὅσα δὲ ἄλλα παραλαμβάνεται
ἐν τῇ προτάσει, συνδέσμου χρείαν πληροῖ. ἐπισημήνασθαι δὲ δεῖ τὸ καλῶς·
5 οὔτε γὰρ ἐπὶ τῆς προτάσεως ἔμπροσθεν εἶπε τοῦτο, ὅτι πρότασιν δὲ καλῶ,
οὔτε μὴν λέξει τὸν συλλογισμὸν ὁριζόμενος. ἔοικεν οὖν αὐτὸς τὸ τοῦ ὅρου
ὄνομα τεθεικέναι, τὸ δὲ τῆς προτάσεως καὶ τοῦ συλλογισμοῦ εὑρεθῆναι 50
καὶ παρὰ τῶν πρὸ αὐτοῦ. ὅρος δὲ καλεῖται διὰ τὸ ἐν αὐτῷ περιορίζεσθαι
τὴν τοῦ συλλογισμοῦ ἀνάλυσιν· ἄχρι γὰρ αὐτοῦ ἐλθὼν ὁ ἀναλύων πέπαυται.
10 ὡς πρὸς φιλοσόφους δὲ λέγω ἀλλ' οὐχ ὡς πρὸς γραμματικούς, οἵτινες
περὶ μόνων τῶν σημαντικῶν φωνῶν ποιοῦνται τὴν σκέψιν, οὐχὶ δὲ καὶ περὶ
τῶν ἀσήμων πολλῷ γε μᾶλλον ἢ περὶ συλλαβῶν. ὁ δὲ ὁρισμὸς τοῦ μὲν
κατηγορουμένου ὅρου τὸ καθ' ἑτέρου λέγεσθαι ἢ τὸ τινὶ ὑπάρχειν ἢ μὴ |
ὑπάρχειν, τοῦ δὲ ὑποκειμένου τὸ καθ' οὗ ἕτερόν τι λέγεται ἢ ᾧ ἕτερόν VIII v
15 τι ὑπάρχειν λέγεται ἢ μὴ ὑπάρχειν, ἀλλ' οὐχ ὡς ὡρίσαντο ἕτεροι, τὸ
οὐσίαν ἢ συμβεβηκὸς σημαίνειν, οὐσίαν μὲν τὸν ὑποκείμενον, συμβεβηκὸς
δὲ τὸν κατηγορούμενον· ἐπεὶ καὶ ὁ ὑποκείμενος καὶ συμβεβηκὸς ἂν εἴη
καὶ οὐσία, ὁμοίως δὲ καὶ ὁ κατηγορούμενος. ὅταν γὰρ εἴπω 'ὁ ἄνθρωπος
ζῷόν ἐστιν', ἄμφω οὐσίαι· ὅταν δὲ εἴπω 'τὸ λευκὸν χρῶμά ἐστιν', 5
20 ἄμφω συμβεβηκότα· ἐὰν δὲ εἴπω 'τὸ λευκὸν τοῦτο ἄνθρωπός ἐστι', συμ-
βεβηκὸς μὲν δηλοῖ ὁ ὑποκείμενος, οὐσίαν δὲ ὁ κατηγορούμενος· ἐὰν δὲ
εἴπω 'ὁ ἄνθρωπος λευκός ἐστιν' ἢ 'Σωκράτης φιλοσοφεῖ', ἀνάπαλιν οὐσίαν
μὲν ὁ ὑποκείμενος, συμβεβηκὸς δὲ ὁ κατηγορούμενος. οὔτε μήν, ὡς ἕτεροι,
τὸ τὸν μὲν ὑποκείμενον εἶναι δεκτικὸν προσδιορισμοῦ, οὐχὶ δὲ καὶ τὸν κατη-
25 γορούμενον· οὕτω γὰρ ἐπὶ τῶν καθ' ἕκαστα προτάσεων, ἐπειδὴ ὁ ὑποκεί-
μενος οὐκ ἐπιδέχεται προσδιορισμόν (οὐ γάρ φαμεν πᾶς Σωκράτης ἢ τίς),
οὐδὲ ὅρος ἂν εἴη ὅσον ἐκ τοῦ ὁρισμοῦ τούτου· δεῖ δὲ τὸν ὁρισμὸν πᾶσι 10
τοῖς ὁριστοῖς ἐφαρμόττειν.

p. 24ᵇ17 Προστιθεμένου ἢ διαιρουμένου τοῦ εἶναι ἢ μὴ εἶναι.

30 Τοῦτο τὸ ῥησείδιον ὁ μὲν Ἀλέξανδρος καὶ οἱ πλεῖστοι τῶν ἐξηγητῶν
ἁπλούστερον ἐξηγήσαντο· σημαίνει γάρ, φησί, διὰ τούτων τὰς καταφατικὰς
καὶ ἀποφατικὰς προτάσεις, διὰ μὲν τοῦ εἰπεῖν προστιθεμένου τὰς κατα-
φατικάς, διὰ δὲ τοῦ διαιρουμένου τὰς ἀποφατικάς. αὕτη δὲ ἁπλουστέρα
μᾶλλόν ἐστιν ἢ ἀληθεστέρα ἡ ἐξήγησις· ἡ γὰρ κατάφασις καὶ ἡ ἀπόφασις 15

1 μόνως Q 2 ante κυρίως add. καὶ Vt τό τε om. V 4 τῷ καλῷ t
5 ἔμπροσθε τοῦτο εἶπεν Q εἶπε] πε om. V δὲ πρότασιν V 7 εὑρέθη Vt
9 γὰρ mrg. Q¹ 12 τῶν om. Vt 13 τινὶ] τι om. Q 15 οὐχ] ὡς χ Q
ἕτεροι scripsi: ἕτερος V: om. Qt 16 σημαίνειν t: σημᾶναι Q: συμβαίνειν V
17 ὁ om. V 18 et 19 εἴπωμεν Q 22 post ἢ add. ὁ Q οὐσίαν] ν
superscr. Q¹ 29 ante πρ. add. ἢ V Arist. (om. i), at cf. p. 27,12 προτιθε-
μένου Vt 30 post τοῦτο add. γὰρ V ὁ μὲν Ἀλέξ.] p. 15,26 31 immo φασί
31. 32 τούτων—διὰ om. Q 32. 33 καὶ—καταφατικὰς om. V 33 post τοῦ add.
εἰπεῖν Q 34 ἡ primum om. Q, at cf. p. 33,8

ἀντικείμεναί εἰσι, καὶ εἰ ἠβούλετο αὐτὰς εἰπεῖν, δι' ἀντικειμένων τοῦτο εἶχε VIII[v]
ποιῆσαι φωνῶν· ἡ δὲ πρόσθεσις καὶ διαίρεσις οὐκ ἀντικείμεναι· τῇ μὲν γὰρ
προσθέσει ἀντίκειται ἡ ἀφαίρεσις, τῇ δὲ διαιρέσει ἡ σύνθεσις. ὥστε οὐχ
ἕξει χώραν ἡ ἐξήγησις αὕτη. οἱ δέ γε ἀκριβέστεροι τῶν ἐξηγητῶν φασιν.
5 ὡς ὁ θεῖος Ἰάμβλιχος, διὰ βραχυλογίαν ἐξ ἑκατέρας ἀντιθέσεως ἓν εἰπὼν
καὶ τὸ ἀντικείμενον ἑκατέρας ἐδήλωσε· τοῦτο δὲ σύνηθες αὐτῷ ποιεῖν.
ὥστε ἔσονται ἀντιθέσεις δύο, πρόσθεσις, ἀφαίρεσις, σύνθεσις, διαίρεσις. διὰ 20
τούτων δὲ ἐδήλωσεν ἡμῖν πάσας τὰς προτάσεις τὰς παραδεδομένας ἐν τῷ
Περὶ ἑρμηνείας· πᾶσα γὰρ πρότασις ἢ προστιθέμενον ἔχει τὸ ἔστιν ἢ ἀφαι-
10 ρούμενον ἢ συντιθέμενον ἢ διαιρούμενον. ἐπεὶ δὲ τοῦτο οὕτως ἔχει, λάβω-
μεν ἐκ διαιρέσεως τὰς προτάσεις οὕτως. αἱ προτάσεις αἱ μὲν ἄνευ τρόπου
εἰσὶν αἱ δὲ μετὰ τρόπου· καὶ τῶν ἄνευ τρόπου αἱ μὲν δυνάμει ἔχουσι τὸ ἔστιν,
ὡς ἡ 'Σωκράτης περιπατεῖ', αἱ δὲ ἐνεργείᾳ, ὡς ἡ 'Σωκράτης φιλόσοφός ἐστιν'·
ἀμφοτέρων δὲ αἱ μὲν καταφατικαὶ αἱ δὲ ἀποφατικαί. τῶν δὲ μετὰ τρόπου,
15 αἵτινες καὶ ἐνεργείᾳ τὸ ἔστιν ἔχουσιν, αἱ μέν εἰσιν ἁπλαῖ αἱ δὲ ἐκ μετα- 25
θέσεως, καθ' ἑκάτερον δὲ αἱ μὲν καταφατικαὶ αἱ δὲ ἀποφατικαί. αἱ τοίνυν
ἄνευ τρόπου δυνάμει ἔχουσαι τὸ ἔστι καταφατικαὶ ἀφαίρεσιν λέγονται ὑπο-
μεῖναι τοῦ εἶναι, ὡς ἡ 'Σωκράτης περιπατεῖ', διότι τῆς τελείας οὔσης προ-
τάσεως 'Σωκράτης περιπατῶν ἐστι' (τὸ γὰρ ῥῆμα ἀναλύεται εἰς μετοχήν)
20 ἀφῃρέθη αὐτῆς κατὰ τὴν συναίρεσιν τὸ ἔστιν· αἱ δὲ τούτων ἀποφάσεις
ἀφαίρεσιν ἔχειν λέγονται τοῦ μὴ εἶναι, ὡς ἡ 'Σωκράτης οὐ περιπατεῖ', διὰ
τὴν αὐτὴν αἰτίαν. αἱ δὲ ἄνευ τρόπου ἐνεργείᾳ ἔχουσαι τὸ εἶναι κατα- 30
φατικαὶ λέγονται πρόσθεσιν ὑπομεῖναι τοῦ εἶναι, ὡς ἡ 'Σωκράτης φιλόσοφός
ἐστι', διότι ὁ μὲν κυρίως κατηγορούμενός ἐστι φιλόσοφος, διότι δὲ δύο ὀνό-
25 ματα δίχα ῥήματος οὐκ ἀπαρτίζει λόγον, προσετέθη τὸ εἶναι οὐχ ὡς μέρος
προτάσεως ἀλλὰ τοῦ συνδῆσαι ἕνεκα τοὺς ὅρους· αἱ δὲ ἀποφάσεις τούτων,
ὡς ἡ 'Σωκράτης φιλόσοφος οὐκ ἔστι', πρόσθεσιν ἔχειν τοῦ μὴ εἶναι διὰ
τὴν αὐτὴν αἰτίαν. πάλιν αἱ μετὰ τρόπου καταφατικαὶ ἁπλαῖ, ὡς ἡ 'Σωκράτη
δυνατόν ἐστι περιπατεῖν' λέγουσα, σύνθεσιν λέγεται ὑπομεῖναι τοῦ εἶναι· 35
30 ἡ δὲ ἐκ μεταθέσεως σύνθεσιν τοῦ μὴ εἶναι, ὡς ἡ 'Σωκράτη δυνατόν ἐστι
μὴ περιπατεῖν ἢ μὴ περιπατοῦντα εἶναι'. ἡ δὲ ἀπόφασις τῆς μὲν ἁπλῆς,
ὡς ἡ 'οὐ δυνατὸν Σωκράτη φιλόσοφον εἶναι' διαίρεσιν τοῦ εἶναι· ἡ δὲ ἀπό-
φασις τῆς ἐκ μεταθέσεως διαίρεσιν τοῦ μὴ εἶναι, ὡς ἡ 'οὐ δυνατὸν Σωκράτη
μὴ περιπατεῖν'. σύνθεσιν δὲ λέγονται ἔχειν αἱ μετὰ τρόπου καταφάσεις
35 ἁπλαί τε καὶ ἐκ μεταθέσεως τοῦ εἶναι ἢ μὴ εἶναι, διότι τοῦ ἔστι προϋπάρ-

1 ἠβούλετο Q 2 ἀντικείμενα Vt 4 γε om. Q 7 πρόθεσις V post σύνθεσις add. καὶ Q 8. 9 ἐν τῷ Περὶ ἑρμ.] c. 10 p. 19b5 sq., c. 12 p. 21b34 sq. 9 προτιθέμενον V 10 ἢ συντιθέμενον ἢ διαιρούμενον om. Vt ἐπεὶ Vt: ὅτι Q τοῦτο om. V 11. 12 μετὰ—ἄνευ Vt 12 καὶ om. Q τῶν ἄνευ τρόπου om. Vt 15 τὸ εἶναι Vt εἰσιν om. Vt 16 καθέτερον Q δὲ prius om. V 19 post μετοχήν add. καὶ t: an ⟨καὶ ῥῆμα⟩? cf. p. 30,19 21 post περιπατεῖ add. διότι τῆς τελείας οὔσης προτάσεως σωκράτης περιπατῶν οὐκ ἔστιν, ἀφῃρέθη αὐτῆς ἐν τῇ συναιρέσει τὸ ἔστι. καὶ τίς δεῖ τὰ πολλὰ λέγειν Q 23 πρόθεσιν V itemque vs. 27 ὁ t 24 ὁ φιλόσοφός ἐστι Q 26 ἕνεκεν Q τοῦ (ante ὅρ.) V ἀποφατικαὶ Q 27 ἔχει Vt post εἶναι del. πάλιν Q[1] 32 σωκράτους t 33 διαίρεσις V 34 ἔχειν λέγονται Q καταφατικαὶ Q

χοντος ἐν ταῖς ἄνευ τρόπου προτάσεσι καὶ τοῦ τρόπου ἐπιγενομένου VIII v
συντίθεται ἡ ὅλη πρότασις· αἱ δὲ ἀποφάσεις διὰ τὴν αὐτὴν αἰτίαν διαίρεσιν 40
τοῦ εἶναι ἢ μὴ εἶναι ἔχουσιν. οὐχ οὕτω δὲ ἐπὶ τῶν ἄνευ τρόπου· οὐ γὰρ
προϋποκειμένης τῆς προτάσεως ἡ σύνθεσις τοῦ ἔστιν ἐγένετο· οὐδὲ γὰρ τῷ
5 'Σωκράτης περιπατεῖ ἢ φιλοσοφεῖ' συντίθεται τὸ ἔστιν ὡς ἐν τῷ 'φιλόσοφός
ἐστιν ἢ φιλοσοφῶν ἐστιν', ἀλλ' ὅπου μὲν δυνάμει ἐστίν, ὅπου δὲ ἐνεργείᾳ,
ἀναλυομένου τοῦ 'περιπατεῖ' εἰς τὸ 'περιπατῶν ἐστιν'. ἐπὶ μέντοι τῶν μετὰ
τρόπου προϋποκειμένων τῶν τὸ ἔστι τρίτον προσκατηγορούμενον ἐχουσῶν 45
προτάσεων ἐπισυντίθεται αὐταῖς ὁ τρόπος, οἷον Σωκράτης φιλόσοφός ἐστιν.
10 ἐνδεχόμενόν ἐστι Σωκράτην φιλόσοφον εἶναι. ὥστε τῷ ἔστιν ἐπισυντίθεται
ὁ τρόπος, οὐκοῦν καὶ τὸ ἔστι τῷ τρόπῳ· τὸ γὰρ συντιθέμενον συντιθεμένῳ
συντίθεται. συντόμως ἄρα ἀπαγγεῖλαι βουλόμενος εἶπε τὸ προστιθεμένου
ἢ διαιρουμένου τοῦ εἶναι ἢ μὴ εἶναι. τὸ μὲν γὰρ ἔστι καὶ προστί-
θεται καὶ ἀφαιρεῖται ταῖς προτάσεσιν, ὡς ἐπὶ τῶν ἄνευ τρόπου τῶν ἁπλῶν·
15 καὶ συντίθεται δὲ καὶ διαιρεῖται, ὡς ἐπὶ τῶν λοιπῶν· ὁ δὲ τρόπος μόνος
καὶ συντίθεται καὶ διαιρεῖται. σκόπει οὖν πῶς ἀκριβῶς ταῖς μὲν ἄνευ 50
τρόπου ἁπλαῖς δυνάμει ἢ ἐνεργείᾳ ἐχούσαις τὸ ἔστι προστίθεσθαι ἢ ἀφαι-
ρεῖσθαι εἴρηται τὸ ἔστι· προστίθεσθαι γὰρ λέγεται ἄλλο ἄλλῳ τῷ καὶ
χωρὶς τῆς προσθήκης εἶναι δυναμένῳ, ὡς εἰ λέγοις τῷ ἐξέστη τοῦ οἴνου
20 προστεθῆναι κύαθον ἢ ἀφαιρεῖσθαι αὐτοῦ κύαθον, συντίθεσθαι δὲ οὐκέτι.
οὕτως οὖν καὶ ἐπὶ τῶν ἄνευ τρόπου προτάσεων, ἐπειδὴ καὶ χωρὶς τοῦ ἔστιν
αὐτοτελής ἐστιν ἡ πρότασις ἡ λέγουσα 'Σωκράτης περιπατεῖ', εἰκότως |
προστίθεσθαι λέγεται τὸ ἔστιν ἐν τῇ 'Σωκράτης περιπατῶν ἐστι'· δι' αὐτὸ IX r
δὲ τοῦτο πάλιν καὶ ἀφαιρεῖσθαι τὸ ἔστιν ἐν τῇ 'Σωκράτης περιπατεῖ'· φυλάττει
25 γὰρ τὸ τῆς προτάσεως εἶδος, ὡς ἡ 'Σωκράτης περιπατῶν ἐστι', καὶ μετὰ
τὴν τοῦ ἔστιν ἀφαίρεσιν ἐν τῷ 'Σωκράτης περιπατεῖ'. ἐπὶ δὲ τῆς συνθέ-
σεως οὐχ οὕτως, ἀλλ' ὅσα κατὰ σύνθεσίν τινων τὸ εἶναι ἔχουσιν, ἄνευ τῶν
συνθέτων εἶναι οὐ δύνανται· οὐδὲ γὰρ λέγεται τῷ ἡμετέρῳ σώματι προσ- 5
τίθεσθαι τὸ θερμὸν ἢ τὸ ψυχρόν (χωρὶς γὰρ αὐτῶν ὅλως εἶναι οὐ δύναται),
30 ἀλλὰ συντίθεσθαι ταῦτα ἀλλήλοις, ἵνα γένηται τὸ σῶμα. τοιαῦται δὲ εἰσι
καὶ αἱ μετὰ τρόπου προτάσεις, οἷον ἡ 'Σωκράτη δυνατόν ἐστι περιπατεῖν'·
ἄνευ γὰρ τοῦ ἔστιν οὐ συνίσταται, ἐπειδὴ πᾶς λόγος δεῖται ὁριστικοῦ ῥήματος
πρὸς αὐτοτέλειαν. ὥστε κἂν οὕτως εἴπω 'δυνατὸν Σωκράτη περιπατεῖν', ἀτε-
λής ἐστιν ἡ πρότασις· τὸ γὰρ ἀπαρέμφατον ῥῆμα οὐκ ἀπαρτίζει λόγον.
35 μόνως οὖν ἐνεργείᾳ τὸ ἔστι παραληφθήσεται, δυνατόν ἐστι Σωκράτη περι- 10

3 ἢ μὴ εἶναι om. V 4 οὐ Q τῶ V: τὸ Qt 5 τὸ Vt: τῶ Q
ὡς om. Qt 5. 6 φιλοσοφῶν—φιλόσοφος Q 7 τοῦ περιπατεῖν Q 8 προϋ-
ποκειμένου V: προϋποκείμενον t τῶν τὸ ἔστι Q: τοῦ ἔστι τῶν V: τὸ ἔστι τῶν t
10 τὸ t 11. 12 τὸ γὰρ—συντίθεται om. Vt 12 προστιθεμένου Arist: συντι-
θεμένου libri 13 ἢ μὴ εἶναι om. Q γὰρ om. V 15. 16 ὡς—διαιρεῖται om. V
19 ὡσεὶ λέγοις om. V ἐξέστη τοῦ εἶναι V 20 ἀφαιρῆσθαι Q itemque vs. 24
οὐκ ἔστι V 22 ἐστιν om. Q 28. 29 προστίθεσθαι post θερμὸν habet Q: προσ-
τίθεται V 29 ψυχρὸν—θερμόν V αὐτοῦ Q δύναται scripsi: δύνανται libri
οὐ δύναται εἶναι Q 33 εἰς Vt 35 σωκράτην Q

πατεῖν. καὶ ἐκ μεταθέσεως δὲ πᾶσαι προτάσεις πρόσθεσιν ἢ ἀφαίρεσιν IXr
ἔχειν τοῦ εἶναι οὐκ ἂν λεχθεῖεν· οὐδὲ αὐτὰς γὰρ ἐνδέχεται μὴ ἔχειν τὸ
ἔστιν ἐνεργείᾳ. ὥστε ἢ συντίθεσθαι ἢ διαιρεῖσθαι λεχθεῖεν ἄν, συντίθεσθαι
μὲν αἱ καταφάσεις, διαιρεῖσθαι δὲ αἱ ἀποφάσεις μετὰ τοῦ εἶναι ἢ μὴ εἶναι.
5 Διὰ τί μὲν οὖν ἐπὶ τινῶν μὲν προτάσεων προστίθεσθαι λέγεται ἢ ἀφαιρεῖ-
σθαι, ἐπὶ τινῶν δὲ συντίθεσθαι ἢ διαιρεῖσθαι τὸ εἶναι ἢ μὴ εἶναι, εἴρηται. ἀλλ'
ἐπειδὴ ἡ προεκτεθειμένη διαίρεσις ἐλλιπῶς ἔχει (οὔτε γὰρ τῶν ἄνευ τρόπου ἐκ 15
μεταθέσεως μνήμην πεποίηται οὔτε τῶν μετὰ τρόπου δυνάμει τὸ εἶναι ἐχου-
σῶν), περὶ μὲν οὖν τῶν μετὰ τρόπου δυνάμει τὸ εἶναι ἐχουσῶν ἤδη εἴπομεν ὅτι
10 οὐχ οἷόν τέ ἐστι μετὰ τρόπου προτάσεις δυνάμει τὸ εἶναι ἔχειν, διότι τὸ
δυνατὸν καὶ τὸ ἀναγκαῖον καὶ τὸ ἐνδεχόμενον ἀπαρεμφάτοις συντάττονται
ῥήμασιν. ἀδύνατον δέ ἐστι χωρὶς ὁριστικοῦ ῥήματος ἀπαρτισθῆναι λόγον.
καὶ διὰ τοῦτο δεῖ τοῦ ἔστιν ὁριστικοῦ ῥήματος, δυνατόν ἐστι Σωκράτη περι-
πατεῖν, χωρὶς εἰ μὴ οὕτως τις σχηματίσοι τοὺς τρόπους 'ἐνδεχομένως 20
15 Σωκράτης περιπατεῖ, ἀναγκαίως ὁ ἄνθρωπος ἀναπνεῖ' ἢ καὶ οὕτως 'ἐξ
ἀνάγκης ὁ ἄνθρωπος ἀναπνεῖ'. πρὸς τὴν προτέραν οὖν τῶν τρόπων χρῆσιν,
καθ' ἣν καὶ ἐν τῷ Περὶ ἑρμηνείας παρεδόθησαν οἱ τρόποι, εἰκότως καὶ
ἐνταῦθα γέγονεν ἡ διαίρεσις τῶν δυνάμει τὸ ἔστιν ἐχουσῶν εἰς τὰς
μετὰ τρόπου καὶ εἰς τὰς ἄνευ τρόπου· κἀκεῖ γὰρ πρῶται μὲν παρεδόθησαν
20 αἱ ἐξ ὑποκειμένου καὶ κατηγορουμένου, ἐν αἷς δυνάμει τὸ ἔστι θεωρεῖται,
δεύτερον δὲ αἱ ἐκ τρίτου προσκατηγορουμένου, αἵτινες διηροῦντο εἴς τε 25
τὰς ἁπλᾶς καὶ τὰς ἐκ μεταθέσεως, καὶ τρίτον αἱ μετὰ τρόπου, ἃς πάλιν
καὶ αὐτὰς διῄρει εἴς τε τὰς ἁπλᾶς καὶ τὰς ἐκ μεταθέσεως. διὰ τί μὲν
οὖν μὴ παρειλημμέναι εἰσὶν αἱ μετὰ τρόπου δυνάμει τὸ ἔστιν ἔχουσαι ἐν
25 τῇ διαιρέσει, ἀπελογησάμεθα, καίτοι δυνατοῦ ὄντος τοιαύτας προτάσεις συνίστα-
σθαι. διὰ τί δὲ καὶ τῶν ἄνευ τρόπου τὰς ἐκ μεταθέσεως παρῆκε, καίτοι
μνήμην αὐτῶν τοῦ Ἀριστοτέλους ἐν τῷ Περὶ ἑρμηνείας πεποιηκότος; εἰ οὖν
διὰ τοῦ προστιθεμένου καὶ ἀφαιρουμένου καὶ συντιθεμένου καὶ διαιρουμένου 30
τοῦ εἶναι ἢ μὴ εἶναι πάσας τὰς ἐν τῷ Περὶ ἑρμηνείας παραδεδομένας προ-
30 τάσεις σημᾶναι βούλεται, ἐλλιπὴς ἄρα ἐστὶν ἡ διαίρεσις· δεῖ γὰρ δῆλον
ὅτι καὶ τὰς ἄνευ τρόπου ἐκ μεταθέσεως ὑφ' ἓν τῶν τεσσάρων ἀνάγεσθαι
μορίων. καὶ δῆλον ὅτι ἐκ τῶν ἤδη εἰρημένων ἡμῖν καὶ περὶ αὐτῶν συλλο-
γιζόμενοι ἐροῦμεν αὐτῶν τὰς μὲν καταφατικὰς σύνθεσιν ἔχειν τοῦ μὴ εἶναι,

1 an καὶ ⟨αἱ⟩? πᾶσαι προτάσεις Q: πᾶσα Vt πρόθεσις ἢ ἀφαίρεσις V
2 et 3 λεχθοῖεν V 2. 3 ἐνεργείᾳ τὸ ἔστιν Q 5 τί superscr. V μὲν alt. om. V
5. 6 λέγεσθαι—ἀφαιρεῖται pr. V 7 ἐλλειπῶς Vt 9 post οὖν add. ἐστι V
εἴπομεν ἤδη Q 10 πρότασιν Q 11 συντάττεται Vt 12 post χωρὶς add.
τοῦ Vt 13 ἐστι bis V σωκράτην Q 14 σχηματίσει Vt 15. 16 ἐξ ἀνάγκης
om. Q 17 ἐν τῷ Περὶ ἑρμ.] cf. ad p. 26,8. 9 18 post ἐνταῦθα add. οὐ Vt
18. 19 τοὺς—τοὺς V 19 post κἀκεῖ del. μὲν Q¹ πρῶτον t 21 δεύτεραι Q
δὲ om. Qt τε om. Vt 22 post καὶ prius add. εἰς Vt 22. 23 πάλιν καὶ
αὐτὰς om. Vt 23 post καὶ alt. add. εἰς V 24 οὖν om. V τὸ εἶναι Vt
27 αὐτῶν superscr. Q¹ τοῦ ἀριστοτέλους Vt: αὐτοῦ Q ἐν τῷ Περὶ ἑρμ.] c. 10
p. 19b16 sq. ἢ t 28 διὰ τοῦτο t 29 τοῦ om. Vt παραδιδο-
μένας t 30 σημᾶναι βούλεται om. Vt ἐλλειπὴς Q: ἐλλειπῶς Vt

⟨τὰς δὲ ἀποφατικὰς διαίρεσιν τοῦ μὴ εἶναι,⟩ ὥσπερ καὶ τὰς μετὰ τρό- IXr
που· ὅσα γὰρ εἴρηται ἐπὶ τῶν μετὰ τρόπου προτάσεων, ταῦτα καὶ ἐπ' 35
αὐτῶν ἁρμόσει λέγεσθαι. ἵνα οὖν ἀνελλιπὴς ἡ διαίρεσις γένηται πάσας
τὰς ἐν τῷ Περὶ ἑρμηνείας παραδεδομένας προτάσεις περιλαμβάνουσα,
5 εἴπωμεν οὕτως· τῶν προτάσεων αἱ μὲν δυνάμει ἔχουσι τὸ ἔστιν αἱ δὲ
ἐνεργείᾳ· καὶ τῶν δυνάμει αἱ μέν εἰσι καταφατικαί, αἵτινες ἀφαίρεσιν
ἔχουσι τοῦ εἶναι, αἱ δὲ ἀποφατικαί, αἵτινες ἀφαίρεσιν ἔχουσι τοῦ μὴ
εἶναι· τῶν δὲ ἐνεργείᾳ τὸ ἔστιν ἐχουσῶν αἱ μὲν ἁπλαῖ αἱ δὲ ἐκ
μεταθέσεως· καὶ τῶν ἁπλῶν αἱ μὲν ἄνευ τρόπου αἱ δὲ μετὰ τρόπου· καὶ τῶν
10 ἄνευ τρόπου αἱ μὲν καταφατικαὶ πρόσθεσιν ἔχουσι τοῦ εἶναι, αἱ δὲ ἀπο- 40
φατικαὶ πρόσθεσιν τοῦ μὴ εἶναι· καὶ τῶν μετὰ τρόπου αἱ μὲν καταφατικαὶ
σύνθεσιν τοῦ εἶναι, αἱ δὲ ἀποφατικαὶ διαίρεσιν τοῦ εἶναι· εἰ δὲ ἐκ μετα-
θέσεως εἶεν αἱ προτάσεις εἴτε μετὰ τρόπου εἴτε ἄνευ τρόπου, εἰ μὲν κατα-
φατικαὶ εἶεν, σύνθεσιν ἔχουσι τοῦ μὴ εἶναι, εἰ δὲ ἀποφατικαί, διαίρεσιν τοῦ
15 μὴ εἶναι.

Ἓν ἔτι λείπει ζητῆσαι, τί δήποτε μή, ὥσπερ ἐπὶ τῶν ἄνευ τρόπου
ἁπλῶν τῶν τε δυνάμει τὸ εἶναι ἐχουσῶν καὶ τῶν ἐνεργείᾳ ὁμοίως ταῖς
καταφάσεσιν αἱ ἀποφάσεις ἢ πρόσθεσιν ἢ ἀφαίρεσιν ἔχειν ἐλέγοντο (διέ- 45
φερε δὲ τὸ εἶναι ἢ μὴ εἶναι, ὅτι ἐν ταῖς καταφάσεσι τὸ εἶναι. ἐν δὲ
20 ταῖς ἀποφάσεσι τὸ μὴ εἶναι), οὕτω δὴ καὶ ἐπὶ τῶν ἐκ μεταθέσεως
καὶ ἔτι ἐπὶ τῶν μετὰ τρόπου ἁπλῶν, ἀλλὰ ταῖς μὲν καταφάσεσι πάσαις
τὴν σύνθεσιν δεδώκαμεν, ταῖς δὲ ἀποφάσεσιν ἁπάσαις τὴν διαίρεσιν.
λέγομεν οὖν ὅτι ἐν τούτοις αἱ καταφάσεις ἅπασαι ὕπαρξιν δηλοῦσιν. αἱ
μὲν οὖν ἁπλαῖ συντιθέασι τὸ εἶναι τῇ προτάσει, ὡς ἡ 'Σωκράτη δυνατόν
25 ἐστι περιπατεῖν', αἱ δὲ ἐκ μεταθέσεως τὸ μὴ εἶναι, ὡς ἡ 'Σωκράτη 50
δυνατόν ἐστι μὴ περιπατεῖν' καὶ ἡ 'Σωκράτης οὐ περιπατῶν ἐστιν'.
ὕπαρξιν οὖν δηλοῦσαι πᾶσαι οὐκ ἂν λέγοιντο διαίρεσιν ἐργάσασθαι, οὐδ' εἰ
ἐκ μεταθέσεως εἶεν· καὶ αὗται γὰρ τὸ μὴ εἶναι συντιθέασιν. εἰ δὲ τοῦτο, αἱ
ἄρα ἀποφάσεις αὐτῶν διαίρεσιν ἔχειν λέγοιντο ἄν. οὐχ οὕτω δὲ καὶ ἐπὶ
30 τῶν λοιπῶν· τῆς γὰρ 'Σωκράτης περιπατεῖ' ἀφαίρεσιν ἔχειν λεγομένης τοῦ
εἶναι, εἰκότως ἡ ταύτης ἀπόφασις ἡ 'Σωκράτης οὐ περιπατεῖ' ἢ ἀφαίρεσιν
ἕξει τοῦ μὴ εἶναι ἢ πρόσθεσιν τοῦ εἶναι ἢ πρόσθεσιν τοῦ μὴ εἶναι· ὅτι μὲν
οὖν πρόσθεσιν οὔτε τοῦ εἶναι οὔτε τοῦ μὴ εἶναι ἔχει, δῆλον· ὅλως γὰρ τοῦ
ἔστι ῥήματος μὴ προσκειμένου αὐτῇ, μήτε καταφατικῶς μήτε ἀποφατικῶς. IX
35 πῶς ἂν λέγοιτο ἔχειν αὐτοῦ πρόσθεσιν; οὐκοῦν λείπεται ἀφαίρεσιν αὐτὴν 15

1 τὰς—εἶναι addidi cf. vs. 14 4 περιλαμβάνουσα scripsi: περιλαμβάνουσιν Q: παραλαμβάνουσα Vt 7 post εἶναι del. τῶν δὲ ἐνεργείᾳ τὸ ἔστιν ἐχουσῶν e vs. sq. illata Q 8 ἔστιν Q: εἶναι Vt 9 καὶ τῶν alt. Q: τῶν δὲ Vt 10 ἔχουσι om. Vt 10. 11 post ἀποφατικαὶ add. καὶ V 12 ante σύνθεσιν del. πρ Q¹ 16 ἐπὶ om. Q 18. 19 διέφερον Q 19 ἢ μὴ εἶναι om. V 20 οὕτω δὴ t: οὐ δὴ Q: οὐ δεῖ V 21 post ἔτι add. καὶ V 22 ἁπάσαις om. Q 23 ὅτι om. V an ταύταις? καταφατικαὶ πᾶσαι Q 24 οὖν om. Vt τιθέασιν Q τὸ om. Vt σωκράτην e σωκράτης corr. Q² 25 post μεταθέσεως add. αἱ V τοῦ t 27 οὖν om. Vt ἐργάσασθαι Q 29 ἂν Vt: εἰκότως Q 31 ἢ om. Vt 32 ἢ—πρόσθεσιν τοῦ μὴ εἶναι om. Vt 33 οὔτε τοῦ μὴ εἶναι om. V post δῆλον add. τι V 34 καταφατικὸν—ἀποφατικὸν Q

ἔχειν τοῦ μὴ εἶναι. πάλιν τῆς 'Σωκράτης περιπατῶν ἐστιν' ὁμολογουμένως IXᵛ πρόσθεσιν ἐχούσης τοῦ εἶναι, ἡ ταύτης ἀπόφασις ἡ 'Σωκράτης περιπατῶν οὐκ ἔστιν' ἢ πρόσθεσιν ἕξει τοῦ μὴ εἶναι ἢ ἀφαίρεσιν τοῦ εἶναι ἢ ἀφαίρεσιν τοῦ μὴ εἶναι· ἀλλ' ὅτι μὲν ἀφαίρεσιν τοῦ εἶναι οὐκ ἔχει, πρόδηλον· πρόσεστι γὰρ αὐτῇ τὸ ἔστι ῥῆμα· ἀλλὰ μὴν οὐδὲ τοῦ μὴ εἶναι ἀφαίρεσιν ἔχει· αὐτὸ γὰρ δὴ τοῦτό φησιν, ὅτι οὐκ ἔστι· λείπεται ἄρα πρόσθεσιν ἔχειν τοῦ μὴ εἶναι. καὶ ἄλλως· ἐν οἷς ἡ 'Σωκράτης οὐ περιπατεῖ' δέδεικται ἀφαίρεσιν ἔχουσα τοῦ μὴ εἶναι, αἱ δὲ δύο καταφάσεις, ἡ μὲν 'Σωκράτης περιπατεῖ' ἀφαίρεσιν τοῦ εἶναι, ἡ δὲ 'Σωκράτης περιπατῶν ἐστι' πρόσθεσιν τοῦ εἶναι, ἐν τούτοις ἄρα συναποδέδεικται ἡ 'Σωκράτης οὐ περιπατῶν ἐστι' πρόσθεσιν ἔχειν τοῦ μὴ εἶναι· τοῦτο γὰρ τὸ μόριον λέγεται. ἴσως δὲ καὶ τοῦτο ζητήσειεν ἄν τις, ὅτι εἰ ὅλως ἐνδέχεται εὑρεῖν προτάσεις τινὰς μετὰ τρόπου δυνάμει τὸ ἔστιν ἐχούσας, εἰ καὶ μὴ εἴρηται περὶ τοιούτων προτάσεων ἐν τῷ Περὶ ἑρμηνείας, ὅμως ὑπὸ ποῖον τῶν τεσσάρων τμημάτων ἀνοίσομεν τὰς τοιαύτας προτάσεις, οἷον τὴν 'Σωκράτης ἐνδεχομένως φιλοσοφεῖ, ὁ ἄνθρωπος ἀναγκαίως ἀναπνεῖ' καὶ τὰς ὁμοίας; λέγομεν οὖν ὅτι καὶ τούτων αἱ μὲν καταφάσεις λεχθεῖεν ἂν ἀφαίρεσιν ἔχειν τοῦ εἶναι, αἱ δὲ ἀποφάσεις ἀφαίρεσιν τοῦ μὴ εἶναι. εἰ μέντοι τὸ ὁριστικὸν αὐτῶν ῥῆμα διαλύσωμεν εἰς μετοχὴν καὶ ῥῆμα, οἷον Σωκράτης ἐνδεχομένως φιλόσοφός ἐστιν, ὁ ἄνθρωπος ἀναγκαίως ἀναπνέων ἐστί, λεχθείησαν ⟨ἂν⟩ καὶ τούτων κατὰ τὸ ἀκόλουθον αἱ μὲν καταφάσεις πρόσθεσιν ἔχειν τοῦ εἶναι, αἱ δὲ ἀποφάσεις πρόσθεσιν τοῦ μὴ εἶναι.

p. 24ᵇ18 Συλλογισμὸς δέ ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι.

Κατὰ τὴν ἐξ ἀρχῆς ἀπαρίθμησιν διαλεχθεὶς περὶ προτάσεως καὶ ὅρου νῦν περὶ συλλογισμοῦ ποιεῖται τὸν λόγον. πρὸ δὲ τῆς τοῦ ῥητοῦ ἐξετάσεως ἄξιόν ἐστι ζητῆσαι πρῶτον μὲν πόθεν ἡ ψυχὴ εἰς ἔννοιαν ἦλθε τοῦ συλλογίζεσθαι, ἔπειτα ποῖόν ἐστι τῆς ψυχῆς μόριον τὸ συλλογιζόμενον, τρίτον εἰ ἔστιν ὅλως συλλογισμός· καὶ γὰρ πειρῶνταί τινες κατασκευάζειν ὅτι οὐδὲ ἔστιν ὅλως συλλογισμός. οἱ γὰρ ἐφεκτικοὶ κατασκευάζοντες ὅτι οὐκ ἔστι συλλογισμός, ἔλεγον οὕτως· φατὲ ὅτι ἔστι συλλογισμὸς ἢ οὔ· καὶ εἰ μὲν οὐκ ἀποδείκνυτε, οὐ πιστεύσομεν ὑμῖν χωρὶς ἀποδείξεως ὅτι ἔστι συλλογισμός· εἰ δὲ ἀποδείκνυτε, συλλογισμῷ δῆλον ὅτι ἄλλῳ χρηστέον ὑμῖν· πάλιν δ' αὖ

4 εἶναι prius om. V 7 post ἡ add. οὐ V 10 ἡ σωκράτης om. Q 12 προτάσεις εὑρεῖν Q 13 post εἴρηται add. πρότερον Q 13. 14 ἐν τῷ π. ἑ. περὶ τοιούτων προτάσεων Q 16 καὶ τὰς ὁμοίας om. Q 16. 17 λέγομεν—ἂν Q: λεχθεῖεν (λεχθοῖεν V) ἂν λέγω, καὶ τούτων αἱ καταφάσεις Vt 18 τὸ μέντοι—εἰ διαλύσομεν Q 20 ἂν addidi 23 τὸ V 25 post νῦν add. καὶ Q τῶν ῥητῶν Vt 26. 27 συλλογισμοῦ Vt, at cf. p. 31,31 27 ante τρίτον add. καὶ Q 28 ἔστιν om. Q καὶ γὰρ—29 συλλογισμός om. V 30 post οὕτως add. ἀποδεικνύντες Vt ἔσται V: om. t καὶ om. Vt 31 ἀποδεικνύντες Vt πιστεύσωμεν V ὑμῖν ex ἡμῖν corr. Q²: post ἀποδείξεως colloc. Vt ἔστιν ὁ, om. ὅτι V 32 ἀποδεικνύντες V χρηστέον ὑμῖν (ex ἡμῖν corr. Q²) Q: χρῆσθε ὃν Vt δ' αὖ om. Vt

δι' ἑτέρου συλλογισμοῦ δέον ὑμᾶς ἀποδεικνύειν ὅτι ἔστι συλλογισμὸς ἀπο- IXᵛ
δεικτικός, κἀκεῖνον πάλιν δι' ἑτέρου, καὶ τοῦτο ἐπ' ἄπειρον. πρὸς οὓς
φαμεν ὅτι καὶ ὑμεῖς τοῖς ὑμετέροις ἁλίσκεσθε λόγοις· τὸ αὐτὸ γὰρ καὶ ἡμεῖς
φήσομεν πρὸς ὑμᾶς. ἢ γὰρ ἀπεδείξατε ὅτι οὐκ ἔστι συλλογισμός, ἢ οὐκ
5 ἀπεδείξατε· καὶ εἰ μὲν οὐκ ἀπεδείξατε, διὰ τοῦτο οὐ πιστεύομεν ὑμῖν· εἰ 40
δὲ ἀπεδείξατε, ⟨ἀπεδείξατε⟩ ἀποδείξει δῆλον ὅτι τινὶ χρώμενοι· ὥστε ἔστι
συλλογισμὸς δι' οὗ ἀπεδείξατε. ἀλλ' ἐπειδὴ οὐ μόνον εἰς ἀπορίας αὐτοὺς
ἐνεγκεῖν δεῖ ἀλλὰ καὶ τὴν ἀπορίαν ἐπιλύσασθαι, φαμὲν οὕτως, ὅτι ἄλλο
ἐστὶ συλλογισμὸς καὶ ἄλλο συλλογιστόν· ὅταν οὖν τὸν συλλογισμὸν θεωρή-
10 σωμεν ὡς δι' αὐτοῦ ποιούμενοι τὰς ἀποδείξεις, τηνικαῦτα αὐτὸ τοῦτο
συλλογισμὸν αὐτὸν καλοῦμεν· ὅταν δὲ ὡς πρᾶγμα ὀφεῖλον ἀποδειχθῆναι,
συλλογιστόν. καὶ οὕτως ἀποδείκνυται ὁ συλλογισμὸς ὢν ὡς συλλογιστὸν 45
παραλαμβανόμενος. ἀλλ' ἴσως εἴποι τις, ὅτι εἰ καὶ συλλογιστόν ἐστιν, οὐδὲν
μᾶλλον διὰ τοῦτο λέλυται ἡ ἀπορία· διὰ γὰρ συλλογισμοῦ δείκνυται, ὃς καὶ
15 πάλιν συλλογισμὸς γίνεται συλλογιστὸν διὰ τὸ καὶ αὐτὸν τῆς ἑτέρου συλλο-
γισμοῦ χρῄζειν ἀποδείξεως. πρὸς οὓς φαμεν ὅτι οὐ πάσας τὰς ἀποδείξεις
καὶ τὰς ἀρχὰς τῶν ἀποδείξεων διὰ συλλογισμῶν λαμβάνομεν, ἀλλ' ἐκ τῶν
ὁμολογουμένων κοινῶν ἐννοιῶν τὰς ἀρχὰς λαμβάνοντες τοὺς συλλογισμοὺς
κατασκευάζομεν· καὶ γὰρ καὶ ἐν τοῖς Ἀποδεικτικοῖς εἴρηται ὅτι οὐ πάντα
20 ἐστὶν ἀποδεικτά. εἰ γὰρ πάντα ἦν ἀποδεικτά, οὐδενὸς ἦν ἀπόδειξις· πᾶσα 50
γὰρ ἀπόδειξις ἀπό τινων ἀρχῶν περαίνεται· ἀδύνατον γάρ τι ἀποδεῖξαι μὴ
προειλημμένων τινῶν. εἰ οὖν ἀεὶ τὰ εἰς | ἀπόδειξιν παραλαμβανόμενα Xʳ
ἀποδεικτὰ εἴη, πᾶν δὲ τὸ ἀποδεικνύμενον δι' ἑτέρων ἀποδείκνυται, κἀκεῖνα
πάλιν δι' ἑτέρων ἀποδειχθήσεται, καὶ οὕτως ἐπὶ τὸ ἄπειρον χωρεῖν ἀνάγκη·
25 ὅπερ ἀδύνατον. οὐκ ἄρα ἐστὶ πάντα ἀποδεικτά, ἀλλ' ἀνάγκη πᾶσα προϊόντας,
ὅταν εἰς τὰς κοινὰς ἐννοίας καταντήσωμεν, στῆναι λοιπόν. ὥστε οὐκ εἰς
ἄπειρον ἀνάγκη ἰέναι τοὺς συλλογισμούς· καταντῶμεν γὰρ πάντως εἰς τὰς
κοινάς, ὡς εἶπον, ἐννοίας, αἵτινες ἁπάσης εἰσὶ κρείττονες ἀποδείξεως. ὥστε 5
οἱ μὲν πρῶτοι συλλογισμοὶ ἐκ τούτων, αὗται δὲ ἐξ οὐδενός.
30 Ἐπεὶ οὖν ἐδείξαμεν ὅτι ἔστι συλλογισμός, ἀκόλουθον ζητῆσαι πόθεν
ἦλθεν εἰς ἔννοιαν ἡ ψυχὴ τοῦ συλλογίζεσθαι; διὰ τὸ τὰ πράγματα ὁρᾶν

1 ἡμᾶς t 3 καὶ ὑμεῖς om. Vt ἡμετέροις Vt ἁλίσκεσθε scripsi: ἁλίσκεσθαι libri 4 εἰ γὰρ V 4—7 ἀπεδείξετε ubique Q 5 ὑμῖν οὐ πιστεύομεν Q 6 ἀπεδείξατε alt. addidi 7 αὐτοὺς εἰς ἀπορίας Q 8 ἐπιλύεσθαι Vt 9 συλλογιστικόν V 10 ποιοῦμεν Vt 11 συλλογισμόν] συλλο mrg. Q¹ αὐτὸν superscr. V ante καλοῦμεν add. ποιοῦμεν V 12 συλλογιστικόν utrobique V itemque vs. sq. καὶ om. V ὢν om. Vt 13 εἴπη Q 14 τούτων Vt 14. 15 ὃς καὶ πάλιν Q: ὡς πάλιν ὁ Vt 15 συλλογιστὸν t: συλλογιστῶν Q: συλλογιστικὸν V 17 συλλογισμοῦ Vt 19 καὶ alt. om. Vt ἐν τοῖς Ἀποδεικτ.] Anal. Post. I 3 p. 72ᵇ5 sq. ὅτι om. Q 20 ἀποδεικτικά utroque loco Q 22 post εἰς add. τὴν Vt 23 ἀποδεικτὰ Yt: ἀποδεικτικὰ QV 25 post ἄρα add. ταῦτα Q πάντα Y: πάντα τὰ Vt: om. Q ἀποδεικτά Y: ἀποδεικτικά QVt 26 καταντήσομεν t ἐννοίας καταντήσωμεν Q 27 εἶναι τὸν συλλογισμόν Vt 28 πάσης Vt κρείττονος Q post κρείττονες add. ὡς εἶπον Vt 31 τὰ om. V

μήτε πάντῃ ἀλλήλοις κοινωνοῦντα μήτε πάντῃ διαφέροντα. εἰ γὰρ τούτων Xr
ἦν θάτερον, οὐδὲ συλλογισμῶν ἡμῖν ἐδέησεν ἂν πρὸς τὸ δεῖξαι τὰ πᾶσιν
ὁμολογούμενα εἴτε κατὰ τὴν κοινωνίαν εἴτε κατὰ τὴν ἑτερότητα, ὥσπερ
οὐδὲ συλλογισμοῦ δεῖ πρὸς τὸ δεῖξαι ὅτι ὁ λίθος ἕτερός ἐστι παρὰ τὸν 10
5 ἄνθρωπον ἢ ὅτι οὐχ ἕτερος Σωκράτης Πλάτωνος κατὰ τὴν οὐσίαν. ἀλλ'
ἐπεὶ κατά τι μὲν κοινωνοῦσιν ἀλλήλοις τὰ πράγματα, κατὰ τὶ δὲ διαφέρουσιν,
ἐδεήθη τῶν συλλογισμῶν ἡ ψυχή, ἵνα τοῦτο αὐτὸ διακρίνῃ καὶ γνῷ ποῖα μὲν τὰ
κοινωνοῦντα, ποῖα δὲ τὰ διαφέροντα ἀλλήλων. διακρίνει δὲ τοῦτο λαμβάνουσα
μεταξὺ τῶν ζητουμένων κοινὸν ὅρον ἢ κοινωνίαν ἔχοντα πρὸς τὰ δύο ἄκρα ἢ
10 πρὸς μὲν θάτερον κοινωνοῦντα διεστῶτα δὲ τοῦ λοιποῦ, καὶ διὰ τοῦ μέσου ἢ
συνδεῖ τὰ ἄκρα ἢ διίστησιν. εἰ δὲ ἦσαν πάντα ἕτερα τὰ πράγματα, οὐκ ἂν τοῦτο 15
ποιῆσαι ἐδύνατο κοινοῦ τινος ὅρου μὴ ὑπάρχοντος εἰς τὸ τὴν τῶν ἄκρων
κοινωνίαν δειχθῆναι· ἀλλὰ μὴν οὐδ' ὅτι διαφέρουσιν ἀποδείξεως ἔδει προ-
φανοῦς τῆς διαφορᾶς ὑπαρχούσης. ἀλλ' οὐδ' εἰ ταὐτὰ ἦσαν κατὰ πάντα,
15 ἔδει δείξεως πάλιν τῆς κοινωνίας ὁμολογουμένης.

Τὸ δὲ συλλογιζόμενον τῆς ψυχῆς μόριον τὸ διανοητικόν ἐστιν, ὡς καὶ ἐν
προοιμίοις εἴπομεν. τῶν γὰρ ἐν ἡμῖν γνωστικῶν δυνάμεων αἱ μέν εἰσι λογικαὶ
αἱ δὲ ἄλογοι, λογικαὶ μὲν νοῦς, διάνοια, δόξα, ἄλογοι δὲ φαντασία καὶ αἴσθησις. 20
καὶ τῆς μὲν νοερᾶς οὐκ ἔστι δυνάμεως τὸ συλλογίζεσθαι, ἐπεὶ κρείττων αὕτη
20 ἢ κατὰ συλλογισμόν, ἀθρόως καὶ ἀμερῶς γινώσκουσα. οὐδὲ μὴν τῆς δοξα-
στικῆς· αὕτη γὰρ τὸ ὅτι μόνον οἶδεν, οὐ μὴν καὶ τὸ διότι· ὅθεν πολὺ μᾶλλον
ἥκιστα τῶν ἀλόγων εἴη δυνάμεων τὸ συλλογίζεσθαι. λείπεται οὖν τῆς δια-
νοητικῆς αὐτὸ λέγειν εἶναι δυνάμεως, εἴπερ αὕτη μετὰ τοῦ ὅτι καὶ τὰς
αἰτίας ἐπίσταται.

25 Λοιπὸν δὴ τί ἐστι συλλογισμὸς λεκτέον τὸν Ἀριστοτέλους ὁρισμὸν ἐξη-
γουμένοις. συλλογισμὸς δέ ἐστι, φησίν. ὁρίζεται τὸν συλλογισμὸν ὁ 25
Ἀριστοτέλης κατὰ τὸ εἰκὸς ἐκ γένους καὶ τῶν συστατικῶν διαφορῶν.
ἐπειδὴ γὰρ τὰ πράγματα ἢ ἑτερογενῆ ἐστιν ἢ ἑτεροειδῆ, πρὸς μὲν διά-
κρισιν τῶν ἑτερογενῶν λαμβάνεται τὸ γένος ἐν τοῖς ὁρισμοῖς, πρὸς δὲ
30 τῶν ἑτεροειδῶν διάκρισιν λαμβάνονται αἱ διαφοραί. γένος οὖν τοῦ συλλο-
γισμοῦ ὁ λόγος, διαφοραὶ δὲ τὰ ἐν τῷ συλλογισμῷ λοιπά. θεωροῦνται δὲ
αὗται ἐν τῇ ὕλῃ καὶ τῷ εἴδει, ὕλῃ μὲν ταῖς προτάσεσιν, εἴδει δὲ τῷ συμ-
περάσματι, ἐπειδὴ αἱ προτάσεις τοῦ συμπεράσματος ἕνεκεν παραλαμβάνονται, 30
ὥσπερ ἡ ὕλη τοῦ εἴδους· τὸ μὲν γὰρ τεθέντων καὶ τὸ τινῶν ἐκ τῆς
35 ὕλης τῶν συλλογισμῶν, τουτέστι τῶν προτάσεων, εἴληπται, τὸ δὲ ἕτερόν

1 τοῦτο Vt 2 οὐδὲν Vt 4 πρὸς om. Vt ἕτερον Q 6 τὰ πράγματα ἀλλήλοις V 7 τοῦτο αὐτὸ διακρίνῃ (η ex ει corr.) καὶ Q: om. Vt 12 ἠδύνατο Q post κοινοῦ add. μὲν Qt 15 δεῖξαι. ὡς Vt post πάλιν add. ἅπαξ Q
16. 17 ἐν προοιμίοις] p. 1,18 sq. 17 εἴρηται Q 19 λογίζεσθαι V
22 δυνάμεων εἴη Vt 23 ὅτι Qt: εἶναι V 25. 26 ἐξηγουμένοις scripsi: ἐξηγούμενοι libri 26 δέ om. Q 28 εἰσιν Q 29 post δὲ add. τὴν V
31 διαφορὰ Vt δὲ prius om. V λοιπὰ e λοιπῶ corr. Q¹ 32 τῇ om. Vt
post καὶ add. ἐν Vt 32. 33 συμπεράσματι Y: συμπέρασμα QVt 33 λαμβάνονται Vt

τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνειν ἐκ τοῦ εἴδους, τουτέστι τοῦ X^r
συμπεράσματος. πρόσκειται οὖν τῷ ὁρισμῷ τὸ μὲν τεθέντων ἢ διὰ τοὺς
λοιποὺς λόγους, εὐκτικούς φημι καὶ τοὺς λοιπούς, ἵνα εἴη τὸ τεθέντων
ἀντὶ τοῦ 'ὁμολογηθέντων' (ὁ γὰρ εὐχόμενος οὔτε πρὸς ἑαυτὸν οὔτε πρὸς
5 ἄλλον ὁμολογεῖ τι καὶ τίθεται, οὔτε μὴν ὁ προστάττων οὔτε ὁ ἐρωτῶν
οὔτε ὁ καλῶν, ἀλλὰ μόνος ὁ συλλογιζόμενος), ἢ διὰ τοὺς ὑποθετικοὺς συλλο- 35
γισμούς· τούτοις γὰρ ὑποτίθεσθαι μὲν λέγομεν τὰς προτάσεις, τίθεσθαι δὲ
οὐδαμῶς. καὶ αὕτη μᾶλλον ἀληθὴς ἡ ἐξήγησις· ἡ γὰρ θέσις, ὡς ἐν τῷ
Περὶ ἑρμηνείας ἐμάθομεν, καὶ κατὰ τῆς ὑποθέσεως λέγεται. ὥστε ἐνταῦθα
10 τοὺς αὐτοτελεῖς ὁρίζεται συλλογισμούς. τὸ δὲ τινῶν διὰ τοὺς παρὰ τοῖς
ῥήτορσι μονολημμάτους λεγομένους συλλογισμούς, οἵτινες τὴν ἐλάττονα τῶν
προτάσεων λαβόντες τὴν δὲ μείζονα καταλιπόντες ἐπάγουσι τὸ συμπέρασμα·
οἷον ὁ δεῖνα καλλωπιστής, οὐκοῦν καὶ μοιχός· καὶ πάλιν ὁ δεῖνα νύκτωρ πλανᾶ- 40
ται, οὐκοῦν καὶ λῃστής ἐστιν· ὁ δεῖνα ἀναπνεῖ, οὐκοῦν καὶ ζῇ. τούτοις δὲ
15 κέχρηνται οἱ ῥήτορες τοῖς συλλογισμοῖς ἢ συντομίας χάριν, ἢ διὰ τὸ πρὸς
ὕδωρ ῥέον ποιεῖσθαι τοὺς λόγους καὶ μὴ ἐξαρκεῖν τὸν χρόνον πρὸς τὰ
λεγόμενα, ἢ διὰ τὸ δοκεῖν τιμᾶν τοὺς δικαστὰς καὶ διὰ τούτου εἰς εὔνοιαν
αὐτοὺς προσκαλεῖσθαι ὡς εἰδότας τὰς διαλεκτικὰς μεθόδους καὶ δυναμένους
τὴν μείζονα προστιθέναι πρότασιν, ἢ συμψήφους ἢ συγκατηγόρους βουλόμενοι 45
20 αὐτοὺς ἔχειν τῷ ἐκ τῆς ἀκολουθίας αὐτοὺς προστιθέναι τὴν μείζονα τῶν
προτάσεων. ὁ δεῖνα γάρ, φησί, καλλωπιστής, οὐκοῦν καὶ μοιχός· τούτων
γὰρ ὁ δικαστὴς ἀκούσας καθ' ἑαυτὸν τὴν λοιπὴν προστίθησιν, ὅτι εἰκότως·
πᾶς γὰρ καλλωπιστὴς μοιχός. τὸ δὲ ἕτερον πρόσκειται διὰ τοὺς διφορου-
μένους συλλογισμούς, οἵτινες τὸ αὐτὸ ἔχουσι συμπέρασμα ταῖς προτάσεσιν·
25 οἷός ἐστιν ὁ λέγων 'εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστίν·
ἡμέρα ἄρα ἐστίν'· ἐνταῦθα γὰρ οὐδὲν ἕτερον τῶν κειμένων συνέβη. ὅτι δὲ
δεῖ ἕτερον εἶναι τὸ συμπέρασμα παρὰ τὰς προτάσεις, ἐντεῦθεν δῆλον. ἄλλο 50
ἐστὶν ἕνεκά του καὶ τὸ οὗ ἕνεκα· οἷον πηδάλιον ἕνεκά τού ἐστιν· ἕνεκα γὰρ
τοῦ πλοίου· τὸ δὲ πλοῖον οὗ ἕνεκα· δι' αὐτὸ γὰρ γέγονε τὸ πηδάλιον· καὶ
30 ὁμολογουμένως ἕτερά ἐστι ταῦτα ἀλλήλων. τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ
ἐπὶ τῶν προτάσεων· εἰσὶ γὰρ αἱ μὲν προτάσεις ἕνεκά του· τοῦ συμπεράσματος
γὰρ ἕνεκα· τὸ δὲ συμπέρασμα οὗ ἕνεκα· ἕνεκα γὰρ αὐτοῦ αἱ προτάσεις.
ὥστε ταύτῃ ἕτερον ἂν εἴη τὸ συμπέρασμα παρὰ τὰς προτάσεις. καὶ ἄλλως·
πᾶς ὁ κατασκευάζων τι ἢ τὸ σαφὲς ἐκ τοῦ σαφοῦς κατασκευάζει ἢ τὸ |

1 συμβαίνει conicio cf. p. 34,30. 31 2 μὲν om. Vt 4 ὁμολογημάτων V
5 τι om. Vt προστάσσων ἢ Q 8. 9 καὶ—λέγεται ut notam ad 2 ἢ διὰ τοὺς κτλ. referendam deleverim ἐν τῷ Περὶ ἑρμ.] immo Ammon. p. 9,7 sq. 9 καὶ om. Vt
10 τὸ Qt: τῶν V 11 μονολεμμάτους V 13 post μοιχός add. παραλιμπάνοντες τὴν μείζονα τὴν λέγουσαν πᾶς δὲ καλλωπιστὴς μοιχός t καὶ alt. om. V 14 ἐστιν om. Q 19 κατηγόρους V βουλόμενοι Vt: βουλομένους καὶ Q 20 τῷ V. corr. Q^1: τὸ t, pr. Q αὐτοὺς alt. Q: αὐτῆς Vt 21 an φασί? 22 ἑαυτῶν t
27 τῶν προτάσεων, om. παρὰ V 30 ταῦτα om. V: ante ἕτερα colloc. t ἀλλήλοις t 31 μὲν om. Vt 31. 32 προτάσεις τοῦ συμπεράσματος δηλαδὴ ἕνεκά του. τὸ Q 34 ἀσαφοῦς t κατασκευάζει V: om. Qt 34. p. 34,1 ἢ τὸ ἀ. ἐκ τ. ἀσαφοῦς mrg. V

ἀσαφὲς ἐκ τοῦ ἀσαφοῦς ἢ τὸ σαφὲς ἐκ τοῦ ἀσαφοῦς ἢ τὸ ἀσαφὲς ἐκ τοῦ X^v
σαφοῦς. αἱ μὲν οὖν τρεῖς πρῶται συζυγίαι ἀσυλλόγιστοί εἰσι. κατὰ δὲ τὴν
ὑστέραν γίνονται αἱ ἀποδείξεις· τὸ γὰρ ἀσαφὲς ἐκ τοῦ σαφοῦς σχοίη ἂν
τὰς πίστεις. εἰ τοίνυν ἀσαφὲς μὲν τὸ συμπέρασμα (τοῦτο γὰρ δεῖξαι βου-
5 λόμεθα), σαφεῖς δὲ αἱ προτάσεις, ἐξ ὧν καὶ τὸ συμπέρασμα τὸ πιστὸν ἔχει,
ἕτερον δὲ τὸ ἀσαφὲς τοῦ σαφοῦς, ἕτερον δήπου καὶ τῶν προτάσεων τὸ συμ- 5
πέρασμα. τὸ δὲ τὶ ἔγκειται τῷ ὁρισμῷ διὰ τὰς ἀσυλλογίστους συζυγίας·
τὸ μὲν γὰρ τὶ ὡρισμένον δηλοῖ, αὗται δὲ οὐδὲν ὡρισμένον συνάγουσιν,
ἀλλὰ καὶ τὸ καθόλου καὶ τὸ μερικὸν καὶ τὸ καταφατικὸν καὶ τὸ ἀποφατικὸν
10 αὗται συνάγουσιν, ὡς ἐφεξῆς μαθησόμεθα. τὸ δὲ ἐξ ἀνάγκης οὐ τοῦτό
φησιν, ὅτι ἀναγκαίας οὔσης ὕλης συνάγεται τὸ συμπέρασμα ἀναγκαῖον
(συνάγεται γὰρ καὶ ἐπὶ τῶν ἄλλων ὑλῶν ἀναγκαῖα συμπεράσματα), ἀλλὰ
τὸ ἐξ ἀνάγκης προσέθηκε διά τε τοὺς παραδειγματικοὺς καὶ ἐπαγωγικοὺς 10
καλουμένους συλλογισμούς, οἵτινες τὸ ἐξ ἀνάγκης οὐκ ἔχουσι. καθόλου
15 γὰρ πᾶσα πίστις ἢ ἐκ τοῦ ἴσου τὸ ἴσον πιστοῦται ἢ ἐκ τοῦ μείζονος τὸ
ἔλαττον ἢ ἐκ τοῦ ἐλάττονος τὸ μεῖζον. ἡ μὲν οὖν παραδειγματικὴ πίστις
τὸ ἴσον ἐκ τοῦ ἴσου πιστοῦται· οἷον ὁ δεῖνα πλεύσας ἐναυάγησε· καὶ σὺ εἰ
πλεύσειας, τὸ αὐτὸ πείσῃ· ὁ δεῖνα νύκτωρ ὁδεύσας περιέπεσε λῃσταῖς· καὶ
σὺ εἰ νύκτωρ ὁδεύσειας, περιπεσῇ λῃσταῖς· ἥτις τὸ ἐξ ἀνάγκης οὐκ ἔχει·
20 κέχρηνται δὲ αὐτῇ μάλιστα οἱ ῥήτορες. ἡ δὲ ἐπαγωγικὴ πίστις τὸ μεῖζον
ἐκ τοῦ ἐλάττονος πιστοῦται· οἷον ἐπειδὴ καὶ τόδε καὶ τόδε τὸ ζῷον τὴν 15
κάτω γένυν κινεῖ, καὶ πᾶν ἄρα ζῷον τὴν κάτω γένυν κινεῖ. οὐδὲ αὕτη δὲ
ἡ δεῖξις ἔχει τὸ βέβαιον, πρῶτον μέν, ὅτι χαλεπὸν πάντα τὰ κατὰ μέρος
διεξελθεῖν. ἔπειτα εἰ δέοι κατασκευάσαι ὅτι ὁ κροκόδειλος τὴν ἄνω γένυν
25 κινεῖ, δεήσεται τὰ κατὰ μέρος διεξιὼν ἢ καὶ αὐτὸν διεξελθεῖν ἢ μή· καὶ
εἰ μὲν διεξέλθοι, τὸ ζητούμενον ὡς ὁμολογούμενον λήψεται· εἰ δὲ μή,
οὐ κατασκευάσει τὸ καθόλου· πρὸς γὰρ τὴν τοῦ καθόλου ἀνασκευὴν ἀρκεῖ
καὶ ἓν παράδειγμα μόνον, πρὸς δὲ τὴν τοῦ καθόλου κατασκευὴν οὐδὲ μυρία 20
ἀρκεῖ παραδείγματα. ἡ δέ γε ἀποδεικτικὴ δεῖξις αὕτη ἐστὶν ἣ ἐκ τοῦ
30 καθόλου τὸ μέρος πιστουμένη ἕπεται πάντως τὸ ἐξ ἀνάγκης. τὸ δὲ συμ-
βαίνει διὰ τὴν ἀναγκαίαν ὕλην παρείληπται, ἵνα μή τις νομίσῃ τῷ ἀναγ-
καίῳ τῆς ὕλης ἕπεσθαι τὸ συμπέρασμα μόνῳ, δηλοῦν ὡς εἴτε ἀδύνατοι

1 ἀσαφὲς prius Vt: σαφὲς Q σαφὲς t, e σαφοῦς corr. V: ἀσαφὲς Q ἀσαφοῦς alt. e σαφοῦς corr. Q (ἀ superscr. Q¹), e σαφὲς corr. V ἀσαφὲς alt. Vt: σαφὲς Q 2 ἀσαφοῦς pr. V 3 σαφὲς t ἀσαφοῦς t, pr. V 5 καὶ om. V τὸ prius e τῶν corr. V 9 τὸ quart. om. Vt 11 post ὅτι add. ἐξ Q: οὐκ ἐξ superscr. V οὔσης mrg. Q¹: om. Vt ἀναγκαῖον om. Vt 15 τὸ ἴσον ἐκ τοῦ ἴσου Vt 18 πλεύσεις Q πείσει t 19 περιπεσῇ Y: περιπέσεις QVt ὅς Vt 20 αὐτῇ μάλιστα Q: τούτῳ Vt ἐπαγωγὴ V 21 τὸ ζῶον superscr. Q¹: ζῶον, sed post 22 κινεῖ prius t: om. V 22 καὶ—κινεῖ om. V δὲ om. Vt 24 ὁ om. Vt κορκόδειλος V κάτω Vt 26 διεξέλθη Q 28 κατασκευὴν τοῦ καθόλου Vt 29 post δεῖξις add. καὶ Q ἣ scripsi: ἡ libri 30 μερικὸν Q post πιστ. add. ἢ Vt πάντως τὸ Vt: γοῦν αὐτῇ πάντως Q 31 post ἵνα add. δὲ Q νομίσοι Q 32 μόνον Qt δηλοῦν scripsi: δῆλον libri 32. p. 35,1 ἀδύνατον εἶναι pr. Q, corr. Q¹

εἶεν αἱ προτάσεις εἴτε ἐνδεχόμεναι, συμβαίνει πάντως ἀκολουθεῖν τὸ συμ- X
πέρασμα. τὸ δὲ τῷ ταῦτα εἶναί φησι διὰ τὰ ἀκολουθοῦντα συμπερά-
σματα μὴ τῷ λόγῳ τῶν τεθεισῶν προτάσεων, ὡς εἴ τις εἴποι 'ἡ ψυχὴ 25
αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, ἡ ψυχὴ ἄρα ἀθάνατος'· οὐ γὰρ διὰ
5 τὰς εἰρημένας προτάσεις τοῦτο ἕπεται τὸ συμπέρασμα, ἀλλ' 'ἡ ψυχὴ ἄρα
ἀεικίνητος'. ὅτι γὰρ τοῦτο βούλεται διὰ τοῦ εἰπεῖν τῷ ταῦτα εἶναι,
ἑαυτὸν ἑρμηνεύων ἐπήγαγε· λέγω γάρ, φησί, τῷ ταῦτα εἶναι τὸ
διὰ ταῦτα συμβαίνειν· τοῦτο δέ ἐστι τὸ μηδενὸς ἔξωθεν ὅρου προσ-
δεῖν πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. ἐν γὰρ τῷ συλλογισμῷ τῷ
10 λέγοντι 'ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, ἡ ψυχὴ ἄρα ἀθάνα-
τος' οὐκ ἔστιν ἐν τῷ συμπεράσματι τὸ ἀναγκαῖον, εἰ μὴ προστεθείη ἔξωθεν 30
καὶ ὅρος καὶ πρότασις· εἰ γὰρ τὸ αὐτοκίνητον ἀεικίνητον, οὔπω δῆλον ὅτι
ἡ ψυχὴ ἀθάνατος· ἀλλ' ἐὰν προστεθῇ τοῖς ἐξ ἀρχῆς ὅροις τὸ ἀθάνατον
καὶ πρότασις ἡ λέγουσα 'τὸ ἀεικίνητον ἀθάνατον', τότε ἐκ τῶν κειμένων
15 ἔχει τὸ συμπέρασμα τὸ ἀναγκαῖον. εἰπὼν δὲ τῷ ταῦτα εἶναι, ἐπειδὴ
συνεῖδεν ὡς οὐκ ἔστι σαφὲς τὸ λεγόμενον, ἐξηγούμενος ἑαυτὸν ἐπήγαγε τὸ
διὰ ταῦτα συμβαίνειν. πάλιν δὲ καὶ αὐτὸ τοῦτο ἔτι ἀσαφὲς εἶναι δοκεῖ·
ἡ γὰρ 'διά' πρόθεσις πολλάκις αἰτίαν δηλοῖ· ὁ δὲ συλλογισμὸς οὐ πάντως 35
ἐξ αἰτιῶν περαίνεται· τοῦτο γὰρ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ ἐστιν ἴδιον·
20 αἴτιαι μὲν γάρ εἰσιν αἱ προτάσεις τοῦ συμπεράσματος, οὐ μὴν οἱ ἐν τῇ
προτάσει παραλαμβανόμενοι ὅροι αἴτιοι πάντως εἰσὶ τοῦ δηλουμένου πράγ-
ματος ἐν τῷ συμπεράσματι. δυνατὸν γὰρ καὶ ἐκ τῶν ὑστέρων τὰ πρότερα
συλλογίσασθαι, ὥσπερ ἐκ τοῦ γάλα ἔχειν τὴν γυναῖκα τὸ τετοκέναι καὶ ἐκ
τοῦ καπνοῦ τὸ πῦρ εἶναι καὶ ἐκ τῶν τῆς σελήνης φωτισμῶν τὸ εἶναι αὐτὴν
25 σφαιροειδῆ· καίτοι αἴτιον τοῦ γάλα ἔχειν τὸ τετοκέναι, καὶ τοῦ καπνοῦ τὸ 40
πῦρ, καὶ τῶν φωτισμῶν τῆς σελήνης τὸ σφαιροειδὲς αὐτῆς σχῆμα· ἀλλ'
ὁπηνίκα σαφέστερα ἢ τὰ αἰτιατὰ τῶν αἰτίων, ἐκ τῶν αἰτιατῶν τὰ αἴτια
συλλογιζόμεθα. ἐπειδὴ τοίνυν ἡ μὲν 'διά' πρόθεσις καὶ αἰτίαν ἔσθ' ὅτε
σημαίνει, ὡς ὅταν εἴπω διὰ τὸν τέκτονα ἡ θύρα, οὐ πάντως δὲ τὰ ἐν ταῖς
30 προτάσεσι σημαινόμενα αἴτιά ἐστι τῶν τοῦ συμπεράσματος σημαινομένων,
ἵνα μὴ τοῦτο ὑπονοήσωμεν (τὸν γὰρ καθόλου συλλογισμὸν καὶ οὐ τὸν ἀπο-
δεικτικὸν σκοποῦμεν), ἐξηγούμενος τὸ διὰ ταῦτα συμβαίνειν φησὶ τὸ 45
μηδενὸς ἔξωθεν ὅρου προσδεῖσθαι πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον,
τουτέστι τὸ αὐτάρκεις εἶναι τοὺς κειμένους ὅρους καὶ τὰς ἐξ αὐτῶν συγκει-
35 μένας προτάσεις εἰς τὸ γενέσθαι τὸ συμπέρασμα. διὰ τῆς προσθήκης οὖν
ταύτης ἐκβάλλει τοὺς ὁπωσοῦν τῶν συλλογισμῶν λείποντας ὅροις τισὶ καὶ

5. 6 ἀλλ—ἀεικίνητος om. V 7 ἑαυτὸν t: ἑαυτῶν Q: αὖθις V ἑρμηνεύων om. Vt
an δὲ [φησί] ? τὸ διά] hinc P τῷ (post εἶναι) V (C i f n m) 11 μὴ om. P
12 ὅρου—προτάσεως P 13 ὅροις om. Vt 15 an δὴ ? δὲ τὸ P 16 σύνοιδεν Q
τῷ (post ἐπ.) V 17 καὶ om. Vt ἔτι om. Q δοκεῖ om. P 18 post δὲ add. C
γὰρ P 20 μὲν in ras. P¹: om. QVt 22 καὶ om. Qt πρῶτα P 23 τὴν
γυναῖκα om. Vt τεκεῖν Q 24 ante πῦρ add. καὶ Q post αὐτὴν add. ὡς P
26 τὸν φωτισμὸν P 27 τὰ αἴτια (ante τῶν) PQ ἐκ τῶν αἰτιῶν (αἰτίων t) Pt
τὰ αἰτιατὰ t 28 αἰτίας Q 29 εἴπω om. V 32 ἐξηγούμεθα t συμβαίνει Vt:
συμπεραίνειν P 34 αὔταρκες P 36 ὁποσοῦν Vt τῶν om. P

προτάσεσιν. οὐδὲν οὖν ἧττον καὶ οἱ μονολήμματοι πάλιν ἐκβληθήσονται X^v
καὶ διὰ ταύτης τῆς προσθήκης· δέονται γὰρ καὶ αὐτοὶ τῆς μείζονος προτάσεως, ὡς ἐδείξαμεν. καὶ ἔτι οἱ σύνθετοι μὲν λείποντες δὲ ὅρῳ καὶ προτάσει, ὥσπερ ὃν ἤδη εἴπομεν 'ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, ἡ ψυχὴ ἄρα ἀθάνατος'· λείπει γὰρ 'τὸ ἀεικίνητον ἀθάνατον'. πρὸς τούτοις καὶ οἱ ἀμεθόδως παρὰ τοῖς Στωικοῖς περαίνοντες, οἷον εἰ οὕτω τις λέγοι 'τὸ πρῶτον τοῦ δευτέρου μεῖζον, τὸ δεύτερον τοῦ τρίτου μεῖζον, τὸ ἄρα πρῶτον τοῦ τρίτου μεῖζον'· τοῦτο γὰρ ἐξ ἀνάγκης μὲν ἕπεται, οὐ μὴν διὰ τῶν κειμένων, εἰ μὴ ἔξωθεν ἄλλη προσληφθείη πρότασις, ὅτι τὸ τινὸς μεῖζον ὂν καὶ τοῦ ἐλάττονος ἐκείνου μεῖζόν ἐστι. καὶ πάλιν τὸ Α τῷ Β ἴσον, τὸ Γ τῷ Β ἴσον, | τὸ Α ἄρα τῷ Γ ἴσον· πάλιν γὰρ κἀνταῦθα ἐξ ἀνάγκης μὲν XI^r
συνάγεται τὸ συμπέρασμα, οὐ μὴν διὰ τῶν κειμένων· λείπει γὰρ πάλιν πρότασις 'τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις εἰσὶν ἴσα'.

p. 24ᵇ22 Τέλειον μὲν οὖν καλῶ συλλογισμὸν τὸν μηδενὸς ἄλλου προσδεόμενον παρὰ τὰ εἰλημμένα πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον.

Δόξει μὲν οὖν ἴσως τὸν τέλειον καὶ ἀτελῆ συλλογισμὸν ἤδη παραδεδωκέναι, ὅτε ἔλεγε "τῷ ταῦτα εἶναι". οὐκ ἔστι δὲ τοῦτο ἀληθές· τὸν γὰρ ἔξωθεν ὅρου τινὸς προσδεόμενον, οἷος ἦν ὃν πρὸ μικροῦ παρεθέμεθα, οὐδὲ συλλογισμὸν ἀξιοῖ καλεῖν· τὸν δὲ ἀτελῆ συλλογισμὸν καλεῖ. τέλειος μὲν οὖν συλλογισμὸς οὗ τὸ συμπέρασμα παντός ἐστιν ἐπενεγκεῖν, ὡς ἂν εἴπῃ τις 'τὸ δίκαιον καλόν, τὸ καλὸν ἀγαθόν'· ἐνταῦθα γὰρ παντός ἐστιν ἐπακοῦσαι 'τὸ ἄρα δίκαιον ἀγαθόν'. ἀτελὴς δὲ οὗ τὸ συμπέρασμα μόνου ἐστὶ τοῦ ἐπιστήμονος ἐπαγαγεῖν, οἷον πᾶς ἄνθρωπος οὐσία, πᾶς ἄνθρωπος ζῷον· τούτου τὸ συμπέρασμα τὸ 'τὶς ἄρα οὐσία ζῷον'. καὶ ὅτι τοῦτο, ἔστι ῥᾴδιον φανῆναι διὰ τῆς ἀντιστροφῆς· εἰ γὰρ ἀντιστρέψομεν καὶ οὕτως εἴπωμεν 'τὶς οὐσία ἄνθρωπός ἐστι, πᾶς ἄνθρωπος ζῷόν ἐστι', δῆλον ὅτι συνάγεται 'τὶς ἄρα οὐσία ζῷόν ἐστι'. διὸ καλῶς οὐκ εἶπε 'πρὸς τὸ γενέσθαι' ἀλλὰ πρὸς τὸ φανῆναι. οἱ μὲν γὰρ τέλειοι συλλογισμοὶ καὶ τὸ ἀναγκαῖον ἔχουσι καὶ τοῦτο φαινόμενον· οἱ δὲ ἀτελεῖς, ὁποῖοί εἰσι πάντες οἱ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι, ἔχουσι μὲν τὸ ἀναγκαῖον, οὐ μὴν προφανές, ἀλλ' ἐπι-

---

2 καὶ διὰ ταύτης τῆς προσθήκης om. Q 3 ἐδείξαμεν] p. 33,10 sq. ἔτι] εἰσὶ P μὲν om. P λείπονται Vt: λείπον sic P 4 ὂν om. P 6 παρὰ] πάλιν t περαίνονται Vt 7. 8 τὸ πρῶτον ἄρα Q 8 μὲν om. Vt 9 προσληφθῆ (φ e ϑ corr. Q¹) Q 9. 10 μεῖζον ὂν Q: μεῖζον V: μείζονος Pt 10 ἐκεῖνο PVt α τὸ Vt 11 τῷ β eras. Q 12 λείπεται PVt 13 ante τὰ add. τὸ Q ἐστὶ, sed post ἴσα alt., ex εἰσὶ corr. Q¹ 16 τὸν om. P ἤδη om. Q 17 ὅτι PV τὸ ταῦτα P 18 οἷον PVt πρὸ μικροῦ] p. 35,11 sq. προεθέμεθα Vt 19 ἀξιοῖ συλλογισμὸν Q ἐντελῆ Q 20 οὖν Vt: γὰρ P: ἐστι Q οὗ scripsi: οὐ libri πάντως PQ εἴποι PVt 21 παντός scripsi: πάντως libri 22 post ἄρα add. τὸ P ἀτελὴς Y: ἀτελῆ PQVt μόνον Vt 24 τοῦτο τὸ P 25 ἀντιστρέφομεν V: fort. ἀντιστρέψωμεν εἴπομεν PQ 27 ante ζῶον add. τὸ P 27. 28 καλῶς εἶπε πρὸς τὸ φανῆναι καὶ οὐ πρὸς τὸ γενέσθαι Vt 28 γὰρ om. V καὶ om. PVt

στήμονος δέονται, ἵνα τὸ ἐκ τῶν προτάσεων εἰλημμένον ἀναγκαῖον μὴ φαινό- XI r
μενον δὲ εἰς τὸ ἐμφανὲς ἀγάγῃ διὰ τῶν ἀντιστροφῶν.

p. 24ᵇ24 Ἀτελῆ δὲ τὸν προσδεόμενον ἢ ἑνὸς ἢ πλειόνων, ἅ ἐστι μὲν ἀναγκαῖα διὰ τῶν ὑποκειμένων ὅρων, οὐ μὴν εἴληπται διὰ προτάσεων.

Ἢ ἑνὸς ἢ πλειόνων οὐχ ὅρων λέγει (οὐδὲ γὰρ ἀξιοῖ, ὥσπερ εἴρηται, τοὺς δεομένους ἔξωθέν τινος ὅρου καλεῖν συλλογισμούς), ἀλλ' ἀρσενικαῖς φωναῖς ἀντὶ θηλυκῶν ἐχρήσατο, ὀφείλων εἰπεῖν 'ἢ μιᾶς ἢ πλειόνων', τουτέστιν ἀντιστροφῶν. προσθεὶς δὲ ἅ ἐστι μὲν ἀναγκαῖα ἐσήμανε τὸ γινόμενον χρήσιμον ἐκ τῶν ἀντιστροφῶν, ὅτι τὸ ἐν τῷ συλλογισμῷ κρυπτόμενον ἀναγκαῖον ἐκφαίνουσιν. εἰπὼν δὲ διὰ τῶν ὑποκειμένων ὅρων ἐσήμανεν ὅτι οὐκ ἐπίκτητον γίνεται οὐδ' ἔξωθεν τῶν τοιούτων συλλογισμῶν τὸ ἀναγκαῖον ἀλλὰ διὰ τῶν ὑποκειμένων προτάσεων. τὸ δὲ οὐ μὴν εἴληπται διὰ προτάσεων ἀντὶ τοῦ 'οὐκ ἦν παραληφθεὶς ὁ λόγος τῆς ἀντιστροφῆς διὰ τῶν προτάσεων, ἀλλὰ δέονται αἱ προτάσεις τὴν τάξιν ἀμεῖψαι, ἵνα τὸ ἐν αὐταῖς δείξωσιν ἀναγκαῖον'. ἀποροῦσι δέ τινες. πῶς ὁ Ἀριστοτέλης μὴ προσδεχόμενος τοὺς συλλογισμοὺς τοὺς ἔξωθέν τι προσλαμβάνοντας, οἷον ὅρον ἢ πρότασιν, ἀποδέχεται τοὺς δι' ἀδυνάτου δείξεως καὶ συλλογισμοὺς αὐτοὺς καλεῖ καίτοι προσδεχομένους ἔξωθέν τινα. ὅτι δὲ προσδέχονται, νῦν εἰσόμεθα. βούλομαι συλλογίσασθαι ὅτι οὐδὲν φυτὸν αἴσθησιν ἔχει. ἐπ' εὐθείας μὲν οὖν συλλογιζόμενος οὕτω φήσαιμι ἄν· οὐδὲ ἓν φυτὸν μεταβατικὴν κινεῖται κίνησιν· πᾶν τὸ αἴσθησιν ἔχον μεταβατικὴν κίνησιν κινεῖται· οὐδὲν ἄρα φυτὸν αἴσθησιν ἔχει. οὗτος μὲν οὖν ὁ συλλογισμὸς οὐδὲν ἔξωθεν προσλαμβάνει εἰς τὸ δειχθῆναι τὸ ἀναγκαῖον. ὁ μέντοι δι' ἀδυνάτου προσλαμβάνει. δείκνυμι δὲ δι' ἀδυνάτου τοῦτο αὐτὸ τὸν τρόπον τοῦτον· εἰ γὰρ μή ἐστιν ἀληθὲς τὸ μηδὲν φυτὸν ἔχειν αἴσθησιν, ἀληθὲς ἄρα τὸ ἔχειν· ἐπεὶ οὖν πᾶν φυτὸν αἴσθησιν ἔχει, ὡς ἡ ὑπόθεσις, πᾶν δὲ τὸ αἴσθησιν ἔχον μεταβατικὴν κινεῖται κίνησιν, πᾶν ἄρα φυτὸν μεταβατικὴν ἔχει κίνησιν, ὅπερ ἐστὶν ἀδύνατον· τὸ δὲ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι τὸ φυτὸν αἴσθησιν ἔχειν· ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ μὴ ἔχειν. ὅρα οὖν ὡς εἰς τὸ δειχθῆναι, ὅτι οὐδὲν φυτὸν αἴσθησιν ἔχει, εἴληπται

---

1 δεῖ PVt 2 ἀγάγοι PVt 3 δεόμενον PQ (Marc. 231) 6 μιᾶς Q ὅρον Qt εἴρηται] p. 36,17 sq. 8 ἐχρήσατο ἀντὶ θηλυκῶν Vt 9 μὲν ἀναγκαῖα PQ: διὰ τῶν ὑποκειμένων ὅρων Vt ἐδήλωσε Q 11 χρήσιμον Q 12 τῶι τοιούτωι συλλογισμῶι P 13 τὸ δὲ om. PQ 14. 15 ἀντὶ—προτάσεων PVt: ἤτοι οὐκ ἔγκειται δὲ ἐνεργεία ἡ ἀντιστροφὴ ταῖς προτάσεσι· δυνάμει μέντοι Q 14 παραλειφθεὶς V: περιληφθεὶς t προτάσεως P δέονται γάρ, om. ἀλλὰ Q 16 ὁ om. V 17. 18 παραλαμβάνοντας Q 18 ante ὅρον add. ἢ Q 19 αὐτοῦ t 20 παραδέχονται t: δεῖ προσδέχεσθαι αὐτοὺς Q 21 φημί, om. ἄν Q 21. 22 οὐδὲν malim 22 ἔχον αἴηθησιν Q 23 κίνησιν κινεῖται Q, e κίνηται corr. P: inv. ord. Vt οὕτως Qt 24 ἔξωθεν post 23 οὖν colloc. Vt οὐ μέντοι P 26 γὰρ om. Q αἴσθησιν ἔχειν Vt 27 ὡς om. V 28 κινεῖται QVt: ἔχει P 29 ἐστὶν om. Q δὲ om. P 30 ψευδὲς Q 31 ἔχει αἴσθησιν V ἔχει — p. 38,1 αἴσθησιν om. P

ἔξωθέν τινα, λέγω δὴ τό τε τούτῳ ἀντικείμενον τὸ αἴσθησιν ἔχειν καὶ τὸ XIr
συμπέρασμα τὸ τούτῳ ἀκολουθῆσαν τὸ μεταβατικὴν κινεῖσθαι κίνησιν.
ἢ καὶ οὕτως· δεῖξαι βουλόμενοι ὅτι ἡ ψυχὴ ἀθάνατος, ἐπ' εὐθείας μὲν
δείξομεν οὕτως, ὅτι ἡ ψυχὴ αὐτοκίνητος, τοῦτο δὲ ἀεικίνητον, τοῦτο δὲ
5 ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατος. τῇ δὲ δι' ἀδυνάτου οὕτως· εἰ μὴ ἀθάνατος
ἡ ψυχὴ ἡ ἡμετέρα, θνητὴ ἄρα· εἰ οὖν θνητή, οὐδαμοῦ τεύξεται τοῦ κατ'
ἀξίαν· ἐνταῦθα γὰρ οὐ τυγχάνει· εἰ δὲ οὐ τυγχάνει τοῦ κατ' ἀξίαν, ἀνή- 45
ρηται πρόνοια, ὅπερ ἄτοπον. ὅρα οὖν πόσα ἔξωθεν εἴληπται, τό τε θνητὴν
εἶναι τό τε μὴ τυγχάνειν τοῦ κατ' ἀξίαν καὶ τὸ ἀνῃρῆσθαι πρόνοιαν, ἵνα τὸ
10 αἴτιον τῆς εἰς ἄτοπον ἀπαγωγῆς ἀνέλωμεν, λέγω δὴ τὸ θνητὴν εἶναι τὴν
ψυχήν· τούτου δὲ ἀναιρεθέντος λείπεται εἶναι ἀθάνατον. φημὶ οὖν πρὸς
ταύτην τὴν ἀπορίαν ὅτι τὰ ἐν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ παραλαμβανόμενα
ἔξωθεν οὐ συνακτικά εἰσι τοῦ συλλογισμοῦ τοῦ κατασκευάζοντος τὸ προκεί-
μενον, ὥσπερ νῦν τὸ εἶναι τὴν ψυχὴν ἀθάνατον, ἀλλὰ τῆς ἀτόπου ὑπο- 50
15 θέσεως ἐλεγκτικά, λέγω δὴ τῆς ὅτι θνητή· ἧς ἀναιρεθείσης, ἐπειδὴ μηδὲν
μέσον θνητοῦ καὶ ἀθανάτου, ἀκολούθως τὸ ἀθάνατον εἰσάγεται, οὐ συναχθὲν
ἐκ τῶν ληφθέντων ἀλλὰ τῇ ἀναιρέσει τοῦ ἀντικειμένου συνεπινοούμενον διὰ
τὸ μηδὲν εἶναι μεταξύ. ἐπεί τοι ἐφ' ὧν ἔστι τι μεταξύ, οἷον ὡς ἐπὶ θερμοῦ
καὶ ψυχροῦ ἢ λευκοῦ καὶ μέλανος, κἂν τὸ ἕτερον ἀνέλῃ ἡ εἰς ἀδύνατον
20 ἀπαγωγή, οὐ πάντως καὶ τὸ ἀντικείμενον εἰσάγεται· εἰ γάρ τινος ὑποθε-
μένου, ὅτι ὁ ἀὴρ λευκός ἐστι, τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἐλέγξει τις ὅτι οὐ XIv
λευκός ἐστιν, οὐκέτι εἰσάξει ὅτι μέλας· οὐδὲ εἴ τις ὑπόθοιτο ὅτι φύσει
θερμὸς ὁ ἥλιος, εἶτά τις τῇ δι' ἀδυνάτου δείξει ἐλέγξει ὅτι οὐ θερμός, οὐ
πάντως εἰσάγεται ὅτι καὶ ψυχρός. οὕτως ἡ δι' ἀδυνάτου δεῖξις ἐλέγχει
25 μόνον τὴν ψευδομένην ὑπόθεσιν, οὐ μὴν καὶ τὴν ἀλήθειαν εἰσάγει, χωρὶς
εἰ μὴ οὕτως ἔχει ἡ ἀντίθεσις ὥστε πάντως ἀνάγκην εἶναι τοῦ ἑτέρου ἀναιρε- 5
θέντος τὸ λοιπὸν ἀντεισάγεσθαι, ὡς ἐπὶ περιττοῦ καὶ ἀρτίου καὶ ὡς ἐπὶ
τῆς ἀντιφάσεως καὶ τῶν ὁμοίων· ὡς ἔχει καὶ τὸ θνητὸν καὶ τὸ ἀθάνατον
ἢ ἁπλῶς τὸ ἀεὶ εἶναι ἢ μὴ εἶναι.

30 p. 24b26 Τὸ δὲ ἐν ὅλῳ εἶναι ἕτερον ἑτέρῳ καὶ τὸ κατὰ παντὸς κατηγορεῖσθαι θάτερον θατέρου ταὐτόν ἐστιν.

Ὅτι τὸ ἐν ὅλῳ καὶ τὸ κατὰ παντὸς τῷ μὲν ὑποκειμένῳ ταὐτά εἰσι, 10

1 τε om. PVt τούτου Q: τούτων t 2 τούτων t ἀκολουθεῖσαν P: ἀκολουθοῦσαν V 3 ἢ om. P βουλόμενος Vt 4 δείξωμεν P 5 ἀθάνατον (post μὴ) PVt 6 θνητὸν ἄρα V οὐδαμῶς Q: οὐ Vt τὴν V 7 γὰρ PQt: δὲ V 8 ante πρόνοια add. ἡ P, del. ἄρα Q¹ οὖν om. Q θνητὸν V itemque vs. 10 9 ἀναιρεῖσθαι P 10 post εἰς add. τὸ PVt εἶναι om. P: post 11 ψυχὴν colloc. Q 11 οὖν om. t 13 συνεκτικά PQt 14 νῦν Q: οὖν Pt: om. V 15 ἐλεκτικά V 18 ὡς om. Q 19 ἢ P: καὶ QVt ἀνέλῃ] ἕλει sic P 21 ἐπαγωγῇ QVt 22 ἐστιν om. P οὐδὲ] εἰ δὲ V 23 ἐλέγχει V 24 post πάντως del. ἐλέγξει Q¹ an καὶ ὅτι? δείξεως ἐλέγξει P 25 ψευδῆ—ἀληθῆ P 26 ἔχει P ἀνάγκην scripsi: ἀνάγκη libri εἶναι] εἰ V 27 ἐπὶ prius om. P ante περιττοῦ add. τοῦ Q περὶ τοῦ pr. P 28 ante τῶν add. ἐπὶ P ὁμοίως pr. P ὡς om. P τὸ alt. om. Q 29 post ἢ prius add. τὸ V 30 post ἕτερον add. ἐν t (BCfm) 31 ἐστιν] σημαίνει V (fm) 32 ὅτι om. V ταυτόν P

μόνῃ δὲ τῇ σχέσει διαφέρουσι. τοῦ γὰρ ἀνθρώπου ὑποκειμένου ὄντος, κατηγορουμένου δὲ τοῦ ζῴου, ἐν τούτοις θεωρεῖται καὶ τὸ ἐν ὅλῳ καὶ τὸ κατὰ παντός· εἰ μὲν γὰρ ἀπὸ τοῦ ὑποκειμένου ἄνιμεν ἐπὶ τὸν κατηγορούμενον, λέγομεν ἐν ὅλῳ εἶναι τὸν ἄνθρωπον τῷ ζῴῳ ἀντὶ τοῦ ὑπὸ ὅλου αὐτὸν περιέχεσθαι τοῦ ζῴου· εἰ δὲ ἀπὸ τοῦ κατηγορουμένου κάτιμεν ἐπὶ τὸν ὑποκείμενον, ἐροῦμεν ὅτι κατὰ παντὸς λέγεται τὸ κατηγορούμενον τοῦ ὑποκειμένου.

p. 24b30 Καὶ τὸ κατὰ μηδενὸς ὡσαύτως.

Τί δέ ἐστι τὸ κατὰ παντὸς καὶ τὸ κατὰ μηδενός, αὐτὸς ἐξηγεῖται. καὶ φησὶ κατὰ παντὸς μὲν εἶναι, ὅταν μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου καθ' οὗ οὐ κατηγορεῖται τὸ κατηγορούμενον· οἷον λέγομεν τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου κατηγορεῖσθαι· καὶ οὐκ ἔστι τις ἄνθρωπος καθ' οὗ τὸ ζῷον οὐ λεχθήσεται. καὶ τὸ κατὰ μηδενὸς ὁμοίως· λέγομεν γὰρ τὸν ἄνθρωπον κατὰ μηδενὸς λίθου ὑπάρχειν· καὶ οὐκ ἔστι τις λίθος καθ' οὗ ὁ ἄνθρωπος λεχθήσεται. οὐ μόνον δὲ κατὰ σχέσιν διαφέρει τὸ ἐν ὅλῳ τοῦ κατὰ παντός, ἀλλὰ καὶ ἕτεραι διαφοραί, καθὸ τὸ μὲν ἐν ὅλῳ ἔλαττον ἐκείνου ᾧ ἐστιν ἐν ὅλῳ, οἷον ὁ ἄνθρωπος ἐν ὅλῳ τῷ ζῴῳ ἐστί, καὶ ἔλαττόν ἐστιν ὁ ἄνθρωπος τοῦ ζῴου, τὸ δὲ κατὰ παντὸς ἢ ἐπὶ πλέον ἐστὶν ἐκείνου καθ' οὗ λέγεται ἢ ἐπ' ἴσης, καὶ ἐπὶ πλέον μέν, ὡς ὅταν γένος ᾖ τὸ κατηγορούμενον, ἐπ' ἴσης δὲ ὡς ἴδιον· οἷον τὸ ζῷον κατηγορεῖται τοῦ ἀνθρώπου ὡς γένος, καὶ ἐπὶ πλέον τοῦ ἀνθρώπου τὸ ζῷον· πάλιν τὸ ἴδιον κατηγορεῖται τοῦ ἀνθρώπου, ὡς τὸ γελαστικόν, καὶ ἐξισάζει αὐτῷ. ὥστε καλῶς εἴρηται ὅτι τὸ μὲν ἐν ὅλῳ ἐπ' ἔλαττόν ἐστι, τὸ δὲ κατὰ παντὸς ἢ ἐπὶ πλέον ἢ ἐπ' ἴσης.

p. 25a1 Ἐπεὶ δὲ πᾶσα πρότασίς ἐστιν ἢ τοῦ ὑπάρχειν ἢ τοῦ ἐξ ἀνάγκης ὑπάρχειν ἢ τοῦ ἐνδέχεσθαι ὑπάρχειν.

Τέλος ἔχει τὰ ἐξ ἀρχῆς αὐτῷ προτεθέντα· τρέπεται δὴ λοιπὸν εἰς τὴν διδασκαλίαν τῆς τῶν συλλογισμῶν γενέσεως. ἀλλ' ἐπειδὴ τῶν ἐν τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι συλλογισμῶν διὰ τῆς τῶν προτάσεων ἀντιστροφῆς τὸ ἀναγκαῖον ἀποδείκνυται, ὡς ἀρτίως ἐλέγομεν, διὰ τοῦτο πρῶτον ἠβουλήθη τὰ περὶ ἀντιστροφῆς διδάξαι, ἵνα μὴ ἐκεῖσε γενόμενος ἀναγκασθῇ τὸν λόγον διακόψαι, διδάσκων ἡμᾶς τί ποτέ ἐστιν ἀντιστροφή. ἀναγκαῖον δέ ἐστι ζητῆσαι πρῶτον μὲν τί ἐστιν ὅλως ἀντιστροφὴ καὶ ποσαχῶς λέγεται, καὶ

1 τούτων (ante γάρ) V 3 τὸ (post ἐπὶ) P 6. 7 τῶι ὑποκειμένωι PQ 9 τὸ alt. om. Vt 12 post παντὸς add. τοῦ P 13 οὐ κατηγορεῖται P post ὁμοίως add. ὡσαύτως P 15 ὁ om. P post κατὰ add. τὴν P 16 τοῦ—τὸ P ἑτέραις διαφοραῖς Vt 17 post ἔλαττον add. ἐστιν P ᾧ scripsi: οὗ libri τὸ ζῶιον P 18 ἐλάττων P 19 καὶ om. P 20 ὅτι P post ὡς add. ὅτι P 21 ὡς—ἀνθρώπου om. P 22 ἐξιζάζει ut solet V 25 ἐπειδὴ P 27 προστεθέντα P δὲ PVt λοιπὸν om. V 28 post ἐπειδὴ add. καὶ t 30 ἀρτίως] p. 36,29 sq. 31 τὰ περὶ—ἀναγκασθῇ om. P 32 ἀναγκαῖον—33 ἀντιστροφὴ om. Vt ἐστι om. Q 33 καὶ prius om. t

περὶ ποίας ἀντιστροφῆς ἐνταῦθα διαλέγεται, καὶ ἔτι ἐν πόσοις θεωρεῖται ἡ XIv
ἀντιστροφή, καὶ τούτοις πῶς ἔχουσι πρὸς ἄλληλα. λέγομεν οὖν πρὸς τὸ 35
πρῶτον ὅτι ἀντιστροφή ἐστιν ἰσοστροφή τις· τὸ γὰρ ἀντί, ὡς ἐν ἑτέροις
πολλάκις εἴρηται, τὸ ἴσον σημαίνει παρὰ τοῖς παλαιοῖς, ὡς ἐν τῷ ἀντιάνειρα
5 καὶ ἀντίθεος καὶ ἐν τῷ ἔθει τὸ ἀντίχειρ. τὸ δὲ ἴσον τινί ἐστιν ἴσον· τῶν
πρός τι γάρ ἐστι. τὰ δὲ πρός τι τοὐλάχιστον ἐν δυσὶ πράγμασι θεωρεῖται.
ὥστε τὰ ἀντιστρέφοντα τοὐλάχιστον δύο τινά εἰσιν· ἓν γὰρ οὐκ ἂν λέγοιτο
ἀντιστρέφειν. ἔχεις οὖν καὶ ἐν πόσοις ἡ ἀντιστροφὴ καὶ τί ἐστι. λείπεται
δὲ διδάξαι ἐν τίσιν ἐστὶ καὶ ποσαχῶς λέγεται. πᾶσα οὖν ἀντιστροφὴ ἢ
10 ὅρων ἐστὶν ἢ προτάσεων ἢ συλλογισμῶν. τριχῶς ἄρα λέγεται, καὶ ἐν τίσιν 40
ἔγνωμεν, ὅτι ἢ ἐν ὅροις ἢ ἐν προτάσεσιν ἢ ἐν συλλογισμοῖς. περὶ μὲν οὖν
τῆς ἐν τοῖς ὅροις ἀντιστροφῆς διείλεκται ἐν Κατηγορίαις, ἔνθα περὶ τῶν
πρός τι διελέγετο, ὅτι ὁ φίλος φίλῳ φίλος ἐστὶ καὶ ὁ ἐχθρὸς ἐχθρῷ ἐστιν
ἐχθρός. περὶ δὲ τῆς ἐν συλλογισμοῖς ἀντιστροφῆς ἐν τῷ δευτέρῳ τῶν
15 Ἀναλυτικῶν βιβλίῳ διδάσκει, λέγω δὴ τῷ μετὰ τοῦτο· δεῖ γὰρ εἰδέναι
πρῶτον τί ἐστι συλλογισμός, ἵν' οὕτω μάθωμεν πῶς ἀντιστρέφει. ἀντιστρέ-
φειν δὲ λέγονται συλλογισμοί, ὅταν τὸ συμπέρασμα λαβόντες καὶ προσθέντες 45
τὴν μείζονα τῶν προτάσεων κατασκευάσωμεν τὴν ἐλάττονα. οἷόν ἐστι συλλο-
γισμὸς ὁ λέγων 'ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, τὸ ἀει-
20 κίνητον ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατος'· ἔχομεν οὖν τὸ συμπέρασμα ὅτι
ἡ ψυχὴ ἀθάνατος· τοῦτο λαβόντες καὶ ποιήσαντες ἐλάττονα πρότασιν, εἶτα
προσθέντες τὰς λοιπὰς συμπέρασμα τὴν ἐλάττονα πρότασιν ποιοῦμεν οὕτως·
ἡ ψυχὴ ἀθάνατος, τὸ ἀθάνατον ἀεικίνητον, τὸ ἀεικίνητον αὐτοκίνητον, ἡ
ψυχὴ ἄρα αὐτοκίνητος. ἐνδέχεται δὲ καὶ τὴν ἐλάττονα πρότασιν τῷ συμ- 50
25 περάσματι συμπλέξαντα συμπέρασμα ποιῆσαι τὴν ἐν τῷ προτέρῳ συλλο-
γισμῷ μείζονα· οἷον ἡ ψυχὴ ἀθάνατος, τὸ ἀθάνατον αὐτοκίνητον, τὸ αὐτο-
κίνητον ἀεικίνητον, ἡ ψυχὴ ἄρα ἀεικίνητος. περὶ δὲ τῆς ἐν προτάσεσιν
ἀντιστροφῆς ἐνταῦθα διαλέξεται, οὐ μὴν περὶ πάσης. τῆς γὰρ ἀντιστροφῆς
περὶ δύο προτάσεις θεωρουμένης τοὐλάχιστον, ὡς προείρηται, ἑκάστης δὲ
30 προτάσεως δύο ὅρους ἐχούσης, τόν τε κατηγορούμενον καὶ τὸν ὑποκείμενον,
ἀνάγκη πᾶσα τὰς δύο προτάσεις, ἐν αἷς ἡ ἀντιστροφὴ θεωρεῖται, ἢ κατ' XIIr
ἀμφοτέρους τοὺς ὅρους κοινωνεῖν ἢ κατ' ἀμφοτέρους διαφέρειν ἢ κατὰ μὲν
τὸν ἕτερον κοινωνεῖν κατὰ δὲ τὸν ἕτερον διαφέρειν, καὶ τοῦτο διχῶς, ἢ κατὰ
μὲν τὸν ὑποκείμενον κοινωνεῖν κατὰ δὲ τὸν κατηγορούμενον διαφέρειν ἢ
35 ἔμπαλιν· καὶ οὐκ ἔστι παρὰ ταῦτα. τεσσάρων οὖν γινομένων συζυγιῶν αἱ
μὲν τρεῖς ἀσύστατοί εἰσιν, ἡ δὲ μία μόνη συνέστηκεν. οὔτε γὰρ εἰ κατ' 5

1 ἔστιν V 2 ἀποστροφή V 3 ἐν ἑτέροις] velut Categ. p. 111,20 sq. 4 περὶ t
5 fort. τῶν ἐν ἔθει τῷ ἐστιν om. Q 7 τινά om. Q 8 ἐν om. P 9 δὲ om. P:
fort. δὴ 11 ἢ primum om. P 12 ἐν Κατηγορίαις] c. 7 p. 6b28 sq. 13 διελάμ-
βανεν ὅτι φίλος φίλωι ἐστιν φίλος P 14 συλλογισμῶ V 14. 15 ἐν τῷ δευτ. τῶν
Ἀναλ. β.] c. 8—10 p. 59b1 sq. 15 βιβλίων V τὸ P 17 λαμβάνοντες Q
18 κατασκευάσομεν t 21 πρότασιν om. Q 23. 24 ἡ ψυχὴ ἄρα αὐτοκίνητος om. V
24 καὶ om. P 28 μὴν] μὴ Q 29 ὥσπερ εἴρηται P 30 προτάσεως om. P
ὑποκείμενον—κατηγορούμενον Q 31 πάσας P θεωρῆται t 33. 34 καὶ τοῦτο—
διαφέρειν iterat V 33 fort. ἢ ⟨γὰρ⟩ cf. p. 41,13 35 ante συζυγιῶν del. συ Q1

ἀμφοτέρους τοὺς ὅρους διαφέρουσιν αἱ προτάσεις, γίνεται ἀντιστροφὴ ἑτέρων XIIr
οὐσῶν παντελῶς καὶ ἀκοινωνήτων· οἷον ὁ ἄνθρωπος ζῷον, ὁ ἵππος τετρά-
πουν· κοινωνίαν γὰρ οὐδεμίαν ἔχουσι· δεῖ δὲ τὰ ἀντιστρέφοντα κοινωνεῖν
ἀλλήλοις. ἀλλ' οὐδὲ εἰ κατὰ τὸν ἕτερον τῶν ὅρων κοινωνοῖεν, κατὰ δὲ τὸν
5 ἕτερον διαφέροιεν, οὐδὲ οὕτως γίνεται ἀντιστροφή· οἷον ὁ ἄνθρωπος ζῷον,
ὁ ἄνθρωπος λευκός, καὶ πάλιν ὁ ἄνθρωπος ζῷον, ὁ ἵππος ζῷον· ἀλλὰ δεῖ
τὰς ἀντιστρεφούσας κοινωνεῖν κατ' ἀμφοτέρους τοὺς ὅρους. ἀλλ' ἐπειδὴ 10
πάλιν ἐν ταῖς προτάσεσι θεωρεῖταί τις τάξις τῶν ὅρων (ὁ μὲν γάρ ἐστιν
κατηγορούμενος ὁ δὲ ὑποκείμενος), θεωρεῖται δὲ καὶ ποιότης, ἀνάγκη πᾶσά
10 ἐστι τὰς ἀντιστρεφούσας προτάσεις, αἵτινες ἐδείχθησαν κοινωνοῦσαι ἀλλή-
λαις κατ' ἀμφοτέρους τοὺς ὅρους, κοινωνεῖν καὶ κατὰ τὴν τάξιν καὶ κατὰ τὴν
ποιότητα, ἢ κατ' ἀμφότερα διαφέρειν, ἢ κατὰ μὲν τὸ ἕτερον κοινωνεῖν κατὰ
δὲ τὸ ἕτερον διαφέρειν, καὶ τοῦτο διχῶς· ἢ γὰρ κατὰ μὲν τὴν τάξιν κοι-
νωνεῖν κατὰ δὲ τὴν ποιότητα διαφέρειν, ἢ κατὰ μὲν τὴν τάξιν διαφέρειν 15
15 κατὰ δὲ τὴν ποιότητα κοινωνεῖν. τούτων οὖν τῶν τεσσάρων συζυγιῶν ἡ μία
ἐστὶν ἀσύστατος, λέγω δὴ ἡ κατ' ἀμφότερα κοινωνούσας ἔχουσα τὰς προ-
τάσεις, καὶ κατὰ τὴν τάξιν καὶ κατὰ τὴν ποιότητα· μία γάρ ἐστι πρότασις
δὶς ἡ αὐτὴ παραλαμβανομένη καὶ οὐ δύο. εἰ γὰρ οἱ μὲν ὅροι οἱ αὐτοὶ
ὀφείλουσιν εἶναι ἐν ταῖς ἀντιστρεφούσαις προτάσεσιν, ὡς ἐδείξαμεν, ἔχοιεν
20 δὲ αὗται καὶ τὴν τάξιν τῶν ὅρων καὶ τὴν ποιότητα τὴν αὐτήν, ἔσονται
ἄμφω μία καὶ ἡ αὐτή, οἷον ὁ ἄνθρωπος ζῷόν ἐστιν, ὁ ἄνθρωπος ζῷόν 20
ἐστι, καὶ ματαιολογία τὸ ὅλον. συνίστανται δὲ αἱ ἄλλαι τρεῖς συζυγίαι,
λέγω δὴ ἥ τε κατ' ἀμφότερα διαφέρουσα, καὶ κατὰ τὴν τάξιν καὶ κατὰ
τὴν ποιότητα, καὶ ἡ καθ' ἑκάτερον, καὶ τοῦτο διχῶς, εἴτε ἡ μὲν τάξις ἡ
25 αὐτὴ εἴη ἡ δὲ ποιότης διάφορος, εἴτε καὶ ἔμπαλιν ἡ μὲν ποιότης ἡ αὐτὴ ἡ
δὲ τάξις διάφορος. ἔχει δὲ ἐναντίως ἡ διαίρεσις αὕτη τῇ προτέρᾳ· ἡ μὲν
γὰρ κατὰ τὴν κοινωνίαν ἢ διαφορὰν τῶν ὅρων διαιρουμένη καὶ τέσσαρας
ποιοῦσα συζυγίας, τήν τε ἐξ ἀμφοτέρων τῶν αὐτῶν ὅρων καὶ τὴν ἐξ ἀμφοτέ-
ρων διαφόρων καὶ τὴν κατὰ μὲν τὸν ἕτερον κοινωνοῦσαν κατὰ δὲ τὸν ἕτερον 25
30 διαφέρουσαν, καὶ τοῦτο διχῶς, ἢ κατὰ τὸν ὑποκείμενον ἢ κατὰ τὸν κατη-
γορούμενον, τὰς μὲν τρεῖς ἀσυστάτους εἶχε συζυγίας, μόνη δὲ συνίστατο ἡ
ἔχουσα τὰς προτάσεις κατ' ἀμφοτέρους τοὺς ὅρους κοινωνούσας· ἐνταῦθα
δὲ τῆς διαιρέσεως γενομένης κατά τε τὴν τάξιν τῶν ὅρων καὶ τὴν ποιότητα
καὶ πάλιν τεσσάρων γενομένων συζυγιῶν, ἡ μὲν μία ἡ κατ' ἀμφότερα
35 κοινωνούσας ἔχουσα τὰς προτάσεις, ἥτις ἦν ἐκεῖ μόνη σύστασιν ἔχουσα,

1 διαφέρωσιν t 2 καὶ om. V ἀκοινωνούντων V 4 τῶν om. P
6 λευκόν Q δὴ V 8 post τις add. καὶ P 10. 11 ἀλλήλαις om. P
11 κοινωνεῖν om. P καὶ prius P, pr. Q: ἢ Vt, corr. Q¹ καὶ alt. PQ: ἢ Vt
12 post ποιότητα add. κοινωνεῖν ἀλλήλαις P 14. 15 ποιότητα κοινωνεῖν—τάξιν διαφέρειν Q 15 τούτων οὖν τῶν scripsi: τούτων τῶν Q: τῶν οὖν P: τῶν Vt
17 ἔσται P 18 παραλαμβανόμενα P εἰ μὲν γὰρ οἱ Q οἱ alt. om. Pt
20 καὶ prius] κατὰ P τὴν ἑαυτήν V 23 κατὰ utrumque om. Q 25 εἴτε P: ἢ QVt 26 αὕτη ἡ διαίρεσις PV τῇ προτάσει Q 27 τὴν om. P
28 ποιούσας V 29 διαφόρων scripsi: διαφορῶν PV: διαφορὰν Qt μὲν κατὰ PV
35 ἦν superscr. V

μόνη ἀσύστατός ἐστιν ἐνταῦθα, αἱ δὲ ἄλλαι τρεῖς, αἵτινες ἐκεῖ ἦσαν ἀσύ- XIIr
στατοι, ἐνταῦθα συνίστανται, λέγω δὴ ἡ κατὰ τὸ ἕτερον μὲν κοινωνοῦσα 31
κατὰ δὲ τὸ ἕτερον διαφέρουσα, καὶ τοῦτο διχῶς, καὶ ἡ κατ' ἀμφότερα διαφέρουσα. εἰ τοίνυν αἱ ἀντιστρέφουσαι προτάσεις τάξιν μὲν τῶν ὅρων τὴν
5 αὐτὴν ἔχοιεν, ποιότητα δὲ μὴ τὴν αὐτήν, λέγεται ἡ τοιαύτη ἐνδεχομένη ἀντιστροφή, διότι ἐπὶ μόνης τῆς ἐνδεχομένης ὕλης συνίσταται· οἷον τὶς ἄνθρωπος λούεται, τὶς ἄνθρωπος οὐ λούεται· τὶς ἄνθρωπος περιπατεῖ, τὶς ἄνθρωπος οὐ περιπατεῖ· ἀμφότερα γὰρ ἀληθεύει ἐπὶ μόνης τῆς ἐνδεχο- 35
μένης ὕλης. εἰ δὲ μήτε ἡ τάξις τῶν ὅρων μήτε ἡ ποιότης ἡ αὐτὴ εἴη
10 ἀλλὰ διάφορος, λέγεται ἡ τοιαύτη σὺν ἀντιθέσει ἀντιστροφή, διότι σὺν τῇ ποιότητι καὶ τὴν τάξιν τῶν ὅρων μετατίθησιν· οἷον εἰ ὁ ἄνθρωπος ζῷον, τὸ μὴ ζῷον οὐδὲ ἄνθρωπος· εἰ τὸ πῦρ ξηρόν, τὸ μὴ ξηρὸν οὐδὲ πῦρ. εἰ δὲ ἡ μὲν ποιότης τῶν προτάσεων ἡ αὐτὴ εἴη ἡ δὲ τάξις διάφορος, λέγεται ἡ τοιαύτη ἁπλῆ ἀντιστροφή, διότι περὶ τὸ ἁπλούστατον τῶν ἐν τῇ
15 προτάσει, τουτέστι τοὺς ὅρους, ποιεῖται τὴν ἀντιστροφήν· οἷον πᾶς ἄνθρωπος 40
ζῷον, τὶ ζῷον ἄνθρωπος. περὶ ἧς ἐνταῦθα ποιεῖται τὸν λόγον, ἣν καὶ ὁριζόμενοι λέγομεν οὕτως· ἁπλῆ ἀντιστροφή ἐστι κοινωνία δύο προτάσεων κατ' ἀμφοτέρους τοὺς ὅρους τοῦ μὲν ποιοῦ τοῦ αὐτοῦ μένοντος τῆς δὲ τάξεως τῶν ὅρων ἐναλλαττομένης μετὰ τοῦ συναληθεύειν. πρόσκειται δὲ 'μετὰ τοῦ
20 συναληθεύειν' διὰ τὴν λεγομένην ἀναστροφὴν τὰ αὐτὰ ἔχουσαν τῇ ἁπλῇ πλὴν τοῦ ψεύδεσθαι· οἷον πᾶς ἄνθρωπος ζῷον, καὶ πᾶν ζῷον ἄνθρωπος. ἔχει δὲ ὁ ὁρισμὸς γένος μὲν τὸ 'κοινωνία δύο προτάσεων κατ' ἀμφοτέρους 45
τοὺς ὅρους'· τοῦτο γὰρ πάσῃ ὑπάρχει ἀντιστροφῇ· διαφορὰς δὲ τὰ λοιπά, ὧν ἡ μὲν 'τοῦ ποιοῦ τοῦ αὐτοῦ μένοντος' ἀποχωρίζει τῆς σὺν ἀντιθέσει,
25 τὸ δὲ τῆς τάξεως τῶν ὅρων ἐναλλαττομένης' διακρίνει τὴν ἐνδεχομένην ἀντιστροφήν· οὐκ ἀμείβει γὰρ ἐκείνη τὴν τάξιν. καὶ ἐκ τῆς προτέρας δὲ διαφορᾶς οὐδὲν ἧττον διακρίνεται· οὐ φυλάττει γὰρ ποιὸν τὸ αὐτὸ ἡ ἐνδεχομένη ἀντιστροφή· τὶς ἄνθρωπος λούεται, τὶς ἄνθρωπος οὐ λούεται. τὸ δὲ 'μετὰ τοῦ συναληθεύειν' εἴρηται, πρὸς διάκρισιν τίνος παρείληπται. ἄξιον δὲ ζητῆσαι διὰ τί τῆς
30 τῶν καθ' ἕκαστα καὶ τῆς τῶν ἀπροσδιορίστων ἀντιστροφῆς οὐκ ἐμνημόνευσε. 50
καὶ φαμὲν ὅτι τῶν μὲν ἀπροσδιορίστων οὐκ ἐμνήσθη, ἐπειδὴ περιέχονται ἐν ταῖς προσδιωρισμέναις· ἀναλογοῦσι γάρ, ὡς ἐν τῷ Περὶ ἑρμηνείας εἴρηται, ἢ ταῖς καθόλου ἢ ταῖς μερικαῖς. τῶν δὲ καθ' ἕκαστα οὐκ ἐμνήσθη, ὅτι τῶν καθόλου τὴν διδασκαλίαν μετέρχονται οἱ φιλόσοφοι, οὐ τῶν καθ' ἕκαστα διὰ τὸ ἄπειρον.

35 Τούτων ἡμῖν πρὸ τῆς τοῦ ῥητοῦ ἐξετάσεως προδιηπορημένων ἄξιόν ἐστι καὶ τὰς κατὰ τὸ ῥητὸν φερομένας ἀπορίας ἐπι|λύσασθαι. ζητοῦσι γὰρ XIIv

1 ἐνταῦθα μόνη ἐστιν ἀσύστατος P 5 ἔχοουσι QVt, at cf. vs. 9. 13 10 post τοιαύτη add. ἀντιστροφὴ P 11 ὁ om. t 12 ξυρὸν (post μὴ) Q οὐ πῦρ P 13 ἢ PV 14 ἀντιστροφὴ ἁπλῆ P 15 τοὺς ὅρους QVt: τὸν κατηγορούμενον P 19 ἐλαττομένης V δὲ, quod ante μετὰ prius add. P, transposui: om. QVt μετὰ alt. superscr. Q[1] 22 κοινωνίαν V 23 διαφορὰ δὲ τοὺς λοιποὺς V 24 τῇ Vt: τὴν conicio συναντιθέσεως Q 25 τῆς δὲ, om. τὸ P ἐναλαττομένης PV 26 δὲ om. P 27 οὐ om. V ποιὸν superscr. V 29 post εἴρηται add. ὅτι P 31 καὶ om. P μὲν om. QVt ἐμνήσθην t 32 ἐν τῷ Περὶ ἑρμ.] c. 7 p. 17b29 sq. cf. b7 sq. 33 τῶν καθολίκων sic P

τινες τί δήποτε τεσσάρων ὄντων τῶν τρόπων, ὡς ἐν τῷ Περὶ ἑρμηνείας XII[v]
παρειλήφαμεν, δυνατοῦ, ἐνδεχομένου, ἀναγκαίου, ἀδυνάτου, τὸν μὲν ἀδύνατον
καὶ δυνατὸν παρέλειψεν ἐνταῦθα ὁ φιλόσοφος, τὸν δὲ ὑπάρχοντα ἀπεξενω-
μένον ὄντα προσέθηκε, καὶ εἴγε ὅλως τρόπος ἐστὶν ὁ ὑπάρχων, τί δήποτε
5 οὐκ ἐμνήσθη αὐτοῦ ἐν τῷ Περὶ ἑρμηνείας. εἰσὶ μὲν οὖν τινες οἳ τὸν
ὑπάρχοντα τρόπον ὑπολαμβάνουσιν, οἵτινες καὶ ἐπιχειροῦσιν αὐτὸ τοῦτο 5
κατασκευάζειν ἐκ διαιρέσεως τοιαύτης, πρὸς ἣν ἀποβλέψαντά φασι τὸν φιλό-
σοφον ποιεῖσθαι τὴν νῦν διδασκαλίαν. τῶν γὰρ πραγμάτων, φασί, τὰ μὲν
ἀεὶ ὡσαύτως ἔχει, τὰ δὲ ἄλλοτε ἄλλως· καὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων τὰ
10 μὲν καθ' αὑτὰ ὑφέστηκεν, ὡς τὰ οὐράνια, τὰ δὲ κατὰ συμβεβηκὸς ἐν ἑτέροις, 10
ὡς τὸ ἐν τῷ κόρακι μέλαν. διὰ μὲν οὖν τοῦ ἀναγκαίου τρόπου, φασίν, ἐδή-
λωσε τὰ ἀεὶ ὡσαύτως ἔχοντα καθ' αὑτά, διὰ δὲ τοῦ ὑπάρχοντος τὰ ἀεὶ
ὡσαύτως ἔχοντα κατὰ συμβεβηκός, διὰ δὲ τοῦ ἐνδεχομένου τὰ ἄλλοτε
ἄλλως ἔχοντα. καὶ δι' ἑτέρας δὲ διαιρέσεως τὸ αὐτὸ δεικνύειν ἐπιχειροῦσι 15
15 πιθανωτέρας μὲν οὐ μὴν οὐδὲ αὐτῆς ἐχούσης τὸ ἀναγκαῖον· τὰ γὰρ πράγ-
ματα, φασίν, ἢ ἀεί ἐστιν ἢ ποτέ· καὶ εἰ ποτέ, ἢ ἐκβέβηκεν ἢ μέλλει· τὰ μὲν
οὖν ἀεὶ ὄντα δηλοῖ ὁ ἀναγκαῖος τρόπος, τὰ δὲ ποτὲ ἐκβεβηκότα ὁ ὑπάρχων,
τὰ δὲ μέλλοντα ἐκβῆναι ὁ ἐνδεχόμενος. πρὸς οὓς καλῶς ἀντιλέγουσιν ὅτι 20
οὕτως εἰς ταὐτὸν ἄξομεν τὰς ὅλας τοῖς τρόποις· ὑμεῖς γὰρ τὴν διαίρεσιν
20 τῶν τρόπων ἀπὸ τῆς φύσεως τῶν πραγμάτων ἐποιήσασθε, ὅπερ ἐστὶν ἴδιον
τῶν ὑλῶν· οἱ δὲ τρόποι οὐκ ἀπὸ τῆς φύσεως τῶν πραγμάτων λαμβάνονται 25
ἀλλ' ἀπὸ τῆς ἡμετέρας προφορᾶς, ὅπερ καὶ αὐτὸς δηλοῖ εἰπὼν καθ' ἑκά-
στην πρόσρησιν. ἐλέγετο δὲ καὶ ἐν τῷ Περὶ ἑρμηνείας ὅτι ὁ τρόπος
τῆς ὕλης διαφέρει, καθὸ ἡ μὲν ὕλη συναναφαίνεται τοῖς πράγμασιν· ἐὰν
25 γὰρ εἴπω ὅτι ὁ ἄνθρωπος πέταται, παραχρῆμα ἀνεφάνη ἀδύνατος, καὶ ἐπὶ
τῶν ἄλλων ὑλῶν ὁμοίως· ὁ δὲ τρόπος ἐκ τῆς ἡμετέρας προφορᾶς ἔχει τὸ
εἶναι· ὅταν γὰρ εἴπω 'ἐνδέχεται ἄνθρωπον μέλανα εἶναι', ἐνδεχομένου τρόπου 30
εἶπον πρότασιν. διόπερ καὶ τὴν αὐτὴν πρότασιν ὕλης μὲν δυνατὸν εἶναι
ἀναγκαίας τρόπου δὲ ἐνδεχομένου, ὡς ὅταν εἴπω ὅτι ὁ ἥλιος ἐνδεχομένως
30 κινεῖται· τὸ μὲν γὰρ κινεῖσθαι αὐτὸν ἐξ ἀνάγκης ἐστίν, ὁ δὲ τρόπος ἐνδε-
χόμενος· καὶ ἔμπαλιν δυνατὸν τρόπου μὲν ἀναγκαίου πρότασιν εἶναι ὕλης δὲ
ἐνδεχομένης, ὡς ὅταν εἴπω 'ἀναγκαίως Σωκράτης λούεται'· καὶ ἐπὶ τῶν
ἄλλων δὲ τρόπων καὶ ὑλῶν τὸ αὐτὸ συμβαίνειν ἐνδέχεται. ὥστε οἱ ταῦτα

1 ἐν τῷ Περὶ ἑρμ.] c. 12 p. 21ᵃ35 sq. 2 τὸ PVt 3. 4 ἀποξενομενον P: ἐπεξενωμένον V 5 ἐμνήσθην Q τινες om. V οἳ] οἷον pr. P 6 ὑπολαμβάνοντες Qt: ὑπολαβόντες V 7 ὑποβλέψαντα Q 8 φησιν P 10 post οὐράνια del. σώματα P ἐν ἑτέροις om. Vt 11 οὖν superscr. P¹: om. QV τοῦ] οῦ eras. Q 12 καθ' αὑτὰ—13 ἔχοντα om. V δὲ om. P 14 δὲ om. P 15 οὐδὲ] δὲ P 16 φασίν scripsi: φησιν libri καὶ εἰ ποτέ om. QVt 17 δῆλον Vt ὁ ὑπάρχων ἤγουν ἐκβεβηκότα QVt 19 τὸν αὐτὸν P 20 ἐστὶν om. P 22 αὐτὸ P 23 ἐν superscr., τῷ e τὸ corr. V ἐν τῷ Περὶ ἑρμ.] immo Ammon. p. 215,7 sq. 25 ὅτι om. t πέπαυται V post παραχρῆμα add. ἡ ὕλη P ἐφάνη Q ἀδυνάτων P 26 προσφορᾶς Qt 27 ὅτι P 29 ὅτι om. V 31 πρότασιν τρόπου ἀναγκαίου QVt 33 post ὑλῶν add. ὡς P ἐνδέχεται] τ supra σθ scr. V οἱ om. Q

λέγοντες εἰς ταὐτὸν ἀνάγουσι τὰς ὅλας τοῖς τρόποις, ὅπερ ἄτοπον. καὶ τινὲς XIIv
μὲν ἀπολογούμενοι πρὸς τοῦτό φασιν ὅτι τὰ ὑπάρχοντά τινι ἢ ἁπλῶς ὑπάρ- 36
χειν λέγεται δίχα προσδιορισμοῦ τινος, καὶ λέγεται ὑπάρχοντος τρόπου,
ἢ ἀναγκαίως, καὶ ἔστιν ἀναγκαίου τρόπου, ἢ ἐνδεχομένως, καὶ ἔστιν ἐνδε-
5 χομένου, καὶ οὕτως οὐκ εἰς ταὐτὸν ἄξομεν τὰς ὅλας τοῖς τρόποις. λέγομεν
οὖν πρὸς τοῦτο ὅτι μάλιστα μὲν ἀνόητον τὸ λέγειν ὑπαρχόντως ὑπάρ-
χειν. ἔπειτα, εἰ ὁ ὑπάρχων τρόπος ἐστίν, ἀτελεῖς δείξομεν τὰς δύο πραγ-
ματείας, τήν τε Περὶ ἑρμηνείας καὶ ταύτην, διότι οὐδὲ ἐκεῖ ἐμνήσθη τοῦ 40
ὑπάρχοντος τρόπου οὐδὲ ἐνταῦθα τοῦ δυνατοῦ καὶ ἀδυνάτου. τί οὖν ἡμεῖς
10 φαμεν πρὸς τὰ διηπορημένα; ὅτι τοῦ μὲν ἀδυνάτου τρόπου οὐκ ἐμνήσθη
ὡς ἐμπεριλαβὼν αὐτὸν διὰ τοῦ ἀναγκαίου· ὁ αὐτὸς γάρ ἐστιν αὐτῷ, ἀντί-
στροφος μέντοι. καὶ αὐτὸς δὲ ἐν τῷ Περὶ ἑρμηνείας τοῦτο ἐδήλωσε τὸ
ἀναγκαῖον ταὐτὸν εἶναι τῷ ἀδυνάτῳ λέγων ἐναντίως ἀποδιδόμενον, ὅτι ὅπου
πρὸς τῷ ἀναγκαίῳ τὸ εἶναι, τῷ ἀδυνάτῳ τὸ μὴ εἶναι· εἰ γὰρ ἀναγκαῖον
15 τὸν ἄνθρωπον ζῷον εἶναι, ἀδύνατον μὴ εἶναι· καὶ τὸ ἀδύνατον εἶναι, τοῦτο 45
ἀναγκαῖον μὴ εἶναι. ἔτι διὰ τοῦ ἐνδεχομένου τὸν δυνατὸν ἐμπεριέλαβε· τὸ
γὰρ κυρίως δυνατὸν εἰς ταὐτὸν ἔρχεται τῷ ἐνδεχομένῳ· ὃ γὰρ ἐνδέχεται
εἶναι, τοῦτο δυνατὸν εἶναι, καὶ ὃ δυνατὸν μὴ εἶναι, τοῦτο ἐνδέχεται μὴ
εἶναι. ὥστε οὐ μόνον ἐν τῷ Περὶ ἑρμηνείας ἐμνήσθη τῶν τεσσάρων τρόπων
20 ἀλλὰ καὶ ἐνταῦθα. ἀλλὰ ζητοῦσί τινες διὰ τί ὅλως τοῦ ἀναγκαίου ἐμνη-
μόνευσε καὶ μὴ τοῦ ἀδυνάτου, εἴγε ἰσοδυναμοῦσιν ἐναντίως ἀποδιδόμενοι.
φαμὲν ὡς τιμιωτέρου ἐμνήσθη τοῦ ἀναγκαίου· ὁ μὲν γὰρ ἀναγκαῖος ὕπαρξιν 50
σημαίνει, ὁ δὲ ἀδύνατος στέρησιν· ἡ δὲ ὕπαρξις τῆς στερήσεως τιμιωτέρα.
ἀλλὰ μὴν καὶ ὁ ὑπάρχων δίκην ὅλης τοῖς τρόποις ὑπέστρωται· εἰ γὰρ ὁ
25 ὑπάρχων δηλοῖ τὸ εἶναι, λέγεται δὲ καὶ ὁ ἀναγκαῖος καὶ ὁ ἐνδεχόμενος
εἶναι, δῆλος ἂν εἴη οὗτος τοῖς λοιποῖς ὑπεστρωμένος. καὶ οὕτως οὐδὲν
περιττὸν οὐδὲ ἐλλεῖπον εἰρῆσθαι τῷ φιλοσόφῳ ἀποδέδεικται. ἔτι πρὸς τού-
τοις ἐροῦμεν· εἰ τὸν ὑπάρχοντα τρόπον εἰσδεξόμεθα, ἐν δὲ τῷ προκειμένῳ
βιβλίῳ περὶ τῆς ἀντιστροφῆς τῶν | προτάσεων διαλαμβάνει ὡς συμβαλλο- XIIIr
30 μένης αὐτῷ εἰς τὸν περὶ συλλογισμῶν λόγον, τῶν δὲ ἄνευ τρόπου προ-
τάσεων οὐδαμοῦ μνήμην ἐνταῦθα ἐποιήσατο, οἱ δὲ συλλογισμοὶ οὐ μόνον
εἰσὶ μετὰ τρόπου ἀλλὰ καὶ ἄνευ τρόπου, δῆλον ὅτι ἀτελὴς ἔσται ἡ περὶ
συλλογισμῶν πραγματεία. οὐ μόνον δὲ αὕτη ἀλλὰ καὶ ἡ Περὶ ἑρμηνείας
ἀτελὴς ἔσται· οὐ γὰρ ἐμνήσθη ἐκεῖσε τοῦ ὑπάρχοντος τρόπου. φαμὲν οὖν

1 συνάγουσι P καὶ om. P 2 μὲν om. P 3 λέγεται alt. scripsi: λέγονται libri 4 ἢ ἀναγκαίως—τρόπου om. V εἶναι utrobique P 4. 5 ἐνδεχόμενον Q 6 ὅτι bis Q 7 ἀτελὴς καὶ δείξομεν P 11. 12 ἀντιστρόφως P 12 ἐν τῷ Περὶ ἑρμ.] c. 13 p. 22b4 sq. ante τοῦτο add. εἰ P 13 ὅπου om. V 14 τὸ prius PQ: τοῦ Vt an ⟨πρὸς⟩ τῷ? 16 ἔτι δὴ τῷ ἐνδεχομένῳ V 19 ἑρμηνείης Q 22 an ⟨ὅτι⟩ ὡς? post γὰρ add. ὅτι ὁ P 25 τὸ] τί Q καὶ ὁ prius om. P 26 δῆλον P ἄλλοις P ὑπεστρωμμένος Q 28 προσδεξόμεθα Q ante ἐν add. ἄτοπον QVt δὲ P: γὰρ Q: om. Vt 29 διαλαμβάνειν V 29. 30 συμβαλομένης Q 30 συλλογισμοῦ P: συλλογισμὸν t 31 ἐνθάδε P 32 post δῆλον add. οὖν Q ἀτελὲς V ἔστιν Q 33 πραγματία V δὲ om. P 34 ἐμνήσθην Q οὖν om. Vt

ὅτι τὸν ὑπάρχοντα προσέθηκε δηλῶν τὰς ἄνευ τρόπου προτάσεις· οὕτω γὰρ XIII r
τὸ εἶναι εἴωθε καλεῖν. ἀμέλει γοῦν ἐν τῷ Περὶ ἑρμηνείας, πρὶν ἢ ὅλως 6
περὶ τρόπου διαλεχθῆναι ἢ περὶ προτάσεως ὅλως, μέλλων παραδιδόναι τὰς
ἀντιφατικῶς ἀντικειμένας καταφάσεις καὶ ἀποφάσεις οὕτω φησὶν "ἐπεὶ δὲ
5 ἔστι καὶ τὸ ὑπάρχον ἀποφαίνεσθαι ὡς μὴ ὑπάρχον καὶ τὸ μὴ ὑπάρχον
ὡς ὑπάρχον", τουτέστιν 'ἐπειδὴ καὶ τὸ ὂν ἔστιν ἀποφαίνεσθαι μὴ ὂν καὶ
τὸ μὴ ὂν ὄν'. ὥστε τὸ ὑπάρχον ἀντὶ τοῦ ὄντος παρέλαβε. δέδεικται ἄρα ὅτι
τὰς ἄνευ τρόπου προτάσεις διὰ τοῦ ὑπάρχοντος δηλοῖ τὰς τὸ ἔστιν ἐχούσας 10
εἴτε δυνάμει εἴτε ἐνεργείᾳ. εἰ δέ τις εἴποι ὅτι ἐκεῖ περὶ πασῶν τῶν προ-
10 τάσεων διελέγετο, ψευδῶς ἐρεῖ· προελθὼν γὰρ καὶ γενόμενος ἐν ταῖς μετὰ τρό-
που προτάσεσι τὸ αὐτὸ ζητεῖ λέγων οὕτως "τούτων δὲ διωρισμένων σκεπτέον
ἐφεξῆς ὅπως ἔχουσιν αἱ καταφάσεις ⟨καὶ ἀποφάσεις⟩ πρὸς ἀλλήλας αἱ τοῦ δυνα-
τὸν εἶναι καὶ μὴ δυνατὸν εἶναι"· ὡς εἴγε περὶ πασῶν εἰρήκει, οὐκ ἂν ἐδεήθη
τοῦ νῦν λόγου. ἄλλως τε εἰ μὴ οὕτω νοήσομεν, συμβήσεται τὸν φιλόσοφον,
15 ὡς ἤδη ἡμῖν εἴρηται, ἢ ἐν τῷ Περὶ ἑρμηνείας ἐλλιπῶς εἰρηκέναι ἢ ἐνταῦθα 15
περιττολογεῖν. καὶ ὅτι ἑπόμενα τῷ αὐτοῦ σκοπῷ λέγομεν, μαρτυρεῖ καὶ
ἐνταῦθα τὰ παρ' αὐτοῦ εἰρημένα· λέγει γὰρ οὕτως ἐπεὶ δὲ πᾶσα πρό-
τασίς ἐστιν ἢ τοῦ ὑπάρχειν καὶ τὰ ἑξῆς. ὥστε εἰ πᾶσα, δῆλον ὅτι
καὶ αἱ ἄνευ τρόπου προτάσεις· εἰ γὰρ τῶν μετὰ τρόπου προτάσεων μόνων 20
20 ἐβούλετο παραδοῦναι παραδείγματα, οὐκ ἂν ἔλεγε πᾶσα.

Πρὸς τούτοις ζητῆσαι ἄξιον διὰ ποίαν αἰτίαν τοιαύτῃ τάξει προτάσεων
ἐχρήσατο ὁ Ἀριστοτέλης καὶ προτάττει μὲν τὴν καθόλου ἀποφατικήν, δευτέραν
δὲ τίθησι τὴν καθόλου καταφατικήν, τρίτην δὲ τὴν μερικὴν καταφατικήν,
τετάρτην δὲ τὴν μερικὴν ἀποφατικήν. καὶ πρότερον ζητήσωμεν τίνος χάριν
25 ἡ καθόλου ἀποφατικὴ προτέτακται τῆς καθόλου καταφατικῆς καίτοι τιμιω-
τέρας οὔσης. ἐροῦμεν οὖν ὅτι οὐ καθὸ ἀπόφασις προτετίμηται τῆς κατα- 25
φάσεως, ἀλλὰ καθὸ αὐτὴ μὲν πρὸς ἑαυτὴν ἀντιστρέφει, ἡ δὲ καθόλου κατα-
φασις οὐκέτι πρὸς ἑαυτὴν ἀλλὰ πρὸς τὴν μερικὴν καταφατικήν. καὶ τίνος
χάριν μὴ προτέτακται τῆς καθόλου καταφατικῆς μὴ ἀντιστρεφούσης πρὸς
30 ἑαυτὴν ἡ μερικὴ καταφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφουσα; ἐροῦμεν ὅτι, εἰ
καὶ πρὸς ἑαυτὴν ἀντιστρέφει ἡ μερικὴ καταφατική, ἀλλ' οὖν διὰ τὸ καθόλου

1 post ὑπάρχοντα add. τρόπον P 2 τὸ ἐστιν P ἐν τῷ Περὶ ἑρμ.] c. 6 p. 17a26 ἢ om. Q 3 διαλεχθῆ Qt παραδοῦναι QVt 5 ἀποφαίνεσθαι post ἔστιν collocant Vt: mrg. Q1 7 post μὴ ὂν add. ὡς P τοῦ om. Qt 8 εἶναι P: ἔχειν V 9 εἴτέ τις V 10 ψεῦδος P 11 ζητεῖν V λέγων] c. 12 p. 21a34 12 ὅπως P Arist.: πῶς QVt καὶ ἀποφάσεις ex Arist. (f) addidi τὸ P 13 περὶ om. Q 14 νοήσομεν corr. P1Q1: νοήσωμεν Vt, pr. PQ 15 ἢ prius om. P ἐλλειπῶς PVt, ut videtur pr. Q 16 καὶ ὅ ἔτι ἑπόμενα τὸ P αὐτῷ QVt 17 παρ' bis, om. τὰ V λέγει γὰρ οὕτως om. Q δὴ Q 18 καὶ τὰ ἑξῆς] ἢ τοῦ ἐξ ἀνάγκης—ἀδιόριστοι (α1—5) t εἰ] ἡ V 19 αἱ om. Vt προτάσεις Q: πρότερον Vt: om. P εἰ om. V γὰρ—μόνων om. Vt 20 ἠβούλετο V παραδείγματα om. Vt πᾶς P 22 ἀποφαντικήν Qt 22—24 δευτέραν—ἀποφατικήν om. V 24 ἀποφατικήν om. Q ζητήσομεν Vt 25 καταφατικῆς] κατα supra ἀπο scr. V 26 post οὔσης add. τῆς καταφάσεως ἤπερ τῆς ἀποφάσεως P 28 οὐκέτι QVt: οὐκ ἀντιστρέφει P 29. 30 πρὸς ἑαυτὴν om. V 31 οὖν γε τῷ V

ἡ ἑτέρα προτετίμηται. τελευταία δὲ πασῶν ὑπόκειται ἡ μερικὴ ἀπόφασις XIIIr
εἰκότως διὰ τὸ πρὸς μηδεμίαν ὡρισμένως αὐτὴν ἀντιστρέφειν. πρότερον δὲ 30
ὁ φιλόσοφος διὰ παραδειγμάτων δείκνυσι τὰς ἀντιστροφὰς τῶν προτάσεων
καὶ τότε διὰ καθολικῶν ἀποδείξεων.

5 Ἐπεὶ δὲ πᾶσα πρότασίς ἐστιν. ἐνταῦθα πάσης προτάσεως τὸ
εἶδος παραδίδωσι, καὶ σκεπτέον οὕτως· εἰσὶν οἱ τρόποι τρεῖς, ὑπάρχων,
ἀναγκαῖος, ἐνδεχόμενος (λεγέσθω δὲ πρὸς σαφήνειαν καὶ ὁ ὑπάρχων τρόπος)·
ὁ γὰρ ἀδύνατος ἐμπεριέχεται τῷ ἀναγκαίῳ καὶ ὁ δυνατὸς τῷ ἐνδεχομένῳ.
ὄντων οὖν τῶν τρόπων τριῶν καὶ πολλαπλασιαζομένων κατὰ τὸ καταφατικὸν 35
10 καὶ ἀποφατικὸν γίνονται αἱ πᾶσαι ἕξ, αἵτινες πολλαπλασιαζόμεναι κατὰ τὸ
ποσόν, τὸ καθόλου, τὸ μερικόν, τὸ ἀδιόριστον, ποιοῦσι τὰ πάντα προτάσεων
εἴδη δεκαοκτώ. τοσαῦτα οὖν εἰσιν εἴδη προτάσεων καὶ οὔτε πλείονα οὔτε
ἐλάττονα.

Καθ' ἑκάστην πρόσρησιν ἀντὶ τοῦ 'καθ' ἑκάστην τρόπου προσθήκην'.

15 p. 25a5 Τὴν μὲν ἐν τῷ ὑπάρχειν καθόλου στερητικὴν ἀνάγκη
τοῖς ὅροις ἀντιστρέφειν.

Τὴν καθόλου ἀποφατικὴν σημαίνει ὑπάρχουσαν. ἀνάγκη δὲ τοῖς 41
ὅροις ἀντιστρέφειν σημαίνει τὴν ἁπλῆν ἀντιστροφήν· ἐν μόνοις γὰρ αὕτη
τοῖς ὅροις ἀντιστρέφει.

20 p. 25a7 Τὴν δὲ κατηγορικὴν ἀντιστρέφειν μὲν ἀναγκαῖον.

Κατὰ τὸ σύνηθες αὐτῷ σύντομον ἦθος τὴν καθόλου καταφατικὴν ὑπάρ-
χουσαν σημᾶναι βουλόμενος τὰ κοινὰ παρεί, ἅπερ εἶχε τῇ ἀποφατικῇ, τὸ
ἴδιον μόνον προσέθηκε, λέγω δὴ τὸ καταφατικόν.

p. 25a14 Πρῶτον μὲν οὖν ἔστω στερητικὴ καθόλου ἡ Α Β πρότασις.

25 Δείξας ὅπως ἑκάστη τῶν προτάσεων ἀντιστρέφει διὰ παραδειγμάτων, ἵνα 50
μή τις οἰηθῇ διὰ τὴν ὕλην τῶν παραληφθεισῶν προτάσεων ἢ δι' ἕτερόν τι
εὐοδῆσαι αὐτῷ τὸν περὶ τῶν ἀντιστροφῶν λόγον, ἄδηλον δὲ εἶναι μή πώς
ἐστί τινα παραδείγματα ἐν οἷς αἱ εἰρημέναι ἀντιστροφαὶ χώραν οὐκ ἔχουσι,
διὰ τοῦτο ἐνταῦθα καθολικοὺς κανόνας παραδίδωσι τὰ στοιχεῖα παραλαμ-
30 βάνων ἀντὶ τῶν ὅρων, ἵνα ἕκαστος οἷαν | βούλοιτο ὕλην ἀντὶ τῶν στοιχείων XIIIv
παραλαμβάνοι δειχθέντος καθολικῶς τε καὶ ἀόλως ἐπὶ τῶν στοιχείων τοῦ

3 τὰς om. V 4 καθολικῆς ἀποδείξεως (ς e ν corr.) V 5 ἐστιν om. Q ἐντεῦθεν V 6 οὕτως superscr. V εἰσὶν P: ὑπάρχουσιν QVt ὑπάρχων om. Vt 10 ἅπασαι, om. αἱ QVt πολλαπλασιζόμεναι Q 12 δέκα καὶ ὀκτώ Q οὖν om. P 12. 13 πλέον—ἔλαττον P 15 post μὲν add. οὖν P στερητικὴν καθόλου pr. P 17. 18 ὑπάρχουσαν—σημαίνει om. Q 18. 19 σημαίνει—ἀντιστρέφει mrg. P 24 post ἡ add. τὸν Qt 26 οἰηθείη Q παραλειφθεισῶν P 27 τῶν περὶ—λόγων P τῶν om. Q 28 εἰρηκέναι V 31 παραλαμβάνει PQ τε om. P

λόγου. τὸν μὲν γὰρ καθόλου λόγον ἐλέγχει μὲν καὶ ἓν παράδειγμα, ὡς ἤδη XIIIv
εἴρηται, κατασκευάζει δὲ ἢ ἡ διὰ πάντων τῶν κατὰ μέρος διέξοδος, ὅπερ ἐστὶν
ἄπειρον καὶ ἀδύνατον, ἢ ἡ διὰ καθολικοῦ κανόνος πίστις· ὅπερ ποιεῖ νῦν
διὰ τῶν στοιχείων διδοὺς ἑκάστῳ, ὥσπερ εἴρηται, ἐπ' ἐξουσίας χρῆσθαι
5 καὶ ὑποβάλλειν ἀντὶ τῶν στοιχείων οἵας ἂν βούληται ὅλης ὅρους. εἰ οὖν
μηδενὶ τῶν Β τὸ Α ὑπάρξει, οὐδὲ τῶν Α οὐδενὶ ὑπάρξει τὸ Β· εἰ 5
γὰρ ἀντὶ μὲν τοῦ Α λάβωμεν πτηνόν, ἀντὶ δὲ τοῦ Β ἄνθρωπον, εὑρήσομεν ὅτι
ὥσπερ τὸ πτηνὸν οὐδενὶ ἀνθρώπῳ ὑπάρχει, οὕτως ἔμπαλιν οὐδεὶς ἄνθρωπος
πτηνῷ ὑπάρχει. πότε δὲ γίνεται ἕκαστον τῶν στοιχείων ὑποκείμενον, ἐκ
10 τοῦ προσδιορισμοῦ ἐπιγνωσόμεθα· ᾧ γὰρ ἂν ὁ προσδιορισμὸς προσκέηται,
τοῦτό ἐστιν ὑποκείμενον, τὸ δὲ ἕτερον δῆλον ὅτι κατηγορούμενον.

p. 25a16 Εἰ γὰρ τινί, οἷον τῷ Γ, οὐκ ἀληθὲς ἔσται τὸ μηδενὶ τῶν 10
Β τὸ Α ὑπάρχειν.

Κατ' εὐθεῖαν γυμνάσας τὸν λόγον ἐντεῦθεν λοιπὸν καθ' ὑπόθεσιν λαμβάνει
15 καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ κέχρηται προσχρώμενος τῷ ἀξιώματι τῆς ἀντι-
φάσεως· ἴσμεν γὰρ ὅτι ἐπὶ τῶν ἀντιφατικῶς ἀντικειμένων, ὃ [δ'] ἂν δια-
φύγῃ τὴν ἀπόφασιν, τοῦτο ἐν τῇ καταφάσει εὑρεθήσεται. εἰ οὖν, φησί,
μὴ συγχωρήσει τις πρὸς τὴν καθόλου ἀπόφασιν γενέσθαι τὴν ἀντιστροφήν,
τουτέστι πρὸς ἑαυτήν, ἀνάγκη πάντῃ τε καὶ πάντως πρὸς τὴν μερικὴν
20 κατάφασιν γενέσθαι τὴν ἀντιστροφὴν οὕτως· τὸ Α οὐδενὶ τῶν Β ὑπάρχει· 15
λέγω, φησίν, ὅτι καὶ τὸ ἀνάπαλιν οὐδὲ τὸ Β οὐδενὶ τῶν Α ὑπάρξει· εἰ
γὰρ τοῦτο, φησί, ψεῦδος, ἀληθὲς δῆλον ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον
αὐτῷ τὸ τινί. ἔστω οὖν, φησί, τὸ Β τινὶ τῶν Α ὑπάρχειν. ὑποκείσθω
οὖν, φησί, τὸ μέρος τοῦ Α ᾧ ὑπάρχει τὸ Β, οἷον τὸ Γ. εἰ δὲ τοῦτο, τὸ
25 Γ ἄρα κοινὸν μέρος ἐστὶ τοῦ τε Α καὶ τοῦ Β, τοῦ μὲν Β, καθὸ κατηγορεῖται
κατ' αὐτοῦ· τὸ γὰρ κατηγορούμενον περιεκτικόν ἐστιν ἐκείνου οὗ κατηγορεῖται,
τὸ δὲ περιεχόμενον μέρος ἐστὶ τοῦ περιέχοντος, ὡς ὁ ἄνθρωπος τοῦ ζῴου 20
μέρος· τὸ γὰρ ζῷον τοῦ ἀνθρώπου κατηγορεῖται καὶ περιέχει αὐτόν· ἦν δὲ
τὸ αὐτὸ τοῦτο καὶ τοῦ Α μέρος, ἐπειδὴ ἡ ὑπόθεσις τοῦτο παρέσχεν, ὅτι
30 τὸ Γ ὑπάρχει μέρος τοῦ Α. εἰ τοίνυν τὸ Γ καὶ τοῦ Α ἐστὶ μέρος [καὶ

1 τὸ Qt γὰρ om. Q λόγος t 2 εἴρηται] p. 34,27 ἢ P: om. QVt
τῶν om. V 3 ἡ superscr. V καθόλου Q post καθολ. add. τινος P
4 διὰ om. P ὡςπερι V itemque vs. 8 5 βούλοιτο Q 6 τῷ β̄ PVt (i m n, pr. C)
ὑπάρχει pr. l. Arist. τῷ α̅ Vt (m n) 8 post οὕτως add. καὶ P 10 πρόσκεπ-
ται: V πρόσκειται t 11 ὑποκείμενος V κατηγορεῖται Vt 12 post γὰρ add.
τὸ V (Marc. 231) τὸ e τῷ corr. Q¹ 12. 13 τῷ β̄ Q (m, corr. B)
14 γυμνώσας P ἐντεῦθεν λοιπὸν om. Vt 15 προσχρωμένωι P 16 ἴμεν P
δ' delevi 16. 17 διαφύγῃ P: φύγοι QVt 17 φημὶ V 18 οὐ V: om. t
συγχωρεῖ PV: συγχωρῇ t 19 παντί τε Vt 20 καταφατικὴν P τῷ β̄ V.
pr. Q 22 post ψεῦδος add. τι P 22. 23 αὐτῶι ἀντικείμενον P 23 fort.
ὑπάρχον 24 post τὸ β̄ add. καὶ τοῦ β̄ t τοῦ γ' t 25 καθ' οὗ t
27 ἐστὶ μέρος V 29 ἡ superscr. V 30 γ̄ prius V: β̄ PQt ὑπάρχειν t
τὸ α μέρος ἐστιν P 30. p. 48,1 καὶ τοῦ Β delevi

τοῦ B], περιέχεται τὸ Γ ὡς ὑπὸ ὅλου μέρος καὶ ὑπὸ τοῦ A δι' αὐτὸ τοῦτο· XIII^{v}
κατηγορηθήσεται ἄρα τὸ A κατὰ τοῦ Γ ὄντος μέρους τοῦ B. ὑπέκειτο δὲ
ἐξ ἀρχῆς καὶ μηδενὶ ὑπάρχειν τὸ A τῷ B· τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ
οὐδενὶ ὑπάρξει καὶ τινί, ὅπερ ἄτοπον. ἵνα δὲ καὶ ἐπὶ ὕλης ὁ λόγος σαφέ- 25
5 στερος γένηται, εἴπωμεν οὕτως· ζῷον οὐδενὶ λίθῳ ὑπάρχει· λέγω ὅτι καὶ
λίθος οὐδενὶ ζῴῳ ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδός ἐστιν, ἀληθὲς πάντως τὸ
τινὶ ζῴῳ λίθον ὑπάρχειν. ἔστω οὖν μέρος τοῦ ζῴου, οἷον ὁ ἵππος, ᾧ
ὑπάρχει ὁ λίθος, ὥστε εἶναι τὸν ἵππον λίθον. εἰ τοίνυν τι ζῷον λίθος,
οἷον ὁ ἵππος, [καὶ λίθος τι ζῷόν ἐστιν ὁ αὐτός] ἐλέγετο δὲ καὶ μηδὲν ζῷον
10 εἶναι λίθον, καὶ οὐδὲν ἄρα ζῷον λίθος καὶ τὶ ζῷον λίθος, ὅπερ ἄτοπον.
οὕτω μὲν οὖν ὁ Ἀριστοτέλης δείκνυσι τὴν καθόλου ἀποφατικὴν πρὸς ἑαυτὴν 30
ἀντιστρέφουσαν. οἱ δὲ τοῦ Ἀριστοτέλους ἑταῖροι οἱ περὶ τὸν Θεόφραστον
καὶ Εὔδημον σαφέστερον καὶ ἁπλούστερον τὸ αὐτὸ τοῦτο κατασκευάζουσι. φασὶ
γὰρ ὅτι, εἰ τὸ A κατὰ μηδενός ἐστι τοῦ B, πάντων τῶν μερῶν αὐτοῦ κεχώ-
15 ρισται· τὸ δὲ κεχωρισμένον κεχωρισμένου κεχώρισται· ὥστε καὶ τὸ B
οὐδενὶ τῷ A ὑπάρξει. τὸ γὰρ κεχωρισμένον τῶν πρός τί ἐστι· τινὸς γάρ
ἐστι κεχωρισμένον· τὰ δὲ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται· εἰκότως ἄρα
καὶ τὸ B οὐδενὶ τῷ A ὑπάρχει. λαμβάνονται δέ τινες τῆς ἀντιστροφῆς
ὡς μὴ ἀληθευούσης, καὶ διὰ παραδειγμάτων ἐλέγχειν πειρῶνται τὸν λόγον 35
20 λέγοντες οὕτως· οὐδεὶς τοῖχος ἐν παττάλῳ ἐστί· τοῦτο ἀληθές ἐστιν· ἄρα
οὖν. φασί, καὶ ἀντιστρέψαντες ὑγιῶς ἀποφαινόμεθα 'οὐδεὶς πάτταλος ἐν
τοίχῳ'; ἀλλὰ τοῦτο ψεῦδος. καὶ πάλιν οὐδεμία κολόκυνθα μάχαιραν τέμνει·
τοῦτο πάλιν ἀληθές· ἡ δὲ ἀντιστροφὴ οὐκ ἀληθὴς 'οὐδεμία μάχαιρα κολό-
κυνθαν τέμνει'. καὶ πάλιν οὐδεὶς κέραμος ἐν οἴνῳ· ἀλλ' ἡ ἀντιστροφὴ οὐκ
25 ἀληθὴς 'οὐδεὶς οἶνος ἐν κεράμῳ ἐστί'. φαμὲν οὖν πρὸς ταῦτα ὅτι, εἰ ὑγιῶς
ποιησόμεθα κἀπὶ τούτων τὴν ἀντιστροφὴν ὅλον τὸν κατηγορούμενον ἀντιστρέ- 40
φοντες, εὑρήσομεν καὶ ἐν τούτοις ἀληθεύοντα τὸν λόγον. συνέβη γὰρ ὁ παρα-
λογισμὸς τῷ μὴ ὅλον τὸν κατηγορούμενον ἐν τῇ ἀντιστροφῇ ποιῆσαι ὑπο-
κείμενον· εἰ γὰρ ὅλον αὐτὸν ἀντιστρέψομεν, εὑρεθήσεται ὑγιὴς ἡ ἀντιστροφή.
30 τίς οὖν ὁ ὑποκείμενος καὶ τίς ὁ κατηγορούμενος ἐν τῷ λόγῳ τῷ λέγοντι
'οὐδεὶς τοῖχος ἐν παττάλῳ ἐστίν'; ὑποκείμενος μὲν ὁ τοῖχος, κατηγορού-
μενος δὲ τὸ ἐν παττάλῳ ὄν. τοῦτο οὖν ὅλον ἐν τῇ ἀντιστροφῇ ποιήσομεν

1 post περιέχεται add. δὲ V τὸ γ̄ καὶ ὑπὸ τοῦ ᾱ καὶ ὑπὸ τοῦ β̄ ὡς ὑπὸ ὅλον μέρος καὶ ὑπὸ τοῦ ᾱ P καὶ om. V 2 μέρος PVt 4 ὅλης V 5 εἴπομεν t 6 ἐστιν] τι P 7 ζῴῳ (sl ζῴῳ superscr. Q¹) QV: ζῷον P: ζῴων t λίθος ὑπάρχει Vt ὁ om. Vt 8 λίθον ἵππον V 9 ὁ prius om. P καὶ—ὁ αὐτός delevi ante λίθος add. ὁ t τις V post αὐτὸς add. οὗτος P 10 λίθον ante εἶναι collocat Q: λίθος Vt 13 post καὶ prius add. τὸν Q ἄδημον V τὸ αὐτὸ om. QVt 14 ὅτι superscr. V 15 τὸ δὲ— 16 πρός τί ἐστι in ras., partim in mrg. V post κεχωρισμένον delevit τῶν πρός τι—κεχωρισμένον e vs. 16. 17 illata V κεχώρισται e κεχωρισμένον corr. Q¹ 16 τοῦ ᾱ V 17 λέγονται V 18 δὲ om. P 20 πασσάλῳ Q: πατάλῳ V ἄρα libri 21 φασί scripsi: φησι PQt: ἐστι V πάσσαλος Q: πάταλος V 23 οὐκ ἀληθές t 24 ἡ δὲ, om. ἀλλ' Q 25 ἀληθές t 26 ποιήσομεν Q καὶ ἐπὶ τούτων ποιησόμεθα P 27 ἀληθῆ QVt 28 τῷ Q: τὸ PVt 29 ἀντιστρέψωμεν Vt 31 τεῖχος utrobique V: τύχος P 31. 32 κατηγορούμενον P 32 ante παττ. add τῷ P εἶναι V ποιήσωμεν P

ὑποκείμενον, οὐδὲν ἐν παττάλῳ ὂν τοῖχός ἐστι, καὶ ἔστιν ἀλθὴς ὁ λόγος. XIII[v]
ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων· οὐδεμία κολόκυνθα μάχαιραν τέμνει· κατη- 46
γορεῖται τὸ 'μάχαιραν τέμνει'· ἀντιστρέφοντες οὖν οὕτως φήσομεν 'οὐδὲν μάχαι-
ραν τέμνον κολόκυνθά ἐστι'. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως· οὐδεὶς κέραμος
5 ἐν οἴνῳ ἐστίν, καὶ οὐδὲν ἐν οἴνῳ ὂν κέραμός ἐστιν.

Ἀποροῦσι δέ τινες πρὸς τὴν Ἀριστοτελικὴν δεῖξιν τῆς ἀντιστροφῆς τῆς καθόλου ἀποφατικῆς, πρῶτον μὲν ὅτι ἐν τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἐχρήσατο τῇ μερικῇ καταφατικῇ ὡς ἀντιστρεφούσῃ πρὸς ἑαυτὴν τούτου μήπω δεδειγ- 50
μένου· εἶπε γὰρ 'εἰ γὰρ [ἐν] τινὶ τὸ Β τῶν Α, οἷον τῷ Γ, οὐκ ἀληθὲς ἔσται
10 τὸ μηδενὶ τῶν Β τὸ Α ὑπάρχειν· τὸ γὰρ Γ τῶν Β τί ἐστιν ᾧ ὑπάρχει τὸ Α'. δεύτερον δὲ ὅτι τῇ διαλλήλῳ δείξει ἐχρήσατο· εἰ γὰρ ἐν τῇ δείξει τῆς καθόλου ἀποφατικῆς κέχρηται τῇ μερικῇ καταφατικῇ καὶ ἐν τῇ δείξει τῆς μερικῆς καταφατικῆς τῇ καθόλου ἀποφατικῇ, δῆλον ὅτι διάλληλος ἡ δεῖξις. καὶ τρίτον ὅτι τῇ εἰς ἀδύνατον ἀπαγωγῇ κέχρηται μηδὲν ἡμᾶς προ-
15 διδάξας περὶ αὐτῆς. λέγομεν οὖν πρὸς τὸ τελευταῖον | πρῶτον, ὅτι οὐδὲν XIV[r]
θαυμαστὸν εἰ μὴ προδιδάξας περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς κέχρηται αὐτῇ, ἐπεὶ καὶ οἱ γεωμέτραι κεχρημένοι πολλάκις αὐτῇ ἐν τοῖς θεωρήμασιν οὐδὲν περὶ αὐτῆς διδάσκουσιν· ἀρκοῦνται γὰρ ταῖς ἐννοίαις ἡμῶν αἷς ἔχομεν φυσικῶς περὶ αὐτῆς, ἐπεὶ καὶ ἐν τῇ συνηθείᾳ πολλάκις αὐτοφυῶς
20 αὐτῇ κεχρήμεθα. πρὸς δὲ τοὺς λέγοντας, ὅτι ἐν τῇ δείξει τῆς καθόλου ἀποφατικῆς ἐχρήσατο τῇ μερικῇ καταφατικῇ ὡς ἀντιστρεφούσῃ μήπω τοῦτο 5
διδάξας, ἐκεῖνό φαμεν, ὅτι οὐ κατεχρήσατο αὐτῇ ὡς ὁμολογουμένῃ, ἀλλὰ τῇ δι' ἐκθέσεως δείξει ἐχρήσατο, τουτέστι τῇ διὰ τῶν καθ' ἕκαστα· οὐ γὰρ εἶπεν οὕτως 'εἰ γὰρ τινὶ τῷ Α τὸ Β, καὶ τὸ Α τινὶ τῷ Β', ἀλλὰ πῶς:
25 'εἰ γὰρ τινὶ τῶν Α τὸ Β, καὶ τὸ Β τῷ Γ', ὥστε τῇ ἐπαγωγικῇ ἐχρήσατο δείξει. τούτου λυθέντος λέλυται καὶ τὸ λοιπόν· οὐ γὰρ τῇ διαλλήλῳ δείξει ἐχρήσατο. τὴν μὲν γὰρ μερικὴν καταφατικὴν διὰ τῆς καθόλου ἀποφατικῆς δείκνυσιν ὡς ὁμολογουμένης διὰ τὸ προδιδάξαι περὶ αὐτῆς· τὴν δὲ καθόλου 10
ἀποφατικὴν οὐκέτι διὰ τῆς μερικῆς καταφατικῆς ἔδειξε (πῶς γὰρ ἔμελλεν
30 ἀγνοούντων ἡμῶν εἴγε ὅλως ἀντιστρέφει πρὸς ἑαυτὴν ἡ μερικὴ καταφατική;), ἀλλ' ὡς εἴρηται, τῇ δι' ἐκθέσεως δείξει ἐχρήσατο.

p. 25ª17 Εἰ δὲ παντὶ τὸ Α τῷ Β, καὶ τὸ Β τινὶ τῷ Α.

Ἀποδείξας τὴν ἀντιστροφὴν τῆς καθόλου ἀποφατικῆς νῦν ἀκολούθως 15
μετέρχεται ἐπὶ τὴν καθόλου καταφατικήν, καὶ ἀποδείκνυσιν αὐτὴν μὴ ἀντι-

---

1 post οὐδὲν add. τὸ V 2 κἀπὶ Vt: ἐπὶ P 2. 3 ante κατηγορ. add. καὶ Q
κατηγορεῖται—τέμνει om. V 3 φήσωμεν Pt οὐδὲ ἓν QVt 3. 4 μάχαιρα V
5 καὶ om. QVt 6 δεῖξιν om. P 8 ἀντιστρέφουσι t 9 ἐν ut e
vs. 11 illatum delevi 10 τί om. Q 11 τὸ β P τῇ prius om. P
δι' ἀλλήλων V 14 τῆι iterat P 15 ὅτι om. V 18 ἡμῶν om. V
22 δείξας V οὐκ ἀπεχρήσατο PVt 23 καθέκαστον V 24 τὸ—τῶ—τῶ—τὸ Q
25 τῶν α τὸ V: τὸ α τῷ PQt καὶ τὸ β om. P τῶν γ̄ V: οἷον τὸ γ̄ P
τῇ post ἐχρήσατο collocat Q 26 δείξειν (ante τούτου) V δι' ἀλλήλων V
28 δὲ om. t 31 δείξει] χρήσει V 32 τινὶ τῶν t (n) 34 ἀποφατικήν Q

στρέφειν πρὸς ἑαυτὴν ἀλλὰ πρὸς τὴν μερικὴν καταφατικήν. καὶ φησὶν οὕτως· XIVr
εἰ παντὶ τὸ Α τῷ Β, καὶ τὸ Β τινὶ τῷ Α. εἶτα πάλιν ἐκ τοῦ ἀξιώματος τῆς ἀντιφάσεως τῇ εἰς ἄτοπον ἀπαγωγῇ δείκνυσιν οὕτως ἔχουσαν τὴν ἀντιστροφήν. εἰ γὰρ μή τινί, δῆλον ὅτι οὐδενὶ τὸ Β τῷ Α. εἰ δὲ οὐδενὶ τὸ Β τῷ Α, οὐδὲ τὸ Α οὐδενὶ τῷ Β· ἐδείχθη γὰρ ἡ καθόλου ἀποφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφουσα. ὑπέκειτο δὲ καὶ παντὶ τὸ Α τῷ Β· τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐδενὶ ὑπάρξει, ὅπερ ἄτοπον. ἔστωσαν ἐπὶ ὑποδείγματος ὅροι ζῷον καὶ ἄνθρωπος· εἰ τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου, καὶ ὁ ἄνθρωπος τινὶ ζῴῳ ὑπάρξει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον, λέγω δὲ τὸ οὐδενί· οὐκοῦν ὁ ἄνθρωπος οὐδενὶ ζῴῳ ὑπάρχει. ἐδείχθη δὲ αὕτη ἀντιστρέφουσα πρὸς ἑαυτήν· οὐκοῦν καὶ τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ. ἦν δὲ καὶ παντί· τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐδενί. ἐπιχειροῦσι δὲ πάλιν καὶ ταύτην διὰ παραδειγμάτων τινὲς ἐλέγχειν τὴν ἀντιστροφὴν λέγοντες οὕτως· πᾶς γέρων νέος ἦν πρότερον· τοῦτο ἀληθές· ἆρα οὖν ἀληθές ἐστι καὶ ἀντιστρέψαντας εἰπεῖν 'τὶς νέος πρεσβύτης ἦν'; οὐδαμῶς. καὶ πάλιν πᾶσα γυνὴ παρθένος ἦν πρότερον· ἀλλ' ἡ ἀντιστροφὴ οὐκ ἀληθὴς 'τὶς παρθένος γυνὴ ἦν'. τὸ δὲ αὐτὸ καὶ πρὸς τούτους ῥητέον ὃ καὶ πρὸς τοὺς ἄλλους· ἀντιστρέφοντες γὰρ ὅλον τὸν κατηγορούμενον ὀρθῶς τὴν ἀντιστροφὴν ποιησόμεθα. ἐν τῇ τοίνυν προτάσει τῇ λεγούσῃ 'πᾶς γέρων νέος ἦν' ἐστὶν ὑποκείμενος μὲν ὁ γέρων ἔχων συσσημαινόμενον αὐτῷ τὸν ἐνεστῶτα χρόνον· τί γάρ φαμεν; ὅτι πᾶς γέρων ὢν ἐπὶ τοῦ παρόντος· ὁ δὲ κατηγορούμενος ὁ νέος μετὰ χρόνου παρῳχημένου· νέος γὰρ ἦν. οὕτως οὖν ποιησόμεθα τὴν ἀντιστροφὴν φυλάττοντες ἀκεραίους τοὺς ὅρους· τὶς νέος ὢν πρότερον πρεσβύτης ἐστίν, καὶ τὶς παρθένος οὖσα πρότερον γυνή ἐστιν.

p. 25a20 Εἰ γὰρ τὸ Α τινὶ τῶν Β ὑπάρχει.

Περὶ τῆς μερικῆς καταφατικῆς νῦν βουλόμενος κατασκευάσαι, ὅτι ἀντιστρέφει πρὸς ἑαυτήν, κέχρηται πάλιν τῇ καθόλου ἀποφατικῇ εἰς ἄτοπον ἀπάγων τὸν λόγον ὡς ἤδη δείξας ἀντιστρέφουσαν αὐτὴν πρὸς ἑαυτήν. ἔστωσαν δὲ ὅροι ὡς ἐπὶ παραδείγματος ἄνθρωπος καὶ λευκόν· εἰ τοίνυν ἄνθρωπος τινὶ λευκῷ ὑπάρχει, καὶ λευκὸν τινὶ ἀνθρώπῳ ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐδενὶ ἀνθρώπῳ λευκὸν ὑπάρχειν· οὐκοῦν καὶ ἄνθρωπος οὐδενὶ λευκῷ ὑπάρχει· ἀντιστρέφει γάρ, ὡς δέδεικται. ἦν δὲ καὶ

---

2 τῶι ᾱ τὸ P 3 τὴν—ἀπαγωγήν P: τῆς—ἀπαγωγῆς V 5 τῶν β̄ (ante ἐδ.) P 6 ἀντιστρέφουσαν t τὸ ᾱ τῷ Q: τῷ ᾱ τὸ Pt: τὸ ᾱ τὸ V 7 ὑπάρχει Qt 9 ἀληθῶς V 11 αὐτῇ QVt 12 καὶ alt. om. P 13 καὶ ταύτην πάλιν V 15 οὖν PVt: εἰ Q ἀντιστρέψαντες Q 17 τούτοι sic P 18 ὃ om. Q πρὸς τοὺς ἄλλους] cf. p. 48,25 sq. 19 πρώτη Q 20 ἦν] ἐστὶν V συσημαινον sic P 21 ὢν om. P 23 ἀκαιρέους P 23. 24 τὶς—τὶς Q: πᾶς—πᾶσα PVt 24 νέον P 26 γὰρ t Arist.: δὲ PQV τῷ Qt (m f) ὑπάρχει om. t Arist. 27 νῦν V: ἢν Qt: ἦν P 28 καθόλου superscr. V 29 διδάξας QVt 30 παραδειμάτων (sic) pr. P, corr. P¹ 31 λευκὸν superscr. V 32 τῷ V ὑπάρχει QVt

τινί· τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενί, ὅπερ ἄτοπον. οὕτω μὲν οὖν ἡ μερικὴ XIVʳ καταφατικὴ ἀεὶ πρὸς ἑαυτὴν ἀντιστρέφει. εἰ δὲ ποτὲ καὶ πρὸς τὴν καθόλου ἀντιστρέφει, οὐ δι' ἑαυτὴν τοῦτο πάσχει ἀλλὰ διὰ τὴν παραληφθεῖσαν ὕλην· οἷον ἄνθρωπος τινὶ ζῴῳ, καὶ ζῷον παντὶ ἀνθρώπῳ.

5 p. 25ᵃ22 Εἰ δέ γε τὸ Α τινὶ τῶν Β μὴ ὑπάρχει, οὐκ ἀνάγκη καὶ τὸ Β τινὶ τῶν Α μὴ ὑπάρχειν.

Ἐντεῦθεν τὴν μερικὴν στερητικὴν ἐξετάζει, καὶ φησὶ πρὸς μηδεμίαν 45 αὐτὴν ἀντιστρέφειν· τοῦτο δέ, διότι οὔτε πρὸς οὐδεμίαν ὡρισμένως, οὐδ' ὅτε ἀντιστρέφει ἢ πρὸς ἑαυτὴν ἢ πρὸς ἄλλην, ἐπὶ πάσης ὕλης τοῦτο ποιεῖ. 10 ἐπὶ μὲν γὰρ τῆς ἐνδεχομένης ὕλης πρὸς ἑαυτὴν ἀντιστρέφει καὶ πρὸς τὴν μερικὴν καταφατικήν· οἷον οὐ πᾶς ἄνθρωπος λευκός, καὶ οὐ πᾶν λευκὸν ἄνθρωπος, ἀλλὰ καὶ τὶ λευκὸν ἄνθρωπος. ἐπὶ δὲ τῆς ἀναγκαίας ὕλης πρὸς τὴν καθόλου καταφατικὴν ποιεῖται τὴν ἀντιστροφήν· οὐ πᾶν ζῷον ἄνθρωπος, 50 καὶ πᾶς ἄνθρωπος ζῷον. ἐπὶ δὲ τῆς ἀδυνάτου πρὸς τὴν καθόλου ἀπο- 15 φατικήν· οὐ πᾶς λίθος πτερωτός, καὶ οὐδὲν πτερωτὸν λίθος. τὸ δὲ οὐ πᾶς εἴρηται ἐπὶ τῶν τοιούτων ἐν τῷ Περὶ ἑρμηνείας, πῶς λέγεται. τὸ γὰρ 'οὐ πᾶς λίθος πτερωτός' πρὸς ἀναίρεσιν τῆς πᾶς· εἰπούσης γὰρ ἐκείνης 'πᾶς λίθος πτερωτός' αὕτη φησὶν ὅτι ψεῦδός ἐστι τὸ πᾶς καὶ ἀναιρεῖ αὐτὸ διὰ τοῦ ἀρνητικοῦ μορίου, οὐκέτι μέντοι καὶ τὸ τὶς εἰσάγει. διά τοι τοῦτο, 20 λέγω δὲ τὴν ἀοριστίαν αὐτῆς, φησὶν αὐτὴν πρὸς μηδεμίαν ἀντιστρέφειν· εἰ | μὴ γὰρ καὶ πρὸς ὡρισμένην ποιοῖτο τὴν ἀντιστροφὴν καὶ ἐπὶ πάσης XIVᵛ ὕλης, οὐ λέγεται ἀντιστρέφειν, διότι ἐπιστημονική ἐστιν ἡ τῶν φιλοσόφων διδασκαλία, ἡ δὲ ἐπιστήμη τῶν καθόλου ἐστὶ καὶ οὐχὶ τῶν μερικῶν.

p. 25ᵃ27 Τὸν αὐτὸν δὲ τρόπον ἕξει καὶ ἐπὶ τῶν ἀναγκαίων προ- 25 τάσεων.

Τοῦτό φησιν, ὅτι αἱ ἀναγκαῖαι προτάσεις ταῖς ὑπαρχούσαις ὁμοίως 6 ἀντιστρέφουσι. τίνι οὖν διαφέρουσι; τῷ τὴν μὲν τοῦ ὑπάρχειν πρότασιν ἑαυτῇ ἀρκεῖσθαι πρὸς τὴν προφοράν, οἷον Σωκράτης ὑπάρχει, τὴν δὲ ἀναγκαίαν ἐκείνης προσδεῖσθαι, οἷον Σωκράτης ἐξ ἀνάγκης ὑπάρχει. τὸ αὐτὸ 30 δὲ αἴτιον καὶ τοῦ τὴν τοῦ ὑπάρχειν προτετάχθαι τῆς ἀναγκαίας ὡς ἁπλουστέραν. τρίτη δὲ ἡ ἐνδεχομένη διὰ τὸ περὶ τὸν μέλλοντα εἶναι χρόνον. 10

2 καὶ ποτὲ V 3 παρέχει V 5 τῷ β̄ Qt (m) ὑπάρχη (η ex ει corr. P¹) P 6 τῷ α t Arist. 8. 9 οὐδ' ὅτε scripsi: οὐδ' ὅτι PVt: οὐδέποτε Q 9 ἀντιστρέφειν PV τοῦτο om. Q 12 ἀλλὰ—ἄνθρωπος om. Q 14 πᾶν ζῷον ἄνθρωπος P 15 καὶ P: om. QVt πτερωτὸν] ν ο ς corr. Q¹ λίθω (post πτερ.) V 16 περὶ τῶν Q ἐν] οὐ V ἐν τῷ Περὶ ἑρμ.] c. 7 p. 17ᵇ16 sq. 19 τοῦτοι sic V 20 δὴ Q 21 γὰρ μὴ P ποιεῖ V καὶ alt. om. V 23 γὰρ V 24 τῶν αὐτῶν δὲ τρόπων V 27 τὸ (ante τὴν) P 29. 30 ἀναγκαῖον Qt 30 τοῦ τὴν Vt: ταύτην P: τὴν Q 31 εἶναι om. P

p. 25a29 Εἰ μὲν γὰρ ἀνάγκη τὸ Α τῷ Β μηδενὶ ὑπάρχειν, ἀνάγκη καὶ τὸ Β τῷ Α μηδενὶ ὑπάρχειν· εἰ γὰρ τινὶ ἐνδέχεται, καὶ τὸ Α τινὶ τῷ Β ἐνδέχοιτο ἄν. XIV v

Ἐνταῦθα γενομένους ἡμᾶς δεῖ ζητῆσαι τίνος χάριν ἐν μὲν τῷ Περὶ ἑρμηνείας οὐκ ἐμνημόνευσε τούτων τῶν προτάσεων ὁ Ἀριστοτέλης, λέγω δὲ τῆς 'ἀναγκαῖον μηδενὶ εἶναι' καὶ τῆς 'ἀναγκαῖον παντὶ εἶναι' καὶ τῆς 'ἐνδέχεται μηδενὶ εἶναι' καὶ τῆς 'ἐνδέχεται παντὶ εἶναι', ὁμοίως δὲ καὶ ἐπὶ τῶν μερικῶν, ἀλλ' ἐκεῖ μὲν ὡς περὶ ἀπροσδιορίστων καὶ μόνων ποιεῖται τὸν λόγον, εἰρηκὼς δυνατὸν εἶναι, ἐνδεχόμενον εἶναι, οὐκ ἀδύνατον εἶναι, οὐκ ἀναγκαῖον εἶναι, δυνατὸν μὴ εἶναι, καὶ παρακατιών, ὅπου δὴ καὶ τὰς ἀκολουθούσας ἀλλήλαις ἐζήτει, ὡς περὶ ἀπροσδιορίστων διαλέγεται εἰρηκὼς "τὸ μὲν οὖν ἀδύνατον καὶ οὐκ ἀδύνατον τῷ ἐνδεχομένῳ καὶ δυνατῷ καὶ μὴ ἐνδεχομένῳ ἀκολουθεῖ", ἐν δὲ τῇ προκειμένῃ πραγματείᾳ ὡς περὶ προσδιωρισμένων προτάσεων τῶν μετὰ τρόπου διαλέγεται. δεῖ δὲ πάλιν καὶ τοῦτο ζητῆσαι, πῶς τὰς προτάσεις, ἃς ἐν τῷ Περὶ ἑρμηνείας καταφάσεις εἶπεν, ἐνταῦθα ἀντὶ ἀποφάσεων παραλαμβάνει· τὴν γὰρ 'ἀνάγκη μὴ εἶναι' καὶ 'ἐνδέχεται μὴ εἶναι' καταφάσεις λέγων εἶναι ἐν τῷ Περὶ ἑρμηνείας (οἷς γὰρ ἄν, φησί, τὸ εἶναι καὶ τὸ μὴ εἶναι προσκατηγορῆται, κατάφασιν εὐθὺς ποιεῖ) ταύτας νῦν ἀποφάσεις φησί· βουλόμενος γὰρ δεῖξαι τὴν καθόλου ἀποφατικὴν τοῦ ἀναγκαίου τρόπου καὶ τοῦ ἐνδεχομένου ἀντιστρεφούσας ταύταις ἐχρήσατο, ἃς ὡς εἶπον καταφάσεις ἐν τῷ Περὶ ἑρμηνείας φησίν. ἔτι καὶ τοῦτο ζητοῦμεν, τί δήποτε τῇ ἀναγκαίᾳ καθόλου ἀποφατικῇ προτάσει μὴ ἀντέθηκε τὴν μερικὴν τοῦ ἀναγκαίου καταφατικὴν ἀλλὰ τὴν ἐνδεχομένην· εἰπὼν γὰρ εἰ μὲν γὰρ ἀνάγκη τὸ Α τῷ Β μηδενὶ ὑπάρχειν, ἀνάγκη καὶ τὸ Β τῷ Α μηδενὶ ὑπάρχειν, εἶτα τῇ εἰς ἄτοπον ἀπαγωγῇ χρήσασθαι βουλόμενος ἐπήγαγεν εἰ γὰρ τινὶ ἐνδέχεται, καὶ οὐκ εἶπεν 'εἰ γὰρ τινὶ ἀνάγκη'. καὶ ἔτι πρὸς τούτοις ζητητέον πῶς ἐχρήσατο τῇ τοῦ ἐνδεχομένου μερικῇ καταφατικῇ ὡς ἀντιστρεφούσῃ μήπω δείξας περὶ αὐτῆς. λέγομεν οὖν πρὸς ταῦτα, καὶ πρότερόν γε πρὸς τὴν προτέραν ἀπορίαν τὴν λέγουσαν διὰ τί ἐν μὲν τῷ Περὶ ἑρμηνείας ὡς περὶ ἀπροσδιορίστων διαλέγεται, ἐνταῦθα δὲ ὡς περὶ προσδιωρισμένων. φαμὲν οὖν ὅτι ἐν μὲν τῷ Περὶ ἑρμηνείας ὡς πολλὴν ἀσάφειαν ἅμα καὶ βραχυ-

3 τῷ β' τινὶ t Arist. ἐνδέχοιτο ἄν ex ἐνδέχεται corr. V 4 τίνος χάριν—p. 64,7 habent EF 4. 5 ἐν μὲν τῷ Περὶ ἑρμ.] c. 13 p. 22a24 sq. 6. 7 καὶ τῆς ἐνδέχεται—παντὶ εἶναι om. V 7 μηδενὶ—ἐνδέχεται om. Qt ἐπὶ om. QVt 8 ἀπροδιορίστων Q μόνον EFPVt cf. p. 53,8. 9 9 εἶναι alt.] οὖν V ἀδύνατον εἶναι, οὐκ om. QVt 10 δεῖ Pt 11 εἰρηκώς] p. 22a32 12 οὖν om. V ante οὐκ add. τὸ EFP ante δυν. add. τῷ QVt 13 ante μὴ add. τῷ Q οὐκ ἐνδεχομένῳ καὶ μὴ δυνατῷ Arist. 14 προδιωρισμένων V 15 ἐν τῷ Περὶ ἑρμ.] c. 12 p. 21b10 sq. 16 ἀποφάσεως EFP παραλαμβάνεται Qt 18 ἔστι—ἔστι QVt τὸ alt. om. EF εἶναι alt. compend. in ras. P1 προσκατηγορεῖται P: προσκατηγοροῖτο Q 19 an ποιεῖ) εὐθὺς? φησί EFP: ποιεῖ QVt 20 ante ἐνδεχ. add. μὴ V 22 an ζητῶμεν? 24 γὰρ alt. om. V α om. P 25 A e B corr. P2 27 καὶ om. V 29 λέγωμεν fort. recte t immo διδάξας cf. ad p. 49,22 50,29 ταύτας EF 31 φημὶ PQVt

λογίαν ἐπιτηδεύσας καὶ βουληθεὶς πολλὰ ἐν ὀλίγοις καὶ ἀσαφέσι περικλεῖσαι XIVᵛ τοῦτο πεποίηκεν, ἡμῖν ἐπιτρέψας τὰ λοιπὰ προσυπακούειν. προδιδάξας γὰρ περὶ τῶν προσδιορισμῶν, εἶτα προελθὼν εἰς τὴν διδασκαλίαν τῶν μετὰ τρόπου προτάσεων ὡς μὲν περὶ προσδιωρισμένων αὐτῶν διαλέγεσθαι περιττὸν ἡγήσατο πλέον μηδὲν περὶ τῶν προσδιορισμῶν λέγειν ἔχων, ἁπλῶς δὲ ὡς μετὰ τρόπου περὶ αὐτῶν διαλέγεται. ἐνταῦθα δὲ γενόμενος καὶ περὶ γενέσεως συλλογισμῶν μέλλων διαλαμβάνειν οὐκ ἀνεκτὸν ἡγήσατο τοῦτο ποιῆσαι, ἵνα μή τις αὐτὸν ὑπολάβῃ τῷ ὄντι περὶ ἀπροσδιορίστων διαλέγεσθαι καὶ μόνων, καὶ ὅτι τοῖς προσδιορισμοῖς ἀκολούθως συνάγεται καὶ τὰ συμπεράσματα· ἄνευ μὲν γὰρ καθολικῆς προτάσεως συλλογιστικὸν οὐ γίνεται σχῆμα, μερικοῦ δὲ προσδιορισμοῦ ἐν ταῖς προτάσεσι παραληφθέντος καὶ τὸ συμπέρασμα μερικὸν συνάγεται, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ἀναγκαίως ἄρα οὐ περὶ ἀπροσδιορίστων μόνων ἀλλὰ καὶ ὡς προσδιωρισμένων διαλέγεται τῶν μετὰ τρόπου προτάσεων. οὕτω μὲν οὖν τὴν πρώτην ἀπορίαν ἀποκρουόμεθα.

Καιρὸς δὲ λοιπὸν ἐπὶ τὴν ἑτέραν μετελθεῖν ζήτησιν τὴν λέγουσαν διὰ τί καταφάσεις ἐνταῦθα παραλαμβάνει ἀντὶ ἀποφάσεων. τινὲς μὲν οὖν πρὸς τοῦτο ἀπολογούμενοί φασιν ὅτι ἄλλο ἐστὶν ἀναγκαία ἀπόφασις καὶ ἄλλο ἀναγκαίας ἀπόφασις· ἀναγκαίας μὲν γάρ ἐστιν ἀπόφασις ἡ τὸν τρόπον μόνον ἀναιροῦσα, οἷον οὐκ ἀναγκαῖον τὸν ἄνθρωπον λευκὸν εἶναι· ἀναγκαία δὲ ἀπόφασις ἡ μὴ μόνον τὸν τρόπον ἀλλὰ καὶ τὴν ὅλην ἀναιροῦσα πρότασιν, οἷον ἀνάγκη τὸν ἄνθρωπον μὴ εἶναι λευκόν. ἐν μὲν οὖν τῷ Περὶ ἑρμηνείας, φασί, παραδέδωκεν ἡμῖν τὴν ἀπόφασιν τῆς ἀναγκαίας, ἐνταῦθα δὲ τὴν ἀναγκαίαν ἀπόφασιν. τοῦτο δὲ γλαφυρὸν μέν ἐστι τὸ θεώρημα οὐχ ἱκανὸν δὲ ἀποπληρῶσαι τὴν ἀπορίαν ἡμῶν. ζητήσομεν γὰρ πάλιν οὐδὲν ἧττον διὰ τί ἐν τῷ Περὶ ἑρμηνείας οὐ παραδέδωκε τὴν ἀπόφασιν τὴν ἀναγκαίαν ἢ ἐνταῦθα τὰ περὶ τῆς τοῦ ἀναγκαίου ἀποφάσεως· ἑκατέρα γὰρ οὕτως ἀτελὴς ἡ πραγματεία. τί οὖν ἡμεῖς λέγομεν; ὅτι τὰς ἀντιθέσεις τῶν ἀναγκαίων προτάσεων διχόθεν ἔστι λαβεῖν· λαμβάνονται γὰρ αἱ ἀντικείμεναι προτάσεις ἢ ὡς τὸν τρόπον μόνον ἀναιροῦσαι ἢ ὡς ὅλην τὴν πρότασιν. οἷον τί λέγω; τῇ λεγούσῃ 'ἀνάγκη | παντί' XVʳ ἀντίκειται ὡς μὲν κατὰ τὰ ἐν τῷ Περὶ ἑρμηνείας ἡμῖν παραδεδομένα ἡ 'οὐκ ἀνάγκη παντί', ἥτις οὐ τὴν ὅλην πρότασιν ἀνεῖλεν ἀλλὰ μόνον τὸν

1 περικλεῖσαι e περικαλεῖται corr. V: περικλύσαι Q 3 προσδιωρισμένων EF: προδιορισμῶν itemque in seq. προ pro προσ V 4 αὐτῶι P 5 προσδιωρισμένων EF λέγων P 7 συλλογισμοῦ PVt λαμβάνειν V ἂν ἐκ τῶν t 8 ὑπολάβῃ] η evan. Q 9 μόνον EFPVt, cf. p. 52,8 an ἔτι ? cf. p. 52,27 59,17 10 συλλογιστικῆς Vt 11 μερικοῦ V 13 μόνον PVt διωρισμένων E: προσ evan. F 14 ἀποκρουσόμεθα EF: υ e σ, ut videtur, corr. P 16 ἀποφάσεως E: σεων evan. F 17 οὖν om. EFVt ἀπολογούμενοί om. EF 19 οὐκ ἀναγκαῖον] ἀγκαῖον Q 20 post δὲ add. ἐστιν QVt εἰ μὴ V 21 ἀναιροῦσαν V post οἷον add. οὐκ Q 22 φασί EF: φησὶ PQVt ἡμῖν κατάφασιν EFP 24 εἶναι P ἀποπλῆσαι QV 24. 25 ζητήσωμεν Vt 25 δὲ E πάλιν om. EFP 26 τὰ om. t 28 τῶν προτάσεων τῶν ἀναγκαίων EF ἐπιλαβεῖν, om. ἔστι V 31 ἀντίκειται om. EFP κατὰ τὰ QVt: καταφάσει EF, compend. P ἐν τῷ om. V παραδεδομένη EF: παραδιδόμενα QVt

ἀναγκαῖον τρόπον. τί γάρ φησιν; ὅτι κακῶς εἶπεν ἡ κατάφασις ὅτι ἐξ XVr
ἀνάγκης παντί· ἐγὼ γὰρ λέγω ὅτι οὐκ ἐξ ἀνάγκης παντί. καὶ ἀναιροῦσα
τοσοῦτον μόνον, ὅτι οὐκ ἐξ ἀνάγκης, ἀόριστον ἡμῖν τὸ λοιπὸν καταλιμπάνει·
πῶς γὰρ ὑπάρχει παντί, λέγω δὴ κατὰ ποῖον τρόπον, ἢ εἰ οὐδὲ ὅλως ὑπάρχει 5
5 παντί, οὐκέτι προστίθησιν. αὕτη μὲν οὖν μία ἀντίθεσις τῆς ἀναγκαίας
καθόλου καταφατικῆς κατὰ τὰ ἐν τῷ Περὶ ἑρμηνείας ἡμῖν παραδεδομένα.
ἑτέρα δὲ ἀντίθεσις, καθὼς ἐνταῦθα ἡμῖν παραδίδωσιν, αὕτη· ἐπειδὴ ἐν
τῇ καθόλου ἀναγκαίᾳ καταφατικῇ προτάσει ἐστὶ καὶ ποσὸν τὸ καθόλου καὶ
ποιὸν τὸ καταφατικὸν καὶ τρόπος ὁ ἀναγκαῖος, ἡ κυρίως ἀντικειμένη ταύτῃ
10 εἴη ἂν ἡ κατὰ πάντα αὐτῇ ἐναντιουμένη, καὶ κατὰ τὸ ποιὸν καὶ κατὰ τὸ 10
ποσὸν καὶ κατὰ τὸν τρόπον· ὥστε οὔσης ταύτης καθόλου ἐκείνη ἔσται
μερική, ταύτης καταφατικῆς ἐκείνη ἀποφατική, ταύτης ἀναγκαίας ἐκείνη
ἐνδεχομένη. καθόλου οὖν λέγομεν ὅτι, ἐὰν τὴν κατὰ πάντα ἀντικει-
μένην τινὶ προτάσει βουλώμεθα λαβεῖν, δεῖ ἀντιθεῖναι ποσὸν ποσῷ, ποιὸν
15 ποιῷ, τρόπον τρόπῳ. ὥστε συνελόντι εἰπεῖν ἀντίκειται τῇ 'ἀνάγκη παντί'
ὡς μὲν κατὰ τὰ ἐν τῷ Περὶ ἑρμηνείας 'ἡ οὐκ ἀνάγκη παντί', ὡς δὲ κατὰ τὰ
ἐνταῦθα ἡ 'ἐνδέχεται μὴ παντί', καὶ πάλιν τῇ 'ἀνάγκη τινί', ὡς μὲν ἐκεῖ, 15
ἡ 'οὐκ ἀνάγκη τινί', ὡς δὲ ἐνταῦθα ἡ 'ἐνδέχεται μηδενί'. τί οὖν φαμεν;
δύο μιᾷ ἀντίκεινται. οὕτως ἄδικος ἡ φύσις ὡς ἀντιτάξαι ἑνὶ δύο; λέγομεν
20 ὅτι ἀντίκεινται μιᾷ δύο οὐχ ὡς μαχόμεναι ἀλλ' ὡς ἰσοδυναμοῦσαι· τῇ
γὰρ 'οὐκ ἀνάγκη παντί' ἡ 'ἐνδέχεται μὴ παντί' ἰσοδυναμεῖ· ὃ γὰρ οὐκ
ἀνάγκη παντί, τοῦτο ἐνδέχεται μὴ παντί· οἷον εἰ οὐκ ἀνάγκη παντὶ ἀνθρώπῳ
τὸ λευκὸν ὑπάρχειν, ἐνδέχεται μὴ παντὶ ὑπάρχειν. πάλιν τῇ 'οὐκ ἀνάγκη
τινί' ἡ 'ἐνδέχεται μηδενί' ἰσοδυναμεῖ· εἰ γὰρ οὐκ ἐξ ἀνάγκης τινὶ ἀνθρώπῳ 20
25 ὑπάρχει τὸ λούεσθαι, ἐνδέχεται μηδενὶ ὑπάρχειν. καὶ ἐπὶ τῶν ἄλλων δὲ
ὁμοίως δείξομεν τὰς τῇ μιᾷ ἀντικειμένας ἰσοδυναμούσας ἀλλήλαις. σκόπει
οὖν ὡς πᾶσαι ἡμῖν διὰ τούτων παραδίδονται αἱ προτάσεις, αἵ τε ἐν τῷ

1 φασιν EF 2 παντί prius om. EF ἐγὼ—παντί om. Q δὲ E
3 τοσοῦτο P 4 εἰ ἡ EFP οὐδὲ] o e ὁ corr. Q¹ 6 ἀποφατικῆς V
τὰ om. P 7 ἡμῖν ἐνταῦθα V post ἐπειδὴ add. δὲ Qt 8 ἀποφατικῇ V
9 αὐτῇ EF: om. Q 10 ἐναντιουμένη supra ἀντικειμένη deletum scr. Q¹
11 τὸν om. QVt αὐτῆς EF: om. V 12 post καταφατικῆς add. οὔσης V
post ἐκείνη prius add. ἔσται EFPVt 13 ὅτι om. EF: ἥτις Q ἂν Q
14 βουλόμεθα FQVt ἀντιτιθέναι EF: ἀντιθέναι sic P 16 κατὰ τὰ utrobique QVt:
κατὰ P: καταφάσει EF ἐν superscr. P 17 μὴ παντὶ—18 ἐνδέχεται iterant EF
καὶ πάλιν 18 μηδενί om. Q 17 ὡς μὲν—18 τινί om. V ὡς μὲν iterat P
ἐκεῖ EFP: ἐν τῷ περὶ ἑρμηνείας t 18 post δὲ add. κατὰ τὰ Vt ἡ alt. EF:
om. PVt post μηδενί add. ἐνδέχεται μὴ παντί. ἐνδέχεται μηδενί. οὐκ ἐνδέχεται
παντί. οὐκ ἐνδεχεται τινί. ἐνδέχεται παντί. ἐνδέχεται τινί. ἀνάγκη μὴ παντί. ἀνάγκη
μηδενί EF eademque tabellae instar P 19 ἀντίκειται EFPV ὡς om. V
19. 20 λέγομεν—δύο om. Vt 20 ὅτι PQ: τοίνυν EF ἀντίκειται FP
μάχομαι V ὡς alt. om. V 21 οὐκ prius PQVt: τοῦ EF ᾧ EFP οὐκ alt.
om. Q 22 τοῦτο—ἀνάγκη παντί om. V ἀνθρώπω παντὶ E 23 μηδὲ EF
post παντὶ add. ἀνῶ EF 25 ὑπάρχει ante 24 τινὶ collocat F: ὑπάρχειν V
post ἐνδέχεται add. καὶ EF 26 σκεπτέον QVt 27 πῶς Qt: om. V

Περὶ ἑρμηνείας καὶ αἱ ἐνταῦθα, ὥστε μὴ εἶναι ἐλλιπὲς μηδέτερον τῶν XVr
βιβλίων ἰσοδυναμουσῶν τούτων ἀλλήλαις. εἰ γὰρ τῇ 'ἐνδέχεται τινί' μερικῇ
οὔσῃ καταφατικῇ ἐνδεχομένῃ ἀντίκειται μέν, ὡς ἐν τῷ Περὶ ἑρμηνείας 25
φησίν, ἡ 'οὐκ ἐνδέχεται τινί' μερικὴ οὖσα ἐνδεχομένη ἀποφατική, ἰσοδυναμεῖ
5 δὲ ταύτῃ ἡ 'ἀνάγκη μηδενί', ἥτις καὶ κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιὸν καὶ κατὰ
τὸν τρόπον ἀντίκειται τῇ 'ἐνδέχεται τινί', δῆλον ὅτι ὡς καθόλου ἀναγκαία ἀπο-
φατικὴ οὕτως ἀντίκειται. καλῶς ἄρα ἐνταῦθα ὡς ἀπόφασιν αὐτὴν παραλαμ-
βάνει, ἥτις εἰ καὶ τῷ σχήματί ἐστι καταφατική, ἀλλ' οὖν δύναμιν ἔχει
ἀποφάσεως, ὡς καὶ αὐτοῦ ἐφεξῆς λέγοντος ἀκουσόμεθα· εἰ γὰρ δύναμιν
10 εἶχε καταφάσεως, οὐκ ἂν ἐμάχετο κατὰ πάντα τῇ 'ἐνδέχεται τινί' καταφάσει 30
καὶ αὐτῇ οὔσῃ. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἐροῦμεν. εἰ τοίνυν ἰσο-
δυναμοῦσιν αἵ τε ἐκεῖσε παραδεδομέναι ἡμῖν καὶ αἱ ἐνταῦθα ἀποφάσεις, τί
δήποτε ἢ ἐκεῖσε τῶν ἐνταῦθα παραδιδομένων ὡς ἀποφάσεων οὐκ ἐμνήσθη
ἢ ἐνταῦθα τῶν ἐκεῖσε; λέγομεν ὅτι ἐν μὲν τῷ Περὶ ἑρμηνείας ἑνὶ λόγῳ
15 παραδοῦναι βουλόμενος τὰς μαχομένας ταῖς καταφάσεσιν ἀποφάσεις εἶπεν,
ὅτι δεῖ τῷ τρόπῳ προστιθέναι τὴν ἄρνησιν καὶ ποιεῖν ἐκ τῶν καταφάσεων
τὰς μαχομένας αὐταῖς ἀποφάσεις. τοῦτο δὲ ἐποίησε, διότι ἐπὶ τῆς ἐνδεχο- 35
μένης ὕλης ἰσοδυναμοῦσιν αἱ ἀποφάσεις ταῖς καταφάσεσι, ὅταν μὴ πρὸς τῷ
τρόπῳ τὸ ἀρνητικὸν μόριον ᾖ· ἐνδέχεται γὰρ πάντα ἄνθρωπον λούεσθαι,
20 καὶ ἐνδέχεται μηδένα ἄνθρωπον λούεσθαι, καὶ ἀμφότερα ἀληθεύει καὶ οὐκ
ἀντιφάσκουσιν ἀλλήλαις. ἐκεῖ μὲν οὖν διὰ ταύτην τὴν αἰτίαν οὕτω ποιεῖ
ἐκ τῶν καταφάσεων τὰς ἀποφάσεις, ἵνα τὰς ἀντιφατικῶς ἀντικειμένας καθ'
ἕκαστον τρόπον παραδῷ. ἐνταῦθα δέ, ἐπειδὴ περὶ ἀντιστροφῆς διαλέγεται 40
ὡς συμβαλλομένης αὐτῷ εἰς τὸν περὶ συλλογισμῶν λόγον, ἐν δὲ τοῖς συλλο-
25 γισμοῖς ὡρισμένα δεῖ τὰ συμπεράσματα συνάγεσθαι, αἱ δὲ ἀποφάσεις αἱ ἐν
τῷ Περὶ ἑρμηνείας ἀόριστοι ἦσαν (ἕνα μὲν γὰρ τρόπον ἀνεῖλον, τῶν δὲ
ἄλλων οὐδένα ὡρισμένως εἰσῆγον· οἷον ἡ λέγουσα 'οὐκ ἀνάγκη παντί' ἕνα
μὲν τρόπον ἀνεῖλε, τὸν ἀναγκαῖον· φησὶ γὰρ ὅτι οὐκ ἀληθὲς τὸ ἐξ ἀνάγκης
παντὶ ὑπάρχειν· οὐδὲν δὲ ὡρισμένον εἰσήγαγεν· οὔτε γὰρ εἰ ἐνδεχομένως
30 ὑπάρχει δηλοῖ, οὔτε εἰ ὑπαρχόντως, οὔτε εἰ ὅλως μὴ ὑπάρχει, ἀλλὰ τοσοῦτον 45
μόνον τὸ ἀναγκαῖον ἀνεῖλεν· ἡ δέ γε ἐνταῦθα παραδιδομένη ἀπόφασις ἡ

1 αἱ om. EFP μηδ' Q ἐλλειπὲς P 4 ἡ evan. F: ἢ V: om. t
5 καὶ (post ἥτις) om. EFP τὸ prius om. EF: utrumque om. Vt κατὰ alt. EFV: om. PQt κατὰ tert. EF: om. PQVt 6 τὸν om. PVt 7 ἄρα] ὥρα V 8 ἥτις (εἴ τις t, pr. P) εἰ καὶ PQVt: κἂν γὰρ καί τισιν ἔδοξε (ἔδοξε evan. F) EF τὸ σχήματι P: evan. F εἶναι EFP καταφατικὴν EF 9 ἐφεξῆς] p. 25b19 sq. ἀκουσώμεθα Vt
12 παραδιδόμεναι QVt αἱ om. EPV: evan. F 13 παραδεδομένων EF ἀποφάσεως pr. P, corr. P1 14 τῶν ἐκεῖσε PQVt: ὡς ἐκεῖσε καταφάσεων EF post λέγομεν add. οὖν E: evan. F μὲν om. EFPV τῷ om. Q 17 καταφάσεις pr. Q, ἀπο superscr. Q1 19 ἢ post τρόπῳ collocant QVt 19. 20 ἄνθρωπον μηδένα om. P: καὶ μὴ πάντα EF 21 ταύτην e ταῦτα corr. P 22 ἀντιφατικῶν pr. P, corr. P1 24 τῶν—λόγων pr. P 27 post λέγουσα add. καὶ V
28 φασὶ EF 29 ὡρισμένως QVt 30 ὑπάρχειν (ante δηλοῖ) Q δῆλον EFP εἰ prius om. EF μὴ ὑπάρχῃ, η ex ει corr. P1 31 τὸν QVt παραδεδομένη EFP

'ἀνάγκη μηδενί' ὡρισμένη ἐστὶ τὴν ὅλην ἀναιροῦσα πρότασιν τὴν 'ἀνάγκη XVʳ παντί'), ἐπειδὴ τοίνυν ὡρισμένων οὐσῶν τῶν προτάσεων ὡρισμένον συνάγεται καὶ τὸ συμπέρασμα, ἀορίστων δὲ ἀόριστον, δεῖ δὲ τοὺς συλλογισμούς, ὡς εἴρηται, ὡρισμένα συνάγειν τὰ συμπεράσματα, διὰ τοῦτο ταύταις ἐχρήσατο ἐνταῦθα ταῖς προτάσεσι.

Τούτου λυθέντος λέλυται καὶ ἡ τρίτη ἀπορία ἡ λέγουσα τί δήποτε τῇ εἰς ἄτοπον ἀπαγωγῇ χρώμενος ἀντιτίθησι τῇ ἀναγκαίᾳ καθόλου ἀποφατικῇ τὴν μερικὴν καταφατικὴν ἐνδεχομένην καὶ οὐχὶ τὴν ἀναγκαίαν μερικὴν καταφατικήν, καὶ τίς ἡ ἀνάγκη τὴν ἀναγκαίαν διὰ τῆς ἐνδεχομένης δείκνυσθαι. ἐκ τῶν εἰρημένων πρόδηλον τούτου τὸ αἴτιον· ἐπειδὴ γὰρ εἶπεν ὅτι ἀντιστρέφει πρὸς ἑαυτὴν ἡ καθόλου ἀποφατικὴ ἀναγκαία, εἶτα τοῦτο τῇ εἰς ἄτοπον ἀπαγωγῇ δεῖξαι βούλεται, εἰκότως ὑποτίθεται τὴν κατὰ πάντα αὐτῇ ἀντικειμένην, καὶ κατὰ τὸν τρόπον καὶ | κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν, καὶ δείκνυσι ταύτῃ ἄτοπόν XVᵛ τι ἀκολουθοῦν, ἵνα οὕτως ἐκείνην πιστώσηται.

Πρὸς δὲ τὸ λοιπὸν τῶν ἠπορημένων, λέγω δὴ πῶς ἐχρήσατο τῇ ἐνδεχομένῃ μερικῇ καταφατικῇ ὡς ἀντιστρεφούσῃ μήπω δείξας τοῦτο (εἶπε γὰρ εἰ γὰρ τινὶ ἐνδέχεται, καὶ τὸ Α τῷ Β τινὶ ἐνδέχοιτο ἄν), ἐροῦμεν ὅτι τὸ ἐνδεχόμενον αὐτὸς ὁρίζεται λέγων οὕτως "ἐνδεχόμενόν ἐστιν οὗ μὴ ὄντος ἀναγκαίου τεθέντος δὲ οὐδὲν ἀδύνατον ἀκολουθεῖ". εἰ τοίνυν οὗτος ὁ ὅρος ἐστὶ τοῦ ἐνδεχομένου, ἐὰν τὸ ἐνδεχόμενον ὡς ἐκβὰν λάβωμεν, οὐκέτι ἐστὶν ἐνδεχόμενον ἀλλὰ ὑπάρχον. ἐὰν οὖν ὑποθώμεθα τὴν ἐνδεχομένην μερικὴν καταφατικὴν ἐκβᾶσαν, γίνεται ὑπάρχουσα καὶ οὐκ ἐνδεχομένη. ἡ δὲ μερικὴ καταφατικὴ ὑπάρχουσα ἐδείχθη ἀντιστρέφουσα πρὸς ἑαυτήν· καὶ ἡ μερικὴ ἄρα ἐνδεχομένη καταφατικὴ μεταληφθεῖσα εἰς τὴν ὑπάρχουσαν ἀντιστρέφοι ἂν πρὸς ἑαυτήν. ἡ δὲ ὑπόθεσις αὕτη, εἰ καὶ μὴ ἀληθής, λέγω δὴ τοῦ τὴν ἐνδεχομένην δεδόσθαι ὡς ἐκβεβηκυῖαν, ἀλλ' οὖν οὐκ ἀδύνατος. ἡ μὲν γὰρ ἀδύνατος πάντως καὶ ψευδής, οὐχ ἡ ψευδὴς δὲ πάντως καὶ ἀδύνατος· οἷον ἀδύνατον τὸν ἄνθρωπον πτερὰ ἔχειν· τοῦτο καὶ ψεῦδος· τὸ δὲ τὸν Σωκράτην μοιχεύειν ψεῦδος μέν, οὐκ ἀδύνατον δέ. ὥστε εἰ καὶ ψευδὴς ἡ ὑπόθεσις ἡ λέγουσα 'δεδόσθω τὸ ἐνδεχόμενον ἐκβῆναι', ἀλλ' οὐκ ἀδύνατος. ἔστιν οὖν ὁ πᾶς λόγος, ἵνα ὡς ἀναλαβὼν εἴπω, τοιοῦτος· τὸ Α ἐξ ἀνάγκης τῷ Β μηδενὶ ὑπαρχέτω· λέγω ὅτι οὐδὲ τὸ Β τῷ Α ἐξ ἀνάγκης οὐδενὶ ὑπάρχει· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντικείμενον, λέγω δὴ τὸ 'ἐνδέχεται τινὶ τῷ Α τὸ Β ὑπάρχειν'. ἀλλ'

3 τὸ superscr. Q¹ 7 ἀπαγωγῇ] post ἀ del. γ Q¹ χρωμένη V 9 διὰ τῆς ἐνδεχομένης τὴν ἀναγκαίαν QVt fort. ἐκ ⟨γὰρ⟩ 10 τοῦτο PQVt τὸ om. Vt εἶπε τὸ PQVt ἀντιστρέφειν P 11 ἀναγκαία] ἐναν̄ Q 12 τῇ F, pr. E: τὴν corr. E² 13 καὶ (ante δείκν.) om. V 14 ἐκείνην om. V 17 τῶν β P: om. EF 18 λέγων] p. 32ᵃ18 19 εἶναι οὗ P 25 εἰ (ex ἡ corr.) δὲ P 26 εἰ ex ἡ corr. P ὡς scripsi: εἰς PQVt: om. EF 27 ἀδύνατον P ἡ μὲν γὰρ ἀδύνατος om. V 28 καὶ om. Q ἀδύνατον (post καὶ) P 29 τὸν δὲ V 31 ἀδύνατον EFP ὁ om. P post ἵνα add. καὶ V ὡς om. EFP 33 ὑπάρχειν QV 34 τινὶ ἐνδέχεται pr. Q τὸ α τῷ Q

ἐπειδὴ ἐνδεχόμενόν ἐστιν "οὗ μὴ ὄντος ἀναγκαίου τεθέντος δὲ οὐδὲν ἀδύνατον XV[v] ἀκολουθεῖ", δεδόσθω ἐκβῆναι τὸ ἐνδεχόμενον καὶ μηδὲν ἀδύνατον ἀκολουθείτω. εἴπερ ἀληθὴς ἡ ὑπόθεσις. ἐπειδὴ δὲ τὸ ἐνδεχόμενον, ἐπειδὰν ἐκβῇ, οὐκέτι ἐστὶν ἐνδεχόμενον ἀλλὰ ὑπάρχον, ὑπαρχέτω τὸ B τινὶ τῷ A. ἀλλ' ἐδείχθη ἡ ὑπάρχουσα μερικὴ καταφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφουσα· καὶ τὸ A ἄρα τινὶ τῷ B ὑπάρχει. ὑπέκειτο δὲ καὶ μηδενὶ ἐξ ἀνάγκης ὑπάρχειν· τὸ αὐτὸ ἄρα καὶ τινὶ ὑπάρχει καὶ οὐδενὶ ἐξ ἀνάγκης ὑπάρχει, ὅπερ ἐστὶν ἀδύνατον. τὸ ἀδύνατον δὲ ἠκολούθησε διὰ τὸ ὑποθέσθαι τὸ 'ἐνδέχεται τινί'· οὐκοῦν τοῦτο ψεῦδος, ἐπειδὴ τῷ ἀληθεῖ οὐδέποτε ἀδύνατον ἀκολουθεῖ. εἰ τοίνυν ψεῦδος τὸ 'ἐνδέχεται τινί', ἀληθὲς ἄρα τὸ ἀντικείμενον, λέγω δὴ τὸ 'ἀνάγκη μηδενί'. ἐδείχθη ἄρα ἡ καθόλου ἀναγκαία ἀποφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφουσα, ὅπερ ἔδει δεῖξαι. οὕτω μὲν οὖν ἐπιλελύσθωσαν αἱ κατὰ τὸν τόπον ἀπορίαι. τὰ δ' ἑξῆς λοιπὸν ἐπισκεπτέον.

p. 25a32 Εἰ δὲ ἐξ ἀνάγκης τὸ A παντὶ ἢ τινὶ τῷ B ὑπάρχει, καὶ τὸ B τινὶ τῷ A ἀνάγκη ὑπάρχειν.

Τῇ αὐτῇ πάλιν τάξει κέχρηται ὁ Ἀριστοτέλης ᾗπερ καὶ ἐπὶ τῶν ὑπαρχουσῶν προτάσεων· δείξας γοῦν τὴν καθόλου ἀποφατικὴν πρὸς ἑαυτὴν ἀντιστρέφουσαν ἐφεξῆς τὴν καθόλου καταφατικὴν δείκνυσι καὶ τὴν μερικήν. βραχυλογίας δὲ πανταχοῦ ἀντιποιούμενος κἀνταῦθα ἅμα ἀμφοτέρας τὰς καταφατικάς, τήν τε καθόλου καὶ τὴν μερικήν, δείκνυσι πρὸς τὴν μερικὴν καταφατικὴν ἀντιστρεφούσας.

p. 25a33 Εἰ γὰρ μὴ ἀνάγκη, οὐδ' ἂν τὸ A τινὶ τῶν B ἐξ ἀνάγκης ὑπάρχοι.

Ἐν τούτῳ διάφορος ἡ γραφὴ φέρεται. τινὰ μὲν γὰρ τῶν ἀντιγράφων οὕτως ἔχει· εἰ γὰρ ἐνδέχεται μηδενί· τὰ μέντοι ἀκριβέστερα τῶν ἀντιγράφων ἔχει εἰ γὰρ μὴ ἀνάγκη. εἰ μὲν οὖν ἡ προτέρα εἴη γραφή, ἐροῦμεν ὅτι ὁμοίως ὁ Ἀριστοτέλης ἀντέθηκε τρόπον τρόπῳ, ποσὸν ποσῷ, ποιὸν ποιῷ. ἀλλ' οὐκ ἀκριβὴς ἡ τοιαύτη γραφή· οὐ γὰρ δὴ ἐκ τῆς ὑποθέσεως ταύτης συνάγεταί τι ἀδύνατον, ὅπερ βούλεται δεῖξαι. πῶς καὶ τίνα

1 ἐπεὶ E ἐνδεχόμενός EFP δοθέντος QVt 4 οὐκ ἔπι V 7 ante τινὶ add. οὐ Q ὑπάρχει alt. om. Q post ὅπερ del. ἄτοπον Q[1] 8 ἠκολούθησαν V ἐνδέχεσθαι EFP 11 ἀναγκαία ante καθόλου collocant EP: ἀνάγκη compend. Q 12 ἐπιλελύθησαν P 12. 13 οὕτω—ἐπισκεπτέον om. EF 13 τὸν V: om. PQt 14 τῶν β̄ Q (C i, corr. A): τὸ β̄ E 15 τῶν α (α, ut videtur, e β corr. P) EFPQ (C i, corr. A) 16 ὅπερ P 17 οὖν EF 18 ἀντιστρέφουσα Q 19 πανταχοῦ om. Q ἅμα om. EFP 23 ὑπάρχει V 24 γὰρ om. QVt 26 ante ἔχει add. οὕτως EF 27 ἀντέθηκεν ὁ ἀριστοτέλης E 29 ταύτης om. E

τρόπον; λέγω ὅτι αἱ καθόλου τοῦ ἐνδεχομένου προτάσεις, λέγω δὴ τοῦ XV^v
κυρίως ἐνδεχομένου, ἰσοδυναμοῦσιν ἀλλήλαις· ὃ γὰρ ἐνδέχεται παντί, τοῦτο
ἐνδέχεται μηδενί· οἷον ἐνδέχεται πάντα ἄνθρωπον λούσασθαι, ἐνδέχεται καὶ
μηδένα λούσασθαι, καὶ ἔμπαλιν. αὗται δὲ αἱ καθόλου τοῦ ἐνδεχομένου
5 προτάσεις ἑκάστῃ τῶν μερικῶν τοῦ ἀναγκαίου μάχονται. οἷον τί λέγω; τῇ
'ἀνάγκη τινί' μάχεται ἡ 'ἐνδέχεται μηδενί' κατὰ πάντα αὐτῇ ἀντικειμένη·
μάχεται δὲ καὶ ἡ 'ἐνδέχεται παντί'. ἀλλ' ἡ μὲν 'ἐνδέχεται μηδενί' δι'
ἑαυτὴν μάχεται ἔχουσα ἀντικείμενον τρόπον τρόπῳ, ποσὸν ποσῷ, ποιὸν
ποιῷ· ἡ δ' 'ἐνδέχεται παντί' ὡς ἰσοδυναμοῦσα τῇ 'ἐνδέχεται μηδενί'. πάλιν
10 τῇ 'ἀνάγκη μὴ παντί' μάχεται μὲν δι' ἑαυτὴν ἡ 'ἐνδέχεται παντί', διὰ ταύ-
την δὲ καὶ ἡ 'ἐνδέχεται μηδενί' ὡς ἰσοδυναμοῦσα. εἰ τοίνυν αἱ δύο
καθόλου τοῦ ἐνδεχομένου προτάσεις ἑκατέρᾳ τῶν μερικῶν τοῦ ἀναγκαίου
ἀντίκεινται ὡς ἰσοδυναμοῦσαι, ἐὰν ἀντὶ τῆς ἐνδεχομένης καθόλου ἀποφατικῆς
μεταλάβωμεν τὴν 'ἐνδέχεται παντί' ὡς ἰσοδυναμοῦσαν, οὐκ ἀπάξομεν εἰς
15 ἄτοπον τὸν λόγον μεταληφθείσης τῆς 'ἐνδέχεται μηδενί' εἰς τὴν 'ἐνδέχεται
παντί', εἴπερ ἰσοδυναμοῦσι. γίνεται γὰρ συλλογιστικὸν τὸ σχῆμα· οἷον τὸ
Α παντὶ τῷ Β ὑπαρχέτω· λέγομεν ὅτι τὸ Β τινὶ τῷ Α ὑπάρχει· εἰ γὰρ
τοῦτο ψεῦδος, εἶτα ὑποθώμεθα τὸ 'ἐνδέχεται μηδενί', μεταληφθείη δὲ τοῦτο
εἰς τὸ 'ἐνδέχεται παντί', οἷον ὅτι τὸ Β ἐνδέχεται παντὶ τῷ Α, καὶ ἀντι-
20 στρέψαντες εἴπωμεν 'καὶ τὸ Α τινὶ τῷ Β ἐνδέχεται', εἶτα συναγάγωμεν τὸ
αὐτὸ καὶ παντὶ καὶ τινί, οὐδὲν ἄτοπον συνάγομεν· τὸ γὰρ παντὶ ὑπάρχον,
τοῦτο καὶ τινὶ ὑπάρχειν πᾶσα ἀνάγκη. διὰ ταῦτά φαμεν ἀκριβεστέραν
εἶναι τὴν ἑτέραν γραφὴν τὴν λέγουσαν | εἰ γὰρ μὴ ἀνάγκη, τουτέστιν XVI^r
εἰ μὴ ἀνάγκη τὸ Β τινὶ τῷ Α ὑπάρχειν, δηλονότι ἀνάγκη μηδενί· οὐκοῦν
25 καὶ τὸ Α ἀνάγκη οὐδενὶ τῷ Β· τοῦτο γὰρ δέδεικται, ὅτι ἡ καθόλου ἀναγ-
καία ἀποφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφει· ἦν δὲ καὶ τινί· τὸ αὐτὸ καὶ
τινὶ καὶ οὐδενί, ὅπερ ἄτοπον.

p. 25ᵃ34 Τὸ δ' ἐν μέρει στερητικὸν οὐκ ἀντιστρέφει διὰ τὴν αὐτὴν αἰτίαν δι' ἣν καὶ πρότερον εἴπομεν.

30 Τὸ ῥησείδιον τοῦτο δοκεῖ ὑπὸ τοῦ φιλοσόφου εἰρῆσθαι ὡς αἰτίαν
αὐτοῦ ἀποδεδωκότος δι' ἣν οὐκ ἀντιστρέφει ἡ μερικὴ στερητική. τοῦτο
δὲ οὐκ ἔστιν ἀληθές· οὐδαμοῦ γὰρ φαίνεται ἀποδεδωκὼς αἰτίαν δι' ἣν

1 τοῦ om. Q λέγω—5 προτάσεις mrg. Q¹ 3 an ⟨καὶ⟩ μηδενί? 3. 4 ἐνδέχεται καὶ μηδένα om. QVt 4 λούσασθαι om. EFQVt δὲ om. EF 8 ἔχουσαν V 9 ὡς om. EFP μηδενί in ras. V 10 post τῇ del. ἐνδέχεται Q¹ μὴ om. Q post ἐνδέχεται add. μὴ Q 11 μηδενί] παντὶ Q 12 τοῦ alt. om. P 13 ἀντίκειται EFP 14 μεταλάβω EFP: μεταλαβὼν Vt 15. 16 aut μεταληφθείσης—ἰσοδυναμοῦσι delendum aut γὰρ e vs. 16 post μεταλ. transponendum videtur 19 ὅτι om. E: evan. F 20 εἴπομεν P τῶν (ante β̄) EP: evan. F 20. 21 συναγαγὼν ἐν τῷ αὐτῷ EFP 23 post εἶναι add. καὶ V τὴν ἑτέραν om. E 24 τῶν ᾱ EFP ὑπάρχει P 26 post αὐτὸ add. δὲ EF 27 καὶ οὐδενὶ superscr. V 28. 29 lemma om. EF 30 ὃ F ρησίδιον P 31 ὃν V 32 αἰτίαν ἀποδεδωκὼς QVt

οὐκ ἀντιστρέφει ἡ μερικὴ ἀποφατική· ἀλλὰ μᾶλλον αἰτίαν ἐκάλεσε τὸ XVIr παράδειγμα τὸ ἀνωτέρω παρ' αὐτοῦ εἰρημένον, ἔνθα ἔλεγεν "οὐ γὰρ εἰ ἄνθρωπος μὴ παντὶ ζῴῳ, καὶ τὸ ζῷον οὐ παντὶ ἀνθρώπῳ".

p. 25a37 Ἐπὶ δὲ τῶν ἐνδεχομένων, ἐπειδὴ πολλαχῶς λέγεται τὸ ἐνδεχόμενον.

Τὸν περὶ τῆς ἀντιστροφῆς τῶν ὑπαρχουσῶν καὶ ἀναγκαίων προτάσεων 11 πληρώσας λόγον μέτεισιν ἐπὶ τὰς τοῦ ἐνδεχομένου προτάσεις. ἐπειδὴ δὲ τὸ ἐνδεχόμενον πολλαχῶς λέγεται, ὡς καὶ ἐν τῷ Περὶ ἑρμηνείας φησί (λέγεται γὰρ καὶ ἐπὶ πάσης ὕλης τὸ ἀναγκαῖον ἐνδεχόμενον, ὡς εἴ τις εἴποι 'ἐνδέχεται τὸν ἥλιον ἐν κριῷ γενέσθαι', καίτοι οὐκ ἐνδεχομένως ἀλλ' ἀναγκαίως ὁ ἥλιος ἐν κριῷ γίνεται. λέγεται ἐνδεχόμενον καὶ τὸ ὑπάρχον μὲν ἐν γενέσει δὲ καὶ φθορᾷ ὄν, λέγω δὲ ὅπερ τοῦ ὑποκειμένου ἀπογίνεσθαι δύναται, οἷα τὰ συμβεβηκότα· καὶ γὰρ ταῦτα ὑπάρχει μέν, οὐ μὴν ἐξ ἀνάγκης, οἷον ὡς ὅταν ἐπὶ τοῦ Σκύθου λέγωμεν 'ἐνδέχεται τὸν Σκύθην λευκὸν εἶναι'· ἐνταῦθα γὰρ οὐ κυρίως ἐστὶν ἐνδεχόμενον ἀλλ' ἰσοδυναμοῦν τῷ ὑπάρχοντι· ὑπάρχει γὰρ τῷ Σκύθῃ τὸ λευκόν. καὶ ἐπὶ τῶν ἄλλων τρόπων ὁμοίως. καὶ ἔτι τὸ κυρίως ἐνδεχόμενον, λέγω δὲ τὸ ἐπὶ τοῦ μέλλοντος χρόνου· τοῦτο γὰρ ἴσην δύναμιν ἔχει πρὸς τὸ γενέσθαι καὶ μή), τὸ τοίνυν ἐνδεχόμενον τὸ ἰσοδυναμοῦν τῷ ἀναγκαίῳ καὶ ὑπάρχοντι, ὅπως ἂν ἀντιστρέφωσιν αἱ τοῦ ἀναγκαίου καὶ ὑπάρχοντος προτάσεις, οὕτω καὶ αὐτὸ ἀντιστρέφει· κατὰ γὰρ μόνην τὴν ὀνομασίαν ἐστὶν ἡ διαφορὰ τῶν πραγμάτων τῶν αὐτῶν ὄντων. τὸ δὲ κυρίως ἐνδεχόμενον οὐκέτι ὁμοίως ἕξει κατὰ τὰς ἀντιστροφάς, ὡς ἐν τοῖς ἑξῆς δείκνυσι.

p. 25a38 Καὶ γὰρ τὸ ἀναγκαῖον καὶ τὸ μὴ ἀναγκαῖον καὶ τὸ δυνατὸν ἐνδέχεσθαι λέγομεν.

Τὸ μὴ ἀναγκαῖόν φησι τὸ ὑπάρχον, τὸ δὲ δυνατὸν τὸ ἐνδεχόμενον· καὶ γὰρ τὸ κυρίως δυνατὸν εἰς ταὐτὸν ἔρχεται τῷ κυρίως ἐνδεχομένῳ.

p. 25a39 Ἐν μὲν τοῖς καταφατικοῖς ὁμοίως ἕξει κατὰ τὴν ἀντιστροφὴν ἐν ἅπασιν.

Τοῦτο, φησί, τὸ ἐνδεχόμενον, ὅπερ κατὰ πάντων τῶν τρόπων κατηγορεῖται, ὁμοίως ἕξει ἐν τοῖς καταφατικοῖς· πᾶσα γὰρ κατάφασις ἐπὶ παντὸς

1 καταφατική Vt 2 ἔλεγεν] memoriter citat p. 25a13 cf. a25 οὐ—εἰ ex Arist. scripsi: εἰ—ὁ libri 3 μὴ] καὶ t 5 ἐνδεχόμενον PQVt (Marc. 231): ἐνδέχεσθαι EF Arist. lemmati seq. Arist. verba usque ad b3 πρότερον add. EF 6 καὶ om. EFP 7 δὲ EF, superscr. P: τοίνυν Q: om. Vt 8 καὶ om. V ἐν τῷ Περὶ ἑρμ.] c. 13 p. 22b29 sq. 10 post ἐνδέχεται add. δὲ V ἐν κριῷ] lac. VI fere litt. Q 12 ὄν om. EFVt 14 λέγομεν P σκύθον t 15 δὲ EF ἐστι τὸ EFP 17 ἔτι] ἐστὶ t 19 ἂν t: om. EFPQV ἀντιστρέφουσιν libri 20 αὐτὸν pr. Q: αὐτὰ Vt 23 post ὡς add. καὶ Qt ἐν τοῖς om. QV ἐν τοῖς ἑξ.] p. 25b14 sq. 27 κυρίως alt. om. QVt 29 εἰ V 30 τῶν om. P 30. 31 κατηγορεῖται τῶν τρόπων EF

τρόπου πρὸς τὸ μερικὸν καταφατικὸν ἀντιστρέφει· καὶ αἱ δείξεις διὰ τῶν XVI[r]
αὐτῶν δι' ὧνπερ καὶ πρότερον. αἱ δὲ ἀποφάσεις οὐχ ὁμοίως ταῖς ἄλλαις
ἀντιστρέφουσι διὰ τόνδε τὸν λόγον· ἴσμεν ὅτι τὸ κυρίως ἐνδεχόμενον, ὅπερ
καλεῖ δυνατόν, ἐπί τε τοῦ ἔσεσθαι καὶ μὴ ἔσεσθαι ὁμοίως παραλαμβάνεται
5 καὶ ἐξισάζει· ὁμοίως γὰρ ἔστι καὶ καταφῆσαι καὶ ἀποφῆσαι τὸ αὐτό. ὅθεν 35
οὐδὲν διοίσει πρὸς ἀλήθειαν ἡ κατάφασις τῆς ἀποφάσεως· ἐνδέχεται γὰρ
καὶ πάντα ἄνθρωπον λούεσθαι καὶ μηδένα ἄνθρωπον λούεσθαι, καὶ ὁμοίως
ἑκάτερον δύναται ἀληθεύειν. δέδεικται δὲ ἐπὶ τοῦ ὑπάρχοντος τρόπου καὶ
τοῦ ἀναγκαίου, ὅτι ἡ μὲν καθόλου ἀπόφασις ἐξ ἀνάγκης πρὸς ἑαυτὴν ἀντι-
10 στρέφει, ἡ δὲ μερικὴ οὐκ ἐξ ἀνάγκης. δῆλον οὖν ὅτι καὶ ἐπὶ τῆς ἀντιστρο-
φῆς αἱ ἀποφατικαὶ τοῦ ἐνδεχομένου πῇ μὲν ἕξουσιν ὡς ἐπὶ τῶν ἄλλων
τρόπων αἱ ἀποφάσεις, πῇ δὲ οὔ· τὸ μὲν ἐνδεχόμενον τὸ ἰσοδυναμοῦν τῷ 40
ὑπάρχοντι καὶ τῷ ἀναγκαίῳ ὁμοίως αὐτοῖς καὶ κατὰ τὰς ἀντιστροφὰς τῶν
ἀποφάσεων ἕξει· τὸ μέντοι κυρίως ἐνδεχόμενον, ὅπερ ἐκβαίνειν καὶ μὴ
15 ἐκβαίνειν δύναται, οὐχ ὁμοίως ἕξει. διδάξει δέ, ὡς εἶπον, περὶ αὐτοῦ ἐν
τοῖς μετὰ ταῦτα. νῦν δὲ τὰ ὑποδείγματα σαφῆ ποιεῖ ἐπὶ τῆς στοιχείων
ἐκθέσεως.

p. 25ᵇ4 Ἀλλ' ὅσα μὲν ἐνδέχεσθαι λέγεται τῷ ἐξ ἀνάγκης μὴ ὑπάρχειν.

20 Τουτέστιν αἱ ἐνδεχόμεναι ἀποφατικαὶ αἱ ἰσοδυναμοῦσαι τῷ ἀναγκαίῳ 46
ἢ τῷ μὴ ἐξ ἀνάγκης ὑπάρχειν, τουτέστιν αἱ ταῖς ὑπαρχούσαις ἰσοδυναμοῦσαι
τοῦ ἐνδεχομένου ἀποφάσεις, αὗται, φησίν, ὁμοίως ταῖς τε ὑπαρχούσαις καὶ
ταῖς ἀναγκαίαις ἀντιστρέφουσιν, αἱ μὲν καθόλου ἀποφατικαὶ πρὸς ἑαυτάς,
αἱ δὲ μερικαὶ ἀορίστως, ὥσπερ καὶ ἐκεῖναι· ὡς γὰρ εἴπομεν, ὀνομάτων
25 μόνον γίνεται διαφορὰ τῶν πραγμάτων τῶν αὐτῶν ὄντων. εἶτα καὶ ἐπὶ 50
ὑλῶν τὸ παράδειγμα.

p. 25ᵇ5 Εἴ τις φαίη τὸν ἄνθρωπον ἐνδέχεσθαι μὴ εἶναι ἵππον. |

Τοῦτο τοῦ ἀναγκαίου παράδειγμα· δῆλον γὰρ ὅτι οὐκ ἐνδεχομένως XVI[v]
κατὰ τὸ κυρίως τοῦ ἐνδεχομένου σημαινόμενον ὁ ἄνθρωπος οὐκ ἔστιν ἵππος

1 ἀντιστρέψει Q καὶ αἱ QVt: αἱ δὲ EFP 3 τόνδε EFPQ: δὲ Vt
4. 5 παραλαμβάνεσθαι—ἐξισάζειν P 5 καταφῆσαι ex ἀποφῆσαι corr. V² τὸ αὐτό om. EF 8 δύνασθαι EF post δὲ add. καὶ P 10 δὲ post μερικὴ collocat E: om. F οὖν EF: om. PQVt 12 αἱ post 11 ὡς collocat F, superscr. E: om. PVt μὲν] δὲ E: fort. μὲν ⟨γὰρ⟩ τὸ alt. corr. e τῷ Q¹ 13 καὶ alt. om. V
15 εἶπε QV: εἶπεν t ὡς εἶπον] p. 59,23 16 δὲ Q: δέ φησι EF: φησι PVt σαφῆ τὰ ὑποδείγματα QVt ἐκ τῆς EFP στοιχείων scripsi: τυχούσης EF: τοιχούσης P: τῶν ὑλῶν QV: ὑλῶν t 17 θέσεως Qt: ὑποθέσεως V 18 βούλεται Q post λέγεται add. ἢ t τῇ (ante ἐξ) Q 20 αἱ alt. om. Vt 21 αἱ] καὶ t
23 ἀντιστρέψουσιν QVt 24 εἴπομεν] p. 59,21 25 μόνον E: evan. F: om. PQVt
27 ante εἰ add. ex Arist. οἷον V post φαίη add. φησὶ EFPQ post ἐνδέχεσθαι del. καὶ V 28 τοῦ om. EFP

ἀλλ' ἀναγκαίως· διὸ καὶ ἀντιστρέφει· ἐνδέχεται γὰρ μηδένα ἵππον ἄνθρωπον XVI[v]
εἶναι. ἢ τὸ λευκὸν μηδενὶ ἱματίῳ ὑπάρχειν. τοῦτο τοῦ ὑπάρχοντος τρό- 6
που παράδειγμα, καθ' οὗ καθ' ἓν σημαινόμενον λέγεται τὸ ἐνδεχόμενον. τὸ
μὲν γὰρ τὸν ἄνθρωπον μὴ εἶναι ἵππον ἐξ ἀνάγκης οὐχ ὑπάρχει· τὸ δὲ λευκὸν
5 μηδενὶ ἱματίῳ οὐκ ἐξ ἀνάγκης οὐχ ὑπάρχει· διὸ καὶ ἡ αὐτὴ πάλιν καὶ ἐπὶ
τούτου σώζεται ἀντιστροφὴ ἥτις καὶ ἐπὶ τοῦ ὑπάρχοντος ἐγίνετο.

p. 25b13 Ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐν μέρει ἀποφατικῆς.

Ὥσπερ ἐπὶ τῶν ἄλλων τρόπων ἀόριστος ἦν ἡ μερικὴ ἀποφατικὴ διὰ
τὸ πρὸς μηδεμίαν ὡρισμένως ἀντιστρέφειν, οὕτως καὶ ἐπὶ τοῦ ἐνδεχομένου 10
10 τοῦ ἰσοδυναμοῦντος τοῖς εἰρημένοις τρόποις ἡ αὐτὴ αὕτη οὐδὲν ἧττον τὸ
ἀόριστον ἕξει.

p. 25b14 Ὅσα δὲ τῷ ὡς ἐπὶ τὸ πολὺ καὶ τῷ πεφυκέναι λέγεται
ἐνδέχεσθαι.

Τριχῇ ὄντος τοῦ κυρίως ἐνδεχομένου, ὡς καὶ ἐν τοῖς Φυσικοῖς εἴρηται,
15 τοῦ ἐπὶ πλεῖον, τοῦ ἐπ' ἴσης, τοῦ ἐπ' ἔλαττον (ἐπὶ πλεῖον μὲν ὡς τά τε
φυσικὰ καὶ τὰ τεχνητά· ἐπὶ πλεῖον γὰρ ἥ τε φύσις πενταδάκτυλον ποιεῖ ἢ
ἑξαδάκτυλον, καὶ ὁ ἰατρὸς ἐπὶ πλεῖον ὑγιάζει ἢ οὐχ ὑγιάζει· ἐπ' ἴσης δὲ τὸ 15
λούεσθαι ἢ μὴ λούεσθαι, καθῆσθαι ἢ μὴ καθῆσθαι· ἐπ' ἴσης γὰρ τὰ ἀντικεί-
μενα ἐν τοῖς τοιούτοις εἰσὶν ἐνδεχόμενα· ἐπ' ἔλαττον δὲ τὸ ἑξαδάκτυλον
20 γίνεσθαι καὶ τὸ ἀποτυγχάνειν τοῦ σκοποῦ τὰς τέχνας), τὰ μὲν ἐπ' ἴσης ἄχρηστα
εἰς ἀπόδειξιν· τί γὰρ ἄν τις τὴν κατάφασιν δείξειεν ἢ τὴν ἀπόφασιν; πολλῷ
δὲ πλέον καὶ τὸ ἐπ' ἔλαττον, οἷον τὸ τεχθῆναι ἑξαδάκτυλον παιδίον· οὐδεὶς
γὰρ τὰ σπάνια καὶ οὕτως παράδοξα συλλογίζεται. περὶ δὲ τὸ ἐπὶ πλεῖον 20
τοῦ ἐνδεχομένου καταγίνεται ἡ συλλογιστικὴ μέθοδος τὸ ἐπὶ τῶν φυσικῶν καὶ
25 τεχνητῶν, ὡς ἤδη εἴπομεν, φημὶ δὴ τὸ ἐν χειμῶνι ὗσαι καὶ τὸν ῥήτορα
πεῖσαι καὶ τὸν ἰατρὸν ὑγιάσαι καὶ τὸν κυβερνήτην σῶσαι τὴν ναῦν· διὰ
τοῦτο γοῦν προσέθηκε καὶ τῷ πεφυκέναι, δηλῶν ὅτι περὶ τῶν φυσικῶν

---

1. 2 εἶναι ἄνθρωπον EF 2 τῶι λευκῶι P ὑπάρχειν ἱματίω EF 3 καθ' οὗ scripsi: καθὸ libri 4 τὸν om. t ὑπάρχειν E 4. 5 τὸ δὲ—ὑπάρχει om. EF 5 οὐχ om. V διὸ om. Q: διότι V 5. 6 διὸ καὶ ἐπὶ τούτου πάλιν ἡ αὐτὴ σώζεται EF 6 ἐγένετο QVt 8 μερικὴ om. EF 10 αὕτη om. QVt 12. 13 lemma om. EF 12 τὸ ὡς t τῶ alt. corr. Q[1]: τὸ pr. Q, t 14 ταῖς φυσικαῖς EFPVt ἐν τοῖς Φυσ.] II 5 p. 196b10 sq. cf. Philop. p. 267,1 sq. 15 πλέον itemque semper in sequentibus EF τε om. QVt 16 φύσει EF τὰ om. t τε om. EF post πενταδάκτυλον add. τὸν ἄνον EF 17 πλέον Q οὐχ ὑάζει (α e γι corr. Q[1]) Q 18 λούσασθαι καὶ μὴ λούσασθαι EFP 19 ἐπὶ τοῖς V 20 καὶ QVt: ἢ EFP ἐπιτυγχάνειν P post τέχνας add. καὶ V post ἐπίσης add. καὶ EFP ἄχρι τὰ V 21 δείξη ὂν E: δείξ . . . F: δείξει ὂν P 22 καὶ τὸ QVt: κατὰ τὸ EFP 23 συλλογίζεσθαι V τὸ Q: τοῦ EFPVt ἐπὶ om. V 24 τὸ om. Q: τοῦ EF: τῶι P καὶ Q: ἢ EF: om. PVt 25 δὴ τὸ] οὖν τῶ V 27 τοῦτο] το superscr. Q[1] τῶ corr. Q[1], t Arist.: τὸ EFPV, pr. Q δῆλον QVt

αὐτῷ ὁ λόγος. τὸ δὲ καθ' ὃν τρόπον διορίζομεν τὸ ἐνδεχόμενον, XVI[v]
τοῦτ' ἔστι καθ' ὃν τρόπον λέγομεν τὸ κυρίως ἐνδεχόμενον τὸ ἐπὶ τοῦ μέλλοντος 27
χρόνου ἢ ἐπὶ πλεῖον εἶναι ἢ ἐπ' ἴσης ἢ ἐπ' ἔλαττον· οὕτω γὰρ αὐτὸ διωρίσατο ἐν τοῖς Φυσικοῖς. τοῦ δὲ μὴ ἀντιστρέφειν τὰς στερητικὰς τοῦ ἐνδε-
5 χομένου προτάσεις ὁμοίως ταῖς τοῦ ὑπάρχοντος καὶ ἀναγκαίου ἡ μὲν ἀληθής ἐστιν αἰτία, ἣν εἴπομεν, διότι ὅπερ μηδενὶ ἐνδέχεται, τοῦτο καὶ παντὶ 30
ἐνδέχεται, ἡ δὲ καθόλου καταφατικὴ οὐ πρὸς ἑαυτὴν ἀντιστρέφει· καὶ αὐτὸς δὲ μετὰ πολλὰ τοῦτο δείκνυσι. νῦν δὲ τέως τοσοῦτον μόνον εἶπεν, ὅτι ἡ μὲν καθόλου ἀποφατικὴ οὐκ ἀντιστρέφει, ᾧ προσυπακουστέον
10 τὸ 'πρὸς ἑαυτήν'. ἡ δὲ ἐν μέρει, φησίν, ἀντιστρέφει, δηλονότι πρὸς ἑαυτήν· εἰ γὰρ τὸ ζῷον μὴ παντὶ λευκῷ ὑπάρχει, καὶ τὸ λευκὸν οὐ παντὶ ζῴῳ ὑπάρχει. δῆλον δὲ ὅτι καὶ πρὸς τὴν μερικὴν καταφατικὴν ἀντιστρέφειν δύναται· καὶ γὰρ τὸ λευκὸν τινὶ ζῴῳ ὑπάρχει. ταύτῃ δὲ ἂν καὶ ἡ 35
μερικὴ καταφατικὴ οὐ μόνον πρὸς ἑαυτὴν ἀλλὰ καὶ πρὸς τὴν μερικὴν ἀπο-
15 φατικὴν ἀντιστρέψει· εἰ γάρ τι ζῷον λευκόν, οὐ πᾶν λευκὸν ζῷον. ὅτι δὲ ἡ καθόλου ἀποφατικὴ οὐκ ἀντιστρέφει πρὸς ἑαυτήν, ἐντελῶς μὲν εἰσόμεθα, ὅταν αὐτὸς ἐν τῷ περὶ τῶν μίξεων διδάσκῃ· ἀρκεῖ δὲ νῦν πρὸς τοῖς εἰρημένοις δι' ὑποδείγματος πιστώσασθαι. εἰ γὰρ ἐνδέχεται μηδένα ἄνθρωπον λούσασθαι, οὐκ ἀληθὲς ἀντιστρέψαι καὶ εἰπεῖν 'ἐνδέχεται μηδὲν λουόμενον
20 ἄνθρωπον εἶναι'· λούεται γὰρ φέρε εἰπεῖν καὶ ἵππος καὶ βοῦς, καὶ οὐκ 40
ἔστιν ἀληθὲς τὸ λέγειν 'τὸν ἵππον ἢ τὸν βοῦν ἐνδέχεται μὴ εἶναι ἄνθρωπον', ἀνάγκη δὲ μᾶλλον μὴ εἶναι ταῦτα ἄνθρωπον· ὃ γὰρ ἐνδέχεταί τι μὴ εἶναι, τοῦτο ⟨καὶ ταὐτὸ⟩ εἶναι ἐνδέχεται, καὶ ἔμπαλιν· εἰ οὖν τὸ ἐνδέχεσθαι εἶναι ἄνθρωπον ψεῦδος, καὶ τὸ μὴ ἐνδέχεσθαι ἄρα ψεῦδος.

25 p. 25ᵇ19 Νῦν δὲ τοσοῦτον ἡμῖν ἔστω πρὸς τοῖς εἰρημένοις δῆλον, ὅτι τὸ ἐνδέχεσθαι μηδενὶ ἢ τινὶ μὴ ὑπάρχειν καταφατικὸν ἔχει 45
τὸ σχῆμα.

Ὅπερ ἐξ ἀρχῆς ἐζητοῦμεν, τί δήποτε εἰρηκὼς ἐν τῷ Περὶ ἑρμηνείας τὰς μὴ τῷ τρόπῳ συνταττούσας τὸ ἀρνητικὸν μόριον καταφάσεις εἶναι

1 post λόγος add. lemma καθ' ὃν τρόπον—λέγωμεν (ᵇ15—19) Vt τὸ δὲ om. t
3 πλέον P οὔτε V 4 ταῖς φυσικαῖς EFPVt 5 ἡ μὲν iterat Q
7 ἀποφατικὴ, post quod add. ὅτι QVt οὐ om. EFP 8 δὲ prius om. QVt
μετὰ πολλὰ (sc. c. 17 p. 36ᵇ35 sq.) FP: μετου (sic) πολλὰ E: μετ' οὐ πολὺ QVt
9 ἀντιστρέψει Qt ᾧ] ὡς εἰ V προσυπακούεται EFP 10 τὸ om. PQVt
εἰ δὲ V φησίν] τισὶν V δηλονότι om. EFP 11 τὸ prius e τῷ corr. V
τὸ alt. om. V λευκὸν e λευκῶν corr. V 12 ὑπάρξει EF, pr. P δὲ superscr. Q
13 an δὲ αὖ? ἡ om. Vt 14 post καταφατικὴ add. καὶ EF 15 ἀντιστρέψει V τι e τὸ corr. P 17 ὅτι ἂν P ἐν τῷ superscr. V: τῷ superscr. Q
διδάξῃ EF: διδάσκει P 19 μηδὲ EFP λουούμενον pr. Q, corr. Q¹ 20 φέρε εἰπεῖν om. EFP 21 τὸ om. QVt, at cf. p. 63,24 21. 22 ἄνθρωπον om. V 22 ταῦτα μᾶλλον μὴ εἶναι EFP τι scripsi cf. p. 63,26: τινι libri 23 τούτοις PVt
καὶ ταὐτὸ addidi εἶναι alt. om. QVt γοῦν Q τὸ ἐνδέχεται E
26 μὴ om. V 28 ζητοῦμεν Q ἐν τῷ Περὶ ἑρμ.] cf. p. 52,15 sq.
29 τῷ om. Q τόπω V συναπτούσας QVt

ἐκ μεταθέσεως καὶ οὐκ ἀποφάσεις ἐνταῦθα ὡς ἀποφάσεις παραλαμβάνει, νῦν XVIᵛ αὐτὸς ἐπισημειοῦται ὅτι, εἰ καὶ τῷ σχήματί εἰσι καταφατικαί, ἀλλ' οὖν δύναμιν ἔχουσιν ἀποφάσεων.

p. 25ᵇ21 Τὸ γὰρ ἐνδέχεται τῷ ἔστιν ὁμοίως τάττεται, τὸ δὲ ἔστιν, οἷς ἂν προσκατηγορῆται, κατάφασιν ἀεὶ ποιεῖ καὶ πάντως.

Ὥσπερ ἐν ταῖς ἐκ τρίτου προσκατηγορουμένου προτάσεσιν αἱ ἀποφάσεις ἐγίνοντο μόνῳ τῷ ἔστι συνταττομένου τοῦ ἀρνητικοῦ μορίου, εἰ δὲ ἄλλῳ τινὶ συνετάχθη, οἷον τῷ ὑποκειμένῳ, κατάφασις πάλιν ἐγίνετο | ἀόριστος, οὕτως καὶ ἐν ταῖς μετὰ τρόπου προτάσεσι τῷ τρόπῳ συν- XVIIʳ ταττομένου τοῦ ἀρνητικοῦ μορίου αἱ ἀποφάσεις ἐγίνοντο, εἰ δὲ τῷ κατηγορουμένῳ συνετάχθη, ἐκ μεταθέσεως ἐποίει κατάφασιν, ὡς ἐν τῷ Περὶ ἑρμηνείας δέδεικται. τοῦτο οὖν ἐστιν ὅ φησιν, ὅτι ἰσοδυναμεῖ τῷ ἔστιν ὁ τρόπος· ὥσπερ γὰρ τὸ ἔστιν, οἷς ἂν προσκατηγορῆται, κατάφασιν ποιεῖ, οἷον ὁ ἄνθρωπος ζῷόν ἐστιν, οὕτως καὶ ὁ τρόπος· ἐνδέχεται τὸν ἄνθρωπον φιλόσοφον εἶναι καὶ ἐνδέχεται μὴ εἶναι· κατηγορεῖται γὰρ αὐτοῦ τὸ ἐνδέχεται. διὰ δὲ τοῦ ἀεὶ σημαίνει αὐτῷ τὸ ἐπὶ παντὸς χρόνου τὸν λόγον ἀληθεύειν. τὸ δὲ πάντως τὸ ἐπὶ πάσης ὕλης.

p. 25ᵇ25 Κατὰ δὲ τὰς ἀντιστροφὰς ὁμοίως ἕξουσι ταῖς ἄλλαις.

Ποίαις ἄλλαις; ταῖς καταφατικαῖς τῶν ἁπλῶν δηλονότι· πρὸς γὰρ τὴν μερικὴν καταφατικὴν βούλεται καὶ ταύτας ἀντιστρέφειν, ὡς ἐν τοῖς ἑξῆς δείξει. εἰ γὰρ ἐνδέχεται μηδένα ἄνθρωπον περιπατεῖν, ἐνδέχεταί τι περιπατοῦν ἄνθρωπον εἶναι· οὐ γὰρ δὴ ἐνδέχεται μηδὲν περιπατοῦν ἄνθρωπον εἶναι. περιπατεῖ γὰρ καὶ ἵππος καὶ βοῦς καὶ κύων καὶ ἄλλα μυρία, καὶ οὐκ ἔστιν ἀληθὲς τὸ λέγειν ἐνδέχεσθαι ταῦτα μὴ εἶναι ἄνθρωπον· ἀνάγκη γὰρ μὴ εἶναι αὐτὰ ἄνθρωπον καὶ οὐκ ἐνδέχεται, ὡς ἤδη εἴπομεν· ὃ γὰρ ἐνδέχεται μὴ εἶναί τι, τοῦτο καὶ εἶναι ἐνδέχεται τὸ αὐτό. οὕτω μὲν οὖν αὗται. ἐὰν δὲ τὰς ὄντως ἀποφάσεις τοῦ ἐνδεχομένου λάβωμεν τὰς αὐτὸν τὸν τρόπον ἀναιρούσας, τὰς καθόλου φημί, εὑρήσομεν αὐτὰς τὴν ἀντιστροφὴν πρὸς ἑαυτὰς ποιουμένας· εἰ γὰρ οὐκ

---

1 post ἐνταῦθα add. δὲ EFP 2 ὅτι iterat V post ὅτι del. ἡ P
4 ἐνδέχεσθαι τὸ t 5 προσκατηγορεῖται Qt κατάφασεις EFP 6 αἱ om. QVt
7 ἐγένοντο Vt μόνου τοῦ EFP post δὲ add. καὶ V 8 ἄλλο E t
συντετάχθαι V ἐγένετο QVt 11. 12 ἐν τῷ Περὶ ἑρμ.] cf. p. 62,28
12 ἔστιν ὅ superscr. V ὅ om. P 13 προσκατηγορεῖται Pt κατάφασιν ποιεῖ
om. EFP 14 ὁ prius om. Vt 15 καὶ—εἶναι om. V 15. 16 [διὰ] τὸ δὲ
conicio 16 δὲ om. V τὸν λόγον om. Q post τὸν add. δὲ V 19 τὴν
ἁπλῆν V: om. EFP 21 δείξει] c. 17 p. 36ᵇ35 sq. 21. 22 ἐνδέχεται καὶ πάντα
τοῦντα EF 22. 23 οὐ γὰρ—εἶναι P: om. EFQVt 23 γὰρ om. V βοῦς καὶ
om. QVt 24 ταῦτα EFPQ: ἐν ταύταις Vt post εἶναι add. καὶ QVt
25 ἀνάγκη—ἄνθρωπον om. Vt ταῦτα μὴ εἶναι EF 26 εἴπομεν] p. 62,20 sq.
27. 28 λάβωμεν τοῦ ἐνδεχομένου E 28 post λάβωμεν add. λέγω δὲ QVt τὰς τὸν
αὐτὸν EFP τὰς alt. EFQ: τὰ PVt

ἐνδέχεταί τινα ἄνθρωπον ἵπτασθαι, οὐκ ἐνδέχεται οὐδὲ ἱπτάμενόν τι XVII r
ἄνθρωπον εἶναι. ἰσοδυναμεῖ γὰρ ἡ 'οὐκ ἐνδέχεταί τινα ἄνθρωπον ἵπτασθαι' 15
τῇ 'ἀνάγκη μηδένα ἄνθρωπον ἵπτασθαι· τῆς οὖν δευτέρας ἀντιστρεφούσης
πρὸς ἑαυτὴν καὶ ἡ πρώτη ἀντιστρέψει. πάλιν δὲ καὶ ἡ μερικὴ ἀποφατικὴ
5 ἡ 'οὐκ ἐνδέχεται πᾶν ζῷον γελαστικὸν εἶναι' ἐπειδὴ ἡ αὐτή ἐστι τῇ 'ἀνάγκη
μὴ πᾶν ζῷον γελαστικὸν εἶναι'. ἀορίστου δειχθείσης τῆς δευτέρας καὶ ἡ
πρώτη ἔσται ἀόριστος κατὰ τὴν ἀντιστροφήν.

p. 25b26 Διωρισμένων δὲ τούτων λέγομεν ἤδη διὰ τίνων καὶ πότε καὶ πῶς γίνεται πᾶς συλλογιμός. 20

10 Λοιπὸν εἰς τὸν περὶ συλλογισμῶν εἰσβάλλει λόγον. δεῖ δὲ ἡμᾶς, πρὶν εἰς τὴν ἐξέτασιν τοῦ ῥητοῦ ἐμβαλεῖν, τινὰ προλαβεῖν. ἐπειδὴ τοίνυν περὶ συλλογισμοῦ αὐτῷ ἐστι λόγος, ὁ δὲ συλλογιμὸς συλλογή ἐστι πλειόνων λόγων, δῆλον ὅτι ἐκ μιᾶς εἶναι προτάσεως ἀδύνατον τὸν συλλογισμόν· ὅτι γὰρ συλλογή ἐστι πλειόνων λόγων, αὐτό τε τὸ ὄνομα αὐτοῦ δηλοῖ καὶ ὁ παρὰ τοῦ Ἀριστοτέ-
15 λους ἀποδεδομένος αὐτοῦ ὁρισμός. εἰ δὲ τοῦτό ἐστιν ἀληθές, ἀνάγκη τὸν 25
συλλογισμὸν τοὐλάχιστον ἐκ δύο προτάσεων εἶναι. ταύτας δὲ τὰς δύο προτάσεις ἀνάγκη ἢ κατ' ἀμφοτέρους τοὺς ὅρους κοινωνεῖν ἢ κατ' ἀμφοτέρους διαφέρειν ἢ καθ' ἕτερον μὲν κοινωνεῖν καθ' ἕτερον δὲ διαφέρειν, καὶ οὐκ ἔστι παρὰ ταῦτα. εἰ μὲν οὖν κατ' ἀμφοτέρους τοὺς ὅρους κοινωνοῖεν,
20 μονολήμματος ὑπάρχει ὁ συλλογισμός, καὶ οὐ γίνεται ἕτερον τῶν προτάσεων τὸ συμπέρασμα, ὅπερ ὁ τοῦ συλλογισμοῦ ὅρος βούλεται· συλλογισμὸς γάρ ἐστι "λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης 30
συμβαίνει". ἀλλ' οὐδὲ εἰ κατ' ἀμφοτέρους τοὺς ὅρους διαφέροιεν αἱ προτάσεις, ἔσται συλλογισμός, ἐπεὶ οὐδὲ συμπεραίνουσί τι αἱ προτάσεις μηδενὸς
25 ὄντος κοινοῦ ὅρου τοῦ τὰ ἄκρα συνδέοντος. λείπεται οὖν καθ' ἕτερον τῶν ὅρων διαφέρειν καθ' ἕτερον δὲ κοινωνεῖν τὰς ἐν συλλογισμῷ παραλαμβανομένας προτάσεις. οὐκοῦν πᾶς συλλογισμὸς ἐκ τριῶν ὅρων σύγκειται, τῶν τε δύο ἄκρων καὶ τοῦ μέσου, ὅς ἐστι κοινὸς τῶν δύο προτάσεων καὶ διὰ τοῦτο μέσος καλούμενος, καὶ τοὺς λοιποὺς ὅρους κεχωρισμένους ἀπ' ἀλλήλων διὰ τοῦ μέσου συνάπτει. τοῦτον 35
30 οὖν τὸν μέσον ὅρον ἀνάγκη ἤτοι ἐν μὲν τῇ ἑτέρᾳ τῶν προτάσεων ὑποκεῖσθαι ἐν δὲ τῇ ἑτέρᾳ κατηγορεῖσθαι ἢ ἐν ἀμφοτέραις κατηγορεῖσθαι ἢ ἐν ἀμφοτέραις ὑποκεῖσθαι. κἀντεῦθεν ἡμῖν ἡ διαφορὰ τῶν τριῶν ἀναφαίνεται σχημάτων·

4 ἀντιστρέφει EF 5 παντὶ V ἐστι om. EF 6 μὴ om. EFPV post ἀορίστου add. δὲ EF 7 ἀντιστροφήν] huc usque EF post ἀντιστροφήν dimidiam paginam vacuam reliquit P (incipit hinc alia manus) 8 λέγωμεν t, corr. Q (corr. d) τίνος, ut videtur, Q 9 πᾶς om. QV 10 συμβάλλει V 11 ἐμβάλλειν Vt τινα] ὧν α' V 12 ante λόγος add. ὁ P 13. 14 δῆλον—λόγων om. V 16. 17 τὰς προτάσεις τὰς δύο Q 19 οὖν om. Qt 21 ὁ om. P 22 λόγος P: om. QVt cf. p. 24b18 24 μηδενὸς] δενὸς superscr. Q¹ 26 διαφέρειν iterat V 28 κοινωνὸς QVt καὶ prius om. QVt καὶ alt. P: διὰ τὸ QVt 29 συνάπτει scripsi: συνάπτειν libri 30. 31 ὑποκεῖσθαι—κατηγορεῖσθαι QVt 32 φαίνεται τῶν τριῶν Q

ὅταν μὲν γὰρ ὁ μέσος ὅρος τῷ μὲν ὑπόκειται τῶν ἄκρων, τοῦ δὲ κατη- XVII r
γορῆται, γίνεται τὸ πρῶτον σχῆμα· τὸ δὲ δεύτερον, ὅταν ὁ μέσος ὅρος
ἀμφοτέρων τῶν ἄκρων κατηγορῆται· τὸ δὲ τρίτον, ὅταν ὁ μέσος ὅρος ἀμφοτέροις
τοῖς ἄκροις ὑπόκειται. αἰτία δὲ τῆς εἰρημένης τάξεως τῶν σχημάτων αὕτη·
ἐπεὶ γὰρ κατὰ τὴν διάφορον τοῦ μέσου πρὸς τοὺς ἄκρους σχέσιν τὴν
τῶν σχημάτων θέσιν ἀναγκαῖον ἐπινοεῖν, ἰστέον ὅτι ὁ μέσος τότε ἐστὶ
κυρίως μέσος καὶ τὴν ἑαυτοῦ σώζει προσηγορίαν τε καὶ τάξιν, ὅταν τῷ μὲν
ἑτέρῳ τῶν ἄκρων ὑπόκειται καὶ ὥσπερ ὑφειμένος αὐτοῦ λαμβάνηται, τοῦ δὲ
ἑτέρου κατηγορῆται καὶ ὥσπερ ἐν κρείττονι τάξει αὐτοῦ θεωρῆται (κρεῖττον
γὰρ ἀεὶ τὸ κατηγορούμενον τοῦ ὑποκειμένου, ὅτι τε ὡς ἐπὶ τὸ πολὺ ἐπὶ
πλέον ἐστὶν ὁ κατηγορούμενος τοῦ ὑποκειμένου, καὶ ὅτι ὁ μὲν ὑποκείμενος
ὕλης λόγον ἐπέχει, ὁ δὲ κατηγορούμενος εἴδους· καὶ γὰρ ἡ ὕλη ὑπόκειται τοῖς
εἴδεσιν), ὁπηνίκα δὲ ὁ μέσος ὅρος ἀμφοτέρων τῶν ἄκρων κατηγορεῖται ἢ
ἀμφοτέροις ὑπόκειται, οὐκέτι κυρίως ἐστὶ μέσος. ἐπειδὴ τοίνυν ἐκβεβηκότι
αὐτῷ τὴν τοῦ μέσου τάξιν κρεῖττόν ἐστι τὸ κατηγορεῖσθαι ἢ τὸ ὑποκεῖσθαι,
διὰ τοῦτο πρῶτον μὲν λέγεται σχῆμα, ὅταν ὁ μέσος ὅρος τὴν ἑαυτοῦ φυλάττων
τάξιν τῷ μὲν ὑπόκειται, τοῦ δὲ κατηγορῆται· δεύτερον δὲ σχῆμα ἐν ᾧ
ἀμφοτέρων κατηγορεῖται, ἐν ᾧ καὶ δευτέραν μὲν ἀμείνονα δὲ τῆς λοιπῆς
ἀπείληφε τάξιν· τρίτον δὲ σχῆμα ἐν ᾧ ὁ μέσος ὅρος ἀμφοτέροις τοῖς
ἄκροις ὑπόκειται, ἔνθα καὶ τὴν ἐσχάτην τάξιν ἀπείληφε. διὸ κατὰ μὲν τὸ
πρῶτον σχῆμα ἐπ' εὐθείας γράφεται τοῖς ἄκροις | ὁ μέσος ὅρος, κατὰ XVII v
δὲ τὸ δεύτερον ὑπεράνω, κατὰ δὲ τὸ τρίτον ὑποκάτω. ἔστι δὲ καὶ ἑτέρωθεν
τὴν τάξιν αὐτῶν θεωρῆσαι. διότι γὰρ ἐν μὲν τῷ πρώτῳ σχήματι πάντα
συνάγεται τὰ συμπεράσματα, καὶ τὰ καθόλου καὶ τὰ μερικά, καὶ τὰ κατα-
φατικὰ καὶ τὰ ἀποφατικά, διὰ τοῦτο τὸ τοιοῦτον σχῆμα τὴν πρώτην ἀπεί-
ληφε τάξιν. ἐν δὲ τῷ δευτέρῳ σχήματι ἐπειδὴ καταφατικὸν μὲν οὐδὲν
συνάγεται συμπέρασμα ἀλλὰ πάντα ἀποφατικά, καθόλου τε καὶ μερικά,
διὰ ταῦτα τοῦτο τὴν δευτέραν ἐπέχει τάξιν. ἐν δὲ τῷ τρίτῳ μόνα μερικὰ
συνάγεται συμπεράσματα, καθόλου δὲ οὐδέν· ὅθεν καὶ τὴν ἐσχάτην ἔλαχε
τάξιν. ἔστι δὲ κάλλιστόν τε καὶ ἀποδείξει πρεπωδέστατον σχῆμα ἐν ᾧ
πάντα συνάγεται τὰ συμπεράσματα, τά τε ἐν τοῖς ἄλλοις συναγόμενα σχή-
μασι καὶ ἔτι πρὸς τούτοις τὸ καθόλου καταφατικόν, ὃ διαφερόντως μὲν
σπουδάζεται ταῖς ἀποδεικτικαῖς ἐπιστήμαις, οὐδέτερον δὲ τῶν λοιπῶν σχη-
μάτων συνάγειν δύναται. δευτέραν δ' ἔχει τάξιν τὸ τὸ καθόλου ἀποφατικὸν
συνάγον· τοῦτο γὰρ οἰκειότερον ἀποδείξει τοῦ μηδὲν καθόλου συνάγοντος·

1 τῶι (ante δὲ) P 1. 2 κατηγορεῖται PQt 3 τῶν ἄκρων om. P κατη-
γορεῖται Pt, pr. Q 4 τοῖς εἰρημένοις V 5 διαφορὰν P σύνθεσιν QVt
7 τε om. V 8 ὑφειμένου Qt λαμβάνεται Pt 9 κατηγορεῖται Pt, pr. Q
θεωρεῖται Pt 12 ἡ γὰρ, omisso καὶ Q 15 τὸ alt. om. QVt 16 μὲν
πρῶτον PQ ὅτι P αὐτοῦ QVt 17 τοῦ μὲν P κατηγορεῖται Pt
17. 18 δεύτερον—κατηγορεῖται om. V 17 δὲ alt. om. t 22 ἑτέρωθε Q
23 αὐτοῦ V 24 τὰ (ante καταφ.) P: om. QVt 24. 25 καταφατικὰ] κὰ superscr. Q
25 καὶ om. V τὰ om. Q ante διὰ add. καὶ P 25. 26 ἀνείληφε PQt
26. 27 συνάγεται οὐδὲν Q 28 μόνα scripsi cf. p. 66,5: μόνω libri 34 τὸ alt.
om. P 35 συνάγειν (ante τοῦτο) V: συνάγων t

αἱ γὰρ ἀποδεικτικαὶ ἐπιστῆμαι μερικὸν μὲν οὐδὲν προτίθενται οὐδέποτε XVIIv κατασκευάζειν ἀλλὰ τὸ καθόλου· τοῦτο δὲ οὐ πάντως καταφατικὸν ἀλλ' ἔστιν ὅτε καὶ ἀποφατικόν, εἰ καὶ σπανίως, διότι προηγουμένως βουλόμεθα διὰ τῶν ἀποδείξεων τὰ καθ' αὑτὰ παρακολουθοῦντα ἑκάστῳ τῶν ὄντων θεωρεῖν. ἔσχατον δὲ δῆλον ὅτι διὰ τῶν εἰρημένων ληφθήσεται τὸ μόνα τὰ μερικὰ συνάγον ὡς ἄχρηστον πρὸς ἀπόδειξιν. ἔστι δὲ καὶ ἄλλην πραγματειωδεστέραν αἰτίαν ἀποδοῦναι περὶ τῆς τῶν σχημάτων τάξεως. ἰστέον ὅτι ἡ ψυχὴ ἡ ἡμετέρα μέσην εἴληφε τάξιν τῶν τε ἀιδίως ὄντων καὶ τῶν ἐν γενέσει καὶ φθορᾷ, τῶν μὲν χείρων οὖσα τῶν δὲ κρείττων. ταύτῃ τὸ πρῶτον σχῆμα ἀναλογεῖ· ὁ γὰρ ἐν αὐτῷ μέσος ὅρος τοῦ μὲν ἑτέρου τῶν ἄκρων κατηγορεῖται, οὗ καὶ κρείττων ἐστί, τῷ δὲ ἑτέρῳ ὑπόκειται, οὗ καὶ χείρων ἐστίν. ὁμοίως δὲ καὶ ἡ φύσις μέσον τι πρᾶγμα λέγεται τῶν εἰδῶν· οὐ γὰρ μᾶλλον θάτερον τοῦ ἑτέρου προσίεται· οἷον οὐ πλέον τοῦ μέλανος τὸ λευκὸν προσίεται ἢ τὸ μέλαν τοῦ λευκοῦ καίτοι κρείττων αὐτῶν οὖσα. ᾗ ἀναλογεῖ τὸ δεύτερον σχῆμα· τὸν γὰρ μέσον ὅρον ἔχει ἐν ἀμφοτέραις ταῖς προτάσεσι κατηγορούμενον καὶ διὰ τοῦτο ἑκατέρου τῶν ὅρων κρείττονα. ἐπὶ τούτοις λέγεται καὶ ἡ ὕλη μέσον τι χρῆμα εἶναι ὡς πρὸς τὰ εἴδη· πᾶσι γὰρ ὁμοίως ἐξήπλωται χείρων αὐτῶν ὑπάρχουσα. καὶ ταύτῃ τὸ τρίτον σχῆμα ὅμοιόν ἐστιν· ἐν ἑκατέρᾳ γὰρ τῶν προτάσεων ὁ μέσος ὅρος ὑπόκειται χείρων αὐτῶν διὰ τοῦτο ὑπάρχων. ἐπεὶ οὖν τὸ πρῶτον σχῆμα τῇ ψυχῇ ἀναλογεῖ, αὕτη δὲ τῶν ἄλλων δύο τιμιωτέρα, τῆς τε φύσεώς φημι καὶ τῆς ὕλης, τοῦτο τῶν ἄλλων εἰκότως ἂν εἴη τιμιώτερον, καὶ διὰ τοῦτο πρῶτον λεχθήσεται. δεύτερον δὲ τὸ τῇ φύσει ἀναλογοῦν· αὕτη γὰρ τῆς μὲν ψυχῆς χείρων ἐστὶ τῆς δὲ ὕλης κρείττων. καὶ τρίτον τὸ τῇ ὕλῃ παραπλήσιον· ὥσπερ γὰρ αὕτη παντός ἐστιν ἐσχάτη, οὕτω καὶ ἐν τῷ τρίτῳ σχήματι ὁ μέσος ὅρος τῶν λοιπῶν ἐστιν ἀτιμότερος.

Περὶ μὲν οὖν τῶν σχημάτων καὶ τῆς τάξεως αὐτῶν ἱκανῶς ἡμῖν εἴρηται. ἄξιον δὲ ζητῆσαι καὶ περὶ τῆς ὀνομασίας αὐτῶν, διὰ τί σχήματα αὐτὰ ὁ Ἀριστοτέλης ἐκάλεσεν. φαμὲν οὖν ὅτι πανταχοῦ φιλογεωμέτρης ὢν ὁ φιλόσοφος ἐξομοιῶσαι βούλεται τὰ περὶ τοῦ συλλογισμοῦ τοῖς κατὰ γεωμετρίαν, καὶ διὰ τοῦτο τοῖς ἐκεῖσε ὀνόμασι κατὰ ἀναλογίαν κἀνταῦθα κέχρηται. τρία γάρ ἐστι ταῦτα ἐφεξῆς ἀλλήλοις ἐν γεωμετρίᾳ, τὰ σημεῖα, αἱ γραμμαί, τὰ σχήματα. καὶ τὰ μὲν σημεῖα μόνως πέρατά φασιν οὐδαμῶς περατούμενα, τὰς δὲ γραμμὰς εὐθὺς μετὰ τὰ σημεῖα πρώτην διάστασιν ἐσχηκέναι, τὴν κατὰ μῆκος μόνην, τῶν σημείων ἀδιαστάτων ὄντων παντελῶς καὶ προσεχῶς τὰς γραμμὰς περατούντων, ἃς καλοῦσι καὶ δια-

1 ἐπιστῆμαι αἱ ἀποδεικτικαὶ P 6 συνάγων t ἔτι Q 6. 7 πραγματιωδεστέραν PVt 8 ἡ ἡμετέρα ψυχὴ V 11 κατηγορῆται V τοῦ δὲ ἑτέρου P καὶ alt. om. V 13 et 14 προίεται P 14 μέλλανος V post λευκὸν add. οὐ V αὐτῶν scripsi: αὐτοῦ libri 20 τούτων pr. Q, corr. Q¹ 22 τιμιώτερον] ο ex α corr. Q¹ 29 ὁ ἀριστοτέλης αὐτὰ Q ὁ om. V 30 τοῦ om. Q τοὺς συλλογισμοὺς P 33 μὲν om. Q φασιν pr. P: φησιν QVt, corr. P¹ 34 post περατούμενα add. καὶ μόνως ὅροις οὐδαμῶς ὁριζόμενα P 36 καὶ alt. om. QVt

στήματα· πρώτην μὲν οὖν ἔχειν ἐν τοῖς μεγέθεσι τάξιν τὰς γραμμὰς ὡς πρώ- XVII^{v}
τας ἐσχηκυίας τὸ πόθεν ποῦ. μετὰ δὲ τὰς γραμμὰς τρίτην ἔχουσι τάξιν ἀπὸ
τῶν σημείων τὰ σχήματα, συμπληρούμενά τε ὑπὸ τῶν γραμμῶν καὶ περα-
τούμενα, οἷον τὸ τρίπλευρον ἢ τὸ τετράπλευρον ἤ τι τοιοῦτον· ῥυϊσκόμενον
5 γὰρ τὸ σημεῖον γεννᾷ τὴν γραμμήν, αἱ δὲ γραμμαὶ συντιθέμεναι ποιοῦσι 40
τὰ σχήματα. ἐκ τούτων τοίνυν καὶ αὐτὸς τὰς μὲν ἁπλᾶς φωνάς, ὧν οὐδὲν
ἁπλούστερον ἐν τῇ λογικῇ πραγματείᾳ καὶ ὡς πρὸς φιλόσοφον σκέψιν, καὶ
κατὰ τοῦτο τοῖς σημείοις ἀναλογούσας ὅρους ὠνόμασεν· τὰς δέ γε ἐκ τῶν
ἁπλῶν φωνῶν προσεχῶς συμπληρουμένας προτάσεις, ἅσπερ διὰ τὸ γραμμαῖς
10 ἐοικέναι διαστήματα καλεῖ, ὡς ἀκουσόμεθα αὐτοῦ προϊόντος· περιγράφουσι
γὰρ καὶ ὁρίζουσι τὰς μὲν προτάσεις αἱ ἁπλαῖ φωναί· ἐκ δὲ τῆς διαφόρου 45
συνθέσεως τῶν προτάσεων οἱ συλλογισμοὶ γεννῶνται, οὕσπερ καλεῖ σχήματα
καθάπερ οἱ γεωμέτραι τὰ ὑπὸ τῶν γραμμῶν περιεχόμενα.

Μετὰ ταῦτα ἄξιον προλαβεῖν ποσαχῶς δυνατὸν συμπλέξαι τὰς ἐν τῷ
15 συλλογισμῷ παραλαμβανομένας προτάσεις καθ' ἕκαστον σχῆμα, καὶ ποῖαι
μὲν τῶν συμπλοκῶν τῶν προτάσεών εἰσι συλλογιστικαὶ ἐν ἑκάστῳ σχήματι,
ποῖαι δὲ ἀσυλλόγιστοι. ἵνα δὲ τοῦτο γνῶμεν, δεῖ προλαβεῖν τίς ἐστιν ἐν
τῷ συλλογισμῷ μείζων πρότασις καὶ τίς ἐλάττων. καὶ πάλιν ἵνα τοῦτο 50
γνῶμεν, ἴδωμεν πρότερον καὶ τίς ἐστι μείζων ὅρος καὶ τίς ἐλάττων.
20 τοῦτο δὲ δυνατὸν μὲν καὶ κοινῶς ἐπὶ τῶν τριῶν σχημάτων διορίσασθαι
καὶ ἰδίᾳ ἐπὶ τοῦ πρώτου. καὶ ἰδίᾳ μὲν ἐπὶ τοῦ πρώτου σχήματος μείζων
ὅρος ἐστὶν ὁ τοῦ μέσου κατηγορούμενος, ἐλάττων δὲ ὁ τῷ μέσῳ ὑποκεί-
μενος. καὶ τοῦτο μὲν ἰδιαζόντως ἐπὶ τοῦ πρώτου λέγομεν, ἐπειδὴ ὁ
μέσος ἐν τῷ πρώτῳ τοῦ μὲν κατηγορεῖται τῷ δὲ ὑπόκειται. ἀλλ' ἐπειδὴ
25 κατ' οὐδέτερον τῶν ἄλλων σχημάτων διάφορον ἔχουσι σχέσιν οἱ ἄκροι |
πρὸς τὸν μέσον, δῆλον ὅτι οὐκέτι ἁρμόσει ἡμῖν οὗτος ὁ προσδιορισμὸς XVIII^{r}
ἐπ' ἐκείνων. χρηστέον οὖν κοινῷ κανόνι ἐπὶ τῶν τριῶν σχημάτων τούτῳ,
ὅτι μείζων ἐστὶν ὅρος ὁ ἐν τῷ συμπεράσματι κατηγορούμενος, ἐλάττων δὲ
ὁ ἐν τῷ συμπεράσματι ὑποκείμενος. καὶ μείζων μὲν ἔσται πρότασις ἡ τὸν
30 μείζονα ὅρον ἔχουσα, ἐλάττων δὲ ἡ τὸν ἐλάττονα. παράδειγμα τοῦ μὲν 5
πρώτου σχήματος 'ὁ ἄνθρωπος ζῷον, τὸ ζῷον οὐσία, ὁ ἄνθρωπος ἄρα
οὐσία'· ἔστι συμπέρασμα ἡ λέγουσα 'ὁ ἄνθρωπος ἄρα οὐσία'· ὑπόκειται ὁ
ἄνθρωπος, κατηγορεῖται δὲ ἡ οὐσία· οὐκοῦν μείζων μὲν ὅρος ἡ οὐσία,
ἐλάττων δὲ ὁ ἄνθρωπος, καὶ διὰ τοῦτο μείζων μὲν πρότασις ἡ λέγουσα 'τὸ
35 ζῷον οὐσία', ἐλάττων δὲ ἡ λέγουσα 'ὁ ἄνθρωπος ζῷον'. τοῦ δὲ δευτέρου 10
'τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου, τὸ ζῷον κατ' οὐδενὸς λίθου'· 'ὁ ἄνθρωπος

1 μὲν om. PQt 2 τρίτην ἔχουσι om. Q 4 τὸ alt. om. QVt 6 καὶ αὐτὸς mrg. V 9 πληρουμένας Q 10 ἀκουσόμεθα] velut p. 26ᵇ21 13 τῶν om. V 15 ὁποῖαι P 19 εἴδωμεν P καὶ prius om. P 20 post δὲ add. καὶ V 21 ἐπὶ alt. om. V 26 τὸ P 27 κοινῷ om. Q 29 ἔστι Q: ἐστιν P 30 παραδείγματα Vt 32 ἄρα om. P 32. 33 ὑπόκειται—δὲ ἡ οὐσία in ras. V 34 μὲν μείζων ἐστὶν πρότασις V 35 post λέγουσα del. τὸ ζ Q 36 οὐδενὸς supra παντὸς scr. V² ὁ ἄνθρωπος—p. 68,1 λίθου om. P

ἄρα κατ' οὐδενὸς λίθου' τὸ συμπέρασμα· ὑπόκειται ὁ λιθος, κατηγορεῖται ὁ XVIII r
ἄνθρωπος· μείζων ὅρος ὁ ἄνθρωπος, ἐλάττων ὁ λίθος. καὶ διὰ τοῦτο
μείζων μὲν πρότασις ἡ λέγουσα 'τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου', ἐλάττων
δὲ ἡ λέγουσα 'τὸ ζῷον κατ' οὐδενὸς λίθου'. τοῦ τρίτου δὲ 'τὶς λίθος λευκός, 15
5 πᾶς λίθος ἄψυχος', καὶ τὸ συμπέρασμα 'τὶ λευκὸν ἄψυχον'· ὑπόκειται τὸ
λευκόν, κατηγορεῖται τὸ ἄψυχον· οὐκοῦν μείζων ὅρος τὸ ἄψυχον, ἐλάττων
δὲ τὸ λευκόν, καὶ διὰ τοῦτο μείζων μὲν πρότασις ἡ λέγουσα 'πᾶς λίθος
ἄψυχος', ἐλάττων δὲ ἡ λέγουσα 'τὶς λίθος λευκός ἐστι'. τούτων οὖν προ-
ληφθέντων ἴδωμεν λοιπὸν πόσαι γίνονται συζυγίαι καθ' ἕκαστον σχῆμα ἐκ
10 τῶν συμπλοκῶν τῶν προτάσεων. λέγομεν οὖν ὅτι ἓξ οὐσῶν πασῶν τῶν
προτάσεων, δύο μὲν τῶν προσδιωρισμένων, τῷ καθόλου λέγω προσδιορισμῷ 20
καὶ τῷ μερικῷ, καὶ ἔτι μιᾶς τῆς ἀπροσδιορίστου, καὶ τούτων ἢ κατα-
φατικῶν ἢ ἀποφατικῶν, ἓξ εἴδη γίνονται μόνα προτάσεων, καὶ οὔτε πλείονά
ἐστιν οὔτε ἐλάττονα· τὰς γὰρ καθ' ἕκαστα ὡς ἀπείρους καὶ περὶ γεννητῶν
15 καὶ φθαρτῶν διαλεγομένας οὐ παραλαμβάνει ὁ φιλόσοφος ὡς ἀχρήστους
οὔσας εἰς ἀπόδειξιν. ἓξ τοίνυν εἰδῶν ὄντων τῶν προτάσεων συμβαίνει
καθ' ἕκαστον σχῆμα ἐκ τῆς τούτων συμπλοκῆς τριάκοντα καὶ ἓξ γίνεσθαι
συζυγίας. ἐπειδὴ γάρ, ὡς εἴπομεν, ἕκαστος συλλογισμὸς δύο ἔχει προ- 25
τάσεις, ἀνάγκη δὲ ἑκάστην τῶν προτάσεων καθ' ἕν τι τῶν ἓξ εἰδῶν τούτων
20 χαρακτηρίζεσθαι (ἢ γὰρ καθόλου ἐστὶ προσδιωρισμένη ἢ μερικὴ ἢ ἀπροσδιό-
ριστος, καὶ καθ' ἕκαστον τούτων ἢ καταφατικὴ ἢ ἀποφατική), ἐὰν φέρε εἰπεῖν
λάβωμεν τὴν μείζονα πρότασιν καθόλου οὖσαν καταφατικήν, ἀνάγκη πᾶσα
καὶ τὴν ἐλάττονα ἑξαχῶς ποικίλλεσθαι· ἢ γὰρ καὶ αὕτη καθόλου ἔσται κα-
ταφατικὴ ἢ καθόλου ἀποφατική, ἢ μερικὴ καταφατικὴ ἢ μερικὴ ἀποφατική,
25 ἢ ἀπροσδιόριστος καταφατικὴ ἢ ἀπροσδιόριστος ἀποφατική. πάλιν τῆς 30
μείζονος οὔσης καθόλου ἀποφατικῆς ἀνάγκη πάλιν τὴν ἐλάττονα ἑξαχῶς
ποικίλλεσθαι· ἢ γὰρ καὶ αὕτη καθόλου ἐστὶν ἀποφατικὴ ἢ καθόλου κατα-
φατική, ἢ μερικὴ καταφατικὴ ἢ μερικὴ ἀποφατική, ἢ ἀπροσδιόριστος κατα-
φατικὴ ἢ ἀπροσδιόριστος ἀποφατική. καὶ ἐπὶ τῶν λοιπῶν προσδιορισμῶν
30 ὁμοίως. ὥστε ἓξ εἰδῶν ὄντων τῶν προτάσεων καὶ τῆς μὲν μείζονος ἀεὶ
λαμβανομένης κατὰ μίαν τῶν ἕξ, ποικιλλομένης δὲ τῆς ἐλάττονος κατὰ τὰ
αὐτὰ ἓξ εἴδη ἑξάκις τὰ ἓξ γίνονται λς'. ὥστε καθ' ἕκαστον σχῆμα λς' 35
συζυγίαι προτάσεων γίνονται, τῷ εἴδει λέγω· αἱ γὰρ καθ' ἕκαστα ἄπειροι
τὸν ἀριθμόν. οὕτω μὲν οὖν συντόμως ἡμῖν εὕρηται τῶν κατὰ τὰς συμ-

1 τῷ συμπεράσματι V 2 post ἐλάττων add. δὲ P 3 μὲν μείζων V
τὸ ζῷον supra ἡ λέγουσα delet. scr. V² 4 τὸ om. Qt δὲ alt. om. P
τὶς] πᾶς V 4. 5 λευκὸν—ἄψυχον P 7 post μὲν add. ἐστι V 8 ἄψυχον P
8. 9 προβληθέντων P: προσληφθέντων V 9 εἴδωμεν P 10 τῶν alt. del., ut
videtur V 12 τῶν ἀπροσδιορίστων pr. Q, corr. Q¹ 14 ἐστιν om. P 15 οὔτε
λαμβάνει V 17 post τῆς add. περὶ P 18 εἴπομεν] p. 64,15 sq. 19 ἑκάστη V
21 καταφατικὸν ἢ ἀποφατικόν V 25 πάλιν—29 ἀποφατική om. V 27 αὐτὴ Qt
immo ἔσται ut vs. 23 καταφατικὴ t 27. 28 καταφατικὴ P, corr. Q¹: ἀποφατικὴ t,
pr. Q 29. 30 ὁμοίως προσδιορισμῶν t 31. 32 κατὰ τὰ αὐτὰ Vt: καταυτὰ P: κατὰ
τὰ Q 33 προτάσεις V 34 οὖν om. V post ἡμῖν III fere litt. eras. P

πλοκὰς τῶν προτάσεων γινομένων εἰδῶν ὁ ἀριθμός. ἔστι δὲ καὶ γλαφυ- XVIIIr
ρώτερον τὸ αὐτὸ τοῦτο δεῖξαι διά τινος ποικιλωτέρας διαιρέσεως τοιαύτης.
αἱ προτάσεις αἱ παραλαμβανόμεναι ἐν τῷ συλλογισμῷ ἢ ἀμφότεραί εἰσι
προσδιωρισμέναι ἢ ἀμφότεραι ἀπροσδιόριστοι ἢ ἡ μὲν προσδιωρισμένη ἡ
5 δὲ ἀπροσδιόριστος. καὶ οὐκ ἔστι παρὰ ταύτας. καὶ εἰ ἄμφω εἰσὶ προσ- 40
διωρισμέναι, ἢ ἀμφότεραι τῷ καθόλου ἢ ἀμφότεραι τῷ μερικῷ, ἢ ἡ μὲν
μείζων τῷ καθόλου ἡ δὲ ἐλάττων τῷ μερικῷ ἢ ἀνάπαλιν. οὕτω μέν, εἰ
ἀμφότεραι εἶεν προσδιωρισμέναι. εἰ δὲ ἡ μὲν εἴη προσδιωρισμένη ἡ δὲ
ἀπροσδιόριστος, ἢ τῷ καθόλου προσδιορισμῷ ἢ τῷ μερικῷ· καὶ εἰ τῷ
10 καθόλου, ἢ ἡ μὲν μείζων προσδιωρισμένη ἡ δὲ ἐλάττων ἀπροσδιόριστος
ἢ ἔμπαλιν· καὶ εἰ τῷ μερικῷ, ἢ ἡ μείζων πάλιν προσδιωρισμένη ἡ δὲ
ἐλάττων ἀπροσδιόριστος ἢ ἔμπαλιν. οὕτω καὶ εἰ ἡ μὲν εἴη προσδιωρισμένη
ἡ δὲ ἀπροσδιόριστος. τὸ δὲ ἕτερον τῆς διαιρέσεως σκέλος, λέγω δὴ τὸ λέγον 45
τὰς δύο εἶναι ἀπροσδιορίστους, τὴν ἀπὸ τοῦ ποσοῦ ὑποδιαίρεσιν οὐκ ἐπιδέχεται.
15 ἐννέα οὖν τῶν πάντων τμημάτων γινομένων ἀπὸ τῆς τοῦ ποσοῦ διαιρέσεως,
ἢ ἐξ ἀμφοτέρων καθολικῶν ἢ ἐξ ἀμφοτέρων μερικῶν, καὶ τρίτον τῆς μὲν
μείζονος καθόλου τῆς δὲ ἐλάττονος μερικῆς, τέταρτον τῆς μὲν ἐλάττονος
καθόλου τῆς δὲ μείζονος μερικῆς, πέμπτον τῆς μὲν μείζονος καθόλου τῆς
δὲ ἐλάττονος ἀπροσδιορίστου, ἕκτον τῆς ἐλάττονος καθόλου τῆς δὲ μείζονος 50
20 ἀπροσδιορίστου, ἕβδομον τῆς μείζονος μερικῆς τῆς δὲ ἐλάττονος ἀπροσδιο-
ρίστου, ὄγδοον τῆς ἐλάττονος μερικῆς τῆς δὲ μείζονος ἀπροσδιορίστου,
ἔνατον ἀμφοτέρων ἀπροσδιορίστων, ταύτης οὖν τῆς διαιρέσεως τὰς ἐννέα δια-
φορὰς ἐκ τοῦ ποσοῦ ἀναδειξάσης ἡμῖν ποιησόμεθα τὴν ἐπιδιαίρεσιν τούτων
πάντων κατὰ τὸ ποιόν. ἐν γὰρ ἑκάστῳ τμήματι ἀνάγκη ἢ ἀμφοτέρας εἶναι
25 καταφατικὰς ἢ ἀμφοτέρας ἀποφατικάς, ἢ τὴν μὲν καταφατικὴν τὴν δὲ ἀπο-
φατικήν, καὶ τοῦτο διχῶς· ἢ γὰρ | ἡ μὲν μείζων καταφατικὴ ἡ δὲ XVIIIv
ἐλάττων ἀποφατική, ἢ ἔμπαλιν. ἑκάστου οὖν τμήματος κατὰ τὸ ποιὸν
τετραχῶς ποικιλλομένου τετράκις τὰ ἐννέα αἱ πᾶσαι γίνονται λς'. ἐκθησό-
μεθα δὲ καὶ ἐπὶ τῆς καταγραφῆς πρὸς τὸ εὐσύνοπτον τὴν εἰρημένην διαίρεσιν. |
30 Ἐπεὶ οὖν δέδεικται λς' μόνας γίνεσθαι καθ' ἕκαστον σχῆμα ἐκ τῆς XIXr
τῶν προτάσεων συμπλοκῆς τὰς συζυγίας, ἄξιον ἐπὶ τούτοις ζητῆσαι ποῖαι
μέν εἰσιν ἐξ αὐτῶν αἱ συλλογιστικαὶ καθ' ἕκαστον σχῆμα συζυγίαι, ταύτὸν
δὲ εἰπεῖν αἱ ἕν τι μόνον καὶ ὡρισμένον ἔχουσαι ταῖς προτάσεσιν ἐπόμενον
συμπέρασμα (τοῦτο γὰρ ἐλέγομεν εἶναι συλλογισμόν). ἔτι δὲ καὶ ποῖαι
35 ἀσυλλόγιστοι. ἵνα δὲ τοῦτο γνῶμεν, δεῖ πρότερον εἰπεῖν, πόσα δεῖ παρα- 5
φυλάττεσθαι καὶ ποῖα ἐπὶ τῶν τριῶν σχημάτων, συνάγοντας ⟨εἰς⟩ εἴδη τὰ κατ'

1. 2 γλαφυρώτατον Vt 2 τοῦτο om. Q ταύτης PVt 6. 7 ἡ μὲν τῶι μείζονι καθόλου P 9 τὸ P 11 ἢ prius PQ: καὶ Vt 12 post ἐλάττων del. πάλιν V εἰ ἡ PQ: εἰ V: ἡ t 13 τὸ λέγον om. P 15 πάντων] προτων (sic) P 16 καθόλου Vt μὲν om. PQ 18 καθολικῆς (post ἐλάττ.) Q τῆς alt. om. V 19 ἀπροσδιορίστου in ras. V 23. 24 πάντων τούτων P 24 τὸ om. P 27 τὸ om. P 28 τὰ om. Vt αἱ πᾶσαι om. V 28. 29 ἐκθησόμεθα—διαίρεσιν om. Q 30 ἐπειδὴ P 32 ἐξ om. Q αἱ om. V συζυγίαι καθ' ἕκαστον σχῆμα V 34 ἐλέγομεν] p. 34,7. 8 36 εἰς addidi τὰ om. Qt

μέρος ὑπὸ τοῦ Ἀριστοτέλους ἀποδεικνύμενα. κοινῶς μὲν οὖν ἐπὶ τῶν τριῶν XIXʳ σχημάτων δεῖ παραφυλάττεσθαι τὸ μήτε τὰς δύο προτάσεις εἶναι ἀποφατικὰς μήτε τὰς δύο μερικάς· εἰ γὰρ μέλλοι ἡ συζυγία τῶν συμπλεκομένων ἀλλήλαις προτάσεων γίνεσθαι συλλογιστική, δεῖ τὴν ἑτέραν τῶν προτάσεων κεκοσμῆσθαι κατά τε τὸ ποσὸν καὶ τὸ ποιόν· ἔστι δὲ κατὰ μὲν τὸ ποσὸν κρεῖττον τὸ καθόλου τοῦ μερικοῦ, κατὰ δὲ τὸ ποιὸν τὸ καταφατικὸν τοῦ ἀποφατικοῦ. ἰδίᾳ δὲ ἐπὶ μὲν τοῦ πρώτου σχήματος τὸ τὴν μὲν μείζονα εἶναι καθόλου τὴν δὲ ἐλάττονα καταφατικήν· ἀδιαφορεῖ γὰρ ἡ μὲν μείζων κατὰ τὸ ποιόν, ἡ δὲ ἐλάττων κατὰ τὸ ποσόν· αἱ δὲ μὴ οὕτως ἔχουσαι συζυγίαι ἀσυλλόγιστοί εἰσιν. ταῦτα δὲ τὰ ἴδια τοῦ πρώτου σχήματος ἐμερίσατο τὰ ἄλλα δύο. ἐν μὲν γὰρ τῷ δευτέρῳ δεῖ φυλάττειν τὴν μὲν μείζονα καθόλου ὥσπερ ἐν τῷ πρώτῳ, τὴν δὲ ἐλάττονα ἀνομοιοσχήμονα τῇ μείζονι κατὰ τὸ ποιόν, τουτέστιν ἵνα, εἰ ἡ μείζων εἴη καταφατική, ἡ ἐλάττων ἐστὶν ἀποφατική, καὶ ἔμπαλιν, εἰ ἡ μείζων ἀποφατική, ἡ ἐλάττων καταφατική, δῆλον ὡς τῆς μείζονος ἀδιαφόρως ἐχούσης περὶ τὴν ποιότητα τῆς δὲ ἐλάττονος περὶ τὴν ποσότητα· αἱ γὰρ μὴ οὕτως ἔχουσαι συζυγίαι καὶ ἐν τούτῳ τῷ σχήματι ἅπασαι ἀσυλλόγιστοί εἰσιν. ἐν δὲ τῷ τρίτῳ σχήματι τί δεῖ παρατηρεῖν; πρὸς τῷ φυλάττειν τὰ κοινῶς ἐπὶ τῶν τριῶν σχημάτων παρατετηρημένα, λέγω δὴ τὸ μήτε τὰς δύο εἶναι μερικὰς μήτε τὰς δύο ἀποφατικάς. ἔτι παρατηρεῖν ἴδιον ἓν μόνον. τὸ τὴν ἐλάττονα εἶναι καταφατικήν, ἀμφοτέρων ἀδιαφορουσῶν κατὰ τὸ ποσὸν καὶ ἔτι τῆς μείζονος κατὰ τὸ ποιόν, καὶ διὰ τοῦτο, ἐπειδὴ ἥττονά ἐστι τὰ ὀφείλοντα ἰδίᾳ παραφυλάττεσθαι ἐπὶ τοῦ τρίτου σχήματος, πλείους γίνεσθαι συλλογιστικὰς συζυγίας. ἐν μὲν γὰρ τῷ πρώτῳ τέσσαρες μὲν γίνονται αἱ συλλογιστικαὶ συζυγίαι, αἱ δὲ λοιπαὶ λβ' ἀσυλλόγιστοι· καὶ συλλογιστικαὶ μὲν αἵ τε ἐκ δύο καθόλου, ⟨ἡ ἐκ δύο καθόλου⟩ καταφατικῶν καὶ ἡ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς, καὶ τρίτη ἡ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς ⟨τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς⟩, καὶ τετάρτη ἡ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς· αἱ δὲ λοιπαὶ παρὰ ταύτας αἱ ἐν τούτῳ τῷ σχήματι ἀσυλλόγιστοι διὰ τὰς εἰρημένας αἰτίας, λέγω δὴ τά τε κοινῶς καὶ ἰδίως ἐπὶ τῶν σχημάτων παραφυλαττόμενα. ἐν δὲ τῷ δευτέρῳ σχήματι συλλογιστικαὶ συζυγίαι πάλιν εἰσὶ τέσσαρες, αἵ τε ἐκ τῶν δύο καθόλου, τῆς μείζονος ἀποφατικῆς καὶ τῆς ἐλάττονος καταφατικῆς καὶ ἡ ἐκ τῆς μείζονος καταφατικῆς τῆς δὲ ἐλάττονος ἀποφατικῆς, καὶ τρίτη ἡ ἐκ τῆς μείζονος καθόλου ἀπο-

1 ἀπὸ P δεικνύμενα P οὖν om. V post οὖν del. αἱ Q¹ 3 τὰς om. P
4 post γίνεσθαι del. συλλογίνεσθαι Q¹ τὴν προτέραν V 5 τε τὸ om. P
τὸ alt. om. QV 6 κρείττων t, pr. P τὶ (ante καθ.) V τὸ μερικὸν pr. Q, corr. Q¹ 7 ἴδια libri, at cf. vs. 1 μὲν alt. om. P 8. 9 ὁ—ὁ V 9 ποσόν e ποιόν, ut videtur, corr. Q¹ 11 ἐμερίσαντο Pt μὲν alt. om. QVt 13. 14 fort. ἵνα ⟨ᾖ⟩ (sive ⟨εἴη⟩)—[ἐστὶν] 15 καταφατική ex ἀποφατική corr. V περὶ PVt: κατὰ Q
16 δὲ] τε V 17 πᾶσαι P: om. V 18 τί om. QVt τῷ scripsi: τὸ libri
20 μόνον P: α' καὶ γ' QVt 24 μὲν om. V ἀσυλλογιστικαὶ, om. αἱ t 25 ἡ ἐκ δύο καθόλου addidi 26 ἀποφατικῆς—28 μερικῆς om. Q 26—28 ἀποφατικὴ (κατα superscr. V²) καταφατικὴ ἀποφατικὴ V 26 post ἀποφατικῆς addiderim τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς 27 τῆς δὲ—καταφατικῆς addidi 32 τοῦ—ἀποφατικοῦ V

φατικῆς καὶ τῆς ἐλάττονος μερικῆς καταφατικῆς, καὶ τετάρτη ἡ ἐκ τῆς XIXʳ
μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς· αἱ 0
δὲ λοιπαὶ καὶ ἐν τούτῳ τῷ σχήματι ἀσυλλόγιστοι διὰ τὰς αὐτὰς πάλιν
αἰτίας. ἐν δὲ τῷ τρίτῳ συλλογιστικαὶ συζυγίαι εἰσὶν ἕξ, ἐκ δύο καθόλου
5 καταφατικῶν, ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος τῆς δὲ ἐλάττονος
καθόλου καταφατικῆς, καὶ τρίτη ⟨ἡ⟩ ἐκ μερικῆς καταφατικῆς | τῆς XIXᵛ
μείζονος καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος, τετάρτη ἡ ἐκ καθόλου
καταφατικῆς τῆς μείζονος καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος, πέμπτη
ἡ ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς,
10 ἕκτη ⟨ἡ⟩ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς
καταφατικῆς· αἱ δὲ λοιπαὶ πᾶσαι συζυγίαι καὶ ἐν τούτῳ τῷ σχήματι
ἀσυλλόγιστοι διὰ τὰς προειρημένας αἰτίας. δεῖ δὲ πάλιν καθόλου ἐπὶ τῶν 5
τριῶν σχημάτων εἰδέναι καὶ τοῦτο, ὅτι ἐπὶ πάντων τῶν σχημάτων τῇ
χείρονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα· οἷον ἐὰν αἱ δύο ὦσι καθόλου
15 ἡ δὲ ἑτέρα ἀποφατική, ἀποφατικὸν συνάγεται τὸ συμπέρασμα· πάλιν ἐὰν
μερικὴ εἴη ἡ ἑτέρα τῶν προτάσεων, μερικόν· ἐὰν δὲ ἡ μὲν εἴη μερικὴ ἡ
δὲ ἑτέρα ἀποφατική, μερικὸν ἀποφατικόν, ἐπειδὴ κἀνταῦθα τὰ χείρονα νικᾷ.

Διὰ μὲν τοῦ εἰπεῖν διὰ τίνων ἐσήμανεν ὅτι τοὐλάχιστον ἐκ δύο προ-
τάσεών εἰσιν οἱ συλλογισμοί, καθὼς καὶ πρότερον εἴρηται. διὰ δὲ τοῦ 10
20 εἰπεῖν καὶ πότε ἐδήλωσεν ὅτι οὐχ ὡς ἔτυχεν οὐδὲ πᾶσαι αἱ προτάσεις
συμπλεκόμεναι ποιοῦσι συλλογισμόν. διὰ δὲ τοῦ εἰπεῖν πῶς ἐσήμανεν
ὅτι τοῦ μέσου ὅρου ποτὲ μὲν ἑνὶ τῶν ἄκρων ὑποκειμένου τοῦ δὲ ἑτέρου
κατηγορουμένου, ποτὲ δὲ ἀμφοτέρων κατηγορουμένου, ποτὲ δὲ ἀμφοτέροις
ὑποκειμένου.

25 p. 25ᵇ28 Πρότερον γὰρ περὶ συλλογισμοῦ λεκτέον ἢ περὶ ἀπο-
δείξεως. 15

Ἐπειδὴ ἐν ἀρχαῖς τοῦ βιβλίου ἐπηγγείλατο περὶ ἀποδείξεως διαλέγε-
σθαι, οὐδαμοῦ δὲ ἐν τούτῳ τῷ βιβλίῳ περὶ ἀποδείξεως διαλέγεται, διὰ
τοῦτο μέλλων ἄρχεσθαι τῶν συλλογισμῶν ἀπολογούμενος ὑπὲρ τούτου φησὶν
30 ὅτι δεῖ πρῶτον περὶ τῶν καθολικωτέρων ποιεῖσθαι τὸν λόγον· καθολικώ-
τερος δὲ ὁ περὶ συλλογισμοῦ λόγος τοῦ περὶ ἀποδείξεως.

---

1. 2 καὶ τετάρτη—ἀποφατικῆς om. V 4 συλλογιστικῶ καὶ συζυγίαι V 5 καταφατικῆς (ante ἐκ) V τῆς prius om. t ἐλάττω V 6 καὶ τρίτη] δευτέρα Q ἡ addidi μερικῆς V: καθόλου PQt ἀποφατικῆς (ante τῆς) Q 7 καθόλου prius V: μερικῆς PQt ἡ om. PQ 8 καταφατικῆς prius V: ἀποφατικῆς PQt 9 τῆς prius om. V καταφατικῆς (ante τῆς) P τῆς δὲ Q: καὶ τῆς Pt, καὶ del. V 10 ἕκτη—11 καταφατικῆς om. Q ἡ addidi μερικῆς—καθόλου P 12 εἰρημένας Q δὲ] καὶ V καθόλου om. V 13 τῶν om. P 14 οἷον—15 συμπέρασμα om. V ὦσι] ὡς t 15 τὸ om. P 16 μὲν εἴη om. V 17 post ἑτέρα add. καθόλου V τὰ om. P post νικᾷ add. lemma διωρισμένων—πᾶς συλλογισμός P 19 καὶ om. Q εἴρηται] p. 64,15. 16 22 τῶν ἄκρων ἑνὶ V 23 κατηγορουμένου alt. e κατηγορουμένων corr. P² 25 γὰρ PQVt (m): δὲ Arist. 27 ἐν ἀρχαῖς] p. 24ᵃ10. 11 29 ὑπὲρ τούτων Q 30 τὸν e τῷ corr. V 31 ὅρος V

p. 25b32 Ὅταν οὖν ὅροι τρεῖς οὕτως ἔχωσι πρὸς ἀλλήλους. XIXv

Περὶ αὐτῶν λοιπὸν διαλέγεται τῶν συλλογισμῶν. ἄρχεται δὲ ἀπὸ 21
τοῦ πρώτου σχήματος εἰκότως, καὶ παραδίδωσιν ἡμῖν πρώτους τοὺς ἐκ
δύο καθόλου προτάσεων συλλογισμούς. τῶν δὲ δύο προτάσεων καθολικῶν
5 οὐσῶν γίνονται τέσσαρες συζυγίαι τῇ πρὸς τὸ ποιὸν ἐπιπλοκῇ, ἥ τε ἐκ τῶν
δύο καταφατικῶν καὶ ἡ ἐκ τῶν δύο ἀποφατικῶν καὶ ⟨αἱ⟩ τῆς μὲν ἑτέρας ἀπο- 25
φατικῆς τῆς δὲ ἑτέρας καταφατικῆς, καὶ τοῦτο διχῶς, ἤτοι τῆς μείζονος
ἀποφατικῆς ἢ τῆς ἐλάττονος, τῆς δὲ ἑτέρας καταφατικῆς. τούτων οὖν τῶν
τεσσάρων συζυγιῶν δύο μέν εἰσιν αἱ συλλογιστικαί, ἥ τε ἐκ τῶν δύο κατα-
10 φατικῶν καὶ ἡ ἐκ τῆς μείζονος ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς·
αἱ δὲ λοιπαὶ δύο ἀσυλλόγιστοί εἰσιν, ἐπειδὴ ἡ ἐλάττων τὸ ἑαυτῆς ἴδιον
ἀπώλεσεν ἀποφατικὴ οὖσα. παραδίδωσι δὲ ἅμα τὰς δύο συλλογιστικὰς ὡς
ἀεὶ βραχυλογίας ἀντιποιούμενος, καὶ ἴδωμεν ὅπως. ὅταν οὖν, φησίν, 30
ὅροι τρεῖς οὕτως ἔχωσι πρὸς ἀλλήλους ὥστε τὸν ἔσχατον ἐν
15 ὅλῳ εἶναι τῷ μέσῳ. τὴν ἐλάττονα πρότασίν φησιν, ἐὰν ᾖ καταφατικὴ
καθόλου. τὸν δὲ μέσον ἐν τῷ πρώτῳ ἢ εἶναι ἢ μὴ εἶναι, τουτέστιν
ὅταν ἡ μείζων πρότασις ἢ καταφατικὴ ὑπάρχῃ ἢ ἀποφατική. ὅρα δὲ πῶς
ἡμῖν τὴν ἰδιότητα τοῦ πρώτου σχήματος ἐσήμανεν εἰπὼν τὸν ἔσχατον ἐν
ὅλῳ εἶναι τῷ μέσῳ ἀντὶ τοῦ 'τὸν μέσον τοῦ ἐσχάτου παντὸς κατηγο-
20 ρεῖσθαι'· εἴρηται γὰρ ὅτι τὸ ἐν ὅλῳ καὶ τὸ κατὰ παντὸς τῷ ὑποκειμένῳ 35
ταὐτά εἰσιν. τὸν δὲ μέσον ἐν τῷ πρώτῳ ἢ εἶναι ἢ μὴ εἶναι ἀντὶ
τοῦ 'τὸν μέσον τῷ πρώτῳ ὑποκεῖσθαι ἢ εἰς κατάφασιν ἢ εἰς ἀπόφασιν'.

Ἀνάγκη τῶν ἄκρων εἶναι συλλογισμὸν τέλειον. ἄξιον ζητῆ-
σαι πῶς ὁ φιλόσοφος εἶπεν ὅτι, ἐὰν ὁ μέσος ὅρος τῷ μὲν ἑνὶ τῶν
25 ἄκρων ὑπόκειται τοῦ δὲ ἑτέρου κατηγορῆται, τέλειον ποιεῖ συλλογισμόν,
καίτοι ἐν τῷ τρίτῳ τρόπῳ καὶ ἐν τῷ τετάρτῳ τοῦ πρώτου σχήματος οὕτως
ἔχοντος τοῦ μέσου ὅρου, καθὼς αὐτὸς παρακελεύεται, εὑρίσκονταί τινες
ἀτελεῖς συλλογισμο, οἵτινες τελειοῦνται διὰ τῆς ἀντιστροφῆς τῆς πρὸς τὸν 40
πρῶτον τρόπον. ὥστε οὐ τούτους καλεῖ τελείους ἐνταῦθα ὁ φιλόσοφος
30 ἀλλὰ τοὺς σώζοντας τὸ τέλειον εἶδος τοῦ πρώτου σχήματος.

---

1 πρὸς ἀλλήλους om. P 3 πρώτως (post ἡμῖν) P 5 post ἥ τε add. καὶ P
6 αἱ addidi post ἑτέρας del. κατ Q¹ 7. 8 τῆς δὲ—ἀποφατικῆς om. V
7 post μείζονος del. κατ Q¹ 8 οὖν om. P 9 αἱ om. P, at cf. p. 93,3. 5
post δύο alt. add. καθόλου V 10 ἡ καὶ P 12 post τὰς add. ἐκ t 13 βραχυ-
λογίαν Qt ποιούμενος V εἰδωμεν P φησιν post 14 τρεῖς collocat P
14 ἔχουσιν t πρὸς ἀλλήλους V Arist.: om. PQt 15 τῶι πρώτωι P πρότασίν]
πρῶτον V 16 post ἐν add. ὅλω V Arist., at cf. vs. 21 τρόπῳ t ἢ prius
om. P 17 ἡ] ὁ Q ὑπάρχει P ἀποφατική] ἀπο e κατα corr. V πῶς]
τῷ t 18 ἡμῖν om. V 19 πάντως Pt 20 εἴρηται] p. 12,11 τὸ prius om. t:
τῶι P τὸ alt. om. PVt 21 ἢ prius om. Pt 22 τοῦ om. Q τὸν om. V
23 post ἄξιον add. δὲ QVt 24 ὅτι superscr. Q¹ τῷ PQV: ἐπὶ t 25 κατη-
γορεῖται PQ: κατηγορεῖσθαι t τέλιον Q 26 καίτοι] καὶ P 28 τῆς alt. corr.
non liquet unde Q¹

p. 25ᵇ35 Καλῶ δὲ μέσον μὲν ὃ καὶ αὐτὸ ἐν ἄλλῳ καὶ ἄλλο ἐν τούτῳ ἐστίν. XIXᵛ

Οὗτος ὁ ὁρισμὸς τοῦ μέσου ὅρου οὐκ ἔστι κοινὸς ἐπὶ τῶν τριῶν σχημάτων ἀλλὰ μόνον τοῦ μέσου τοῦ ἐν τῷ πρώτῳ σχήματι· οὗτος γὰρ μόνος τοῦ μὲν τῶν ἄκρων κατηγορεῖται τῷ δ' ὑπόκειται. ὁ δ' ἐν τῷ δευτέρῳ σχήματι ἀμφοτέρων κατηγορεῖται· ὁ δ' ἐν τῷ τρίτῳ ἀμφοτέροις ὑπόκειται, ὡς ἤδη ἡμῖν εἴρηται. ἀλλ' εἰ καὶ διάφορα τὰ εἴδη τῶν μέσων ὅρων ἐπὶ τῶν τριῶν σχημάτων, ἀλλ' οὖν ἔχουσί τι κοινόν, τὸ ἀναδιπλασιάζεσθαι καὶ ἐν ἀμφοτέραις εὑρίσκεσθαι ταῖς προτάσεσι τὸν μέσον ἐν τοῖς τρισὶ σχήμασιν.

Ὃ καὶ τῇ θέσει γίνεται μέσον. βούλεται ἡμᾶς ὁ Ἀριστοτέλης καὶ ἐν αὐτῇ τῇ καταγραφῇ σώζειν τὴν τοῦ μέσου τάξιν, ἵν' ἐπ' εὐθείας τάξαντες τοὺς τρεῖς ὅρους τῷ μέσῳ τὴν μέσην ἀποδῶμεν χώραν.

p. 25ᵇ36 Ἄκρα δὲ τὸ αὐτό τε ἐν ἄλλῳ ὂν καὶ ἐν ᾧ ἄλλο ἐστίν. |

Δόξειεν ἂν ἴσως ὁ αὐτὸς ὁρισμὸς εἶναι τῶν τε ἄκρων καὶ τοῦ μέσου· XXʳ
οὐκ ἔστι δέ· δεῖ γὰρ ἐπὶ τούτων προσυπακούειν τὸ μόνως, καὶ οὕτως ὀρθῶς ἀποδιδόμενος ἂν εἴη, ὡς ἂν εἰ ἔλεγεν ἄκρα δὲ τὸ αὐτό τε ἐν ἄλλῳ ὂν μόνως καὶ ἐν ᾧ ἄλλο ἐστὶ μόνως.

p. 25ᵇ37 Εἰ γὰρ τὸ Α κατὰ παντὸς τοῦ Β καὶ τὸ Β κατὰ παντὸς τοῦ Γ, ἀνάγκη τὸ Α κατὰ παντὸς τοῦ Γ κατηγορεῖσθαι.

Οὗτος πρῶτος τρόπος συλλογιστικός, ἐκ δύο καταφατικῶν καθόλου ⟨καθόλου⟩ καταφατικὸν συνάγων συμπέρασμα. εἰ γὰρ τὸ Β παντὶ τῷ Γ ὑπάρχει, μέρος ἄρα τοῦ Β τὸ Γ ὑπάρχει· εἰ τοίνυν τὸ Α παντὶ τῷ Β ὑπάρχει, πᾶσι τοῖς μέρεσιν αὐτοῦ ὑπάρχει· καὶ τὸ Α ἄρα παντὶ τῷ Γ ὑπάρχει μέρει ὄντι τοῦ Β. ἐπὶ τῶν ὑλῶν δὲ σαφέστερος ὁ λόγος· οἷον οὐσία κατὰ παντὸς ζῴου, ζῷον κατὰ παντὸς ἀνθρώπου, καὶ συνάγεται οὐσία κατὰ παντὸς ἀνθρώπου· καὶ ἀνάπαλιν πᾶς ἄνθρωπος ζῷον, πᾶν ζῷον οὐσία, πᾶς ἄνθρωπος ἄρα οὐσία. δῆλον δὲ ἐπὶ τούτου τοῦ σχήματος ὡς δεῖ ἐπὶ τοῦ πρώτου τρόπου λαμβάνειν ὅρους, πρῶτον μὲν γενικώτατον, δεύτερον ὑπάλληλον γένος καὶ τρίτον εἰδικώτερον τοῦ μέσου εἶδος. δεῖ δὲ ἀεὶ τὸ συμπέρασμα ποιεῖν, οἷον ἂν ᾖ τὸ ἀρχόμενον τῆς συνθέσεως· οἷον εἰ ἐκ τοῦ μείζονος ὅρου ἀρχόμεθα, ἡ οὐσία ἄρχεται· οὐκοῦν αὕτη καὶ τοῦ συμπεράσματος προηγεῖται· οὐσία κατὰ παντὸς

1 μὲν om. PV (Marc. 231) αὐτῷ V 3 ὁ om. t 7 εἴρηται] p. 65.2 sq. 8 τὸ] τῷ V 9 ἀμφοτέροις V 12 σώζων V 13 τάξαντας Q 15 δόξειε δ' ἂν Q: δόξει ἂν t 17 ἀποδιδόμενον V τε mrg. Q¹ 18 ὦ ἄλλω Vt 19 καὶ τὸ β̄ κτλ. om. Q 20 κατηγορῆται V 21. 22 καθόλου addidi 22 συνάγεται V 23. 24 εἰ τοίνυν—αὐτοῦ ὑπάρχει Q: ἔστι δὲ μέρος τοῦ α (β P) τὸ β (γ P) PVt 24 μέρος P 25 ante οὐσία add. ἡ P ante ζῴου add. τοῦ P 27 πᾶς ἄρα ἄνθρωπος P 29 post γενικώτατον add. καὶ Vt εἰδικώτατον P: ἰδικώτερον V 30 εἶδος scripsi: εἴδους libri τὸ συμπέρασμα ἀεὶ Vt εἴη PQ

ζῴου· ἄρχεται ἡ οὐσία· ζῷον κατὰ παντὸς ἀνθρώπου· καὶ τὸ συμπέρασμα XXr πάλιν ἀπὸ τῆς οὐσίας ἄρξεται· οὐσία κατὰ παντὸς ἀνθρώπου. εἰ δὲ ἐκ 16 τοῦ ἐλάττονος ὅρου ἡ ἀρχὴ γένοιτο, οἷον ἐκ τοῦ ἀνθρώπου, ἐκ τούτου καὶ τὸ συμπέρασμα ἔσται· πᾶς ἄνθρωπος ζῷον, πᾶν ζῷον οὐσία, πᾶς ἄνθρωπος 5 οὐσία. λαμβάνει δὲ στοιχεῖα ὁ Ἀριστοτέλης Α, Β, Γ, καὶ ἐκ τῆς φύσεως τῶν στοιχείων τὴν τάξιν τοῦ πρώτου σχήματος ἡμῖν δηλῶν τὸν μείζονα ὅρον λέγει τὸ Α διὰ τὸ πρώτην ἔχειν τὸ Α τάξιν, τὸν δὲ ἐλάττονα τὸ Γ, τὸν δὲ μέσον τὸ Β ὡς τοῦ μὲν ὑφειμένον τῇ τάξει, τοῦ Α, τοῦ δὲ προη- 20 γούμενον, τοῦ Γ. ἐνδέχεται δὲ δῆλον ὅτι καὶ ἐξισάζοντας εἶναι τοὺς ὅρους, 10 οἷον ἐπιστήμης δεκτικόν, γελαστικόν, ἄνθρωπος· πᾶς γὰρ ἄνθρωπος γελαστικός, πᾶν γελαστικὸν ἐπιστήμης δεκτικόν, πᾶς ἄρα ἄνθρωπος ἐπιστήμης δεκτικός.

p. 25b40 Ὁμοίως δὲ καὶ εἰ τὸ μὲν Α κατὰ μηδενὸς τοῦ Β, τὸ δὲ Β κατὰ παντὸς τοῦ Γ, ὅτι τὸ Α οὐδενὶ τῷ Γ ὑπάρξει.

15 Δεύτερος οὗτος τρόπος τοῦ πρώτου σχήματός ἐστιν, ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς καθόλου ἀπο- 25 φατικὸν συνάγων συμπέρασμα. εἰ γὰρ τὸ Α κατὰ μηδενὸς τοῦ Β, πάντων ἄρα τῶν μερῶν αὐτοῦ κεχώρισται· μέρος δὲ τοῦ Β τὸ Γ· ὑπόκειται γὰρ παντὶ τῷ Γ τὸ Β ὑπάρχειν· παντὸς ἄρα κεχώρισται τοῦ Γ τὸ Α μέρους 20 ὄντος τοῦ Β. εὐπορήσομεν δὲ πάλιν ὑλῶν ἐπὶ τοῦ δευτέρου τρόπου λαμβάνοντες εἶδος καὶ γένος καὶ τοῦ γένους ἀλλότριον, τὸ μὲν εἶδος ἐλάττονα 30 ὅρον τιθέντες, τὸ δὲ γένος μέσον, τὸ δὲ ἀλλότριον μείζονα· οἷον λίθος κατ' οὐδενὸς ζῴου, ζῷον κατὰ παντὸς ἀνθρώπου, καὶ συμπέρασμα λίθος κατ' οὐδενὸς ἀνθρώπου· κεχώρισται μὲν γὰρ πάντων τῶν μερῶν τοῦ ζῴου ὁ 25 λίθος· μέρος δὲ τοῦ ζῴου ὁ ἄνθρωπος· κεχώρισται ἄρα παντὸς ἀνθρώπου ὁ λίθος.

p. 26a2 Εἰ δὲ τὸ μὲν πρῶτον παντὶ τῷ μέσῳ ἀκολουθεῖ, τὸ δὲ μέσον μηδενὶ τῷ ἐσχάτῳ ὑπάρχει, οὐκ ἔσται συλλογισμὸς τῶν 35 ἄκρων.

30 Τῶν δύο προτάσεων καθόλου παραλαμβανομένων τέσσαρες ἐγίνοντο συζυγίαι τῇ πρὸς τὸ ποιὸν ἐπιπλοκῇ, ὧν τὰς μὲν δύο ἐλέγομεν συλλογιστικὰς εἶναι, τὰς δὲ δύο ἀσυλλογίστους. ἐκθέμενος οὖν τὰς δύο συλλογιστικὰς προτάσεις νῦν βούλεται τὰς λοιπὰς δύο δεῖξαι ἀσυλλογίστους, τήν τε ἐκ τῆς μείζονος καθόλου καταφατικῆς καὶ τῆς ἐλάττονος καθόλου ἀποφατικῆς

1 ἡ om. P 2 ante οὐσία add. ἡ V 4 τοῦ συμπεράσματος V 7 λέγει τὸ Vt: λέγων PQ ἔχει V τὸ ā alt. om. P 8 ὑφειμένου QVt
8. 9 προηγουμένου Qt 9 δὲ om. PQ 10. 11 γελαστικός t: γελαστικόν PQV
19 ὑπάρχει V πάντος (sic) P: πάντως QVt τοῦ γ̄ κεχώρισται P 19. 20 μέρος ὂν PVt 20 ἀπορήσωμεν V δὲ om. V 21 τοῦ γένους PVt: γένος Q
24 μὲν om. V 27 ἀκολουθεῖ PQVt (Marc. 231): ὑπάρχει Arist. τὸ δὲ κτλ. om. Q 28 τοῦ ἐσχάτου ὑπάρχειν t 31 ἐλέγομεν] p. 72,4 sq.

καὶ τὴν ἐξ ἀμφοτέρων καθόλου ἀποφατικῶν. εἰ δὲ ἐλέγομεν ἴδιον εἶναι XXr
τοῦ πρώτου σχήματος καὶ τοῦτο, ⟨τὸ⟩ τὴν ἐλάττονα καταφατικὴν ἔχειν
ἀεί, εἰκότως ἀσυλλόγιστοί εἰσιν αἱ τοιαῦται συζυγίαι. δείκνυσι δὲ ἀσυλλο-
γίστους αὐτὰς ἐκ τοῦ συνάγειν καὶ τὸ παντὶ καὶ τὸ μηδενί· δῆλον γὰρ
ἐκ τούτων ὅτι καὶ τὸ τινὶ καὶ τὸ οὐ παντὶ συνάγουσιν· τοῖς γὰρ καθόλου
τὰ κατὰ μέρος ἀκολουθεῖ· ὥστε οὐδὲν ὡρισμένον ἔστιν ἐξ αὐτῶν συνάγειν
συμπέρασμα. διὰ οὖν τὴν ἀοριστίαν αὐτῶν ἀσυλλογίστους ταύτας φησί. δια-
λαμβάνει δὲ περὶ πρώτης τῆς ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς
δὲ ἐλάττονος καθόλου ἀποφατικῆς, καὶ δείκνυσιν αὐτὴν ἀσυλλόγιστον διά
τινων ὅρων συναγόντων καὶ τὸ παντὶ καὶ τὸ οὐδενί. ἐπὶ μὲν γὰρ τῶν
συλλογιστικῶν συζυγιῶν οὐ κέχρηται ὅροις ἀλλὰ τοῖς στοιχείοις ἁπλῶς,
διδοὺς ἑκάστῳ κατ' ἐξουσίαν ἐπὶ πάσης ὕλης γυμνάζειν τὰ λεγόμενα· ἐπὶ
δὲ τῶν ἀσυλλογίστων παραδείγμασι μόνον κέχρηται, δι' ὧν ἐλέγχει τὴν
ἀοριστίαν αὐτῶν· τὸν μὲν γὰρ καθόλου λόγον οὐδὲ μυρία παραδείγματα
ἱκανὰ κατασκευάσαι, ἀνασκευάσαι δὲ καὶ ἓν ἐξαρκεῖ παράδειγμα.

p. 26a4 Οὐδὲν γὰρ ἀναγκαῖον συμβαίνει τῷ ταῦτα εἶναι. |

Ἀντὶ τοῦ 'οὐ διὰ τὸ οὕτως ἔχειν τὰς προτάσεις συνάγεταί τι ἀναγ- XXv
καῖον ἀλλὰ διὰ τὴν παραλαμβανομένην ὕλην'. δεῖ δὲ τὰ συμπεράσματα
διὰ τὸ τῶν προτάσεων ἀναγκαῖον συμβαίνειν, οὐ διὰ τὴν ὕλην, ὡς καὶ ὁ
ὁρισμὸς τοῦ συλλογισμοῦ δηλοῖ.

p. 26a5 Καὶ γὰρ παντὶ καὶ μηδενὶ ἐνδέχεται τὸ πρῶτον τῷ ἐσχάτῳ
ὑπάρχειν.

Ὅτι, φησίν, οὐδὲν ἐξ ἀνάγκης συνάγεται τῷ τὰς προτάσεις οὕτω
τετάχθαι, δῆλον ἐξ ὧν καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ συνάγουσι δέον,
εἴπερ διὰ τὰς προτάσεις καὶ μὴ διὰ τοὺς ὅρους συνήγετο τὸ συμπέ-
ρασμα, μόνως ἢ ἀποφατικὸν συνάγεθαι ἢ καταφατικόν. νῦν δὲ ἀμφότερα
συνάγεται διαφόρων ὑλῶν παραλαμβανομένων· δῆλον ἄρα ὅτι τοῦ συμπε-
ράσματος αἴτιοι οἱ ὅροι παραλαμβανόμενοι καὶ οὐχ ἡ συμπλοκὴ τῶν προ-
τάσεων. δεῖ δὲ τοὺς συλλογισμοὺς διὰ τὰς προτάσεις συνάγειν τὰ συμπε-
ράσματα.

1 τῆς P post ἀμφ. add. τῶν V ἐλέγομεν] p. 70,8 4 ante αὐτὰς add. συζυγίας Vt τῶι—τῶι P 5 τὸ utrumque om. Vt ante τινὶ add. οὐ V 6 post ἔστιν del. ἐκ Q¹ 8. 9 τῆς δὲ PQ: καὶ τῆς Vt 9 καταφατικῆς pr. Q, corr. Q¹ 10 τῶι—τῶι P μὲν superscr. V 12 ἐπὶ πάσης ὕλης iterat P 15 ἱκανὰ om. in lac. V 16 post lemma add. (b5. 6) καὶ γὰρ—ὑπάρχειν interpretationis loco et deinde ut alterum lemma (b6—9) ὥστε οὔτε—ἄνθρωπος, λίθος t 17 οὐδὲ t: οὐδαμῶς V διὰ τὸ] τῷ V 19 τῆς ὕλης P 21 τὸ e τῷ corr. Q¹ 24 post δῆλον add. γὰρ QVt τῷ (ante μηδ.) P δέον] δὲ ἂν P 25 ὁρισμοὺς V 29. 30 τὸ συμπέρασμα Vt

p. 26a6 Ὥστε οὔτε τὸ κατὰ μέρος οὔτε τὸ καθόλου γίνεται ἀναγκαῖον. XXv

Εἰ γὰρ καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ ἐνδέχεται ὑπάρχειν, συναναιρεῖται δὲ τὰ μέρη τοῖς ὅλοις, οὔτε τὸ καθόλου οὔτε τὸ κατὰ μέρος ἔσται ἀναγκαῖον· παντελῶς ἄρα ἀόριστοι καὶ διὰ τοῦτο ἀσυλλόγιστοι αἱ τοιαῦται συζυγίαι. τὸ μὲν οὖν παντὶ συνάγεται οὕτως· ζῷον κατὰ παντὸς ἀνθρώπου, ἄνθρωπος κατ' οὐδενὸς ἵππου, καὶ συμπέρασμα ζῷον κατὰ παντὸς ἵππου. τὸ δὲ οὐδενὶ συνάγεται, ἐὰν ἀντὶ τοῦ ἵππου λίθον παραλαμβάνωμεν, οὕτως· ζῷον κατὰ παντὸς ἀνθρώπου, ἄνθρωπος κατ' οὐδενὸς λίθου, καὶ συμπέρασμα ζῷον κατ' οὐδενὸς λίθου.

p. 26a9 Οὐδ' ὅταν μήτε τὸ πρῶτον τῷ μέσῳ μήτε τὸ μέσον τῷ ἐσχάτῳ μηδενὶ ὑπάρχῃ.

Νῦν τὴν ἐκ τῶν δύο καθόλου ἀποφατικῶν βούλεται δεῖξαι ἀσυλλόγιστον ὁμοίως διὰ τοῦ συνάγειν τό τε παντὶ καὶ τὸ μηδενί. ἵνα δὲ σαφέστερον ᾖ τὸ λεγόμενον, ἑτέρους ὅρους ἡμεῖς ἐκθώμεθα· ζῷον κατ' οὐδενὸς λίθου, λίθος κατ' οὐδενὸς ἀνθρώπου, καὶ τὸ συμπέρασμα ζῷον κατὰ παντὸς ἀνθρώπου. οὕτω μὲν οὖν τὸ παντὶ συνάγουσι. τὸ δὲ μηδενί, ἐὰν ἀντὶ τοῦ ἀνθρώπου παραλαμβάνωμεν φυτὸν ἤ τι τοιοῦτον, καθ' ὧν οὔτε τὸ ζῷον οὔτε ὁ λίθος κατηγορεῖται· ζῷον κατ' οὐδενὸς λίθου, λίθος κατ' οὐδενὸς φυτοῦ, καὶ τὸ συμπέρασμα ζῷον κατ' οὐδενὸς φυτοῦ. διὰ ταῦτα ἄρα καὶ αὕτη ἀσυλλόγιστος ἡ συζυγία διὰ τὴν ἀοριστίαν. εἴρηται δὲ τοῦτο κοινὸν εἶναι ἐπὶ παντὸς σχήματος, τὸ ἐκ δύο ἀποφατικῶν ἀσυλλόγιστον ἀεὶ γίνεσθαι συζυγίαν.

p. 26a13 Καθόλου μὲν οὖν ὄντων τῶν ὅρων δῆλον ἐν τούτῳ τῷ σχήματι πότε ἔσται καὶ πότε οὐκ ἔσται συλλογισμός.

Ὁ περὶ τῶν ἐξ ἀμφοτέρων τῶν προτάσεων καθόλου λόγος ἤδη πεπλήρωται, ἐν ᾧ ἀπέδειξε δύο μὲν συλλογιστικὰς συζυγίας, δύο δὲ ἀσυλλογίστους. λοιπὸν δὲ μίγνυσι τήν τε καθόλου καὶ τὴν μερικήν, καὶ δείκνυσι ποῖαι μὲν αἱ συλλογιστικαὶ κἀν τούτοις, ποῖαι δὲ ἀσυλλόγιστοι.

1 οὐδὲ—οὐδὲ Q 1. 2 γίνεται ἀναγκαῖον om. t 3 καὶ prius om. V τῷ (ante παντὶ) Q ὑπάρχει V 3. 4 συναιρεῖται V 4 δὲ om. Vt κατὰ μέρος—καθόλου V 8 οὐδεὶς V παραλάβωμεν P: παραλαμβάνομεν t 12 ὑπάρχει P 13. 14 ὁμοίως δεῖξαι ἀσυλλόγιστον Vt 15 post λεγόμενον add. ὅ P ἐκθέμεθα Q 17 τὸ prius e τῷ corr. V δὲ om. P 18 παραλαμβάνομεν t τι om. Q ὦ P 21 εἴρηται] p. 70,2 post δὲ add. καὶ Vt 24 οὖν om. t 29 καὶ P

p. 26ᵃ14 Καὶ ὅτι ὄντος τε συλλογισμοῦ τοὺς ὅρους ἀναγκαῖον XXᵛ ἔχειν ὡς εἴπομεν, ἐάν τε οὕτως ἔχωσιν, ὅτι ἔσται συλλογισμός.

Εἴ τε, φησί, καθόλου καταφατικὸν ᾖ τὸ συμπέρασμα, πάντῃ τε καὶ πάντως ἐκ δύο καθόλου καταφατικῶν συνῆκται, καὶ εἰ δύο καθόλου κατα-
5 φατικαὶ ὑπάρχουσι προτάσεις, πάντῃ τε καὶ πάντως καθόλου καταφατικὸν 40
συνάγεται τὸ συμπέρασμα. καὶ ἐπὶ τοῦ δευτέρου τρόπου ὁμοίως, οὕτως ἐχουσῶν τῶν προτάσεων ὥσπερ εἴρηται, τοιοῦτον συνάγεται τὸ συμπέρασμα, καὶ τοῦ συμπεράσματος οὕτως ἔχοντος ἀνάγκη πᾶσα τοιαύτας εἶναι τὰς προτάσεις.

10 p. 26ᵃ17 Εἰ δὲ ὁ μὲν καθόλου τῶν ὅρων ὁ δὲ ἐν μέρει πρὸς τὸν 45
ἕτερον.

Πληρώσας τὰς ἐκ δύο καθόλου νῦν τὰς ἐκ τῆς ἑτέρας μὲν καθόλου τῆς δὲ ἑτέρας μερικῆς συζυγίας ἐκτίθεται. εἰσὶ δὲ αἱ πᾶσαι ὀκτώ· ὧν αἱ δύο μὲν συλλογιστικαί, ἡ ἐκ τῆς μείζονος καθόλου, εἴτε καταφατικῆς εἴτε
15 ἀποφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς, αἱ δὲ λοιπαὶ ἐξ ἀσυλλό- 50
γιστοι διὰ τὸ ἢ τὴν μείζονα μερικὴν εἶναι ἢ τὴν ἐλάττονα ἀποφατικήν. ὅρα δὲ πῶς οὐκ εἶπεν ὅτι ὁ μὲν μείζων καθόλου ὁ δὲ ἐλάττων ἐν μέρει ἢ τὸ ἀνάπαλιν, ἀλλ' ἀδιορίστως, οὕτως ἄνευ προσθήκης ἐν ταὐτῷ βουλόμενος τὰς ὀκτὼ συζυγίας δηλῶσαι. |

20 p. 26ᵃ20 Ὅταν δὲ πρὸς τὸ ἔλαττον ἢ καὶ ἄλλως πως ἔχωσιν XXIʳ
οἱ ὅροι, ἀδύνατον.

Προσυπακουστέον τῷ πρὸς τὸ ἔλαττον 'τὸ καθόλου τεθῇ'. ἀδύνατον δὲ οὕτω γενέσθαι συλλογισμὸν διὰ τὸ τὴν μείζονα ἀπολωλεκέναι τὸ ἴδιον, τουτέστι τὸ καθόλου· εἰρηκὼς γὰρ 'ὅταν τὸ καθόλου τεθῇ πρὸς τὸ
25 ἔλαττον ἄκρον' ἐσήμανε τὴν μείζονα μερικὴν οὖσαν, ἐπείπερ ὁ λόγος αὐτῷ νῦν περὶ τῆς ἑτέρας καθόλου τῆς δὲ ἑτέρας μερικῆς. τὸ δὲ ἢ καὶ ἄλλως 5
πως ἔχωσιν οἱ ὅροι ἀντὶ τοῦ 'εἰ ἀμφότεραι ἀποφατικαὶ ἢ ἡ μείζων καταφατικὴ ἡ δὲ ἐλάττων ἀποφατική, καὶ τοῦτο διχῶς, ἢ τῆς μείζονος ἐχούσης τὸ καθόλου ἢ τῆς ἐλάττονος'.

---

1 ὅτι om. QV δὲ V: om. t τοὺς ὅρους κτλ. om. Q post ἀναγκαῖον add. οὕτως t 2 ἄν τε t post ἔχωσι add. δῆλον t 3 φυσὶ Q 4 ἐκ δύο del. Q¹ καθόλου prius om. V καταφατικῶν—5 καθόλου om. Q καταφατικὸν P 4. 5 καταφατιταὶ P: καταφατικὴ V: καταφατικὸν t 8 ἀνάγκη πάσηι ante IV litt. eras. P 10. 11 πρὸς θάτερον V 12 τοὺς (post πληρ.) P μὲν om. P 13 ἑτέρας om. V αἱ prius om. Vt 16 τὸ del. V 17 ὅτι om. V τὸ om. P 18 ἐν ταὐτῷ om. Vt 20 ἔχουσιν V 21 ἀδύνατον om. Q 22 τῷ scripsi: τοῦ Q: τὸ Pt: om. V πρὸς om. V 23 ἀπολελωκέναι V 27 ἔχουσιν PV 29 τὸ καθόλου om. V

p. 26ᵃ21 Λέγω δὲ μεῖζον μὲν ἄκρον ἐν ᾧ τὸ μέσον ἐστίν, ἔλαττον δὲ τὸν δὲ τὸ ὑπὸ τὸ μέσον. XXIr

Ἀντὶ τοῦ 'μεῖζον ἄκρον τὸ τοῦ μέσου κατηγορούμενον, ἔλαττον δὲ οὗ τὸ μέσον κατηγορεῖται'· ταὐτὸν γὰρ τὸ κατὰ παντὸς καὶ τὸ ἐν ὅλῳ μόνῃ τῇ σχέσει διαφέροντα, ὡς εἶναι, ὅταν μὲν ἐκ τοῦ κατὰ παντὸς ποιώμεθα τοὺς συλλογισμούς, μείζονα ὅρον τὸν πρῶτον, ὁμοίως καὶ πρότασιν μείζονα τὴν πρώτην, ὅταν δὲ ἐκ τοῦ ἐν ὅλῳ, τὸν τελευταῖον καὶ τὴν δευτέραν πρότασιν.

p. 26ᵃ23 Ὑπαρχέτω γὰρ τὸ μὲν Α παντὶ τῷ Β, τὸ δὲ Β τινὶ τῷ Γ.

Οὗτός ἐστι τρίτος τρόπος συλλογιστικὸς ἐν πρώτῳ σχήματι, ἐκ καθόλου καταφατικῆς τῆς μείζονος καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος μερικὸν καταφατικὸν συνάγων συμπέρασμα. εὐπορήσεις δὲ ὑλῶν ἐν τούτῳ τῷ τρόπῳ λαμβάνων γένος τι καὶ εἶδος καὶ κοινότερον ἀμφοτέρων καὶ τὸ μὲν γένος τιθεὶς μείζονα ὅρον, τὸ δὲ εἶδος μέσον, τὸ δὲ κοινὸν ἀμφοτέρων ἐλάττονα· ζῷον κατὰ παντὸς ἀνθρώπου, ἄνθρωπος κατὰ τινὸς ἐμψύχου, καὶ συμπέρασμα ζῷον κατὰ τινὸς ἐμψύχου· καὶ ἀνάπαλιν τὶ ἔμψυχον ἄνθρωπος, πᾶς ἄνθρωπος ζῷον, καὶ συμπέρασμα τὶ ἔμψυχον ζῷον.

p. 26ᵃ25 Καὶ εἰ τὸ μὲν Α μηδενὶ τῷ Β ὑπάρχει, τὸ δὲ Β τινὶ τῷ Γ ὑπάρχει, ἀνάγκη τὸ Α τινὶ τῷ Γ μὴ ὑπάρχειν.

Τέταρτος οὗτος τρόπος συλλογιστικός, ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. συνάγει δὲ μερικὸν ἀποφατικὸν συμπέρασμα εἰκότως· ἐπεὶ γάρ, ὡς ἐλέγομεν, τῇ χείρονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα, ἐν δὲ τούτῳ τῷ τρόπῳ ἑκατέρα τῶν προτάσεων ἔχει τι ἐλάττωμα, ἡ μὲν κατὰ τὸ ποσὸν ἡ δὲ κατὰ τὸ ποιόν, ἀμφοτέρων τῶν προτάσεων τὰ ἐλαττώματα ἐν αὐτῷ συλλαβὸν ἔσχε τὸ συμπέρασμα καὶ γέγονε μερικόν τε ἅμα καὶ ἀποφατικόν. εὐπορήσεις δὲ ὑλῶν ἐν τούτῳ τῷ τρόπῳ ἀντιδιῃρημένα λαμβάνων ἐκ τοῦ αὐτοῦ γένους εἴδη καὶ τὸ γένος αὐτὸ καὶ τιθεὶς μείζονα μὲν ὅρον καὶ μέσον τὰ εἴδη ἐλάττονα δὲ τὸ γένος· οἷον λογικὸν κατ' οὐδενὸς ἀλόγου, ἄλογον κατὰ τινὸς ζῴου, καὶ συμπέρασμα λογικὸν οὐ παντὶ ζῴῳ.

2 post μέσον add. ὄν Arist. (om. C) 4 κατηγορῆται V γὰρ scripsi: ἄρα libri τῶ (post καὶ) Vt 5 διαφέροντας t 6 τὸ Vt πρότασιν] πρῶτα V 7 τὸν Q: τὸ PV: τῷ t 8 πρότασιν] πρώτην V 9 τῶ μὲν Qt τὸ δὲ—γ̄ om. Q 12 ante ὑλῶν add. καὶ Vt (καὶ ὑλῶν iterat V) 14 post κοινὸν add. ἐξ Vt 17 post ἔμψυχον add. ἄρα Q, post ζῶον alt. Vt 18 τὸ ᾱ τῶ μὲν β̄ μηδενὶ V τὸ δὲ κτλ. om. Q τὸ δὲ α' V 19 ὑπάρχει om. Arist. 20 τρόπος οὗτος P 22 ἐλέγομεν] p. 71,12 sq. 23 παρέπεται V 24 ἐλάττονα Pt 25 συλλαβὸν scripsi: συλλαβὼν libri 26 εὐπορήσειε Q: ἀπορήσεις V: εὐπορήσει t 28. 29 ἔλαττον V 30 πᾶν ζῶον pr. Q, corr. Q¹

p. 26ᵃ28 Ὁμοίως δὲ καὶ εἰ ἀδιόριστον εἴη τὸ Β Γ κατηγορικὸν XXIr
ὄν· ὁ γὰρ αὐτὸς ἔσται συλλογισμὸς ἀδιορίστου τε καὶ ἐν μέρει
ληφθέντος.

Εἴρηται ἐν τῷ Περὶ ἑρμηνείας τῷ Ἀριστοτέλει ὅτι ἰσοδυναμοῦσιν αἱ 41
ἀδιόριστοι προτάσεις ταῖς μερικαῖς. ἐὰν τοίνυν ἐν τῇ ἐλάττονι προτάσει
ἀντὶ τῆς μερικῆς παραλάβωμεν ἀπροσδιόριστον καταφατικήν, ἄλλαι δύο
γίνονται συλλογιστικαὶ συζυγίαι τῆς μείζονος καθόλου οὔσης ἢ καταφατικῆς
ἢ ἀποφατικῆς. ὥστε πᾶσαι συλλογιστικαὶ συζυγίαι αἱ ἐν τῷ πρώτῳ σχήματι ἕξ εἰσιν. |

Ἔτι δὲ παρὰ τούτους εἰσὶν οἱ καλούμενοι ἀνταναακλώμενοι, οἳ καὶ ἐκ XXIv
τούτων γίνονται μόνου τοῦ συμπεράσματος ἀντιστρέφοντος κατὰ τὴν οἰκείαν
ἀντιστροφήν. οἷον εἰ τὸ συμπέρασμά ἐστι καθόλου ἀποφατικόν, ἔσται ὁ
ἀνταναακλώμενος ὧδε· λίθος κατ' οὐδενὸς ζῴου, ζῷον κατὰ παντὸς ἀνθρώ-
που, λίθος κατ' οὐδενὸς ἀνθρώπου, καὶ ἄνθρωπος κατ' οὐδενὸς λίθου·
ἴσμεν γὰρ ὅτι ἡ καθόλου στερητικὴ πρὸς ἑαυτὴν ἀντιστρέφει. εἰ δὲ καθό- 5
λου καταφατικὸν ἢ μερικὸν καταφατικὸν εἴη τὸ συμπέρασμα, ἡ ἀντιστροφὴ
τοῦ ἀνταναακλωμένου ἔσται πρὸς τὴν μερικὴν καταφατικήν· καὶ γὰρ ἡ καθό-
λου καὶ ἡ μερικὴ πρὸς τὴν αὐτὴν ἀντιστρέφουσι, λέγω δὴ τὴν μερικὴν
καταφατικήν. ἐκ δὲ τῆς μερικῆς ἀποφατικῆς οὐκ ἔσται τοιοῦτον συμπέ-
ρασμα· ὁμολογεῖται γὰρ αὕτη μὴ σώζειν τὴν ἀντιστροφὴν ἀλλὰ διαπίπτειν.

p. 26ᵃ30 Ἐὰν δὲ πρὸς τὸ ἔλαττον ἄκρον τὸ καθόλου τεθῇ ἢ
κατηγορικὸν ἢ στερητικόν, οὐκ ἔσται συλλογισμός.

Τῆς μείζονος προτάσεως καθόλου οὔσης τῆς δὲ ἐλάττονος μερικῆς 10
γίνονται τέσσαρες συζυγίαι κατὰ τὴν τοῦ ποιοῦ διαφοράν· ὧν αἱ μὲν δύο
συλλογιστικαί εἰσιν αἱ ἔχουσαι τὴν ἐλάττονα καταφατικὴν τῆς μείζονος ἀδια-
φορούσης κατὰ τὸ ποιόν, αἱ δὲ λοιπαὶ δύο ἀσυλλόγιστοι αἱ ἔχουσαι τὴν ἐλάτ-
τονα ἀποφατικήν. πρώτας μὲν οὖν τὰς συλλογιστικὰς ἐξέθετο. καὶ ἔδει
ὅσον ἐπὶ τῇ ἀκολουθίᾳ ἐφεξῆς ἐλέγξαι πῶς αἱ λοιπαὶ δύο ἀσυλλόγιστοί εἰσιν
αἱ ἔχουσαι πρὸς μὲν τῷ μείζονι ἄκρῳ τὸ καθόλου εἴτε καταφατικὸν εἴτε 15
ἀποφατικόν, πρὸς δὲ τῷ ἐλάττονι τὸ μερικὸν ἀποφατικόν. ἀλλ' ἐπειδὴ πλει-
όνων ἐδεῖτο λόγων ὁ περὶ τούτων ἔλεγχος διὰ τὸ ὑποδύεσθαι αὐτὰς συλλο-
γιστικὰς συζυγίας, ὡς μαθησόμεθα, τρέπεται ἐπὶ τὸ ἐλέγξαι πρῶτον τὰς ἐκ

1 τὸ β̄ γ̄ κτλ. om. Q 4 ἐν τῷ Περὶ ἑρμ.] c. 7 p. 17ᵇ29 sq. 6 ἀποφατικήν P
6. 7 δύο γίνονται ἄλλαι pr. P, corr. P¹ 8 an πᾶσαι ⟨αἱ⟩? αἱ et τῷ om. Q
10 περὶ superscr. ἀρὰ V 10. 11 οἷον καὶ ἐκ τούτου γίνεται V 14 post οὐδενὸς
alt. del. ζῴου Q¹ 16 ἀναστροφὴ V 17 ἀνακλωμένου QVt 18 ἡ om. Vt
δὲ P 22 κατηγορικὸν—συλλογισμός om. Q 25. 26 διαφερούσης P
31 δεῖτο V: ἔδει τῶν pr. P post ἔλεγχος add. ὁ PVt 32 μαθησόμεθα]
p. 26ᵇ14 sq. ἐπὶ τὸ mrg. Q¹: ἐπὶ τοῦ P

τῆς μείζονος μερικῆς τῆς δὲ ἐλάττονος καθόλου τέσσαρας ἀσυλλογίστους XXIv
συζυγίας ὡς ῥᾷον τούτων μᾶλλον ἐλεγχομένων. εἰσὶ δὲ αὗται ἥ τε ἐκ τῆς
μείζονος μερικῆς καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς, καὶ
δευτέρα ἡ ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου 20
5 ἀποφατικῆς, καὶ τρίτη ἡ ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς τῆς δὲ
ἐλάττονος καθόλου καταφατικῆς, καὶ τετάρτη ἡ ἐκ τῆς μείζονος μερικῆς
ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. ἐὰν δὲ ἀντὶ τῆς μεί-
ζονος μερικῆς ἀπροσδιόριστον παραλάβωμεν ὡς ἰσοδυναμοῦσαν τῇ μερικῇ
τῆς ἐλάττονος μενούσης καθόλου, ἔσονται αἱ ἐλεγχόμεναι συζυγίαι ὀκτώ.

10 p. 26a33 Οἷον εἰ τὸ μὲν Α τινὶ τῷ Β ὑπάρχει ἢ μὴ ὑπάρχει, τὸ
δὲ Β παντὶ τῷ Γ ὑπάρχει.

Πρότερον ἐκτίθεται τὰς δύο συζυγίας ἅμα, τήν τε ἐκ τῆς μείζονος
μερικῆς καταφατικῆς καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς καὶ τὴν ἐκ 30
τῆς μείζονος μερικῆς ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς,
15 καὶ δείκνυσιν αὐτὰς διὰ τῶν αὐτῶν ὅρων καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ συνα-
γούσας. ἐν δὲ τῷ εἰπεῖν ὑπάρχει ἢ μὴ ὑπάρχει τὴν μερικὴν κατα-
φατικήν τε ἅμα καὶ ἀποφατικὴν ἐσήμανεν. καὶ ταύτας ποτὲ μὲν τῇ καθό-
λου καταφατικῇ συμπλέξας ποτὲ δὲ τῇ ἀποφατικῇ ποιεῖ τέσσαρας συζυγίας
ἀσυλλογίστους. οὐχ ὥσπερ δὲ ἐπὶ τῆς μερικῆς καταφατικῆς προσέθηκεν
20 ἅμα καὶ τὴν ἀποφατικὴν εἰπὼν εἰ τὸ μὲν Α τινὶ τῷ Β ὑπάρχει ἢ μὴ 35
ὑπάρχει, οὕτω καὶ ἐπὶ τῆς καθόλου καταφατικῆς ἅμα ἐπήγαγε καὶ τὴν
ἀποφατικήν, ἀλλ' εἰπὼν τὸ δὲ Β παντὶ τῷ Γ ὑπάρχει οὐκέτι ἐπήγαγεν
'ἢ μὴ ὑπάρχει', διότι αἱ μὲν μερικαὶ ἰσοδυναμοῦσιν ἀλλήλαις καὶ δύνανται
ἅμα συναληθεύειν καὶ διὰ τοῦτο κοιναὶ καὶ αἱ περὶ αὐτῶν ἀποδείξεις, αἱ
25 δὲ καθόλου συναληθεύειν οὐ δύνανται, ὡς δέδεικται ἐν τῷ Περὶ ἑρμηνείας.
παραδείγματα δὲ τῆς μὲν ἐκ τῆς μείζονος μερικῆς τῆς δὲ ἐλάττονος 40
καθόλου καταφατικῶν οὐσῶν· ἀγαθὸν τινὶ ἕξει, ἕξις πάσῃ φρονήσει, καὶ συμ-
πέρασμα ἀγαθὸν πάσῃ φρονήσει. καὶ οὕτω μὲν τὸ παντὶ συνάγεται. τὸ
δὲ μηδενὶ οὕτως· ἀγαθὸν τινὶ ἕξει, ἕξις πάσῃ ἀμαθίᾳ, καὶ συμπέρασμα
30 ἀγαθὸν οὐδεμιᾷ ἀμαθίᾳ. δυνατὸν δὲ τὰ μερικὰ συνάγειν οὕτως· ἀγαθὸν
τινὶ διαθέσει, διάθεσις πάσῃ ἕξει, καὶ ἀγαθὸν τινὶ ἕξει καὶ οὐ πάσῃ. ἢ 45
οὕτως· λευκὸν τινὶ σώματι, σῶμα παντὶ ζῴῳ, λευκὸν ἄρα καὶ τινὶ καὶ οὐ

---

2 μᾶλλον om. V ταῦτα P τε om. V 4 δεύτερον Qt 5 τρίτον V
6 τῆς om. P 8 ὡς om. P 9 τῆς ἐλάττονος post καθόλου collocat V: om. t
αἱ om. PVt 10 ἢ μὴ κτλ. om. Q ὑπάρχῃ (post μὴ) P itemque vs. 11
14 καταφατικῆς PQ, pr. V: ἀποφατικῆς corr. V, t 15 παν̄—μηδὲν V 15. 16 συνάγουσιν V 16 ὑπάρχειν (post μὴ) V 19 δὲ om. V 21 ὑπάρχῃ PV
post οὕτω add. δὲ P 22 δὲ om. V 23 ὑπάρχῃ PV 25 ἐν τῷ Περὶ ἑρμ.] c. 7 p. 17b20 sq. cf. c. 10 p. 20a16 sq. 26 τῶν μὲν—τῶν δὲ V 27 καταφατικῆς Q ex ἀποφατικῆς corr. V2 πᾶσι pr. V 28 μὲν τῶι PV 30 δὲ ⟨καὶ⟩ conicio 32 καὶ prius om. V ante τινὶ alt. del. παν V

παντὶ ζῴῳ. τῆς δὲ ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς καὶ τῆς ἐλάττονος XXIv
καθόλου καταφατικῆς τοῦ μὲν παντὶ οὕτως· ἀγαθὸν οὐ πάσῃ ἕξει, ἕξις
πάσῃ φρονήσει, καὶ συμπέρασμα ἀγαθὸν πάσῃ φρονήσει· τοῦ δὲ μηδενί·
ἀγαθὸν οὐ πάσῃ ἕξει, ἕξις πάσῃ ἀμαθίᾳ, καὶ συμπέρασμα ἀγαθὸν οὐδεμιᾷ
5 ἀμαθίᾳ. πάλιν δὲ καὶ τὰ μερικὰ συνάξεις οὕτως· ἀγαθὸν οὐ πάσῃ διαθέσει, διάθεσις πάσῃ ἕξει, ἀγαθὸν ἄρα καὶ τινὶ ἕξει καὶ οὐ πάσῃ· καὶ πάλιν λευκὸν οὐ παντὶ σώματι, σῶμα παντὶ ζῴῳ, καὶ λευκὸν οὐ παντὶ καὶ τινὶ ζῴῳ. τῆς δὲ ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς καὶ τῆς ἐλάτ- |
τονος καθόλου ἀποφατικῆς τοῦ μὲν παντί· λευκὸν τινὶ ἵππῳ, ἵππος οὐδενὶ XXIIr
10 κύκνῳ, καὶ συμπέρασμα λευκὸν παντὶ κύκνῳ· τοῦ δὲ μηδενί· λευκὸν τινὶ ἵππῳ, ἵππος οὐδενὶ κόρακι, καὶ λευκὸν οὐδενὶ κόρακι. κἀνταῦθα δὲ πάλιν καὶ τὰ μερικὰ συνάξεις, εἰ πρὸς τῷ ἐλάττονι ὅρῳ θείης τὸν ἄνθρωπον ἤ τι τοιοῦτον, ᾧτινι τὸ μὲν μέσον οὐδενί, τὸ δὲ μεῖζον τινὶ ὑπάρχει· λευκὸν τινὶ ἵππῳ, ἵππος οὐδενὶ ἀνθρώπῳ, λευκὸν ἄρα καὶ τινὶ καὶ οὐ παντὶ
15 ἀνθρώπῳ ὑπάρχει. οἱ αὐτοὶ δὲ ὅροι καὶ ἐπὶ τῆς μείζονος μερικῆς ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. καὶ τὸ μὲν παντί· οἷον λευκὸν οὐ παντὶ ἵππῳ, ἵππος οὐδενὶ κύκνῳ, καὶ λευκὸν παντὶ κύκνῳ· καὶ τὸ μηδενὶ ὁμοίως· λευκὸν οὐ παντὶ ἵππῳ, ἵππος οὐδενὶ κόρακι, καὶ λευκὸν οὐδενὶ κόρακι. πάλιν δέ, εἰ κἀνταῦθα πρὸς τῷ ἐλάττονι ὅρῳ θείης ἄνθρωπον,
20 συνάξεις τὰ μερικά· λευκὸν οὐ παντὶ ἵππῳ, ἵππος οὐδενὶ ἀνθρώπῳ, λευκὸν ἄρα καὶ τινὶ καὶ οὐ παντὶ ἀνθρώπῳ. οὗτοι μὲν τέσσαρες ἐδείχθησαν ἀσυλλόγιστοι τρόποι, ἐκ τῆς μείζονος μερικῆς καὶ τῆς ἐλάττονος καθόλου. ἐπειδὴ δὲ ἰσοδυναμοῦσιν αἱ ἀπροσδιόριστοι ταῖς μερικαῖς, εὑρήσεις ἑτέρας τέσσαρας συζυγίας, καὶ ταύτας ἀσυλλογίστους, τὴν μείζονα τιθεὶς ἀπροσ-
25 διόριστον ποικίλλων δὲ ἀμφοτέρας κατὰ τὸ καταφατικὸν καὶ ἀποφατικόν· συνάγουσι γὰρ ἐπὶ τῶν αὐτῶν ὅρων καὶ τὸ παντὶ καὶ τὸ μηδενί.

p. 26ᵃ39 Οὐδ᾽ ὅταν τὸ μὲν πρὸς τῷ μείζονι ἄκρῳ καθόλου γένηται ἢ κατηγορικὸν ἢ στερητικόν, τὸ δὲ πρὸς τῷ ἐλάττονι στερητικὸν κατὰ μέρος, οὐκ ἔσται συλλογισμὸς ἀδιορίστου τε καὶ ἐν
30 μέρει ληφθέντος.

Τὰς παραλελειμμένας αὐτῷ ἀσυλλογίστους δύο συζυγίας νῦν λοιπὸν ἐλέγξαι βούλεται, πρότερον ἀναβαλλόμενος ὡς ἐργωδεστέρας οὔσης τῆς δεί-

1 καὶ om. V 3 καὶ] τὸ V μηδενὸς Vt: compend. Q 4 post καὶ add. τὸ V 6 πάσῃ alt. P: παντί QVt 8 καὶ τῆς PQt: τῆς δὲ V 9 λευκῶ pr. V οὐδὲ t 10 post καὶ add. τὸ Q παντὶ] τινὶ Q μηδενὸς V 12 εἰ] εἰς Q 13 et 15 ὑπάρχειν t 16 καὶ τὸ μὲν παντὶ om. P 17 καὶ prius om. V 19 οὐδὲν t post κἀνταῦθα add. εἰ V ante ἄνθρωπον del. τὸν V 23 ἐπεὶ Q 25 ποικίλων Vt τὸ P: τὸν Qt: τὴν V καταφατικὴν V καὶ (καὶ superscr.) ἀποφατικὴν V: om. Q 26 ἐπὶ (ἐκ t)—ὅρων post μηδενὶ collocant Vt 27. 28 καθόλου γένηται PV Arist.: inv. ord. Q: καθόλου τεθῇ t (i) 28 ἢ κατηγορικὸν κτλ. om. Q κατηγορικῶς ἢ στερητικῶς V τὸ ἔλαττον P (i): τῷ ἐλάττῳ V 31 παραλελημμένας Vt 32 πρότερον] cf. p. 79,27 sq. οὔσης] ης corr. P¹

ξεως αὐτῶν διὰ τήνδε τὴν αἰτίαν· ἴσμεν ὅτι ἡ μερικὴ ἀποφατικὴ ποτὲ μὲν XXIIr
δι' ἑαυτὴν ἀληθεύει, ὡς ὅταν λέγωμεν 'οὐ πᾶς ἄνθρωπος λευκός', ποτὲ δὲ
διὰ τὴν καθόλου ἀποφατικήν, ὡς ὅταν εἴπωμεν 'οὐ πᾶς ἄνθρωπος πτερωτός', 35
καὶ ὅταν δι' ἑαυτὴν ἀληθεύῃ, ἰσοδυναμεῖ τῇ μερικῇ καταφατικῇ. διὰ τοῦτο
5 καὶ βουληθεὶς τὰς συζυγίας ταύτας ἀσυλλογίστους ἀποδεῖξαι οὐκ ἠδύνατο
τοῦτο ποιῆσαι λαμβάνων τὴν μερικὴν ἀποφατικὴν ὡς δι' ἑαυτὴν ἀληθεύ-
ουσαν· ὑποδύεται γὰρ αὕτη συλλογιστικὸν τρόπον, τὸν τρίτον τὸν ἐκ τῆς
μείζονος καθόλου καταφατικῆς καὶ τῆς ἐλάττονος μερικῆς καταφατικῆς, 40
μεταληφθεῖσα εἰς τὴν μερικὴν καταφατικὴν ὡς ἰσοδυναμοῦσαν. οἷον τί
10 λέγω; ζῷον κατὰ παντὸς ἀνθρώπου, ἄνθρωπος οὐ παντὶ λευκῷ· ἐὰν τὸ
λευκὸν τοῦτο λάβωμεν τὸ ἐπὶ τοῦ Σκύθου, δυνατὸν ἔσται μεταλαβεῖν τὴν
μερικὴν ἀποφατικὴν εἰς τὴν μερικὴν καταφατικήν, ὅτι ὁ ἄνθρωπος τινὶ 45
λευκῷ ὑπάρχει, οἷον τῷ Σκύθῃ, διότι ἡ μερικὴ δι' ἑαυτὴν ἀληθεύει· τὸ
γὰρ αὐτὸ τοῦτο καὶ τινὶ ὑπάρχει καὶ οὐ παντὶ ὑπάρχει, οἷον τῷ Αἰθίοπι·
15 μεταληφθεῖσα δὲ εἰς τὴν μερικὴν καταφατικὴν ποιεῖ τὸν τρίτον τρόπον
τοῦ πρώτου σχήματος. διά τοι τοῦτο λαμβάνει τὴν μερικὴν ἀποφατικὴν οὐ
δι' ἑαυτὴν ἀληθεύουσαν ἀλλὰ διὰ τὴν καθόλου. ὁμοίως καὶ ἡ ἑτέρα συζυγία 50
ἡ ἐξ ἀμφοτέρων ἀποφατικῶν ὑποδύεται τὸν τέταρτον συλλογιστικὸν τρόπον
τὸν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς κατα-
20 φατικῆς, μεταληφθείσης ὁμοίως τῆς μερικῆς ἀποφατικῆς εἰς μερικὴν κατα-
φατικήν. λαμβάνει οὖν αὐτὴν πάλιν ὡς ἰσοδυναμοῦσαν τῇ καθόλου ἀπο-
φατικῇ εἰσφέρων ὑποκείμενά τινα τῷ | λευκῷ ὅρῳ, ὧν τοῦ μὲν τὸ XXIIv
ζῷον κατηγορεῖται παντὸς τοῦ δὲ οὐδενός, καὶ οὕτως ἀποδείκνυσι τὰς ἐξ
αὐτῆς συζυγίας τὸ ἐναντίον συναγούσας, τὸ παντὶ καὶ τὸ οὐδενί. καὶ πάλιν
25 τῷ λευκῷ τινα ὑποκείμενα εἰσφέρει, ὧν τοῦ μὲν παντὸς κατηγορεῖται τὸ
ἄψυχον τοῦ δὲ οὐδενός, καὶ οὕτω δείκνυσι καὶ τὴν δευτέραν συζυγίαν ἀσυλ- 5
λόγιστον καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ συνάγουσαν. παράδειγμα τῆς μὲν προ-
τέρας οὕτως· ζῷον κατὰ παντὸς ἀνθρώπου, ἄνθρωπος οὐ παντὶ λευκῷ, καὶ
συμπέρασμα ζῷον παντὶ λευκῷ, τουτέστι τῷ κύκνῳ. καὶ οὕτω μὲν τὸ
30 παντί. τὸ δὲ μηδενὶ οὕτως· ζῷον παντὶ ἀνθρώπῳ, ἄνθρωπος οὐ παντὶ
λευκῷ, καὶ συμπέρασμα ζῷον οὐδενὶ λευκῷ, τουτέστι τῇ χίονι. τῆς δὲ 10
δευτέρας· ἄψυχον οὐδενὶ ἀνθρώπῳ, ἄνθρωπος οὐ παντὶ λευκῷ, καὶ συμ-
πέρασμα ἄψυχον παντὶ λευκῷ, ἵνα πάλιν λάβωμεν ἐπὶ χιόνος. ὁμοίως
καὶ οὐδενί, ἵνα λάβωμεν ἐπὶ τοῦ κύκνου. πάλιν δὲ εἰ καὶ ἡ προκειμένη
35 ἰσοδυναμεῖ τῇ ἐκ δύο καθόλου ἀποφατικῶν, ἐπ' ἐκείνης δὲ τὰ μερικὰ

2 λέγομεν t 4 ἀληθεύει pr. P ἰσοδυναμῇ (η in ras. ex ει corr.) P
5 καὶ om. P ἐδύνατο P 6 ὡς om. V 7 ὑποδύσεται P τὸν alt. om. V 8 ἀποφατικῆς (post μερ.) Vt 9 ἰσοδυναμοῦσαι V 12 καταφατικὴν—ἀποφατικήν pr. Q, corr. Q¹ ὁ om. V 13 σκύθει P ὅτι V
14 ὑπάρχει alt. om. P 18 ἀποφατικὴ Q 19. 20 ἀποφατικῆς pr. V, κατα superscr. V² 21 αὐτὸς Q 22 post ὑποκείμενα add. λευκά PQt, at cf. vs. 25
23 τὸ δὲ Vt 24 αὐτοῦ P τὸ tert. om. QVt 25 παντὶ Vt 26 τὸ δὲ t
27. 28 προτάσεως t 29 τοῦ ἐστιν P τῷ om. P 30 οὐδενὶ P
32 λευκὸν Q 35 τῆς P post καθόλου del. κατα Q¹

συνήγετο, οὐκοῦν καὶ ἐπὶ ταύτης. ὅροι δὲ οἱ αὐτοὶ οὕσπερ κἀκεῖ παρειλή- XXIIv
φαμεν· ζῷον οὐδενὶ ἀψύχῳ, ἄψυχον οὐ παντὶ ἐμψύχῳ. ἐπεὶ καὶ οὐδενί· 15
λαμβάνεται γὰρ νῦν διὰ τὴν καθόλου ἀποφατικὴν ἡ μερικὴ ἀληθεύουσα· συμπέρασμα ζῷον τινὶ καὶ οὐ τινὶ ἐμψύχῳ.

5 p. 26b14 Ἔτι ἐπεὶ ἀδιόριστον τὸ τινὶ τῷ Γ τὸ Β μὴ ὑπάρχειν.

Ἕτερον ἐπιχείρημα λαμβάνει, δι' οὗ δείκνυσιν ἀσυλλογίστους τὰς εἰρη-
μένας προτάσεις, λέγω δὴ τὰς ἐκ τῆς ἐλάττονος μερικῆς ἀποφατικῆς τῆς 20
δὲ μείζονος καθόλου εἴτε καταφατικῆς εἴτε ἀποφατικῆς. ὃ δὲ λέγει τοι-
οῦτόν ἐστιν. ἡ μερικὴ ἀποφατικὴ ποτὲ μὲν δι' ἑαυτὴν ἀληθεύει ποτὲ δὲ
10 διὰ τὴν καθόλου, ὡς ἐμάθομεν ἐν τῷ Περὶ ἑρμηνείας. καὶ ὅτε μὲν δι'
ἑαυτὴν ἀληθεύει, ἰσοδυναμεῖ τῇ μερικῇ καταφατικῇ, οἷον ἡ 'οὐ πᾶς ἄν-
θρωπος λευκός' συναληθεύει καὶ ἰσοδυναμεῖ τῇ 'τὶς ἄνθρωπος λευκός'· καὶ 25
τοῦτο συμβαίνει ἐπὶ τῆς ἐνδεχομένης ὕλης. ὅταν δὲ διὰ τὴν καθόλου,
οὐκέτι αὐτῇ ἰσοδυναμεῖ, οἷον οὐ πᾶς ἄνθρωπος πτερωτός· ἐπειδὴ γὰρ οὐ-
15 δείς, διὰ τοῦτο καὶ οὐ πᾶς· καὶ τοῦτο συμβαίνει ἐπὶ τῆς ἀδυνάτου ὕλης.
ἐπειδὴ οὖν, φησίν, ἀδιόριστος ἡ οὐ πᾶς πρότασις, ⟨ἐπεὶ⟩ ἐπὶ μὲν τῆς ἐνδεχο-
μένης ὕλης ἰσοδυναμεῖ τῇ τίς, ἐπὶ δὲ τῆς ἀδυνάτου οὐκέτι (ἕπεται γὰρ τηνι- 30
καῦτα τῇ οὐδείς, ἥτινι ἀντιφατικῶς ἀντίκειται ἡ τίς), ἐὰν ληφθῶσιν ὅροι
τῆς ἀδυνάτου ὕλης, δῆλον ὅτι οὐ μεταληφθήσεται εἰς τὴν τίς, ἀλλ' ἔσται
20 ἰσοδυναμοῦσα τῇ καθόλου ἀποφατικῇ, καὶ οὕτως ἔσται ἀσυλλόγιστος ἡ συ-
ζυγία· ἐδείχθη γὰρ ὅτι πᾶσα [πρότασις] ἔχουσα τὴν ἐλάττονα καθόλου ἀπο-
φατικὴν ἀσυλλόγιστός ἐστιν. εἰ δὲ καί ποτε ὑποδύεται συλλογιστικὴν συ- 35
ζυγίαν, οὐ διὰ τοῦτο αὐτὴν παραδεξόμεθα, πρῶτον μέν, ὅτι οὐ δι' ἑαυτήν
ἐστι συλλογιστικὴ ἀλλὰ διὰ τὴν παραληφθεῖσαν ὕλην, λέγω δὴ τὴν ἐνδεχο-
25 μένην, ἔπειτα, ὅτι περὶ τῶν καθόλου ζητοῦμεν κανόνων καὶ οὐ ποτὲ μὲν
ἐπταισμένων ποτὲ δὲ ὑγιῶν. ὁ αὐτὸς δὲ λόγος, εἴτε καταφατικὴ ἡ μείζων εἴη
εἴτε ἀποφατική· ἀμφότεραι γὰρ ἀσυλλόγιστοι. παραδείγματα δὲ πάλιν ⟨τῆς μὲν⟩ 40
ἐκ τῆς μείζονος καταφατικῆς καθόλου τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς
τοῦ μὲν παντί· ζῷον παντὶ ἀνθρώπῳ. ἄνθρωπος οὐ παντὶ ἵππῳ, καὶ συν-
30 άγεται ζῷον παντὶ ἵππῳ· τοῦ δὲ οὐδενί· ζῷον παντὶ ἀνθρώπῳ, ἄνθρωπος
οὐ παντὶ λίθῳ, καὶ συνάγεται ζῷον οὐδενὶ λίθῳ. τῆς δὲ ἐκ τῆς μείζονος
καθόλου ἀποφατικῆς καὶ τῆς ἐλάττονος μερικῆς ἀποφατικῆς οὕτως τοῦ μὲν 45
παντί· ζῷον οὐδενὶ λίθῳ, λίθος οὐ παντὶ ἀνθρώπῳ, καὶ συμπέρασμα ζῷον
παντὶ ἀνθρώπῳ· τοῦ δὲ μηδενί· ζῷον οὐδενὶ λίθῳ, λίθος οὐ παντὶ φυτῷ,

1 ὥσπερ Vt κακεῖ] p. 76,15 sq. 2 ἐπειδὴ P 5 τὸ a Vt 6 ante ἀσυλλ add. καὶ t 9 ὁτὲ μὲν Q ποτὲ δὲ—11 ἀληθεύει om. Q 10 ἐν τῷ Περὶ ἑρμ.] c. 6 p. 17b23 cf. c. 10 p. 20a19 11. 12 ἰσοδυναμεῖ—συναληθεύει om. P 16 φασὶν P ἐπεὶ addidi 17 ἀδιορίστου V 18 post ἐὰν add. οὖν QVt ante ὅροι add. οἱ V 21 ἐδείχθη] p. 26a2 sq. πρότασις delevi 22. 23 συλλογιστικὴ συζυγία Q 23 post μὲν add. οὖν V 24 παραλειφθεῖσαν Vt 26 ἐπτεσμένων P ἡ om. Vt 27 ἀμφότεροι QV τῆς μὲν addidi 30 δὲ om. Q ζῴου (post οὐδ.) V παντὸς (ante ἀνθρ.) t 33 παντὸς ζῴου V 34 δὲ οὐδενί V

καὶ συμπέρασμα ζῷον οὐδενὶ φυτῷ. ὅτι δὲ ἐξὸν οὕτω λέγειν τὴν οὐ πᾶς XXIIᵛ
ὡς μὴ συνεισφέρουσαν τὸ τίς, ἐν τῷ Περὶ ἑρμηνείας ἐμάθομεν. ἴδωμεν
δὲ καὶ τὰ τῆς λέξεως.

Ἔτι ἐπεὶ ἀδιόριστον τὸ τινὶ τῷ Γ τὸ Β μὴ ὑπάρχειν. ἀδιό- 50
5 ριστόν φησιν οὐ διὰ τὸ μὴ ἔχειν προσδιορισμόν (ἔχει γὰρ τὸ τὶς μερικόν)
ἀλλὰ διὰ τὸ μὴ ὁρίζειν ἐν ἑαυτῷ τὴν ποσότητα τῶν ὑποκειμένων πραγμά-
των, ἀλλὰ ποτὲ μὲν ποιεῖν καθόλου ἀποφατικὴν ποτὲ δὲ μερικήν. διόπερ
τοῦτο δηλῶν ἐπήγαγεν ἀληθεύεται δέ, καὶ εἰ μηδενὶ ὑπάρχει καὶ εἰ
μὴ παντί, ὅτι τινὶ οὐχ ὑπάρχει. | τοῦτό φησιν ὅπερ ἐλέγομεν, ὅτι XXIIIᵃ
10 ἡ 'τινὶ μὴ ὑπάρχει', τουτέστιν ἡ μερικὴ ἀποφατική, ποτὲ μὲν διὰ τὴν 6
καθόλου ἀληθεύει, τὴν οὐδείς, ποτὲ δὲ δι' ἑαυτήν.

p. 26ᵇ17 Ληφθέντων δὲ τοιούτων ὅρων ὥστε μηδενὶ ὑπάρχειν
οὐ γίνεται συλλογισμός.

Ὃ λέγει τοιοῦτόν ἐστιν· εἰ ληφθῇ ἡ μερικὴ ἀποφατικὴ ἐπὶ τῆς
15 καθόλου ἀποφατικῆς, αὐτόθεν δῆλον ὅτι ἀσυλλόγιστος γίνεται ἡ συζυγία· 10
εἰ γὰρ ποιεῖ συλλογιστικήν, καὶ ἐπὶ τῶν κυρίως ἀποφατικῶν ἔδει γενέσθαι·
τοῦτο γὰρ δηλοῖ τὸ ἦν γὰρ ἂν καὶ ἐπὶ τούτων. φανερὸν οὖν, φησίν,
ὅτι εἴ ποτε γίνεται συλλογιστικὴ συζυγία, οὐ διὰ τὴν τοιαύτην τῶν ὅρων
τάξιν γίνεται, λέγω δὴ διὰ τὸ τὴν ἐλάττονα μερικὴν ἀποφατικὴν εἶναι,
20 ἀλλὰ διὰ τὸ ἰσοδυναμεῖν αὐτὴν ἐπὶ ἐνδεχομένης ὕλης τῇ μερικῇ καταφατικῇ 15
καὶ διὰ τοῦτο ἐπὶ τῶν αὐτῶν ὅρων δύνασθαι συναληθεύειν τὴν κατάφασιν
τῇ ἀποφάσει· καταφατικῆς δὲ οὔσης τῆς ἐλάττονος γίνεται συλλογισμός.

p. 26ᵇ21 Οὐδέ γε ἐὰν ἄμφω τὰ διαστήματα κατὰ μέρος ἢ κατη-
γορικῶς ἢ στερητικῶς. 20

25 Διαστήματα τὰς προτάσεις καλεῖ δι' ἣν ἐν τοῖς ἔμπροσθεν εἴπομεν
αἰτίαν, κατὰ ζῆλον λέγω γεωμετρικόν. ὥσπερ γὰρ ἐκεῖνοι τὰ μὲν σημεῖα 25
πάντων ἁπλούστερα ὄντα καὶ οἷον ἀρχοειδέστερα ὅρους καλοῦσι, τὰ δὲ ἀπὸ
τούτων, τουτέστι τὰς γραμμάς, διαστήματα, ἔτι δὲ τὰ ἐκ τούτων συγκείμενα
σχήματα, τὸν αὐτὸν τρόπον καὶ αὐτὸς τὸ μὲν ὄνομα καὶ τὸ ῥῆμα, ἅ ἐστιν

1 καὶ συμπέρασμα om. V post καὶ add. τὸ Q 2 εἴδωμεν P
6 αὐτῷ PVt 7 ἀπόφασιν P: ἀποφατικὸν Vt μερικόν Vt διόπερ PQ: διὸ καὶ Vt 8 εἰ καὶ (post δέ) Q: καὶ ἡ P καὶ εἰ μὴ κτλ. om. Q εἰ alt. in ras. P 9 post τοῦτο add. δέ QVt 10 ἡ prius om. P τινὶ om. t μὴ e μὲν corr. V² ὑπάρχει pr. V: ὑπάρχῃ corr. V² 11 post ἀληθεύει del. διὰ Q¹
12 οὖν V ὥστε κτλ. om. Q ὑπάρχει t 14 post ὅ add. δὲ P λέγω V
15 γίνεται PVt: ἐστιν Q 16 immo ἐποίει συλλογιστικὸν Q 17 γὰρ ἦν V
18. 19 συλλογιστικὴ—γίνεται iterant QVt 20 post ἐπὶ add. τῆς Vt 21. 22 καταφατικὴν τῇ ἀποφατικῇ Q 22 post ἀποφάσει add. ἀδύνατον Vt 23 γε om. Arist. (sed habent C m, rec. A) 25 εἴπομεν] p. 66,29 sq. 26 post κατὰ add. τὸν Vt μὲν om. P στοιχεῖα Q 27 πάντα P ὄντα om. V 28 συγκείμενα] σ e χ corr. Q¹ 29 ἅ] πρῶτον V

ἁπλούστερα καὶ εἰς ἃ ἀναλύεται ὁ συλλογισμός, ὅρους ὠνόμασεν, τὰς δὲ XXIIIr
ἐκ τούτων συγκειμένας προτάσεις διαστήματα, τὰ δὲ ἐκ τούτων αὐτῶν σχήματα, πρῶτον καὶ δεύτερον καὶ τρίτον καλῶν. καὶ ταῦτα μὲν περὶ τοῦ ὀνόματος τοῦ διαστήματος. βούλεται δὲ ἐνταῦθα τὰς ἐπιλοίπους ιζ' συζυ- 30
5 γίας ἐλέγξαι καὶ δεῖξαι ἀσυλλογίστους τὰς ἐξ ἀμφοτέρων μερικῶν ἢ ἀπροσδιορίστων καὶ τὰς ἐκ τῆς μιᾶς μερικῆς τῆς δὲ ἑτέρας ἀπροσδιορίστου. γίνονται γὰρ ἐκ μὲν τῶν ἐξ ἀμφοτέρων μερικῶν συζυγίαι τέσσαρες, ἢ καταφατικῶν οὐσῶν ἢ ἀποφατικῶν, ἢ τῆς μὲν καταφατικῆς τῆς δὲ ἀποφατικῆς, καὶ τοῦτο διχῶς. ὁμοίως καὶ ἐπὶ τῶν ἐξ ἀμφοτέρων ἀπροσδιορίστων
10 γίνονται τέσσαρες, ὡσαύτως ποικιλλόμεναι κατὰ τὸ καταφατικόν τε καὶ ἀπο- 35
φατικόν. καὶ αἱ λοιπαὶ ὀκτὼ ἐκ τῆς μιᾶς μερικῆς τῆς δὲ ἑτέρας ἀπροσδιορίστου· ἢ γὰρ ἡ μὲν μείζων ἐστὶ μερικὴ ἡ δὲ ἑτέρα ἀπροσδιόριστος, καὶ κατὰ τὴν ἐναλλαγὴν τοῦ ποιοῦ γίνονται τέσσαρες συζυγίαι, ἢ τοὐναντίον, καὶ ὁμοίως πάλιν γίνονται τέσσαρες. λαμβάνει δὲ ὅρους κοινοὺς ἀρκοῦντας
15 αὐτῷ ἐπὶ πασῶν τῶν συζυγιῶν πρὸς τὸ δεῖξαι ὅτι καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ συνάγουσι, τοῦ μὲν παντὶ ζῷον, λευκόν, ἄνθρωπος, τοῦ δὲ μηδενὶ 40
ζῷον, λευκόν, λίθος. οἷον ζῷον τινὶ λευκῷ, τὸ λευκὸν τινὶ ἀνθρώπῳ, καὶ συμπέρασμα τὸ ζῷον παντὶ ἀνθρώπῳ· καὶ πάλιν τὸ ζῷον τινὶ λευκῷ, τὸ λευκὸν τινὶ λίθῳ, καὶ ζῷον οὐδενὶ λίθῳ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν
20 συζυγιῶν μεταφέρων εὑρήσεις. καὶ συνάξεις κἀνταῦθα καὶ τὸ τινὶ καὶ τὸ οὐ παντὶ οὕτως· ζῷον τινὶ λευκῷ, λευκὸν τινὶ ἐμψύχῳ, καὶ ζῷον τινὶ καὶ 45
οὐ παντὶ ἐμψύχῳ.

p. 26ᵇ26 Φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὡς ἐὰν ᾖ συλλογισμὸς ἐν τούτῳ τῷ σχήματι κατὰ μέρος, ὅτι ἀνάγκη τοὺς ὅρους οὕτως
25 ἔχειν ὡς εἴπομεν. |

Καλῶς προσέθηκεν ἐν τούτῳ τῷ σχήματι· ἐν γὰρ τῷ δευτέρῳ XXIIIv
δυνατὸν τὴν ἐλάττονα μερικὴν ἀποφατικὴν εἶναι τῆς μείζονος καταφατικῆς καθόλου οὔσης. 5

p. 26ᵇ33 Καλῶ δὲ τὸ τοιοῦτον σχῆμα πρῶτον.

30 Εἴρηται πολλάκις, καὶ ἐνταῦθα καὶ ἀλλαχοῦ, ὅτι ὁπηνίκα αὐτὸς τίθησι τὰ ὀνόματα πρῶτος τῶν πρὸ αὐτοῦ μὴ οὕτω χρησαμένων, οὕτω φησίν, ὅτι καλῶ καὶ ὅτι λεγέσθω καὶ τὰ τοιαῦτα. ὥστε δῆλον ὅτι αὐτοῦ ἐστι θέσις ἡ τῶν σχημάτων ὀνομασία.

6 τῆς prius om. Q 7 μὲν γὰρ ἐκ Q τῆς (post μὲν) P post ἢ add. ἐξ ἀμφοτέρων QVt 9 καὶ alt. om. V ἐπὶ] ἐκ V 10. 11 ἀποφατικόν—καταφατικόν V 16. 17 ἄνθρωπον—λίθον conicio 16 μηδὲν V 17 ἀνθρώπῳ—19 λευκὸν τινὶ om. Q 18 τὸ ζῶον alt. om. V 20 εὑρήσεις μεταφέρων V συνάξας, om. καὶ P 23 ὡς om. V 24 τῷ om. P 25 ὥσπερ P (Marc. 231) 26 τῷ prius om. P 27 καταφατικῆς om. V 28 καθόλου om. P 30 εἴρηται] cf. p. 25,4 sq. 31 πρῶτον QVt τοῦτό φησιν QVt 32 post ἐστιν add. ἡ V 33 ὀνομασία] huc usque Q: τέλος τοῦ πρώτου σχήματος subscr. P

p. 26ᵇ34 Ὅταν δὲ τὸ αὐτὸ τῷ μὲν παντὶ τῷ δὲ μηδενὶ ὑπάρχῃ XXIIIᵛ
ἢ ἑκατέρῳ παντὶ ἢ μηδενί, τὸ μὲν σχῆμα τὸ τοιοῦτον καλῶ 11
δεύτερον.

Ἰστέον ὅτι ὑγιῶς μετὰ τὸ πρῶτον σχῆμα τὸ δεύτερον παραδίδωσι, μετὰ δὲ ταῦτα τὸ τρίτον· ἐπειδὴ γὰρ μετὰ τὴν ἀποδεικτικὴν ἡ διαλεκτικὴ καὶ οὕτως ἡ σοφιστική, ἔοικε δὲ τῇ μὲν ἀποδεικτικῇ τὸ πρῶτον σχῆμα, ὅτι συμπεραίνει τὸ καθόλου καταφατικόν, ὅπερ φίλον τῷ ἀποδεικτικῷ, τὸ δὲ δεύτερον τῇ διαλεκτικῇ, ὅτι πάντα ἀποφατικὰ συνάγει (ὁ γὰρ διαλεκτικὸς ἀνασκευάζειν ἐπιχειρεῖ τὰ ὑπὸ τοῦ προσδιαλεγομένου ⟨λεγόμενα⟩, ὅμοιον δὲ τὸ ἀνασκευάζειν τῷ ἀποφάσκειν), τὸ δὲ τρίτον τῷ σοφιστικῷ ἔοικεν (ἐκεῖνος γὰρ διὰ ἔκπτωσιν τῶν ὄντων σοφῶν περὶ τὰ μερικὰ διατρίβει· ὁμοίως δὲ καὶ τὸ τρίτον σχῆμα ὅλα μερικὰ συνάγει), εἰκότως καὶ τὰ σχήματα τοιαύτην τάξιν εἰλήφασιν.

Ὅταν δὲ τὸ αὐτὸ τῷ μὲν παντὶ τῷ δὲ μηδενὶ ὑπάρχῃ ἢ ἑκατέρῳ παντὶ ἢ μηδενί, τὸ μὲν σχῆμα τὸ τοιοῦτον καλῶ δεύτερον. ὁ περὶ τοῦ πρώτου σχήματος λόγος πέρας ἀπείληφε, καὶ πασῶν τῶν ἐν ἐκείνῳ συζυγιῶν ἀνελλιπῶς [καὶ] αἱ μὲν συλλογιστικὸν ἔχουσαι τὸ εἶδος ἀπεδείχθησαν, αἱ δὲ τῶν ἀσυλλογίστων ἠλέγχθησαν οὖσαι. νῦν οὖν ἐπὶ τὸ δεύτερον μεταβέβηκε, καὶ πρώταις κἀνταῦθα ταῖς καθόλου συζυγίαις ἐπεξέρχεται. ἔστι δὲ ἴδιον τούτου τοῦ σχήματος τὸ τὴν μείζονα εἶναι καθόλου τὴν δὲ ἐλάττονα ἀνομοιοσχήμονα τῇ μείζονι κατὰ τὸ ποιόν.

Ὅταν δὲ τὸ αὐτὸ τῷ μὲν παντὶ τῷ δὲ μηδενὶ ὑπάρχῃ ἢ ἑκατέρῳ παντὶ ἢ μηδενί. τοῦτο δῆλον, ὅτι ἐν τούτῳ τῷ σχήματι ὁ μέσος ὅρος ἀμφοτέρων κατηγορεῖται τῶν ἄκρων, καὶ ἢ τοῦ μὲν καταφατικῶς τοῦ δὲ ἀποφατικῶς ἢ ἀμφοτέρων καταφατικῶς ἢ ἀμφοτέρων ἀποφατικῶς. ἄρχεται δέ, ὥσπερ εἴπομεν, ἐκ τῶν καθόλου συζυγιῶν. τεσσάρων δὲ οὐσῶν τῶν ἐκ δύο καθόλου διὰ μὲν τοῦ εἰπεῖν τὸ αὐτὸ τῷ μὲν παντὶ τῷ δὲ μηδενὶ τὰς καθόλου δύο ἀνομοιοσχήμονας ἐσήμανε συζυγίας, αἵτινες καὶ συλλογιστικαί εἰσιν. διὰ δὲ τοῦ εἰπεῖν ἢ ἑκατέρῳ παντὶ ἢ μηδενὶ τὰς ὁμοιοσχήμους καὶ λοιπὰς δύο συζυγίας ἐσήμανεν, αἵτινες καὶ ἀσυλλόγιστοί εἰσι διὰ τὸ ὡς ἐλέγομεν δεῖν ἐν τούτῳ τῷ σχήματι τὴν μίαν πρότασιν ἀνομοιοσχήμονα εἶναι τῇ ἑτέρᾳ, εἰ μέλλοι συλλογιστικὴ ἔσεσθαι ἡ συζυγία.

1 ἀρχὴ τοῦ δευτέρου σχήματος inser. PV ὑπάρχει P 2 καλῶ corr. V
7 post καθόλου add. τὸ V τοῦ ἀποδεικτικοῦ Pt 8 γὰρ scripsi: δὲ libri 9 διαλεγομένου V λεγόμενα addidi ὁμοίως P 10 τοῦ (ante ἀποφ.) P
11 ὄντως conicio 12 post ὅλα add. τὰ V 12. 13 τοιαύτην καὶ τὰ σχήματα t
13 ἀπείληφεν V 14 ὑπάρχει Vt 16 πέρας superscr. V πᾶς P 17 ἀνελλειπῶς P καὶ delevi τὸ om. Vt 19 τοῦ δευτέρου P μεταβέβηκεν ante ἐπὶ collocat V 20 τούτου scripsi: τοῦτο libri τὴν] των P 22 ὑπάρχει V
23 post ἑκατέρῳ add. μὲν t δηλῶν V 24 καὶ om. V εἰ P 27 αὐτὸ τῷ om. V τὸ δὲ V 28 ἀνομοιοσχήμους t 30 καὶ λοιπὰς] καθολικὰς conicio
δύο om. V 31 δεῖ P

p. 26ᵇ37 Μεῖζον δὲ ἄκρον τὸ πρὸς τῷ μέσῳ κείμενον. XXIIIᵛ

Ἀντὶ τοῦ 'συγγενέστερον καὶ ἐγγύτερον τοῦ μέσου', οὐ τῇ θέσει ἀλλὰ τῷ ἀξιώματι. ἐπειδὴ γὰρ ὁ μέσος ὅρος δεύτερον κατηγορεῖται, ὁ δὲ μείζων ἅπαξ ἐν τῷ συμπεράσματι, ὁ δὲ ἐλάττων οὐδὲ ἅπαξ, ἐγγυτέρω ἂν εἴη τοῦ δεύτερον κατηγορουμένου, τουτέστι τοῦ μέσου, ὁ ἅπαξ κατηγορούμενος ἢ ὁ μηδὲ ἅπαξ· διόπερ ἀκουσόμεθα αὐτοῦ ἐν τῷ τρίτῳ σχήματι ἐγγυτέρω μὲν τοῦ μέσου καλοῦντος τὸν ἐλάττονα διὰ τὴν συγγένειαν (ὑπόκεινται γὰρ ἀμφότεροι), πορρωτέρω δὲ τὸν μείζονα. ἴσως δὲ καὶ τῇ καταγραφῇ ἐγγυτέρω μᾶλλον τοῦ μέσου βούλεται τίθεσθαι τὸν μείζονα ὅρον, πορρωτέρω δὲ τὸν ἐλάττονα. τὸ δὲ μεῖζον ἄκρον ἐν τούτῳ τῷ σχήματι τῶν δύο προτάσεων καθόλου οὐσῶν οὐκ ἔστι φύσει ἀλλὰ θέσει· ὃ γὰρ ἂν τῶν ἄκρων πρῶτον ὑποκείμενον ἐν τῷ δευτέρῳ σχήματι λάβῃς συλλογιζόμενος, τοῦτο ἂν εἴη τὸ ἔλαττον ἄκρον, τὸ δὲ λοιπὸν μεῖζον· οἷον πᾶς ἄνθρωπος ζῷον, οὐδὲν φυτὸν ζῷον, οὐδεὶς ἄρα ἄνθρωπος φυτόν. ὁμοίως, ἐὰν ἐκ τοῦ φυτοῦ τὴν ἀρχὴν ποιησώμεθα, τοῦτο γίνεται ἐλάττων ὅρος, ὁ δὲ ἄνθρωπος μείζων· οἷον οὐδὲν φυτὸν ζῷον, πᾶς ἄνθρωπος ζῷον, οὐδὲν ἄρα φυτὸν ἄνθρωπος. θέσει ἄρα τὸ μεῖζον καὶ ἔλαττον ἐν τούτοις καὶ οὐ φύσει. εἰ μέντοι ἡ ἑτέρα τῶν προτάσεων εἴη μερική, ὥρισται τὸ μεῖζον καὶ ἔλαττον· εἴπομεν γὰρ ὅτι δεῖ ἐν τούτῳ τῷ σχήματι τὴν καθόλου μείζονα εἶναι.

p. 26ᵇ39 Τίθεται δὲ τὸ μέσον ἔξω μὲν τῶν ἄκρων πρῶτον δὲ τῇ θέσει.

Τὴν κυρίως μὲν μέσην τάξιν ὁ μέσος ὅρος ἐκβεβηκὼς λοιπὸν ἔξω τῶν ἄκρων τίθεται, ἀλλ' ὑπεράνω τούτων ἢ ὑποκάτω. ἀλλ' εἰ μὲν ἐπάνω ἢ ὡς ἀμφοτέρων κατηγορεῖσθαι, καλεῖται τῇ θέσει πρῶτος· εἰ δὲ κάτω ὡς ὑποκεῖσθαι, καλεῖται δεύτερος. διὸ ἐνταῦθα ὡς ἀμφοτέρων κατηγορούμενον τὸν μέσον | ὅρον πρῶτον ὠνόμασεν· εἰ μὲν γὰρ ὑπέρκειται, πρῶτος τῇ XXIVʳ θέσει. τῷ δὲ καὶ χωρὶς εἶναι τῶν ἄκρων ἔξω αὐτῶν τίθεται.

p. 27ᵃ2 Δυνατὸς δ' ἔσται καὶ καθόλου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων.

Ὃ βούλεται εἰπεῖν, τοῦτό ἐστιν, ὅτι ἐνδέχεται γενέσθαι συλλογισμὸν ἐν τούτῳ τῷ σχήματι, κἂν τε ἀμφότεραι καθόλου εἶεν αἱ προτάσεις, κἂν

3 δεύτερος t 5 δευτέρου t 6 μήτε Pt ἀκουσόμεθα] c. 6 p. 28ᵃ13. 14 αὐτοῦ superscr. V μὲν om. P 7 post τὸν add. δὲ V 7. 8 ὑπόκειται γὰρ ἀμφοτέροις P 8—10 ἴσως—ἐλάττονα mrg. P 8 καὶ om. P 9 ὅρον om. V: καὶ t 12 συλλογιζόμενον t 14 φυτῷ (post ἄνθρ.) t 15 ποιησόμεθα V 17 μὲν P 18 καὶ om. P εἴπομεν] p. 70,11 22 post ἔξω del. μὲν V 26 εἰ] η P 27 τὸ δὲ P 28 δυνατὸν t 29 ἄκρων t 31 καθότι pr. V., corr. V²

τε ἡ μὲν μία μερικὴ ἡ δὲ ἑτέρα καθόλου. τὸ γὰρ μὴ καθόλου τοῦτο XXIVr βούλεται· οὐ γὰρ ἐνδέχεται συλλογισμὸν γενέσθαι ἐξ ἀμφοτέρων μερικῶν.

p. 27a3 Καθόλου μὲν οὖν ὄντων τῶν ὅρων ἔσται συλλογισμός, ὅταν τὸ μέσον τῷ μὲν παντὶ τῷ δὲ μηδενὶ ὑπάρχῃ, ἂν πρὸς ὁποτερῳοῦν ᾖ τὸ στερητικόν· ἄλλως δὲ οὐδαμῶς.

Δεῖ γάρ, ὡς εἴρηται πολλάκις, ἀνομοιοσχήμονας εἶναι τὰς προτάσεις, καὶ τὴν μὲν καταφατικὴν τὴν δὲ ἀποφατικὴν ἀορίστως, ὡρισμένως δὲ τὴν μείζονα καθόλου.

p. 27a5 Κατηγορείσθω γὰρ τὸ Μ τοῦ μὲν Ν μηδενὸς τοῦ δὲ Ξ παντός.

Πρῶτος τρόπος συλλογιστικὸς ἐν δευτέρῳ σχήματι, ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ καθόλου καταφατικῆς τῆς ἐτάττονος καθόλου ἀποφατικὸν συνάγων συμπέρασμα· οἷον ζῷον κατ' οὐδενὸς λίθου, ζῷον κατὰ παντὸς ἀνθρώπου, καὶ συμπέρασμα λίθος κατ' οὐδενὸς ἀνθρώπου. ἡ δὲ τῶν ὑλῶν εὐπορία γίνεται τὸν αὐτὸν τρόπον τῷ δευτέρῳ τρόπῳ τοῦ πρώτου σχήματος, ἐπεὶ καὶ διὰ τῶν αὐτῶν προτάσεων γίνεται ἀντιστραφείσης τῆς Μ Ν προτάσεως. λαμβάνει δὲ εἶδός τι καὶ γένος καὶ τοῦ γένους τι ἀλλότριον καὶ τὸ μὲν εἶδος τιθεὶς ἐλάττονα ὅρον, τὸ δὲ γένος μέσον, τὸ δὲ ἀλλότριον μείζονα. ὅρα δὲ πῶς διὰ τῆς φύσεως τῶν στοιχείων τὴν ὄψεσιν τοῦ δευτέρου ἡμῖν ἐνδείκνυται σχήματος, οὐκέτι τὸ Α καὶ τὸ Β καὶ τὸ Γ τιθεὶς ἀλλὰ τὸ Μ. Ν. Ξ. οὐκ ἔταξε δὲ τὸ Ν μέσον ὅρον, ὥσπερ ἐν τῷ πρώτῳ σχήματι τὸ Β στοιχεῖον ἐποίησε μέσον, ἐπειδὴ ἀκριβῶς ἐνταῦθα μέσος οὐκ ἔστιν, ἀλλ' ἀμφοτέρων τῶν ἄκρων κατηγορεῖται· διὸ ἐν τῷ τρίτῳ σχήματι λαμβάνων τὸ Π, Ρ, Σ στοιχεῖα μέσον ὅρον τίθησι τὸ Σ ὡς ἀμφοτέροις τοῖς ἄκροις ὑποκείμενον, καὶ χείρονι διὰ τοῦτο ὄντι τὸ ἔσχατον αὐτῷ ἁρμόζει στοιχεῖον. ζητήσειε δ' ἄν τις τί δήποτε μὴ προτέραν τίθησι τὴν ἐκ τῆς μείζονος καταφατικῆς συζυγίαν ὡς μετὰ τοῦ ποσοῦ καὶ τῷ ποιῷ κεκοσμημένην. οὐκ ἔστιν οὖν πρὸς τοῦτο ἄλλην αἰτίαν ἀποδοῦναι ἢ ταύτην, ὅτι πρὸς τὸ σαφὲς τῆς δείξεως ἀπέβλεψεν ὁ φιλόσοφος· ἡ μὲν γὰρ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς δύο ἀντιστροφῶν δεῖται, ὡς μαθησόμεθα, ἡ δὲ ἐκ τῆς μείζονος ἀποφατικῆς μιᾶς. διὰ τοῦτο οὖν ταύτην προέταξεν ὡς εὐχερεστέραν ἔχουσαν τὴν δεῖξιν καὶ διὰ τοῦτο τῷ πρώτῳ σχήματι συγγενεστέραν οὖσαν. λέγω γὰρ οὕτως· τὸ Μ μηδενὶ τῷ Ν

1 τὸ γὰρ μὴ καθόλου om. V 3 οὖν om. Vt τῶν ὅρων PVt (C f i Marc. 231): om. Arist. 4 τὸ μέσον om. V οὐδενὶ t (C) ὑπάρχειν V: ὑπάρχει t κἂν Vt (f i) 4. 5 ὁποτερωσοῦν, om. πρὸς V 6 εἴρηται] velut p. 70,11 sq. 7 ἀόριστον. ὡρισμέν P 10 παντί V 11. 12 ἀποφατικῆς pr. V, κατα superscr. V² 18 καὶ deleverim 19 μεῖζον Vt δὲ alt. om. V 20 τοῦ η' t 22 ἐνταῦθα om. V 23 ἀλλ' om. V: ἀλλὰ ⟨τὸ μ̄⟩ conicio 24 στοιχεῖον Pt 25 χείρονι—ὄντι scripsi: χείρονα—ὄντα Pt: χεῖρον—ὄν V 26 αὐτῷ om. P ἁρμόττει V 27 τὴν Vt: τῆς P καὶ om. P 31 μαθησόμεθα] p. 27a10 sq. οὖν om. P 32 ἀπόδειξιν Vt

ὑπαρχέτω, τὸ Μ παντὶ τῷ Ξ ὑπαρχέτω· λέγω ὅτι καὶ τὸ Ν οὐδενὶ τῷ Ξ XXIVr
ὑπάρχει. ὅτι γὰρ τοῦτο ἀληθές, εἰσόμεθα ἀντιστρέψαντες τὴν μείζονα
πρότασιν· ἐπεὶ γὰρ τὸ Μ οὐδενὶ τῷ Ν ὑπάρχει, ἀντιστρέφει δὲ ἡ καθόλου
ἀποφατική, ὡς δέδεικται, καὶ τὸ Ν οὐδενὶ ὑπάρξει τῷ Μ. τὸ Ν οὖν οὐδενὶ 35
5 τῷ Μ, τὸ Μ παντὶ τῷ Ξ, καὶ γίνεται ὁ δεύτερος τρόπος τοῦ πρώτου
σχήματος ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου
καταφατικῆς καθόλου ἀποφατικὸν συνάγων συμπέρασμα· τὸ ἄρα Ν οὐδενὶ
τῷ Ξ ὑπάρχει. ὥστε μιᾶς ἐδεήθη ἀντιστροφῆς, τῆς μείζονος προτάσεως.

p. 27a9 Πάλιν εἰ τὸ Μ τῷ μὲν Ν παντὶ τῷ δὲ Ξ μηδενί, οὐδὲ
10 τὸ Ν οὐδενὶ τῷ Ξ ὑπάρξει.

Δεύτερος οὗτος τρόπος συλλογιστικὸς ἐν δευτέρῳ σχήματι, ἐκ καθόλου 43
καταφατικῆς τῆς μείζονος τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς καθόλου
ἀποφατικὸν συνάγων συμπέρασμα. ὁ αὐτὸς δέ ἐστιν οὗτος σχεδὸν τῷ προ- 45
τέρῳ, πλὴν ὅσον ἐκεῖνος μὲν μιᾶς ἀντιστροφῆς ἐδεήθη, οὗτος δὲ δύο.
15 αἴτιον δὲ τούτου τὸ τὴν μείζονα εἶναι καταφατικὴν καὶ διὰ τοῦτο μὴ
δύνασθαι ἡμᾶς αὐτὴν ἀντιστρέψαι· ἀντιστρέφουσα γὰρ πρὸς τὴν μερικὴν
ἀντέστρεφε καὶ ἀσυλλόγιστον ἐποίει τὴν συζυγίαν τῆς μείζονος οὐκ ἐχούσης
τὸ καθόλου. διὰ τοῦτο ἀνάγκη τὴν ἐλάττονα ἀντιστρέψαι οὕτως. βουλό- 50
μεθα δεῖξαι, ὅτι τὸ Ν οὐδενὶ τῷ Ξ ὑπάρχει, διὰ τοῦ δευτέρου τρόπου τοῦ
20 δευτέρου σχήματος, καὶ λέγομεν οὕτως· τὸ Μ παντὶ τῷ Ν ὑπαρχέτω, τὸ
Μ μηδενὶ τῷ Ξ ὑπαρχέτω· εἶτα ἐπεὶ ἡ καθόλου στερητικὴ πρὸς ἑαυτὴν
ἀντιστρέφει, καὶ τὸ Ξ οὐδενὶ τῷ Μ ὑπάρχει· οὐκοῦν τὸ Ξ οὐδενὶ τῷ Μ
ὑπάρχει, τὸ Μ παντὶ τῷ Ν· γίνεται πάλιν ὁ δεύτερος τρόπος τοῦ πρώτου σχή-
ματος | ἀπὸ τοῦ Ξ ἀρξαμένων πλέκειν· τὸ ἄρα Ξ οὐδενὶ τῷ Ν ὑπάρχει. XXIVv
25 ἀλλ' οὐ τοῦτο ἠβουλόμεθα δεῖξαι, ὅτι τὸ Ξ οὐδενὶ τῷ Ν, ἀλλὰ τοὐναντίον
ὅτι τὸ Ν οὐδενὶ τῷ Ξ. ἐπειδὴ οὖν ἀντιστρέφει ἡ καθόλου στερητική, ἀντι-
στρέψαντες τὸ συμπέρασμα ἔχομεν τὸ ζητούμενον· εἰ γὰρ τὸ Ξ οὐδενὶ τῷ
Ν, καὶ τὸ Ν οὐδενὶ τῷ Ξ. δύο ἄρα ἀντιστροφῶν ἐπὶ τοῦ δευτέρου τρόπου
ἐδεήθημεν, τῆς τε ἐλάττονος προτάσεως καὶ τοῦ συμπεράσματος. ὁμοίως 5
30 δὲ εὐπορήσεις ὑλῶν καὶ ἐν τούτῳ τῷ τρόπῳ τῷ πρὸ αὐτοῦ, μόνον ἐνταῦθα
τὸ μὲν εἶδος μείζονα ὅρον τιθεὶς τὸ δὲ ἀλλότριον ἐλάττονα. ἔστωσαν γὰρ
ὅροι ζῷον, ἄνθρωπος, λίθος· μείζων ὁ ἄνθρωπος, μέσον τὸ ζῷον· ζῷον
κατὰ παντὸς ἀνθρώπου, ζῷον κατ' οὐδενὸς λίθου, καὶ συνάγει μὲν οὐκέτι
τὸν μείζονα ὅρον συνάπτων τῷ ἐλάττονι, ἀλλὰ τὸ ἀνάπαλιν. τὴν ἐλάττονα

---

4 ἀποφατικῶς, om. ὡς P τῶι ν̄—τὸ μ̄ P 5 καὶ om. P 6 καταφατικῆς pr. P, corr. P¹ 7 καταφατικὸν pr. V, ἀπο superscr. V² 7. 8 ν̄ τῶι ξ̄ οὐδενὶ pr., ord. inv. B, A supra ν̄, ξ̄ scr. P 8 ὑπάρχει Pt, pr. V: ὑπάρξει corr. V ἐδεήθη ἀντιστροφῆς V: τῆς μιᾶς P: om. t 9 μὲν e μ̄ corr. P²: om. V 10 τὸ ξ̄ οὐδενὶ τῶι ν̄ P (Marc. 231): τὸ ν̄ τῷ ξ οὐδενὶ t (m i u): τῷ ξ τὸ ν̄ οὐδενὶ Arist. ὑπάρξει t Arist.: ὑπάρχει PV 11 οὕτως P 18 οὕτως ἀντιστρέψαι Vt 19. 20 τρόπου τοῦ δευτέρου om. V 20 λέγω P τῶι ν̄ παντὶ P 21 post ἐπεὶ add. καὶ Pt 22 καὶ om. P 23 ὑπαρχέτω V post τὸ μ̄ add. δὲ V παντὶ Vt: οὐδενὶ P 26 ἐπεὶ V 32 μεῖζον P an μέσος? 34 ἐλάττω V

γὰρ ἀντιστρέψαντες οὕτως ἐπάγομεν τὸ συμπέρασμα λέγοντες 'εἰ τὸ ζῷον XXIVv κατ' οὐδενὸς λίθου. καὶ ὁ λίθος κατ' οὐδενὸς ζῴου· εἰ δὲ τοῦτο, ζῷον δὲ κατὰ παντὸς ἀνθρώπου, καὶ ὁ λίθος ἄρα κατ' οὐδενὸς ἀνθρώπου'· γεγένηται γὰρ πάλιν ὁ δεύτερος τρόπος ἐν πρώτῳ σχήματι. ἀλλ' ἐπεὶ οὐ τοῦτο ἦν ἡμῖν ἀποδεῖξαι ἀλλ' ὅτι ὁ ἄνθρωπος κατ' οὐδενὸς λίθου, δεησόμεθα ἑτέρας ἀντιστροφῆς ἐν τῷ συμπεράσματι λέγοντες 'εἰ τοίνυν λίθος κατ' οὐδενὸς ἀνθρώπου, καὶ ἄνθρωπος κατ' οὐδενὸς λίθου'.

p. 27a14 Ἔστι δὲ δεικνύναι ταῦτα καὶ εἰς τὸ ἀδύνατον ἀπάγοντας.

Τῶν συλλογισμῶν οἱ μὲν ἐπ' εὐθείας ἀποδείκνυνται, οἱ δὲ δι' ἀντιστροφῆς, οἱ δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ἥντινα καὶ καλοῦσι κύκλῳ δεῖξιν. καὶ ἐπ' εὐθείας μὲν πάντες οἱ ἐν τῷ πρώτῳ σχήματι ἀπεδείχθησαν. δι' ἀντιστροφῆς δὲ καὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς οἵ τε ἐν τούτῳ καὶ τῷ τρίτῳ σχήματι. ἀποδείξας οὖν τοὺς πρώτους συλλογιστικοὺς δύο τρόπους διὰ τῆς ἀντιστροφῆς νῦν διὰ τοῦ ἀδυνάτου δείκνυσιν. δεῖ δὲ πρότερον ἡμᾶς εἰπεῖν τίνα τρόπον γίνεται ἡ εἰς ἀδύνατον ἀπαγωγή. ἐπειδὰν ἀποτελεσθῇ ὁ συλλογισμὸς ἐν τούτοις τοῖς τρόποις, τὸ δὲ συμπέρασμα θέλωμεν ἐπιβεβαιῶσαι, οὐκέτι τῇ κατ' εὐθεῖαν δείξει χρώμεθα, ἀλλ' ὥσπερ τινὸς ἀντιλέγοντος συγχωροῦμεν καθ' ὑπόθεσιν τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ συμπεράσματι, καὶ προσάγοντες αὐτῷ τι τῶν ὁμολογουμένων καὶ κειμένων ἀναιροῦμεν ἕν τι τῶν ἐναργῶς ὡμολογημένων τε καὶ κειμένων· δι' ὃ γὰρ ὑποτεθὲν ἀναιρεῖται τὸ ἐναργὲς καὶ ὁμολογούμενον, τοῦτο ἐλέγχεται ψεῦδος διὰ τῆς τοιαύτης ἀπαγωγῆς· τούτου δὲ δειχθέντος ψεύδους τὸ ἀντικείμενον αὐτῷ ἀληθὲς εὑρίσκεται. οἷον ὡς ἐπὶ τοῦ πρώτου τρόπου τὸ Μ οὐδενὶ τῷ Ν, τὸ Μ παντὶ τῷ Ξ· λέγω, φησίν, ὅτι τὸ Ν οὐδενὶ τῷ Ξ ὑπάρχει. αὕτη μὲν οὖν δι' εὐθείας δεῖξις, ἐν ᾗ συμπεραίνεται καθόλου ἀποφατικὸν συμπέρασμα, ὅτι τὸ Ν οὐδενὶ τῷ Ξ ὑπάρχει. εἴ τις οὖν ταύτῃ τῇ δείξει ἀντιλέγοι ψευδὲς εἶναι λέγων τὸ συμπέρασμα, ἀνάγκη τὸ ἀντιφατικῶς αὐτῷ ἀντικείμενον ὑποθέσθαι, λέγω δὲ ὅτι τὸ Ν τινὶ τῷ Ξ ὑπάρχει· ἀνάγκη γὰρ πᾶσα ἐπὶ τῶν ἀντιφατικῶς ἀντικειμένων, εἰ τὸ ἕτερον ψεῦδός ἐστι, τὸ ἀντικείμενον εἶναι ἀληθές. τοῦτο οὖν τὸ λῆμμα προχειρισάμενοι δείκνυμεν αὐτῷ ἀδύνατόν τι ἀκολουθοῦν, καὶ οὕτως ὡς ψεῦδος ἐκβαλόντες, ἐπεὶ μηδεμιᾷ ἀληθεῖ ὑποθέσει ἀδύνατόν τι ἀκολουθεῖ, εἰσάγομεν τὸ ἀντιφατικῶς

1 ἐπάγωμεν pr. P 2 post λίθος add. ἄρα P 5 ὁ om. P 6 λέγοντα t 8 ἔτι δὲ δείκνυται P ἀπάγοντας Pt (C i d f u): ἄγοντας V Arist. 9 τὸν συλλογισμὸν pr. P, corr. P² οἷον μὲν e corr. P² 10 ἐπαγωγῆς V καὶ om. P 12 διὰ τῆς ἀ. V 14 διὰ τοῦ ἀδυνάτου νῦν V 16 ἀποτεθῇ Vt 17 θέλωμεν t: θέλομεν PV ἐπιβεβανῶσαι pr. V, corr. V² 20 τε om. V 22 ἐπαγωγῆς V τοῦτο pr. P, corr. P² 23 τὸ μ̄ e τῶν μέν, ut videtur, corr. P post μ̄ add. γὰρ P 24 ὑπάρξει pr. P, corr. P¹ 25 ᾗ scripsi: ὦ libri ante καθ. add. τὸ P 27 ἀντιλέγει Vt 28 κείμενον V 30 post τοῦτο add. δὲ P προχειρησάμενοι PV 31 τι ἀδύνατον V ἐκβάλλοντες Vt ἐπὶ pr. V, corr. V² 32 μηδεμῇ pr. P, corr. P² ἀληθείᾳ ὑποθέσεως t ἀκολουθεῖν t

ἀντικείμενον τὸ μηδενὶ τῷ Ξ τὸ Ν ὑπάρχειν, ὅπερ ἦν ἐξ ἀρχῆς. εἰ γάρ, καθὼς ὁ ἀντιλέγων βούλεται, τὸ Ν τινὶ τῷ Ξ ὑπάρχει, ὑπῆρχε δὲ ἐξ ἀρχῆς τὸ Μ οὐδενὶ τῷ Ν, γίνεται ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος ὁ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς κατα- XXIVv
5 φατικῆς μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα, ὅτι τὸ Μ οὐ παντὶ τῷ Ξ, οὕτως· τὸ Μ οὐδενὶ τῷ Ν· τοῦτο γὰρ ὑπέκειτο ἐξ ἀρχῆς· τὸ Ν τινὶ τῷ Ξ· τοῦτο γὰρ ὁ ἀντιλέγων βούλεται· τὸ ἄρα Μ οὐ παντὶ τῷ Ξ· ὁ γὰρ τέταρτος τρόπος τοῦ πρώτου σχήματος. ὑπέκειτο δὲ καὶ παντὶ τὸ Μ τῷ Ξ· τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐ παντί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον
10 [ἄρα] ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ Ν τινὶ τῷ Ξ ὑπάρχειν· ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον, ὅτι τὸ Ν οὐδενὶ τῷ Ξ, ὅπερ ἔδει δεῖξαι. οὕτως ἐπὶ τοῦ πρώτου τρόπου. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δευτέρου. τὸ Μ τῷ μὲν Ν παντί, τῷ δὲ Ξ μηδενὶ ὑπαρχέτω· λέγω ὅτι τὸ Ν οὐδενὶ τῷ Ξ. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντιφατικῶς
15 ἀντικείμενον, ὅτι τὸ Ν τινὶ τῷ Ξ· εἰ οὖν τὸ Μ παντὶ τῷ Ν ὑπέκειτο, λέγει δὲ ὁ ἀντιλέγων ὅτι τὸ Ν τινὶ τῷ Ξ, γίνεται ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος ἐκ τῆς μείζονος καθόλου τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς μερικὸν καταφατικὸν συνάγων συμπέρασμα· τὸ ἄρα Μ τινὶ τῷ Ξ. ὑπέκειτο δὲ καὶ οὐδενί· τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενί, ὅπερ ἄτοπον. τὸ
20 ἄτοπον πάλιν ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ἡμᾶς ὅτι τὸ Ν τινὶ τῷ Ξ· ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ οὐδενὶ τῷ Ξ τὸ Ν, ὅπερ ἔδει δεῖξαι.

p. 27a15 Ὅτι μὲν οὖν γίνεται συλλογισμὸς οὕτως ἐχόντων τῶν ὅρων, φανερόν, ἀλλ' οὐ τέλειος· οὐ γὰρ μόνον ἐκ τῶν ἐξ ἀρχῆς
25 ἀλλὰ καὶ ἐξ ἄλλων ἐπιτελεῖται τὸ ἀναγκαῖον.

Φησὶ γίνεσθαι συλλογισμὸν οὕτως ἐχόντων τῶν ὅρων, ἀλλ' οὐ τέλειον, καὶ ἀποδίδωσι δύο αἰτίας, μίαν μὲν διότι δι' ἀντιστροφῆς δείκνυται (τοῦτο δὲ ἐσήμανε διὰ τοῦ εἰπεῖν οὐ γὰρ μόνον ἐκ τῶν ἐξ ἀρχῆς· τὰ γὰρ ἐξ ἀρχῆς εἰλημμένα οὐδὲν ἕτερόν εἰσιν ἢ αἱ προτάσεις), ἑτέραν δὲ ὅτι καὶ
30 διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς δείκνυται. ἐσήμανε δὲ τοῦτο διὰ τοῦ εἰπεῖν ἀλλὰ καὶ ἐξ ἄλλων ἐπιτελεῖται· ἐπὶ γὰρ τῆς εἰς ἀδύνατον δείξεως ἄλλου τινὸς ἔξωθεν δεόμεθα παρὰ τὰ ἐξ ἀρχῆς εἰλημμένα· τοῦ γὰρ συναγομένου τὸ ἀντικείμενον | ἔξωθεν παρεισάγομεν. XXVr

1 τὸ ν' τῶ ξ' V ὅπερ—2 ὑπάρχει om. V 2 ὑπάρχειν (post ξ̄) t 5 μ' V² ν̄ PV¹t 6 τὸ ν' οὐδενὶ τῶ ξ' V τούτω γὰρ ὑπόκειτο (sic) P post ἀρχῆς add. εἰ δὲ μὴ V 8. 9 τὸ μ̄ τῷ ξ om. P 9 καὶ prius om. P 10 ἄρα delevi cf. p. 106,25 107,5 12 δὲ om. P 16 τινὶ τῶ ξ' τὸ ν' V 17. 18 καταφατικῆς om. Vt 19 καὶ primum om. t οὐδείς (ante τὸ) V καὶ alt. om. V post ὅπερ lac. IV litt. V 19. 20 τὸ ἄτοπον om. V 25 τὸ ἀναγκαῖον om. P 26 post φησὶ add. μὴ Vt ἀλλ' οὐ om. Vt 27 μία P 28 ἐκ V Arist. cf. vs. 24: διὰ Pt 29 ἕτερον ex ἑτέρου corr. V² ἑτέραι δὲ t 32 περὶ V

p. 27a18 Ἐὰν δὲ τὸ Μ παντὸς τοῦ Ν καὶ τοῦ Ξ κατηγορῆται, XXVr
οὐκ ἔσται συλλογισμός.

Εἰκότως· οὐδὲ γάρ ἐστιν ἐν ταύτῃ τῇ συζυγίᾳ τὸ ἴδιον τοῦ δευτέρου σχήματος, λέγω δὴ τὸ ἀνομοιοσχήμονας εἶναι τὰς προτάσεις· συνάγουσι γὰρ αἱ συζυγίαι αὗται καὶ τὸ παντὶ καὶ τὸ μηδενί. ὅροι τοῦ παντὶ οὐσία, ζῷον, ἄνθρωπος, μέσον οὐσία· οὐσία παντὶ ζῴῳ ὑπάρχει, οὐσία παντὶ ἀνθρώπῳ ὑπάρχει, καὶ συμπέρασμα ζῷον παντὶ ἀνθρώπῳ ὑπάρχει. τοῦ δὲ μηδενὶ οὐσία, ζῷον, ἀριθμός· οὐσία παντὶ ζῴῳ, οὐσία παντὶ ἀριθμῷ, καὶ ζῷον οὐδενὶ ἀριθμῷ. τὸν δὲ ἀριθμὸν οὐσίαν ἐκάλεσε κατὰ τὴν δόξαν τῶν Πυθαγορείων· ἐκεῖνοι γὰρ πρώτας οὐσίας ἐκάλουν τοὺς ἀριθμούς. διὸ πρὸς τὸ σαφέστερον παραληψόμεθα ἡμεῖς ἀντὶ τοῦ ἀριθμοῦ λίθον ἤ τι τῶν ἀψύχων λαμβάνοντες. εἰκότως δὲ ἡ ἐκ δύο καθόλου καταφατικῶν προτάσεων ἐν τούτῳ τῷ σχήματι ἀσυλλόγιστός ἐστιν· εἰ γὰρ δι' ἀντιστροφῆς ἔχουσι τὸ ἀναγκαῖον καὶ τῆς ἀναγωγῆς τῆς ἐπὶ τὸ πρῶτον σχῆμα, ἀντιστρέφοντες δὲ αὐτὰς ἀσυλλογίστους ποιοῦμεν συμπλοκάς, εἰκότως ἄρα οὐδὲ ἐν δευτέρῳ σχήματι συλλογιστικαί εἰσιν. εἰ μὲν γὰρ τὴν ἑτέραν μόνον πρότασιν ἀντιστρέψωμεν ὁποιανοῦν, ποιοῦμεν τὴν μὲν ἐλάττονα καθόλου καταφατικὴν τὴν δὲ μείζονα μερικὴν καταφατικήν· εἰ δὲ τὰς δύο, ἀμφοτέρας ποιοῦμεν μερικάς.

p. 27a21 Οὐδὲ ὅταν μήτε τοῦ Ν μήτε τοῦ Ξ μηδενὸς κατηγορῆται τὸ Μ.

Τὴν ἑτέραν ἐκ δύο καθόλου ἀποφατικῶν συζυγίαν ἐκτίθεται ἀσυλλόγιστον οὖσαν· συνάγει γὰρ καὶ αὕτη τὸ παντὶ καὶ τὸ μηδενί.

p. 27a22 Ὅροι τοῦ παντὶ γραμμή, ζῷον, ἄνθρωπος, τοῦ μηδενὶ γραμμή, ζῷον, λίθος.

Μέσον γραμμή· γραμμὴ κατ' οὐδενὸς ζῴου, γραμμὴ κατ' οὐδενὸς ἀνθρώπου, καὶ συμπέρασμα ζῷον κατὰ παντὸς ἀνθρώπου· καὶ πάλιν γραμμὴ κατ' οὐδενὸς ζῴου, γραμμὴ κατ' οὐδενὸς λίθου, καὶ ζῷον κατ' οὐδενὸς λίθου.

---

1 παντὶ V κατηγορεῖται Pt 2 ἔστι P 3 εἰκότως om. t αὐτῇ Vt
4 ἀνομοιοσχήμους Vt 5 τοῦ παντὸς t 6 οὐσία alt. om. V 7 τὸ P
9 καὶ Pt: τὸ V ἀριθμὸν δὲ P 11 λίθος t 12 λαμβάνοντες deleverim
καθόλου ἐκ δύο V καταφατικῇ t 13 προτάσεων scripsi: πρότασις P: τρόπων V:
πρότερον t 15 ταύτας Vt πλοκάς V: τὰς πλοκάς t 16 μόνην V
17 ἀντιστρέψομεν Vt μὲν om. Vt ἐλάττω V 18 ἀμφοτέρας om. V
20 μηδὲ—μηδὲ P 20. 21 κατηγορεῖται Vt 24 παντὸς V: ὑπάρχειν t Arist.
μηδενὶ PV: μὴ ὑπάρχειν t Arist. 26 γραμμὴ (post γρ.) om. P οὐδὲν
utrobique t

p. 27a23 Φανερὸν οὖν ὅτι, ἐὰν ᾖ συλλογισμὸς καθόλου τῶν XXVr
ὅρων ὄντων, ἀνάγκη τοὺς ὅρους ἔχειν ὡς ἐν ἀρχῇ εἴπομεν.

Ἐν ἀρχῇ γὰρ εἶπεν ὅτι συλλογιστικός ἐστι τρόπος, ἐὰν τῷ μὲν παντὶ 31
τῷ δὲ μηδενὶ ὑπάρχῃ τὸ μέσον, δηλῶν τὸ ἀνομοιόσχημον τῶν προτάσεων.

5 p. 27a26 Ὅταν δὲ πρὸς τὸν ἕτερον ᾖ καθόλου τὸ μέσον.

Εἰπὼν περὶ τῶν ἐξ ἀμφοτέρων καθόλου προτάσεων καὶ δείξας δύο
μὲν τὰς συλλογιστικάς, δύο δὲ τὰς ἀσυλλογίστους, νῦν βούλεται εἰπεῖν 35
περὶ τῶν ἐκ τῆς ἑτέρας μερικῆς τῆς δὲ ἑτέρας καθόλου. ὀκτὼ δὲ συζυγιῶν
ἐκ τούτων γινομένων δύο μόνας δείκνυσι τὰς συλλογιστικάς, τὰς δὲ λοιπὰς
10 ἀσυλλογίστους.

p. 27a26 Ὅταν μὲν πρὸς τὸν μείζω γένηται τὸ καθόλου ἢ κατηγο-
ρικῶς ἢ στερητικῶς, πρὸς δὲ τὸν ἐλάττονα κατὰ μέρος καὶ
ἀντικείμενως τῷ καθόλου.

Τὰς δύο συλλογιστικὰς διὰ τούτων σημαίνει συζυγίας ἀνομοιοσχήμονας 42
15 οὔσας, τήν τε ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος
μερικῆς καταφατικῆς καὶ τὴν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ
ἐλάττονος μερικῆς ἀποφατικῆς, αἵτινες μερικὰ ἀποφατικὰ συνάγουσι συμ-
περάσματα. 45

p. 27a32 Εἰ γὰρ τὸ Μ τῷ μὲν Ν μηδενὶ τῷ δὲ Ξ τινὶ ὑπάρχει,
20 ἀνάγκη τὸ Ν τινὶ τῷ Ξ μὴ ὑπάρχειν.

Οὗτος τρίτος τρόπος συλλογιστικὸς ἐν δευτέρῳ σχήματι ὁ ἐκ καθόλου 50
ἀποφατικῆς τῆς μείζονος καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος μερικὸν
ἀποφατικὸν συνάγων συμπέρασμα· οἷον λογικὸν οὐδενὶ ἀλόγῳ, λογικὸν τινὶ
ζῴῳ, καὶ συμπέρασμα ἄλογον οὐ παντὶ ζῴῳ. ἐπεὶ γὰρ ἀντιστρέφει ἡ
25 καθόλου ἀποφατική, ὥσπερ τὸ λογικὸν | οὐδενὶ ἀλόγῳ, καὶ τὸ ἄλογον XXVv
οὐδενὶ λογικῷ· εἰ τοίνυν τὸ ἄλογον οὐδενὶ λογικῷ, τὸ δὲ λογικὸν τινὶ ζῴῳ,
γίνεται ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος μερικὸν ἀποφατικὸν
συνάγων συμπέρασμα· τὸ ἄρα ἄλογον οὐ παντὶ ζῴῳ. εὐπορήσεις δὲ ὑλῶν

1 ἂν t Arist. 2 ὡς εἴπομεν ἐν ἀρχῇ P 3 ἐν ἀρχῇ] p. 26b34 4 δῆλον P
5 ὅτι P: ἐὰν Arist. πρὸς ἑτέραν V 6 post καθόλου add. τῶν t 7 βούλεται
νῦν Vt 11 ὅταν δὲ V τὸν μείζω t Arist.: τὸ μεῖζον PV ἢ prius t Arist.:
om. PV 11. 12 κατηγορικὸν ἢ στερητικὸν V 12 δὲ post ἐλάττονα collocat t
τὸν ἐλάττονα t Arist.: τὸ ἔλαττον PV καὶ P Arist.: τε καὶ t: τὸ V 13 ἀντικεί-
μενον V 14 σημῆναι V post συζυγίας add. βούλεται Vt 16. 17 καὶ
τὴν—ἀποφατικῆς om. P 19 τὸ e τῷ corr. V² ὑπάρχῃ P 20 ὑπάρχει V
22 ἐλάττῳ V 27 ὁ ἐν α' σχήματι τέταρτος συλλογιστικὸς τρόπος μερικὸν V
28 τὸ ἄρα—ζῴῳ om. V

ἐνταῦθα ὥσπερ καὶ ἐν τῷ τετάρτῳ τρόπῳ τοῦ πρώτου σχήματος τὰ ἀντι- XXV^{v}
δηρημένα τοῦ αὐτοῦ γένους λαμβάνων καὶ τὸ μὲν μείζονα ὅρον τιθεὶς τὸ
δὲ μέσον, τὸ δὲ τούτων γένος ἐλάττονα ὅρον. προέταξε δὲ τὴν ἐκ τῆς 5
μείζονος καθόλου ἀποφατικῆς διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣνπερ καὶ ἐπὶ τοῦ
5 πρώτου τρόπου εἴπομεν, διότιπερ αὕτη διὰ μιᾶς μόνης ἀντιστροφῆς δείκνυται·
ἡ γὰρ ἑτέρα οὐδὲ δι' ἀντιστροφῆς ὅλως ἀλλὰ διὰ μόνης τῆς εἰς ἀδύνατον
ἀπαγωγῆς ἀποδείκνυται.

p. 27a36 Πάλιν εἰ τῷ μὲν N παντὶ τὸ M τῷ δὲ Ξ τινὶ μὴ ὑπάρχει,
ἀνάγκη τὸ N τινὶ τῷ Ξ μὴ ὑπάρχειν.

10 Τέταρτος τρόπος συλλογιστικὸς ἐν δευτέρῳ σχήματι ὁ ἐκ καθόλου 13
καταφατικῆς τῆς μείζονος καὶ μερικῆς ἀποφατικῆς τῆς ἐλάττονος μερικὸν
ἀποφατικὸν συνάγων συμπέρασμα. ἰστέον δὲ ὅτι δι' ἀντιστροφῆς οὐ 15
δυνατὸν δεῖξαι ταύτην τὴν συζυγίαν· εἴτε γὰρ ἡ μείζων ἀντιστραφῇ καθόλου
καταφατικὴ οὖσα, πρὸς τὴν μερικὴν ἀντιστρέφει, καὶ ἀσυλλόγιστος γίνεται
15 ἡ συζυγία, εἴτε ἡ ἐλάττων ἀντιστραφῇ μερικὴ οὖσα ἀποφατική, πρὸς οὐδε-
μίαν ἀντιστρέφει, ὡς δέδεικται. διὸ μόνως διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς
δεικτέον τὴν συζυγίαν οὕτως. τὸ M τῷ μὲν N παντὶ ὑπαρχέτω, τῷ δὲ
Ξ μὴ παντί· λέγω ὅτι ἐξ ἀνάγκης τὸ N τῷ Ξ οὐ παντὶ ὑπάρξει. εἰ γὰρ 20
τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον, λέγω δὴ τὸ παντὶ τῷ
20 Ξ τὸ N ὑπάρχειν. εἰ τοίνυν ὑπέκειτο μὲν ἐξ ἀρχῆς τὸ M παντὶ τῷ N, νῦν
δὲ κατὰ τὴν τῶν ἀντιλεγόντων ὑπόθεσιν τὸ N παντὶ τῷ Ξ, ἀνάγκη τὸ M
παντὶ τῷ Ξ ὑπάρχειν· ὁ γὰρ πρῶτος τρόπος γίνεται τοῦ πρώτου σχήματος.
ἦν δὲ καὶ οὐ παντί· τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐ παντί, ὅπερ ἄτοπον.
ψεῦδος ἄρα τὸ παντὶ τὸ N τῷ Ξ ὑπάρχειν, ἀληθὲς δὲ τὸ οὐ παντί. εὐπο-
25 ρήσεις δὲ κἀνταῦθα ὑλῶν ὁμοίως τῷ τρίτῳ τρόπῳ τοῦ πρώτου σχήματος 25
λαμβάνων εἶδος καὶ γένος καὶ κοινὸν ἀμφοτέρων καθολικώτερον καὶ τιθεὶς
τὸ μὲν γένος μέσον ὅρον, τὸ δὲ εἶδος μείζονα, τὸ δὲ ἐπὶ πλέον ἀμφοτέρων
ἐλάττονα, ὥσπερ καὶ ἐν τῷ πρώτῳ σχήματι. ἐν μὲν γὰρ τῷ πρώτῳ
κατὰ μερικὴν καταφατικὴν τίθεται, ἐν δὲ τῷ δευτέρῳ κατὰ μερικὴν ἀπο-
30 φατικήν· οἷον ζῷον παντὶ ἀνθρώπῳ, ζῷον οὐ παντὶ ἐμψύχῳ, καὶ συμ-
πέρασμα ἄνθρωπος οὐ παντὶ ἐμψύχῳ.

Τοσοῦτοι καὶ ἐν δευτέρῳ σχήματι οἱ συλλογιστικοὶ τρόποι προσδιω-
ρισμένων οὐσῶν τῶν προτάσεων. ἐὰν δὲ ἐπὶ τῆς ἐλάττονος μερικῆς οὔσης 30

---

1 ὥσπερ scripsi: ὥνπερ libri ἐν om. V 3 ἐλάττων V τῆς (ante ἐκ) P
4 ἀποφατικὴν P ἣν Vt 5 εἴπομεν] p. 88,26 sq. 8 εἰ] ἐν V τὸ μὲν
μ' παντὶ τῷ ν' t τὸ δὲ V ὑπάρχῃ P (corr. A B): ὑπάρξει t 9 τινὶ om. V
11 ἐλάττω V 13 ταύτην δεῖξαι Vt ἄντε P, ἄν in ras. P^{2} 13 et 15 ἀντι-
στραφῇ PV^{2}: ἀντιστροφῇ V^{1}t 15 post ἀντιστραφῇ II litt. eras. P 16 δέδεικται]
c. 2 p. 25a12 18 ὅτι καὶ τὸ (τῷ t) ν' ἐξ ἀνάγκης Vt 19 τῷ (ante παντὶ) P
22 τρόπος post σχήματος collocant Vt 23 πᾶς (ante τὸ) V 24. 25 πᾶς. ἀπορή-
σεις V 25 ὑλῶν κἀνταῦθα Vt 29 post κατὰ prius add. τὴν V μερικὴν
prius P: καθόλου Vt 29. 30 ἀπόφασιν P

προτάσεως ἀπροσδιόριστον λάβωμεν καταφατικὴν ἢ ἀποφατικὴν ὡς ἰσο- XXV
δυναμοῦσαν τῇ μερικῇ, τῆς μείζονος καθόλου οὔσης ἢ καταφατικῆς ἢ ἀπο-
φατικῆς γενήσονται ἄλλαι δύο συλλογιστικαὶ συζυγίαι, ἥ τε ἐκ τῆς μείζονος
καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς καὶ ἡ
5 ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου
ἀποφατικῆς, ὡς εἶναι τὰς πάσας συλλογιστικὰς συζυγίας ἐν δευτέρῳ σχή-
ματι ἕξ. αἱ δὲ παρὰ ταύτας πᾶσαι ἀσυλλόγιστοι δείκνυνται διὰ τὸ μὴ φυλάτ- 35
τειν τὰ τοῦ σχήματος ἴδια.

Αἱ συλλογιστικαὶ συζυγίαι ἐν δευτέρῳ σχήματί εἰσιν

10 α′ ἐκ δύο καθόλου, τῆς μείζονος ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς.
β′ ἐκ δύο καθόλου, τῆς μείζονος καταφατικῆς τῆς δὲ ἐλάττονος ἀποφατικῆς.
γ′ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς.
δ′ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς.
ε′ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου κατα-
15 φατικῆς.
ϛ′ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου ἀπο-
φατικῆς.

p. 27b4 Ἐὰν δὲ τοῦ μὲν Ξ παντὸς τοῦ δὲ Ν μὴ παντὸς κατηγο-
ρῆται, οὐκ ἔσται συλλογισμός.

20 Ἐντεῦθεν βούλεται τὰς ἀσυλλογίστους ἐλέγξαι συζυγίας τὰς μὴ ἐκ τῶν 45
δύο καθόλου· τὰς γὰρ ἐκ τῶν δύο καθόλου ἤδη ἀπήλεγξε. πρῶτον δὲ περὶ
τῶν ἀνομοιοσχήμων διαλαμβάνει καὶ δείκνυσιν ὡς ἀσυλλόγιστοί εἰσιν· ἐπειδὴ
γὰρ ἀνάγκη, εἰ συλλογιστικὸς εἴη ὁ τρόπος, καὶ ἐν τούτῳ τῷ σχήματι τὴν
μείζονα εἶναι καθόλου, νῦν δὲ μερικὴ γέγονεν, εἰκότως ἀσυλλόγιστος ὁ τρόπος.
25 διαλαμβάνει οὖν πρῶτον περὶ τῆς ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς τῆς
δὲ ἐλάττονος καθόλου καταφατικῆς. ἔοικε δὲ αὐτῷ ἡ τάξις τῶν συζυγιῶν 50
εἰλῆφθαι ἐκ τοιαύτης διαιρέσεως. |

Διαλαβὼν οὖν ἐκ τῆς τοιαύτης διαιρέσεως πρότερον περὶ τῶν δύο XXVI
πρώτων τμημάτων τῶν συλλογιστικῶν μέτεισιν ἐπὶ τὰς ἀσυλλογίστους. καὶ
30 πρῶτον ἐλέγχει τὸν πρῶτον μὲν τῶν ἀσυλλογίστων τρίτον δὲ τῆς διαιρέσεως 15
τὸν ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατι-
κῆς. ἐλέγχει δὲ πάλιν καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ συνάγουσαν τὴν συζυγίαν,
ὅπερ ἀνοίκειον συλλογιστικῆς μεθόδου, μὴ ὡρισμένα καὶ ἀεὶ ταὐτὰ ἐκ τῶν

1 καταφατικὸν ἢ ἀποφατικὸν t 1. 2 ἰσοδυναμούσης Vt 3 post γενήσονται add. ἔτι V 5 ἀποφατικῆς V 7 περὶ t ἅπασαι, sed post δείκνυνται Vt 9 συλλογιστικαὶ in ἀσυλλόγιστοι corr. V² εἰσιν om. Vt 10—17 om. V α′, β′ κτλ. om. t 10 δύο P: ᾱ t 18 post δὲ add. καὶ t παντὶ utrobique V 18. 19 κατηγορεῖται Pt 19 post κατηγ. add. τὸ μ′ t (u, rc. d) ἔστι V 21 ἀπήλεξε P 22 ἀνομοιοσχημόνων t 25 τῆς alt. om. Pt 27 ἐκ om. t 29 πρώτων scripsi: πρῶτον P: om. Vt 30 τὴν διαίρεσις t 32 τὸ alt. om. Vt

Ad p. 95,27

XXVI[r]

Εἰ ἡ μὲν καθόλου τῶν προτάσεων ἦ ἡ δὲ μερική,

ἢ ἀνομοιοσχήμονές εἰσιν

- ἢ ἡ μείζων καθόλου ἡ δὲ ἐλάττων μερική
  - ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική [2])
  - ἢ ἡ ἐλάττων ἀποφατικὴ ἡ δὲ μείζων καταφατική
  - συλλογιστικαί [3])
- ἢ ἡ ἐλάττων καθόλου ἡ δὲ μείζων μερική [1])
  - ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική
  - ἢ ἡ ἐλάττων ἀποφατικὴ ἡ δὲ μείζων καταφατική
  - πᾶσαι ἀσυλλόγιστοι [3])

ἢ ὁμοιοσχήμονες

- ἢ ἡ μείζων καθόλου ἡ δὲ ἐλάττων μερική
  - ἢ ἀμφότεραι ἀποφατικαί
  - ἢ ἀμφότεραι καταφατικαί
- ἢ ἡ μείζων μερική ἡ δὲ ἐλάττων καθόλου [1])
  - ἢ ἀμφότεραι ἀποφατικαί
  - ἢ ἀμφότεραι καταφατικαί
  - πᾶσαι ἀσυλλόγιστοι. [3])

conspectum e P dedi, quocum fere concinit t: om. V [1]) ἢ ἡ μείζων μερικὴ ἡ δὲ ἐλάττ. καθόλου t [2]) ante ἢ ἡ μείζων bis exhibet ἢ ἡ μὲν μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική | ἢ ἡ ἐλάττων καταφατικὴ ἡ δὲ μείζων ἀποφατική t [3]) συλλογιστικαί et πᾶσαι ἀσυλλόγιστοι om. t [4]) ἢ ἡ ἐλάττων καθόλου ἡ δὲ μείζων μερική t

αὐτῶν προτάσεων συνάγειν τὰ συμπεράσματα. ὅροι δὲ τοῦ μὲν παντὶ XXVI r
οὕτως· ζῷον οὐ πάσῃ οὐσίᾳ, ζῷον παντὶ κόρακι, καὶ συμπέρασμα ἡ οὐσία παντὶ κόρακι· τοῦ δὲ μηδενὶ οὕτως· ζῷον οὐ παντὶ λευκῷ, ζῷον παντὶ κόρακι, καὶ συμπέρασμα λευκὸν οὐδενὶ κόρακι. οὗτος τρίτος τρόπος ἀσυλλόγιστος ἐν δευτέρῳ σχήματι.

p. 27b6 Οὐδὲ ὅταν τοῦ μὲν Ξ μηδενὸς τοῦ δὲ Ν τινός.

Τέταρτος τρόπος ἀσυλλόγιστος ἐν δευτέρῳ σχήματι ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. αἰτία δὲ κἀνταῦθα τοῦ ἀσυλλογίστου ἡ αὐτή, τὸ τὴν μείζονα μερικὴν εἶναι. παράδειγμα τοῦ μὲν παντὶ οὕτως· ζῷον τινὶ οὐσίᾳ, ζῷον οὐδενὶ λίθῳ, καὶ συμπέρασμα οὐσία παντὶ λίθῳ. ἀντὶ δὲ τοῦ λίθου αὐτὸς ἐν τῷ ἐλάττονι ὅρῳ μονάδα ἔλαβε κατὰ τοὺς Πυθαγορικούς, ὡς εἴρηται, τὴν μονάδα οὐσίαν καλῶν. τοῦ δὲ μηδενί· ζῷον τινὶ οὐσίᾳ, ζῷον οὐδεμιᾷ ἐπιστήμῃ, καὶ συμπέρασμα οὐσία οὐδεμιᾷ ἐπιστήμῃ.

p. 27b9 Ὅταν μὲν οὖν ἀντικείμενον ᾖ τὸ καθόλου τῷ κατὰ μέρος, εἴρηται πότε ἔσται καὶ πότε οὐκ ἔσται συλλογισμός.

Δεῖται προσθήκης τινὸς ἔξωθεν ὁ λόγος οὕτως· πότε ἔσται καὶ πότε οὐκ ἔσται συλλογισμὸς ἀνομοιοσχημόνων αὐτῶν οὐσῶν. εἰ γὰρ μὴ προσυπακούσωμεν τοῦτο, εὑρεθήσεται ψευδὴς ὁ λόγος· οὐ γὰρ εἶπε περὶ τῶν ὁμοιοσχημόνων προτάσεων τῆς ἑτέρας καθόλου τῆς δὲ ἑτέρας μερικῆς. ἢ πάλιν τὰ ἐπιφερόμενα περιττά· μέλλει γὰρ εὐθέως διαλαβεῖν περὶ τῶν ἀντικείμενον ἐχουσῶν τὸ καθόλου τῷ μερικῷ. |

p. 27b10 Ὅταν δὲ ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις, οἷον XXVI v
ἀμφότεραι στερητικαὶ ἢ καταφατικαί, οὐδαμῶς ἔσται συλλογισμός.

Ἴδιον τούτου τοῦ σχήματος, ὡς πολλάκις εἰρήκαμεν, [εἶναι] τὸ δεῖν τὴν μὲν μείζονα εἶναι καθόλου τὴν δὲ ἐλάττονα ἀνομοιοσχήμονα τῇ μείζονι. οἱ μὲν οὖν εἰρημένοι ἀσυλλόγιστοι δύο τρόποι κατὰ τὸ ποσὸν ἐσφάλλοντο· τὴν γὰρ μείζονα μερικὴν ἐλάμβανον, ἣν ἐχρῆν εἶναι καθόλου, εἴπερ ἔμελλον συλλογιστικαὶ γίνεσθαι συζυγίαι. οἱ δὲ νῦν λεγόμενοι κατὰ τὸ ποιὸν ἡμάρτηνται· λαμβάνουσι γὰρ ὁμοιοσχήμονας ἀμφοτέρας τὰς προτάσεις. δείκνυσιν οὖν αὐτὰς ὁ φιλόσοφος ἀσυλλογίστους. λαμβάνει δὲ πρώτην τὴν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς

1 συνάγων t: compend. V post συναγ. del. προτάσεων, ut videtur V² • 3 οὐ om. t
6 μηδενὶ V 9. 10 παραδείγματα Vt 12 Πυθαγορίους P εἴρηται] p. 92,9
13 μηδὲν t 15 τὸ (ante κατὰ) PV 17 οὕτος Vt 18 ὁμοιοσχημόνων t
19 προσυπακούσομεν Vt 20 ἀνομοιοσχημόνων V καθόλου ⟨οὔσης⟩ conicio
22 ἀντικειμένως P: ἀντικειμένων t τῶι (ante καθ.) P: τῶν t τὸ μερικόν V
26 τοῦ σχήματος post εἰρήκαμεν collocat V εἶναι delevi εἰρήκαμεν] velut p. 70,11 sq.
32. 33 πρῶτον pr. P, corr. P¹ 33 καταφατικῆς pr. V, corr. V² itemque p. 98,1

ἀποφατικῆς. παράδειγμα τοῦ μὲν μηδενὶ ὑπάρχειν οὕτως· ζῷον οὐδεμιᾷ XXVIv
χιόνι, ζῷον οὐ παντὶ μέλανι, καὶ συμπέρασμα χιὼν οὐδενὶ μέλανι.

p. 27b16 Τοῦ δὲ παντὶ ὑπάρχειν οὐκ ἔστι λαβεῖν ὅρους.

Εἴρηται καὶ ἐν τοῖς ἔμπροσθεν ὅτι ἡ μερικὴ ἀποφατικὴ ποτὲ μὲν 17
ἰσοδυναμεῖ τῇ καθόλου ἀποφατικῇ ποτὲ δὲ τῇ μερικῇ καταφατικῇ· ἐπὶ μὲν γὰρ τῆς ἐνδεχομένης ὕλης τῇ μερικῇ καταφατικῇ ἰσοδυναμεῖ· εἰ γὰρ ἀληθὲς ὅτι μὴ πᾶς ἄνθρωπος λευκός, ἀληθὲς καὶ ὅτι τὶς ἄνθρωπος λευκός· ἐπὶ δὲ τῆς ἀδυνάτου ὕλης τῇ καθόλου ἀποφατικῇ· εἰ γὰρ μηδεὶς πτερωτός, καὶ οὐ πᾶς πτερωτός. ὥστε τὴν ἀλήθειαν ἔχει ἡ μερικὴ ἀποφατικὴ ποτὲ μὲν δι' ἑαυτὴν ποτὲ δὲ διὰ τὴν καθόλου· ἐπὶ μὲν γὰρ τῆς ἐνδεχομένης ὕλης δι' ἑαυτήν· διὸ καὶ ἰσοδυναμεῖ τῇ μερικῇ καταφατικῇ· ἐπὶ δὲ τῆς ἀδυνάτου διὰ τὴν καθόλου ἀποφατικήν· διὸ καὶ ἰσοδυναμεῖ αὐτῇ. ἐπειδὴ οὖν νῦν ἡ ἐλάττων πρότασις μερική ἐστιν ἀποφατική, ἐὰν ληφθῇ δι' ἑαυτὴν οὖσα ἀληθής, οὐκ ἔστιν εὑρεῖν ὅρους τὸ παντὶ ὑπάρχειν συνάγοντας. τῇ δὲ εἰς ἀδύνατον ἀπαγωγῇ δείκνυσιν ὅτι οὐ δυνατὸν τὸ παντὶ συνάγειν ἐκ τῶν τοιούτων ὅρων. εἰ γὰρ δυνατόν, φησίν, ὑπαρχέτω τὸ N παντὶ τῷ Ξ· ἐπειδὴ οὖν ὑπέκειτο τὸ M μηδενὶ τῷ N ὑπάρχειν, ἔστι δὲ καὶ τὸ N παντὶ τῷ Ξ, τὸ ἄρα M οὐδενὶ τῷ Ξ ὑπάρξει. ὑπέκειτο δὲ καὶ τινί· οὕτω γὰρ ἐλήφθη ἡ μερικὴ ἀποφατική, ἰσοδυναμοῦσα τῇ μερικῇ καταφατικῇ. τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον [ἄρα] ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ἡμᾶς δυνατὸν εἶναι λαβεῖν ὅρους συνάγοντας τὸ παντὶ τῷ Ξ τὸ N τῆς M Ξ προτάσεως, τουτέστι τῆς ἐλάττονος, τινὶ μὲν ὑπαρχούσης τινὶ δὲ μή. οὐκ ἄρα δυνατὸν τὸ παντὶ συναγαγεῖν οὕτω λαμβανομένης τῆς μερικῆς, τουτέστιν ἐπαμφοτεριζούσης.

p. 27b20 Ἐκ δὲ τοῦ ἀδιορίστου δεικτέον.

Ἀδιόριστον καλεῖ τὸ τινὶ μὴ ὑπάρχειν διὰ τὸ μὴ ἔχειν, ὡς εἴπομεν, ὡρισμένην τὴν σημασίαν ἀλλὰ δύνασθαι καὶ ἀντὶ τῆς μερικῆς καταφατικῆς λαμβάνεσθαι καὶ ἀντὶ τῆς καθόλου ἀποφατικῆς. ἐπεὶ οὖν, φησίν, ἀδιόριστος ἡ σημασία, ἐὰν ληφθῇ ἡ ἰσοδυναμοῦσα τῇ καθόλου ἀποφατικῇ, δῆλον ὅτι ἀσυλλόγιστος ἔσται· τηνικαῦτα γὰρ συνάγει καὶ παντί· οἷον ζῷον οὐδενὶ ἀψύχῳ, ζῷον οὐ παντὶ λίθῳ, καὶ συμπέρασμα ἄψυχον παντὶ λίθῳ.

2 καὶ συμπέρασμα om. V 3 post παντὶ add. φησὶν PV 4 ἐν τοῖς ἔμπροσθεν] c. 4 p. 26b14 sq. 5. 6 ἐπὶ—καταφατικῇ om. V 5 μὲν t: om. P 8 ἀποφάσει P post ἀποφατ. add. ἰσοδυναμεῖ Vt 9 εἰσάγει V ἀπόφασις P 12 ἀπόφασιν P ἐπεὶ V 13 νῦν superscr. V: om. P ληφθῇ om. V 14 οὖσα Pt: ἐστὶν V ὅρους εὑρεῖν V ὑπάρχει συναγέτω V 15 οὐ δυνατὸν Pt: οὐδενὶ e παντὶ corr. V² συνάγει e συνάγειν corr. V² 18 ὑπάρχει V 19 ἐλήφθη om. V 20 ἄρα prius bis V ἄρα alt. delevi cf. p. 91,10 22 ξ alt. e ν corr. V² 23 συνάγειν t 25 post ἀδιορίστου add. φησὶ PV 26 καλεῖ om. V 29 ἡ om. V 30 γὰρ P: τὸ Vt 31 παντὶ alt. ex οὐδενὶ corr. V²

p. 27ᵇ23 Πάλιν ἔστωσαν κατηγορικαί, καὶ τὸ καθόλου κείσθω XXVI[v]
ὁμοίως. 41

Ἕκτος τρόπος ἀσυλλόγιστος ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς
δὲ ἐλάττονος μερικῆς καταφατικῆς διὰ τὸ ὁμοιόσχημον πάλιν τῶν προτά- 45
σεων. παράδειγμα τοῦ μὲν μηδενί· λευκὸν παντὶ κύκνῳ, λευκὸν τινὶ λίθῳ,
καὶ συμπέρασμα κύκνος οὐδενὶ λίθῳ. τοῦ δὲ παντὶ οὐκ ἔστιν ἁπλῶς οὐδὲ
ἐνταῦθα | λαβεῖν ὅρους διὰ τὴν εἰρημένην ἔμπροσθεν αἰτίαν, ὅτι γὰρ ἰσο- XXVII[r]
δυναμεῖ ἡ μερικὴ καταφατικὴ τῇ μερικῇ ἀποφατικῇ ὑποδυομένη τὴν συλλο-
γιστικὴν συζυγίαν. διὸ πάλιν ἐκ τοῦ ἀδιορίστου κατασκευαστέον ἰσοδυνα-
μοῦσαν λαμβάνοντας τὴν μερικὴν καταφατικὴν τῇ καθόλου καὶ οὐ δι' ἑαυτὴν
ἀληθεύουσαν, καὶ οὕτω δεικτέον ἀσυλλόγιστον τὴν συζυγίαν καὶ συνάγουσαν
καὶ τὸ παντὶ οὕτως· οὐσία παντὶ ζῴῳ, οὐσία τινὶ ἀνθρώπῳ, καὶ συμπέ- 5
ρασμα ζῷον παντὶ ἀνθρώπῳ.

p. 27ᵇ28 Εἰ δὲ τὸ καθόλου πρὸς τὸ ἔλαττον ἄκρον ἐστίν.

Ἕβδομος οὗτος τρόπος ἀσυλλόγιστος, ἐκ μερικῆς ἀποφατικῆς τῆς μεί- 10
ζονος καὶ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος. οἷον τοῦ μὲν παντὶ ὅροι
οὕτως· λευκὸν οὐ παντὶ ζῴῳ, λευκὸν οὐδενὶ κόρακι, καὶ συμπέρασμα ζῷον
παντὶ κόρακι· τοῦ δὲ μηδενί· λευκὸν οὐ παντὶ λίθῳ, λευκὸν οὐδενὶ κόρακι,
καὶ συνάγεται λίθος οὐδενὶ κόρακι. οὐδὲν δὲ ἡμῖν δυσχερὲς διὰ τὴν μερι- 15
κὴν ἀποφατικὴν ἐν ταύτῃ τῇ συζυγίᾳ, ἐπειδή, κἂν ληφθῇ ἰσοδυναμοῦσα τῇ
μερικῇ καταφατικῇ, οὐδὲν ἧττόν ἐστιν ἀσυλλόγιστος· ἡ γὰρ μείζων ὁποία
ποτ' ἂν ᾖ (μερικὴ γάρ), ἀσυλλόγιστον ποιεῖ τὴν συζυγίαν.

p. 27ᵇ32 Εἰ δὲ κατηγορικαὶ αἱ προτάσεις.

Ὄγδοος οὗτος τρόπος ἀσυλλόγιστος, ἐκ τῆς μείζονος μερικῆς καταφα- 22
τικῆς καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς. αἴτιον δὲ κἀνταῦθα τὸ
ὁμοιόσχημον τῶν προτάσεων. οἷον λευκὸν τινὶ ζῴῳ, λευκὸν πάσῃ χιόνι,
καὶ συμπέρασμα ζῷον οὐδεμιᾷ χιόνι· τοῦ δὲ παντί· λευκὸν τινὶ ζῴῳ 25
λευκὸν παντὶ κύκνῳ, καὶ συμπέρασμα ζῷον παντὶ κύκνῳ. τοιαῦται αἱ ἀσυλλό-
γιστοι συζυγίαι ⟨αἱ⟩ ἐκ τῆς μιᾶς καθόλου τῆς δὲ ἑτέρας μερικῆς, ὅταν
ὦσιν ὁμοιοχήμονες.

---

3 κατηγορικῆς Pt 4 πάλιν Pt: περὶ V 6. 7 ἁπλῶς οὐδὲ ἐνταῦθα om. P
7 ἔμπροσθεν] p. 98,5. 6 γὰρ om. Vt 8 ὑποδυομένην V 10 λαμβάνοντας V¹: λαμβάνοντες V² καταφατικὴν V¹: ἀποφατικὴν V² καθόλου in ras. V², post quod superscr. καταφατικῇ V² οὐ del., ut videtur, V 11 supra καὶ οὕτω δεικτέον scr. ἀλλὰ διὰ τῆς τῶν V² συνάγεται V 12 τινὶ ἀνθρώπῳ] οὐ παντὶ ἀνθρώπῳ e παντὶ ζῴῳ (hoc iam in ras. V²) corr. V² 13 παντὶ corr. V² 17. 18 καὶ—παντὶ κόρακι om. V 18 δὲ om. P 19 ἡμῖν Pt: ἐστὶ V 22 γὰρ scripsi: δὲ libri 27 τὸ V 28 αἱ om. P 29 αἱ addidi

p. 27b36 Ἀλλ' οὐδὲ εἰ τινὶ ἑκατέρῳ ὑπάρχει ἢ μὴ ὑπάρχει. XXVII r

Ἐνταῦθα ἐφεξῆς ις' πλέκει ἀσυλλογίστους συζυγίας· τεσσάρων ⟨γὰρ⟩ οὐσῶν ἐν τούτοις προτάσεων, τῆς μερικῆς ἀποφατικῆς καὶ καταφατικῆς καὶ ἀπροσδιορίστου καταφατικῆς καὶ ἀποφατικῆς, καὶ τῆς μείζονος κατὰ μίαν τούτων λαμβανομένης ἢ ἐλάττων ποικίλλεται κατὰ τὰς τέσσαρας· τετράκις οὖν τὰ τέσσαρα τὰ ις'. εὐπορεῖ δὲ ἐπὶ πάντων κοινῶν ὅρων, δι' ὧν πάσας ἀσυλλογίστους δείκνυσιν ὡς καὶ τὸ παντὶ καὶ οὐδενὶ συναγούσας· τοῦ μὲν παντί· λευκὸν τινὶ ζῴῳ, λευκὸν τινὶ ἀνθρώπῳ, καὶ συνάγεται ζῷον παντὶ ἀνθρώπῳ· τοῦ δὲ μηδενί· λευκὸν τινὶ ζῴῳ, λευκὸν τινὶ ἀψύχῳ, καὶ ζῷον οὐδενὶ ἀψύχῳ.

p. 28a6 Ἃ ἢ ἐνυπάρχει τοῖς ὅροις ἐξ ἀνάγκης ἢ τίθενται ὡς ὑποθέσεις.

Ἐνυπάρχει μὲν τὰ κατὰ ἀντιστροφὴν περαινόμενα, τίθενται δὲ ὡς ὑποθέσεις τὰ λήμματα τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς.

p. 28a10 Ἐὰν δὲ τῷ αὐτῷ τὸ μὲν παντὶ τὸ δὲ μηδενὶ ὑπάρχῃ, ἢ ἄμφω παντὶ ἢ μηδενί, τὸ μὲν σχῆμα τὸ τοιοῦτον καλῶ τρίτον.

Πέρας ἀπείληφε καὶ τὸ δεύτερον σχῆμα· ἐντεῦθεν λοιπὸν τὸ τρίτον, ἐν ᾧ ὁ μέσος ὅρος ἀμφοτέροις τοῖς ἄκροις ὑπόκειται. διὸ ἐν μὲν τῷ δευτέρῳ σχήματι εἶπεν "ὅταν δὲ τὸ αὐτὸ τῷ μὲν παντὶ τῷ δὲ μηδενί", ἐπειδὴ ἀμφοτέρων ἐκεῖ κατηγορεῖτο ὁ μέσος· ἐνταῦθα δέ φησιν ἐὰν δὲ τῷ αὐτῷ. ἴδιον δὲ τούτου τοῦ σχήματος τὴν ἐλάττονα μόνον ἔχειν καταφατικήν· ὅθεν καὶ τῶν ἄλλων σχημάτων ἀνὰ τέσσαρας ἐχόντων συλλογιστικὰς συζυγίας τοῦτο ἓξ συζυγιῶν συλλογιστικῶν εὐπόρησεν. ἐπ' ἐκείνων μὲν γὰρ πλείους ἦσαν αἱ διαφοραὶ αἷς τὰς συλλογιστικὰς προτάσεις ἐπεγινώσκομεν, οἷον ἐπὶ μὲν τοῦ πρώτου καὶ τὸ τὴν | μείζονα εἶναι καθόλου XXVII v καὶ τὸ τὴν ἐλάττονα καταφατικήν, ἐπὶ δὲ τοῦ δευτέρου τὸ τὴν μὲν μείζονα εἶναι καθόλου τὴν δὲ ἐλάττονα ἀνομοιοσχήμονα· ἐπὶ δὲ τοῦ τρίτου ἐξαρκεῖ εἰς τὸ ποιῆσαι τὰς συλλογιστικὰς προτάσεις τὸ τὴν ἐλάττονα μόνην εἶναι καταφατικήν. ὅτι δὲ ἔνθα πλείους αἱ διαφοραί, ὁ ἀριθμὸς τοῦ ὑποκειμένου συστέλλεται, δῆλον· καὶ γοῦν τὸ ζῷον, ἐν ὅσῳ μὲν τὰς δύο μόνας ἔχει διαφοράς, τό τε ἔμψυχον καὶ τὸ αἰσθητικόν, ἐπὶ πλέον ἐστὶ τοῦ ἀνθρώπου· γενομένης δὲ τῆς τοῦ λογικοῦ καὶ θνητοῦ διαφορᾶς εἰς μόνον

2 γὰρ addidi 4 fort. ⟨τῆς⟩ ἀπροσδ. post καὶ alt. add. γὰρ Vt κατὰ μίαν scripsi: καθ' ἕνα libri 7 fort. ⟨τὸ⟩ οὐδενὶ συνάγουσιν P 9 λευκῶ (post μηδενὶ) P 11 ἃ om. P τίθεται P itemque vs. 13 12 ὑπόθεσις P 13 post μὲν add. γὰρ P παραινόμενα pr. V, corr. V² 14 ὑπόθεσις pr. P, corr. P¹ τέλος τοῦ β̄ σχήματος subscr. P 15 ἀρχὴ τοῦ τρίτου σχήματος inscr. PV ὅταν t(d) 17 ἔνθεν P 19 εἶπεν] c. 5 p. 26b34 τῷ αὐτῷ t 20 ἐπεὶ V post μέσος add. ὅρος P δὲ om. P 21 μόνην, ut videtur, V 22 ἀνὰ V: πρὸς Pt 24 post γὰρ add. ἐπειδὴ P αἷς om. P 24. 25 ἐπιγινώσκομεν V 28 ἐξαρκῆς V εἰς τὸ ποιῆσαι scripsi: εἰδοποιῆσαι libri 29 ἐνταῦθα pr. P, corr. P² 30 γὰρ V 32 immo προσγενομένης

περιέστη τὸν ἄνθρωπον· ἀεὶ γὰρ ἡ προσθήκη τῶν προσδιορισμῶν ἐλλεί- XXVII[v]
πειν τὰ πράγματα ποιεῖ. πάντα δὲ τὰ συμπεράσματα μερικὰ συνάγεται ἐν τούτῳ τῷ σχήματι.

p. 28ª12 Μέσον δ' ἐν αὐτῷ λέγω καθ' οὗ ἄμφω κατηγορεῖται.

Εἴρηται ὅτι ἡ τάξις τῶν σχημάτων ἐκ τῆς τοῦ μέσου πρὸς τὰ ἄκρα σχέσεως εἴληπται· διὰ τοῦτο νῦν ὡς τὴν ἐσχάτην ἔχοντος ἐν τούτῳ τῷ σχήματι τοῦ μέσου ὅρου τάξιν (ἀμφοτέροις γὰρ ὑπόκειται τοῖς ἄκροις) καὶ τὸ σχῆμα τὴν ἐσχάτην τῶν λοιπῶν ἀπείληφε τάξιν.

p. 28ª13 Μεῖζον δ' ἄκρον τὸ πορρώτερον τοῦ μέσου, ἔλαττον δὲ τὸ ἐγγύτερον.

Ὁ μείζων ὅρος ἐν τούτῳ τῷ σχήματι δὶς κατηγορεῖται, τοῦ τε γὰρ μέσου καὶ τοῦ συμπεράσματος· ὁ δὲ ἐλάττων ἅπαξ κατηγορεῖται, τοῦ γὰρ μέσου μόνον, ὑπόκειται δὲ τῷ μείζονι ἐν τῷ συμπεράσματι· ὁ δὲ μέσος μόνως ὑπόκειται, οὐδέποτε δὲ κατηγορεῖται. διὸ μείζονα ὅρον τὸν πορρωτέρω τοῦ μέσου φησί· πορρωτέρω γὰρ ἂν εἴη κατὰ συγγένειαν τοῦ μηδὲ ὅλως κατηγορουμένου ἀεὶ δὲ ὑποκειμένου ὁ ἀεὶ κατηγορούμενος καὶ οὐδέποτε ὑποκείμενος, ὅπερ ἐστὶν ὁ μείζων. ἔγγιον δὲ μᾶλλον ὁ ποτὲ μὲν ὑποκείμενος ποτὲ δὲ κατηγορούμενος· οὗτος δέ ἐστιν ὁ ἐλάττων.

p. 28ª14 Τίθεται δὲ τὸ μέσον ἔξω μὲν τῶν ἄκρων, ἔσχατον δὲ τῇ θέσει.

Ἔξω μέν, διότι οὐ κατ' εὐθεῖαν τῶν ἄκρων, ἔσχατον δέ, διότι ὑποκάτω.

p. 28ª18 Καθόλου μὲν οὖν ὄντων τῶν ὅρων, ὅταν καὶ τὸ Π καὶ τὸ Ρ παντὶ τῷ Σ ὑπάρχῃ.

Πρῶτος οὗτος τρόπος συλλογιστικὸς ἐν τούτῳ τῷ σχήματι, ἐξ ἀμφο- 27
τέρων καθόλου καταφατικῶν μερικὸν καταφατικὸν συνάγων συμπέρασμα· οἷον ζῷον κατὰ παντὸς ἀνθρώπου, οὐσία κατὰ παντὸς ἀνθρώπου, καὶ συμπέρασμα ζῷον κατὰ τινὸς οὐσίας. ἐπεὶ γὰρ ἡ καθόλου καταφατικὴ πρὸς τὴν μερικὴν ἀντιστρέφει καταφατικήν, εἰ ἡ οὐσία παντὶ ἀνθρώπῳ, καὶ ὁ ἄνθρωπος τινὶ οὐσίᾳ· γίνεται γὰρ ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος

1 περίεστιν P post τῶν add. δὶς Vt 1. 2 ἐκλείπειν t 2 τὸ πρᾶγμα P
4 κατηγορεῖται PV (Marc. 231): κατηγοροῦμεν t: τὰ κατηγορούμενα Arist. 5 εἴρηται] p. 65,4 sq. 7 γὰρ om. V 8 τῶν λοιπῶν τὴν ἐσχάτην V post λοιπῶν add. σχημάτων P ἀπείληφε scripsi: ἀνείληφε libri 9 πορροτέρω P(n) 12 an τοῦ ⟨ἐλάττονος ἐν τῷ⟩ συμπεράσματι? 12. 13 ὁ δὲ ἐλάττων—συμπεράσματι om. V
13 δὲ ὁ t 15 τοῦ μέσου om. V δὲ Vt 17 ἔγγιον PV[2]: ἀγγείων V[1]: ἐγγίων t
18 ἐλάχιστος Vt 19 δὲ prius e μὲν corr. V 21 οὐ om. V 23 οὖν om. V
ὄντων om. P τῶν ὅρων PVt(n): om. Arist. 24 ὑπάρχει Vt

ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς κατα- XXVII[v]
φατικῆς μερικὸν καταφατικὸν συνάγων συμπέρασμα· τὸ ζῷον κατὰ παντὸς
ἀνθρώπου, ἄνθρωπος κατὰ τινὸς οὐσίας, ζῷον ἄρα τινὶ οὐσίᾳ. δεῖ δὲ λαμβάνειν
ἐπὶ τούτου τοῦ τρόπου, ὥσπερ ἐπὶ τοῦ τρίτου τρόπου τοῦ πρώτου σχήματος,
γένος καὶ εἶδος καὶ κοινὸν ἀμφοῖν καὶ τὸ μὲν γένος μείζονα ὅρον τιθέναι,
τὸ δὲ εἶδος μέσον, τὸ δὲ κοινὸν ἀμφοῖν ἐλάττονα. καὶ ἡ μὲν ἐπ' εὐθείας
δεῖξίς ἐστιν αὕτη. λαμβάνει δὲ στοιχεῖα τὸ Π καὶ τὸ Ρ καὶ τὸ Σ τὴν
ὕφεσιν δεικνὺς τοῦ τρίτου σχήματος καὶ διὰ τῆς ὑφέσεως τῆς κατὰ τὴν τάξιν
τῶν στοιχείων· τίθησι δὲ τὸ Σ μέσον ὅρον δεικνὺς τὴν ὕφεσιν αὐτοῦ τὴν πρὸς
τοὺς ἄκρους διὰ τῆς κατὰ τὴν τάξιν ὑφέσεως τοῦ Σ τῆς πρὸς τὸ Π καὶ τὸ Ρ.
ἔστι δὲ καὶ διὰ τοῦ ἀδυνάτου καὶ τῷ ἐκθέσθαι ποιεῖν τὴν ἀπόδειξιν.
εἰ γὰρ ἐπὶ παντὸς ἀνάγκη ἢ τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀληθεύειν τὰς
ἀντιφατικῶς ἀντικειμένας, εἴ τις ὑπόθοιτο ψεῦδος εἶναι τὸ τινὶ τῷ Ρ τὸ Π
ὑπάρχειν, ἀνάγκη τὸ ἀντιφατικῶς ἀντικείμενον εἶναι ἀληθὲς τὸ οὐδενί·
ὑποκείσθω οὖν τὸ Π, τουτέστι τὸ ζῷον, καθὼς ὁ ἀντιλέγων βούλεται,
μηδενὶ τῷ Ρ ὑπάρχειν, τουτέστι τῇ οὐσίᾳ. ὑπέκειτο δὲ τὸ Ρ, τουτέστιν ἡ
οὐσία, παντὶ τῷ Σ ὑπάρχειν, τουτέστι τῷ ἀνθρώπῳ· γίνεται οὖν ὁ δεύ-
τερος τρόπος τοῦ πρώτου σχήματος ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς
δὲ ἐλάττονος καθόλου καταφατικῆς καθόλου ἀποφατικὸν συνάγων συμπέ-
ρασμα· τὸ ἄρα Π οὐδενὶ τῷ Σ ὑπάρχει, τουτέστι τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ.
ὑπέκειτο δὲ καὶ παντί· τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐδενί, ὅπερ ἀδύνατον.
τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ὅτι τὸ Π οὐδενὶ τῷ Ρ·
ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ τινὶ τῷ Ρ τὸ
Π, ὅπερ ἔδει δεῖξαι.

p. 28a23 Καὶ τῷ ἐκθέσθαι ποιεῖν τὴν ἀπόδειξιν.

Ὅρα πῶς καὶ αὐτὸς οἶδε διαφέρουσαν τὴν ἔκθεσιν τῆς ἀντιστροφῆς
τῆς μερικῆς καταφατικῆς, ὡς ἐλέγομεν ἐν τῷ περὶ ἀντιστροφῶν λόγῳ· νῦν
γὰρ μετὰ τὸ ἀποδεῖξαι διὰ τῆς ἀντιστροφῆς φησὶ δυνατὸν καὶ | διὰ XXVIII[r]
τῆς ἐκθέσεως πιστώσασθαι τὸ λεγόμενον. πῶς οὖν δείκνυται διὰ τῆς
ἐκθέσεως; εἰ τὸ Π καὶ τὸ Ρ τῷ Σ ὑπάρχει παντί, δῆλον καὶ μέρει τινὶ
αὐτοῦ· ἐὰν οὖν τι μέρος λάβωμεν τοῦ Σ, οἷον τὸ Ν, τοῦτο, φησί, κοινὸν
μέρος ἔσται τοῦ τε Π καὶ τοῦ Ρ, ὥστε τινὶ μέρει τοῦ Ρ, τουτέστι τῷ Ν,
ὑπάρχει τὸ Π ἐξ ἀνάγκης. καὶ ἐπὶ τῶν ὅρων δὲ πάλιν, εἰ τὸ ζῷον καὶ
ἡ οὐσία παντὶ ἀνθρώπῳ ὑπάρχει, καὶ τινὶ δῆλον ὅτι· ἐὰν οὖν ληφθῇ τι
τοῦ ἀνθρώπου, οἷον Σωκράτης, οὗτος καὶ τῆς οὐσίας τι ἔσται καὶ τοῦ ζῴου,

3 ἄνθρωπος τινὶ οὐσία P post οὐσίᾳ add. οὐσία ἄρα τινὶ ζώῳ t 6 εἰ μὲν P
7 ἐστιν om. V 8 δεικνύων Vt καὶ om. Vt τὴν om. V 10 τὴν om. V
τὸ alt. om. Vt 11 καὶ prius om. V τῷ Arist. cf. vs. 25: τὸ P: διὰ τοῦ Vt
13 ἀντιφαντικῶς P 14 ὑπάρχει V 17 τουτέστι om. P 21 καὶ primum
om. V 22 ante ἀδ. add. δὲ Vt, at cf. p. 98,20 25 τὸ Pt(i) 27 ἐλέγομεν]
p. 49,20 sq. ἀντιστροφῆς V 30 εἰ] εἰς V fort. δῆλον ⟨ὡς⟩ 32 ὥστε P:
ἐπεὶ Vt 33 τί π' e τίνι corr. V τῷ ζώῳ pr. V, corr. V²

ὥστε τινὶ οὐσίᾳ, τουτέστι Σωκράτει, ὑπάρχει τὸ ζῷον. δυνατὸν δὲ XXVIII[r]
καὶ οὕτω δεῖξαι· εἰ γὰρ τὸ Ρ παντὶ τῷ Σ ὑπάρχει, τὸ ἄρα Σ μέρος ἐστὶ τοῦ
Ρ· εἰ οὖν τὸ Π παντὶ τῷ Σ ὑπάρχει, τὸ δὲ Σ μέρος τοῦ Ρ, τὸ ἄρα Π
μέρει τοῦ Ρ ὑπάρχει, ὅπερ ἦν τὸ Σ. τὸ μὲν οὖν τινὶ ἐξ ἀνάγκης ἀεὶ
5 συνάγεται. τὸ δὲ παντὶ ἔστιν ὅτε, ἐὰν ληφθῇ ὁ μείζων ὅρος καθολικώτερος
τοῦ ἐλάττονος· οἷον ἔμψυχον παντὶ ἀνθρώπῳ, ζῷον παντὶ ἀνθρώπῳ, καὶ 10
συμπέρασμα ἔμψυχον παντὶ ζῴῳ. ἀλλὰ τὸ μὲν τινὶ ἐξ ἀνάγκης συνάγεται
καὶ ἀεί, τὸ δὲ παντὶ οὐκ ἀεί.

p. 28a26 Καὶ ἂν τὸ μὲν Ρ παντὶ τῷ Σ τὸ δὲ Π μηδενὶ ὑπάρχῃ.

10 Δεύτερος οὗτος τρόπος συλλογιστικὸς ἐν τούτῳ τῷ σχήματι, ἐκ τῆς
μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς μερικὸν 15
ἀποφατικὸν συνάγων συμπέρασμα· οἷον ἄλογον οὐδενὶ λογικῷ, ζῷον παντὶ
λογικῷ, καὶ συνάγεται ἄλογον οὐ παντὶ ζῴῳ. ἐπεὶ γὰρ ἡ καθόλου κατα-
φατικὴ πρὸς τὴν μερικὴν ἀντιστρέφει, εἰ τὸ ζῷον παντὶ λογικῷ, τὸ λογικὸν
15 τινὶ ζῴῳ· εἰ τοίνυν τὸ μὲν ἄλογον οὐδενὶ λογικῷ, τὸ δὲ λογικὸν τινὶ ζῴῳ,
γίνεται ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος ἐκ τῆς μείζονος καθόλου 20
ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς μερικὸν ἀποφατικὸν
συνάγων συμπέρασμα· τὸ ἄρα ἄλογον οὐ παντὶ ζῴῳ. δεῖ δὲ λαμβάνειν
ὅρους, ὥσπερ καὶ ἐπὶ τοῦ τετάρτου τρόπου τοῦ πρώτου σχήματος, ἀντι-
20 διῃρημένα ἀλλήλοις εἴδη καὶ κοινόν τι ἀμφοῖν καὶ τὸ μὲν κοινὸν ποιεῖν
ἐλάττονα ὅρον, τῶν δὲ ἀντιδιῃρημένων τὸν μὲν μείζονα τὸν δὲ μέσον ὅρον.

p. 28a28 Ὁ γὰρ αὐτὸς ἔσται τρόπος τῆς δείξεως ἀντιστραφείσης 25
τῆς ΡΣ προτάσεως.

Ὁ αὐτὸς τῷ προτέρῳ τρόπῳ· ὥσπερ γὰρ ἐν ἐκείνῳ ἀντιστρέφοντες
25 τὴν ἐλάττονα πρότασιν καθόλου καταφατικὴν οὖσαν ἐποιοῦμεν μερικὴν κατα-
φατικὴν καὶ ἐγίνετο ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος ἐκ τῆς μείζονος
καθόλου τῆς δ' ἐλάττονος μερικῆς καταφατικῆς, οὕτω κἀν τούτῳ τῷ τρόπῳ
τῆς αὐτῆς ἀντιστραφείσης γίνεται ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος
μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. δειχθείη δ' ἂν καὶ διὰ τοῦ
30 ἀδυνάτου καθάπερ ἐπὶ τοῦ πρότερον. εἰ γὰρ ψεῦδος τὸ μὴ παντὶ τὸ Π 30
τῷ Ρ ὑπάρχειν, τουτέστι τὸ ἄλογον τῷ ζῴῳ, ἀληθὲς τὸ παντί· τοῦτο γὰρ
ἀντιφατικῶς ἀντίκειται. εἰ τοίνυν τὸ μὲν ἄλογον, τουτέστι τὸ Π, τεθείη

2 post ρ' add. ἐν t 4 μέρει scripsi: μέρος PVt τὸ σ̄ Pt: τῷ σ' παντὶ V
ἀεὶ Pt: τινὶ V 8 ἀεὶ prius e τινὶ corr. V παντὶ δὲ Vt 9 εἰ P
ὑπάρχει Vt 11 καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς mrg. V² 12. 13 ζῶον παντὶ
λογικῷ superscr. V² 13 οὐ om. P 17 καταφατικὸν pr. V, corr. V² 18 οὐ παντὶ V:
τινὶ Pt 20 καὶ κοινονοῦν P τι om. V καὶ alt. om. V 21 immo τὸ—
τὸ cf. p. 110,2 22 ἔσται PVt (i, post τρ. C): om. Arist. 23 τῆς Pt: τὸ V
24 ἀντιστρέφοντες t: ἀντιστρέφοντα P: ἀντιστραφέντες V 30 post καθάπερ add. καὶ V
30. 31 τῷ (e τὸ corr.) ρ' τὸ (e τῷ corr.) π' V 32 ἀντιφατικῆς pr. V, corr. V²

κατὰ τὸν ἀντιλέγοντα παντὶ τῷ Ρ, τουτέστι τῷ ζῴῳ, ὑπάρχειν, ἦν δὲ XXVIIIr
καὶ τὸ Ρ παντὶ τῷ Σ, τουτέστι τὸ ζῷον παντὶ τῷ λογικῷ, δῆλον ὅτι γίνεται
ὁ πρῶτος τρόπος τοῦ πρώτου σχήματος ἐκ δύο καθόλου καταφατικῶν
καθόλου καταφατικὸν συνάγων συμπέρασμα, ὅτι τὸ Π, τουτέστι τὸ ἄλογον,
5 παντὶ τῷ Σ, τουτέστι τῷ λογικῷ, ὑπάρχει. ὑπέκειτο δὲ ἐξ ἀρχῆς οὐδενί· 35
τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐδενί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον διὰ τί
ἠκολούθησεν; διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ Π παντὶ τῷ Ρ ὑπάρχειν· ψευδὴς
ἄρα ἡ ὑπόθεσις αὕτη, ἐπειδὴ μηδεμιᾷ ἀληθεῖ ὑποθέσει ψεῦδος ἀκολουθεῖ,
ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ μὴ παντὶ τῷ Ρ τὸ Π, ὅπερ
10 ἔδει δεῖξαι. δυνατὸν δὲ καὶ τῇ δι' ἐκθέσεως δεῖξαι κἀπὶ ταύτης τῆς συζυ-
γίας χρήσασθαι. εἰ γὰρ τὸ ζῷον παντὶ λογικῷ ὑπάρχει, μέρος ἄρα τοῦ
ζῴου ἐστὶ τὸ λογικόν· εἰ τοίνυν μηδενὶ λογικῷ τὸ ἄλογον ὑπάρχει, μέρει 40
ἄρα τοῦ ζῴου, τῷ λογικῷ, τὸ ἄλογον οὐχ ὑπάρχει. ἢ καὶ οὕτως· εἰ
ληφθείη τι τοῦ λογικοῦ, οἷον ὁ ἄνθρωπος, ⟨ὃς⟩ δῆλον ὅτι καὶ μέρος ἐστὶ
15 τοῦ ζῴου, ἐπεὶ καὶ τὸ ἄλογον οὐδενὶ λογικῷ, ὥστε οὐδὲ τῷ ἀνθρώπῳ, ὃς
μέρος ἐστὶ τοῦ ζῴου, οὐ παντὶ ἄρα ζῴῳ ὑπάρχει [ὁ ἄνθρωπος].

p. 28a30 Ἐὰν δὲ τὸ μὲν Ρ μηδενὶ τὸ δὲ Π παντὶ ὑπάρχῃ τῷ Σ, οὐκ ἔσται συλλογισμός.

Πρῶτος τρόπος ἀσυλλόγιστος ἐν τούτῳ τῷ σχήματι, ἐκ τῆς μείζονος 45
20 καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς, διὰ τὸ μὴ
ἔχειν τὴν συζυγίαν τὸ ἴδιον τοῦ τρίτου σχήματος, ὅπερ ἦν τὸ εἶναι τὴν ἐλάτ-
τονα καταφατικήν. συνάγεται γὰρ ἐν τούτῳ τὸ παντὶ καὶ τὸ οὐδενί· οἷον
τὸ μὲν παντὶ οὕτως· ζῷον κατὰ παντὸς ἀνθρώπου, ἵππος κατ' οὐδενὸς
ἀνθρώπου, καὶ συνάγεται ζῷον κατὰ παντὸς ἵππου· τὸ δὲ οὐδενὶ οὕτως· 50
25 ζῷον παντὶ ἀνθρώπῳ, ἄψυχον οὐδενὶ ἀνθρώπῳ, καὶ συμπέρασμα ζῷον
οὐδενὶ ἀψύχῳ. ἄξιον δὲ ἐπιστῆσαι ὅτι ἐν μὲν τῷ πρώτῳ σχήματι παρα-
δείγματα παρατιθέμενος τὸν μείζονα ὅρον | πρῶτον ἔταττε, δεύτερον XXVIIIv
δὲ τὸν μέσον καὶ τρίτον τὸν ἐλάττονα, ἐν δὲ τῷ δευτέρῳ σχήματι πρῶτον
ἔταττε τὸν μέσον ὡς ἀμφοτέρων κατηγορούμενον, ἐν δὲ τούτῳ τῷ τρίτῳ
30 τὸν μέσον ἔσχατον ὡς ἀμφοτέροις ὑποκείμενον.

p. 28a33 Οὐδ' ὅταν ἄμφω κατὰ μηδενὸς τοῦ Σ λέγηται, οὐκ ἔσται συλλογισμός.

Δεύτερος οὗτος τρόπος ἀσυλλόγιστος ἐν τούτῳ τῷ σχήματι, ἐξ ἀμφο- 11
τέρων καθόλου ἀποφατικῶν, διὰ τὴν αὐτὴν αἰτίαν τῷ πρὸ αὐτοῦ· ὅθεν
35 ἤδη δῆλον ὅτι ἐπὶ παντὸς σχήματος αὕτη ἡ συζυγία ἀσυλλόγιστος ἡ ἐξ

2 παντὶ alt. om. P 7 ὑπάρχει V 8 ἀκολουθῆι, η ex ει corr. P¹ 9 τὸ (ante μὴ) Pt: καὶ V 12 ὑπάρχηι P μέρει] ει ex η corr. P¹ 13 ἄρα PV: ὄντι t 14 ὁ om. P ὃς addidi ὅτι καὶ P: ὡς Vt 15 καὶ P: οὖν Vt post τὸ add. λογικὸν καὶ τὸ P λόγωι P 16 ὁ ἄνθρωπος delevi 17 post μηδενὶ add. τῷ γ' t 22 τὸ alt. om. V 28 τὸν alt. om. t 30 post ὡς add. ἐν P 34 αὐτὴν om. Pt τῷ scripsi: τοῦ Pt: τοῖς V

ἀμφοτέρων ἀποφατικῶν. συνάγει δὲ τὸ μὲν παντὶ οὕτως· ζῷον οὐδενὶ XXVIII[v]
ἀψύχῳ, ἵππος οὐδενὶ ἀψύχῳ, καὶ τὸ συμπέρασμα ζῷον παντὶ ἵππῳ. τὸ
δὲ οὐδενὶ οὕτως· ἄνθρωπος οὐδενὶ ἀψύχῳ, ἵππος οὐδενὶ ἀψύχῳ, καὶ συμ-
πέρασμα ἄνθρωπος οὐδενὶ ἵππῳ.

p. 28ᵇ5 Ἐὰν δ' ὁ μὲν ᾖ καθόλου πρὸς τὸ μέσον ὁ δ' ἐν μέρει.

Διεξελθὼν πάσας τὰς ἐξ ἀμφοτέρων καθόλου τῶν προτάσεων γινο-
μένας συζυγίας καὶ δείξας, ποῖαι μὲν συλλογιστικαί, ποῖαι δὲ ἀσυλλόγιστοι,
νῦν διδάσκει περὶ τῶν ἐκ μὲν τῆς μιᾶς καθόλου τῆς δὲ ἑτέρας μερικῆς
συζυγιῶν ὀκτώ. καὶ πρῶτον ἐκτίθεται τὴν ἐκ τῆς μείζονος μερικῆς κατα-
φατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς, καὶ δείκνυσιν αὐτὴν συλλο-
γιστικὴν διὰ τῆς ἀντιστροφῆς τῆς μερικῆς. ὑπαρχέτω γάρ, φησί, τὸ μὲν
Π τινὶ τῷ Σ, τὸ δὲ Ρ παντὶ τῷ Σ· λέγω, φησίν, ὅτι τὸ Π τινὶ τῷ Ρ
ὑπάρχει. πῶς καὶ τίνα τρόπον; εἰ γὰρ τὸ Π τινὶ τῷ Σ, καὶ τὸ Σ τινὶ
τῷ Π· πρὸς ἑαυτὴν γὰρ ἡ μερικὴ καταφατικὴ ἀντιστρέφει. εἰ τοίνυν
ὑπέκειτο τὸ μὲν Ρ παντὶ τῷ Σ ὑπάρχειν, τὸ δὲ Σ κατὰ τὴν ἀντιστροφὴν
τινὶ τῷ Π, γίνεται ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος ἐκ τῆς μείζονος
καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς μερικὸν κατα-
φατικὸν συνάγων συμπέρασμα· τὸ ἄρα Ρ τινὶ τῷ Π ὑπάρξει. ἀλλ' οὐ
τοῦτο ἐβουλόμεθα δεῖξαι, εἰ τὸ Ρ τινὶ τῷ Π ὑπάρχει, ἀλλ' εἰ τὸ Π τινὶ
τῷ Ρ. εἰ τοίνυν ἀντιστρέφει ἡ μερικὴ καταφατική, καὶ τὸ Π τινὶ τῷ Ρ
ὑπάρξει, ὅπερ ἔδει δεῖξαι. ἔστι δὲ οὗτος τρίτος τρόπος συλλογιστικὸς ἐν
τρίτῳ σχήματι. εὐπορήσεις δὲ κἀνταῦθα ὑλῶν εἴδός τι καὶ γένος λαμ-
βάνων καὶ κοινὸν ἀμφοῖν καὶ τὸ μὲν εἶδος μείζονα ὅρον τιθείς, τὸ δὲ
γένος μέσον, τὸ δὲ κοινὸν ἀμφοῖν ἐλάττονα· οἷον ἄνθρωπος τινὶ ζῴῳ,
ἔμψυχον παντὶ ζῴῳ, καὶ ἄνθρωπος τινὶ ἐμψύχῳ. εἰ γὰρ ὁ ἄνθρωπος τινὶ
ζῴῳ, καὶ τὸ ζῷον τινὶ ἀνθρώπῳ· οὐκοῦν εἰ τὸ μὲν ἔμψυχον παντὶ ζῴῳ,
τὸ δὲ ζῷον τινὶ ἀνθρώπῳ, συνάγεται τὸ ἔμψυχον τινὶ ἀνθρώπῳ· εἰ δὲ
τοῦτο, καὶ ὁ ἄνθρωπος τινὶ ἐμψύχῳ, ὅπερ ἔδει δεῖξαι. τοῦτον δὲ τὸν
συλλογισμὸν οἱ περὶ Θεόφραστον τέταρτον ἔταξαν, ὅτι ἐδεήθη δύο ἀντι-
στροφῶν, Ἀριστοτέλης δὲ τρίτον καὶ ἴσως, διότι ἐν τῷ τρίτῳ σχήματι ἡ ἐλάτ-
των ἦν πρότασις ἡ τὸ κῦρος ἔχουσα μάλιστα· ἀδιαφόρως γὰρ ἐν αὐτῷ ἔχει
ἡ μείζων καὶ κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν· ἡ δὲ ἐλάττων πάντως τῷ
ποιῷ κεκοσμῆσθαι βούλεται, καὶ παρ' αὐτὴν ἢ συλλογιστικαὶ ἢ ἀσυλλό-
γιστοι γίνονται αἱ συμπλοκαὶ τῶν προτάσεων. ἐπεὶ οὖν αὕτη τὸ κῦρος ἔχει,
προτετίμηκεν ἐν τῇ καταριθμήσει τὴν ἔχουσαν τὴν ἐλάττονα καθόλου, ἵνα

3 δὲ μηδενὶ Vt 7 post μὲν add. αἱ V 10 καθόλου καταφατικῆς e μερικῆς ἀποφατικῆς corr. V² 12 τὸ alt. e τῶ corr. V 13 post τρόπον add. καὶ P 16 post γίνεται add. γὰρ P 17. 18 καταφατικὸν ex ἀποφατικὸν corr. V 19 βουλόμεθα P 20 καταφατικὴ om. V τῶι—τὸ P 21 τρόπος τρίτος οὗτος V 24 κοινῶν Vt post οἷον add. ὁ Vt 25. 26 εἰ γὰρ—ἀνθρώπῳ om. P 25 τὸ prius om. V 27 τῶ δὲ ζῶιον τινὶ in ras. P¹ 30 ἀριστοτέλει t ἐν τῶι in ras. P¹: ἐν Vt 31 πρῶ V: προτάσεως t τὸ om. t 32 τὸ utrumque om. P 33 ποιῷ scripsi: ποσῷ libri

ἡ τὸ κῦρος ἔχουσα πρότασις μὴ μόνῳ κοσμῆται τῷ ποιῷ ἀλλὰ καὶ XXVIIIv
τῷ ποσῷ.

p. 28b12 Πάλιν εἰ τὸ μὲν Ρ τινὶ τῷ Σ τὸ δὲ Π παντὶ ὑπάρχει, ἀνάγκη τὸ Π τινὶ τῷ Ρ ὑπάρχειν.

Τέταρτος οὗτος τρόπος συλλογιστικός, ἐκ τῆς μείζονος καθόλου κατα- 51
φατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς μερικὸν καταφατικὸν συνάγων συμπέρασμα· οἷον ζῷον παντὶ ἀνθρώπῳ, λευκὸν τινὶ ἀνθρώπῳ, καὶ συνάγεται ζῷον τινὶ λευκῷ. εἰ γὰρ λευκὸν τινὶ ἀνθρώπῳ, καὶ ἄνθρωπος τινὶ λευκῷ· οὐκοῦν εἰ ζῷον παντὶ ἀνθρώπῳ, ἄνθρωπος δὲ τινὶ λευκῷ, δῆλον ὅτι συνάγεται ζῷον τινὶ λευκῷ, ὅπερ ἔδει δεῖξαι· γίνεται γὰρ πάλιν ὁ XXIXr τρίτος τρόπος τοῦ πρώτου σχήματος. εὐπορήσεις δὲ κἀνταῦθα ὅλων λαμβάνων γένος καὶ εἶδος καί τι ὑπάρχον μὲν αὐτοῖς ἐπὶ μέρους ὑπάρχον δὲ καὶ ἑτέροις τισὶ παρ' αὐτὰ καὶ τὸ μὲν γένος τιθεὶς μείζονα ὅρον, τὸ δὲ εἶδος μέσον, τὸ δὲ ὑπάρχον αὐτοῖς ἐπὶ μέρους ἐλάττονα.

p. 28b14 Ἔστι δὲ ἀποδεῖξαι καὶ διὰ τοῦ ἀδυνάτου καὶ τῇ ἐκθέσει, καθάπερ καὶ ἐπὶ τῶν προτέρων.

Ἀμφοτέρους δυνατὸν δεῖξαι τῇ εἰς ἄτοπον ἀπαγωγῇ, καὶ πρῶτόν γε τὸν πρῶτον δείξομεν. εἰ γάρ τις εἴποι ψεῦδος εἶναι τὸ τινὶ τῷ Ρ τὸ Π ὑπάρχειν, τουτέστι τὸν ἄνθρωπον τινὶ ἐμψύχῳ, δῆλον ὅτι ἀληθὲς ἔσται τὸ οὐδενί. εἰ τοίνυν τὸ μὲν Π, τουτέστιν ὁ ἄνθρωπος, οὐδενὶ τῷ Ρ, τουτέστι τῷ ἐμψύχῳ, ὡς ὁ ἀντιλέγων βούλεται, τὸ δὲ Ρ, τὸ ἔμψυχον, παντὶ τῷ Σ, τουτέστι τῷ ζῴῳ (τοῦτο γὰρ ὑπέκειτο), τὸ ἄρα Π, ὁ ἄνθρωπος, οὐδενὶ τῷ Σ, τῷ ζῴῳ, ὑπάρξει· γίνεται γὰρ ὁ δεύτερος τρόπος τοῦ πρώτου σχήματος. ὑπέκειτο δὲ καὶ τινὶ ζῴῳ ὑπάρχειν τὸν ἄνθρωπον· τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενὶ ὑπάρξει, ὅπερ ἄτοπον. τὸ ἄτοπον ἠκολούθησε δῆλον ὅτι διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ Π μηδενὶ τῷ Ρ ὑπάρχειν, τουτέστιν ὁ ἄνθρωπος μηδενὶ ἐμψύχῳ· ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ τινί, ὅπερ ἔδει δεῖξαι. δείκνυται δὲ καὶ τῇ ἐκθέσει οὕτως· εἰ γὰρ ὁ ἄνθρωπος τινὶ ζῴῳ ὑπάρχει τὸ δὲ ἔμψυχον παντί, ἐὰν ληφθῇ τι τοῦ ζῴου ᾧ ὑπάρχει ὁ ἄνθρωπος, τοῦτο κοινὸν ἔσται μέρος τοῦ τε ἀνθρώπου καὶ τοῦ ἐμψύχου· ἔστιν ἄρα τι τοῦτο τοῦ ἐμψύχου ᾧ ὑπάρχει ὁ ἄνθρωπος. ὁμοίως δὲ καὶ τὸν δεύτερον τρόπον δείξομεν διὰ μὲν τοῦ ἀδυνάτου οὕτως· εἴ τις εἴποι ψευδὲς εἶναι τὸ τινὶ λευκῷ ὑπάρχειν τὸ ζῷον, δῆλον ὅτι ἀληθὲς ἐρεῖ τὸ μηδενὶ λευκῷ ὑπάρχειν τὸ ζῷον· οὐκοῦν καὶ τὸ ἀνάπαλιν οὐδενὶ ζῴῳ ὑπάρξει τὸ

1 πρώτη V κεκόσμηται P: κοσμεῖται t 8 post λευκῷ add. πῶς P 9 post εἰ add. τὸ Vt 14 ὑπάρχειν V 15 θέσει P 16 καὶ PV(C): om. t Arist. 17 post ἀμφ. add. γὰρ Vt 18 τὸ superscr. V 19 ὑπάρχει Vt 22 τῷ (ante ζῴῳ) om. P ὑπόκειται Vt 23 τὸ σ' t τῶ alt. Vt: τουτέστιν P ὑπάρχει V 24 καὶ om. t ὑπάρχει V 26 διὰ τὸ e δι' αὐτὸ corr. V 30 τοῦτο e τῶ τὸ corr. V 31 τοῦτο τοῦ ἐμψύχου scripsi: τούτου ἔμψυχον libri 34 καὶ om. P

λευκόν. εἰ τοίνυν οὐδενὶ ζῴῳ τὸ λευκόν, ὡς ὁ ἀντιλέγων βούλεται, ὑπ- XXIXr
έκειτο δὲ καὶ τὸ ζῷον παντὶ ἀνθρώπῳ ὑπάρχειν, δῆλον ὅτι συνάγεται τὸ λευκὸν μηδενὶ ἀνθρώπῳ ὑπάρχειν· γίνεται γὰρ πάλιν ὁ δεύτερος τρόπος τοῦ πρώτου σχήματος. ὑπέκειτο δὲ καὶ τινὶ ἀνθρώπῳ τὸ λευκὸν ὑπάρχειν· τὸ
5 αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενὶ ὑπάρξει, ὅπερ ἄτοπον. τὸ ἄτοπον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ μηδενὶ λευκῷ τὸ ζῷον ὑπάρχειν· ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ ἀντικείμενον τὸ τινί, ὅπερ ἔδει δεῖξαι. ὁμοίως δὲ καὶ τῇ ἐκθέσει τὸ αὐτὸ δείξομεν· εἰ γὰρ τὸ μὲν ζῷον κατὰ παντὸς ἀνθρώπου τὸ δὲ λευκὸν κατὰ τινός, ἐὰν ληφθῇ τι τοῦ ἀνθρώπου ᾧ ὑπάρχει τὸ λευκόν,
10 οἷον Σκύθης, τούτῳ ὑπάρξει τὸ ζῷον· τινὶ ἄρα λευκῷ τὸ ζῷον ὑπάρξει, ὅπερ ἔδει δεῖξαι.

p. 28b15 Ἐὰν δ' ὁ μὲν ᾖ κατηγορικὸς ὁ δὲ στερητικός, καθόλου δὲ ὁ κατηγορικός.

Τὰς συζυγίας ἐκτιθέμενος τὰς ἐκ τῆς μιᾶς καθόλου τῆς δὲ ἑτέρας
15 μερικῆς ἐξέθετο προτέρας τὰς ἐκ τῶν δύο καταφατικῶν, τήν τε ἔχουσαν τὸν μείζονα καθόλου τὸν δὲ ἐλάττονα μερικὸν καὶ τὸ ἀνάπαλιν, καὶ ἀμφοτέρας ἔδειξε συλλογιστικὰς οὔσας· ἐν ἑκατέρᾳ γὰρ ἐσώζετο τὸ ἴδιον τοῦ τρίτου σχήματος τὸ τὴν ἐλάττονα εἶναι καταφατικήν. λοιπὸν ἐκτίθεται τὰς ἐκ τῆς ἑτέρας μὲν καταφατικῆς τῆς δὲ ἑτέρας ἀποφατικῆς, τῆς κατα-
20 φατικῆς καθόλου οὔσης μερικῆς δὲ τῆς ἀποφατικῆς, καὶ πρώτην τὴν ἐν τῷ ἐλάττονι ὅρῳ ἔχουσαν τὸ κατηγορικόν, καὶ δείκνυσιν αὐτὴν συλλογιστικὴν οὖσαν· ὅταν γάρ, φησίν, ὁ ἐλάττων ᾖ κατηγορικός, ἔσται συλλογισμός. πέμπτος οὗτος τρόπος συλλογιστικὸς ἐν τῷ τρίτῳ σχήματι, ἐκ μερικῆς ἀποφατικῆς τῆς μείζονος καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος
25 μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. εὐπορήσεις δὲ κἀνταῦθα ὅλῳ λαμβάνων γένος καὶ εἶδος καί τι ἐπὶ μέρους αὐτοῖς συμβεβηκὸς καὶ τοῦτο μὲν μείζονα ὅρον τιθείς, τὸ δὲ εἶδος μέσον, τὸ δὲ γένος ἐλάττονα· οἷον λευκὸν οὐ παντὶ ἀνθρώπῳ, ζῷον παντὶ ἀνθρώπῳ, καὶ συνάγεται λευκὸν οὐ παντὶ ζῴῳ. δείκνυσι δὲ τοῦτον τὸν τρόπον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· οὐ
30 γὰρ οἷόν τε ἦν αὐτὸν δι' ἀντιστροφῆς ἀποδεῖξαι, διότι ἡ μὲν μείζων οὐδὲ ὅλως ἀντιστρέφει μερικὴ οὖσα ἀποφατική, ἡ δὲ ἐλάττων εἰ ἀντιστραφῇ, πρὸς τὴν μερικὴν καταφατικὴν ἀντιστρέφει, καὶ γίνονται ἄμφω μερικαί· ἐκ δὲ ἀμφοῖν μερικῶν οὐχ οἷόν τε γενέσθαι συλλογιστικὴν συζυγίαν, ὡς ἤδη εἴπομεν. διόπερ τῇ εἰς ἄτοπον ἀπαγωγῇ δείκνυσι τὴν συζυγίαν οὕτως· εἰ
35 γάρ τις εἴποι ψεῦδος εἶναι τὸ συμπέρασμα τὸ λέγον μὴ παντὶ ζῴῳ τὸ λευκὸν ὑπάρχειν, δῆλον ὅτι τὸ παντὶ ἔσται· ἔστω οὖν λευκὸν παντὶ ζῴῳ·

2 τὸ alt. om. P 3 ὑπάρχει V 5 τὸ ἄτοπον om. V 6 post ἡμᾶς add. διὰ t τὸ alt. om. V ὑπάρχει (χ e ξ corr.) V 10 τοῦτο ὑπάρχει V 15 τήν τε ἔχουσαν scripsi: τῆς τε ἐχούσης libri 19 μὲν om. P 21 post κατηγορ. add. καθόλου V: post καὶ t 23 συλλογιστικός V τῷ om. Vt 26 τι V: ἔτι Pt cf. p. 106,12 αὐτῆς pr. V 28 post ζῷον eras. οὐ P 30 διὰ τῆς P 31 ἀντιστραφεῖ P: ἀντιστρέφει Vt 34 εἴπομεν] p. 70,3 δείκνυται V 35 εἴποι om. V

ἀλλὰ μὴν καὶ τὸ ζῷον παντὶ ἀνθρώπῳ ὑπῆρχεν· οὕτω γὰρ ὑπέκειτο· τὸ ἄρα λευκὸν συναχθήσεται παντὶ ἀνθρώπῳ ὑπάρχειν· ὑπέκειτο δὲ καὶ οὐ παντί· τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐ παντὶ ἔσται, ὅπερ ἀδύνατον. |

p. 28b20 Δείκνυται δὲ καὶ ἄνευ τῆς ἀπαγωγῆς, ἐὰν ληφθῇ τι XXIXv
τῶν Σ ᾧ τὸ Π μὴ ὑπάρχει.

Τὴν δι' ἐκθέσεώς φησι δεῖξιν. εἰ γὰρ λευκὸν οὐ παντὶ ἀνθρώπῳ, τὸ δὲ ζῷον παντὶ ἀνθρώπῳ, ἐὰν ληφθῇ τι τοῦ ἀνθρώπου ᾧ μὴ ὑπάρχει τὸ λευκόν, οἷον ὁ Αἰθίοψ, ἔστι δὲ τοῦτο τοῦ ζῴου μέρος (παντὶ γὰρ ἀνθρώπῳ τὸ ζῷον ὑπάρχει δῆλον ὅτι), τὸ συμπέρασμα προφανές, ὅτι τὸ λευκὸν οὐ παντὶ ζῴῳ ὑπάρχει, οἷον τῷ Αἰθίοπι.

p. 28b22 Ὅταν δὲ ὁ μείζων ᾖ κατηγορικός, οὐκ ἔσται συλλογισμός.

Ὑποθέμενος τὴν μὲν καθόλου πρότασιν κατηγορικὴν τὴν δὲ μερικὴν στερητικὴν καὶ δείξας ὅτι οὕτως ἐχουσῶν τῶν προτάσεων, ἐὰν ἐν τῷ ἐλάττονι ὅρῳ τεθῇ τὸ καθόλου κατηγορικὸν ἐν δὲ τῷ μείζονι τὸ μερικὸν ἀποφατικόν, γίνεται συλλογισμός, νῦν τὸ ἀνάπαλιν ὑποτίθεται ἐν μὲν τῷ μείζονι τὸ καθόλου κατηγορικόν, ἐν δὲ τῷ ἐλάττονι τὸ μερικὸν ἀποφατικόν, καὶ δείκνυσιν ἀσυλλόγιστον οὖσαν ταύτην τὴν συζυγίαν διὰ τὸ τὴν ἐλάττονα τὸ ἴδιον ἀπολωλεκέναι, λέγω δὴ τὸ καταφατικόν· συνάγει γὰρ καὶ παντὶ καὶ οὐδενί. καὶ τὸ μὲν παντὶ οὕτως· ἔμψυχον παντὶ ζῴῳ, ἄνθρωπος οὐ παντὶ ζῴῳ, καὶ συμπέρασμα ἔμψυχον παντὶ ἀνθρώπῳ.

p. 28b24 Τοῦ δὲ μηδενὶ οὐκ ἔστι λαβεῖν ὅρους, εἰ τινὶ μὲν ὑπάρχει τῷ Σ τὸ Ρ τινὶ δὲ μή.

Ἐάν, φησί, τὴν μερικὴν ἀποφατικὴν δι' ἑαυτὴν ἀληθεύουσαν λάβωμεν, ἰσοδυναμήσει τῇ μερικῇ καταφατικῇ, καὶ τὸ καθόλου ἀποφατικὸν ἀδύνατον διὰ τῶν τοιούτων ὅρων συναγαγεῖν. εἰ γάρ, φησί, τὸ μὲν Π παντὶ τῷ Σ ὑπάρχει τὸ δὲ Ρ μὴ παντί, εἶτα τοῦτο δι' ἑαυτὸ λάβωμεν ἀληθές, ἰσοδυναμήσει τῷ τινὶ καὶ ποιήσει συλλογιστικὴν συζυγίαν ὥστε συνάγεσθαι τὸ Π τινὶ τῷ Ρ ὑπάρχειν. εἰ τοίνυν καὶ τὸ μηδενὶ συνάγει διὰ τὴν ὑπόθεσιν, τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενί, ὅπερ ἄτοπον. δυνατὸν δὲ καὶ ἄλλως δεῖξαι. εἰ γὰρ δυνατόν, μηδενὶ τῷ Ρ ὑπαρχέτω τὸ Π· οὐκοῦν οὐδὲ

1 ὑπάρχειν pr. P 2 post παντὶ add. τῷ Vt 5 ὑπάρχηι P: ὑπάρχειν V 7 ὑπάρχει scripsi: ὑπάρχηι P: ὑπάρχειν Vt 8 ὁ om. V 10 post παντὶ add. τῷ Vt 11 post κατηγορικός add. ὁ δ' ἐλάττων μερικὸς στερητικός t (m, rec. AB) 12 προτάσεων t μερικῶν P 13 ὅτι om. V 15 μὲν om. P 18 δὴ Vt: δὲ P post καὶ add. τὸ Vt 19 post ζῴῳ add. καὶ P 21 τινὶ corr. V τὸ σ̄ τῶι P 24 ἰσοδυναμοῦσαν V τὸ Pt: μὴ τῇ V ἀποφατικὸν t: καταφατικὸν P: ἀποφατικῇ V post ἀδύνατον add. τὸ οὐδενὶ V 26 λάβωμεν δι' ἑαυτὸ Vt 26. 27 ἰσοδυναμεῖ V 27 τῷ scripsi: τὸ libri ποιεῖται P 28 συνάγειν P 29 μηδενὶ t 30 ἀδύνατον pr. P μηδὲν Vt τῶι ν̄ P τὸ superscr. P1 τὸ π' ὑπάρχει V: τὸ π' ὑπάρχειν t

τὸ Ρ οὐδενὶ τῷ Π· τὸ δὲ Π παντὶ τῷ Σ· τὸ ἄρα Ρ οὐδενὶ τῷ Σ. XXIXv
ἦν δὲ καὶ οὐ παντί, ταὐτὸν δὲ εἰπεῖν τινί· τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενί.
οὐκ ἄρα δυνατὸν τὸ μηδενὶ συναγαγεῖν, ἵνα διὰ τούτου δειχθῇ ἀσυλλόγιστος
ἡ συζυγία καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ συνάγουσα, ἐὰν ἡ μερικὴ ἀποφα-
5 τικὴ δι' ἑαυτὴν ληφθῇ ἀληθεύουσα. εἰ τοίνυν ἀσυλλόγιστος ὁ τρόπος ἔσται,
δεῖ τὴν μερικὴν ἀποφατικὴν ἐν τῷ ἐλάττονι ὅρῳ κειμένην οὕτω λαμβάνε-
σθαι ὡς διὰ τὴν καθόλου ἀληθεύουσαν, ἵνα καθόλου ἀποφατικὴ ληφθεῖσα 30
ἡ ἐλάττων πρότασις ἀσυλλόγιστον ἐργάσηται τὴν συζυγίαν.

p. 28b28 Ἀλλ' ὥσπερ ἐν τοῖς πρότερον ληπτέον· ἀδιορίστου γὰρ
10 ὄντος τοῦ τινὶ μὴ ὑπάρχειν καὶ τὸ μηδενὶ ὑπάρχον ἀληθὲς
εἰπεῖν τινὶ μὴ ὑπάρχειν· μηδενὶ δὲ ὑπάρχοντος οὐκ ἔσται
συλλογισμός.

Ὥσπερ πρότερον, φησίν, ἀδιόριστον τὴν μερικὴν ἀποφατικὴν λαμ-
βάνοντες, τουτέστιν ἄμφω σημαίνουσαν, καὶ τὸ καθόλου ἀποφατικὸν καὶ τὸ 35
15 μερικόν, ἐδείκνυμέν τινας ἀσυλλογίστους συζυγίας λαμβάνοντες τὴν μερικὴν
ἀποφατικὴν σημαίνουσαν τὸ καθόλου ἀποφατικόν, οὕτω καὶ ἐνταῦθα, ἐὰν
ὡσαύτως αὐτὴν ἐκδεξώμεθα ἐπὶ τῆς καθόλου ἀποφατικῆς, εὑρήσομεν αὐτὴν
ἀσυλλόγιστον· οὐδεμία γὰρ πρότασις ἐν τούτῳ τῷ σχήματι τὴν ἐλάττονα
ἀποφατικὴν ἔχουσα συλλογιστική ἐστι· συνάγει γὰρ καὶ τὸ παντὶ καὶ τὸ
20 μηδενί. καὶ τοῦ μὲν παντὶ παρεθήκαμεν ὅρους. τοῦ δὲ μηδενὶ νῦν παρα- 40
θησόμεθα, ὡς εἴρηται, εἰς τὴν καθόλου ἀποφατικὴν μεταλαμβάνοντες τὴν
μερικὴν ἀποφατικὴν οὕτως· ἔμψυχον παντὶ ζῴῳ, λίθος οὐ παντὶ ζῴῳ, καὶ
συμπέρασμα ἔμψυχον οὐδενὶ λίθῳ.

p. 28b31 Ἐὰν δὲ ὁ στερητικὸς ᾖ καθόλου, ὅταν μὲν ὁ μείζων ᾖ
25 στερητικὸς ὁ δὲ ἐλάττων κατηγορικός, ἔσται συλλογισμός.

Ἔκτος οὗτος τρόπος συλλογιστικὸς ἐν τούτῳ τῷ σχήματι, ἐκ καθόλου 46
ἀποφατικῆς τῆς μείζονος τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς μερικὸν
ἀποφατικὸν συνάγων συμπέρασμα. δείκνυται δὲ διὰ τῆς ἀντιστροφῆς τῆς
ἐλάττονος προτάσεως· οἷον τὸ Π οὐδενὶ τῷ Σ, τὸ Ρ τινὶ τῷ Σ ὑπαρχέτω·
30 οὐκοῦν καὶ τὸ Σ τινὶ τῷ Ρ. εἰ τοίνυν τὸ μὲν Π οὐδενὶ τῷ Σ τὸ δὲ Σ
τινὶ τῷ Ρ ὑπάρχει, τὸ Π οὐ παντὶ τῷ Ρ ὑπάρξει· γίνεται γὰρ ὁ τέταρτος 50
τρόπος τοῦ πρώτου σχήματος ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος τῆς δὲ
ἐλάττονος μερικῆς καταφατικῆς μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα.
εὐπορήσεις δὲ κἀνταῦθα ὑλῶν λαμβάνων δύο τινὰ παντάπασιν ἀλλήλοις

1 τῶ tert. Vt: τῶν P 3 τὸ μηδενὶ Vt: τῶι παντὶ P 5 διὰ τὴν P 8 ἀσυλλόγιστος pr. V 9 ληπτέον t Arist.: λεκτέον PV, at cf. vs. 13. 14 10 ὑπάρχειν (post μηδ.) V 11 γὰρ V ἔσται PV (Marc. 231): ἦν t Arist. 15 δείκνυμεν P 16 post καθόλου add. τὸ t 18 πρότερον V 20 νυνὶ t: κυνὶ V 21 καταφατικὴν P 26—28 ἐκ—ἀποφατικὸν] ἕκτον V 28 ἀποφατικὸν t: καταφατικὸν P 30 τῶ σ' τινὶ τὸ pr. V

ἀλλότρια καὶ ἕτερον ἀμφοτέροις ὑπάρχον ἐν μέρει καὶ τοῦτο μὲν ἐλάττονα ὅρον τιθείς, τῶν δὲ λοιπῶν τὸν μὲν μείζονα τὸν δὲ μέσον· οἷον ἄνθρωπος οὐδενὶ ἵππῳ, λευκὸν τινὶ ἵππῳ, καὶ συνάγεται 'ἄνθρωπος ἄρα οὐ παντὶ λευκῷ'. ἰστέον δὲ ὅτι τοῦτον τὸν τρό|πον οἱ περὶ Θεόφραστον XXXr
5 πέμπτον τάττουσι προτάττοντες αὐτὸν τοῦ προειρημένου, διότι οὗτος μὲν δι' ἀντιστροφῆς κατασκευάζεται, ἐκεῖνος δὲ διὰ μόνης τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ὁ δὲ Ἀριστοτέλης τὸν πέμπτον προέταξε διὰ τὴν εἰρημένην αἰτίαν.

Οὗτοι μὲν οὖν οἱ ἓξ τρόποι ἐν τῷ τρίτῳ σχήματι συλλογιστικοὶ προσ- 5
διωρισμένων οὐσῶν τῶν προτάσεων. ἐὰν ⟨δ' ἡ⟩ μὲν ᾖ προσδιωρισμένη ἡ δὲ
10 ἀπροσδιόριστος, γίνονται ἄλλαι τέσσαρες συζυγίαι συλλογιστικαί, τῆς ἀπροσδιορίστου δηλονότι τῇ μερικῇ ἰσοδυναμούσης. συντίθενται δὲ οὕτως· εἷς μὲν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς· εἰ τὸ Π κατὰ παντὸς τοῦ Σ, τὸ δὲ Ρ κατὰ τοῦ Σ, τὸ Π τῷ Ρ 10
ὑπάρξει· ἐπεὶ γὰρ ἀντιστρέφει τὸ κατηγορικόν, τὸ Σ τῷ Ρ ὑπάρξει, ὥστε
15 ἐπεὶ τὸ μὲν Π κατὰ παντὸς τοῦ Σ, τὸ δὲ Σ τῷ Ρ ὑπάρχει, τὸ Π τῷ Ρ ὑπάρξει. ἕτερος ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς καὶ τῆς ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς οὕτως· εἰ τὸ Π μηδενὶ τῷ Σ ὑπάρχει, τὸ δὲ Ρ ὑπάρχει τῷ Σ, ἀντιστρέψει καὶ τὸ Σ τῷ Ρ· ὥστε ἐπεὶ τὸ μὲν Π οὐδενὶ τῷ Σ, τὸ δὲ Σ τῷ Ρ ὑπάρχει, τὸ Π τῷ Ρ οὐχ ὑπάρξει. πάλιν ἕτερος
20 ἐκ τῆς μείζονος ἀδιορίστου καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου κατα- 15
φατικῆς οὕτως· εἰ τὸ Π τῷ Σ ὑπάρχει, τὸ δὲ Ρ παντὶ τῷ Σ, καὶ τὸ Σ τῷ Π κατὰ τὴν ἀντιστροφήν· ὥστε ἐπεὶ τὸ μὲν Ρ παντὶ τῷ Σ, τὸ δὲ Σ τῷ Π, τὸ Ρ τῷ Π ὑπάρξει, καὶ ἐπειδὴ ἀντιστρέφει τὸ κατηγορικόν, καὶ τὸ Π τῷ Ρ ὑπάρξει, ὅπερ ἔδει δεῖξαι. ὁ τέταρτος ἐκ τῆς μείζονος ἀδιο-
25 ρίστου ἀποφατικῆς καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς· οὗτος δὲ δι' ἀντιστροφῆς οὐ περαίνεται, εἴγε ἡ μερικὴ ἀποφατικὴ οὐκ ἀντιστρέφει (ταύτῃ γὰρ ἰσοδυναμεῖ ἡ ἀδιόριστος), ἡ δὲ καταφατικὴ πρὸς τὴν μερικὴν 20
ἀντιστρέφει, καὶ ἔσονται ἄμφω μερικαί, ἐξ ὧν οὐδέποτε συλλογισμὸς γίνεται. δειχθήσεται οὖν τῇ εἰς ἄτοπον ἀπαγωγῇ οὕτως· εἰ τὸ Π τῷ Σ οὐχ
30 ὑπάρχει, τὸ δὲ Ρ παντὶ ὑπάρχει, τὸ Π τῷ Ρ οὐχ ὑπάρξει· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντί· εἰ τοίνυν τὸ μὲν Π παντὶ τῷ Ρ, τὸ δὲ Ρ παντὶ τῷ Σ ὑπέκειτο, τὸ ἄρα Π παντὶ τῷ Σ ὑπάρξει· ὑπέκειτο δὲ καὶ μὴ ὑπάρχειν· τὸ αὐτὸ ἄρα καὶ παντὶ ὑπάρξει καὶ οὐχ ὑπάρξει, ὅπερ ἄτοπον. τὸ ἄτοπον διὰ τί ἠκολούθησε; διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ Π παντὶ τῷ Ρ 25

2 τῶν δὲ λοιπῶν e τὸν μὲν λοιπὸν corr. V τὸ—τὸ conicio cf. p. 103,21 μέσον Vt: ἐλάττονα P 3 οὐ superscr. V 6 τῆς ἀδυνάτου Vt 7 εἰρημένην] p. 105,30 sq. 8 ἐν τούτω τω Vt 9 δ' ἡ addidi προσδιωρισμένη ἡ scripsi: προσδιορισμός. εἰ libri 10 συλλογιστικαὶ συζυγίαι Vt 11 ἰσοδυναμούσηι P δὲ om. P ἐκ τοῦ P 12 καταφατικὸς P τῆς t: τοῦ PV 12. 13 ἀδιορίστου καταφατικοῦ P 15 τοῦ $\bar{\sigma}$ παντός P 16. 17 τῆς—ἀποφατικῆς—τῆς—καταφατικῆς t: τοῦ—ἀποφατικοῦ—τοῦ—(ἀδιορίστου P) καταφατικοῦ PV 17 ὑπάρχοι P itemque vs. 18 18 ἀντιστρέφει Vt μὲν om. P 20. 21 τῆς—καταφατικῆς τῆς—καταφατικῆς t: τοῦ—καταφατικοῦ τοῦ—καταφατικοῦ PV 22 τὸ alt. e τῶ corr. V 24 τῆς Pt: τοῦ V 25 ἀποφατικῆς—τῆς—καταφατικῆς t: ἀποφατικοῦ—τοῦ—καταφατικοῦ PV ante οὗτος add. οὕτως Vt 33 καὶ prius om. P 34 τῶ ρ' παντὶ V

ὑπάρχειν· ψεῦδος ἄρα τοῦτο. ἀληθὲς δὲ τὸ ἐξ ἀρχῆς τὸ μὴ ὑπάρχειν, XXXᵛ ὅπερ ἔδει δεῖξαι. εἰσὶν οὖν ἅπασαι συλλογιστικαὶ συζυγίαι ἐν τῷ τρίτῳ σχήματι δέκα κατὰ τὴν τάξιν τὴν ὑποκειμένην.

Αἱ ἐν τῷ τρίτῳ σχήματι συλλογιστικαὶ συζυγίαι εἰσὶ δέκα·

α′ ἐξ ἀμφοτέρων καθόλου καταφατικῶν.

β′ ἐξ ἀμφοτέρων καθόλου, τῆς μείζονος ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς.

γ′ ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς.

δ′ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς.

ε′ ἐκ μερικῆς ἀποφατικῆς τῆς μείζονος τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς.

ς′ ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς.

ζ′ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς.

η′ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς.

ϑ′ ἐκ τῆς μείζονος ἀπροσδιορίστου καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς.

ι′ ἐκ τῆς μείζονος ἀπροσδιορίστου ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς.

Τὰ δὲ περὶ τῶν ἀσυλλογίστων συζυγιῶν εἰρημένα, τῶν τε μερικῶν καὶ τῶν ἀπροσδιορίστων, δῆλά ἐστιν ἐκ τῶν εἰρημένων ἐν τοῖς ἄλλοις σχήμασι περὶ αὐτῶν· διὸ παραιτητέον τὰς ὑπολοίπους συζυγίας ἀσυλλογίστους πάσας οὔσας, ἵνα μὴ πολλάκις τὰ αὐτὰ λέγειν ἀναγκαζώμεθα. πλὴν ἐπειδή τινες τῶν ἐν αὐτοῖς παρειλημμένων ὅρων ἔχουσι βραχεῖαν ἐπίστασιν, ἐκείνων ἐπιμνησθῆναι εὔλογον.

p. 28ᵇ36 Ὅταν δὲ ὁ ἐλάττων ᾖ στερητικός, οὐκ ἔσται συλλογισμός. ὅροι τοῦ ὑπάρχειν ζῷον, ἄνθρωπος, ἄγριον, τοῦ δὲ μὴ ὑπάρχειν ζῷον, ἐπιστήμη, ἄγριον. |

Αὕτη ἀσυλλόγιστος, ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς τῆς δὲ XXXᵛ ἐλάττονος καθόλου ἀποφατικῆς. τὸ δὲ ἄγριον ἐν τούτοις οὐκ ἐπὶ τῶν ἀλόγων

2 ὥσπερ V an αἱ πᾶσαι? 5—23 om. V α′, β′, γ′ κτλ. om., α′ β′ inscr. συζυγία α′, γ′ δ′ inscr. συζυγία β′, ε′ ς′ inscr. συζυγία γ′, ζ′ η′ inscr. συζυγία δ′, ϑ′ ι′ inscr. συζυγία ε′ t 12 τῆς δὲ P: καὶ τῆς t 14. 15 τῆς δὲ—καταφατικῆς P: καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος t 16 ἀπροσδιορίστου t: ἀδιορίστου P itemque vs. 22 27 ἀναγκαζόμεθα (ζο in ras. e σω, ut videtur, corr. P²) Pt 28 ἐπίτασιν V 31 δὲ om. t Arist.

μόνων ζῴων τέτακται ἀλλὰ καὶ ἐπὶ φυτῶν· λέγονται γὰρ καὶ φυτὰ εἶναι XXXv
ἄγρια· "φηγοὶ δ' ἀγριάδες κείνης ἔτι σήματα μολπῆς" Ἀπολλώνιος. ζῷον
οὖν τινὶ ἀγρίῳ, οἷον λέοντι (φυτῷ γὰρ οὐχ ὑπάρχει), ἄνθρωπος οὐδενὶ
ἀγρίῳ, καὶ ζῷον παντὶ ἀνθρώπῳ.

5 p. 29a2 Ὅταν δὲ ὁ μείζων ἢ καθόλου, τοῦ μὲν μὴ ὑπάχειν κόραξ, 5
χιών, λευκόν.

Μέσος ἐν τούτοις τὸ λευκόν, μείζων ὁ κόραξ, ἐλάττων χιών· κόραξ 15
οὐδενὶ λευκῷ. χιὼν οὐ παντὶ λευκῷ, καὶ συνάγεται κόραξ οὐδεμιᾷ χιόνι.
τοῦ δὲ παντὶ ὑπάρχειν ὅρους μὲν λαβεῖν οὐκ ἔστιν· ἡ δὲ δεῖξις πάλιν διὰ
10 τοῦ ἀδιορίστου, ὥσπερ καὶ πρότερον. τὰ δὲ περὶ τῶν λοιπῶν ἀσυλλογίστων
συζυγιῶν λεγόμενα δῆλά ἐστιν.

p. 29a19 Δῆλον δὲ καὶ ὅτι ἐν ἅπασι τοῖς σχήμασιν, ὅταν μὴ
γίνηται συλλογισμός, κατηγορικῶν μὲν ἢ στερητικῶν ἀμφο-
τέρων καὶ ἐπὶ μέρους τῶν ὅρων ὄντων, οὐδὲν ὅλως γίνεται
15 ἀναγκαῖον.

Ὁ περὶ τῶν τριῶν σχημάτων αὐτῷ λόγος πέρας ἀπείληφεν. ἐνταῦθα
δὲ παραδίδωσι θεώρημά τι τοῖς τρισὶν ἑπόμενον σχήμασι· τρέπεται γὰρ 25
ἐπὶ τὴν τῶν ἐν τοῖς τρισὶ σχήμασιν ἀσυλλογίστων συζυγιῶν ἐξέτασιν, καὶ
διορίζει τάς τε παντελῶς ἀχρήστους συζυγίας καὶ τὰς ἐν μὲν τῇ παρούσῃ
20 συνθέσει ἀσυλλογίστους δυναμένας δὲ θεραπείας τινὸς ἀξιωθῆναι καὶ δι'
ἀντιστροφῆς τινων ἄλλων γενέσθαι συλλογιστικάς. λέγει οὖν ὅτι ἐν πᾶσι
κοινῶς τοῖς σχήμασι, ὅσαι ἀσυλλόγιστοι γίνονται συζυγίαι ἢ ἐξ ὁμοιοσχη-
μόνων προτάσεων ἢ ἐκ μερικῶν, οὔτε πρὸς τὴν παροῦσαν σύνθεσιν χρη-
σιμεύουσιν οὔτε ἀντιστραφεῖσαι ποιοῦσι συλλογισμόν, ἀλλὰ παντελῶς 30
25 εἰσιν ἄχρηστοι. ὅσαι δὲ ἀνομοιοσχήμονές τέ εἰσι καὶ τὴν ἀποφατικὴν
ἔχουσι καθόλου, αὗται διὰ τῆς ἀντιστροφῆς οὐκέτι μὲν τὸ αὐτὸ δεικνύουσιν,
ἀνάπαλιν δὲ τὸν ἐλάττονα ὅρον πρὸς τὸν μείζονα συνάγουσιν, οἷον ἡ πρώτη
ἀσυλλόγιστος ἐν τῷ πρώτῳ σχήματι ἐκ καθόλου καταφατικῆς τῆς μείζονος καὶ
καθόλου ἀποφατικῆς τῆς ἐλάττονος· εἰ τὸ Α παντὶ τῷ Β, τὸ δὲ Β οὐδενὶ
30 τῷ Γ. οὕτω μὲν οὖν ἀσυλλόγιστος. εἰ δὲ ἀντιστρέψωμεν τὰς δύο προ-

1 μόνον t ζῶον V φυτὰ Pt: ἐπὶ φυτῶν V 2 ἄγρια om. V fort. ⟨φησὶ γὰρ⟩ φηγοὶ κείνης ἔτι σήματα (ex Argon. I 28) b: κεινῆσαι (κινῆσαί t: σινῆσαι, σ prius supra ι scr. V) τις ἤματα PVt ἀπόλλων, ο in ras. ex. ω corr. P 5 ἢ καθόλου PVt(Cu): om. Arist. post καθόλου add. ὁ δὲ ἐλάττων ἐν μέρει t 7 μέσον Vt τὸ om. P μείζον V ἔλαττον Vt 8 συνάξεις P 10 πρότερον] p. 28b28 sq. 12 καὶ ὅτι t Arist.: ὅτι καὶ PV(C) 13 γένηται PV(dm) 14 ἐπὶ μέρη t: om. Arist. (sed ἐπὶ μέρους habent C f m Marc. 231) ὄντων τῶν ὅρων t Arist. post γίνεται add. τὸ V 18 τὴν om. V 19 μὲν ἐν Vt 21 λέγει οὖν ὅτι om. V ὅτι superscr. P 22 ὅσοι V 23 πρὸς τὴν e πρώτην corr. P² 24 συλλογιστικούς V post ἀλλὰ add. πάντη Vt 25 ὅσοι V 26 διὰν sic V μέντοι τὸ V δεικνύουσιν] ου superscr. P² 28 τῷ om. Vt 29 οὐδενὶ Pt: οὐ παντὶ V 30 οὖν ὁ συλλογισμός V ἀντιστρέψομεν V

τάσεις κατὰ τὰς οἰκείας ἀντιστροφάς, συνάγεται τὸ Γ μὴ παντὶ τῷ Α XXXᵛ ὑπάρχειν. εἰ γὰρ τὸ Β οὐδενὶ τῷ Γ, καὶ τὸ Γ οὐδενὶ τῷ Β, καὶ εἰ τὸ Α παντὶ τῷ Β, καὶ τὸ Β τινὶ τῷ Α· ἀρξάμενος οὖν ἀπὸ τῆς ἐλάττονος προτάσεως καὶ συνθεὶς λέγω οὕτως· τὸ Γ οὐδενὶ τῷ Β, τὸ Β τινὶ τῷ Α· γίνεται γὰρ ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. οὕτως οὖν τὸ μὲν αὐτὸ οὐκέτι ἔδειξε, συλλογιστικὴ δὲ δυναμένη [μὴ] εἶναι ἐφάνη. οὕτω μὲν οὖν ἐν μὲν τῷ πρώτῳ σχήματι τὰς δύο προτάσεις δεῖ ἀντιστρέφειν, ἐν δὲ τῷ δευτέρῳ τὴν ἐλάττονα, ἐν δὲ τῷ τρίτῳ τὴν μείζονα. εἰσὶ μὲν οὖν ἐν μὲν τῷ πρώτῳ σχήματι οἱ τοῦτον τὸν τρόπον δυνάμενοι εἶναι συλλογιστικοὶ δύο, ὅ τε προειρημένος καὶ ἕτερος ὁ ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς καὶ τῆς ἐλάττονος καθόλου ἀποφατικῆς· ὁμοίως γὰρ καὶ τούτων ἀντιστραφεισῶν τὸ ἔλαττον τῷ μείζονι συνάπτεται. ἐν δὲ τῷ δευτέρῳ σχήματι ὁμοίως ὁ ἐκ μερικῆς καταφατικῆς τῆς μείζονος καὶ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος. καὶ ἐν τῷ τρίτῳ σχήματι ὁμοίως αἱ δύο συμπλοκαί, ὧν ἡ μὲν ἐκ δύο καθόλου τῶν ὅρων σύγκειται, ὧν ὁ ἐλάττων ἀποφατικός, ἡ δὲ ἐκ μερικοῦ καὶ καθόλου, ὧν ὁ μὲν μείζων μερικὸς καταφατικὸς ὁ δὲ ἐλάττων καθόλου ἀποφατικός. ἅπασαι οὖν αὗται αἱ συμπλοκαὶ κατὰ τοὺς δύο ὅρους ἀντιστραφεῖσαι δεικνύουσι τινὶ μὴ ὑπάρχειν τὸ ἔλαττον τῷ μείζονι, ὅ ἐστι μερικὸν ἀποφατικὸν συμπέρασμα. αὐτὸς δὲ μόνην τὴν πρώτην ἔταξεν ὡς ἐν παραδείγματι.

p. 29ᵃ27 Δῆλον δὲ καὶ ὅτι τὸ ἀδιόριστον ἀντὶ τοῦ κατηγορικοῦ τοῦ ἐν μέρει τιθέμενον τὸν αὐτὸν ποιήσει συλλογισμὸν ἐν ἅπασι τοῖς σχήμασιν.

Εἰκότως· ἰσοδυναμεῖ γὰρ τῇ μερικῇ καταφατικῇ, ὥστε καὶ ἀσυλλόγιστοι αἱ ἐκ τῆς ἑτέρας ἀπροσδιορίστου, ἐὰν οὕτως ὦσι κείμεναι ὥσπερ εἴρηται. εἰ δὲ ἀντὶ τοῦ ἐν μέρει τὸ ἀδιόριστον, καὶ αὗται διὰ τῶν ἀντιστροφῶν συνάξουσιν ἀπροσδιόριστον ἀποφατικὸν συμπέρασμα. ἄξιον δὲ ἀπορίας, εἰ αἱ ἀπροσδιόριστοι προτάσεις ἰσοδυναμοῦσι ταῖς μερικαῖς, αἱ μὲν καταφατικαὶ ταῖς καταφατικαῖς, αἱ δὲ ἀποφα|τικαὶ ταῖς ἀποφατικαῖς, γίνονται XXXIʳ δὲ συλλογιστικαὶ συζυγίαι ἔχουσαι τὴν ἑτέραν τῶν προτάσεων μερικὴν ἀποφατικήν, ὥσπερ ἐν τῷ τετάρτῳ τρόπῳ τοῦ δευτέρου σχήματος καὶ ἐν τῷ πέμπτῳ τοῦ τρίτου, διὰ τί εἰπὼν ὅτι 'τὸ ἀδιόριστον ἐὰν ἀντὶ τοῦ μερικοῦ ληφθῇ' τοῦ κατηγορικοῦ μόνου φησίν, οὐκέτι δὲ καὶ τοῦ ἀποφατικοῦ. φημὶ οὖν ὅτι ἤτοι διὰ τοῦ κατηγορικοῦ καὶ τὸ ἀποφατικὸν ἐδήλωσεν, ἢ ὅτι ἐν

2 ὑπάρχει V 3 καὶ—ᾱ Pt: τὸ δὲ β' τῶ γ' οὐδενὶ V 4 τὸ μὲν γ' τῶ β' οὐδενί, τὸ δὲ β' τῶ α' τινί V τῷ α ⟨, καὶ τὸ γ̄ οὐ παντὶ τῷ α⟩ conicio 7 μὴ delevi alt. V 10 ὅ τε Vt: ὅτε ὁ P post καὶ eras. ὁ P 11 ὁ om. P 11. 12 καταφατικῆς V 13 post ἐκ add. καθόλου ἢ Pt 14 post καὶ alt. add. αἱ P 16 καθολικοῦ (ante ὧν) P 18 κατὰ τὰς V 19 δείκνυσι P 19. 20 post ἀποφατικὸν add. συνάγων t 20 ἔδειξεν V 21 τὸ om. V 22 πᾶσι V 25 post ἐὰν add. οὖν P 26. 27 τῆς ἀντιστροφῆς V 29 οἱ δὲ ἀποφατικοὶ V 30 post συζυγίαι superscr. [illegible] postea del. V ἑτέραν πρότασιν V 32 τὸ om. Vt 33 οὐκ ἔστι V

τῷ πρώτῳ σχήματι ὅλως οὐκ ἐνδέχεται μερικὴν ἀποφατικὴν παρα- XXXIr
λληφθῆναι πρότασιν· ὅθεν οὐδὲ ἐν τοῖς λοιποῖς σχήμασιν αἱ ἔχουσαι τὸ 5
μερικὸν ἀποφατικὸν δι' ἀντιστροφῆς δειχθῆναι ἠδύναντο ἀλλὰ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ.

5 p. 29a30 Φανερὸν δὲ καὶ ὅτι πάντες οἱ ἀτελεῖς συλλογισμοὶ τελειοῦνται διὰ τοῦ πρώτου σχήματος· ἢ γὰρ δεικτικῶς ἢ διὰ τοῦ ἀδυνάτου περαίνονται πάντες.

Ἐξυμνῆσαι τὸ πρῶτον σχῆμα βούλεται, διότι δι' αὐτοῦ τὰ λοιπὰ σχήματα τὸ τέλειον ἴσχει· οἱ μὲν γὰρ ἐν τῷ δευτέρῳ σχήματι τελειοῦνται 15
10 ἀντιστραφείσης τῆς μείζονος τῆς καθόλου ἀποφατικῆς καὶ ποιούσης τὸ πρῶτον σχῆμα, οἱ δὲ ἐν τῷ τρίτῳ τῆς ἐλάττονος ἀντιστρεφομένης τῆς καταφατικῆς. ὅτι δὲ καὶ ἡ εἰς ἀδύνατον ἀπαγωγὴ διὰ τοῦ πρώτου σχήματος τελειοῖ τὸν συλλογισμόν, δείκνυσιν αὐτὸς ἐπάγων παραδείγματα τοῦ τρίτου σχήματος.

p. 29b1 Ἔστι δὲ καὶ ἀναγαγεῖν πάντας τοὺς συλλογισμοὺς εἰς
15 τοὺς ἐν τῷ πρώτῳ σχήματι καθόλου συλλογισμούς.

Πρὸ μὲν οὖν τούτων ἐδείκνυε τοὺς ἐν τῷ πρώτῳ σχήματι συλλογισμοὺς 20
πάντας πάντων τῶν ἄλλων τελειοτέρους. νῦν δὲ δείκνυσι τοὺς δύο τοὺς πρώτους καὶ τῶν λοιπῶν τῶν ἐν τῷ αὐτῷ σχήματι τελειοτέρους ἐξυμνῶν αὐτοὺς ὡς εἰς ἀπόδειξιν χρησίμους διὰ τὸ καθόλου· τούτοις γὰρ ὁ ἀπο-
20 δεικτικὸς κέχρηται, μᾶλλον δὲ τῷ καταφατικῷ, σπανίως δὲ καὶ τῷ ἀποφατικῷ, διότι κατασκευάζει μὲν ὡς ἐπὶ τὸ πολὺ ὁ ἀποδεικτικός, σπανίως δὲ καὶ ἀνασκευαῖς κέχρηται.

p. 29b2 Οἱ μὲν γὰρ ἐν τῷ δευτέρῳ φανερὸν ὅτι δι' ἐκείνων τελει- 25
οῦνται, πλὴν οὐχ ὁμοίως πάντες, ἀλλ' οἱ μὲν καθόλου τοῦ στε-
25 ρητικοῦ ἀντιστραφέντος, τῶν δ' ἐν μέρει ἑκάτερος διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς.

Ἑκάτερος γὰρ τῶν ἐν τῷ δευτέρῳ σχήματι πρώτων καθόλου δύο τρόπων ἀντιστραφείσης τῆς ἀποφατικῆς προτάσεως συνετίθετο τῇ τάξει τοῦ δευτέρου τρόπου τοῦ πρώτου σχήματος. ἐλέγομεν γὰρ οὕτως· τὸ Μ μηδενὶ
30 τῷ Ν ὑπαρχέτω, τῷ δὲ Ξ παντί· εἰ δὲ τὸ Μ τῷ Ν οὐδενὶ ὑπάρχει, καὶ τὸ Ν οὐδενὶ τῷ Μ· καὶ ἐντεῦθεν ἐγίνετο σύνθεσις κατὰ τὸν δεύτερον τρόπον 30

1 μερικῶν ἀποφατικῶν P 1. 2 παραληφθῆναι scripsi: περιληφθῆναι libri 2 ὅθεν Pt: ὥσπερ V σχήμασιν PV: σχολίοις t αἱ om. Pt 5 πάντες om. P 7 ἅπαντες t 10 μείζονος τῆς om. V καταφατικῆς t ποιοῦσιν P 11 ἐν τῷ Pt: τὸ V post τρίτῳ add. σχήματι P 12 ἡ superscr. V ἐπαγωγὴ P 13 δείκνυσιν om. Vt ἐπάγει Vt ante παραδ. add. τὰ V 16 τῷ om. t 18 πρώτου P post τῶν alt. add. μὲν P τῷ αὐτῷ scripsi: inv. ord. libri 19 χρησιμοτέρους V 20 καὶ om. V 22 καὶ om. V 23. 24 τελειοῦντα P 25 ἀντιστραφέντος V Arist.: ἀντιστρέφοντος Pt

τοῦ πρώτου σχήματος· τὸ N οὐδενὶ τῷ M, τὸ M παντὶ τῷ Ξ, τὸ N XXXIr
οὐδενὶ τῷ Ξ. ὁμοίως καὶ ὁ δεύτερος τρόπος ἀνήγετο εἰς τὸν δεύτερον τοῦ πρώτου σχήματος διὰ δύο ἀντιστροφῶν. οὕτω μὲν οὖν οἱ καθόλου διὰ τῆς ἀντιστροφῆς. οἱ δὲ δύο οἱ μερικοὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἀνήγοντο καὶ αὐτοὶ εἰς τὸ πρῶτον σχῆμα λαμβανομένων τῶν ἀντιφατικῶς ἀντικειμένων καὶ διὰ τοῦ πρώτου σχήματος ἀδυνάτων δεικνυμένων· οὔτε γὰρ ἡ καθόλου καταφατικὴ ἀντεστρέφετο, ἐπεὶ ἀσυλλόγιστον ἐποίει τὴν συζυγίαν πρὸς τὴν μερικὴν ἀντιστρέφουσα, οὔτε ἡ μερικὴ ἀποφατικὴ ὅλως ἀντέστρεφεν. διὸ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἀνάγονται καὶ οὗτοι ἐπὶ τοὺς ἐν τῷ πρώτῳ σχήματι καθόλου· εἰ γὰρ τὸ M τῷ μὲν N παντὶ τῷ δὲ Ξ μὴ παντί, ἀνάγκη τὸ N μὴ παντὶ τῷ Ξ· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντί· εἰ τοίνυν τὸ M τῷ N παντί, ὑπέκειτο δὲ καὶ τὸ N τῷ Ξ παντί, τὸ ἄρα M τῷ Ξ παντί· γίνεται γὰρ ὁ πρῶτος τρόπος τοῦ πρώτου σχήματος· ὑπέκειτο δὲ καὶ μὴ παντί· τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ μὴ παντί, ὅπερ ἄτοπον. οὕτω μὲν οὖν ὁ τέταρτος τοῦ δευτέρου εἰς τὸν πρῶτον τοῦ πρώτου ἀνήγετο σχήματος. ὁ δὲ τρίτος ἐν δευτέρῳ ἐδείκνυτο μὲν καὶ δι' ἀντιστροφῆς καὶ διὰ τοῦτο ἀνήγετο εἰς τὸ πρῶτον σχῆμα, ἀλλ' οὐκ εἰς τοὺς καθόλου ἀλλ' εἰς τοὺς μερικούς. διὰ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ οὗτος εἰς τὸν δεύτερον καθόλου τοῦ πρώτου ἀνάγεται σχήματος οὕτως· τὸ M μηδενὶ τῷ N, τῷ δὲ Ξ τινὶ ὑπαρχέτω· λέγω ὅτι τὸ N οὐ παντὶ τῷ Ξ ὑπάρχει· εἰ γὰρ παντὶ εἴποις, τὸ μὲν M οὐδενὶ τῷ N, τὸ δὲ N παντὶ τῷ Ξ· τὸ ἄρα M οὐδενὶ τῷ Ξ· ὑπέκειτο δὲ καὶ τινί, ὅπερ ἄτοπον· γέγονε γὰρ πάλιν ὁ δεύτερος τρόπος τοῦ πρώτου σχήματος.

p. 29b6 Οἱ δ' ἐν τῷ πρώτῳ οἱ κατὰ μέρος ἐπιτελοῦνται μὲν καὶ δι' ἑαυτῶν, ἔστι δὲ καὶ διὰ τοῦ δευτέρου σχήματος δεικνύναι εἰς ἀδύνατον ἀπάγοντας. |

Δείξας τοὺς ἐν τῷ δευτέρῳ σχήματι ἀναγομένους εἰς τοὺς ἐν τῷ XXXIv
πρώτῳ καθόλου νῦν βούλεται δεῖξαι ὅτι καὶ οἱ ἐν τῷ πρώτῳ σχήματι μερικοὶ συλλογισμοὶ καὶ αὐτοὶ ὑπὸ τοὺς καθόλου ἀνάγονται, οὐκ αὐτόθεν οὐδὲ δι' ἑαυτῶν ἀλλὰ τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἀναφερόμενοι ἐπὶ τοὺς καθόλου τοῦ δευτέρου σχήματος καὶ δι' ἐκείνου ἐπὶ τοὺς καθόλου τοὺς ἐν τῷ πρώτῳ σχήματι. τοῦτο δὲ οὐχ ὡς ἀτελεῖς· δείκνυνται γὰρ καὶ δι' ἑαυτῶν δεικτικῶς συλλογιστικοὶ ὄντες· δείκνυνται δὲ καὶ τῇ εἰς

2 τὸν P: τὸ Vt τοῦ P: τὸ Vt 4 οἱ alt. om. V ἀνοίγοντο pr. V 5 ἀντιφατικῶς om. V 6 ἀδυνάτων scripsi: δυνατῶν libri 8 διὸ—10 καθόλου om. V 10 τὸ e τοῦ corr. V 12 παντὶ τῶ ν' V ὑπόκειται (ο ex ε corr.) V 15 ἀνοίγετο pr. V 16 σχήματι pr. V, corr., ut videtur, V² ἐνδείκνυτο V 17 τούτου Vt cf. p. 117,12 συνήγετο t οὐχ pr. V 20 τῶ prius e τὸ corr. V 21 εἴπει P: εἴποι t μ alt. corr. V: ν Pt, pr. V 22 τῷ ξ om. P 24 post πρώτῳ add. σχήματι V (Marc. 234) ἐπιτελειοῦνται t 25 δι' ἑαυτῶν t: διὰ τούτων PV: δι' αὐτῶν Arist. 26 post εἰς add. τὸ V ἀπάγοντας t Arist.: ἀπάγοντος P: ἄγοντας V 28 post πρώτῳ prius add. σχήματι Vt 29 μερικὸς συλλογισμὸς pr. V, corr. V² 31 καὶ om. V

ἄτοπον ἀπαγωγῇ ἐπὶ τὸ δεύτερον ἀναγόμενοι σχῆμα καὶ δι' ἐκείνου ἐπὶ XXXI v
τοὺς ἐν τῷ πρώτῳ σχήματι καθόλου. ὁ μὲν οὖν πρότερος αὐτῶν ἐκ καθόλου καταφατικῆς τῆς μείζονος τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς συνάγει μὲν τῇ κατ' εὐθεῖαν δείξει μερικὸν καταφατικὸν οὕτως· τὸ Α παντὶ τῷ Β, τὸ Β τινὶ τῷ Γ, καὶ τὸ Α τινὶ τῷ Γ. συνάγεται δὲ καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ οὕτως· εἰ γὰρ ψεῦδος τὸ τινί, ἀληθὲς τὸ μηδενὶ τῷ Γ τὸ Α· τῷ δὲ Β παντὶ ὑπῆρχεν· γίνεται οὖν τοῦ δευτέρου σχήματος ὁ πρῶτος τρόπος, ὥστε καὶ τὸ Β οὐδενὶ τῷ Γ ὑπάρξει· ὑπέκειτο δὲ καὶ τινί, ὅπερ ἀδύνατον. ὥστε ἐδείχθη καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ διὰ τοῦ δευτέρου σχήματος· τὸ δὲ δεύτερον σχῆμα ἀνήγετο ὑπὸ τοὺς ἐν τῷ πρώτῳ καθόλου· καὶ οἱ ἐν τῷ πρώτῳ ἄρα μερικοὶ ὑπὸ τοὺς ἐν τῷ αὐτῷ σχήματι καθόλου ἀνάγονται διὰ τοῦ δευτέρου. ὡσαύτως δὲ καὶ ὁ ἕτερος τοῦ πρώτου σχήματος μερικὸς εἰς τοὺς καθόλου ἀναχθήσεται. εἰ γὰρ τὸ Α οὐδενὶ τῷ Β, τὸ δὲ Β τινὶ τῷ Γ, τὸ Α ἄρα οὐ παντὶ τῷ Γ· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντὶ τῷ Γ τὸ Α· εἰ τοίνυν τὸ Α τῷ μὲν Β μηδενὶ τῷ δὲ Γ παντί, γίνεται πάλιν τὸ δεύτερον σχῆμα· τὸ Β ἄρα οὐδενὶ τῷ Γ· ἀλλ' ὑπέκειτο τινί. καὶ οὗτος ἄρα διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς εἰς τὸ δεύτερον ἀνήχθη σχῆμα, τοῦτο δὲ εἰς τοὺς ἐν τῷ πρώτῳ καθόλου. οὕτως ἄρα καὶ οἱ ἐν πρώτῳ μερικοὶ ὑπὸ τοὺς καθόλου ἀνάγονται.

p. 29b19 Οἱ δὲ ἐν τῷ τρίτῳ καθόλου μὲν ὄντων τῶν ὅρων εὐθὺς ἐπιτελοῦνται δι' ἐκείνων τῶν συλλογισμῶν.

Δείξας ἀμφότερα τὰ σχήματα ὑπὸ τοὺς ἐν τῷ πρώτῳ καθόλου ἀναγόμενα ἑξῆς πειρᾶται καὶ τοὺς ἐξ τοὺς ἐν τῷ τρίτῳ σχήματι συλλογισμοὺς ὑπ' ἐκείνους δεῖξαι. καὶ λέγει ὅτι οἱ μὲν δύο οἱ ἐκ καθόλου τῶν ὅρων ὄντες εὐθὺς ἀνάγονται. τὸ δὲ εὐθὺς οὐχ ὅτι καὶ αὐτοὶ τέλειοι ὡς ἐκεῖνοι, ἀλλ' ὅτι τῇ εἰς ἀδύνατον ἀπαγωγῇ οὐ δι' ἄλλων πρῶτον περανθέντες δι' ἐκείνων εἰς τοὺς ἐν πρώτῳ καθόλου ἀνάγονται, ὥσπερ οἱ μερικοὶ τοῦ πρώτου σχήματος τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἐπὶ τὸ δεύτερον σχῆμα καὶ δι' ἐκείνου εἰς τοὺς καθόλου ἀνήγοντο, ἀλλὰ ἀμέσως δι' αὐτῶν περαίνονται. ἐπειδὴ γὰρ ὁ μὲν καταφατικὸν ὁ δὲ ἀποφατικὸν ἐπὶ μέρους συνάγουσι, δῆλον ὅτι, ἡνίκα ἂν τὰ ἀντικείμενα τούτοις λαμβάνοιτο, τῷ μὲν ἐπὶ μέρους καταφατικῷ τὸ καθόλου ἀποφατικὸν ἀντίκειται, τῷ δὲ ἐπὶ μέρους ἀποφατικῷ τὸ καθόλου καταφατικόν· ὥστε ἐπεὶ ἐν ἀμφοῖν οἱ δύο ὅροι καθόλου εὑρίσκονται. παρακολουθήσει συμπέρασμα τῷ μὲν πρώτῳ καθόλου ἀποφατικόν, τῷ δὲ δευτέρῳ καθόλου καταφατικόν, ἅπερ ποιεῖ

1 τοῦ δευτέρου P 5 καὶ prius om. V 6 τὸ (ante τινί) om. P 7 τὸ γ' τῷ V ὑπάρχει V 8 ὁ δεύτερος supra ὁ πρῶτος del. scr. V 8. 9 καὶ τινὶ superscr. V 10 δὲ superscr. V 14 ἄρα α' t 16 γ' V: ā Pt 17 ἄτοπον Vt 19 post ἐν add. τῷ V 22 πρώτῳ om. V 25 ὄντων t, mrg. P¹ 26 οὐδ' ἄλλων V πρώτων P 26. 27 πειρασθέντες P: περανθέντα t 27 post ἐν add. τῷ V 28 ἐπὶ corr. ex ἐπι οὖν P: ἐποίουν Vt 29. 30 περαίνονται scripsi: περαιοῦνται libri 31 τούτοις P: τοῦ γ' Vt 32 ἀποφατικὸν] ἀπο in ras. P 34 τὸ μὲν πρῶτον P

τοὺς δύο καθόλου ἐν πρώτῳ σχήματι. ὥστε δῆλον ὅτι οὗτοι ἀμέσως XXXIv
ὑπ' ἐκείνων γεγόνασιν.

p. 29ᵇ21 Ὅταν δ' ἐν μέρει ληφθῶσι, διὰ τῶν ἐν μέρει συλλογισμῶν τῶν ἐν τῷ πρώτῳ σχήματι· οὗτοι δὲ ἀνήχθησαν εἰς ἐκείνους, ὥστε καὶ οἱ ἐν τῷ τρίτῳ σχήματι οἱ κατὰ μέρος.

Οἱ μὲν οὖν καθόλου, φησίν, ἐν τῷ τρίτῳ σχήματι αὐτόθεν εἰς τὸ πρῶτον ἀνάγονται σχῆμα διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς. οἱ δὲ ἐν μέρει οὐχ οὕτως, ἀλλ' ἐπειδὴ καὶ ἡ ἀντιστροφὴ τούτων καὶ ἡ εἰς ἀδύνατον ἀπαγωγὴ διὰ τῶν μερικῶν τῶν ἐν τῷ πρώτῳ ἐπιτελεῖται, οὗτοι δὲ ἀνήγοντο εἰς τοὺς καθόλου τοῦ ἰδίου σχήματος διὰ τοῦ δευτέρου, δῆλον ὅτι καὶ οἱ ἐν τῷ τρίτῳ μερικοὶ ἀναχθήσονται ὑπὸ τοὺς ἐν τῷ πρώτῳ καθόλου διὰ τῶν ἐν πρώτῳ μερικῶν καὶ δι' ἐκείνους διὰ τοῦ δευτέρου σχήματος. παραδείγματος δὲ χάριν ὑποκείσθω ἡμῖν ὁ ἐκ δύο καταφατικῶν μερικός· τὸ γὰρ Α παντὶ τῷ Β, τὸ δὲ Γ τινὶ τῷ Β, καὶ τὸ συμπέρασμα τὸ Α τινὶ τῷ Γ. εἰ γὰρ τὸ Γ τινὶ τῷ Β, καὶ τὸ Β τινὶ τῷ Γ· εἰ τοίνυν τὸ Α παντὶ τῷ Β, τὸ δὲ Β τινὶ τῷ Γ, δῆλον ὅτι γέγονεν ὁ μερικὸς τοῦ πρώτου σχήματος. ὡσαύτως εἰς τὸν μερικὸν ἀνάγεται καὶ διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς· εἰ γὰρ ψεῦδος τὸ τινὶ τῷ Γ τὸ Α, ἀληθὲς τὸ οὐδενί· εἰ τοίνυν τὸ Α οὐδενὶ τῷ Γ, τὸ δὲ Γ τινὶ τῷ Β, γέγονε πάλιν ὁ μερικὸς τοῦ πρώτου σχήματος. οὗτοι δὲ εἰς τοὺς καθόλου ἀνήγοντο διὰ τοῦ δευτέρου σχήματος· οὐκοῦν καὶ οἱ τοῦ τρίτου μερικοὶ διὰ τούτων εἰς τοὺς καθόλου τοῦ πρώτου ἀναχθήσονται.

p. 29ᵇ26 Οἱ μὲν οὖν τῶν συλλογισμῶν ὑπάρχειν ἢ μὴ ὑπάρχειν δεικνύντες εἴρηνται πῶς ἔχουσι, καὶ καθ' ἑαυτοὺς οἱ ἐκ τοῦ αὐτοῦ σχήματος καὶ πρὸς ἀλλήλους οἱ ἐκ τῶν ἑτέρων.

Τριῶν ὄντων τῶν τρόπων, ἀναγκαίου τε καὶ ὑπάρχοντος καὶ ἐνδεχομένου, συμπεραίνων τὰ εἰρημένα ὥσπερ ὑπομιμνήσκει ἡμᾶς, ὅτι περὶ τοῦ ὑπάρχοντος τρεῖς πάντες οἱ ἐκτεθέντες συλλογισμοί, μέλλων [ἀλλ'] ἐπὶ τοὺς ἀναγκαίους μεταβαίνειν. εἴρηται οὖν, φησί, καὶ ἰδίᾳ ἕκαστον τῶν σχημάτων πῶς ἔχει, οἷον ὅτι οὐ δι' ἀντιστροφῆς οἱ ἐν τῷ πρώτῳ δείκνυνται,

2 ἐπ' Pt ἐκείνου P 3 τῶν ἐν μέσω V 5 οἱ prius P Arist.: τῶν Vt 6 αὐτόθι V 7 δεύτερον V 9 ἀνοίγοντο pr. V 12 ἐν πρώτοις P ἐκείνων Vt cf. p. 115,17 13 μερικῶν t post μερικός add. ἐν τρίτω σχήματι mrg. V 14 δὲ om. P 15 καὶ om. P παντὶ τὸ α P 19 γ' alt. corr. V: β' Pt, pr. V β' corr. V: α' Pt, pr. V πάλιν] λ e σ corr. V 20 τὸ β' σχῆμα, om. διὰ V 24 εἴρηνται] ν superscr. V καὶ om. P 25 αὐτοῦ t Arist.: πρώτου P: α' V post ἑτέρων add. σχημάτων t Arist. (om. d) 26 τῶν superscr. P¹ 28 οἱ συλλογισμοὶ οἱ ἐκτεθέντες V μέλλων — 29 μεταβαίνειν scripsi: μᾶλλον ἀλλ' — μεταβαίνει (μετα in ras., ut videtur, P²) libri 29 φησί om. V ἑκάστου P

οἱ δὲ ἐν τῷ δευτέρῳ διὰ τοῦ ἀδυνάτου καὶ δι' ἀντιστροφῆς, οἱ δὲ ἐν τῷ XXXIᵛ τρίτῳ διά τε τούτων καὶ δι' ἐκθέσεως, καὶ ποῖα ἕκαστον συνάγει συμπεράσματα, καὶ εἴ τι ἄλλο ἴδιον ἔχουσιν. εἴρηται δὲ καὶ ὅπως ἔχουσι πρὸς ἀλλήλους οἱ ἐκ τῶν τριῶν σχημάτων, τουτέστιν ὅσα αὐτοῖς κοινὰ ὑπάρχει ἢ οὐχ ὑπάρχει. |

1 τοῦ om. V 2 δι' Pt: τῆς V 2. 3 καὶ ποῖα—συμπεράσματα huc transposui: ante 1 οἱ δὲ ἐν τῷ δευτέρῳ collocant libri ἕκαστον corr. P¹: ἕκαστος Vt, pr. P 5 τῶν εἰς τὰ τρία τὸ πρῶτον ἰωάννου γραμματικοῦ ἀλεξανδρέως ἐκ τῶν συνουσιῶν ἀμμωνίου τοῦ ἑρμίου maiusc. subscr. P: τέλος τῶν εἰς τρία τὸ πρῶτον subscr. V

p. 29b29 Ἐπεὶ δ' ἕτερόν ἐστιν ὑπάρχειν τε καὶ ἐξ ἀνάγκης ὑπάρχειν καὶ ἐνδέχεσθαι ὑπάρχειν.

Πληρώσας τὸν περὶ τῶν τριῶν σχημάτων τῶν ὑπαρχουσῶν προτάσεων 7
5 λόγον μέτεισιν ἐπὶ τὰς τοῦ ἀναγκαίου προτάσεις, καὶ εἰκότως δευτέραν αὐταῖς ἐπιτίθησι τάξιν. ἐπειδὴ γὰρ τὰ μὲν τῶν ὄντων ἀεὶ ὡσαύτως ἔχουσι καὶ πᾶσιν ὑπάρχουσι, τὰ δὲ ὑπάρχουσι μὲν οὐκ ἐξ ἀνάγκης δέ, 10
ἀλλὰ δύνανται καὶ μὴ ὑπάρχειν, τὰ δὲ οὔτε ὑπάρχουσιν οὔτε ἐξ ἀνάγκης ὑπάρχουσι, δύνανται δὲ ὅμως ὑπάρξαι καὶ μὴ ὑπάρξαι, ὧν τὸ μὲν πρῶτόν
10 ἐστι τοῦ ἀναγκαίου, τὸ δὲ δεύτερον τοῦ ὑπάρχοντος, τὸ δὲ τρίτον τοῦ ἐνδεχομένου, διὰ τοῦτο τὸν μὲν περὶ τῶν ὑπαρχουσῶν προτάσεων πρῶτον ἐποιήσατο λόγον ὡς ἁπλούστερον· τῷ γὰρ ὑπάρχοντι προσιόντα τινά, οἷον τὸ ἀεὶ καὶ τὸ παντί, ποιεῖ τὸ ἀναγκαῖον. μέσον δὲ τάττει τὸν περὶ τῶν ἀναγκαίων συζυγιῶν λόγον ὡς μέσην ἐχουσῶν τάξιν τῶν τε ἁπλῶς ὑπαρ-
15 χουσῶν καὶ τῶν ἐνδεχομένως· ὑπάρχουσι μὲν γὰρ καὶ αὗται, ἀλλ' ἀεὶ καὶ 15
ἀναγκαίως· αἱ δὲ τοῦ ἐνδεχομένου οὐχ ὑπάρχουσι μέν, δύνανται δὲ ὑπάρξαι καὶ μὴ ὑπάρξαι. διὰ τοῦτο μὲν οὖν δεύτερον τὸν περὶ τῶν ἀναγκαίων συζυγιῶν ποιεῖται λόγον. εἰ δὲ ἕτεραι μὲν αἱ ὑπάρχουσαι προτάσεις,

1 ἀρχὴ τῶν μίξεων, post quae add. Ἰωάννου γραμματικοῦ Ἀλεξανδρέως εἰς τὸ πρῶτον τῶν προτέρων ἀναλυτικῶν ἐκ τῶν συνουσιῶν Ἀμμωνίου. τοῦ αὐτοῦ εἰς τὸ α' τῶν προτέρων ἀναλυτικῶν ἐκ τῶν συνουσιῶν Ἀμμωνίου τοῦ Ἑρμείου τῶν εἰς τρία τὸ πρῶτον (corr. e β') V: ἰω^ου φιλοπόνου εἰς τὰς μίξεις τοῦ ἀριστοτλ B: τοῦ αὐτοῦ εἰς τὸ α' τῶν προτέρων ἀναλυτικῶν. | βιβλίον β' t 4 τὸν ante 5 λόγον collocat t post τῶν alt. add. ἐξ S 6 αὐταῖς S: αὐτοῖς BVt ἐπεὶ B 7 ὑπάρχουσι prius BSt: ὑπάρχει V ὑπάρχουσι alt. BV: ὑπάρχει St post δὲ alt. add. ὑπάρχει SVt 8 ἀλλὰ δύνανται (δύναται S) BSt: δύνανται δὲ V μὴ ὑπάρχει V ὑπάρχουσιν B: ὑπάρχειν V: ὑπάρχει St 9 ὑπάρχουσι B: ὑπάρχει SVt δύναται SVt an ὁμοίως? ὑπάρξαι alt. om. B 10 δεύτερον, τρίτον S: om. BVt 11 ante διὰ add. καὶ BS 11. 12 ἐποιήσατο πρῶτον B 12 ἁπλουστέρων BS post ἁπλ. add. καὶ καθολικώτερον V τινὶ B 13 τὸ alt. om. SVt post ἀναγκαῖον add. τὸ δὲ ποτὲ τὸ ἐνδεχόμενον BS τάττειν V περὶ om. V τῶν superscr. V 14 μέσων V: μέσον t 15 ἐνδεχομένων V μὲν om. B καὶ tert. om. BS 17 ὑπάρξαι St: ὑπάρχουσαι V: om. B 18 εἰ Vt: αἱ B μὲν om. V ὑπάρχουσαι SVt: ὑπάρχοντος B

ἕτεραι δὲ αἱ τοῦ ἀναγκαίου καὶ ἐνδεχομένου, δῆλον ὅτι ἑτέρων οὐσῶν XXXIIr τῶν προτάσεων ἕτερον ἔσται καὶ τὸ συμπέρασμα· ἐκ μὲν γὰρ ὑπαρχουσῶν προτάσεων ὑπάρχον γίνεται τὸ συμπέρασμα, ὁμοίως δὲ καὶ ἐξ ἀναγκαίων ἀναγκαῖον καὶ ἐξ ἐνδεχομένων ἐνδεχόμενον.

p. 29b36 Ἐπὶ μὲν οὖν τῶν ἀναγκαίων σχεδὸν ὁμοίως ἔχει καὶ ἐπὶ τῶν ὑπαρχόντων· ὡσαύτως γὰρ τιθεμένων τῶν ὅρων ἔν τε τῷ ὑπάρχειν καὶ τῷ ἐξ ἀνάγκης ὑπάρχειν ἢ μὴ ὑπάρχειν ἔσται τε καὶ οὐκ ἔσται συλλογισμός.

Ὥσπερ, φησίν, ἔχουσιν αἱ τοῦ ὑπάρχοντος προτάσεις, οὕτως ἔχουσι σχεδὸν καὶ αἱ τοῦ ἀναγκαίου· αἱ αὐταὶ γάρ εἰσιν ἐν τούτοις συλλογιστικαί τε καὶ ἀσυλλόγιστοι ἐν ἑκάστῳ σχήματι, καὶ ὡσαύτως ἀλλήλαις τὰς δείξεις ἔχουσι· διοίσουσι δὲ μόνον τῷ τὰς μὲν μετὰ τρόπου εἶναι τὰς δὲ ἄνευ τρόπου. προσέθηκε δὲ τὸ σχεδὸν διὰ τὸν τέταρτον συλλογιστικὸν τοῦ δευτέρου σχήματος τρόπον καὶ τὸν πέμπτον τοῦ τρίτου· ἔστι γὰρ ἐν τούτοις διαφορὰ τῶν ἀναγκαίων πρὸς τοὺς ὑπάρχοντας, ὡς ἑξῆς ἡμῖν ἐπιδείξει.

p. 30a2 Τό τε γὰρ στερητικὸν ὡσαύτως ἀντιστρέφει.

Καίτοι οὐ μόνον τὸ στερητικὸν ἀλλὰ καὶ τὸ κατηγορικόν. τί οὖν μὴ καὶ τούτου ἐμνήσθη; ἐροῦμεν οὖν ὅτι τὸ μὲν κατηγορικὸν ἐπὶ πάντων τῶν τρόπων ὁμοίως ἀντιστρέφει, καὶ οὐδὲν θαυμαστὸν εἰ καὶ ἐπὶ τούτων· τὸ δὲ στερητικὸν οὐχ ὁμοίως ἐπὶ τοῦ ἐνδεχομένου, ὡς αὐτός φησι. διὸ ταύτης μόνης τῆς ἀντιστροφῆς ἐμνήσθη ὡς τοῖς δύο μόνοις τρόποις ὑπαρχούσης· τὴν δὲ ἄλλην ὡς κοινὴν ἁπάντων παρῆκεν.

p. 30a3 Ἐν μὲν οὖν τοῖς ἄλλοις τὸν αὐτὸν τρόπον δειχθήσεται διὰ τῆς ἀντιστροφῆς ὅτι τὸ συμπέρασμα ἀναγκαῖον.

Ὁμοίως γὰρ ἢ κατ' εὐθεῖαν δειχθήσονται ἢ δι' ἀντιστροφῆς οἵ τε ἀναγκαῖοι καὶ οἱ ὑπάρχοντες.

p. 30a6 Ἐν δὲ τῷ μέσῳ σχήματι, ὅταν ᾖ τὸ μὲν καθόλου καταφατικὸν τὸ δ' ἐν μέρει στερητικόν, καὶ πάλιν ἐν τῷ τρίτῳ, ὅταν ᾖ τὸ μὲν καθόλου καταφατικὸν τὸ δ' ἐν μέρει στερητικόν, οὐχ ὁμοίως ἔσται ἡ ἀπόδειξις.

Τῶν ἄλλων, φησίν, ὁμοίως ἐχόντων κατὰ πάντα ἐπὶ τοῦ ἀναγκαίου 42

1 ante τοῦ add. διὰ t καὶ αἱ ἐνδεχόμεναι Vt: καὶ ἕτεραι τοῦ ἐνδεχομένου S 2 post συμπέρασμα add. διατί; ὅτι οὐκ ἐξ ὁμοίων προτάσεων τὲ καὶ ὅρων BS 7 τῷ alt. om. V ἢ μὴ ὑπάρχειν om. V 10 σχεδὸν om. Vt 11 σχήματι BS: τῶν σχημάτων Vt 12 τρόπων Vt 13 δὲ om. V τὸ om. Vt 15 τοὺς ὑπάρχοντας S: τὰς ὑπαρχούσας B: τὸν ὑπάρχοντα Vt ἑξῆς] p. 30a6 sq. 16 ἀντιστρέψει t 17 ante τί add. διὰ B 18 οὖν SVt: om. B 19 τρόπων Bt: ὄντων V οὐδὲν θαυμαστὸν BS: inv. ord. Vt δὲ BS: δέ γε Vt 20 ἐπὶ τοῦ ἐνδεχομένου οὐχ ὁμοίως B post ὡς add. καὶ t φησι] c. 3 p. 25b3 sq. post διὸ add. καὶ B 21 ἐμνήσθην V 24 ὅτι BVt(C): om. Arist. post ἀναγκαῖον add. ὂν B 25 γὰρ om. V 27 μὲν BVt(Ci): om. Arist. 29 ᾖ BVt(C): om. Arist. 30 ἀπόδοσις B 31 φησὶν post πάντα collocat B παντός t post ἐπὶ add. τε t

καὶ τοῦ ὑπάρχοντος μόνος ὁ τέταρτος ἐν δευτέρῳ σχήματι καὶ ἐν τρίτῳ XXXIIr
ὁ πέμπτος διαφέρουσιν ἐν τῷ ὑπάρχοντι τρόπῳ καὶ τῷ ἀναγκαίῳ· ἐν
μὲν γὰρ τῷ ὑπάρχοντι δι' ἀντιστροφῶν μὲν οὐκ ἐδείκνυντο ἀλλὰ διὰ τῆς
εἰς ἀδύνατον ἀπαγωγῆς· ἐπὶ μέντοι τοῦ ἀναγκαίου οὐ δυνατὸν διὰ τῆς τοῦ
ἀδυνάτου δείξεως τούτους ἀποδεῖξαι. οἷον ὡς ἐπὶ τοῦ τετάρτου συλλο-
γισμοῦ τοῦ δευτέρου σχήματος προΐτω ὁ λόγος· ἔστω γὰρ τὸ Α παντὶ τῷ
Β ἐξ ἀνάγκης, τῷ δὲ Γ ἐξ ἀνάγκης μὴ παντί· λέγω ὅτι τὸ Β ἐξ
ἀνάγκης οὐ παντὶ τῷ Γ ὑπάρχει. τοῦτο δέ, ὥσπερ εἶπον, οὐ δυνατὸν τῇ
εἰς ἄτοπον ἀπαγωγῇ δεῖξαι λέγοντας ὅτι, εἰ ψεῦδός ἐστι τὸ ἐξ ἀνάγκης
μὴ παντὶ ὑπάρχειν, ἔσται ἀληθὲς τὸ ὅτι τῷ Γ ἐνδέχεται παντὶ τὸ Β
ὑπάρχειν· ἀλλὰ μὴν καὶ τὸ Α τῷ Β παντὶ ἐξ ἀνάγκης ὑπῆρχεν. εἶτα
ποῖον ἀκολουθεῖ τὸ συμπέρασμα, ἀγνοοῦμεν· γίνεται γὰρ ἡ συζυγία ἐν
πρώτῳ σχήματι ἐκ τῆς μείζονος καθόλου καταφατικῆς ἀναγκαίας τῆς δὲ
ἐλάττονος καθόλου καταφατικῆς ἐνδεχομένης, ἥτις ποῖον συνάγει συμπέρασμα.
οὔπω ἴσμεν πρὸ τοῦ διδάξαι τὸν φιλόσοφον περὶ τῆς μίξεως τοῦ ἐν|δε- XXXIIv
χομένου πρὸς τὸ ἀναγκαῖον. ὥστε καλῶς ἐλέγετο μὴ δύνασθαι δείκνυσθαι
τὸν τέταρτον συλλογισμὸν τοῦ δευτέρου σχήματος διὰ τῆς εἰς ἀδύνατον
ἀπαγωγῆς. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τοῦ πέμπτου τρόπου τοῦ τρίτου σχήματος
συμβαίνει. δείκνυνται οὖν δι' ἐκθέσεως. ἡ δὲ ἔκθεσις ἐνταῦθα τοιαύτη.
ἐπὶ μὲν τοῦ τετάρτου ἐν δευτέρῳ σχήματι, εἰ τὸ Α τῷ Β παντὶ ἐξ ἀνάγκης
τῷ δὲ Γ τινὶ οὐχ ὑπάρξει ἐξ ἀνάγκης, ληπτέον μέρος τοῦ Γ ᾧ τὸ Α οὐχ
ὑπάρξει, οἷον τὸ Δ, καὶ τακτέον οὕτως· εἰ τὸ Α οὐδενὶ τῷ Δ, οὐδὲ τὸ Δ
οὐδενὶ τῷ Α· τὸ δὲ Α παντὶ τῷ Β· τὸ ἄρα Δ οὐδενὶ τῷ Β· οὐκοῦν οὐδὲ
τὸ Β οὐδενὶ τῷ Δ· τὸ δὲ Δ τι τοῦ Γ ἐστί· τὸ ἄρα Β τινὶ τῷ Γ οὐχ ὑπάρ-
ξει. ἐπὶ δὲ τοῦ τρίτου σχήματος, εἰ τὸ Α τινὶ τῷ Γ οὐχ ὑπάρξει, τὸ δὲ
Β παντὶ τῷ Γ, τὸ Α τινὶ τῷ Β οὐχ ὑπάρξει. προσκείσθω οὖν μέρος τοῦ
Γ ᾧ τὸ Α οὐχ ὑπάρξει, οἷον τὸ Δ, καὶ ἔσται οὕτως· εἰ τὸ Α τῷ Δ οὐδενί,
τὸ δὲ Β παντὶ τῷ Δ, εἴγε καὶ τῷ Γ παντί, οὗ μέρος τὸ Δ, ἀντιστρέφει
δὲ ἡ Β Δ, καὶ ἔσται τὸ Δ τινὶ τῷ Β· εἰ τοίνυν τὸ μὲν Α οὐδενὶ τῷ Δ,
τὸ δὲ Δ τινὶ τῷ Β, τὸ Α τινὶ τῷ Β οὐχ ὑπάρξει. εἰκότως δὲ οἱ συλλο-
γισμοὶ τοῦ ἀναγκαίου ὡσαύτως ἔχουσι τοῖς τοῦ ὑπάρχοντος καὶ ὁμοίως
αὐτοῖς δείκνυνται, διότι καὶ αἱ ἀντιστροφαὶ τῶν προτάσεων τοῦ ἀναγκαίου
ὡσαύτως ἐλέγοντο ἔχειν ταῖς τοῦ ὑπάρχοντος.

1 post ἐν alt. add. τῷ B 2 διαφέρει B post καὶ add. ἐν Vt: om. BS 3 οὐκ om. V ἐδείκνυτο Bt διὰ om. V 4 post εἰς add. τὸ Vt τῆς om. B 7 τῷ e τὸ corr. V post λέγω add. δὴ V, δὲ t 8 τῷ γ' om. Bt ὑπάρχει S et ante οὐ παντὶ B: ὑπάρξει Vt ὡς B οὐ δυνατὸν Bt: ἀδύνατον V 10 ὑπάρχει V ἐνδέχεσθαι Bt 14 ἢ B post συμπέρασμα add. καὶ V 15 πρὸ τοῦ S: om. BVt περὶ] πρὸ t μείξεως Vt 16 τὸν V ἐλέγομεν BS δείκνυσθαι om. V 18 τὴν αὐτὴν V: αὐτὰ t 19 δείκνυνται scripsi: δείκνυται BVt: δεικτέον S 20 supra α', γ' scr. λευκόν, ἄνος V 22 ὑπάρχει t τὸ δ̄ prius] supra τέταρτον del. scr. ἔστι χιὼν δ' V 24 τι om. Vt ἐστί om. B 25 supra α', γ' scr. λευκόν, ἄνος V 26 τῷ β' τινί B 27 supra τὸ δ' scr. καὶ ἔστω ἄνος V 28 τῷ δ' om. B τὸ alt. e τοῦ corr. V ἀντιστρέψει t et om. δὲ S 29 β̄ δ̄ S: β̄ γ̄ BV: β' t καὶ om. V 30 post δ' del. οὐδενὶ V 32 αὐτοῖς om. V καὶ δι' ἀντιστροφῆς B 33 ταῖς S: τοῖς BVt

p. 30a13 Γίνεται δὲ τῶν συλλογισμῶν ἑκάτερος ἐν τῷ οἰκείῳ σχήματι. XXXIIv

Ἑκάτερος, φησί, τῶν εἰρημένων δύο συλλογισμῶν διὰ τοῦ οἰκείου σχήματος δείκνυται τὸ ἴδιον συμπέρασμα συνάγων. ἀλλ' ὁ μὲν τέταρτος τοῦ δευτέρου σχήματος συλλογισμὸς διὰ τοῦ δευτέρου συλλογισμοῦ τοῦ αὐτοῦ δευτέρου σχήματος οὕτως· εἰ γὰρ τὸ Α παντὶ μὲν τῷ Β ὑπάρχει τῷ δὲ Γ οὐ παντί, ὑπέκειτο δὲ μέρος τοῦ Γ τὸ Δ, ᾧ οὐχ ὑπάρχει τὸ Α, τὸ ἄρα Α παντὶ μὲν τῷ Β ὑπάρχει τῷ δὲ Δ οὐδενί, ὅσπερ ἐστὶ δεύτερος τρόπος τοῦ δευτέρου σχήματος ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς· τὸ ἄρα Β οὐδενὶ τῷ Δ ὑπάρξει, ὅπερ ἐστὶ μέρος τοῦ Γ· τὸ ἄρα Β οὐ παντὶ τῷ Γ ὑπάρξει. ὁμοίως δὲ καὶ ὁ πέμπτος τοῦ τρίτου σχήματος διὰ τοῦ δευτέρου τρόπου τοῦ αὐτοῦ τρίτου σχήματος δείκνυται οὕτως· εἰ γὰρ τὸ μὲν Α ἐξ ἀνάγκης οὐ παντὶ τῷ Γ τὸ δὲ Β ἐξ ἀνάγκης παντί, λέγω ὅτι τὸ Α τῷ Β ἐξ ἀνάγκης οὐ παντὶ ὑπάρχει· ἐπεὶ γὰρ τὸ Α ἐξ ἀνάγκης οὐ παντὶ τῷ Γ ὑπάρχει, εἰλήφθω μέρος τι τοῦ Γ ᾧ ἐξ ἀνάγκης οὐχ ὑπάρχει τὸ Α, οἷον τὸ Δ· τὸ ἄρα Α οὐδενὶ τῷ Δ ἐξ ἀνάγκης ὑπάρχει· καὶ ἐπεὶ τὸ Β ἐξ ἀνάγκης παντὶ τῷ Γ ὑπάρχει, ἓν δὲ τῶν μερῶν τοῦ Γ τὸ Δ, τὸ ἄρα Β παντὶ τῷ Δ ὑπάρχει. εἰ τοίνυν τὸ μὲν Α οὐδενὶ τῷ Δ τὸ δὲ Β παντὶ ἐξ ἀνάγκης ὑπάρχει, δῆλον ὅτι γέγονε πάλιν τοῦ τρίτου σχήματος ὁ δεύτερος τρόπος. ὥστε ἡ ἔκθεσις ἐπ' ἀμφοτέρων τῶν συλλογισμῶν τὸ οἰκεῖον πάλιν ἐποίησε σχῆμα. ἐπισημειώσασθαι δὲ ἄξιον ἐν πᾶσι τούτοις, πῶς λοιπὸν μετὰ τὴν ἀπόδειξιν τῶν τριῶν σχημάτων ἀδεέστερον ἐχρήσατο τοῖς στοιχείοις, ὡς πρότερον κατὰ τὴν τάξιν τῶν σχημάτων καὶ τῶν ὅρων καὶ τοῖς στοιχείοις χρώμενος.

p. 30a15 Συμβαίνει δέ ποτε καὶ τῆς ἑτέρας προτάσεως ἀναγκαίας οὔσης ἀναγκαῖον γίνεσθαι τὸν συλλογισμόν.

Παραδοὺς τὰς προτάσεις τάς τε τοῦ ὑπάρχοντος καὶ τὰς τοῦ ἀναγκαίου ἐντεῦθεν βούλεται μῖξαι ταύτας. καὶ βούλεται αὐτὸς ἀεὶ τῇ μείζονι προτάσει ἀκολουθεῖν τὸ συμπέρασμα, οἷον εἰ ἡ μὲν μείζων ἐστὶν ἀναγκαία ἡ δὲ ἐλάττων ὑπάρχουσα, ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα, εἰ δὲ ἔμπαλιν ἡ μὲν μείζων ὑπάρχουσα ἡ δὲ ἐλάττων ἀναγκαία, ὑπάρχον. παραδίδωσι

1 οἰκείῳ corr. V, t Arist.: ἰδίῳ B, pr. V 3 οἰκείου St: ἰδίου BV 4 δείκνυνται V συναγαγών Vt 6 γὰρ om. B 7 ὑπέκειτο St: ὑπόκειται BV ὦ μὴ B ὑπάρχει St: ὑπάρξει BV 8 ὅσπερ S: ὅπερ BVt ἐστὶν ὁ B 11 δὲ om. B 12 τρίτου alt. om. B 14 λέγω ὅτι om. B 15 τι μέρος B 16 τῷ α' V 16—19 δ̄ ubique BS: ε' Vt 17 ὑπάρχει τῷ γ̄ B 18 τοῦ (post γ') V 19 μηδενὶ S τῷ e τὸ corr. V 20 τὸ γ' σχῆμα t post ὥστε add. καὶ V 22 μετὰ τὴν ἀπόδοσιν λοιπὸν B 23 τὴν om. V 25 Μῖξις ἀναγκαίου καὶ ὑπάρχοντος inscr. B: μῖξις τοῦ α' σχήματος V 27 προτάσεις post ἀναγκαίου collocat B τάς τε et τὰς om. B 28 ἐνταῦθα B αὐτὸς scripsi: αὐ̄ B: αὐτὰς Vt 29 ἀκολουθήσει V μὲν t: om. BV 30 γίνεσθαι t: γίνεται BV 31 ἡ μὲν—ἀναγκαία om. B μὲν Y: om. Vt

δέ, ὡς εἴωθε, πρῶτον τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων καθόλου. πρό- XXXIIᵛ
δηλον δὲ ὅτι καθόλου οὐσῶν τῶν προτάσεων ὀκτὼ γίνονται συζυγίαι, τέσσαρες
μὲν συλλογιστικαί, τέσσαρες δὲ ἀσυλλόγιστοι· εἰ γὰρ τῶν δύο ὑπαρχουσῶν
οὐσῶν καθόλου τέσσαρες ἐγίνοντο συζυγίαι, ὁμοίως δὲ καὶ ἀναγκαίων,
δῆλον ὅτι μιγνυμένων τούτων ὀκτὼ γενήσονται. εἰ γὰρ ἡ μείζων ὑπάρχει
ἀναγκαία ἡ δὲ ἐλάττων ὑπάρχουσα, τέσσαρες γίνονται συζυγίαι κατὰ τὸ
ποιὸν ποικιλλόμεναι· ἢ γὰρ ἀμφότεραί εἰσιν καταφατικαὶ ἢ ἀμφότεραι ἀπο-
φατικαί, ἢ ἡ μὲν καταφατικὴ ἡ δὲ ἀποφατική, καὶ τοῦτο διχῶς· ὁμοίως
δὲ καὶ εἰ ἀνάπαλιν ὦσιν ἡ μὲν μείζων ὑπάρχουσα ἡ δὲ ἐλάττων ἀναγκαία,
πάλιν γίνονται ἄλλαι τέσσαρες κατὰ ποιὸν ποικιλλόμεναι. αἱ πᾶσαι ἄρα
εἰσὶν ὀκτώ. πρότερον οὖν ἐκτίθεται τὰς ἐκ δύο καθόλου καταφατικῶν, τῆς
μὲν μείζονος ἀναγκαίας τῆς δὲ ἐλάττονος ὑπαρχούσης. καὶ ὁ μὲν φιλόσοφος,
ὥσπερ εἴπομεν, βούλεται ἀεὶ τῇ μείζονι ἀκολουθεῖν τὸ συμπέρασμα· διὸ
καὶ ἐνταῦθα οὕτως ἐχουσῶν τῶν προτάσεων ἀναγκαῖον φησι συνάγεσθαι τὸ
συμπέρασμα. οἱ δὲ ἑταῖροι αὐτοῦ οἱ περὶ Θεόφραστον καὶ Εὔδημον καὶ
ἔτι οἱ ἀπὸ Πλάτωνος οὔ φασιν οὕτως ἔχειν οὐδὲ πάντως τῇ μείζονι ἀκολου-
θεῖν τὸ συμπέρασμα, ἀλλ' ὑπάρχον ἀεὶ γίνεσθαι. ἄξιον οὖν ἐκθέσθαι πρότερον
τήν τε Ἀριστοτελικὴν δεῖξιν καὶ ὅσα οἱ τῷ φιλοσόφῳ συνηγοροῦντες εἰς
ἀπόδειξιν τοῦ τοιούτου προστιθέασιν, εἶτα καὶ ἅπερ οἱ τῇ ἐναντίᾳ παριστά-
μενοι δόξῃ φασί, καὶ οὕτως τὰ ἱκανὰ διαστῆσαι τῷ λόγῳ.

Τῷ | τοίνυν Ἀριστοτέλει πρόεισιν ἡ δεῖξις οὕτως. τὸ Α, φησίν, ἐξ XXXIIIʳ
ἀνάγκης παντὶ τῷ Β ὑπαρχέτω, τὸ δὲ Β παντὶ τῷ Γ ὑπαρχέτω· λέγω, φησίν,
ὅτι τὸ Α ἐξ ἀνάγκης παντὶ τῷ Γ ὑπάρξει. ἐπεὶ γὰρ τὸ Α ἐξ ἀνάγκης παντὶ
τῷ Β, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ὑπάρξει· ἓν δὲ τῶν μερῶν τοῦ Β τὸ Γ·
τὸ ἄρα Α ἐξ ἀνάγκης παντὶ τῷ Γ ὑπάρξει, ὅπερ ἔδει δεῖξαι. οὕτω μὲν
οὖν ὁ Ἀριστοτέλης. ἕτεροι δὲ συνηγοροῦντες ταύτῃ τῇ δόξῃ προστιθέασι
καὶ ἄλλας δύο δείξεις, μίαν μὲν τὴν δι' ἀδυνάτου οὕτως· λέγομεν, φασίν,
ὅτι οὕτως ἐχουσῶν τῶν προτάσεων ἐξ ἀνάγκης παντὶ τῷ Γ τὸ Α ὑπάρξει·
εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντικείμενον τὸ 'ἐνδέχεται μὴ παντὶ τῷ Γ
τὸ Α ὑπάρχειν', ἵνα πάλιν ἀντιθῶμεν τρόπον τρόπῳ, ποσὸν ποσῷ, ποιὸν
ποιῷ. ἐπεὶ τοίνυν τὸ μὲν Α ἐνδέχεται μὴ παντὶ τῷ Γ ὑπάρχειν, ὑπέκειτο
δὲ καὶ τὸ Β τῷ αὐτῷ Γ ὑπάρχειν παντί, τὸ ἄρα Α ἐνδέχεται μὴ παντὶ
τῷ Β ὑπάρχειν· ὑπέκειτο δὲ καὶ ἐξ ἀνάγκης παντί· τὸ αὐτὸ ἄρα τῷ αὐτῷ

1 ὡς εἴωθε om. B: post πρῶτον collocat t 3 μὲν om. B καὶ τέσσαρες, om. δὲ B
4 καθόλου οὐσῶν B 5 ὑπάρχοι t 6. 7 τὸ ποιὸν B: ποιὸν t: om. V 7 καὶ ἢ
ἀμφότεραι B: ἢ ἀμφότεραι γάρ t ἀποφατικαί—καταφατικαί t 10 κατὰ ποιὸν ποικιλλό-
μεναι om. B fort. κατὰ ⟨τὸ⟩ cf. vs. 6 11 εἰσὶν om. B καταφατικῶν καθόλου B:
καθόλου καταφατικῆς t 12 μὲν prius om. Vt ante καὶ add. διὸ B μὲν alt.
om. B 14 ἐνταῦθα Vt: ὡδὶ B 15 ἕτεροι t 16 ἔτι om. V πλάττωνος V
17 τὸ συμπέρασμα om. V 18 οἱ συνηγοροῦντες τῶ φιλοσόφω B 19 α B
19. 20 προιστάμενοι Vt 22 ὑπάρχει (post β) B α' superscr. V 23 ὑπάρ-
χει B post β' add. ὑπάρχει B 24 ἄρα post αὐτοῦ colloc. B 25 ὑπάρχει B
27 ἑτέρας B δι' B: τοῦ V: διὰ τοῦ t οὕτως post φασίν colloc. B φασίν scripsi
cf. p. 124,5: φησιν libri 28 post α' add. οὐχ V ὑπάρξει V 29 εἰ—ψεῦδος
superscr. V δὲ B 31 ὑπάρχειν om. V 32 τὸ β̄ παντὶ τῶ γ̄ ὑπάρχειν B

καὶ ἐνδέχεται μὴ παντὶ καὶ ἐξ ἀνάγκης παντί, ὅπερ ἀδύνατον. ἰστέον XXXIIIc
γὰρ ὅτι καὶ ὁ Ἀριστοτέλης καὶ πάντες οἱ ἄλλοι ὁμολογοῦσι τῆς μείζονος ἐνδεχομένης οὔσης μερικῆς ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ὑπαρχούσης μερικὸν ἐνδεχόμενον ἀποφατικὸν συνάγεσθαι τὸ συμπέρασμα. προστιθέασι δὲ καὶ ἑτέραν δεῖξιν τοιαύτην· εἰ τῶν δύο, φασί, προτάσεων κειμένων ὑπαρχουσῶν ὑπάρχον ἐγίνετο τὸ συμπέρασμα, δῆλον ὅτι τῆς ἑτέρας ἀναγκαίας οὔσης οὐκέτι τὸ αὐτὸ ὤφειλε συνάγεσθαι συμπέρασμα ἀλλὰ ἀναγκαῖον. ταῦτα οἱ τῇ Ἀριστοτελικῇ συνηγοροῦντες δόξῃ.

Οἱ δὲ ἑταῖροι αὐτοῦ ἐνίστανται πρὸς τὰ εἰρημένα, καὶ πρῶτον πρὸς τὴν Ἀριστοτελικὴν δεῖξιν οὕτως ἐξ αὐτῆς ⟨τῆς⟩ τοῦ ἀναγκαίου καὶ τῆς τοῦ ὑπάρχοντος σημασίας. ἀναγκαῖον, φασίν, ἐστὶν ὃ παντὶ καὶ ἀεὶ ὑπάρχει, ὑπάρχον δὲ ὅπερ ἐστὶ μὲν ἐν τῷ πράγματι, δύναται δὲ καὶ ἀπογενέσθαι αὐτοῦ. εἰ τοίνυν τὸ Β τῷ Γ οὐκ ἀναγκαίως ὑπάρχει, δύναται ἄρα χωρισθῆναι αὐτοῦ· εἰ δὲ χωρίζεται τὸ Β τοῦ Γ, οὐκ ἐξ ἀνάγκης ὑπάρξει τῷ Γ τὸ Α. εἰ γὰρ χωρισθείη τὸ μέσον τοῦ ἐσχάτου, οὐχ ἕξει τὸ ἄκρον δι᾽ ὅτου συναφθῇ τῷ ἐσχάτῳ· ὥστε εἰ ὑπάρξει τῷ Γ τὸ Α, οὐκ ἀναγκαίως αὐτῷ ὑπάρξει. καὶ γὰρ κακῶς ὑπέθεσθε, φασίν, ὅτι εἰ τὸ Α ἐξ ἀνάγκης παντὶ τῷ Β ὑπάρχει, μέρος δὲ τοῦ Β τὸ Γ, τὸ ἄρα Α ἐξ ἀνάγκης παντὶ τῷ Γ ὑπάρξει· τοῖς μὲν γὰρ κυρίως αὐτοῦ μέρεσιν ἐξ ἀνάγκης ὑπάρχει πᾶσιν, οὐ μέντοι γε τοῖς ποτὲ μὲν οὖσιν αὐτοῦ μέρεσι ποτὲ δὲ μή. τὸ δὲ Β τῷ Γ παντὶ μὲν ὑπῆρχεν, οὐκ ἐξ ἀνάγκης δέ, ὥστε δύναται καὶ μὴ ὑπάρχειν· αὕτη γὰρ ἡ τοῦ ὑπάρχοντος φύσις, τὸ ὑπάρχον μὲν δυνάμενον δὲ καὶ μὴ ὑπάρχειν. εἰ τοίνυν δυνατὸν τὸ Γ τοῦ Β μὴ εἶναι μέρος (οὕτω γὰρ ἐδείχθη), πρόδηλον ὅτι οὐκ ἐξ ἀνάγκης παντὶ τῷ Γ ὑπάρξει. ὅτι γὰρ τοῦτο οὕτως ἔχει, πρόδηλον καὶ ἐκ τῆς τῶν ὅρων παραθέσεως· ἔστωσαν γὰρ ὅροι κίνησις, βάδισις, ἄνθρωπος· κίνησις μὲν γὰρ ἐξ ἀνάγκης πάσῃ βαδίσει ὑπάρχει, βάδισις δὲ παντὶ ἀνθρώπῳ ὑπαρχόντως, καὶ συνάγεται κίνησις παντὶ ἀνθρώπῳ ὑπαρχόντως. καὶ πάλιν ἀρετή, φρόνησις, ἄνθρωπος. καὶ καθόλου δεῖ λαμβάνειν καὶ καθολικώτερόν τι καὶ μερικώτερον καί τι τούτων ὑπαρχόντως μετέχον καὶ τὸ μὲν καθολικώτερον τιθέναι μείζονα ὅρον, τὸ δὲ μετέχον ἐλάττονα. πρὸς δὲ τὴν τοῦ ἀδυνάτου δεῖξιν οὕτως ἐνίστανται, ὅτι τούτῳ τῷ τρόπῳ δείξομεν οὐ μόνον ἀναγκαῖον καταφατικὸν συναγόμενον ἀλλὰ καὶ τὸ καθόλου καταφατικὸν ὑπάρχον καὶ ἔτι τὸ καθόλου καταφατικὸν ἐνδεχόμενον. λέγομεν γάρ, φασίν, ὅτι συνάγεται συμπέρασμα τὸ Α παντὶ τῷ Γ ὑπάρχειν· εἰ γὰρ τοῦτο ψεῦ-

2 καὶ ὁ B: ὁ V: καὶ t post ὁμολογοῦσι add. καὶ Vt 4 ἀποφατικῶς V τὸ om. t 5 φασὶ Y: φησὶ BVt 6 ὑπάρχει (ante ἐγ.) V τῆς ἑτέρας B: καὶ ἑτέρας V: τῆς t 9 ἕτεροι t ἀνίστανται V 10 τῆς prius addidi 11 φασὶν Y: φησὶν BVt ὑπάρχον (post ἀεὶ) V ὑπάρχει (ante δὲ) B 12 ἀπάγεσθαι (σθ corr. V) Vt 14 τοῦ β' τὸ Vt ὑπάρχει V 15 supra μέσον scr. τὸ β̄ B supra ἐσχάτου scr. τοῦ γ̄ B οὗ B 16 εἰ om. Vt 19 μέν B γε om. V 20 post μὴ add. οὖσι B ὑπάρχει V 23 μὴ om. B 24 τῷ γ̄ ⟨τὸ α̅⟩ conicio καὶ om. V 25 ὑποθέσεως V 26 βαδίσῃ V 27 καὶ—ὑπαρχόντως om. B πάλιν Bt: πάντως V 29 καί τι Bt: καίτοι V 30 τὸ δὲ ⟨μερικώτερον μέσον, τὸ δὲ⟩ conicio 31 ἀνίστανται t 32 post ἀναγκαῖον add. καὶ Vt, superscr. B 33 post ἐνδεχόμενον add. συναγόμενον B λέγω Vt φασιν Y: φησιν BVt

δος, ἀληθὲς τὸ μὴ παντὶ ὑπάρχειν τὸ Α τῷ Γ. ἐπεὶ τοίνυν τὸ Α τῷ Γ XXXIIIr
οὐ παντὶ ὑπάρχει, ὑπέκειτο δὲ καὶ τὸ Β τῷ Γ παντὶ ὑπάρχειν, τὸ ἄρα Α
οὐ παντὶ τῷ Β ὑπάρξει· γίνεται γὰρ τὸ τρίτον σχῆμα ἐκ τῶν δύο
ὑπαρχουσῶν προτάσεων. ἦν δὲ καὶ ἐξ ἀνάγκης παντί· τὸ ἄρα Α τῷ Β
καὶ ἐξ ἀνάγκης παντὶ ὑπάρχει καὶ ὑπάρχει οὐ παντί, ὅπερ ἀδύνατον.
ἀλλὰ δή, φασί, καὶ τὸ καθόλου ἐνδεχόμενον δυνατὸν συναγαγεῖν. λέγω
γὰρ ὅτι οὕτως ἐχουσῶν τῶν προτάσεων συνάγεται τὸ Α τῷ Γ ἐνδέ-
χεσθαι παντὶ ὑπάρχειν· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀνάγκη μὴ
παντί. ἐπεὶ τοίνυν τὸ μὲν Α τῷ Γ ἀνάγκη μὴ παντὶ ὑπάρχειν, τὸ δὲ Β
τῷ Γ παντὶ ὑπῆρχε, τὸ ἄρα Α τῷ Β ἢ ἐξ ἀνάγκης οὐ παντὶ ἢ ὑπάρχει
οὐ παντί· τοῦτο γὰρ ποτέρως ἔχει, ἔτι ἀμφισβητήσιμον. ἦν δὲ καὶ ἐξ ἀνάγ-
κης παντὶ τῷ Β τὸ Α· τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ ἐξ ἀνάγκης παντὶ καὶ
ὑπάρχει οὐ παντὶ ἢ ἀνάγκη οὐ παντί, ὅπερ ἀδύνατον. ὥστε, φασίν, ἡ εἰς
ἄτοπον ἀπαγωγὴ οὐδὲν ἧττον δείξει καθόλου καταφατικὸν ἀναγκαῖον συνάγε-
σθαι τὸ συμπέρασμα ἢ ἐνδεχόμενον καθόλου καταφατικὸν ἢ ὑπάρχον
καθόλου καταφατικόν. οὕτω μὲν οὖν ἐκεῖνοι τὴν εἰς ἄτοπον δεῖξιν ψευδῆ
δεικνύουσι διὰ τοῦ δεικνύναι τῇ αὐτῇ εἰς ἄτοπον δείξει ἐπὶ τῶν αὐτῶν
προτάσεων πλείονα συνάγεσθαι συμπεράσματα. ἀλλὰ ζητῆσαι ἄξιον πόθεν
πλείονα συνήχθη τὰ συμπεράσματα τῇ αὐτῇ εἰς ἄτοπον δείξει. λέγομεν
οὖν ὅτι ἕκαστον τῶν συμπερασμάτων καθόλου καταφατικὸν ἐλήφθη, εἶτα
τὸ ἐναντίον ἐξ ὑποθέσεως μερικὸν ἀποφατικόν, καὶ εἰκότως τοῦ αὐτοῦ
ποσοῦ ληφθέντος ἐπί τε τῶν συμπερασμάτων καὶ τῶν ὑποθέσεων τὸ αὐτὸ
ἄτοπον ἠκολούθησεν· | μόνοι γὰρ οἱ τρόποι ἠμείφθησαν τοῦ ποσοῦ XXXIIIv
τοῦ αὐτοῦ μείναντος· διόπερ καὶ ἐπὶ πάντων τὸ αὐτὸ συνήχθη ἄτοπον.
πρὸς δὲ τὴν τρίτην τῶν δείξεων ἐπιπόλαιον οὖσαν πρόχειρος ἡ ἀπάντησις.
εἰ γάρ, ἐπειδὴ τῶν δύο προτάσεων ὑπαρχουσῶν οὐσῶν ὑπάρχον συνήγετο
τὸ συμπέρασμα, διὰ τοῦτο, ἐπειδὴ ἡ ἑτέρα ἀναγκαία γίνεται, ὤφειλεν ἀναγ-
καῖον γίνεσθαι τὸ συμπέρασμα, ἐροῦμεν αὐτοῖς ὅτι, ἐπειδὴ τῶν δύο ἀναγ-
καίων οὐσῶν ἀναγκαῖον ἐγίνετο τὸ συμπέρασμα, ἔδει τῆς ἑτέρας ὑπαρχού-
σης οὔσης ὑπάρχον γενέσθαι, ἤ, ὃ καὶ πιθανώτερον, μικτὸν ἔδει αὐτὸ
γενέσθαι. καὶ τοῦτο πῶς ἐνδέχεται, ἐξ ὑπάρχοντος καὶ ἀναγκαίου μικτόν
τι γενέσθαι; ὥστε καταγέλαστον τὸ τοιοῦτον. καὶ ἄλλως· ἔδει τὸ αὐτὸ
εἰπεῖν καὶ ἐφ' ὧν προτάσεων ἡ μείζων ὑπάρχουσά ἐστιν, ἡ δὲ ἐλάττων

2 καὶ om. Vt 3 σχῆμα ἐκ τῶν om. B 5 ὃ B 6 δεῖ t post καθόλου add. τὸ Vt 8 ὑπάρχει V ἀνάγκη μὴ eras. V 9. 10 τὸ δὲ β' τῷ γ' παντὶ in ras. V 10 ἢ prius om. B 10. 11 ἢ ὑπάρχει οὐ παντί om. B 11 ὁποτέρως V 12. 13 τῷ αὐτῷ—ἀδύνατον Vt: καὶ παντὶ καὶ οὐ παντὶ ὃ ἄτοπον B 13 φασὶν Y: φησὶν BVt 14 ἀναγκαῖον om. in lac. V 15 τὸ om. B 16 οὖν om. B 17 δείκνυσιν t 19 συνήχθη Bt: γίνεσθαι V αὐτῇ om. B 20 ἐλείφθη, ut videtur, pr. V 21. 22 μερικὸν—ὑποθέσεων om. V 24 διὸ B 25 ἐπιπολαίως V: ἐπιπόλεος t 27 τούτων Bt ἀναγκαίως utrobique V post γίνεται add. διὰ τοῦτο Bt 30 ἤγουν ὅπερ Vt post πιθανώτερον add. ἢ Bt 31 ἐνδέχεται scripsi: ἐνδέχεσθαι libri 32 τι om. B 33 καὶ om. B ἐστὶν ὑπάρχουσα B

ἀναγκαία· ἔδει γὰρ κἀπὶ τούτων ἀναγκαῖον εἶναι τὸ συμπέρασμα διὰ XXXIII
τὴν αὐτὴν αἰτίαν· νῦν δὲ ὑπάρχον γίνεται. εὐήθης ἄρα ὁ τοιοῦτος λόγος. ἔτι 10
ὥσπερ κατὰ τὸ ποιὸν καὶ τὸ ποσὸν ἀεὶ τῇ χείρονι τῶν προτάσεων εἵπετο
τὸ συμπέρασμα, δῆλον ὅτι καὶ ἐπὶ τῶν τρόπων ὁμοίως τῇ χείρονι ἀκο-
5 λουθήσει· ὥστε εἰ τὸ ὑπάρχον χεῖρόν ἐστι τοῦ ἀναγκαίου, δῆλον ὅτι ὑπάρχον
γενήσεται τὸ συμπέρασμα. πανταχόθεν ἡμῖν ἄρα τὸ τοιοῦτον δέδεικται.

Τί οὖν; οὐκ ἔστιν οὐδεμίαν βοήθειαν ἐπινοῆσαι τῷ Ἀριστοτελικῷ
λόγῳ; λέγομεν ὅτι ἐνδέχεται. αὐτὸς γάρ φησιν ἐν τῷ Περὶ ἑρμηνείας ὅτι
τὸ ἀναγκαῖον διχῶς λέγεται, τὸ μὲν κυρίως τὸ δὲ ἐξ ὑποθέσεως, καὶ τὸ 15
10 ἐξ ὑποθέσεως διχῶς· τὸ μὲν γὰρ λέγεται ἀναγκαῖον ἔστ' ἂν ὑπάρχῃ τὸ
ὑποκείμενον, τὸ δὲ ἔστ' ἂν ὑπάρχῃ τὸ κατηγορούμενον. οἷον κυρίως λέγεται
ἀναγκαῖον τὸ κινεῖσθαι τὸν ἥλιον· τὸ δὲ ἔστ' ἂν ὑπάρχῃ τὸ ὑποκείμενον
ἐξ ὑποθέσεως ἀναγκαῖον τὸ Σωκράτην εἶναι ζῷον· ἔστ' ἂν γὰρ ὑπάρχῃ
Σωκράτης, ἀνάγκη αὐτὸν ζῷον εἶναι, ὃ καὶ μᾶλλον τῷ κυρίως ἀναγκαίῳ
15 συνεγγίζει· τὸ δὲ τρίτον ὡς λέγομεν ἀνάγκη τὸν καθήμενον καθῆσθαι·
ἔστ' ἂν γὰρ ὑπάρχῃ τὸ κατηγορούμενον, λέγω δὴ τὸ καθῆσθαι, ἀναγκαίως 20
ὑπάρχει τῷ καθημένῳ κατὰ τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον. λέγομεν οὖν ὅτι
ἡ μὲν μείζων πρότασις κατὰ τὸ κυρίως εἴληπται ἀναγκαῖον, τὸ δὲ συμπέ-
ρασμα κατὰ τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον τὸ ἔστ' ἂν ᾖ τὸ κατηγορούμενον·
20 ἕως γὰρ ἂν ὑπάρχῃ τὸ Α τῷ Γ, ἐξ ἀνάγκης αὐτῷ ὑπάρχει. καὶ ὁ Ἀλέ-
ξανδρος δὲ ὁ τοῦ φιλοσόφου ἐξηγητής φησιν ἔν τινι μονοβίβλῳ καὶ τὸν
αὐτοῦ διδάσκαλον Σωσιγένην ταύτης εἶναι τῆς δόξης, ὡς ὅτι τὸ ἐξ ὑπο-
θέσεως ἀναγκαῖον συνάγει ἐνταῦθα ὁ Ἀριστοτέλης. ὅτι γάρ, φησί, τοῦτο
βούλεται, δῆλον ἐξ ὧν, ὅτε μὲν ὑπάρχον συνάγεται τὸ συμπέρασμα τῆς 25
25 μείζονος ὑπαρχούσης οὔσης τῆς δὲ ἑτέρας ἀναγκαίας, ἐκτίθεται ὅρους ὁ
φιλόσοφος, ὅτε δὲ ἀναγκαῖον συνάγεται τῆς μείζονος ἀναγκαίας οὔσης τῆς
δὲ ἐλάττονος ὑπαρχούσης, οὐκ εὐπόρησεν ἐκθέσθαι ὅρους τὸ κυρίως ἀναγ-
καῖον συνάγοντας· ὅθεν δῆλον, φησίν, ὅτι καὶ αὐτὸς τὸ ἐξ ὑποθέσεως
ἔλαβεν ἀναγκαῖον.

30 p. 30ª23 Εἰ δὲ τὸ μὲν Α Β μή ἐστιν ἀναγκαῖον, τὸ δὲ Β Γ ἀναγ-
καῖον, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. 30

Παραδοὺς τὴν ἐκ τῆς μείζονος ἀναγκαίας νῦν τὴν ἀντικειμένως ἔχουσαν 35

3 καὶ τὸ B: τε καὶ Vt τῶν—4 χείρονι Ct: om. BV 8 λέγω B ὅτι τὸ ἐνδέχεσθαι V ἐν τῷ Περὶ ἑρμ.] c. 9 p. 19ª23 sq. 9 λέγεται om. B 10 διχῶς om. B γὰρ om. B λέγει B ἕως B itemque vs. 11—19 ὑπάρχει V 11 ἂν om. B ὑπάρχει V τὸ κατηγορούμενον—12 ὑπάρχῃ om. V οἷον ex οἱ corr. B 12 ὑπάρχει t 13 post ὑποθ. add. δ' V fort. ἀναγκαῖον ⟨οἷον⟩ σωκράτης B γὰρ ἂν B ὑπάρχει V 14 ante σωκρ. add. ὁ B σωκράτην t ἀναγκαῖον (ante αὐτὸν) B 16 ἔστ'—καθῆσθαι om. V γὰρ ἂν B ἀναγκαῖον (ο in ras.) V 17 λέγω B 18 μὲν om. Vt ἀναγκαῖον εἴληπται B 19 τὸ alt. om. B 20 ὑπάρχῃ (post αὐτῷ) V ὁ om. B 20. 21 ὁ Ἀλέξανδρος] cf. p. 125,30 21 φησιν om. Vt 22 αὐτοῦ Bt: αὐτῆς V 27 ἐλάσσονος B 28 συνάγεται V ὅτι post δῆλον colloc. V: om. B 29 ἀναγκαῖον ἔλαβεν B 31 ἔσται t Arist.: ἔστι BV(d) 32 τῆς om. B

παραδίδωσι τὴν ἔχουσαν πρὸς τῷ ἐλάττονι τὸ ἀναγκαῖον πρὸς δὲ τῷ XXXIIIv
μείζονι τὸ ὑπάρχον, καὶ φησὶν οὐκ ἀναγκαῖον ἀλλ' ὑπάρχον γίνεσθαι τὸ συμ-
πέρασμα· εἴρηται γὰρ ἤδη ὅτι ὁ Ἀριστοτέλης ἐνταῦθα τῇ μείζονι βούλεται
ἀκολουθεῖν τὸ συμπέρασμα. δείκνυσι δὲ τοῦτο διχόθεν, καὶ τῇ εἰς ἄτοπον
5 ἀπαγωγῇ καὶ τῇ διὰ τῶν ὅρων δείξει· καὶ γὰρ τῶν μεθόδων ἡ χρεία ἡμῖν
καθέστηκεν οὐ δι' ἑαυτάς, ἀλλ' ἵνα τοῖς πράγμασιν αὐτὰς ἁρμόζωμεν· διὸ 10
καὶ ἐν τοῖς ἀσυλλογίστοις ὅρους παρατιθέμενος ἠρκεῖτο τούτοις εἰς ἔλεγχον ὡς
μὴ δυναμένων αὐτῶν ἐφαρμοσθῆναι τοῖς πράγμασι. δείκνυσιν οὖν τοῦτο
διά τε τοῦ πρώτου σχήματος καὶ τοῦ τρίτου, ὑποτιθέμενος συνάγεσθαι ἀναγ-
10 καῖον τὸ συμπέρασμα καὶ δεικνὺς ταύτῃ τῇ ὑποθέσει ψεῦδος ἀκολουθοῦν
καὶ οὕτως αὐτὴν ἐλέγχων· δῆλον γὰρ ὅτι ᾗ ἂν ὑποθέσει ψεῦδος ἀκολουθῇ,
ψευδὴς ἔσται· οὐδεμιᾷ γὰρ ἀληθεῖ ὑποθέσει ψεῦδος ἀκολουθεῖ. δείκνυσιν
οὖν τὸ ψεῦδος ἀκολουθοῦν καὶ διὰ τοῦ πρώτου καὶ διὰ τοῦ τρίτου σχή-
ματος. καὶ διὰ μὲν τοῦ πρώτου οὕτως. εἰ τὸ μὲν Α παντὶ τῷ Β ὑπάρ- 15
15 χει μόνον, τὸ δὲ Β παντὶ τῷ Γ ἐξ ἀνάγκης, ἐγὼ μέν, φησί, λέγω ὅτι τὸ
Α παντὶ τῷ Γ ὑπαρχόντως ὑπάρξει. εἰ δέ τις λέγει ἐξ ἀνάγκης, συγκεχωρή-
σθω τοῦτο· καὶ εἰ μὲν μηδὲν ψεῦδος ἀκολουθήσει, ἔστω ἀληθὲς τὸ συμ-
πέρασμα· εἰ δὲ εὕρωμέν τι ψεῦδος ἑπόμενον, δῆλον ὅτι ψευδὴς ἡ ὑπόθεσις
ἡ λέγουσα τὸ ἀναγκαῖον συνάγεσθαι, ὥστε τὸ ὑπάρχον μόνως συναχθήσεται.
20 ἐπεὶ οὖν τὸ Α παντὶ τῷ Γ ἐξ ἀνάγκης ὑπεθέμεθα, ἦν δὲ καὶ τὸ Β παντὶ
τῷ Γ ἐξ ἀνάγκης, καὶ τὸ Γ ἄρα τινὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρξει· ἀντιστρέφει 50
γάρ. εἰ τοίνυν τὸ μὲν Α παντὶ τῷ Γ ἐξ ἀνάγκης ὑπάρχει, τὸ δὲ Γ τινὶ
τῷ Β ἐξ ἀνάγκης ὑπάρχει, τὸ ἄρα Α τινὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρξει· γίνεται
γὰρ ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος. ἀλλὰ τοῦτο ψεῦδος· ὑπέκειτο
25 γὰρ τὸ Α παντὶ τῷ Β ὑπάρχειν μόνον· τὸ δὲ παντὶ ὑπάρχον ἐνδέχεται
καὶ μηδενὶ ὑπάρχειν καὶ τινὶ ἐξ ἀνάγκης ὑπάρχειν. οἷον ἀληθὲς τὸ λέγειν
τὸ σώματι παντὶ τὸ κινεῖσθαι ὑπάρχει'· ἀλλὰ τοῦτο δύναται καὶ τινὶ ἀναγ-
καίως ὑπάρχειν, | οἷον τῷ οὐρανίῳ. πάλιν λέγομεν ὑπάρχειν πάσῃ XXXIVr
νηὶ τὸ κινεῖσθαι ἢ ἀνθρώπῳ τὸ καθῆσθαι, ἐὰν ἢ κινῶνται ἢ κάθηνται·
30 ἀλλὰ καὶ μηδενὶ ἐνδέχεται ὑπάρχειν. εἰ τοίνυν τοιαύτη ἐστὶν ἡ τοῦ ἁπλῶς
ὑπάρχοντος φύσις, ἐὰν ἄρα τεθῇ τὸ ἐξ ἀνάγκης τινὶ τῷ Β τὸ Α ὑπάρχειν,
οὐ δυνήσεται τὸ αὐτὸ τῷ αὐτῷ καὶ μηδενὶ ἐνδέχεσθαι ὑπάρχειν· αὕτη
δὲ ἦν ἡ τοῦ κυρίως ὑπάρχοντος φύσις· ψεῦδος ἄρα τὸ ἐξ ἀνάγκης τὸ Α 5

1 τῶ ἐλάσσονι B: τὸ ἔλαττον V 3 εἴρηται] p. 122,28 123,13 ὁ om. V 4 διχῶς τῇ B
5 ἡ μὲν t 7 ἐν τοῖς S: om. BVt ἀσυλλογίστους Vt παρατιθέμενος scripsi: θέμενος B:
παρατιθέμενοι SVt ἤρκει t 9 ὑποθέμενος B ante συνάγ. add. τὸ Vt 11 post ᾗ add.
δ' SVt ἀκολουθεῖ B 13 ἀκολουθεῖν Vt τρίτου BV: β' (quod corr. Waitz Org. I 29) t
14 μὲν alt. om. BS 14. 15 ὑπάρχον V 16 λέγοι t 16. 17 συγκεχωρείσθω B, pr. V
17 τούτω pr. V μηδενὶ V ἀκολουθεῖ B 18 εὕρωμέν S: εὕρομέν BVt 19 μόνον S
20 καὶ om. B 21 γ̄ ἄρα B: ἄρα α' V: ἄρα γ' t ὑπάρχει B 22 ὑπάρχει om. B
τὸ δὲ γ' Vt: καὶ τὸ γ' ἄρα B 23 ὑπάρχει—24 γὰρ SVt: καὶ τὸ α ἄρα τινὶ τῶν β' ἐξ ἀνάγ-
κης ὑπάρχει. καὶ γίνεται B 25 ὑπάρχειν (post παντὶ) Vt 26 καὶ prius om. t
27 τῷ—τῷ t ὑπάρχειν t 28 λέγει B 28. 29 πάσῃ νηὶ ὑπάρχειν B 29 ἀνθρώ-
ποις B κινοῦνται Vt 31 ὑπάρχοντος ex ὑπαρχέτω, ut videtur, corr. B²: ὑπάρχειν Vt
ὑπάρχει t 33 γὰρ V ἦν om. B ὑπάρχοντος St: ὑπαρχέτω B: ὑπάρχειν V

τινὶ τῷ B ὑπάρχειν. τὸ δὲ ψεῦδος ἠκολούθησε διὰ τὴν ἐξ ἀρχῆς ὑπό- XXXIVr
θεσιν τὴν λέγουσαν ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα· ὑπάρχον ἄρα συν-
αχθήσεται. καὶ σκόπει πῶς οὐ φησὶν ἀδύνατον εἶναι τὸ A τινὶ τῷ B ἐξ
ἀνάγκης ὑπάρχειν ἀλλὰ ψεῦδος· οὐδὲ γὰρ εἴ τι ψεῦδος, τοῦτο καὶ ἀδύνατον·
5 ἀλλ' εἴ τι ἀδύνατον, τοῦτο καὶ ψεῦδος, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν εἴπομεν.
οὐδὲ γὰρ προέθετο τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δεῖξαι (διόπερ οὐδὲ τὸ ἀντι-
κείμενον τῷ ὑπάρχειν παντὶ ὑπέθετο) ἀλλὰ μόνον δεῖξαι ψεῦδος τὸ λέγον 10
ὅτι ἀναγκαῖον συνάγεται τὸ συμπέρασμα. οὐδὲ γὰρ ἀδύνατον ἐπί τινος τὸ
αὐτὸ τῷ αὐτῷ καὶ ὑπαρχόντως παντὶ ὑπάρχειν καὶ τινὶ ἐξ ἀνάγκης ὑπάρχειν·
10 ὡς γὰρ εἶπον, τοιοῦτόν ἐστι τὸ κοινότερον ὑπάρχον, ὡς διὰ τῶν ὅρων ἐδεί-
ξαμεν. ψεῦδος ἄρα τὸ ἐξ ἀνάγκης τινὶ ὑπάρχον τοῦτο καὶ παντὶ ὑπάρχειν
κατὰ τὸ ἁπλῶς, τουτέστι τὸ καθόλου τοῦ ὑπάρχοντος σημαινόμενον, ὅπερ
δύναται καὶ τινὶ ἐξ ἀνάγκης ὑπάρχειν καὶ μηδενὶ ἐνδέχεσθαι ὑπάρχειν.
οὕτω μὲν οὖν διὰ τοῦ πρώτου σχήματος. διὰ δὲ τοῦ τρίτου οὕτως. εἰ
15 γὰρ τὸ A παντὶ τῷ Γ ἐξ ἀνάγκης, ὡς ἄν τις ὑπολάβοι, ὑπῆρχε δὲ καὶ 15
τὸ B ἐξ ἀνάγκης τῷ αὐτῷ παντί, τὸ ἄρα A τινὶ τῷ B ἐξ ἀνάγκης ὑπάρξει·
γίνεται γὰρ ὁ πρῶτος τρόπος τοῦ τρίτου σχήματος τῶν δύο ἀναγκαίων οὐσῶν
μερικὸν καταφατικὸν ἀναγκαῖον συνάγων συμπέρασμα. ὑπέκειτο δὲ καὶ παντὶ
τῷ B τὸ A ὑπάρχειν· ψεῦδος ἄρα τὸ τινὶ τῷ B ἐξ ἀνάγκης ὑπάρχειν τὸ A·
20 ἐνδέχεται γὰρ ἐπὶ τοῦ ὑπάρχοντος τρόπου τὸ ληφθὲν ὡς παντὶ ὑπάρχον
καὶ μηδενὶ αὐτῷ ὑπάρχειν· ψεῦδος ἄρα τὸ τινὶ ἐξ ἀνάγκης. τὸ δὲ ψεῦδος 20
ἠκολούθησε διὰ τὸ ὑποθέσθαι τῷ Γ παντὶ τὸ A ἐξ ἀνάγκης ὑπάρχειν.
οὕτω μὲν οὖν ὁ Ἀριστοτέλης.

Ἔτι δὲ καὶ ἐκ τῶν ὅρων φανερὸν ὅτι οὐκ ἔσται τὸ συμ-
25 πέρασμα ἀναγκαῖον· οἷον εἰ τὸ μὲν A εἴη κίνησις, τὸ δὲ B ζῷον,
ἐφ' ᾧ δὲ τὸ Γ ἄνθρωπος. κίνησις μὲν γὰρ παντὶ ζῴῳ ὑπαρχόντως
ὑπάρχει, ζῷον δὲ παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, καὶ συμπέρασμα συνάγεται
οὐκ ἀναγκαῖον ἀλλ' ὑπάρχον· κίνησις γὰρ ἀνθρώπῳ παντὶ ὑπάρχει οὐκ
ἀναγκαίως ἀλλ' ὑπαρχόντως. ἐπιστῆσαι δὲ χρὴ ἐπὶ τούτων τῶν ὅρων ὅτι 25
30 οὐ κατενόησε τὸ αὐτὸ δυνάμενον γενέσθαι καὶ ἐφ' οὗ εἶπεν ἀναγκαίου συμ-
περάσματος τοῦ συναγομένου ἐκ τοῦ μείζονος ἀναγκαίου· ὥσπερ γὰρ ἐνταῦθα
λαβὼν τὴν κίνησιν μείζονα ὅρον ἔδειξε τὸ συμπέρασμα μὴ ἀναγκαῖον, οὕτω
κἀκεῖ, εἰ ληφθείη ὁ αὐτὸς ἐλάττων, οὐκ ἔσται ἀναγκαῖον. οἷον τὸ μὲν A
ζῷον, τὸ δὲ B ἄνθρωπος, τὸ δὲ Γ κίνησις· οὐκοῦν εἰ τὸ ζῷον τῷ ἀνθρώπῳ 30
35 ἐξ ἀνάγκης ὑπάρχει, ὁ δὲ ἄνθρωπος κινεῖται ὑπαρχόντως, τὸ ζῷον ἐξ ἀνάγ-

4 οὐδὲ γὰρ Vt: καὶ γὰρ οὐκ B 5 καὶ alt. om. V ἐν τοῖς ἔμπροσθεν] p. 56,27 6 ἄτοπον B διὸ B οὐδὲ alt. S: οὐ BVt 7 τὸ (ante ὑπ.) V λέγειν conicio 8 συνάγεσθαι, om. ὅτι B 10 ὑπάρχει t 11 ἄρα om. B ὑπάρχειν (post τινὶ) t ὑπάρχειν om. t: ὑπάρχον V: compend. B 12 ὑπάρχειν V ὁ B 13 ἐνδέχεται B 15 ἐξ ἀνάγκης παντὶ τῷ γ' t ὑπολάβῃ B 16 ὑπάρχει B 17 γὰρ om. B τοῦ α' pr. V post δύο add. καταφατικῶν S 20 ὑπάρχον scripsi: ὑπάρχειν Vt: compend. B 23 ὁ om. Vt 24 οὐκ ἔστι B 26 post γὰρ add. ἐν t παντὶ om. V 27 ὑπάρχει om. B ἐξ ἀνάγκης BS: ἀναγκαίως Vt post καὶ add. τὸ B συνάγεται om. B 28 κίνησις—29 ὑπαρχόντως om. B post κίνησις del. μὲν V παντὶ ἀνθρώπῳ St 30 γενέσει t ἀφ' V 33 ληφθῇ V ἔστιν V

κης κινεῖται· ἀλλὰ τοῦτο ψεῦδος. ἔστιν οὖν ὅλον τὸ χωρίον παρόραμα. XXXIVr
καὶ δῆλον εἰς ὃ ἀποβλέψας ἀπήχθη· ἐπειδὴ γάρ, εἰ λάβοιμεν ὡς ἐν κατη-
γορίᾳ τὸ Γ ὑπὸ τὸ Β, εὑρίσκεται ὡς εἶδος αὐτοῦ ὄν, τοῦτο καὶ ἐπὶ πάντων
ὑπέλαβε. τὸ δὲ οὐκ ἔστιν· οὐδὲ γὰρ ἐνταῦθα ὑπὸ τὸν ἄνθρωπον εἶδος ἡ
5 κίνησις καίτοι τῇ τάξει τῶν ὅρων ὑπ' αὐτὸν εἰλημμένη ἀλλ' ὡς ὑποκείμενον.
ἢ τοίνυν παρεῖδεν, ἢ τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον ἔλαβεν, ὡς ἤδη εἴπομεν.

p. 30a32 Ὁμοίως δὲ καὶ εἰ στερητικὸν εἴη τὸ Α Β· ἡ γὰρ αὐτὴ ἀπόδειξις.

Εἴπομεν ὅτι ὀκτὼ γινομένων ἐνταῦθα τῶν καθόλου συζυγιῶν, τεσσάρων
10 μὲν συλλογιστικῶν τεσσάρων δὲ ἀσυλλογίστων, τὰς μὲν δύο συλλογιστικὰς
ἐξ ἀμφοτέρων καταφατικῶν παρέδωκεν. νῦν δὲ τὰς ἀποφατικὰς παραδίδωσι,
καὶ φησὶ τὴν αὐτὴν καὶ ἐπὶ τούτων εἶναι δεῖξιν. ἔστω οὖν ἡ μείζων ἀναγ-
καία. εἰ τοίνυν τὸ Α οὐδενὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρχει, τὸ δὲ Β παντὶ
τῷ Γ ὑπάρχει, μέρος ἄρα τοῦ Β τὸ Γ· τὸ δὲ Α πάντων τῶν μερῶν τοῦ
15 Β ἐξ ἀνάγκης κεχώρισται * * * * μέρους ὄντος τοῦ Β. οὕτω μὲν οὖν κατὰ
Ἀριστοτέλην. τὰ αὐτὰ δὲ πάλιν φασὶ καὶ ἐπὶ τούτων οἱ περὶ Θεόφραστον καὶ
Εὔδημον· ὁπότερος γὰρ ἂν ᾖ τῶν ὅρων ἀναγκαῖος, θατέρου ὄντος ὑπάρχοντος
τὸ συμπέρασμα ὑπάρχον ἔσται. καὶ ἐπὶ μὲν τῆς πρὸς τῷ ἐλάττονι ἐχούσης
τὸ ἀναγκαῖον καὶ αὐτὸς ὁ Ἀριστοτέλης συνομολογεῖ. ἐπὶ δὲ τῆς ἐχούσης
20 τὴν μείζονα ἀναγκαίαν, δηλονότι καὶ στερητικήν δέ, δείκνυται καὶ διὰ τῶν
ὅρων, δείκνυται δὲ καὶ διὰ κοινοτέρων λόγων οὕτως. ἐπεὶ γὰρ τὸ Α οὐδενὶ
τῷ Β ἐξ ἀνάγκης, τὸ δὲ Β παντὶ τῷ Γ ὑπάρχει, πρόδηλον· εἰ γὰρ μηδενὶ
τῷ Β τὸ Α, δῆλον ὅτι οὐδὲ τῷ Γ· τὸ γὰρ Γ ὑπὸ τὸ Β. ἀλλ' οὐκέτι καὶ
ἐξ ἀνάγκης οὐδενὶ τῷ Γ τὸ Α ὥσπερ τῷ Β, ἐπειδὴ ὑπαρχόντως τοῦ Β τὸ
25 Γ ὑπόκειται εἶναι μέρος καὶ οὐκ ἀναγκαίως. ὅσον οὖν ἀπὸ τῶν ὅρων
οὐδαμῶς τὸ ἀναγκαῖον συνάγεται· εἰ γὰρ λάβοιμεν ἀντιδιῃρημένα ἀλλήλοις
εἴδη, οἷον τὸ μέλαν καὶ τὸ λευκόν, καὶ τούτων τὸ μὲν ἕτερον ποιήσομεν
μείζονα ὅρον τὸ δὲ ἕτερον μέσον, εἶτα λάβοιμέν τι τρίτον ᾧ ἑκάτερον ἀνὰ
μέρος δύναται ὑπάρχειν καὶ μὴ ὑπάρχειν καὶ τοῦτο ποιήσομεν ἐλάττονα
30 ὅρον, οἷον ἵππον, δῆλον ὅτι τὸ μὲν ἕτερον | τῶν ἀντιδιῃρημένων εἰδῶν XXXIVv
τοῦ ἑτέρου ἐξ ἀνάγκης ἀποφάσκεται, οἷον τὸ λευκὸν τοῦ μέλανος· κατηγορη-
θέντος δὲ τοῦ μέσου τοῦ ἐσχάτου ὑπαρχόντως οὐκ ἐξ ἀνάγκης τοῦ ἐσχάτου
τὸ πρῶτον ἀποφαθήσεται ἀλλ' ὑπαρχόντως, διότι εἰ ὑπαρχόντως αὐτοῦ τὸ

---

1 τοῦτο om. Vt 2 τί B ἐλάβομεν, om. εἰ B . ὡς om. V 3 εὑρίσκεσθαι B αὐτοῦ scripsi: αὐτῶν libri ὄν om. Vt τούτων V 4 ἐπέλαβε B post εἶδος add. ὄντα B: fort. ὄντα ὡς εἶδος addendum 5 αὐτῶν B εἰλημμένης Vt 6 εἴπομεν] p. 126,17 7 δὲ t Arist.: om. BV 9 τῶν συζυγιῶν τῶν καθόλου V 10 τὸ (ante μὲν δύο) V 13 post β̄ alt. add. ἐξ ἀνάγκης t 15 lac. indicavi; supple καὶ τοῦ γ̄ ἄρα ἐξ ἀνάγκης κεχώρισται 16. 17 καὶ εὔδημον om. Vt 17 ὁπότερον t ἂν om. V 19 ὁμολογεῖ B 20 δέ om. Vt post δείκνυται add. οὐ B 21 λέγων Vt 23 οὐκ ἔστι B 24 ἐπεὶ B 25 νῦν V 26 ἀναγκαίως V λάβομεν V 27 ἤδη V τοῦτο V 28 λάβομεν V: λάβωμεν t ᾧ scripsi: ὃ libri ἑκάτερον scripsi: ἑκατέρου B: ἑκατέροις Vt 29 ὑπάρχειν alt. om. B ἔλαττον V 32 τοῦ ἐσχάτου prius scripsi: τῷ ἐσχάτῳ libri 33 ἀποφαθήσεται scripsi cf. p. 130,4: ἀποφανθήσεται libri

μέσον κατηγορεῖται, δῆλον ὅτι δύναται καὶ μὴ ὑπάρξαι αὐτῷ. τοῦ δὲ XXXIVv
μέσου μὴ ὑπάρχοντος ἐξ ἀνάγκης τὸ ἀντιδιῃρημένον ὑπάρξει· εἰ δὲ δύναται
καὶ ὑπάρξαι καὶ μὴ ὑπάρξαι, δῆλον ὅτι ὁπηνίκα ἀποφάσκηται, οὐκ ἐξ ἀνάγκης
ἀποφαθήσεται. εἰ γὰρ τὸ λευκὸν μηδενὶ μέλανι ἐξ ἀνάγκης, τὸ δὲ μέλαν
παντὶ ἵππῳ ὑπαρχόντως ⟨, τὸ λευκὸν οὐδενὶ ἵππῳ ὑπαρχόντως⟩· εἰ γὰρ τὸ
μέλαν παντὶ ⟨ἵππῳ⟩ ὑπαρχόντως, δύναται καὶ μὴ ὑπάρχειν· μὴ ὑπάρχοντος
δὲ τὸ λευκὸν πάντως ὑπάρξει ἤ τι τῶν μεταξύ· πάντως γὰρ δεῖ τοῦ ἑτέρου
τῶν ἐναντίων μεταλαβεῖν ἤ τινος τῶν μεταξύ. εἰ δὲ δύναται ὑπάρξαι παντὶ
ἵππῳ τὸ λευκόν, δῆλον ὅτι, ὅτε τὸ μέλαν ὑπάρχει, τὸ λευκὸν ὑπαρχόντως,
οὐκ ἐξ ἀνάγκης ἀποφαθήσεται. σημειωτέον δὲ μὴ λαβεῖν τὸν ἐλάττονα
ὅρον ᾧ ἕτερόν τι τῶν ἐναντίων ἐξ ἀνάγκης ὑπάρχει, οἷον τῷ κόρακι τὸ
μέλαν, ἐπεὶ οὐκέτι φυλάξομεν τὴν ἐλάττονα ὑπάρχουσαν.

p. 30a33 Ἐπὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν. εἰ μὲν τὸ καθόλου ἐστὶν ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον, εἰ δὲ τὸ κατὰ μέρος, οὐκ ἀναγκαῖον, οὔτε στερητικῆς οὔτε κατηγορικῆς οὔσης τῆς καθόλου προτάσεως.

Παραδοὺς τὰς ἐκ δύο καθόλου τέσσαρας συλλογιστικὰς προτάσεις περὶ τῶν ἀσυλλογίστων οὐδέν φησι· διὰ τῶν αὐτῶν γὰρ δείκνυνται δι' ὧν καὶ αἱ τοῦ ὑπάρχοντος ἀσυλλόγιστοι προτάσεις. μέτεισιν οὖν ἐπὶ τὰς συζυγίας τὰς ἐκ τῆς μιᾶς καθόλου τῆς δὲ ἑτέρας μερικῆς, καὶ φησὶν ὅτι, ὅπως ἂν ἔχῃ ἡ μείζων πρότασις, τοιοῦτον ἔσται καὶ τὸ συμπέρασμα. εἴπομεν γὰρ ὅτι ἐν πρώτῳ σχήματι τῇ μείζονι βούλεται ἀκολουθεῖν τὸ συμπέρασμα ἐπὶ τῶν ἐκ τῆς μιᾶς ἀναγκαίας τῆς δὲ ἑτέρας ὑπαρχούσης· ἐφ' ὧν δὲ ἡ μὲν ἑτέρα ἐστὶ καθόλου ἡ δὲ ἑτέρα μερική, πάντως ἡ μείζων καθόλου ἐστὶν ἐν πρώτῳ σχήματι, εἴγε μέλλοι συλλογιστικὴ εἶναι ἡ συζυγία. διὰ τοῦτό φησιν ὅτι τῇ καθόλου προτάσει τὸ συμπέρασμα ἀκολουθεῖ· ταὐτὸν γάρ ἐστι πάλιν εἰπεῖν 'τῇ μείζονι'.

p. 30a37 Ἔστω δὴ πρῶτον τὸ καθόλου ἀναγκαῖον, καὶ τὸ μὲν Α παντὶ τῷ Β ὑπαρχέτω ἐξ ἀνάγκης, τὸ δὲ Β τινὶ τῷ Γ ὑπαρχέτω μόνον· ἀνάγκη δὴ τὸ Α τινὶ τῷ Γ ὑπάρχειν ἐξ ἀνάγκης· τὸ γὰρ Γ ὑπὸ τὸ Β ἐστί, τῷ δὲ Β παντὶ τὸ Α ὑπῆρχεν ἐξ ἀνάγκης.

Πρώτην πάλιν τίθησι τὴν ⟨τὸ⟩ καθόλου ἀναγκαῖον ἔχουσαν ἐν τῇ μείζονι

---

3 καὶ prius om. B ὑπάρξαι alt. om. B ἀποφάσκεται B 4 ἀποφαθήσεται scripsi: ἀποφανθήσεται libri itemque vs. 10 μέλαν (ante ἐξ) V 5 τὸ λευκὸν—ὑπαρχόντως addidi 6 ἵππῳ addidi ὑπάρχει (ante μὴ) V 7 ὑπάρχει B γὰρ om. V 8 τινος τῶν scripsi: τοῦ BV: τι τοῦ t 9 ὅτε τὸ Bt: ὅτι V ὑπάρξει pr. V 9. 10 ἐξ ἀνάγκης καὶ ὑπαρχόντως B 10 δὲ om. B μὴ om. V 11 ὑπάρχον V 15 οὔτε alt.] ἢ V 18 οὐδενὶ V 19 ὑπάρχειν V 21 ἔχοι Vt ἐστὶ B εἴπομεν] p. 122,28 22 ὅτι om. V post ἐν add. τῷ B 22. 23 ἐπὶ τῶν om. Vt 23 ἐκ scripsi: ἐπὶ libri ᾧ t 25 συλλογιστικαὶ pr. V 26 ἀκολουθεῖ τὸ συμπέρασμα B 27 πᾶσιν V 28 καὶ τὸ μὲν κτλ. om. V 30 δὲ t (d) 31 τῷ Arist.: τὸ Bt τὸ α B (B): τῷ α' t: om. Arist. 32 πάλιν Bt: πρότασιν V τὸ addidi

προτάσει ἐν δὲ τῇ ἐλάττονι τὸ μερικὸν ὑπάρχον, ἀμφοτέρας δὲ καταφατι- XXXIV
κάς, καὶ τῇ αὐτῇ πάλιν δείξει τὸ ἀναγκαῖον δείκνυσι συναγόμενον. εἰ γὰρ τὸ
Α, φησί, παντὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρχει, τὸ δὲ Β τινὶ τῷ Γ ὑπαρχόντως,
συνάγεται ὅτι τὸ Α τινὶ τῷ Γ ἐξ ἀνάγκης ὑπάρχει· εἰ γὰρ παντὶ τῷ Β τὸ
5 Α ἐξ ἀνάγκης, τὶ δὲ τῶν Γ μέρος ἐστὶ τοῦ Β, καὶ τὸ Α ἄρα τινὶ τῶν Γ 30
ὑπάρξει ἐξ ἀνάγκης μέρει ὄντι τοῦ Β. ἐροῦμεν δὲ καὶ πρὸς τοῦτο τὰ
αὐτὰ πάλιν ἅπερ καὶ ἐπὶ τῆς ἐκ δύο καθόλου καταφατικῶν, ὅτι ὑπαρχόντως
ὑπὸ τὸ Β τι τῶν Γ ἐστὶ καὶ διὰ τοῦτο δύναται καὶ μὴ εἶναι ὑπ' αὐτό,
τὸ δὲ Α τῷ Β ὑπῆρχεν ἐξ ἀνάγκης, τουτέστιν ἀεὶ τοῖς ἀεὶ αὐτοῦ μέρεσιν
10 οὖσιν, ὥστε οὐκ ἐξ ἀνάγκης ἀλλ' ὑπαρχόντως τινὶ τῷ Γ ὑπάρξει. ἔστωσαν
δὲ ὅροι ἐπιστήμη, γραμματική, ἄνθρωπος· ἐπιστήμη πάσῃ γραμματικῇ ἐξ
ἀνάγκης ὑπάρχει, γραμματικὴ δὲ ὑπαρχόντως τινὶ ἀνθρώπῳ, καὶ συνάγεται 35
ἐπιστήμη ὑπαρχόντως τινὶ ἀνθρώπῳ.

p. 30ᵇ1 Ὁμοίως δὲ καὶ εἰ στερητικὸς εἴη ὁ συλλογισμός· ἡ γὰρ
15 αὐτὴ ἔσται ἀπόδειξις.

Πάλιν, φησίν, εἰ στερητικὸν ἀναγκαῖον τεθείη τὸ καθόλου, ἀναγκαῖον ὡσαύτως τὸ συμπέρασμα συναχθήσεται. εἰ γὰρ τὸ Α μηδενὶ τῷ Β ἐξ ἀνάγκης, τὸ δὲ Β τινὶ τῷ Γ ὑπαρχόντως, καὶ τὸ Α τινὶ τῷ Γ ἐξ ἀνάγκης οὐχ ὑπάρξει· ἐπειδὴ γὰρ οὐδενὶ τῷ Β ἐξ ἀνάγκης τὸ Α, τὶ δὲ τῶν Γ τοῦ
20 Β ἐστί, καὶ τὸ Α ἄρα τινὶ τῶν Γ οὐχ ὑπάρξει ἐξ ἀνάγκης. τὰ αὐτὰ δὲ 40
πάλιν λεχθήσεται καὶ πρὸς τοῦτο, ὅτι τὸ ὑπάρχον καὶ οὐ τὸ ἀναγκαῖον συνάγεται, ἅπερ καὶ ἐπὶ τῆς ἐκ δύο καθόλου ⟨οὔσης⟩ τῆς μείζονος ἀποφατικῆς ἐλέχθη. ὅροι δὲ τοῦ τὸ ὑπάρχον συνάγεσθαι ἐγρήγορσις, ὑπνοῦν, ἄνθρωπος· ἐγρήγορσις οὐδενὶ ὑπνοῦντι ἐξ ἀνάγκης, ὑπνοῦν τινὶ ἀνθρώπῳ ὑπαρχόντως,
25 καὶ συνάγεται ἐγρήγορσις τινὶ ἀνθρώπῳ ὑπαρχόντως. καὶ ἁπλῶς τὰ ἀντιδιῃρημένα δεῖ λαμβάνειν καὶ τὸ μὲν μείζονα ὅρον τιθέναι τὸ δὲ μέσον, ἐλάττονα δὲ ἄλλο τι ᾧ ὁ μείζων ὑπάρχει οὐκ ἐξ ἀνάγκης.

p. 30ᵇ2 Εἰ δὲ τὸ κατὰ μέρος ἐστὶν ἀναγκαῖον, οὐκ ἔσται τὸ συμ- 45
πέρασμα ἀναγκαῖον· οὐδὲν γὰρ ἀδύνατον συμπίπτει, καθάπερ
30 οὐδ' ἐν τοῖς καθόλου συλλογισμοῖς.

Ἐκθέμενος τὰς δύο προτάσεις τὰς ἐχούσας τὴν μείζονα, τουτέστι τὴν

1 τῇ om. B 2 δείξει πάλιν B 4 post συνάγεται add. φησὶν V παντὶ τῷ β' BS: inv. ord. Vt 5 post ἀνάγκης add. ὑπάρχει B: om. SVt 6. 7 τὰ αὐτὰ] p. 124,12 sq. 7 ἃ B τῆς scripsi: τῶν libri ἐκ om. V S τῶν β' V αὐτὴν B 9 α' δὲ B post τουτέστιν add. ὅτι B μέρεσιν αὐτοῦ B 10 γ̄ B: β' Vt 11 ante πάσῃ add. μὲν γὰρ Vt: om. BS cf. vs. 24 11. 12 ὑπάρχει ἐξ ἀνάγκης B 16 τεθῇ V 17 ἀναχθήσεται V 18 ὑπάρχει B 19 ὑπάρχει SV ἐπεὶ V 20 ἄρα superscr. V ἐξ ἀνάγκης οὐχ ὑπάρξει B 22 ἃ B οὔσης addidi 23 ἐλέχθη] p. 129,19 sq. γρήγορσις B itemque vs. 24. 25 24 ὑπάρχει B 25 καὶ συνάγεται — ὑπαρχόντως om. Vt 26 τὸ prius S: τὸν BVt τὸ alt. BS: τὸν Vt 27 ὁ om. t ὑπάρχει οὐκ Vt, om. οὐκ S: οὐχ ὑπάρξει B 28 ἐστὶν om. B 29 οὐδὲ V καθὰ t 30 οὐδ' t Arist. cf. p. 132,10: om. BV

καθόλου, ἀναγκαίαν καὶ δείξας ἀναγκαῖον αὐταῖς ἕπεσθαι τὸ συμπέρασμα, XXXIVv
νῦν τὰς λοιπὰς δύο τίθησι τὰς τὴν ἐλάττονα, τουτέστι τὴν μερικήν, ἀναγ- 50
καίαν ἐχούσας. καὶ φησὶν ὅτι, ὥσπερ ἐπὶ τῶν καθόλου συλλογισμῶν οἱ
τὴν ἐλάττονα ἔχοντες ἀναγκαίαν οὐ συνῆγον ἀναγκαῖον συμπέρασμα ἀλλ'
5 ὑπάρχον, οὕτω καὶ ἐπὶ τῶν μερικῶν συζυγιῶν ὑπάρχον ἐστὶ τὸ συμπέρασμα.
δῆλον δὲ ὅτι τοῦτο συνάγεται ἐξ ὧν τούτῳ μὲν τῷ συμπεράσματι οὐδὲν
ἀδύνατον ἕπεται οὔτε ἐνταῦθα οὔτε ἐπὶ τῶν καθόλου προτάσεων, τῷ δὲ
ἀναγκαίῳ ἀκολουθεῖ. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ὑπάρχει, τὸ δὲ Β τινὶ τῷ
Γ ἐξ ἀνάγκης ὑπάρχει, καὶ τὸ Α τινὶ τῷ Γ ὑπάρξει. καὶ τὴν | αἰτίαν XXXVr
10 προστιθεὶς φησιν οὐδὲν γὰρ ἀδύνατον συμπίπτει καθάπερ οὐδ' ἐν
τοῖς καθόλου συλλογισμοῖς· ἡνίκα γὰρ ἐπ' ἐκείνων ἐλαμβάνομεν τὴν
ἐλάττονα ἐξ ἀνάγκης καὶ ὑπετιθέμεθα ὑπάρχον συνάγεσθαι τὸ συμπέρασμα.
οὐδὲν ψεῦδος εἵπετο· εἰ δὲ ἀναγκαῖον ὑπεθέμεθα συνάγεσθαι συμπέρασμα,
ψεῦδός τι εἵπετο, ὡς ἐν ἐκείνοις δεδείχαμεν. ὡς οὖν ἐπ' ἐκείνων ἀναγκαίου
15 μὲν ὑποτεθέντος τοῦ συμπεράσματος ψεῦδός τι συνήγετο, ὑπάρχοντος δὲ 5
οὐκέτι, οὕτω, φησί, καὶ ἐπὶ τῶν ἐν μέρει, εἰ ὑποθώμεθα ἀναγκαῖον ἕπεσθαι
τὸ συμπέρασμα, ψεῦδος ἕπεται, εἰ δὲ ὑπάρχον, οὔ. ὁμοίως δὲ καὶ εἰ στερη-
τικὴ εἴη ἡ καθόλου ὑπάρχουσα, ἀναγκαία δὲ ἡ ἐλάττων, ὑπάρχον συν-
άγεται συμπέρασμα. καὶ τοῦτο πάλιν ἐπὶ ὅρων δείκνυσι· κίνησις παντὶ ζῴῳ
20 ὑπαρχόντως, ζῷον δὲ τινὶ λευκῷ ἐξ ἀνάγκης, τῷ κύκνῳ, καὶ συνάγεται κίνη-
σις κύκνῳ ὑπαρχόντως, οὐ μὴν ἀναγκαίως. ὁμοίως καὶ ἐπὶ τοῦ στερητικοῦ·
κίνησις οὐδενὶ λευκῷ, ᾗ λευκόν ἐστι, λευκὸν τινὶ ζῴῳ ἐξ ἀνάγκης, καὶ συνά- 10
γεται κίνησις οὐ παντὶ ζῴῳ ὑπαρχόντως· ἢ κίνησις οὐδενὶ ζῴῳ ὑπαρχόντως,
ζῷον τινὶ λευκῷ ἐξ ἀνάγκης, καὶ κίνησις τινὶ λευκῷ οὐχ ὑπάρχει.

25 p. 30b7 Ἐπὶ δὲ τοῦ δευτέρου σχήματος, εἰ μὲν ἡ στερητικὴ πρότασίς ἐστιν ἀναγκαία, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον, εἰ δ' ἡ κατηγορική, οὐκ ἀναγκαῖον.

Τὸν περὶ τοῦ πρώτου σχήματος πληρώσας λόγον ἐντεῦθεν ἐπισκέπτεται ὅπως ἔχουσι καὶ ἐν τῷ δευτέρῳ σχήματι αἱ μίξεις τοῦ ὑπάρχοντος καὶ 15

---

2 τουτέστι Vt: ἤτοι B 2. 3 ἀναγκαῖον t 4 ἐλάσσονα B 5 συμπέρασμα BS: συναγόμενον Vt 6 τοῦτο superscr. V 10 προσθεὶς V οὐ γὰρ Vt καθὰ B οὐδ' om. V 11 γὰρ om. V ἐλαμβάνομεν S: ἐλάβομεν B: ἐλάμβανε Vt 12 ἐπετιθέμεθα V 13 ὑποθέμεθα V: fort. ὑπετιθέμεθα συνάγειν B 14 ἐκείνω B δεδείχαμεν] p. 127,14 sq. οὖν om. V 15 ὑποτεθέντος St: ὑποθέντος V: ὑπετέθη B τοῦ συμπεράσματος S: συμπέρασμα BVt ante ψεῦδ. add. καὶ B 16 φησί post μέρει colloc. B εἰ om. t ἀναγκαῖον Vt: ἐξ ἀνάγκης BS 17 τὸ BS: om. Vt εἰ καὶ V 18 ἡ prius om. B ὑπάρχουσα om. Vt ἐλάσσων B ὑπάρχον B: ὑπάρχει Vt 18. 19 συνάγεται om. V 19 post ἐπὶ add. τῶν B post δείκνυσιν add. οἷον κίνησις. ζῶον. λευκόν B, eademque οἷον om. Vt: om. S 20 δὲ om. S τῷ κύκνῳ om. S 20. 21 κίνησις τινὶ λευκῷ ὑπαρχόντως οἷον κύκνω S 21 ὁμοίως δὲ καὶ τὸ στερητικόν B 23 ὑπαρχόντως prius S: ἐξ ἀνάγκης BVt 24 post ζῶον add. δὲ B καὶ S: om. BVt ὑπαρχόντως B 25 μίξις ἀναγκαίου καὶ ὑπάρχοντος ἐν δευτέρῳ σχήματι inscr. B: σχῆμα δεύτερον. μίξις ἀναγκαίου καὶ ὑπάρχοντος ἐν τῷ σχήματι V 28 ἐντεῦθεν om. B ἐπισκέπεται V

τοῦ ἀναγκαίου. τῶν δὲ ἐν δευτέρῳ σχήματι ἀνομοιοσχημόνων οὐσῶν XXXVʳ προτάσεων βούλεται ὁ Ἀριστοτέλης τῇ ἀποφατικῇ προτάσει ἀκολουθεῖν τὸ συμπέρασμα, καὶ εἰ μὲν ἀναγκαίου τρόπου ὑπάρχει ἡ ἀποφατική, ἀναγκαῖον ὑπάρχειν καὶ τὸ συμπέρασμα, εἰ δὲ ὑπάρχοντος, ὑπάρχον. ἐπειδὴ γὰρ οἱ ἐν δευτέρῳ σχήματι συλλογισμοὶ τελειοῦνται τῇ εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῇ, ἐν δὲ τῷ πρώτῳ σχήματι δεῖ πάντως τὴν ἀποφατικὴν μείζονα εἶναι, ἐδείκνυτο δὲ ὅτι, ὅπως ἂν ἔχῃ ἡ μείζων ἐν πρώτῳ σχήματι, οὕτως ἀνάγκη ἔχειν καὶ τὸ συμπέρασμα, εἰκότως ἄρα, ὅπως ἂν ἔχῃ ἐν δευτέρῳ σχήματι ἡ ἀποφατικὴ πρότασις, οὕτως ἀνάγκη ἔχειν καὶ τὸ συμπέρασμα· ἀναγομένου γὰρ τοῦ δευτέρου σχήματος εἰς τὸ πρῶτον πάντως ἡ ἀποφατικὴ μείζων εὑρίσκεται.

p. 30ᵇ9 Ἔστω γὰρ πρῶτον ἡ στερητικὴ ἀναγκαία.

Πρώτην ἐκτίθεται τὴν ἐκ τῆς μείζονος ἀναγκαίας ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ὑπαρχούσης, καὶ συνάγεσθαί φησι τὸ συμπέρασμα ἀναγκαῖον· ἀντιστραφείσης γὰρ τῆς ἀποφατικῆς γίνεται ὁ δεύτερος τρόπος τοῦ πρώτου σχήματος. εἰ γὰρ τὸ Α ἐξ ἀνάγκης μηδενὶ τῷ Β, τῷ δὲ Γ παντὶ ὑπάρχει, λέγω, φησίν, ὅτι καὶ τὸ Β ἐξ ἀνάγκης οὐδενὶ τῷ Γ ὑπάρξει· ἐπεὶ γὰρ τὸ Α οὐδενὶ τῷ Β ἐξ ἀνάγκης, καὶ τὸ Β οὐδενὶ τῷ Α ἐξ ἀνάγκης· τὸ δὲ Α παντὶ τῷ Γ ὑπάρχει· γίνεται τὸ πρῶτον σχῆμα· τὸ ἄρα Β οὐδενὶ τῷ Γ ἐξ ἀνάγκης. οὕτω μὲν οὖν ὁ φιλόσοφος. ὅτι δὲ οὐ συνάγεται τὸ ἀναγκαῖον, δῆλον ἐκ τῶν ὑποκειμένων ὅρων· ἀρετὴ οὐδεμιᾷ κακίᾳ ἐξ ἀνάγκης ὑπάρχει, ἀνθρώπῳ δὲ παντὶ ὑπαρχόντως, καὶ συνάγεται κακία οὐδενὶ ἀνθρώπῳ ὑπάρχειν· οὐ γὰρ ἐξ ἀνάγκης. πάλιν ὑγίεια, νόσος, ἄνθρωπος· ὑγίεια γὰρ νόσῳ μὲν οὐδεμιᾷ ἐξ ἀνάγκης, ἀνθρώπῳ δὲ παντὶ ὑπάρχει μόνον, καὶ συνάγεται νόσος ὑπαρχόντως οὐδενὶ ἀνθρώπῳ. εἰ γὰρ ὑγίεια μηδεμιᾷ νόσῳ ἐξ ἀνάγκης, καὶ νόσος οὐδεμιᾷ ὑγιείᾳ ἐξ ἀνάγκης· ὑγίεια δὲ παντὶ ἀνθρώπῳ ὑπαρχόντως· καὶ νόσος οὐδενὶ ἀνθρώπῳ ὑπαρχόντως. καὶ καθόλου εὐπορήσομεν προτάσεων λαμβάνοντες ἀντιδιῃρημένα ἀλλήλοις εἴδη καὶ τὸ ἕτερον ποιοῦντες μείζονα ὅρον τὸ δὲ ἕτερον μέσον, εἶτα ἑτερόν τι ἐλάττονα δυνάμενον μετέχειν ἑκατέρου ἀνὰ μέρος μὴ ἐξ ἀνάγκης.

p. 30ᵇ14 Ὡσαύτως δὲ καὶ εἰ πρὸς τῷ Γ τεθείη τὸ στερητικόν.

Τὴν ἐκ τῆς μείζονος καθόλου ὑπαρχούσης καταφατικῆς παραδίδωσι

1 τοῦ om. B 4 ὑπάρχειν B: ὑπάρχει Vt 5 ἐν SVt: ἐν τῷ B τὸ om. S 6 σχήματι SVt: om. B 7 ἐδείκνυτο] c. 9 p. 30ᵃ17 sq. ὅτι om. V πρώτῳ σχήματι B: τῷ α′ Vt: α′ S 8. 9 εἰκότως—τὸ συμπέρασμα e S (post ἄρα add. φημί) addidi 10 γὰρ om. V 12 ἔστω] ω supra ι scr. V post γὰρ add. δὴ t 13 πρῶτον V ἀναγκαίων ἀποφατικῶς t 14 ἐλάσσονος B καὶ om. B συνάγεσθαι BS: συνάγεται Vt 16 μηδενὶ τῷ β ἐξ ἀνάγκης B 17 ὑπάρχειν t φημὶ, om. λέγω B ἐξ ἀνάγκης om. B 19 post γίν. add. οὖν Vt: om. BS 20 ὅτω V οὖν om. B 22 ὑπάρχειν B δὲ ἀνθρώπῳ ὑπαρχόντως παντί Vt 23 ὑπαρχόντως Vt 24 γὰρ om. V 27 οὐδενὶ Vt: παντὶ B ὑπαρχόντως alt. B: ἐξ ἀνάγκης Vt 29 τὸ prius om. V τὸ δὲ ἕτερον μέσον S: om. BVt 30 ἀνὰ μέρος ἑκατέρου μὴ ἀναγκαίως S 31 τεθῇ t Arist. τὸ add. B² 32 ἐκ] εἰς V

τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς ἀναγκαίας, καὶ δείκνυσι καὶ ταύτην XXXVʳ τὸ ἀναγκαῖον συνάγουσαν διά τε τῆς ἀντιστροφῆς τῆς ἐλάττονος, τουτέστι τῆς ἀποφατικῆς, καὶ ἔτι τῆς τοῦ συμπεράσματος ἀντιστροφῆς. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ὑπαρχόντως τῷ δὲ Γ οὐδενὶ ἐξ ἀνάγκης, καὶ τὸ Γ ἄρα οὐδενὶ τῷ Α ἐξ ἀνάγκης· τὸ Γ οὐδενὶ τῷ Α ἐξ ἀνάγκης, τὸ Α παντὶ τῷ Β ὑπαρχόντως, τὸ ἄρα Γ οὐδενὶ τῷ Β ἐξ ἀνάγκης. ἀλλ' οὐ τοῦτο προέκειτο δεῖξαι, ἀλλ' εἰ τὸ Β μηδενὶ τῷ Γ ἐξ ἀνάγκης. ἐπεὶ τοίνυν ἀντιστρέφει ἡ καθόλου ἀποφατικὴ καὶ ἐπὶ τοῦ ἀναγκαίου, εἰ τὸ Γ οὐδενὶ τῷ Β ἐξ ἀνάγκης, καὶ τὸ Β οὐδενὶ τῷ Γ ἐξ ἀνάγκης. δείξομεν οὖν καὶ ταύτην τοῖς αὐτοῖς λόγοις οὐ τὸ ἀναγκαῖον ἀλλὰ τὸ ὑπάρχον συνάγουσαν διὰ τῶν αὐτῶν ὅρων δι' ὧν καὶ τὴν πρὸ ταύτης ἐδείξαμεν συζυγίαν, πλὴν ὅτι ὅνπερ ἐκεῖ παρελαμβάνομεν ἐλάττονα ὅρον, ἐνταῦθα μείζονα ποιοῦμεν· οἷον ὑγίεια ἀνθρώπῳ μὲν παντὶ ὑπαρχόντως, νόσῳ δὲ οὐδεμιᾷ ἐξ ἀνάγκης, καὶ συνάγεται ὅτι καὶ ἄνθρωπος οὐδεμιᾷ νόσῳ ὑπαρχόντως | ἀντι- XXXVᵛ στρεφομένης ὁμοίως τῆς ἐλάττονος προτάσεως καὶ τοῦ συμπεράσματος· εἰ γὰρ νόσος οὐδενὶ ἀνθρώπῳ ὑπαρχόντως, καὶ ἄνθρωπος οὐδεμιᾷ νόσῳ ὑπαρχόντως.

p. 30ᵇ18 Εἰ δὲ ἡ κατηγορικὴ πρότασίς ἐστιν ἀναγκαία, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον.

Εἴπομεν τὴν αἰτίαν τί δήποτε τῇ στερητικῇ ἐν τούτῳ τῷ σχήματι ἀκολουθεῖ τὸ συμπέρασμα. ἐκθέμενος τοίνυν τὰς δύο προτάσεις τὰς πρὸς τῷ στερητικῷ ἐχούσας τὸ ἀναγκαῖον νῦν τὸ ἀνάπαλιν τίθησι τὰς πρὸς μὲν τῷ κατηγορικῷ τὸ ἀναγκαῖον ἐχούσας πρὸς δὲ τῷ ἀποφατικῷ τὸ ὑπάρχον. τίθησι δὲ ἐν τούτοις τὴν ἔχουσαν πρὸς τῷ μείζονι τὸ καθόλου καταφατικὸν ἀναγκαῖον πρὸς δὲ τῷ ἐλάττονι τὸ καθόλου ἀποφατικὸν ὑπάρχον. τὴν δὲ ἑτέραν παραλιμπάνει τὴν πρὸς μὲν τῷ μείζονι τὸ ἀποφατικὸν ὑπάρχον ἔχουσαν πρὸς δὲ τῷ ἐλάττονι τὸ καταφατικὸν ἀναγκαῖον· ἡ γὰρ αὐτὴ δεῖξις ἐπ' ἀμφοτέρων, πλὴν ὅτι ἡ μὲν δύο δεῖται ἀντιστροφῶν, ἣν παρατίθεται, ἡ δὲ μιᾶς, ἣν παρέλιπε. συνάγουσιν οὖν καθόλου ἀποφατικὸν ὑπάρχον συμπέρασμα· εἰ γὰρ τὸ Α παντὶ μὲν τῷ Β ἐξ ἀνάγκης οὐδενὶ δὲ τῷ Γ ὑπαρχόντως, καὶ τὸ Β οὐδενὶ τῷ Γ ὑπαρχόντως. εἰ γὰρ τὸ Α οὐδενὶ τῷ Γ ὑπαρχόντως, καὶ τὸ Γ οὐδενὶ τῷ Α ὑπαρχόντως, ἐπειδὴ ἀντιστρέφει· τὸ δὲ Α

1 ἐλάσσονος B itemque vs. 2 2 τε om. V τουτέστι SVt: ἤτοι B 3 καὶ—ἀντιστροφῆς BS: om. Vt 5 τὸ *a* alt. loc. B 7 ἐπεὶ οὖν BS 8 καὶ om. S 9 οὐδὲ τὸ S 10 ταῦτα τοῖς τοιούτοις B οὐ τὸ Bt: οὐκ V συναγούσας B 12 ὅπερ B 13 post ὑγίεια del. οἷον V μὲν om. Vt 14 post καὶ alt. add. ὁ Vt 15 καὶ om. B 18 πρώτη t 18. 19 ἔσται—ἔστι B 20 εἴπομεν] p. 133,4 sq. ταῖς στερητικαῖς BS 21 τοίνυν om. B 22 στερητικὴν B μὲν πρὸς B 23 κατηγορουμένω Vt 24 τούτω B 26 μὲν πρὸς τῇ Vt 27 τῇ Vt ἐλάσσονι B 29 συνάγουσι δὲ B 29. 30 ὑπάρχοντα συμπεράσματα B 30 δὲ] τε V 32 ὑπαρχόντως prius om. BS

παντὶ τῷ Β ἐξ ἀνάγκης· τὸ ἄρα Γ οὐδενὶ τῷ Β ὑπαρχόντως. γέγονε XXXV^v γὰρ τὸ πρῶτον σχῆμα ἐκ τῆς μείζονος ἀποφατικῆς ὑπαρχούσης· ἐδείχθη δὲ ἐν τῷ πρώτῳ σχήματι ὅτι, ὁποῖος ἂν ᾖ ὁ μείζων ὅρος, τοιοῦτον συνάγεται καὶ τὸ συμπέρασμα. ἀντιστρεφομένης οὖν τῆς στερητικῆς καὶ τὸ Β 15
5 οὐδενὶ τῷ Γ ὑπαρχόντως, ὅπερ ἔδει δεῖξαι.

p. 30b24 Ἔτι δ' εἰ τὸ συμπέρασμά ἐστιν ἀναγκαῖον, συμβαίνει τὸ Γ τινὶ τῷ Α μὴ ὑπάρχειν ἐξ ἀνάγκης.

Δείξας τὴν προκειμένην συζυγίαν δι' ἀντιστροφῆς τὸ ὑπάρχον καὶ οὐ 21
τὸ ἀναγκαῖον συνάγουσαν νῦν αὐτὸ τοῦτο δείκνυσι καὶ τῇ εἰς ἄτοπον ἀπα-
10 γωγῇ. εἰ γὰρ ὑποθώμεθα, φησίν, ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα, ἕψεταί τι ἄτοπον τῇ ὑποθέσει ταύτῃ· ᾗ δὲ ὑποθέσει ἄτοπον ἀκολουθεῖ, ψεῦδός ἐστι· ψεῦδος ἄρα τὸ ὑποτίθεσθαι ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα. εἰ γάρ τις εἴποι συνάγεσθαι τὸ Β μηδενὶ τῷ Γ ἐξ ἀνάγκης, ἀντι- 25
στρέψει δῆλον ὅτι καὶ τὸ Γ οὐδενὶ τῷ Β ὑπάρξει ἐξ ἀνάγκης· πάλιν ἐπειδὴ
15 τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης ὑπῆρχε, καὶ τὸ Β τινὶ τῷ Α ἐξ ἀνάγκης ὑπάρξει· εἰ τοίνυν τὸ μὲν Γ οὐδενὶ τῷ Β ἐξ ἀνάγκης, τὸ δὲ Β τινὶ τῷ Α ἐξ ἀνάγκης, ἐκ δύο δὲ ἀναγκαίων ἀναγκαῖον γίνεται τὸ συμπέρασμα, καὶ τὸ Γ ἄρα ἐξ ἀνάγκης τινὶ τῷ Α οὐχ ὑπάρξει. ἀλλ' ἐπεὶ ὑπέκειτο τὸ Α μηδενὶ τῷ Γ ὑπαρχόντως, καὶ τὸ Γ ἄρα οὐδενὶ τῷ Α ὑπαρχόντως·
20 ἐδείχθη δὲ τὸ ὑπάρχον τοιοῦτον ὂν ὡς δύνασθαι ὃ μηδενὶ ὑπάρχει, τὸ 30
αὐτὸ τῷ αὐτῷ καὶ παντὶ ὑπάρχειν· δύναται ἄρα τὸ Γ παντὶ τῷ Α ὑπάρχειν. συνάγεται δὲ νῦν ἐκ τῆς ὑποθέσεως καὶ τινὶ ἐξ ἀνάγκης μὴ ὑπάρχειν· τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ παντὶ ὑπάρχει καὶ τινὶ ἐξ ἀνάγκης οὐχ ὑπάρχει, ὅπερ ἄτοπον. δῆλον [ἄρα] ὅτι τὸ ἄτοπον ἠκολούθησεν ἐκ τοῦ ὑποθέσθαι
25 ἐξ ἀνάγκης μηδενὶ τῷ Γ τὸ Β· ἀληθὲς ἄρα τὸ ὑπαρχόντως μηδενί, ὅπερ ἔδει δεῖξαι.

p. 30b31 Ἔτι κἂν ὅρους ἐκθέμενον εἴη δεῖξαι ὅτι τὸ συμπέρασμα οὐκ ἔστιν ἀναγκαῖον ἁπλῶς ἀλλὰ τούτων ὄντων ἀναγκαῖον. 35

Οὐ μόνον, φησί, τοῖς καθόλου λόγοις τὸ προκείμενον πιστωσόμεθα
30 ἀλλὰ καὶ τῇ διὰ τῶν παραδειγμάτων δείξει, ὅτι τὸ συμπέρασμα ὑπαρχον 40
συνάγεται καὶ οὐχὶ κυρίως ἀναγκαῖον, ἀλλ' εἴγε ἄρα, ἐξ ὑποθέσεως· τοῦτο

---

1 τῶ ἄρα—τὸ B post ὑπαρχόντως add. ἐπειδὴ ἀντιστρέφει B 2 post μείζονος add. καθόλου B: om. SVt 3 δὲ om. V post δὲ add. καὶ Bt: om. SV 6 τὸ e τῶ corr. V 7 τὸ (ante α) B 11 ἕπεται B εἰ δὲ τῇ ὑ. BS ⟨ταύτῃ⟩ ἄτοπόν ⟨τι⟩ S 13 εἴπη S β'] ζῶον t 13. 14 ἀντιστρέψει t: ἀντιστρέφει BVS 14 ἐξ ἀνάγκης ὑπάρξει B 15 ὑπῆρχεν ἐξ ἀνάγκης B 17 δὲ om. V 19 μηδενὶ SVt: οὐδενὶ B τῶν α B 20 ἐδείχθη (scil. c. 9 p. 30a27) bis B ᾧ Vt 21 τῶ αὐτῶ S: τούτω V: τοῦτο t: om. B τῶ—τὸ B 22 post νῦν add. καὶ B μὴ ὑπάρχειν—23 ἀνάγκης om. V 24 ἄρα delevi cf. p. 106,25 post ὑποθ. add. τὸ V: εἰ t: ἡμᾶς S 25 ἀλήθεια t post ὅπερ add. ἄρα B 27. 28 οὐκ ἔστι τὸ συμπέρασμα Bt 28 ἀναγκαίων alt. l. V (pr. Bi) 31 ἤ γε V post ἄρα add. τὸ BSt

γὰρ αὐτῷ βούλεται τὸ οὐχ ἁπλῶς ἀλλὰ τούτων ὄντων ἀναγκαῖον. XXXVᵛ τίθησιν οὖν ὅρους ζῷον, ἄνθρωπος, λευκόν· τὸ ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, τὸ ζῷον οὐδενὶ λευκῷ ὑπαρχόντως, καὶ συνάγεται ἀντιστραφείσης τῆς ἀποφατικῆς καὶ τοῦ συμπεράσματος ὅτι ὁ ἄνθρωπος οὐδενὶ λευκῷ ὑπαρχόντως· οὐ γάρ ἐστιν ἐξ ἀνάγκης τὸ μηδένα λευκὸν εἶναι ἄνθρωπον, ἀλλ' εἰ ἄρα, ἐξ ὑποθέσεως, ἕως ἂν ὑποκέηται τὸ ζῷον μηδενὶ λευκῷ ὑπάρχειν. σαφεστέρα δὲ ἔσται ἡ δεῖξις, ἐὰν κίνησιν καὶ βάδισιν καὶ ἄνθρωπον λάβωμεν ἢ ἁπλῶς καθολικώτερόν τι καὶ μερικώτερον καὶ ἕτερόν τι ᾧ ὑπάρχουσι ταῦτα οὐκ ἐξ ἀνάγκης· κίνησις γὰρ πάσῃ μὲν βαδίσει ἐξ ἀνάγκης, ἀνθρώπῳ δὲ οὐδενὶ ὑπαρχόντως, καὶ συνάγεται βάδισις οὐδενὶ ἀνθρώπῳ ὑπαρχόντως.

p. 30ᵇ38 Ὥστε τούτων μὲν ὄντων ἀναγκαῖον ἔσται τὸ συμπέρασμα, ἁπλῶς δ' οὐκ ἀναγκαῖον.

Ἕως, φησίν, ἡ μὲν τῶν προτάσεων ἀναγκαία ὄντως ὑπάρχει ἡ δὲ ἐξ ὑποθέσεως, καὶ τὸ συμπέρασμα ἐξ ὑποθέσεως ἔσται ἀναγκαῖον καὶ οὐχ ἁπλῶς ἀναγκαῖον, τουτέστι κυρίως. δῆλον ἄρα ὅτι καὶ ἐν οἷς τὸ ἀναγκαῖον συνάγεσθαι ἐβούλετο, τὸ ἐξ ὑποθέσεως καὶ οὐ τὸ κυρίως ἔλεγεν.

p. 31ᵃ1 Ὁμοίως δ' ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν. |

Τουτέστι τῇ ἀποφατικῇ ἀκολουθεῖ τὸ συμπέρασμα καθόλου οὔσῃ, XXXVIʳ κἂν μείζων ᾖ κἂν ἐλάττων· μερικῆς δὲ οὔσης τῆς ἀποφατικῆς οὐκέτι. γίνονται δὲ συζυγίαι τέσσαρες τῆς μὲν μιᾶς οὔσης μερικῆς τῆς δὲ ἑτέρας καθόλου. τῆς γὰρ μείζονος καθόλου ἀποφατικῆς οὔσης ἀναγκαίας ἡ ἐλάττων μερικὴ ἔσται καταφατικὴ ὑπάρχουσα· ὑπαρχούσης δὲ οὔσης τῆς μείζονος ἡ ἐλάττων ἔσται ἀναγκαία. πάλιν τῆς μείζονος οὔσης καθόλου καταφατικῆς ἀναγκαίας ἡ ἐλάττων ἔσται μερικὴ ἀποφατικὴ ὑπάρχουσα· εἰ δὲ ἡ μείζων ᾖ ὑπάρχουσα, ἡ ἐλάττων ἔσται ἀναγκαία.

p. 31ᵃ5 Ἔστω δὴ πρῶτον ἡ στερητικὴ καθόλου τε καὶ ἀναγκαία.

Πρώτην τὴν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ἀναγκαίας τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ὑπαρχούσης φησί. καὶ συνάγει κατ' αὐτὸν

1 ἀναγκαίων Vt 2 et 3 τὸ om. S 3 καὶ συνάγεται—5 ὑπαρχόντως om. V 4 ὁ ἄνθρωπος t et om. ὁ S: om. B μηδενὶ t 6 ἢ V ὑποκέηται St: ὑπόκειται BV 7 ἔσται St: ἐστιν BV 9 ὑπάρχουσι BSt: ὑπάρχει V γὰρ πάσῃ μὲν SV: μὲν γὰρ πάσῃ Bt 10. 11 καὶ—ὑπαρχόντως mrg. B² 12 ἀναγκαῖον ἔσται τὸ συμπέρασμα Arist. et om. ἔσται B: ἀναγκαίων ἔσται τὸ συμπέρασμα ἀναγκαῖον Vt et om. ἀναγκαίων S 15 ἐξ—ἀναγκαῖον St: ἔσται ante ἐξ colloc. V, post ἀναγκαῖον B καὶ om. V 16 ἀναγκαῖον prius om. B: post κυρ. colloc. S τουτέστι SVt: ἤτοι B 17 ἐλέγομεν V 19 τουτέστι Vt: ἤτοι B ἀκολουθῇ t 21 μὲν om. B 24 ante ἡ ἐλ. add. ἀποφατικῆς καταφατικὴ Vt 26 ᾖ om. B 28. 29 ἀναγκαίας—μερικῆς om. B 29 ἀποφατικῆς B φησὶ καὶ et κατ' αὐτὸν om. B

μερικὸν ἀποφατικὸν ἀναγκαῖον συμπέρασμα. ἔστω γὰρ τὸ Α, φησίν, XXXVI r
οὐδενὶ μὲν τῷ Β ἐξ ἀνάγκης, τῷ δὲ Γ τινὶ ὑπαρχόντως· λέγω, φησίν, ὅτι τὸ
Β τινὶ τῷ Γ ἐξ ἀνάγκης οὐχ ὑπάρξει. εἰ γὰρ τὸ Α ἐξ ἀνάγκης οὐδενὶ τῷ Β,
καὶ τὸ Β οὐδενὶ τῷ Α ἐξ ἀνάγκης· τὸ δὲ Α τινὶ τῷ Γ ὑπάρχει· τὸ ἄρα 15
5 Β τινὶ τῷ Γ ἐξ ἀνάγκης οὐχ ὑπάρξει· δέδεικται γὰρ τοῦτο ἐν τῷ πρώτῳ
σχήματι. οἱ δὲ αὐτοὶ ὅροι ἁρμόσουσι κἀνταῦθα πρὸς τὸ δεῖξαι ὑπάρχον
συναγόμενον τὸ συμπέρασμα οἵπερ καὶ ἐν τῷ πρώτῳ σχήματι ἐν τούτῳ
τῷ τρόπῳ.

p. 31a10 Πάλιν ἔστω ἡ κατηγορικὴ καθόλου τε καὶ ἀναγκαία.

10 Δευτέραν τίθησι τὴν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς ἀναγκαίας 22
τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς ὑπαρχούσης, καὶ φησὶ συνάγειν ὑπάρ-
χον τὸ συμπέρασμα. δείκνυται δὲ αὕτη ἡ συζυγία διὰ τῶν αὐτῶν ὅρων,
δι' ὧν καὶ τὴν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς ἀναγκαίας ἔδειξε τῆς
δὲ ἐλάττονος ὑπαρχούσης καθόλου ἀποφατικῆς· κίνησις γὰρ πάσῃ μὲν βαδί- 25
15 σει ἐξ ἀνάγκης ὑπάρχει, ἀνθρώπῳ δὲ οὐ παντὶ ὑπαρχόντως, καὶ συνάγεται
ὅτι βάδισις τινὶ ἀνθρώπῳ οὐχ ὑπάρχει μόνον· αἱ γὰρ αὐταὶ ἁρμόσουσι
κἀνταῦθα δείξεις αἵπερ καὶ ἐπὶ τῶν καθόλου.

p. 31a15 Ἀλλ' οὐδ' εἰ τὸ στερητικὸν ἀναγκαῖόν ἐστιν ἐν μέρει
ληφθέν, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον· διὰ γὰρ τῶν αὐτῶν
20 ὅρων ἡ ἀπόδειξις.

Τρίτην ἐφεξῆς ἔθηκε τὴν τὸ καθόλου καταφατικὸν ὑπάρχον τάττουσαν 30
πρὸς τῷ μείζονι πρὸς δὲ τῷ ἐλάττονι ⟨τὸ⟩ μερικὸν ἀποφατικὸν ἀναγκαῖον. καὶ
τοὺς αὐτοὺς ὅρους ἁρμόζειν φησὶ κἀπὶ τούτων, πλὴν μετατιθεμένης τῆς
τάξεως· τὸν γὰρ ἐλάττονα μείζονα δεῖ ποιῆσαι, τὸν δὲ μείζονα μέσον οὕτως·
25 βάδισις παντὶ ἀνθρώπῳ ὑπαρχόντως, κινήσει δὲ οὐ πάσῃ ἐξ ἀνάγκης, καὶ
συνάγεται ἄνθρωπος οὐ πάσῃ κινήσει ὑπαρχόντως. καὶ οὐκ ἀντίκειται τὸ
τινὶ ἐξ ἀνάγκης μὴ ὑπάρχειν ἐνίοτε ἐπί τινων ὅρων· τὸ γὰρ ἀεὶ συναγό- 35
μενον τὸ ὑπάρχον ἐστί, διότι καὶ τὸ ἐξ ἀνάγκης ὑπάρχον ἢ μὴ τοῦτο καὶ
ἁπλῶς ἢ ὑπάρχειν ἢ μὴ ὑπάρχειν λέγεται. οὐδὲ αὕτη δὲ δείκνυται δι'
30 ἀντιστροφῆς διὰ τὸ μηδεμίαν μερικὴν στερητικὴν ἀντιστρέφειν πρὸς ἑαυτήν.
τὴν δὲ λοιπὴν συζυγίαν παραλέλοιπε τὴν ἐκ τῆς μείζονος καθόλου ἀπο-

---

2 τὸ δὲ V ὑπαρχέτω B 3 α' (ante τινὶ) t ὑπάρξει ἐξ ἀνάγκης οὐδαμῶς B
μηδενὶ S 4 ἐξ ἀνάγης οὐδενὶ τῷ α B 5 ὑπάρχει B 7 οἵπερ S: οἱ B:
ὅπερ Vt 7. 8 τῶ τρόπω τούτω, om. ἐν B 9 ἡ om. V 11 ἐλάσσονος B
οὔσης B post δὲ add. φησιν B 13 τῆς (post καὶ) B post καταφατικῆς add.
ὑπαρχούσης B ἐδείξαμεν S cf. p. 136,7 sq. 14 καθόλου BS: μερικῆς Vt
μὲν γὰρ πάσῃ BS 16 ὑπαρχόντως B 17 αἵπερ S: αἱ B: αἴτινες Vt
21 τέθηκε t: om. V συνάγουσαν B 22 τὸ addidi cf. p. 141,17 23 post
πλὴν add. ὅσον S 24 τὴν—τὴν B 25 κίνησις B 27 μὲν V
post ἐνίοτε add. ἄρα Vt 28 post καὶ alt. H litt. eras. V 29 ἢ prius om. B
30 μερικὴν στερητικὴν S: om. BVt 31 παρέλοιπε V

φατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ἀναγκαίας, XXXVI r
ὡς δήλου γεγονότος ὅτι μερικὸν ἀποφατικὸν ὑπάρχον συνάγει συμπέρασμα
διὰ τῆς ἀντιστροφῆς δεικνύμενον.

p. 31a18 Ἐν δὲ τῷ τελευταίῳ σχήματι καθόλου μὲν ὄντων τῶν
5 ὅρων πρὸς τὸ μέσον καὶ κατηγορικῶν ἀμφοτέρων τῶν προτά-
σεων, ἐὰν ὁποτερονοῦν ᾖ ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται
ἀναγκαῖον.

Πληρώσας τὸν περὶ τοῦ δευτέρου σχήματος λόγον ἐντεῦθεν τὸν περὶ
τοῦ τρίτου ποιεῖται, καὶ παραδίδωσι τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων
10 καθόλου συζυγίας. καὶ φησὶν ὅτι ἐν μὲν ταῖς ἐξ ἀμφοτέρων τῶν προτάσεων
καταφατικῶν, ὁποία ἂν ᾖ πρότασις ἡ τὸ ἀναγκαῖον ἔχουσα, εἴτε ἡ ἐλάττων
εἴτε ἡ μείζων, πάντως ἕπεται ταύτῃ τὸ συμπέρασμα, καὶ καθόλου εἰπεῖν
ἐν ταῖς ἐξ ἀμφοτέρων καταφατικῶν προτάσεων συζυγίαις πάντως ἀναγκαῖον
ἔσται τὸ συμπέρασμα. ἐφ' ὧν δὲ ἡ μέν ἐστι καταφατικὴ ἡ δὲ ἀποφατική, τῇ
15 ἀποφατικῇ πάντως ἕπεται τὸ συμπέρασμα, εἰκότως· πάλιν γὰρ ἀντιστρεφο-
μένης τῆς καταφατικῆς καὶ ποιούσης τὸ πρῶτον σχῆμα μείζων εὑρεθήσεται ἡ
ἀποφατική· ἐν δὲ τῷ πρώτῳ σχήματι τῇ μείζονι ἀεὶ εἵπετο τὸ συμπέρασμα.

p. 31a24 Ἔστωσαν γὰρ ἀμφότεραι κατηγορικαὶ πρῶτον αἱ προτά-
σεις, καὶ τὸ Α καὶ τὸ Β παντὶ τῷ Γ ὑπαρχέτω, ἀναγκαῖον δ'
20 ἔστω τὸ Α Γ. |

Πρώτην παραδίδωσι τὴν ἐκ δύο καθόλου καταφατικῶν τῆς μεί- XXXVI v
ζονος οὔσης ἀναγκαίας, καὶ φησὶ συνάγειν ἀναγκαῖον τὸ συμπέρασμα, μερι-
κὸν δηλονότι, ἐπεὶ καὶ πάντα ἐν τρίτῳ σχήματι μερικὰ συνάγεται τὰ συμ-
περάσματα. εἰ γὰρ τὸ Α, φησί, παντὶ τῷ Γ ἐξ ἀνάγκης, τὸ δὲ Β τῷ
25 αὐτῷ παντὶ ὑπαρχόντως, ἀντιστραφείσης τῆς ἐλάττονος γίνεται τὸ πρῶτον
σχῆμα· τὸ γὰρ Γ τινὶ τῷ Β. εἰ τοίνυν τὸ μὲν Α παντὶ τῷ Γ ἐξ ἀνάγκης,
τὸ δὲ Γ τινὶ τῷ Β ὑπαρχόντως, τὸ ἄρα Α τινὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρχει,
ὅπερ μέρος ἐστὶ τοῦ Γ· δέδεικται γὰρ τοῦτο ἐν τῷ πρώτῳ σχήματι. οἱ αὐτοὶ
δὲ ὅροι ἁρμόσουσι δεῖξαι αὐτὴν ὑπάρχουσαν οἵπερ καὶ ἐν τῷ πρώτῳ σχήματι.

3 δι' ἀντιστροφῆς S δεικνύμενον SV: δεικνυμένης B: δεικνύμεθα t 4 μίξις ἀναγκαίου καὶ ὑπάρχοντος ἐν τρίτῳ σχήματι inscr. B: σχῆμα τρίτον. πρῶτος τρόπος τοῦ γ' σχήματος ἐκ β' καθόλου ἀναγκαῖος V post μὲν add. οὖν B 6 ἂν t Arist. ὁποτεροοῦν B: ὁπότερος οὖν t (n) ἀναγκαῖος t (n) 6. 7 ἀναγκαῖον ἔσται B 8 ἐντεῦθεν om. B 11 καταφατικαῖς Vt post ᾖ add. ἡ B 12 ταύτῃ ἕπεται B 13 ἀμφοτέρων τῶν προτάσεων καταφατικαῖς συζυγίαις B 14 ἔσται BS: ἐστι Vt δὴ V 15 ante εἰκότως add. καὶ S 16 καταφατικῆς S: ἀποφατικῆς BVt 18 πρῶτον κατηγορικαὶ B 19 καὶ τὸ alt. t Arist.: om. BV 22 φησὶν ἀναγκαῖον συνάγειν B 23 post ἐν add. τῷ B 24 εἰ δὲ B 25 ὑπαρχόντως S: ὑπάρχει BVt 26 τῷ β' BS: τῶν β' Vt 27 τῷ prius St: τῶν BV ὑπαρχόντως BS: ὑπάρχει Vt τῷ alt. SVt: τῶν B 28 ὅπερ St: οὔπερ V: ὃ B τὸ γ' V 29 ἁρμόσουσι SVt: ἁρμόζουσι B

p. 31a31 Ὁμοίως δὲ δειχθήσεται καὶ εἰ τὸ Β Γ ἐστὶν ἀναγ- XXXVIv
καῖον· ἀντιστρέφει γὰρ τὸ Γ τῷ Α τινί, ὥστ' εἰ παντὶ τῷ Γ 11
τὸ Β ἐξ ἀνάγκης ὑπάρχει, καὶ τῷ Α τινὶ ὑπάρξει ἐξ ἀνάγκης.

Τὴν ἑτέραν ἐκ δύο καταφατικῶν τίθησιν ἔχουσαν δὲ πρὸς τῷ ἐλάττονι τὸ ἀναγκαῖον, καὶ φησὶ καὶ αὐτὴν τὸ ἀναγκαῖον συνάγειν. δείκνυσι δὲ τοῦτο διὰ δύο ἀντιστροφῶν, τῆς τε μείζονος προτάσεως καὶ τοῦ συμπεράσματος. ὑπαρχέτω γὰρ τὸ μὲν Β παντὶ τῷ Γ ἐξ ἀνάγκης, τὸ δὲ Α παντὶ ὑπαρχόντως· οὐκοῦν καὶ τῷ Α τινὶ τὸ Γ ὑπάρχει· εἰ τοίνυν τὸ μὲν Β παντὶ τῷ Γ ἐξ ἀνάγκης, τὸ δὲ Γ τινὶ τῷ Α ὑπάρχει μόνον, δῆλον ὅτι συνάγεται τὸ Β τινὶ τῷ Α ἐξ ἀνάγκης· δέδεικται γὰρ τοῦτο ἐν τῷ πρώτῳ σχήματι. ἀλλ' ἐζητοῦμεν ἡμεῖς εἰ τὸ Α τινὶ τῷ Β. τοῦτο οὖν δείκνυται διὰ τῆς ἀντιστροφῆς τοῦ συμπεράσματος· εἰ γὰρ τὸ Β τινὶ τῷ Α ἐξ ἀνάγκης, καὶ τὸ Α τινὶ τῷ Β ἐξ ἀνάγκης. ἐπιστάσεως δὲ ἄξιον τί δήποτε δυνάμενος ὁ φιλόσοφος τὴν ἐλάττονα ἀντιστρέψαι πρότασιν καὶ ποιῆσαι ὑπάρχον τὸ συμπέρασμα, μιᾶς δεηθεὶς ἀντιστροφῆς, τὴν μείζονα ἀντιστρέφει, καὶ δεῖται δύο ἀντιστροφῶν, ἵνα ποιήσῃ ἀναγκαῖον τὸ συμπέρασμα. ὅτι γὰρ ἠδύνατο ἀντιστρέψαι τὴν ἐλάττονα πρότασιν καὶ ποιῆσαι ὑπάρχον τὸ συμπέρασμα, πρόδηλον· εἰ γὰρ τὸ Β παντὶ τῷ Γ ἐξ ἀνάγκης, καὶ τὸ Γ τινὶ τῷ Β ἐξ ἀνάγκης· ὥστε εἰ τὸ μὲν Α παντὶ τῷ Γ ὑπάρχει, τὸ δὲ Γ τνὶ τῷ Β ὑπάρχει ἐξ ἀνάγκης, συνάγεται τὸ Α τινὶ τῷ Β ὑπάρχειν, ὡς δέδεικται ἐν τοῖς ἔμπροσθεν. τί οὖν λέγομεν; ὅτι εἰ καὶ ἠδύνατο τοῦτο ποιῆσαι, ἀλλ' οὖν τὸ ἀεὶ ἀκολουθοῦν συνήγαγεν· ἀμφοτέρων γὰρ οὐσῶν καθόλου καταφατικῶν, πρὸς ὁποτέρῳ ἂν ᾖ ἄκρῳ τὸ ἀναγκαῖον, ἠδύνατο τὸ ἀναγκαῖον συνάγεσθαι· οὐκέτι δὲ καὶ τὸ ὑπάρχον ἀεί. ὥστε τὸ ἀεὶ ὑπάρχον εἶπεν.

p. 31a34 Πάλιν ἔστω τὸ μὲν Α Γ στερητικόν, τὸ δὲ Β Γ καταφατικόν, ἀναγκαῖον δὲ τὸ στερητικόν.

Εἴπομεν ὅτι ἐπὶ τῶν συζυγιῶν τῶν ἐκ τῆς μιᾶς ἀποφατικῆς τῆς δὲ ἑτέρας καταφατικῆς τοῦ ἀποφατικοῦ καθόλου ὄντος αὐτῷ ἀεὶ ἀκολουθεῖ τὸ συμπέρασμα ἐν πᾶσι τοῖς σχήμασιν, ἐν μὲν τῷ πρώτῳ, διότι ἀποφατικὴ οὖσα μείζων πάντως ἐστίν, ὡς ἂν δὲ εἶχεν ἡ μείζων, οὕτως εἶχε καὶ τὸ

2 γ' τῶ ex α' τὸ corr. V 3 β'] α' V ἐξ ἀνάγκης prius om. V καὶ τῷ Α τινὶ B Arist.: καὶ τῶ α' τινὶ τὸ γ' V: τὸ δὲ γ' τῷ α' τινὶ, καὶ τῷ α' τινὶ τὸ β' t 4 τῶ Bt, pr. V: τῆ S, corr. V 6 διὰ ex ἀντὶ corr., ut videtur V² 7 ὑπαρχέτω S: ὑπάρχει BVt 8 post παντὶ add. τῶ γ' Vt τῶ (pr. τὸ) α' τινὶ τὸ γ' V: τὸ α' τινὶ τῷ β' Bt ὑπάρχειν t τὸ alt. Bt: αὐτὸ V 9 post α' quaedam deleta V 10 τοῦτο superscr. V 11 οὖν BS: δὲ Vt 14 βουλόμενος B ἀντιστρέψας pr. V, corr. V² 15 δεηθὲν t, pr. V (corr. V²) 16 ποιήσης pr. V, corr. V² 19 μὲν τὸ B 20 τῶν β' (ante ὑπάρχει) B 21 τί οὖν λέγομεν SVt: λέγομεν οὖν B 23 ἦν t 24 τὸ tert. BS: om. Vt 25 ὑπάρχειν V: ἑπόμενον conicio εἶπε B: εἰπεῖν Vt: συνηγάγομεν S 28 εἴπομεν] p. 133,1 sq. 138,14 sq. τῆς prius om. B 31 καὶ om. B

συμπέρασμα. ἐν δὲ τοῖς λοιποῖς, διότι ἡ ἀντιστροφὴ εἰς τὸ πρῶτον XXXVI^{v} σχῆμα ἀνῆγε καὶ τὴν ἀποφατικὴν πάντως μείζονα ἐποίει. πρώτην οὖν ἐκτίθεται συζυγίαν τὴν ἔχουσαν τὴν μείζονα ἀποφατικὴν ἀναγκαίαν τὴν δὲ ἐλάττονα καθόλου καταφατικὴν ὑπάρχουσαν. ἐπειδὴ τοίνυν τὸ μὲν B παντὶ τῷ Γ ὑπάρχει, καὶ τὸ Γ τινὶ τῷ B ὑπάρχει· ἐπεὶ οὖν τὸ μὲν A οὐδενὶ τῷ Γ ἐξ ἀνάγκης, τὸ δὲ Γ τινὶ τῷ B ὑπάρχει, γίνεται τὸ πρῶτον σχῆμα, καὶ συνάγεται τὸ A τινὶ τῷ B ἐξ ἀνάγκης μὴ ὑπάρχειν· μέρος γὰρ τοῦ Γ τὸ τὶ B, ᾧ τὸ A οὐδενὶ ὑπάρχει ἐξ ἀνάγκης. οἱ δὲ αὐτοὶ ὅροι τοῦ δεῖξαι ὅτι ὑπάρχον συνάγεται καὶ οὐκ ἀναγκαῖον, οἵπερ καὶ ἐν τῷ πρώτῳ ἡμῖν παρελήφθησαν σχήματι.

p. 31a37 Εἰ δὲ τὸ κατηγορικὸν ἀναγκαῖον, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον.

Ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἀναγκαίας ὑπάρχον φησὶ συνάγεσθαι τὸ συμπέρασμα. εἰ γὰρ τὸ B παντὶ τῷ Γ ἐξ ἀνάγκης, καὶ τὸ Γ τινὶ τῷ B ἐξ ἀνάγκης· εἰ τοίνυν τὸ μὲν A οὐδενὶ τῷ Γ ὑπαρχόντως, τὸ δὲ Γ τινὶ τῷ B ἐξ ἀνάγκης, τὸ ἄρα A τινὶ τῷ B οὐχ ὑπάρχει· δέδεικται γὰρ ἐν τῷ πρώτῳ. ἔτι καὶ διὰ τῶν ὅρων πάνυ ἂν εἴη φανερόν. ἔστω γὰρ τὸ μὲν A ἀγαθόν, τὸ δὲ B ζῷον, τὸ δὲ Γ ἵππος· ἀγαθὸν μὲν οὐδενὶ ἵππῳ ὑπαρχόντως, ζῷον δὲ παντὶ ἵππῳ ἐξ ἀνάγκης, καὶ συνάγεται ἀγαθὸν τινὶ ζῴῳ μὴ ὑπάρχειν μόνον· δύναται γὰρ καὶ πᾶν ζῷον εἶναι ἀγα|θόν, δηλονότι κατὰ τὸ φυσικὸν XXXVII^{r} ἀγαθόν. εἰ δέ τις, φησί, πρὸς τοῦτο ἐνίσταται μὴ συγχωρῶν τῇ μείζονι προτάσει (εἶναι γάρ τι ζῷον ἐξ ἀνάγκης οὐκ ἀγαθόν, οἷον τὰ ἰοβόλα), λεπτέον ἀντὶ τοῦ ἀγαθοῦ τὸ ἐγρηγορέναι ἢ τὸ καθεύδειν· ἐγρήγορσις μὲν γὰρ οὐδενὶ ἵππῳ ὑπαρχόντως, ζῷον δὲ παντὶ ἀναγκαίως, καὶ συνάγεται 'ἐγρήγορσις τινὶ ζῴῳ οὐχ ὑπάρχει μόνον'. ὥστε δῆλον ὅτι τὸ ὑπάρχον καὶ οὐ τὸ ἀναγκαῖον συνάγεται.

p. 31b12 Εἰ δ' ὁ μὲν καθόλου ὁ δ' ἐν μέρει, κατηγορικῶν μὲν ὄντων ἀμφοτέρων, ὅταν τὸ καθόλου γένηται ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον.

Ἐπὶ τῶν τὴν ἑτέραν ἐχουσῶν καθόλου τὴν δὲ ἑτέραν μερικὴν καταφατικῶν οὐσῶν ἀμφοτέρων τῶν προτάσεων τῇ καθόλου ἕπεται τὸ συμ-

2. 3 ἐκτίθησι V 3 immo μείζονα ⟨καθόλου⟩ 4 ἐπεὶ B 6 δὲ γ' BS: inv. ord. Vt τῶν β' B 7 τὸ γ' τοῦ pr. V, corr. V^{2} 7. 8 an τὸ τὶ β̄ τοῦ γ̄ ? 8 τὶ St: om. BV post ᾧ add. δὴ γ' V ὑπάρξει B post τοῦ add. δεῖ V 9 καὶ alt. om. B 9. 10 σχήματι ἡμῖν παρελήφθησαν B ἔστι B (d) 13 ὑπαρχούσης ἀποφατικῆς B 14 καθόλου om. B ἀναγκαίας καὶ συνάγεται ὑπάρχον συμπέρασμα B 16 εἰ—ἐξ ἀνάγκης om. B εἰ τοίνυν τὸ μὲν S: τὸ τοίνυν Vt ὑπαρχόντως S: om. Vt δὲ S: om. Vt τινὶ St: τοίνυν V 17 ἄρα α' BS: inv. ord. Vt κἂν B 18 πάνυ ἂν om. B μὲν om. V 19 ὑπαρχέτω BS 20 ζῶον V 21 εἶναι ἀγαθόν BS: inv. ord. Vt κατὰ S: om. BVt 24 post λεπτέον add. φησὶν B 25 ἀναγκαίως om. Bt: ἐξ ἀνάγκης S 27 οὐ superscr. V: om. t

πέρασμα· τῆς γὰρ μερικῆς ἀντιστρεφομένης τῇ ἀναγωγῇ τῇ εἰς τὸ πρῶ- XXXVII r
τον σχῆμα ἡ καθόλου μείζων γίνεται· ἐκεῖ δὲ τῇ μείζονι ἠκολούθει τὸ συμ-
πέρασμα. καλῶς ἄρα εἴρηται ἐπὶ τούτων τῇ καθόλου ἀκολουθεῖν τὸ συμ-
πέρασμα. τίθησι δὲ ἐν τούτοις πρώτην τὴν ἔχουσαν τὴν μὲν μείζονα
5 μερικὴν καταφατικὴν ὑπάρχουσαν τὴν δὲ ἐλάττονα καθόλου καταφατικὴν
ἀναγκαίαν συνάγουσαν δι' ἀντιστροφῆς τῆς μείζονος καὶ τοῦ συμπεράσματος
ἀναγκαῖον συμπέρασμα. ἔστω γὰρ τὸ μὲν Α, φησί, τινὶ τῷ Γ ὑπάρχον, τὸ 15
δὲ Β παντὶ ἐξ ἀνάγκης· συνάγει οὖν τὸ Α τινὶ τῷ Β ἐξ ἀνάγκης. πῶς;
εἰ γὰρ τὸ Α τινὶ τῷ Γ, καὶ τὸ Γ τινὶ τῷ Α ὑπάρχει· οὐκοῦν εἰ τὸ μὲν
10 Β παντὶ τῷ Γ ἐξ ἀνάγκης, τὸ δὲ Γ τινὶ τῷ Α ὑπάρχει, συνάγεται τὸ Β
τινὶ τῷ Α ἐξ ἀνάγκης. ἀντιστρέψας δὲ τὸ συμπέρασμα ἔχεις τὸ ζητού-
μενον· εἰ γὰρ τὸ Β τινὶ τῷ Α ἐξ ἀνάγκης, καὶ τὸ Α τινὶ τῷ Β ἐξ ἀνάγκης.
ὅπερ ἔδει δεῖξαι.

p. 31ᵇ19 Ὁμοίως δὲ καὶ εἰ τὸ ΑΓ εἴη ἀναγκαῖον καθόλου ὄν· τὸ
15 γὰρ Β ὑπὸ τὸ Γ ἐστίν.

Ὑποθέμενος πρότερον τὴν πρὸς τῷ ἐλάττονι ἔχουσαν τὸ καθόλου κατα- 20
φατικὸν ἀναγκαῖον πρὸς δὲ τῷ μείζονι τὸ μερικὸν καταφατικὸν ὑπάρχον
νῦν τὸ ἀνάπαλιν ὑποτίθεται, καὶ πάλιν ἀναγκαῖόν φησι συνάγεσθαι συμ-
πέρασμα. εἰ γὰρ τὸ Α παντὶ τῷ Γ ἐξ ἀνάγκης ὑπάρχει, τὸ δὲ Β
20 ὑπάρχει μόνον τινὶ τῷ Γ, καὶ τὸ Γ τινὶ τῷ Β ὑπάρχει· οὐκοῦν εἰ τὸ
μὲν Α τῷ Γ παντὶ ἐξ ἀνάγκης, τὸ δὲ Γ τῷ Β τινὶ ὑπάρχει, τὸ ἄρα Α
τινὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρχει· δέδεικται γὰρ ἤδη πρότερον.

p. 31ᵇ20 Εἰ δὲ τὸ ἐν μέρει ἐστὶν ἀναγκαῖον, οὐκ ἔσται τὸ συμ- 25
πέρασμα ἀναγκαῖον.

25 Θεὶς πρότερον ἐν τῷ καθόλου τὸ ἀναγκαῖον, εἴτε μείζων ἦν ἡ καθόλου
εἴτε ἐλάττων, καὶ δείξας τὸ ἀναγκαῖον συναγόμενον νῦν τὸ ἀνάπαλιν ποιεῖ·
ὑποτίθεται γὰρ ἑτέρας δύο προτάσεις ἐξ ἀμφοτέρων πάλιν καταφατικῶν,
τῆς μὲν καθόλου ὑπαρχούσης τῆς δὲ μερικῆς ἀναγκαίας, καὶ φησὶ τῇ
καθόλου πάλιν ἀκολουθεῖν τὸ συμπέρασμα, κἂν μείζων γένηται κἂν ἐλάττων. 35
30 δείκνυσι δὲ πάλιν τὴν μὲν πρὸς τῷ μείζονι ἔχουσαν τὸ ὑπάρχον διὰ μιᾶς
τῆς ἐλάττονος ἀντιστροφῆς οὕτως· εἰ τὸ Β τινὶ τῷ Γ ἐξ ἀνάγκης, καὶ
τὸ Γ τινὶ τῷ Β ἐξ ἀνάγκης· εἰ τοίνυν ὑπόκειται τὸ μὲν Α παντὶ τῷ Γ

2 ἠκολούθει supra ἡ καθόλου scr. V²: ἠκολούθησε t 4 τὴν μὲν scripsi: inv. ord. B: τὴν Vt 6 συνάγουσαν S: καὶ συνάγεται BVt διὰ τῆς S 7 γὰρ τὸ μὲν S: τὸ BVt τινὶ om. V ὑπάρχειν B: ὑπαρχόντως S 8 οὖν et πῶς om. S post οὖν add. συμπέρασμα B τῷ S: τῶν BVt 9 τῷ γ' BS: τῶν γ' Vt 10 τῷ α' BS: τῶν α' Vt συνάγει B 11 post ἀνάγκης add. ὅπερ ἔδει δεῖξαι B post συμπέρασμα add. ἴδου B 12 τῷ prius Vt: τῶν B 13 ὁ B 14 post δέ add. φησι V εἰ καὶ t (d n u) 15 γὰρ] γ' V 16 ἐλάσσονι B τὸ om. B 17 ἀναγκαῖον—καταφατικὸν om. V 21 τινὶ τῷ β' St 22 ἤδη om. B 23 τῷ ἐν V ἐστὶν om. B οὐκ ἔστι t 27 καταφατικῶν πάλιν V 29 πάλιν Bt: πάση V 31 καὶ om. V

ὑπάρχειν, τὸ δὲ Γ διὰ τῆς ἀντιστροφῆς ἐξ ἀνάγκης τινὶ τῷ Β, καὶ τὸ XXXVII r
Α ἄρα τινὶ τῷ Β ὑπάρχει μόνον· τοῦτο γὰρ δέδεικται ἐν τῷ πρώτῳ σχήματι.
δείκνυσι δὲ καὶ διὰ τῶν ὅρων τοῦτο· λαμβάνει γὰρ μείζονα μὲν ὅρον ἐγρήγορσιν,
μέσον δὲ ζῷον, ἐλάττονα δὲ δίπουν· ἐγρήγορσις γὰρ παντὶ ζῴῳ ὑπαρχόντως,
5 δίπουν δὲ τινὶ ἐξ ἀνάγκης, καὶ συνάγεται ἐγρήγορσις τινὶ δίποδι ὑπαρχόντως.

p. 31b31 Ὁμοίως δὲ καὶ διὰ τῶν αὐτῶν ὅρων δειχθήσεται, καὶ εἰ τὸ ΑΓ εἴη ἐν μέρει τε καὶ ἀναγκαῖον.

Δείκνυται αὕτη, λέγω δὴ ἡ τὸ μεῖζον μερικὸν ἀναγκαῖον ἔχουσα, καὶ διὰ δύο ἀντιστροφῶν, ὡς ἤδη εἴπομεν, τῆς τε μείζονος προτάσεως καὶ τοῦ
10 συμπεράσματος. εἰ γὰρ τὸ Α τινὶ τῷ Γ ἐξ ἀνάγκης, καὶ τὸ Γ τινὶ τῷ Α ἐξ ἀνάγκης· εἰ τοίνυν ὑπόκειται τὸ μὲν Β παντὶ τῷ Γ ὑπάρχειν, τὸ δὲ Γ διὰ τῆς ἀντιστροφῆς τινὶ τῷ Α ἐξ ἀνάγκης, συνάγεται δήπου τὸ Β τινὶ τῷ Α ὑπάρχειν μόνον· τοῦτο γὰρ δέδεικται· ἀντιστραφέντος δὲ τοῦ συμπεράσματος καὶ τὸ Α τινὶ τῷ Β ὑπάρχει μόνον. δείκνυται δὲ καὶ διὰ
15 τῶν αὐτῶν ὅρων μόνον τῆς τάξεως αὐτῶν ἐναλλαττομένης· ὃν γὰρ ἐκεῖ ἐλάττονα ἐλαμβάνομεν, ἐνταῦθα μείζονα ποιοῦμεν, οἷον τὸ δίπουν· τὸ γὰρ δίπουν τινὶ ζῴῳ ἐξ ἀνάγκης, ἐγρήγορσις δὲ παντὶ ὑπαρχόντως, καὶ συνάγεται διὰ τῶν εἰρημένων δύο ἀντιστροφῶν δίπουν τινὶ ἐγρηγόρσει ὑπαρχόντως.

p. 31b33 Εἰ δ' ὁ μὲν εἴη κατηγορικὸς ὁ δὲ στερητικὸς τῶν ὅρων,
20 ὅταν μὲν | ᾖ τὸ καθόλου στερητικόν τε καὶ ἀναγκαῖον, καὶ XXXVII v
τὸ συμπέρασμα ἔσται ἀναγκαῖον.

Τῆς μείζονος καθόλου ἀποφατικῆς οὔσης ἀναγκαίας τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ὑπαρχούσης συνάγεται μερικὸν ἀποφατικὸν ἀναγκαῖον συμπέρασμα. εἰ γὰρ τὸ Β τινὶ τῷ Γ ὑπάρχει, καὶ τὸ Γ τινὶ τῷ Β
25 ὑπάρχει· ἐπεὶ οὖν τὸ μὲν Α οὐδενὶ τῷ Γ ἐξ ἀνάγκης, τὸ δὲ Γ τινὶ τῷ Β ὑπαρχόντως, συνάγεται τὸ Α οὐ παντὶ τῷ Β ἐξ ἀνάγκης· δέδεικται γὰρ τοῦτο ἐν τῷ πρώτῳ σχήματι. τοὺς αὐτοὺς δὲ κἀνταῦθα παραληψόμεθα ὅρους πρὸς τὸ δεῖξαι τὸ ὑπάρχον συναγόμενον, οὕσπερ καὶ ἐν τῷ πρώτῳ παρελαμβάνομεν σχήματι· ἐγρήγορσις, ὕπνοῦν, ἄνθρωπος· ἐγρήγορσις οὐδενὶ
30 ὑπνοῦντι ἐξ ἀνάγκης, ὑπνοῦν τινὶ ἀνθρώπῳ ὑπαρχόντως, καὶ συνάγεται ἐγρήγορσις οὐ παντὶ ἀνθρώπῳ ὑπαρχόντως.

1 ὑπαρχόντως B τῶ β' τινὶ B 2 ὑπάρχει scripsi: ὑπάρχειν Bt: ὑπάρχον V τῷ alt. om. B 3 μὲν γὰρ μείζονα V ἐγρήγορσις V 4 ἐλάττων t ὑπάρχει B 5 τινὶ prius Vt: οὐ παντὶ B ὑπαρχόντως Vt: οὐκ ἐξ ἀνάγκης ὑπάρχει B 6 καὶ prius B Arist.: om. Vt 7 καὶ om. V 8 αὕτη δείκνυται Vt post μερικὸν add. καὶ V ἔχουσα ἀναγκαῖον B 9 εἴπομεν] p. 141,6 sq. 10 τῶ alt. Vt: τῶν B 11 τὸ μὲν scripsi: μὲν τὸ Vt: μὲν τῶ B γ' παντὶ τὸ β' B ὑπάρχει V 12 διὰν sic V 13 ὑπάρχον V δὲ t: γὰρ BV 16 ἐλαμβάνομεν ἐλάττονα B 17 δὲ et καὶ om. V 19 εἴη om. t Arist. 24. 25 καὶ—ὑπάρχει om. B 26 ὑπάρχει Vt 27 τοῦτο et τῷ om. B ληψόμεθα B 28 ὑπάρχον B: ἀναγκαῖον Vt οὕσπερ t: οὓς B: ὥσπερ V 28. 29 ἐν πρώτω σχήματι ἐλάβομεν (scil. p. 131,23) B 29 an ἐγρήγορσιν—ἄνθρωπον? 30 ὑπνοῦν—31 ὑπαρχόντως om. V συνάγεται t: συνάγομεν B 31 ὑπαρχόντως B: ἐξ ἀνάγκης t

p. 31b37 Ὅταν δὲ τὸ καταφατικὸν ἀναγκαῖον τεθῇ ἢ καθόλου ὂν ἢ ἐν μέρει ἢ τὸ στερητικὸν κατὰ μέρος, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. XXXVIIv

Τεσσάρων γινομένων συλλογιστικῶν συζυγιῶν τῆς μὲν τῶν προτάσεων ἀποφατικῆς οὔσης τῆς δὲ καταφατικῆς καὶ τῆς μὲν καθόλου τῆς δὲ μερικῆς (τῆς γὰρ μείζονος καθόλου οὔσης καὶ ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς γίνονται δύο συζυγίαι, μία μὲν τῆς μείζονος ἀναγκαίας οὔσης τῆς δὲ ἐλάττονος ὑπαρχούσης, δευτέρα δὲ τῆς μείζονος ὑπαρχούσης ⟨οὔσης⟩ τῆς δὲ ἐλάττονος ἀναγκαίας· πάλιν τῆς μείζονος μερικῆς οὔσης ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς γίνονται ἄλλαι δύο ἢ τῆς μείζονος πάλιν οὔσης ἀναγκαίας τῆς δὲ ἐλάττονος ὑπαρχούσης ἢ ἀνάπαλιν τῆς μείζονος ὑπαρχούσης τῆς δὲ ἐλάττονος ἀναγκαίας· αἱ δ' ἄλλαι τέσσαρες αἱ ἔχουσαι τὴν μείζονα καταφατικὴν ἢ μερικὴν ἢ καθόλου ἀσυλλόγιστοί εἰσι), τούτων οὖν τῶν τεσσάρων συλλογιστικῶν παραδοὺς τὴν μίαν τὴν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ἀναγκαίας τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ὑπαρχούσης καὶ δείξας ταύτην ἀναγκαῖον συνάγουσαν συμπέρασμα διὰ τῆς ἀντιστροφῆς τῆς ἐλάττονος προτάσεως, νῦν τὰς λοιπὰς τρεῖς διὰ τούτων παραδίδωσι, καὶ δείκνυσιν αὐτὰς ὑπάρχον συναγούσας συμπέρασμα. διὰ μὲν γὰρ τοῦ εἰπεῖν ὅταν δὲ τὸ καταφατικὸν ἀναγκαῖον τεθῇ ἢ καθόλου ἢ ἐν μέρει τὰς δύο σημαίνει συζυγίας, τήν τε ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἀναγκαίας καὶ τὴν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ἀναγκαίας· διὰ δὲ τοῦ εἰπεῖν ἢ τὸ στερητικὸν κατὰ μέρος, προσυπακουομένου τοῦ ἀναγκαίου, σημαίνει τὴν λοιπὴν συζυγίαν τὴν ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς ἀναγκαίας τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ὑπαρχούσης. ταύτας οὖν τὰς τρεῖς φησι τὸ ὑπάρχον συνάγειν.

p. 31b39 Τὰ μὲν γὰρ ἄλλα τὰ αὐτὰ ἃ καὶ ἐπὶ τῶν πρότερον ἐρροῦμεν.

Τὰ ἄλλα φησὶ δι' ὧν ἐδείκνυμεν καὶ τὰς ἄλλας συζυγίας, λέγω δὲ τῆς ἀντιστροφῆς. δεῖ μέντοι γε ἐπιστῆσαι ὅτι οὐ περὶ τῶν τριῶν τοῦτό φησιν (οὐδὲ γὰρ αἱ τρεῖς δι' ἀντιστροφῆς δείκνυνται) ἀλλὰ περὶ τῆς

1 ἢ B Arist.: om. Vt 2 εἰ (ante τὸ) V 7 συζυγίαι δύο B S οὔσης addidi 9 πάλιν] πάσης V itemque vs. 11 11 ἀνάπαλιν om. B 14 τῶν δύο V post τεσσάρων add. τῶν B συλλογιστῶν B 16. 17 δι' ἀντιστροφῶν B 17 διὰ om. V 19 ἢ om. Bt cf. vs. 1 20 ante ἢ add. ὂν Arist. cf. vs. 2 23 εἰ V 24 ὑπακουομένου Vt an ἀναγκαῖον? 26 φησι om. B: ante τὰς collocat t 27 ὑπάρχειν t συνάγειν e S scripsi: σημαίνειν V: σημαίνει t: σημαινούσας εὑρήσεις B 30 post ὧν add. δείξεων B, δείξας t: om. VS λέγει B 31 δὲ BS: δὴ διὰ Vt γε om. B παρὰ V 32 τοῦτό S: τούτων BVt ἀντιστροφῶν t

μιᾶς μόνης τῆς ἐχούσης τὴν μείζονα καθόλου ἀποφατικὴν ὑπάρχουσαν XXXVII[v]
τὴν δὲ ἐλάττονα μερικὴν καταφατικὴν ἀναγκαίαν· αὕτη γὰρ τῆς μερικῆς
καταφατικῆς ἀντιστραφείσης, τῆς ἐλάττονος λέγω καὶ ἀναγκαίας, ἀνάγεται
εἰς τὸν τέταρτον τρόπον τοῦ πρώτου σχήματος. ἔστω γὰρ τὸ μὲν Α τῷ Γ
5 μηδενὶ ὑπαρχόντως, τὸ δὲ Β τῷ Γ τινὶ ἐξ ἀνάγκης· συνάγεται ὅτι τὸ Α
οὐ παντὶ τῷ Β ὑπαρχόντως. ἐπεὶ γὰρ ἀντιστρέφει τὸ μερικὸν καταφατικὸν ἀναγκαῖον, ἔσται ἐξ ἀνάγκης καὶ τὸ Γ τινὶ τῷ Β· ἐπεὶ τοίνυν τὸ
μὲν Α οὐδενὶ τῷ Γ ὑπαρχόντως, τὸ δὲ Γ τινὶ τῷ Β ἐξ ἀνάγκης, τὸ ἄρα 10
Α οὐ παντὶ τῷ Β ὑπαρχόντως· γίνεται γὰρ ὁ τέταρτος τρόπος τοῦ πρώτου
10 σχήματος. οὕτω μὲν οὖν αὕτη δι' ἀντιστροφῆς δείκνυται. αἱ δὲ ἄλλαι
δύο οὐ δύνανται δι' ἀντιστροφῆς δειχθῆναι διὰ τὸ τὴν ἐλάττονα εἶναι ἐν
ἀμφοτέραις καθόλου καταφατικήν· ἐὰν γὰρ αὐτὴν ἀντιστρέψωμεν, πρὸς τὴν
μερικὴν ἀντιστρέψει καὶ ἀσυλλόγιστον ποιήσει τὴν συζυγίαν· ἀλλ' οὐδὲ ἡ
μείζων δύναται ἀντιστραφῆναι μερικὴ οὖσα ἀποφατική.

15 p. 31b40 Ὅροι δέ, ὅταν μὲν ᾖ τὸ καθόλου κατηγορικὸν ἀναγ- 45
καῖον, ἐγρήγορσις, ζῷον, ἄνθρωπος, μέσον ἄνθρωπος.

Τὴν ἐκ τῆς ἐλάττονος καθόλου καταφατικῆς ἀναγκαίας τῆς δὲ μείζονος μερικῆς ἀποφατικῆς ὑπαρχούσης διὰ τῶν ὅρων πιστοῦται· ἐγρήγορσις μὴ παντὶ ἀνθρώπῳ ὑπαρχέτω, ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, καὶ συν-
20 άγεται ἐγρήγορσις οὐ παντὶ ζῴῳ ὑπαρχόντως.

p. 32a1 Ὅταν δὲ ἐν μέρει τὸ κατηγορικὸν ἀναγκαῖον, ἐγρήγορσις, 50
ζῷον, λευκόν.

Οὗτοι τῆς ἑτέρας συζυγίας οἱ ὅροι τῆς ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ἀναγκαίας.
25 αὕτη δὲ ἐδείχθη διὰ τῆς ἀντιστροφῆς τὸ μερικὸν ἀποφατικὸν | ὑπάρ- XXXVIII[r]
χον συνάγουσα. δείκνυται δὲ καὶ διὰ τῶν ὅρων οὕτως· ἐγρήγορσις οὐδενὶ λευκῷ ὑπαρχόντως, ζῷον τινὶ λευκῷ ἐξ ἀνάγκης, καὶ συνάγεται ἐγρήγορσις οὐ παντὶ ζῴῳ ὑπαρχόντως καὶ οὐκ ἀναγκαίως.

p. 32a4 Ὅταν δὲ τὸ στερητικὸν ἐν μέρει ὂν ἀναγκαῖον ᾖ, δίπουν,
30 κινούμενον, ζῷον, ζῷον μέσον.

Διὰ τούτων τὴν λοιπὴν τῶν τριῶν παραδίδωσι συζυγιῶν τῶν τὸ

1 μόνης om. V 2 ἀποφατικὴν pr. V, corr. V² 3 ἐλάσσονος B καὶ om. S
5 τὸ (ante γ') Vt post ἀνάγκης add. καὶ B 6 γὰρ—7 ἐπεὶ om. V 7 post ἀναγκαῖον add. ὄν t 9 ὑπαρχόντως S: ὑπάρχει B: ὑπάρχοντι V: ὑπάρχον t
10 δι' BS: διὰ τῆς Vt 12 καθόλου BS: ταῖς t: om. V καταφατικαῖς t 13 ἀντιστρέψει BS: ἀντιστρέψομεν V: ἀντιστρέφει t ποιήσει B²S: ποιεῖ B¹: δείξει Vt
15. 16 ἀναγκαῖον κατηγορικόν B 18 post ἐγρ. add. γὰρ B, at cf. p. 145,3
19 ὑπαρχόντως BS ante ζῶον add. τὸ B 19. 20 γίνεται B 20 ἀνθρώπῳ B
23 οἱ deleverim 25. 26 ὑπάρχον supra ἀναγκαῖον del. scr. V² 26 δὲ om. V
27 ἐξ ἀνάγκης supra ὑπαρχόντως del. scr. V² 30 ζῶον μέσον B Arist.: inv. ord. Vt (AC) 31 συζυγίαν B

ὑπάρχον συναγουσῶν τὴν ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς ἀναγ- XXXVIII r
καίας τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ὑπαρχούσης. δείκνυσι δὲ 6
διὰ τῆς τῶν ὅρων παραθέσεως τὸ συμπέρασμα· δίπουν οὐ παντὶ ζῴῳ ἐξ
ἀνάγκης, κινούμενον παντὶ ζῴῳ ὑπαρχόντως, καὶ συνάγεται δίπουν οὐ
5 παντὶ κινουμένῳ ὑπαρχόντως. εἰδέναι δὲ δεῖ ὅτι τινὰ τῶν παλαιοτέρων
βιβλίων ἔχει μέσον δίπουν. λέγουσι δὲ τοῦτο γραφικὸν εἶναι σφάλμα·
οὐ γὰρ συνάγεται διὰ τούτων τῶν ὅρων μέσου λαμβανομένου τοῦ δίποδος
ὑπάρχον συμπέρασμα ἀλλ' ἀναγκαῖον, ὡς ἐκ τῶν προειρημένων δῆλόν 10
ἐστιν. ὅτι δὲ οὐ τὸ δίπουν τίθησι μέσον ἀλλὰ τὸ ζῷον, δῆλον ἐξ ὧν πρώτου
10 τοῦ δίποδος ἐμνημόνευσεν, ὕστερον δὲ τοῦ ζῴου· ἐπὶ γὰρ τοῦ τρίτου σχή-
ματος ἔθος ἔχει ὕστερον τιθέναι τὸ μέσον· καὶ νῦν δὲ τὸ ζῷον ὕστερον
ἔθηκε.

p. 32a5 Φανερὸν οὖν ὅτι τοῦ μὲν ὑπάρχειν οὐκ ἔστι συλλογισμός,
ἐὰν μὴ ἀμφότεραι ὦσιν αἱ προτάσεις ἐν τῷ ὑπάρχειν, τοῦ δ'
15 ἀναγκαίου ἔστι καὶ τῆς ἑτέρας μόνον ἀναγκαίας οὔσης.

Δοκεῖ ὁ Ἀριστοτέλης τὸ συμπέρασμα τοῦτο ἐπαγαγεῖν ἐπὶ τῶν τριῶν 15
εἰρημένων σχημάτων. οὐ δεῖ δὲ τοῦτο νομίζειν, ἐπεὶ ἀτοπίᾳ τινὶ περι-
πεσεῖται ὁ φιλόσοφος φάσκων ὅτι φανερὸν ἐκ τῶν εἰρημένων, ὡς ἐὰν μὴ
ἀμφότεραι αἱ προτάσεις ὦσιν ὑπάρχουσαι, οὐ συνάγεται ὑπάρχον συμπέ-
20 ρασμα· ἀπέδειξε γὰρ ἐν πρώτῳ καὶ δευτέρῳ σχήματι ὅτι καὶ τῆς μείζονος
μόνης καθόλου ἀποφατικῆς οὔσης ὑπαρχούσης ὑπάρχον γίνεται τὸ συμπέ-
ρασμα. δεῖ οὖν λέγειν ὅτι οὐ τῶν τριῶν σχημάτων ἐστὶ τὸ εἰρημένον
συμπέρασμα ἀλλὰ τοῦ τρίτου μόνου. δόξει δὲ μηδὲ ἐπὶ τοῦ τρίτου ἀληθῆ 20
τὸν λόγον τοῦτον εἶναι· δέδεικται γὰρ καὶ ἐπὶ τούτου ὅτι καὶ τῆς μιᾶς
25 μόνης προτάσεως ὑπαρχούσης οὔσης ὑπάρχον γίνεται τὸ συμπέρασμα.
ῥητέον οὖν ὅτι οὐδὲ τοῦ τρίτου σχήματος ὅλου τὸ εἰρημένον ἐστὶ συμπέ-
ρασμα ἀλλὰ τῶν τεσσάρων συζυγιῶν τῶν ἐξ ἀμφοτέρων καθόλου προτά-
σεων· ἐπειδὴ γὰρ ἐπὶ τούτων ἀπέδειξεν ὅτι αἱ τρεῖς ἐξ αὐτῶν συζυγίαι
τὸ ἀναγκαῖον συνάγουσι συμπέρασμα οἱασδήποτε ἀναγκαίας λαμβανομένης
30 προτάσεως, κἂν τῆς μείζονος κἂν τῆς ἐλάττονος, ὡς πρὸς τὴν ἑαυτοῦ νῦν 25
δεῖξιν τὰ ἀκόλουθα συμπεραινόμενος ταῦτά φησιν, ὅτι οὐχ ὥσπερ ἐπὶ τού-

2 post δὲ alt. add. καὶ Vt 5. 6 τινὰ τῶν παλ. β.] nostrorum cod. n, pr. d 6 εἶναι γραφικὸν B 7 οὔτε t διὰ τῶν αὐτῶν ὅρων B 8 ὑπάρχειν t: compend. B post ὑπάρχον add. τὸ V 9 ἐστιν om. B τίθησι om. B τὸ alt. om. Bt πρώτου Vt: πρὸ τοῦ δὲ B 11 τιθέναι τὸ μέσον ὕστερον B 13 ἔστι B Arist.: ἔσται Vt post συλλογισμός add. διὰ τῶν τριῶν ὅρων B 14 ἐὰν B Arist.: κἂν Vt ἀμφοτέρωθεν V 16 ἐπάγειν B post τριῶν add. τῶν B 17 σχημάτων superscr. B ἐπὶ Vt ἀτοπίᾳ τινὶ Vt: εἰς ἄτοπον B 18 φάσκων Vt: τοῦτο διδάσκων B ὡς Vt: ὅτι B 19 ὦσιν post 18 μὴ collocat B 21 ὑπαρχούσης οὔσης B 23 μόνον Vt δὲ om. V ἀληθὲς t 24 τοῦτον superscr. V 25 οὔσης ὑπαρχούσης B τὸ om. B

των τῶν συζυγιῶν ἀληθὲς ἦν ἁπλῶς φάναι ὅτι οἱασδήποτε τῶν προτά- XXXVIII r
σεων ἀναγκαίας οὔσης ἀναγκαῖον πάντως συνάγεται τὸ συμπέρασμα, οὕτω δὴ καὶ ἐπὶ τῶν τὸ ὑπάρχον συναγουσῶν ἀληθές ἐστιν ἁπλῶς εἰπεῖν ὅτι ὑπάρχον πάντως συνάγεται τὸ συμπέρασμα, ἀλλ' ἀμφοτέρων μὲν οὐσῶν ὑπαρχουσῶν πάντως ὑπάρχον γίνεται τὸ συμπέρασμα, τῆς δὲ μιᾶς ὑπαρχούσης οὐ πάντως ὑπάρχον.

p. 32a8 Ἐν ἀμφοτέροις δὲ καὶ καταφατικῶν καὶ στερητικῶν ὄντων τῶν συλλογισμῶν ἀνάγκη τὴν ἑτέραν πρότασιν ὁμοίαν εἶναι τῷ συμπεράσματι· λέγω δὲ τὸ ὁμοίαν, εἰ μὲν ὑπάρχον, ὑπάρχουσαν, εἰ δ' ἀναγκαῖον, ἀναγκαίαν.

Ἐν ἀμφοτέροις, φησί, τοῖς εἰρημένοις τρόποις, τῷ τε ὑπάρχοντι καὶ τῷ ἀναγκαίῳ, καὶ ἀποφατικῶν καὶ καταφατικῶν ὄντων τῶν συμπερασμάτων ἢ ἀναγκαίων ἢ ὑπαρχόντων ἀνάγκη μίαν τῶν προτάσεων ὁμοίαν εἶναι τῷ συμπεράσματι, καὶ εἰ μὲν ὑπάρχον εἴη τὸ συμπέρασμα, τὴν μίαν τῶν προτάσεων πάντως εἶναι ὑπάρχουσαν, εἰ δὲ ἀναγκαῖον, ἀναγκαίαν.

p. 32a15 Περὶ μὲν οὖν τοῦ ἀναγκαίου, πῶς γίνεται καὶ τίνα διαφορὰν ἔχει πρὸς τὸ ὑπάρχον, εἴρηται σχεδὸν ἱκανῶς.

Ὅτι ἐκ δύο, φησίν, ἀναγκαίων τὸ συμπέρασμα γίνεται ἀναγκαῖον, καὶ ὅτι, κἂν μόνη ἡ μείζων ἀναγκαία ᾖ, πάλιν ἀναγκαῖον γίνεται τὸ συμπέρασμα, καὶ ὅτι ταῖς ὑπαρχούσαις ὁμοίως αἱ ἀναγκαῖαι συμπλεκόμεναι γίνονται συλλογιστικαί, καὶ ὅτι τὸ ἀναγκαῖον τῷ ἀεὶ εἶναι διαφέρει τοῦ ὑπάρχοντος.

p. 32a16 Περὶ δὲ τοῦ ἐνδεχομένου μετὰ ταῦτα λέγωμεν, πότε καὶ πῶς καὶ διὰ τίνων ἔσται συλλογισμός.

Διαλεχθεὶς περί τε τῶν ὑπαρχουσῶν καὶ ἀναγκαίων προτάσεων, ὅπως τε ἔχουσιν αὐταὶ καθ' ἑαυτὰς καὶ ὅπως ἀλλήλαις συμπλεκόμεναι, νῦν λοιπὸν περὶ τῶν τοῦ ἐνδεχομένου προτάσεων ποιεῖται τὸν λόγον. πρὶν δὲ ἡμῖν τὸν περὶ τῶν προτάσεων τοῦ ἐνδεχομένου παραδοῦναι λόγον θεωρήματά

2 συνάγεσθαι B 3 τῶν τὸ superscr. V² τὸ om. t 7 δὲ om. V στερητικῶν—καταφατικῶν V 8 πρώτην pr. V, corr. V² 9 τὸ συμπέρασμα pr. V, corr. V² 12 ἀναγκαίοις pr. V, corr. V² 13 ἢ ἀναγκαίων—15 ὑπάρχουσαν om. B; λείπει supra εἰ δὲ scr. B² 17 post πῶς add. τε t 19 φησίν post ὅτι collocat t: om. B ἀναγκαῖον γίνεται B 20 ᾖ S: εἴη BVt 21 ὁμοίαις ex ὁμοίως, ut videtur, corr. B 22 τὸ ἀεὶ B 23 περὶ τοῦ ἐνδεχομένου inscr. B: περὶ τοῦ ἐνδεχομένου. περὶ (τοῦ del.) μίξεως (superscr.) ἐνδεχομένου καὶ ὑπάρχοντος V λέγωμεν corr. B, t (B C i f n): λέγομεν pr. B, V Arist. 25 τε VS: τῆς t: om. B 26 συμπλέκονται B λοιπὸν om. B 27 post περὶ add. δὲ V τῶν—28 περὶ om. V πρὶν δὲ St: πρὸ δὲ τοῦ B 27. 28 παραδοῦναι ἡμῖν τὸν περὶ τῶν τοῦ ἐνδεχομένου προτάσεων λόγον B 28 τοῦ e τῷ corr. V

τινα περὶ τούτου παραδίδωσι, πρῶτον μὲν τί ποτέ ἐστιν ὅλως τὸ ἐνδε- XXXVIII[r]
χόμενον, ἔπειτα τὸν περὶ τῶν ἀντιστροφῶν τοῦ ἐνδεχομένου λόγον. ἐλέγο-
μεν δὲ ὅτι τῶν ἀντιστροφῶν ἡ μέν ἐστιν ἁπλῆ, ἡ δὲ ἐκ μεταθέσεως. ἡ δὲ
ἐνδεχομένη· διδάσκει οὖν ἡμᾶς ἐνταῦθα περὶ τῆς ἐνδεχομένης ἀντιστροφῆς.
5 ἐπειδὴ καὶ ὅλως περὶ τοῦ ἐνδεχομένου ἐστὶν ὁ λόγος, ποῖαί εἰσιν αἱ ἀντι- 50
στρέφουσαι πρὸς ἀλλήλας προτάσεις. καὶ τρίτον ἐπὶ τούτοις παραδίδωσι
τὴν διαίρεσιν τοῦ ἐνδεχομένου, ποσαχῶς λέγεται, ὅπερ καὶ ἐν τῷ Περὶ
ἑρμηνείας ἐποίησε. καὶ οὕτω λοιπὸν διδάσκει ὅπως τε ἔχουσιν αἱ τοῦ
ἐνδεχομένου προτάσεις, καὶ τίνες τίσι συμπλεκόμεναι ποιοῦσί τινας συλλο-
10 γιστικὰς συζυγίας, ἔπειτα μίγνυσιν αὐτὰς τῷ τε ὑπάρχοντι καὶ τῷ ἀναγ-
καίῳ, καὶ μετὰ ταῦτα διδάσκει περὶ τῆς ἁπλῆς τοῦ ἐνδεχομένου ἀντιστροφῆς.
σημαίνει δὲ αὐτῷ τὸ μὲν διὰ τίνων, ὡς καὶ ἄλλοτε εἴρη|ται, XXXVIII[v]
τὸ διὰ δύο τοὐλάχιστον προτάσεων, τὸ δὲ πῶς τὴν τῶν ὅρων
τάξιν, ὅτι δεῖ τὸν μέσον ἢ τοῦ μὲν κατηγορεῖσθαι τῷ δὲ ὑποκεῖσθαι ἢ
15 ἀμφοτέρων κατηγορεῖσθαι ἢ ἀμφοτέροις ὑποκεῖσθαι· διὰ δὲ τοῦ πότε
ἐδήλωσεν ὅτι οὐχ ὡς ἔτυχε συμπλεκόμεναι αἱ προτάσεις ποιοῦσι συλλο-
γισμόν.

p. 32a18 Λέγω δ' ἐνδέχεσθαι καὶ τὸ ἐνδεχόμενον οὐ μὴ ὄντος
ἀναγκαίου τεθέντος δ' ὑπάρχειν οὐδὲν ἔσται διὰ τοῦτ' ἀδύνατον. 5

20 Ὁρίζεται διὰ τούτων τὸ ἐνδεχόμενον, καὶ φησὶ μὴ εἶναι μὲν ἐξ ἀνάγκης
αὐτοῦ τὴν ὕπαρξιν, ἐὰν δέ τις καθ' ὑπόθεσιν τὸ μήπω ἐκβεβηκὸς ὡς
ἐκβεβηκὸς θῇ, μηδὲν ἀδύνατον ἀκολουθεῖν τῇ ὑποθέσει αὐτοῦ. οἷόν ἐστιν
ἐνδεχόμενον τὸ νύκτωρ ἐσθίειν Σωκράτην· ἐὰν ⟨γὰρ⟩ ὑποθώμεθα νύκτωρ
αὐτὸν ἐσθίοντα, οὐδὲν ἀδύνατον ἀκολουθήσει τῇ ὑποθέσει ταύτῃ, κἂν ψευδὴς
25 ᾖ· εἴρηται γὰρ ὅτι τὸ μὲν ἀδύνατον πάντως καὶ ψεῦδος, οἷον τὸ τὸν 10
ἄνθρωπον εἶναι πτερωτόν, τὸ δὲ ψεῦδος οὐ πάντως καὶ ἀδύνατον.

p. 32a20 Τὸ γὰρ ἀναγκαῖον ὁμωνύμως ἐνδέχεσθαι λέγομεν.

Ἐπειδήπερ ἐν τῷ Περὶ ἑρμηνείας τὸ ἐνδεχόμενον καὶ ἐπὶ τοῦ ἀναγ-
καίου ἔταττεν, ἐνταῦθα δέ φησιν ὅτι ἐνδεχόμενόν ἐστιν "οὐ μὴ ὄντος

1 τούτου B: αὐτοῦ S: τοῦ ἐνδεχομένου Vt ποτέ om. B ὅλως SVt: ἡ λέξις B 2 εἶτα B 2. 3 ἐλέγομεν] p. 42,4 sq. 3 μέν Vt: μία B ἐκ μεταθέσεως: ἑτέρα ἐξ ἀντιθέσεως B 5 ὅλως SVt: ὅλος B αἱ om. V 6 τρίτον BSt: τρίτην V παραδίδωσι om. B 7. 8 ἐν τῷ Περὶ ἑρμ.] c. 9 p. 19a18 sq. 8 οὕτω BS: ᾧ δὲ Vt ὅπως SVt: πῶς B 9 τινας om. S 10 τῷ τε] ὥστε V 10. 11 καὶ τῷ ἀναγκαίῳ om. B 11 τοῦτο BS διδάσκειν, ut videtur, pr. V ἁπλῶς pr. V post ἐνδεχομένου del. ἁπλῆς V 12 σημαίνει bis, semel del. V ἄλλοτε] p. 71,18 13 τὸ prius om. t 13. 14 τὸ δὲ—τάξιν S: διὰ δὲ τοῦ καὶ πῶς περὶ τῆς τῶν ὅρων τάξεως BVt 14. 15 ἢ ἀμφοτέρων κατηγορεῖσθαι ἢ ἀμφοτέροις (ἀμφοτέρων B) ὑποκεῖσθαι BS: inv. ord. Vt 19 supra διὰ τοῦτ' scr. διὰ τὸ ὑποτεθῆναι B 20 supra τὸ ἐνδ. scr. τὸ κυρίως B 21 post τὴν add. ὅλην B 22 θείη, οὐδὲν—ἀκολουθεῖ B 23 γὰρ addidi 24 ἐσθίειν S 25 εἴρηται] p. 56,27 sq. γὰρ B: γοῦν S: τοίνυν Vt ὅτι om. V 27 γοῦν V 28 ἐπεὶ B ἐν τῷ Περὶ ἑρμ.] c. 13 p. 22b11

ἀναγκαίου", διὰ τοῦτό φησιν ὅτι τὸ ἐνδεχόμενον ὁμωνύμως ἐστὶ φερό- XXXVIIIv
μενον καὶ κατὰ ἀναγκαίου καὶ κατὰ τοῦ κυρίως ἐνδεχομένου καὶ ἐπὶ τῶν ἄλλων τρόπων.

p. 32a21 Ὅτι δὲ τοῦτό ἐστι τὸ ἐνδεχόμενον, φανερὸν ἔκ τε τῶν ἀποφάσεων καὶ τῶν καταφάσεων τῶν ἀντικειμένων.

Τὸν ἀποδεδομένον περὶ τοῦ ἐνδεχομένου λόγον πιστώσασθαι βούλεται, ὅτι καλῶς ἀποδέδωκεν εἰπών τε "οὗ μὴ ὄντος ἀναγκαίου" καὶ ὅτι "τεθέντος ὑπάρχειν" οὐδὲν ἀδύνατον συμβαίνει. πιστοῦται δὲ τοῦτο διὰ τῶν ἀντικειμένων, τῇ μὲν [οὖν] τοῦ ἐνδεχομένου καταφάσει δεικνὺς ἀκολουθοῦσαν τήν τε τοῦ ἀδυνάτου ἀπόφασιν καὶ τὴν τοῦ ἀναγκαίου, ὁμοίως καὶ τῇ ἀποφάσει τὰς ἀντικειμένας ταύταις, ὡς ἑξῆς ἐν τῷ διαγράμματι κεῖνται.

ἐνδέχεται ὑπάρχειν
οὐκ ἀδύνατον ὑπάρχειν
οὐκ ἀναγκαῖον μὴ ὑπάρχειν

οὐκ ἐνδέχεται ὑπάρχειν
ἀδύνατον ὑπάρχειν
ἀναγκαῖον μὴ ὑπάρχειν.

Εἰ τοίνυν τῷ 'ἐνδέχεται ὑπάρχειν' ἀκολουθεῖ τὸ 'οὐκ ἀνάγκη μὴ ὑπάρχειν', καλῶς ἄρα εἴρηται τὸ "οὗ μὴ ὄντος ἀναγκαίου". καὶ πάλιν εἰ 'τῷ ἐνδέχεται ὑπάρχειν' ἀκολουθεῖ τὸ 'οὐκ ἀδύνατον ὑπάρχειν', καλῶς ἄρα εἴρηται τὸ 'τεθέντος τοῦ ἐνδεχομένου οὐδὲν ἀδύνατον ἀκολουθεῖ'· ὃ γὰρ ἐνδέχεται εἶναι, τοῦτο ἐδείχθη οὐκ ἀδύνατον εἶναι. αὗται δέ, φησίν, αἱ προτάσεις ἢ αἱ αὐταί εἰσιν ἢ ἀκολουθοῦσιν ἀλλήλαις· αἱ αὐταὶ μὲν γάρ εἰσι τῷ σημαινομένῳ· συναληθεύουσι γάρ· ἀκολουθοῦσι δὲ ἀλλήλαις μὴ πάντῃ οὖσαι αἱ αὐταί· διαφέρουσι γὰρ κατὰ τὴν τῆς φωνῆς προφοράν.

p. 32a27 Κατὰ παντὸς γὰρ ἡ φάσις ἢ ἡ ἀπόφασις. ἔσται ἄρα τὸ ἐνδεχόμενον οὐκ ἀναγκαῖον καὶ τὸ μὴ ἀναγκαῖον ἐνδεχόμενον.

Πιστούμενος τὰ περὶ τῆς ἀκολουθήσεως τῶν ἐκτεθεισῶν προτάσεων προσκέχρηται τῷ ἀξιώματι τῆς ἀντιφάσεως· ὅτι γάρ, φησί, καλῶς εἰρή-

---

1 post ἀναγκαίου add. τεθέντος δὲ ὑπάρχειν οὐδὲν ἀδύνατον συμβαίνει B: τεθέντος δ' ὑπάρχειν V ante διὰ add. καὶ V post τοῦτο add. οὖν t ὅτι om. B ἐνδεχόμενον S: ἀναγκαῖον BVt ὁμωνύμως BS: ὁμώνυμον Vt ἐστὶ om. V 2 ἀναγκαίου—ἐνδεχομένου e S scripsi: inv. ord. BVt 2. 3 καὶ ἐπὶ—τρόπων om. S (post κατὰ prius add. τοῦ ὑπάρχοντος καὶ τοῦ) cf. p. 169,6.7 5 καταφάσεων—ἀποφάσεων B supra ἀντικειμένων scr. ἀντιφατικῶν B 6 ἀποδεδομένον] δ alt. e χ corr. V supra λόγον scr. ὁρισμὸν B 7 ἀπέδωκεν Vt: ἀποδεδώκαμεν S τε om. B 9 οὖν delevi 10 τε BS: om. Vt 11 ταύτας V κεῖνται] δείκνυται. ἀκολουθοῦσιν ἀλλήλαις αἱ ὑποκείμεναι προτάσεις B 12—14 om. V post 14 add. lemma a22—27 τὸ γὰρ οὐκ ἐνδέχεται—ἀκολουθοῦντα ἀλλήλοις t 15 τῷ e τὸ corr. V 16 post ὑπάρχειν add. καὶ τῷ οὐκ ἐνδέχεται ὑπάρχειν τὸ ἀναγκαῖον μὴ ὑπάρχειν B εἴρηται ἄρα V οὗ superscr. V 17 εἰ om. V ἐνδέχεται—ἀδύνατον VSt: οὐκ ἐνδεχομένῳ ὑπάρχειν τὸ ἀναγκαῖον μὴ B 18 τὸ BS: οὗ Vt συμβαίνει, sed ἀκολουθεῖ post τὸ superscr. B 20 αἱ alt. S: om. BVt 21 δὲ BSt: γὰρ V 22 διαφέρει B τὴν προφορὰν τῆς φωνῆς B 23 φάσις Vt Arist.: κατάφασις B (C d n u i f) ἡ alt. om. B (u) post ἀπόφασις add. ἔσται B, ἐστιν Arist. (om. C d n u) 26 γοῦν B

καμεν ἀκολουθεῖν ἤτοι ἰσοδυναμεῖν ταύτας ἀλλήλαις τὰς προτάσεις, XXXVIII· δῆλον ἐξ ὧν ἐπὶ παντὸς πράγματος ἀνάγκη ἢ τὴν κατάφασιν ἀληθεύειν ἢ τὴν ἀπόφασιν τὰς ἀντιφατικῶς ἀντικειμένας. τῷ γὰρ ἐνδέχεσθαι ὑπάρχειν πᾶσα ἀνάγκη ἢ τὸ ἀναγκαῖον μὴ ὑπάρχειν συναληθεύειν ἢ τὸ οὐκ ἀναγκαῖον μὴ 10 ὑπάρχειν· εἰ τοίνυν, φησί, τὸ αὐτὸ ἐνδέχεσθαι ὑπάρχειν καὶ ἀναγκαῖον μὴ ὑπάρχειν ψεῦδός ἐστι λέγειν, ἀληθὲς ἄρα τὸ ἀντικείμενον τῷ ἑτέρῳ ὑπάρχειν τῷ ἄλλῳ. λέγω δὴ τῷ ἐνδέχεσθαι ὑπάρχειν τὸ οὐκ ἀνάγκη μὴ ὑπάρχειν. ὁμοίως καὶ ἐπὶ τοῦ ἀδυνάτου· εἰ γὰρ τῷ ἐνδέχεσθαι ὑπάρχειν μὴ δύναται συναληθεύειν τὸ ἀδύνατον ὑπάρχειν, δῆλον ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον συναληθεύσει τὸ οὐκ ἀδύνατον ὑπάρχειν· ὃ γὰρ ἐνδέχεται ὑπάρχειν, τοῦτο οὐκ ἀδύνατον ὑπάρχειν. εἰ τοίνυν τῷ ἐνδεχομένῳ ἀνάγκη 15 ἢ τὸ ἀναγκαῖον ἢ τὸ μὴ ἀναγκαῖον ὑπάρχειν, οὐ δύναται δὲ τὸ ἀναγκαῖον ὑπάρχειν (πῶς γὰρ τὸ αὐτὸ ἐνδεχόμενόν τε ἅμα εἴη καὶ ἀναγκαῖον;), τὸ ἄρα μὴ ἀναγκαῖον ὑπάρξει· καλῶς ἄρα εἴρηται ὅτι ἐνδεχόμενον τοῦτό ἐστιν "οὗ μὴ ὄντος ἀναγκαίου". καὶ πάλιν εἰ ἀνάγκη τὸ ἐνδεχόμενον ἢ ἀδύνατον εἶναι ἢ οὐκ ἀδύνατον, ἀδύνατον δὲ οὐκ ἔστι (πῶς γὰρ τὸ αὐτὸ ἐνδεχόμενόν τε ἅμα εἴη καὶ ἀδύνατον;), οὐκ ἀδύνατον ἄρα ἔσται· καλῶς οὖν εἴρηται ὅτι τεθέντος ὑπάρχειν τοῦ ἐνδεχομένου οὐδὲν ἀδύνατον συμβαίνει.

20 p. 32ᵃ29 Συμβαίνει δὲ πάσας τὰς κατὰ τὸ ἐνδέχεσθαι προτάσεις ἀντιστρέφειν ἀλλήλαις.

Περὶ τῆς ἀντιστροφῆς τοῦ ἐνδεχομένου ἐντεῦθεν ποιεῖται τὸν λόγον, ἀντιστροφῆς δέ, ὡς εἴρηται, τῆς ἐνδεχομένης, ἥτις τὴν μὲν τάξιν τῶν ὅρων φυλάττει τὴν αὐτήν, τὴν δὲ ποιότητα μόνην ἀμείβει. φησὶν οὖν ὅτι 25 ἀντι|στρέφουσιν ἀλλήλαις αἱ προτάσεις τοῦ ἐνδεχομένου, αἱ μὲν καθόλου XXXIXʳ καταφατικαὶ πρὸς τὰς καθόλου ἀποφατικάς, αἱ δὲ μερικαὶ καταφατικαὶ πρὸς τὰς μερικὰς ἀποφατικάς, οὐκέτι δὲ ἀντιστρέφουσιν αἱ καθόλου πρὸς τὰς μερικάς. καὶ τοῦτο εἰκότως· εἰ γὰρ ἐνδεχόμενόν ἐστιν ὃ δύναται ὡσαύτως εἶναί τε καὶ μὴ εἶναι, δῆλον ὅτι, ἐφ' ὧν τὴν κατάφασιν ἔστιν εἰπεῖν, ἐπὶ 30 τούτων καὶ τὴν ἀπόφασιν· εἰ γὰρ ἐνδέχεται πάντα ἄνθρωπον κινεῖσθαι,

1 ἀλλήλαις τὰς προτάσεις SVt: inv. ord. B 2 ἐξ ὧν om. B post πράγματος add. γὰρ B ἀνάγκη post ἀληθεύειν colloc. B 3 τὸ V 4 ἀναγκαῖον alt. Vt: ἀνάγκη BS 5 ὑπάρχειν ἐνδέχεσθαι V 5. 6 καὶ οὐκ ἀνάγκη B 6 ἄρα SVt: om. B 7 ὑπάρχειν τῷ ἄλλῳ om. B τῷ ἄλλῳ t: τὸ ἄλλος V τῷ alt. S: τὸ BVt τὸ S: om. BVt οὐκ om. B 8 ἐνδέχεται B 9 post τὸ prius add. οὐκ B 10 συναληθεύει V οὐκ om. B ὃ BS: οὐ Vt 12 ἢ prius S: om. BVt 13 ὥσπερ t εἴη ἅμα V ἅμα εἴη post ἀναγκαῖον colloc. B 14 ἄρα alt. om. V ὅτι BS: ὅτι τὸ Vt 15 οὗ om. t post ἀναγκαίου add. τεθέντος δὲ οὐδὲν ἀδύνατον συμβαίνει B 16 ὥσπερ t post γὰρ add. ἂν S 17 ἅμα superscr., εἴη om. V οὐκ ἀδύνατον om. t 18 οὖν ἄρα S εἴρηται S: om. BVt ὑπάρχειν τοῦ ἐνδεχομένου St: inv. ord. BV 20 δὴ V ἐνδεχόμενον V 22 ἐνταῦθα B 23 εἴρηται] p. 147,4 τῆς ἐνδεχομένης SV: om. B: τῆς om. t 23. 24 τῶν ὅρων φυλάττει BS: inv. ord. Vt 25 ἀντιστρέφουσιν corr. V 27 καταφατικάς pr. V, corr. V² post ἀποφατικάς add. ἀντιστρέφουσιν V 29 τε om. B

ἐνδέχεται καὶ μηδένα κινεῖσθαι, καὶ εἰ τινὰ ἐνδέχεται μὴ κινεῖσθαι, XXXIXʳ
καὶ τινὰ ἐνδέχεται κινεῖσθαι. ἀλλ' οὐκέτι ταῖς μερικαῖς αἱ καθόλου δύνανται
ἀκολουθεῖν, ἀντικειμένως δηλονότι κατὰ τὸ ποιὸν ἔχουσαι· οὐδὲ γὰρ εἰ
τινὰ ἐνδέχεται μὴ εἶναι λευκόν, δυνατὸν λέγειν ὅτι καὶ πάντα ἐνδέχεται
5 εἶναι λευκόν· τινὰ μὲν γὰρ ἐνδέχεται, οὐκέτι δὲ καὶ πάντα, οἷον τὸν Αἰθίοπα.
ἀλλ' εἰ καὶ μὴ πρὸς τὰς μερικὰς αἱ καθόλου ἀντιστρέφειν δύνανται, ἀλλ'
αἱ μερικαὶ δύνανται πρὸς τὰς καθόλου ἀντιστρέφειν· εἰ γὰρ ἐνδέχεται πάντα 10
ἄνθρωπον κινεῖσθαι, ἐνδέχεται τινὰ μὴ κινεῖσθαι. τοῦτο δὲ διὰ τὸ καθόλου
συμβαίνει· διότι γὰρ τὸ μηδένα κινεῖσθαι ἐνδέχεται (αὕτη δὲ ἀντέστρεφε
10 πρὸς τὴν καθόλου καταφατικήν), διὰ τοῦτο καὶ τινὰ μὴ κινεῖσθαι ἐνδέχεται·
τὸ γὰρ μερικὸν ἀκολουθεῖ τῷ καθόλου.

p. 32ᵃ31 Λέγω δὲ οὐ τὰς ἀποφατικὰς ταῖς καταφατικαῖς, ἀλλ' ὅσαι καταφατικὸν ἔχουσι τὸ σχῆμα κατὰ τὴν ἀντίθεσιν. 15

Ἐπειδὴ εἶπε πάσας τὰς τοῦ ἐνδεχομένου προτάσεις ἀντιστρέφειν, ἐπι-
15 σημειοῦται ἐνταῦθα ὅτι τὰς ἀποφάσεις λέγει ἀντιστρέφειν ταῖς καταφάσεσιν
οὐ τὰς κατὰ τὸ σχῆμα ἀποφατικάς, οἷον τὴν 'ἐνδέχεται παντί' τῇ 'οὐκ
ἐνδέχεται παντί' (αὗται γὰρ μάχονται ἀλλήλαις), ἀλλ' ὅσαι, φησί, σχῆμα
μὲν ἔχουσι καταφατικόν, ἀποφάσεως δὲ δύναμιν ἔχουσιν, οἷον ἡ 'ἐνδέχε- 20
ται παντί' τῇ 'ἐνδέχεται μηδενί' καὶ ἡ 'ἐνδέχεται τινί' τῇ 'ἐνδέχεται μὴ
20 παντί', αἵτινες, φησί, κατὰ τὴν ἀντίθεσιν τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι τεταγ-
μέναι εἰσίν· τὸ μὲν γὰρ 'ἐνδέχεται εἶναι' κατὰ τὸ εἶναι τέτακται, τὸ δὲ
'ἐνδέχεται μὴ εἶναι' κατὰ τὸ μὴ εἶναι. ἀντιτίθησι δὲ πρῶτον τὰς ἀπροσ-
διορίστους ἀλλήλαις, ἔπειτα τὰς κατὰ τὸ καθόλου διωρισμένας. ἀντιτίθησι
δὲ τῷ παντὶ τὸ μηδενὶ καὶ τὸ μὴ παντί, διότι, ὡς ἤδη εἴπομεν, αἱ μὲν
25 μερικαὶ καὶ πρὸς τὰς καθόλου δύνανται ἀντιστρέφειν. αἱ δὲ καθόλου οὐκέτι 25
καὶ πρὸς τὰς μερικάς· διὰ τοῦτο τὸ τινὶ τῷ μὴ τινὶ μόνον ἀντιτίθησι.

p. 32ᵃ35 Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων· ἐπεὶ γὰρ τὸ ἐνδεχόμενον οὐκ ἔστιν ἀναγκαῖον, τὸ δὲ μὴ ἀναγκαῖον ἐγχωρεῖ

---

1 καὶ B: om. Vt κινεῖσθαι prius om. B 2 ἐνδέχεται καὶ τινὰ V 3 ἀντικειμένου pr. V, corr. V² ἔχουσαι] αι corr. V² 5 ante εἶναι add. μὴ B μὲν om. B 7 δύναται V 8. 9 διὰ τὸ καθόλου συμβαίνει (συμβαίνειν t) Vt: διὰ τὴν ἀκολούθησιν B 9 τὸ deleverim ἐνδέχεσθαι V 10 διὰ—ἐνδέχεται post 11 καθόλου collocat B 11 τὸ ex ὅτι corr. V² 12 post καταφατικαῖς superscr. ἤτοι τὰς ἀντικειμένας ἀντιφατικῶς B 13 ἔχουσαι V 14 ἐπεὶ B τοῦ ἀντικειμένου V 15 ἀντιστρέφει Bt 16 οὐ—ἀποφατικάς om. B 16. 17 τῇ—παντί om. V 18 ἀποφάσεων B 20 αἵ B φησί om. B 22 πρῶτον om. B post τὰς add. τε B 22. 23 supra ἀπροσδιορ. scr. ἐνδέχεται ὑπάρχειν, ἐνδέχεται μὴ ὑπάρχειν B 23 εἶτα B κατὰ om. B προσδιωρισμένας, superscr. ἐνδέχεται παντί, ἐνδέχεται μηδενί B 24 ἤδη om. B 25 καὶ om. V δύναται V 26 διὰ τοῦτο B: διότι Vt

μὴ ὑπάρχειν, φανερὸν ὅτι, εἰ ἐνδέχεται τὸ Α τῷ Β ὑπάρ- XXXIX r
χειν, ἐνδέχεται καὶ μὴ ὑπάρχειν.

Εἰπὼν ἀντιστρέφειν ἀλλήλαις τὰς τοῦ ἐνδεχομένου προτάσεις, τὴν πᾶς πρὸς τὴν οὐδεὶς καὶ τὴν τὶς πρὸς τὴν οὐ πᾶς, αὐτὸ τοῦτο διὰ τούτων κατασκευάζει δι' αὐτῆς τῆς τοῦ ἐνδεχομένου φύσεως. εἰ γὰρ τοῦτό ἐστι, φησίν, ἐνδεχόμενον ὅπερ, οἷς ἂν ὑπάρχῃ, μὴ ἐξ ἀνάγκης ὑπάρχει, ἀλλὰ δύναται αὐτοῖς τούτοις καὶ μὴ ὑπάρχειν, εἰκότως εἴπομεν ὅτι ἐφ' ὧν λέγομεν τὴν κατάφασιν, ἐπὶ τούτων ἀληθὲς εἰπεῖν καὶ τὴν ἀπόφασιν· εἰ γὰρ ἐνδεχομένως πάντες ἄνθρωποι κινοῦνται, οἱ αὐτοὶ οὗτοι καὶ οὐ κινηθήσονται ἐνδεχομένως. καλῶς ἄρα εἴρηται πρὸς ἀλλήλας ἀντιστρέφειν τὰς τοῦ ἐνδεχομένου προτάσεις.

p. 32ᵇ1 Εἰσὶ δ' αἱ τοιαῦται προτάσεις κατηγορικαὶ καὶ οὐ στερητικαί· τὸ γὰρ ἐνδέχεσθαι τῷ εἶναι ὁμοίως τάττεται, καθάπερ ἐλέχθη πρότερον.

Ὅπερ εἶπεν ἀνωτέρω, ὅτι ἀντιστρέφουσιν ἀλλήλαις "οὐχ αἱ ἀποφατικαὶ ταῖς καταφατικαῖς, ἀλλ' ὅσαι καταφατικὸν ἔχουσι τὸ σχῆμα", τοῦτο καὶ νῦν φησιν. ὥσπερ γὰρ ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου τὸ τηνικαῦτα μόνως ἐγίνοντο ἀποφατικαὶ αἱ προτάσεις, ὅταν τῷ 'ἔστιν' ἡ ἄρνησις συνετάττετο, οὕτω, φησί, καὶ ἐπὶ τῶν μετὰ τρόπου μόνως τῷ τρόπῳ συνταττομένης τῆς ἀρνήσεως γίνεται ἀπόφασις, ἄλλως δὲ οὐδαμῶς. εἰ τοίνυν ἐπὶ τῆς 'ἐνδέχεται μὴ εἶναι' καὶ τῶν τοιούτων ἀκέραιος μένει, δῆλον ὅτι καταφατικαί εἰσι τῷ σχήματι, ὡς πολλάκις εἴρηται.

p. 32ᵇ4 Διωρισμένων δὲ τούτων πάλιν λέγομεν ὅτι τὸ ἐνδέχεσθαι κατὰ δύο λέγεται τρόπους.

Εἰπὼν τίς ἡ φύσις τοῦ ἐνδεχομένου καὶ πῶς ἀντιστρέφουσιν αὐτοῦ αἱ προτάσεις, νῦν φησι ποσαχῶς λέγεται καὶ ἐπὶ τίνων τὸ κυρίως ἐνδεχόμενον. διχῶς οὖν, φησί, λέγεται· ἢ γὰρ ὡρισμένον ἐστὶν ἢ ἀόριστον. καὶ φησὶν ὡρισμένον μὲν τὸ ὡς ἐπὶ τὸ πολύ, περὶ ὃ ἥ τε φύσις καὶ ἡ τέχνη κατα-

1 supra μὴ ὑπάρχειν scr. μηδὲ εἶναι μηδὲ γίνεσθαι B² supra τὸ α τῷ β scr. τὸ λούεσθαι ἀνθρώπῳ B 6 ἂν ὑπάρχει Vt 7 δύνασθαι B λέγομεν Vt: εἴπομεν B 8 post ἀληθὲς add. ἦν B 9 post πάντες add. οἱ Vt 10 ἐνδεχομένως corr. V ἄρα B: οὖν ἤδη Vt 13 ἐνδέχεται V τέταται V 13. 14 καθὰ εἴρηται B 15 ἀνωτέρω] p. 32ᵃ31 17 ὥσπερ SVt: ὡς B post γὰρ add. φησιν Vt 18 μόνον S 19 συνετάττετο BS: προσετάττετο Vt μόνω BS 20 γίνεται ἀπόφασις SVt: inv. ord. B 21 ἐνδέχεται S: ἐνδεχομένης BVt 22 εἴρηται velut c. 3 p. 25ᵇ20 (p. 62,28 sq.) 24 λέγεται τρόπους B Arist.: τρόπους εἴρηται V: λέγομεν τρόπους t 25 πῶς BS: ὅτι Vt αὐτοῦ om. B: κατ' αὐτὸ post αἱ S 26 post φησι add. τοῦτο B 28 τε om. B

γίνεται, λέγω δὴ τὸ μᾶλλον πενταδάκτυλον γίνεσθαι ἢ μὴ καὶ ὑγιάζειν XXXIXr
τὸν ἰατρὸν ἢ μή. ἀόριστον δέ φησι τό τε ἐπ' ἴσης καὶ τὸ ἐπ' ἔλαττον, τὸ μὲν
ἐπ' ἴσης περὶ ὃ ἡ προαίρεσις ἔχει, βαδίζειν ἢ μὴ βαδίζειν καὶ τὰ ὅμοια,
ἐπ' ἔλαττον δὲ περὶ ὃ ἡ τύχη, ὡς τὸ ὀρύττοντα θησαυρὸν εὑρεῖν. ἀόριστον 50
5 δὲ εἶπε διὰ τὸ ἐπ' ἴσης δύνασθαι τὰ τοιαῦτα εἶναι καὶ μὴ εἶναι· καίτοι
τὸ ἐπ' ἔλαττον δοκεῖ ὡρίσθαι τῷ μᾶλλον μὴ εἶναι ἢ εἶναι. πῶς οὖν
ἀόριστον καὶ αὐτό φησι; λέγομεν οὖν ὅτι ἀόριστον αὐτὸ εἶπε κατὰ τὸ εἶναι·
οὐχ ὥρισται γὰρ αὐτοῦ ἡ ὕπαρξις, ὥσπερ τοῦ ὡς ἐπὶ τὸ πολύ, ἀλλ' ἡ
ἀνυπαρξία μᾶλλον. καὶ παρατίθεται ἑκάστου παράδειγμα. |

10 p. 32b5 Ἕνα μὲν τὸ ὡς ἐπὶ τὸ πολὺ γίνεσθαι καὶ δια- XXXIXv
λείπειν τὸ ἀναγκαῖον.

Διαλείπει γὰρ τὸ ὡς ἐπὶ τὸ πολὺ ἐπί τε τῆς φύσεως καὶ τῆς τέχνης·
οὐ γὰρ ἀεὶ ἡ φύσις τοῦ οἰκείου ἐφικνεῖται τέλους οὔτε ἡ τέχνη, ἀλλὰ καὶ
ἡ φύσις διαμαρτοῦσα τέρας ἐποίησε καὶ ὁ τεχνίτης διήμαρτε τοῦ σκοποῦ. 5
15 ἐπειδὴ τοίνυν διαλείμματα ἐν τούτοις γίνεται, διὰ τοῦτο τὸ ἀναγκαῖον αὐτῶν
ἀφῄρηται· οὔτε γὰρ πάντως ἐν γήρᾳ πολιοῦται ἄνθρωπος οὔτε ὁ ἰατρὸς
ὑγίασεν, οὐδ' ὅλως τῶν φυσικῶν τι, λέγω δὲ τῶν ἐν γενέσει καὶ φθορᾷ,
οὔτε τῶν τεχνητῶν τὸ ἀναγκαῖον ἔχει, ἀλλὰ τὸ ὡς ἐπὶ τὸ πολύ.

p. 32b8 Τοῦτο γὰρ οὐ συνεχὲς μὲν ἔχει τὸ ἀναγκαῖον διὰ τὸ μὴ
20 ἀεὶ εἶναι ἄνθρωπον, ὄντος μέντοι ἀνθρώπου ἢ ἐξ ἀνάγκης ἢ
ὡς ἐπὶ τὸ πολύ ἐστι.

Τὴν αἰτίαν διὰ τούτων ἀποδίδωσι δι' ἣν τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχό- 10
μενον οὐκ ἔχει τὸ ἀναγκαῖον. δύο δέ φησι τούτου αἰτίας, μίαν μὲν ἐκ
τοῦ ὑποκειμένου, ἑτέραν δὲ ἐκ τοῦ κατηγορουμένου. καὶ ἡ μὲν ἐκ τοῦ
25 ὑποκειμένου αὕτη· ἔχει ἡ φύσις ἐν γήρᾳ πολιοῦσθαι τὸν ἄνθρωπον, συμ-
βαίνει δὲ τοῦτο πολλάκις μὴ γενέσθαι τοῦ ἀνθρώπου πρὶν εἰς γῆρας ἀφι-
κέσθαι τελευτήσαντος· πάλιν πέφυκεν ὁ ἄνθρωπος περὶ εἰκοστὸν ἔτος

1 δὲ S 1. 2 τὸν ὑγιάζειν sic t 2 φησι om. B τε om. B
τὸ alt. om. V 3 ἢ SVt: καὶ B καὶ τὰ ὅμοια SVt: om. B 4 τὸ Vt:
τὸν BS post εὑρεῖν add. καὶ τὰ ὅμοια Vt: om. BS 5 γὰρ V δύναται V
κάντοι V 6 post οὖν add. καὶ V 7 λέγομεν οὖν B: καὶ λέγομεν Vt:
λέγω S αὐτὸ om. B: ante κατὰ colloc. S S. 9 ἀλλὰ κατὰ τὴν ὕπαρξιν t
9 μᾶλλον SVt: om. B τίθησιν B 10 ἓν V τοῦ (ante ὡς) B
ὡς superscr. V λέγεσθαι B 10. 11 διαλίπειν V 13 τέλους om. t
post οὔτε add. τῇ ὕλῃ τῇ οὔσῃ t 14 διαμαρτάνουσα S 15 ἐπειδὴ SVt: ἐπεὶ B
γίνονται t αὐτοῦ B 16 ὁ SVt: om. B 17 ὑγίασε post ὅλως collocat V:
ὑγιάζει S οὐδ' SVt: οὔθ' B δὲ SV: δὴ Bt 18 τεχνιτῶν B post
πολύ add. ἔστι (e vs. 21 illatum) B 19 μὲν] μὴ t 20 post εἶναι add.
τὸν V (C) μέντω V 23 αἰτίαν V 25 τὸν ἄνθρωπον ante ἐν collocat B
26 πρὶν SVt: πρὸ τοῦ B 27 ante πάλιν add. ἢ Vt: om. BS

ἐκφῦσαι γένειον, καὶ συμβαίνει πρὶν εἰς τοῦτο ἱκέσθαι τελευτῆσαι XXXIXᵛ τὸν ἄνθρωπον. καὶ αὕτη μὲν ἐκ τοῦ ὑποκειμένου μία αἰτία τοῦ διαλιμπάνειν τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον. ἑτέρα δὲ ἐκ τοῦ κατηγορουμένου· πολλάκις μὲν γὰρ εἰς τὸ γῆρας ἀφίκετο ἄνθρωπος, πολιὰς δὲ οὐκ ἐποίησεν, ἢ εἰς εἰκοστὸν ἔτος ἐλθὼν οὐκ ἐβλάστησε γένειον καὶ ὅσα τοιαῦτα.

p. 32ᵇ11 Οἷον τὸ βαδίζειν ζῷον ἢ τὸ βαδίζοντος γενέσθαι σεισμὸν ἢ ὅλως τὸ ἀπὸ τύχης γινόμενον.

Εἰπὼν ὅτι ἄλλος τρόπος ἐνδεχομένου ἐστὶ τὸ ἀόριστον, ἐπειδή, ὡς εἴπομεν, ἑνὶ ὀνόματι τῷ τοῦ ἀορίστου καλεῖ τό τε ἐπ' ἴσης καὶ τὸ ἐπ' ἔλαττον ἐνδεχόμενον, παραδείγματα ἑκάστου παρατίθεται, τοῦ μὲν ἐπ' ἴσης τὸ βαδίζειν τὸ ζῷον (τοῦτο γὰρ ἐπ' ἴσης δύναται εἶναι καὶ μὴ εἶναι), τοῦ δὲ ἐπ' ἔλαττον τὸ βαδίζοντος γενέσθαι σεισμόν· τοῦτο γὰρ σπανιάκις καὶ ἐπ' ἔλαττον γίνεται. ὅπερ κοινῷ λόγῳ σημαίνων ἐπήγαγεν ἢ ὅλως τὸ ἀπὸ τύχης· καὶ γὰρ σπάνια καὶ ἐπ' ἔλαττον τὰ ἀπὸ τύχης γινόμενα, ὡς τὸ προσελθόντα ἐπ' ἄλλο περιτυχεῖν ᾧ ἐκ πολλοῦ ἐντυχεῖν τις ἐβούλετο, ἢ τὸ ἀδικηθέντα καὶ τῆς οὐσίας ἀφαιρεθέντα φιλοσοφῆσαι, ἢ σκάπτοντα θησαυρῷ περιτυχεῖν καὶ τὰ τοιαῦτα. εἰ δὲ ἐπάγει τὸ οὐδὲν γὰρ μᾶλλον οὕτως ἢ ἐναντίως πέφυκεν, οὐ πρὸς τὸ ἐπ' ἔλαττον ἀλλὰ πρὸς τὸ ἐπ' ἴσης αὐτὸ ἐξακούειν δεῖ.

p. 32ᵇ13 Ἀντιστρέφει μὲν οὖν καὶ κατὰ τὰς ἀντικειμένας προτάσεις ἑκάτερον τῶν ἐνδεχομένων, οὐ μὴν τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν πεφυκὸς εἶναι τῷ μὴ ἐξ ἀνάγκης ὑπάρχειν.

Εἰ καὶ κατὰ διαφόρων, φησί, σημαινομένων φέρεται τὸ ἐνδεχόμενον τὸ ὡς ἐπὶ τὸ πολύ, τὸ ἐπ' ἴσης καὶ τὸ ἐπ' ἔλαττον, ἀλλ' οὖν ἕκαστον τούτων ὁμοίως ἕξει κατὰ τὰς ἀντιστροφάς. διαφέρουσι δὲ τοῦ μὲν πεφυκότος εἶναι, φησί, τουτέστι τοῦ ὡς ἐπὶ τὸ πολύ, τῷ τὴν κατάφασιν μᾶλλον ἢ

1 ἐκφύναι BS συμβαίνειν t: τ, ut videtur, post συμβαίνει del. V ἱκέσθαι SVt: ἀφικέσθαι B 2 τὸν ἄνθρωπον. καὶ om. B 2 πρώτη B 2. 3 post μὲν et post δὲ add. ἡ S 4 μὲν post γῆρας colloc. fort. recte t: om. S γὰρ et τὸ om. B ante ἄνθρ. add. ὁ t, superscr. V: om. BS 5 post εἰς add. τὸ S εἰκοστὸν om. B ἔφυσε B 7 γενόμενον t 8 ἄλλον τρόπον ἐνδεχόμενον B ἐπεὶ B 9 εἴπομεν] p. 152,2 sq. καλεῖν V 10 παρατίθεται] τ prius e γ corr. V: παρατίθησι B 11 τὸ alt. om. V Arist. cf. vs. 6 τὸ δὲ V 12. 13 καὶ ἐπ' ἔλαττον om. B 12 καὶ t: τὸ V 13 ὁ B 14 καὶ γὰρ σπάνια S: σπάνια γὰρ BV: om. t καὶ alt. BSt: ἢ V post τὰ add. ὡς B τὸν (post ὡς) B 15 προελθεῖν S ἄλλο BS: ἄλλῳ Vt παρατυχεῖν t: παρὰ τύχην S post περιτ. add. ἢ S ᾧ V: ὡς Bt: ἐφ' ὃ S ἐντυχεῖν B: τυχεῖν V: περιτυχεῖν t: om. S ἠβούλετο B 16 ἀφαιρέσεως pr. V 16. 17 ἢ—τοιαῦτα om. B 17 καὶ superscr. V 18 ἐπ' prius B: οὐκ V: om. t 19 δεῖ om. B 20 καὶ om. V 21 ἑκάτερα V post αὐτὸν add. γε t Arist. 22 μὲν] μὴ t τῷ B Arist.: τὸ Vt 24 ὡς om. B καὶ B: om. Vt 25 κατὰ B: om. Vt τὸ μὲν πεφυκὸς B 26 τὸ (ante ὡς) B τὸ (ante τὴν) V

τὴν ἀπόφασιν ὑπάρχειν, ἐπὶ δὲ τοῦ ἐπ' ἴσης τῷ μηδὲν μᾶλλον τὴν XXXIXv κατάφασιν ἢ τὴν ἀπόφασιν, τοῦ δὲ ἐπ' ἔλαττον τῷ μᾶλλον τὴν ἀπόφασιν ἢ τὴν κατάφασιν.

p. 32b18 Ἐπιστήμη δὲ καὶ συλλογισμὸς ἀποδεικτικὸς τῶν μὲν ἀορίστων οὐκ ἔστι διὰ τὸ ἄτακτον εἶναι τὸ μέσον, τῶν δὲ πεφυκότων ἔστι.

Διορισάμενος τὰ διάφορα τοῦ ἐνδεχομένου σημαινόμενα ἀφορίζεται λοιπὸν περὶ ποίου ἐστὶν αὐτῷ νῦν ἡ σκέψις, καὶ φησὶν ὅτι περὶ τοῦ ὡς ἐπὶ τὸ πολύ· αἱ γὰρ ἐπιστῆμαι περὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα ἀναστρέφονται, διόπερ καὶ περὶ τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον ὡς συνεγγίζον μᾶλλον τῷ ἀναγκαίῳ. διὰ δὲ τὴν ἀοριστίαν τοῦ ἑτέρου οὐ καταγίνεται περὶ αὐτὸ ἐπιστήμη. ἀόριστον δέ ἐστι διὰ τὴν ἀταξίαν τοῦ μέσου· ὁ γὰρ μέσος ἐστὶν ὁ χαρακτηρίζων τὰ σχήματα. ἐπειδὴ τοίνυν οὗτος ἐπὶ μὲν τοῦ ἐπ' ἴσης οὐδὲν μᾶλλον τῷ πρώτῳ ὑπόκειται ἢ οὐχ ὑπόκειται καὶ τοῦ ἐσχάτου οὐδὲν μᾶλλον κατηγορεῖται ἢ οὔ, ἐπὶ δὲ τοῦ ἐπ' ἔλαττον μᾶλλον οὐχ ὑπόκειται τῷ πρώτῳ ἢ ὑπόκειται καὶ τοῦ ἐλάττονος μᾶλλον οὐ κατηγορεῖται ἢ κατηγορεῖται καὶ διὰ τοῦτο τῇ τοῦ ὑπάρχειν ἀοριστίᾳ περιπέπτωκε, διὰ τοῦτο ἐξοριζέσθω τῶν ἐπιστημονικῶν μεθόδων· ὡς γὰρ εἴρηται, περὶ τῶν ὡς ἐπίπαν ἡ σκέψις τοῖς ἐπιστήμοσι γίνεται.

p. 32b21 Ἐκείνων δὲ ἐγχωρεῖ μὲν γενέσθαι συλλογισμόν, οὐ μὴν εἴωθέ γε ζητεῖσθαι.

Εἰ καὶ δυνατόν, φησί, περὶ τοῦ ἀορίστου ἐνδεχομένου ἔστιν ὅτε συλλογίζεσθαι, ἀλλ' οὖν διὰ τὸ μὴ ἐν πολλῇ εἶναι χρήσει ἀφείσθω ὁ περὶ τούτου λόγος.

p. 32b23 Ταῦτα μὲν οὖν διορισθήσεται μᾶλλον ἐν τοῖς ἑπομένοις· νῦν δὲ λέγωμεν πότε καὶ πῶς καὶ τίς ἔσται συλλογισμὸς ἐκ τῶν ἐνδεχομένων προτάσεων.

Διδάξας ὅσα ἐχρῆν καὶ προλαβὼν περὶ τοῦ ἐνδεχομένου ἐντεῦθεν ὁρμᾷ ἐπὶ τὴν τῶν ἐνδεχομένων συλλογισμῶν διδασκαλίαν. φησὶ δὲ τὸ ILr

1 τῷ scripsi: τὸ libri 2 τοῦ—3 κατάφασιν om. B τῷ t: τὸ V
8 αὐτῷ ἐστιν ἡ B ὅτι περὶ τοῦ mrg. V ὅτι om. B 9 post πολὺ add. ἐνδεχομένου Vt: om. BS 10 διόπερ SVt: διὸ B συνεγγίζων Vt 11 οὐκέτι γίνεται B 13 ἐπειδὴ SVt: ἐπεὶ B 15 post οὔ add. κατηγορεῖται S
17 ὑπάρχειν Vt: ὑπάρχοντος BS 18 ἐξωριζέσθω BV ὡς alt. om. SV
19 τοῖς ἐπιστήμοσι SVt: τοῦ ἐπιστήμονος B 20 γίνεσθαι V 21 γε om. B ζητῆσθαι V 22 δύναται t ἀορίστου ἐνδεχομένου SVt: inv. ord. B
26 λέγωμεν Bt (B f d n): λέγομεν V Arist. 28 ὅσον B post προλαβὼν add. καὶ B ἐντεῦθεν om. B post ἐντ. add. λοιπὸν S 29 post ὁρμᾷ add. καὶ B περὶ V κατασκευὴν. φησὶν οὖν B

ἐνδεχόμενον λέγεσθαι ἢ τὸ ἤδη ἐν ὑπάρξει ὄν, ὅπερ καὶ ἐλέγομεν ὂν αὐτὸ Hr
τοῦτο ὑπάρχειν, ἢ τὸ μήπω ὑπάρξαν δυνάμενον δὲ ὑπάρξαι. ἐπειδὴ οὖν περὶ τοῦ ὑπάρχοντος ἤδη διειλήφαμεν, δεῖ, φησίν, ἐνταῦθα πρῶτον περὶ τοῦ ἐνδεχομένου διαλαβεῖν τοῦ μήπω μὲν ὑπάρξαντος δυναμένου δὲ ὑπάρξαι, ἔπειτα μῖξαι τοῦτο τῷ ὑπάρχοντι καὶ γνῶναι τίνες γίνονται ἐκ τούτων συλλογισμοί· δεῖ γάρ, ὡς πολλάκις εἴρηται, τὰ ἁπλᾶ τῶν συνθέτων προηγεῖσθαι. αὕτη μὲν οὖν ἡ τῶν ἑξῆς ῥητῶν διάνοια. ἴδωμεν δὲ αὐτὰ καὶ ἐπ' αὐτῆς τῆς λέξεως· ἔχει γάρ τινα ἀσάφειαν.

p. 32b25 Ἐπεὶ δὲ τὸ ἐνδέχεσθαι τόδε τῷδε ὑπάρχειν διχῶς ἔστιν ἐκλαβεῖν.

Ἢ γὰρ ᾧ ὑπάρχει τόδε, τουτέστι τὸ ἤδη ἐκβεβηκὸς εἰς ἐνέργειαν καὶ διὰ τοῦτο ὑπάρχον καλούμενον, ἢ ᾧ ἐνδέχεται τὸ αὐτὸ ὑπάρχειν, τουτέστι τὸ μήπω μὲν ἐκβεβηκὸς εἰς ἐνέργειαν δυνάμενον δὲ ἐκβῆναι.

p. 32b27 Τὸ γὰρ καθ' οὗ τὸ Β τὸ Α ἐνδέχεσθαι τούτων σημαίνει θάτερον, ἢ καθ' οὗ λέγεται τὸ Β ἢ καθ' οὗ ἐνδέχεται λέγεσθαι.

Ὃ βούλεται εἰπεῖν διὰ τούτων, τοῦτό ἐστιν· ὅταν, φησίν, εἴπωμεν ὅτι τὸ Α κατὰ παντὸς τοῦ Β ἐνδέχεται, ἢ τοῦτό φαμεν, ὅτι ὅσοις ἤδη ὑπάρχει τὸ Β, ἐνδέχεται τὸ Α ὑπάρχειν, ἢ ὅτι ὅσοις δύναται τὸ Β ὑπάρξαι νῦν μὴ ὑπάρχον, τούτοις καὶ τὸ Α ἐνδέχεται ὑπάρξαι, ὡς ὅταν εἴπωμεν ὅτι ἐνδέχεται κίνησιν παντὶ λευκῷ ὑπάρχειν· ἢ γὰρ ὅτι πᾶσιν οἷς ἤδη τὸ λευκὸν ὑπάρχει, ἢ οἷς ὑπάρξει νῦν μὴ ὑπάρχον.

p. 32b29 Τὸ δὲ καθ' οὗ τὸ Β τὸ Α ἐνδέχεσθαι ἢ παντὶ τῷ Β τὸ Α ἐγχωρεῖν οὐδὲν διαφέρει.

Ἐπειδὴ εἶπε τὸ καθ' οὗ τὸ Β τὸ Α καὶ καθ' οὗ λέγεται τὸ Β, ἑρμηνεύων τοῦτό φησιν ὅτι οὐδὲν ἄλλο σημαίνει τὸ καθ' οὗ ἢ τὸ παντί.

p. 32b32 Πρῶτον οὖν εἴπωμεν, εἰ καθ' οὗ τὸ Γ τὸ Β ἐνδέχεται, καὶ καθ' οὗ τὸ Β τὸ Α, τίς ἔσται καὶ ποῖος συλλογισμός.

Δῆλα ταῦτα ἐκ τῶν εἰρημένων· οὐδὲν γὰρ ἄλλο φησὶν ἢ τοῦτο, ὅτι

1 ὂν alt. deleverim 2 ὑπάρξαν B: ἐνυπάρξαν V: ἐν ὑπάρξει t ἐπεὶ B 3 post περὶ prius add. μὲν Bt ἤδη post 2 οὖν collocat V post διειλήφαμεν add. ἃ V 4 μὲν om. V ἐνυπάρξαντος Vt supra δυναμένου del. ου V 5 μεῖξαι t post τούτων add. οἱ Vt 6 ὡς πολλάκις εἴρηται (velut p. 4,30 sq.) om. B 7 αὐτὸν V 11 τουτέστι—12 καλούμενον om. t post εἰς del. ιν V² 12 τὸ om. Arist. 13 τουτέστι Vt: ἤτοι B μὲν V: om. Bt 14 β' corr. V σημαίνειν Vt 16 ὅτε—εἴπομεν B 18 post ἐνδέχεται add. καὶ V ὅτι om. B 19 ὅτε εἴπομεν B 20 ὅτι prius om. B post ἤδη add. ἐνεργείᾳ S 24 β' alt. Vt: α B 25 σημαίνειν Vt 26 εἴπομεν pr. V, t 27 τὸ α' om. V

δεῖ πρῶτον περὶ τῶν ἐξ ἐνδεχομένων προτάσεων διαλαβεῖν συζυγιῶν καὶ ILr
ἰδεῖν ποῖον συνάγουσι συμπέρασμα.

p. 32b35 Ὅταν δὲ καθ' οὗ τὸ Β ὑπάρχει τὸ Α ἐνδέχηται, ἡ μὲν ὑπάρχουσα ἡ δ' ἐνδεχομένη.

Ἐάν, φησίν, οὕτως * * * ὅτι τὸ Α ἐνδέχεται ὑπάρχειν πᾶσιν οἷς 26
ὑπάρχει τὸ Β, μικτὰς τὰς προτάσεις ποιοῦμεν ἐξ ὑπαρχουσῶν καὶ ἐνδεχομένων. δεῖ δέ, ὡς εἴρηται, πρῶτον περὶ τῶν ἁπλῶν διαλαβεῖν, ἃς αὐτός φησιν ὁμοιοσχήμονας, τουτέστιν ἀμφοτέρας ἐνδεχομένας.

p. 32b38 Ὅταν οὖν τὸ Α παντὶ τῷ Β ἐνδέχηται καὶ τὸ Β παντὶ τῷ Γ, συλλογισμὸς ἔσται τέλειος ὅτι τὸ Α παντὶ τῷ Γ ἐνδέχεται 30
ὑπάρχειν.

Ἄρχεται λοιπὸν περὶ αὐτῶν τῶν συλλογισμῶν ποιεῖσθαι τὸν λόγον τῶν ἐν τῷ πρώτῳ σχήματι, καὶ παραδίδωσι τὰς ἐξ ἀμφοτέρων καθόλου συζυγίας. τεσσάρων οὖν πάλιν γινομένων ἐκ τῆς συμπλοκῆς τῶν καθόλου προτάσεων (ἢ γὰρ ἀμφότεραι καταφατικαὶ ἢ ἀμφότεραι ἀποφατικαὶ ἢ ἡ μὲν καταφατικὴ ἡ δὲ ἀποφατική, καὶ τοῦτο διχῶς) αἱ μὲν δύο πάλιν συλλογι- 35
στικαί εἰσιν, ἥ τε ἐκ δύο καταφατικῶν καὶ ἡ ἐκ τῆς μείζονος ἀποφατικῆς, αἱ δὲ λοιπαὶ δύο ἀσυλλόγιστοι. πρώτην οὖν παραδίδωσι τὴν ἐκ δύο καταφατικῶν συνάγουσαν καθόλου καταφατικὸν συμπέρασμα. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ἐνδέχεται ὑπάρχειν, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδέχεται ὑπάρχειν· μέρος δὲ τοῦ Β τὸ Γ· ὑπόκειται γὰρ παντὶ τῷ Γ τὸ Β ἐνδέχεσθαι ὑπάρχειν· τὸ ἄρα Α παντὶ τῷ Γ ἐνδέχεται ὑπάρχειν. τοῦτο γάρ, φησί, φανερὸν ἐκ τοῦ ὁρισμοῦ. ποίου ὁρισμοῦ: δῆλον ὅτι τοῦ κατὰ παντός· 40
κατὰ παντὸς γὰρ ἦν, ὅταν μηδενὶ ὑπῆρχε τὸ ὑποκείμενον καθ' οὗ οὐκ ἦν τὸ κατηγορούμενον. οὐκοῦν εἰ κατὰ παντὸς τοῦ Β τὸ Α ἐνδέχεται ὑπάρχειν, μέρος δὲ τοῦ Β τὸ Γ, καὶ κατὰ παντὸς ἄρα τοῦ Γ τὸ Α ἐνδέχεται ὑπάρχειν. ὅροι δὲ τούτου κίνησις, ἐγρήγορσις, ἄνθρωπος· κίνησις παντὶ ἐγρηγορότι ἐνδέχεται ὑπάρχειν, ἐγρήγορσις δὲ παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν, καὶ τὸ συμπέρασμα 'κίνησις παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν'.

3 ὑπάρχειν pr. V 5 οὕτος V lac. indicavi; supple ⟨ὅτι τὸ α ἐνδέχεται ὑπάρχειν τῷ β εἴπωμεν,⟩ πᾶσιν ὑπάρχειν B: ὑπάρξαι πᾶσιν S 6 μικτὰς e μιᾶς corr. V 7 εἴρηται] p. 155,6 10 ἔστι V γ̄ alt. Bt Arist.: β' V 12 ἔρχεται pr. V corr. V² τὸν λόγον Vt: τὴν διαίρεσιν αὐτῶν. λέγω B 14 οὖν om. t πάλιν Bt: πασῶν V 14. 15 ἐκ—προτάσεων scripsi: προτάσεων ἐκ (τε add. B) τῆς συμπλοκῆς τοῦ καθόλου BVt 16 post μὲν add. γὰρ Vt 17 ἥ τε—ἀποφατικῆς om. B ἥ τε V: εἴτε t 18 post ἀσυλλόγιστοι add. συλλογιστικαὶ δὲ εἰσὶν αἱ ἐκ δύο καταφατικῶν καὶ ἡ ἐκ τῆς μείζονος ἀποφατικῆς B 19 καθόλου συνάγουσαν B καταφατικὸν om. B 20. 21 ὑπάρχειν ἐνδέχεται B: ἐνδεχομένως ὑπάρξει S (itemque vs. 22) 24 κατὰ παντὸς κτλ.] cf. c. 1 p. 24b29 τὸ ὑποκείμενον scripsi: τοῦ ὑποκειμένου BVt 26 α' Vt: β B 27 ante κίν. alt. add. ἡ B post κίν. alt. add. γὰρ Vt: om. BS cf. p. 142,30 28 πάσῃ ἐγρηγόρσει B

p. 33ᵃ1 Ὁμοίως δὲ καὶ εἰ τὸ μὲν Α ἐνδέχεται μηδενὶ τῷ Β, τὸ δὲ Β ἐνδέχεται παντὶ τῷ Γ, ὅτι τὸ Α ἐνδέχεται μηδενὶ τῷ Γ. IL

Δεύτερος τρόπος ἐκ τῆς μείζονος ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς συνάγων καθόλου ἀποφατικὸν ἐνδεχόμενον συμπέρασμα. ὅπερ καὶ αὐτό, φησίν, ἐκ τοῦ ὁρισμοῦ τοῦ κατὰ μηδενὸς δῆλον· τοῦτο γὰρ ἦν τὸ κατὰ μηδενός, ὅταν μηδὲν ᾖ τοῦ ὑποκειμένου μέρος καθ' οὗ τὸ κατηγορούμενον οὐκ ἀποφάσκεται. ὅροι δὲ οἱ αὐτοὶ πάλιν κἀπὶ τούτου· κίνησις μὲν γὰρ ἐνδέχεται μηδενὶ ἐγρηγορότι ὑπάρχειν, ἐγρήγορσις δὲ παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν, καὶ συνάγεται κίνησις μηδενὶ ἀνθρώπῳ ἐνδέχεσθαι ὑπάρχειν. |

p. 33ᵃ5 Ὅταν δὲ τὸ μὲν Α παντὶ τῷ Β ἐνδέχηται, τὸ δὲ Β ἐνδέχηται μηδενὶ τῷ Γ, διὰ μὲν τῶν εἰλημμένων προτάσεων οὐδεὶς γίνεται συλλογισμός. IL

Αἱ λοιπαὶ δύο συζυγίαι, ἥ τε τὴν μείζονα ἔχουσα καταφατικὴν τὴν δὲ ἐλάττονα ἀποφατικήν * * *, ἀσυλλόγιστοι μέν εἰσιν ὅσον ἐξ αὐτῶν τῶν προτάσεων, λέγω δὲ τοῦ τὴν ἐλάττονα ἐν ἀμφοτέραις ἀποφατικὴν εἶναι· ἐπειδή δέ, φησίν, ἐλέγομεν τὰς τοῦ ἐνδεχομένου προτάσεις πρὸς ἀλλήλας ἀντιστρέφειν, τὴν πᾶς πρὸς τὴν οὐδεὶς καὶ τὴν τὶς πρὸς τὴν οὐ πᾶς, ἐὰν λάβωμεν τὴν ἀποφατικὴν εἰς καταφατικήν, γενήσονται καὶ αὗται συλλογιστικαί. ἀντιστρεφομένης γὰρ τῆς ἐλάττονος προτάσεως ἀναχθήσεται ὁ μὲν πρῶτος τῶν ἀσυλλογίστων τρόπος ὑπὸ τὸν πρῶτον τῶν συλλογιστικῶν, ὁ δὲ δεύτερος ὑπὸ τὸν δεύτερον· εἰ δὲ καὶ τὴν μείζονα τοῦ δευτέρου ἀντιστρέψομεν, καὶ αὐτὸς ὑπὸ τὸν πρῶτον ἀναχθήσεται. οὕτω μὲν οὖν δείκνυσι καὶ τὰς ἀσυλλογίστους δυναμένας γενέσθαι συλλογιστικάς, οὐκ αὐτόθεν ἐκ τῶν ἐξ ἀρχῆς εἰλημμένων ἀλλὰ διὰ τῆς ἀντιστροφῆς, ὥσπερ ἐδείκνυ καὶ ἐπὶ τοῦ ὑπάρχοντος τὰς ἀσυλλογίστους συλλογιστικὰς δυναμένας γενέσθαι ἀντιστρεφομένων τῶν προτάσεων. ὥστε διὰ τοῦτο οὐδὲ τελείους φησὶν εἶναι τούτους, εἴγε δέονται ἀντιστροφῆς. πλὴν εἰδέναι χρὴ ὅτι ἡ ἀντιστροφὴ τῶν προ-

---

1 μὲν τὸ α΄ B 2 ἐνδέχεται prius post τῷ γ̄ collocat B, ante τῷ γ t: om. Arist. 3 ἐλάσσονος B 4 καθόλου συνάγων συμπέρασμα ἀποφατικὸν ἐνδεχόμενον, ὃ B 5 τοῦτο γὰρ κτλ.] cf. c. 1 p. 24ᵇ30 6 μηδενὶ (post ὅταν) t ἦν B 7 πάλιν κἀπὶ τούτου om. B μὲν om. B 8 μηδεμιᾷ ἐγρηγόρτι B ἐγρηγορσις BS: ἐγρηγορὸς Vt δὲ om. B 9 ante κίν. add. ἡ B κίνησιν Vt 11 μὲν SVt: om. B Arist. β̄ prius e γ̄ corr. B² ἐνδέχηται t Arist.: ἐνδέχεται BSV 11. 12 ἐνδέχηται Arist.: ἐνδέχεται t, post γ̄ S: om. BV 14 λοιπὸν V 15 ἐλάσσονα B lac. indicavi; supple καὶ ἡ ἀμφοτέρας ἔχουσα ἀποφατικάς ὅσων V 16 λέγω δὴ V an τῷ τὴν? ἀμφοτέραι pr. B 18 post ἐὰν add. μὲν B 19 αὗται B: αὐταὶ Vt 19. 20 ἀντιστρεφομένης B: ἀντιστρεφούσης Vt 20 ἀναδειχθήσεται pr. V, corr. V² 21 ἀσυλλογίστων Vt: συλλογισμῶν B τρόπων t 22 τὸν δεύτερος V ἀντιστρέψεις B 25 ἐδείκνυε (scil. c. 7 p. 29ᵃ19 sq.) B 26 συλλογιστικὰς post γενέσθαι collocat B 27 post προτάσεων add. α γ̄ B 28 αἱ ἀντιστροφαὶ S

τάσεων τοῦ ἐνδεχομένου οὐ πρὸς τὸ αὐτὸ τοῦ ἐνδεχομένου σημαινόμενον ILv γίνεται, ἀλλὰ δῆλον ὅτι τὸ ἐπὶ πλέον ἐνδεχόμενον πρὸς τὸ ἐπ' ἔλαττον ἀντιστρέφει καὶ ἔμπαλιν τὸ ἐπ' ἔλαττον πρὸς τὸ ἐπὶ πλέον· ὃ γὰρ ἐνδέχεται παντὶ ὑπάρχειν ὡς ἐπὶ τὸ πολύ, τοῦτο οὐδενὶ ὑπάρχειν ἐνδέχεται ὡς ἐπ' 30 ἔλαττον· τὸ δὲ ἐπ' ἴσης πρὸς ἑαυτὸ ἔχει ἀντιστρεφούσας τὰς καταφατικὰς καὶ τὰς ἀποφατικὰς ἐξ ἰσοτιμίας. ἐνταῦθα δὲ ἁπλῶς ὡς πρὸς τὸ πλάτος τοῦ ἐνδεχομένου ἀποβλέψας ταῦτά φησιν.

p. 33a21 Ἐὰν δὲ ἡ μὲν καθόλου τῶν προτάσεων ἡ δ' ἐν μέρει ληφθῇ, πρὸς μὲν τὸ μεῖζον ἄκρον κειμένης τῆς καθόλου συλλογισμὸς ἔσται τέλειος.

Βούλεται ἐπὶ πασῶν τῶν συζυγιῶν τῶν ἐκ τῆς ἑτέρας μερικῆς τῆς δὲ ἑτέρας καθόλου πάσας μὲν τὰς συζυγίας τὰς ἐχούσας ἐν τῇ μείζονι τὸ καθόλου ἐν δὲ τῇ ἐλάττονι τὸ μερικὸν συλλογιστικὰς εἶναι, ὁποῖαι ἂν ὦσι κατὰ τὸ ποιόν. εἰσὶ δὲ αἱ πᾶσαι τέσσαρες, ἥ τε ἐξ ἀμφοτέρων καταφατικῶν καὶ ἡ ἐξ ἀμφοτέρων ἀποφατικῶν καὶ ἡ ἐκ τῆς μείζονος ἀποφατικῆς τῆς δὲ 45 ἐλάττονος καταφατικῆς καὶ ἡ ἐκ τῆς μείζονος καταφατικῆς τῆς δὲ ἐλάττονος ἀποφατικῆς. καὶ αἱ μὲν τὴν ἐλάττονα ἔχουσαι καταφατικὴν πρόδηλον ὅτι δι' ἑαυτῶν δείκνυνται συλλογιστικαὶ οὖσαι ἀντιστροφῆς μὴ δεηθεῖσαι. εἰ γὰρ τὸ Α παντὶ ἢ μηδενὶ τῷ Β ἐνδέχεται, τὸ δὲ Β τινὶ τῷ Γ ἐνδέχεται, δῆλον ὅτι καὶ τὸ Α ἢ τινὶ ἢ οὐ παντὶ ἐνδέχεται τῷ Γ ὑπάρχειν. ὅροι δὲ κίνησις, λευκόν, ζῷον· κίνησις γὰρ παντὶ λευκῷ ἐνδέχεται ὑπάρχειν, λευκὸν τινὶ ζῴῳ ἐνδέχεται ὑπάρχειν, καὶ συνάγεται κίνησις τινὶ ζῴῳ ἐνδέ- 50 χεσθαι ὑπάρχειν· πάλιν κίνησις ἐνδέχεται μηδενὶ λευκῷ ὑπάρχειν, λευκὸν τινὶ ζῴῳ ἐνδέχεται ὑπάρχειν, καὶ συνάγεται κίνησις ἐνδέχεσθαι μὴ παντὶ ζῴῳ ὑπάρχειν. οὕτω μὲν αἱ ἔχουσαι τὴν ἐλάττονα καταφατικὴν δι' ἑαυτῶν καὶ οὐ δι' ἑτέρων τινῶν δείκνυνται. ἀντιστραφείσης δὲ πάλιν τῆς ἐν ἑκατέρᾳ ἐλάττονος καὶ μεταληφθείσης εἰς μερικὴν ἀποφα|τικὴν καὶ ποι- XLIr οὔσης τοὺς εἰρημένους δύο μερικοὺς τρόπους οἱ αὐτοὶ ὅροι ἡμῖν κἀπὶ τούτων ἁρμόσουσιν.

1 post ἐνδεχομένου prius add. ἐπεὶ γὰρ ἐνταῦθα ἐνδέχεται τὸ β τῷ γ ὑπάρχειν μηδενὶ. ἐνδέχεται καὶ παντὶ ὑπάρχειν· ὥστε ἐπεὶ τὸ μὲν β παντὶ τῷ γ, τὸ δὲ α παντὶ τῷ β, πάλιν ὁ αὐτὸς ἔσται συλλογισμός B 2 γίνεται Vt: ἀντιστρέφει B: ἀντιστρέφουσαι S 3 πλεῖον SVt 5 post ἐπίσης add. τοῦτο BVt: om. S 6 τὰς om. V post ἁπλῶς add. καὶ V 8 μὲν om. V 9 ακρα pr. V, corr. V² 13 post μερικὸν add. πάσας B post ὁποῖαι add. δ' Vt 14. 15 καὶ ἡ V: ἥ τε B: ἢ t 17 τῇ ἐλάττονι V καταφατικὴν B²t: καταφατικαὶ pr. B, V 18 δείκνυνται] ν alt. superscr. V post δείκν. del. ὅτι V 19. 20 ἐνδέχεται, δῆλον—τῷ γ om. V 20 ἢ prius B: om. t τῷ γ ἐνδέχεται t 21 post ὑπάρχειν add. καὶ B 22 κίνησιν Vt 22. 23 ἐνδέχεται Bt 23 κίνησιν Vt 24 κίνησιν Vt ἐνδέχεσθαι scripsi: ἐνδέχεται Vt, post 25 ζῴῳ B 25 post ὑπάρχειν add. ἢ πάλιν λευκὸν. σκύθης. ἄνθρωπος καὶ λευκὸς. ἵππος. ζῶον B post μὲν add. οὖν V 27 ἐλάττονι Vt καταφατικὴν t 28 τοὺς μερικοὺς δύο τρόπους τοὺς εἰρημένους B 28. 29 κἀπὶ τούτων ἡμῖν B

p. 33a34 Ἐὰν δὲ ἡ μὲν πρὸς τὸ μεῖζον ἄκρον ἐν μέρει ληφθῇ, XLI r
ἡ δὲ πρὸς τὸ ἔλαττον καθόλου, ἐάν τε ἀμφότεραι καταφατικαὶ τεθῶσιν ἐάν τε στερητικαὶ ἐάν τε μὴ ὁμοιοσχήμονες ἐάν τε ἀμφότεραι ἀδιόριστοι ἢ κατὰ μέρος, οὐδαμῶς ἔσται συλλογισμός.

Αἱ μὲν οὖν ἔχουσαι πρὸς τῇ μείζονι προτάσει τὸ καθόλου πρὸς δὲ τῇ ἐλάττονι τὸ μερικὸν εἴρηται πῶς εἰσι πᾶσαι συλλογιστικαί, ὅπως ἂν ἔχωσι κατὰ τὸ ποιόν. αἱ δὲ τὸ ποσὸν ἀνάπαλιν ἔχουσαι, λέγω δὲ πρὸς μὲν τῷ μείζονι τὸ μερικὸν πρὸς δὲ τῷ ἐλάττονι τὸ καθόλου, πᾶσαι ἀσυλλόγιστοί εἰσιν, ὅπως ἂν ἔχωσι κατὰ τὸ ποιόν. δείκνυσι δὲ αὐτὰς ἀσυλλογίστους τοῦτον τὸν τρόπον· ἐπειδὴ τὸ B, φησίν, ἐπὶ πλέον ἐστὶ τοῦ A, * * * δείκνυται δὲ τούτῳ τὸ A καὶ ἐξ ἀνάγκης παντὶ ὑπάρχον καὶ ἐξ ἀνάγκης οὐδενὶ τούτῳ. εἰ δὲ τοῦτο, οὐδὲν συναχθήσεται συμπέρασμα· εἰ γὰρ συνάγεται τὸ ἀνάγκη παντί, ἀναιρήσει τό τε ἀνάγκη μηδενὶ καὶ ἀνάγκη μὴ παντὶ καὶ τὸ ἐνδέχεται μηδενὶ καὶ τὸ ἐνδέχεται μὴ παντί· πάλιν εἰ συνάγεται τὸ ἀνάγκη μηδενί, ἀναιρήσει τό τε ἀνάγκη παντὶ καὶ τὸ τινὶ ⟨καὶ τὸ ἐνδέχεται παντὶ καὶ τὸ τινί⟩. εἰ τοίνυν πάντα ἀναιροῦνται, ἔοικε μηδὲν συνάγεσθαι ἐκ τούτων τῶν ὅρων. ἀσυλλόγισοι ἄρα πᾶσαι αἱ τοιαῦται συζυγίαι ἐοίκασιν εἶναι. δειχθήσεται δὲ καὶ ἐπὶ τῶν ὅρων τὸ τοιοῦτον οὕτως ἔχον. οἱ μὲν οὖν ὅροι, οὓς αὐτὸς λαμβάνει, οὐ πάνυ σαφὲς ἡμῖν τὸ θεώρημα ποιοῦσιν. ἔστωσαν οὖν ὅροι τοῦ μὲν παντὶ ἐξ ἀνάγκης λευκόν, περιπατητικόν, κύκνος· λευκὸν γάρ τινὶ περιπατητικῷ ἐνδέχεται ὑπάρχειν, περιπατητικὸν παντὶ κύκνῳ. καὶ λευκὸν παντὶ κύκνῳ ἐξ ἀνάγκης ὑπάρχει. τοῦ δὲ μηδενί, ἐὰν λάβωμεν ἀντὶ τοῦ κύκνου κόρακα· λευκὸν τινὶ περιπατητικῷ ἐνδέχεται ὑπάρχειν, περιπατητικὸν παντὶ κόρακι, καὶ λευκὸν οὐδενὶ κόρακι ἐξ ἀνάγκης. εἰ δὲ καὶ τὸ ἐξ ἀνάγκης παντὶ καὶ τὸ ἐξ ἀνάγκης οὐδενὶ συνάγεται, πάντα ἄρα ἀναιρεῖται τὰ συμπεράσματα, ὡς ἐδείξαμεν. εἰ δὲ πάντα ἀναιρεῖται, ἀσυλλόγιστοι ἔσονται πᾶσαι αἱ συζυγίαι αἱ τοιαῦται. τὰ δὲ αὐτὰ ἐροῦμεν καὶ ἐπὶ τῶν ἀποφατικῶν καὶ ἐπὶ τῶν ἀνομοιοσχημόνων καὶ ἐπὶ τῶν ἐξ ἀμφοτέρων μερικῶν ἢ ἀπροσδιορίστων ἢ ὁπωσοῦν ἄλλως.

Ἀπορεῖ δὲ ἐν τούτοις ὁ ἐξηγητὴς τί δήποτε ὁ Ἀριστοτέλης μὴ ὥσπερ τὰς ἀποφατικὰς μεταλαμβάνει εἰς καταφατικὰς καὶ οὕτως ποιεῖ συλλογιστικὰς

---

1 μὲν om. B Arist. ληφθῇ ἐν μέρει B 3 ληφθῶσιν t ἂν ubique B 4 ἀμφότεροι V 6 εἴρηνται conicio ἔχουσαι B 7 κατὰ om. t 9 ἔχουσι t 10 τοῦτον τὸν τρόπον Vt: οὕτως B ἐπεὶ B lac. indicavi; supple velut εἰλήφθω τὸ $\bar{\gamma}$ ᾧ τὸ $\bar{\beta}$ ἐπὶ πλέον ἐστὶ τοῦ $\bar{\alpha}$ 11 δὲ Vt: om. B καὶ prius B: om. Vt 12 τούτου (ante εἰ) V οὐδενὶ (ante συν.) t 12. 13 συναγέτω V 13 an καὶ ⟨τὸ⟩ ? 14 μὴ om. B 15 καὶ τὸ—16 τινί addidi 16 μηδενὶ Vt 17 post ὅρων add. καὶ B πᾶσαι post ἀσυλλ. collocat V: om. t 18 εἶναι om. B οὕτως ἔχον τὸ τοιοῦτον V 19 αὐτοὺς t post θεώρημα add. τοῦτο B 20 μὲν om. B κύκνος—21 περιπατητικὸν om. V 21 περιπατητικῷ scripsi: περιπατητικῶς Bt 22 κύκνῳ παντὶ V ὑπάρχειν V τοῦ prius e τὸ corr. V² τοῦ alt. om. B 23 ἐνδέχεται περιπατητικῷ B 24 post παντὶ κόρακι add. ὑπάρχει B 27 πᾶσαι B: om. Vt αἱ τοιαῦται συζυγίαι B δὲ om. B καὶ om. V 28 ὁμοιοσχημόνων Bt 29 ὅπως ἂν t 30 δὲ Vt: καὶ B 31 οὕτως—p. 160,1. 2 ἀποφατικὰς καὶ om. B 31 et p. 160,1 post εἰς add. τὰς S ποιεῖ supra ἔχειν del. scr. V

τὰς συζυγίας, οὕτως καὶ τὰς καταφατικὰς μεταλαμβάνει εἰς ἀποφατικὰς XLIr
καὶ δείκνυσιν ἀσυλλογίστους τὰς συλλογιστικὰς συζυγίας· εἰ γὰρ αἱ τοῦ
ἐνδεχομένου προτάσεις πρὸς ἑαυτὰς ἰσοτίμως ἀντιστρέφουσι, τίς ἡ ἀποκλή-
ρωσις τοῦ τὰς μὲν ἀποφατικὰς μεταλαμβάνειν εἰς καταφατικὰς μηκέτι
5 δὲ καὶ τὰς καταφατικὰς εἰς ἀποφατικάς; καὶ ἐπιλύεται τοῦτο οὕτως.
τῶν ἀποφάσεων, φησίν, αἱ μὲν τὸν τρόπον ἀναιροῦσιν, αἱ δὲ τὸ πρᾶγμα· 35
ἡ μὲν γὰρ λέγουσα 'οὐκ ἀνάγκη περιπατεῖν' τὸ μὲν πρᾶγμα οὐκ ἀνεῖλε,
λέγω δὴ τὸ περιπατεῖν, τὸν δὲ τρόπον ἀνεῖλε, λέγω τὸ ἀνάγκη· ἡ δὲ
λέγουσα 'ἀνάγκη μὴ περιπατεῖν', ἥτις τῷ μὲν σχήματί ἐστι κατάφασις
10 τῇ δὲ δυνάμει ἀπόφασις, τὸ μὲν πρᾶγμα ἀνεῖλε, τὸ περιπατεῖν, τὸν δὲ
τρόπον ἐφύλαξε· καὶ ἐπὶ πασῶν τῶν ἄλλων ὁμοίως. αἱ δὲ τοῦ ἐνδεχο-
μένου ἀποφάσεις αἱ ἐνταῦθα παραλαμβανόμεναι, αἵτινες τῷ σχήματί εἰσι
καταφάσεις, οὔτε τὸ πρᾶγμα οὔτε τὸν τρόπον ἀναιροῦσιν· ἡ γὰρ λέγουσα 40
'ἐνδέχεται μηδένα ἄνθρωπον περιπατεῖν' οὔτε τὸν τρόπον ἀναιρεῖ (ἀκέραιος
15 γάρ ἐστιν) οὔτε τὸ πρᾶγμα. εἰ τοίνυν μήτε τὸν τρόπον ἀναιροῦσι μήτε
τὸ πρᾶγμα, δῆλον ὅτι ταῖς καταφάσεσιν ἰσοδυναμοῦσι. διὰ τοῦτο οὖν τὰς
ἀποφατικὰς εἰς καταφατικὰς μεταλαμβάνει ὥσπερ ἀπὸ ἀσαφεστέρων κατα-
φάσεων εἰς σαφεστέρας ποιούμενος τὴν μετάληψιν. ἴσως δ' ἄν τις κἀκεῖνο
ἀπορήσειε, διὰ τί μὴ καὶ τὰς μερικὰς μεταλαμβάνει εἰς τὰς καθόλου
20 καὶ ποιεῖ καὶ τὰς ἐν ταῖς μερικαῖς ἀσυλλογίστους συλλογιστικάς, εἴπερ 45
πᾶσαι πρὸς ἑαυτὰς αἱ τοῦ ἐνδεχομένου προτάσεις ἀντιστρέφουσιν. τούτου
δὲ τὴν λύσιν ἔφθημεν εἰπόντες, ὅτι τὰς μὲν καθόλου δυνατὸν εἰς τὰς
μερικὰς μεταλαβεῖν, διότι τῷ καθόλου τὸ μέρος ἀκολουθεῖ (ὃ γὰρ ἐνδέ-
χεται παντί, τοῦτο καὶ τινὶ ἐνδέχεται, καὶ ὃ μηδενί, τοῦτο καὶ μὴ παντί),
25 οὐκέτι δὲ πάντως καὶ ἀνάπαλιν· οὐ γὰρ ὃ τινὶ ἐνδέχεται, τοῦτο ἀνάγκη
καὶ παντὶ ἐνδέχεσθαι· δυνατὸν γὰρ τινὶ μὲν ἐνδέχεσθαι, παντὶ δὲ μηκέτι·
οἷον τινὶ μὲν ζῴῳ ἐνδεχομένως τὸ λευκὸν ὑπάρχει, παντὶ δὲ οὐκέτι 50
ἐνδεχομένως· τῷ γὰρ κύκνῳ ἐξ ἀνάγκης. διὰ τοῦτο οὖν οὐ μεταλαμβάνει
τὰς μερικὰς εἰς τὰς καθόλου.
30 Ἴδωμεν δὲ καὶ ἐπὶ τῆς λέξεως αὐτῆς τὰ εἰρημένα. οὐδὲν γὰρ κωλύει,
φησί, τὸ Β ὑπερτείνειν τὸ Α, τουτέστι δυνατὸν τὸν μέσον ὅρον λαβεῖν ἐφ'

1 τὰς alt. St: om. V μεταλαμβάνει scripsi: μεταλαμβάνειν Vt 3 ἰσοτίμως πρὸς ἑαυτὰς B 4 τοῦ S: om. BVt λαμβάνειν V 5 καὶ ἐπιλύεται τοῦτο B: ἐπιλύεται οὖν τὸ τοιοῦτον ὡς οἷόν τε ἦν πιθανῶς Vt 6 φησίν om. B 7 μὲν prius om. B 8 ἀνεῖλε om. B λέγω Vt: ἤτοι B: om. S 9. 10 καταφατικὴ—ἀποφατικὴ B 10 τὸ περιπατεῖν SVt: om. B 12 ἐνταῦθα SVt: ὡδὶ B 13 καταφατικαὶ BS 14 ἐνδέχεται St: om. B: post ἄνθρωπον collocat V 15 ἐστιν BS: om. Vt μηδὲ—μηδὲ SVt 16 καταφάσεσιν SVt: καταφατικαῖς B 16 17 τὰς τοιαύτας ἀποφατικὰς εἰς τὰς S 17 μεταλαμβάνομεν B: εν supra ει scr. V σαφεστέραν B 18 δ' SVt: om. B 19 διὰ τί SVt: ὅτι B post τί add. οὖν Vt: om. BS τὰς alt. SVt: om. B 20 καὶ alt. BS: om. Vt 22 ἔφθημεν εἰπόντες] p. 149,27 sq. τὰς alt. om. V 23 τὸ μερικὸν S ἀκολουθήσει B ὃ γὰρ S: καὶ ὃ Bt: καὶ τὸ V¹: ὃν V² 25 καὶ SVt: καὶ τὸ B ἀνάγκη St: om. BV 26 παντὶ prius e τινι corr. V post ἐνδέχεσθαι prius add. ὑπάρχειν B 31 τὸ alt. BVt (A B d n m u, pr. C): τοῦ Arist. cf. p. 161,7. 12

οὐ μὴ παντὸς ὁ πρῶτος κατηγορεῖται καὶ οὐκ ἐξισάζει ὁ πρῶτος πρὸς τὸν μέσον· δυνατὸν γάρ ποτε καὶ ἐξισάζειν, ὡς ὅταν τὸ ἐνύπνιον ὁρᾶν καὶ τὸ καθεύδειν λάβωμεν (τὸ γὰρ ὁρᾶν | ἐνύπνιον καὶ τινὶ καθεύδοντι ἐνδέχεται XLIv ὑπάρχειν καὶ παντί, καὶ ἀνάπαλιν πάντα καθεύδοντα ἐνδέχεται ἐνύπνιον ὁρᾶν) ἢ τὸ ἐσθίειν καὶ περιπατεῖν καὶ ὅσα τοιαῦτα. ἐφ' ὅσων οὖν, φησί, μὴ ἐξισάζει ὁ πρῶτος ὅρος πρὸς τὸν μέσον, ἀλλ' ὑπερτείνει καὶ πλεονάζει ὁ μέσος τὴν κατηγορίαν τοῦ πρώτου, ἐπὶ τούτων δυνατὸν καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ συναγαγεῖν, εἴτε ἀμφότεραι καταφατικαὶ ὦσιν αἱ προτάσεις εἴτε ἀμφότεραι ἀποφατικαί, εἴτε ἀμφότεραι ἀδιόριστοι ἢ κατὰ μέρος. οἱ δὲ αὐτοὶ ὅροι οὓς παρεθέμεθα ἁρμόσουσιν ἐπὶ πάντων καὶ οἷ τούτοις παραπλήσιοι.

p. 33a39 Ὧι δὲ ὑπερτείνει τὸ Β τοῦ Α, εἰλήφθω τὸ Γ· τούτῳ γὰρ οὔτε παντὶ οὔτε μηδενὶ οὔτε τινὶ οὔτε μὴ τινὶ ἐνδέχεται τὸ Α ὑπάρχειν.

Ἐάν, φησί, τὸ μέρος ἐκεῖνο τοῦ μέσου ὅρου λάβωμεν, τουτέστι τοῦ Β, καθ' ὃ πλεονάζει τῆς κατηγορίας τοῦ Α, λέγω δὴ τοῦ πρώτου ὅρου, ἐπὶ τούτου, φησίν, οὐδὲν συμπέρασμα εὑρήσομεν συναγόμενον, οὔτε τὸ καθόλου οὔτε τὸ μερικὸν οὔτε τὸ καταφατικὸν οὔτε τὸ ἀποφατικόν. εἶτα κατασκευάζων τοῦτό φησιν εἴπερ ἀντιστρέφουσιν αἱ κατὰ τὸ ἐνδέχεσθαι προτάσεις καὶ τὸ Β πλείοσιν ἐνδέχεται ἢ τὸ Α ὑπάρχειν.

p. 33b8 Φανερὸν οὖν ὅτι τοῦτον τὸν τρόπον ἐχόντων τῶν ὅρων οὐδεὶς γίνεται συλλογισμός.

Τοῦτον τὸν τρόπον, δηλονότι τὸν προσεχῶς εἰρημένον, ἐὰν ἡ μείζων μερικὴ τυγχάνῃ. εἰ γάρ, φησίν, ἀνάγκη πάντα συλλογισμὸν ἢ ἀναγκαῖον ἢ ὑπάρχοντα ἢ ἐνδεχόμενον εἶναι, δείκνυται δὲ μηδέτερος τούτων συναγόμενος διὰ τούτων τῶν προτάσεων, ἐοίκασιν ἄρα παντελῶς εἶναι ἀσυλλόγιστοι· τῷ μὲν γὰρ συνάγειν τὸ καταφατικὸν ἀναγκαῖον τό τε ὑπάρχον ἀποφατικὸν καὶ τὸ ἐνδεχόμενον καὶ τὸ ἀναγκαῖον ἀναιρεῖται, τῷ δὲ συνάγεσθαι τὸ ἀποφατικὸν ἀναγκαῖον τό τε καταφατικὸν ἀναγκαῖον ἀναιρεῖται καὶ τὸ ὑπάρχον καὶ τὸ ἐνδεχόμενον, καθάπερ ἐδείξαμεν.

1 ἐξιζάζει pr. V, corr. V² 2 καὶ prius om. V ἐξιζάζειν ut solet V καὶ alt., quod post ὅταν colloc. libri, transposui τὸ alt. Bt: τῶ V 3 καὶ alt. superscr., ut videtur, B² 4 παντὶ καθεύδοντι Vt 6 ἐξισάζον B¹, corr. B² 9 post εἴτε addiderim ἡ μὲν καταφατικὴ ἡ δ' ἀποφατική, εἴτε cf. Arist. ἀμφότεραι alt. om. B ἀόριστοι V ἢ Vt Arist.: εἴτε B 10 δὲ superscr. V: post αὐτοὶ colloc. t τούτων B 12 τοῦτο pr. V 13. 14 ὑπάρχειν τὸ α' V 16 καθ' οὗ B 17 εὑρήσεις B 17. 18 οὔτε—μερικὸν iterat V 18 τὸ (ante ἀποφ.) om. B 21 post οὖν add. ἐστιν B τοῦτον τὸν τρόπον Vt Arist.: οὕτως B 23 τὸν prius om. V 25 δὲ om. V 26 ἄρα om. B ἀλλόγιστοι V 27 μὲν om. B συνάγει B¹, corr., ut videtur, B² 27. 28 καταφατικὸν εἰς τὸ V 28 τῷ δὲ Vt: πάλιν τῶ B 30 καθάπερ Vt: ὡς ἤδη B ἐδείξαμεν] p. 159,12 sq.

p. 33b18 Φανερὸν δὲ καὶ ὅτι καθόλου τῶν ὅρων ὄντων ἐν XLIv
ταῖς ἐνδεχομέναις προτάσεσιν ἀεὶ γίνεται συλλογισμὸς ἐν τῷ
πρώτῳ σχήματι.

Ἐπὶ μὲν γὰρ τῶν ἄλλων τρόπων οὐ πᾶσαι αἱ ἐξ ἀμφοτέρων τῶν 30
5 προτάσεων καθόλου προτάσεις συλλογιστικαὶ ἦσαν· ἐπὶ δὲ τοῦ ἐνδεχομένου
ἐν τῷ πρώτῳ σχήματι πάσας, φησίν, ἐδείξαμεν συλλογιστικάς, ὅπως ἂν
εἶχον κατὰ τὸ ποιόν, ἀλλὰ τὰς μὲν τελείας καὶ δι' ἑαυτῶν δεικνυμένας,
τὰς δὲ ἀτελεῖς καὶ δεομένας τῆς δι' ἀντιστρόφου βοηθείας, λέγω δὴ τῆς
μεταλήψεως τῶν ἀποφατικῶν εἰς τὰς καταφατικάς.

10 p. 33b21 Δεῖ δὲ τὸ ἐνδέχεσθαι λαμβάνειν μὴ ἐν τοῖς ἀναγκαίοις
ἀλλὰ κατὰ τὸν εἰρημένον διορισμόν. ἐνίοτε δὲ λανθάνει τὸ 35
τοιοῦτον.

Πολλάκις, φησί, λανθάνομεν ἡμᾶς αὐτοὺς λέγοντες μὲν ἐνδέχεσθαι
τόδε τῷδε ὑπάρχειν μὴ ἐνδεχομένως ἐκείνου ὑπάρχοντος ἀλλ' ἀναγκαίως,
15 ὅπερ καὶ αὐτὸς πέπονθεν, ὡς ὅταν εἴπωμεν ἐνδέχεσθαι παντὶ ἀνθρώπῳ τὸ
λευκὸν ὑπάρχειν· τινὶ γὰρ ἐξ ἀνάγκης ὑπάρχει, οἷον τῷ Σκύθῃ, καὶ τινὶ
ἐξ ἀνάγκης οὐχ ὑπάρχει, οἷον τῷ Αἰθίοπι. διὰ τοῦτό φησιν ὅτι δεῖ τὸ
ἐνδέχεσθαι μὴ ἐπὶ τοῦ ἀναγκαίου λαμβάνειν ἀλλ' ἐπὶ τοῦ κυρίως ἐνδεχο-
μένου κατὰ τὸν εἰρημένον ἡμῖν περὶ τούτου διορισμόν. 40

20 p. 33b25 Ἐὰν δὲ ἡ μὲν ὑπάρχειν ἡ δὲ ἐνδέχεσθαι λαμβάνηται
τῶν προτάσεων, ὅταν μὲν ἡ πρὸς τὸ μεῖζον ἄκρον ἐνδέχεσθαι
σημαίνῃ, τέλειοί τε πάντες ἔσονται οἱ συλλογισμοὶ καὶ τοῦ
ἐνδέχεσθαι κατὰ τὸν εἰρημένον διορισμόν.

Περὶ τῆς τοῦ ἐνδεχομένου φύσεως διαλεχθεὶς καὶ διορισάμενος αὐτό,
25 ἔτι καὶ περὶ τῆς ἀντιστροφῆς αὐτοῦ, εἶτα περὶ τῶν συλλογισμῶν εἰρηκὼς 45
τῶν ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων, νῦν ἀκολούθως περὶ τῆς
μίξεως αὐτοῦ διαλέγεται. μίγνυσιν οὖν αὐτὸ πρότερον τῷ ὑπάρχοντι. ἐπὶ τού-
των οὖν, ὅταν ἡ μὲν μείζων ᾖ ἐνδεχομένη ἡ δὲ ἐλάττων ὑπάρχουσα, τὸ τηνι-

1 καὶ om. V post ὅρων add. τῶν V 2 τῷ om. V 4 post αἱ add. τῶν V
5 conicias συζυγίαι sive συμπλοκαί, at cf. p. 164,19 171,15 6 ἐν om. B
6. 7 συλλογιστικάς—ἀλλὰ om. B 7 τελείας καὶ om. B 10 post μὴ add. τὸ t (d)
11 δὲ superscr. V λανθάνειν Bt 13 post πολλάκις add. δὲ B λέγοντας Vt
14 ἐνδεχόμενος pr. V, corr. V² 15 ὃ B ὡς om. V 16 σκύθει t
post καὶ τινὶ superscr. οὐκ V² 17 οὐχ ὑπάρχει om. V 19 αὐτοῦ B 20 μίξις
ὑπάρχοντος καὶ ἐνδεχομένου (δεχομένου B) inscr. BS: μίξις τοῦ ἐνδεχομένου μετὰ τοῦ ὑπάρ-
χοντος del., deinde μίξις ἐνδεχομένου καὶ ὑπάρχοντος inscr. V ὑπάρχει V
ἐνδέχεται pr. V 22 λαμβάνῃ t τε om. B ἔσονται t et ante πάντες Arist.:
εἰσὶν BV 23 τρόπον B 24 ὁρισάμενος B 25 περὶ τὸν συλλογισμὸν V
26 ἀκολούθως om. B 27 αὐτοῦ] τοῦ V πρότερον B: om. Vt

καῦτα ἔσονται συλλογιστικαὶ αἱ συζυγίαι, ὅταν καὶ ἡ μείζων τὸ ἴδιον ποσὸν XLIᵛ φυλάττῃ, λέγω δὴ τὸ καθόλου, καὶ ἡ ἐλάττων τὸ ποιόν, λέγω δὴ τὸ καταφατικόν. καὶ πάντες οἱ τοιοῦτοι συλλογισμοὶ τέλειοί εἰσιν· οὐ δέονται γὰρ οὔτε ἀντιστροφῆς οὔτε τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ὅταν δὲ ἡ μὲν μείζων 30
5 ὑπάρχουσα ᾗ ἡ δὲ ἐλάττων ἐνδεχομένη, τότε ἔσονται συλλογιστικαὶ αἱ συζυγίαι, ὅταν μόνη ἡ μείζων καθόλου ᾗ. οὐκέτι μέντοι ἀνάγκη καὶ τὸ ποιὸν τῆς ἐλάττονος ὡρισμένον εἶναι· κἂν γὰρ ἀποφατικὴ ᾗ ἡ ἐλάττων, γενήσεται συλλογιστικὴ ἡ συζυγία μεταληφθείσης πάλιν τῆς τοῦ ἐνδεχομένου ἀποφάσεως εἰς κατάφασιν. αἱ μὲν οὖν συλλογιστικαὶ ἐν τούτοις συζυγίαι
10 αὗται. συνάγουσι δὲ συμπεράσματα αἱ μὲν τὴν μείζονα ἔχουσαι ἐνδεχομένην ἐνδεχόμενα· αἱ δὲ τὴν μείζονα ὑπάρ|χουσαν ἔχουσαι οὐ συνάγουσι, XLIIʳ φησί, τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ἀλλὰ τὸ μηδενὶ ᾗ μὴ παντὶ ἐξ ἀνάγκης ὑπάρχειν, αἵτινές εἰσιν ἀποφατικαὶ μέν, οὐ τὸ πρᾶγμα δὲ ἀναιροῦσιν ἀλλὰ μόνον τὸν ἀναγκαῖον τρόπον· ἀναιρουμένου δὲ τοῦ ἀναγκαίου
15 τρόπου ἐνδεχόμενα ἔσονται ἐξ ἀνάγκης τὰ συμπεράσματα, ἀλλ' οὐχί, φησί, τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἀλλὰ τοῦ ἡμίσεος τοῦ ἐνδεχομένου. τί δὲ τοῦτό ἐστιν, εἰσόμεθα, ὅταν περὶ αὐτῶν τῶν προτάσεων διαληψόμεθα. 5 νῦν δὲ τέως τὰς τὴν μείζονα ἐχούσας ἐνδεχομένην ἐκτίθεται, καὶ δείκνυσιν ἐνδεχόμενα τὰ συμπεράσματα συναγόμενα. ἴδωμεν δὲ καὶ τὰ ἑξῆς.

20 p. 33ᵇ28 Ὅταν δ' ἡ πρὸς τὸ ἔλαττον, ἀτελεῖς τε πάντες, καὶ οἱ στερητικοὶ τῶν συλλογισμῶν οὐ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἀλλὰ τοῦ μηδενὶ ᾗ μὴ παντὶ ἐξ ἀνάγκης ὑπάρχειν.

Εἰκότως πάντες οἱ συλλογισμοὶ οἱ τὴν ἐλάττονα ἐνδεχομένην ἔχοντες 10 ἀτελεῖς εἰσι· τελειοῦνται γὰρ ἢ δι' ἀντιστροφῆς ἢ διὰ τῆς ἀδυνάτου δείξεως.
25 τοὺς δὲ στερητικοὺς τὸ ἐξ ἀνάγκης μηδενὶ ᾗ μὴ παντὶ συνάγειν, ὅπερ καὶ αὐτὸ ἐνδεχόμενόν ἐστιν, οὐ μὴν ὅπερ ὡρίσατο. ὅτι δὲ ἐνδεχόμενόν ἐστι, διὰ τῶν ἑξῆς δῆλον· εἰ γὰρ μηδενὶ ᾗ μὴ παντὶ ἐξ ἀνάγκης, ἐνδέχεσθαί φαμεν καὶ μηδενὶ καὶ μὴ παντὶ ὑπάρχειν εἰκότως· εἰ γὰρ μηδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης τὸ βαδίζειν, ἐνδεχομένως που πάντως ὑπάρχει.

1 αἱ om. BS 2 φυλάξηται B 4 ἀδύνατον SVt: ἄτοπον B 5 αἱ V, superscr., ut videtur, B¹: om. St 6 ἀνάγκη SVt: ἀναγκαῖον B 7 ἀποφατικὸν t ᾗ S: post ἐλάττων collocat B: om. Vt 8 ἡ om. B 9 ἐν τούτῳ Vt: ἐν αὐτοῖς, sed post συζυγίαι S 11 ἐνδεχόμενον B αἱ] ἐν t ὑπάρχουσαν superscr. V 12 φησί om. B 13. 14 ἀναιροῦσιν BS: ἀναιροῦσαν V: ἀναιροῦσαι t 15 ἐξ ἀνάγκης ἔσονται B φησίν post 16 ἐνδεχομένου prius collocat B 16 τὸν om. V ἀλλὰ τοῦ ἡμίσεος B: ἀλλ' ἥμισυ V: ἀλλ' ἡμίση t 17 εἰσόμεθα] p. 34ᵇ27 sq. ὅτε (ε ex ι, ut videtur, corr.) V διαληψόμεθα scripsi: διαληψώμεθα BVt 18 τῆς μείζονος pr. V 19 post συμπεράσματα del. ἐνδεχόμενα V 20 δ' ἡ B Arist.: δὲ οἱ V: δὲ t τε om. V (C) 21 ὁρισμὸν t post διορισμὸν add. τοῦ V 22 post τοῦ add. ἢ t 23 οἱ alt. om. V 24 post διὰ del. ν V post τῆς add. τοῦ t 25 post ἀνάγκης sive post παντὶ videtur φησὶ excidisse ὃ B 26 ὡρίσαντο pr. V ὅτι Bt: τὸ V ἐστι Bt: ἐστιν ὁ V 27 δῆλον B: συνάγειν V: συνάγει t: fort. δηλοῖ sive ἐπάγει

p. 33b33 Ἐνδεχέσθω γὰρ τὸ Α παντὶ τῷ Β, τὸ δὲ Β παντὶ τῷ Γ κείσθω ὑπάρχον. XLIIr

Ἐκτίθεται τὰς ἐκ μείζονος ἐνδεχομένης συζυγίας καὶ συνάγειν αὐτάς φησιν ἐνδεχόμενον συμπέρασμα. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ἐνδέχεται ὑπάρχειν, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδεχομένως ὑπάρχει· μέρος δὲ τοῦ Β τὸ Γ· ὑπόκειται γὰρ παντὶ τῷ Γ τὸ Β ὑπάρχειν· τὸ ἄρα Α τῷ Γ ἐνδεχομένως ὑπάρξει μέρει ὄντι τοῦ Β. ὅροι δὲ διαλέγεσθαι, περιπατοῦν, ἄνθρωπος· διαλέγεσθαι γὰρ παντὶ περιπατοῦντι ἐνδέχεται ὑπάρχειν, περιπατοῦν παντὶ ἀνθρώπῳ ὑπάρχει· ὑποκείσθωσαν γὰρ πάντες περιπατοῦντες· καὶ συνάγεται συμπέρασμα 'διαλέγεσθαι παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν'. τὰ αὐτὰ δὲ ἐροῦμεν καὶ τῆς μείζονος στερητικῆς λαμβανομένης τῆς δὲ ἐλάττονος καταφατικῆς· εἰ γὰρ τὸ Α ἐνδέχεται μηδενὶ τῷ Β, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδεχομένως οὐχ ὑπάρχει· μέρος δὲ τοῦ Β τὸ Γ· ὑπόκειται γὰρ παντὶ τῷ Γ τὸ Β ὑπάρχειν· οὐδενὶ ἄρα τῷ Γ τὸ Α ἐνδέχεται ὑπάρχειν. οἱ αὐτοὶ δὲ ὅροι κἀνταῦθα ἁρμόσουσιν.

p. 34a1 Ὅτι μὲν οὖν τοῦ ὑπάρχειν τιθεμένου πρὸς τὸ ἔλαττον ἄκρον τέλειοι γίνονται συλλογισμοί, φανερόν· ὅτι δὲ ἐναντίως ἔχοντος ἔσονται συλλογισμοί, διὰ τοῦ ἀδυνάτου δεικτέον.

Πᾶσαι, φησίν, αἱ προτάσεις αἱ τὴν μὲν μείζονα ἔχουσαι ἐνδεχομένην τὴν δὲ ἐλάττονα ὑπάρχουσαν συλλογιστικαὶ οὖσαι τέλειαί εἰσιν· οὐκ ἐδεήθησαν γὰρ οὔτε τῆς δι' ἀντιστροφῆς οὔτε τῆς δι' ἀδυνάτου δείξεως. αἱ δὲ ἀντικειμένως ἔχουσαι ταύταις, λέγω δὴ αἱ τὴν μείζονα ὑπάρχουσαν τὴν δὲ ἐλάττονα ἐνδεχομένην, οὐ τῇ κατ' εὐθεῖαν δείξει δεικνύμεναι ἀλλ' ἢ τῇ δι' ἀντιστροφῆς ἢ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἀτελεῖς εἰσι· πᾶσαι γὰρ αἱ μὴ τῇ κατ' εὐθεῖαν δείξει δεικνύμεναι ἀτελεῖς εἰσιν.

p. 34a5 Πρῶτον δὲ δεικτέον ὅτι, εἰ τοῦ Α ὄντος ἀνάγκη τὸ Β εἶναι, καὶ δυνατοῦ ὄντος τοῦ Α δυνατὸν ἔσται καὶ τὸ Β ἐξ ἀνάγκης.

Μέλλων παραδιδόναι τὰς ἐκ τῆς μείζονος ὑπαρχούσης τῆς δὲ ἐλάτ-

1 post α' del. μὴ V² 3 αὐτάς om. B 5 ὑπάρξει B, at cf. vs. 13
6 γὰρ S: δὲ καὶ BV: δὲ τῇ t cf. vs. 14 τὸ β'—τῷ γ' om. V 7 ὑπάρξει BS: ὑπάρχει Vt περιπατεῖν SVt 8. 9 περιπατεῖν S: περιπατοῦντι V
post περιπ. add. δὲ Vt: om. BS 9 ὑποκείσθω t 10 post συμπ. add. τὸ S
13 οὐκ ἐνδεχομένως t 17 post γίνονται add. οἱ t 18 ἔχοντες V (u, pr. A)
19 αἱ prius om. B αἱ συμπλοκαὶ S at cf. p. 162,5 μὲν om. B
ἔχουσιν t 21 τῆς δι' prius SV: τῆς διὰ τῆς t: om. B ἀντιστροφῆς] ι ex ῆς corr. V² δι' alt. om. B 23 δι' superscr. V 24 ἀντιστροφῇ V
τῆς ἀδυνάτου ἀπαγωγῆς B 24. 25 πᾶσαι—εἰσιν om. B: γὰρ—εἰσιν om. S
24 αἱ μὴ iterat V, iterata del. V² 26 λεκτέον B Arist. 27 καὶ alt. BVt(dn): om. Arist. 29 παραδιδόναι SVt: παραδοῦναι B

τονος ἐνδεχομένης συζυγίας θεώρημά τι προλαμβάνει συμβαλλόμενον αὐτῷ XLIIʳ πρὸς τὴν τούτων δεῖξιν. ἐπειδὴ γὰρ πᾶσαι διὰ τοῦ ἀδυνάτου δείκνυνται καὶ τῆς μεταλήψεως τῶν προτάσεων εἰς ἀλλήλας, τῆς τε ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν καὶ ἀνάπαλιν τῆς ὑπαρχούσης εἰς τὴν ἐνδεχομένην (τοῦτο 45
5 δέ, εἰ καὶ ψεῦδός ἐστιν, οὐ μὴν ἀδύνατον ἀλλὰ δυνατόν· τό τε γὰρ ἐνδεχόμενον δυνατὸν ἐκβῆναι καὶ γενέσθαι ὑπάρχον, καὶ τὸ ὑπάρχον διακοπέν, ἐπειδὴ καὶ τοιαύτην ἔχει τὴν φύσιν, δύναται πάλιν γενέσθαι ἐνδεχόμενον), ἐπειδὴ τοίνυν μεταλαμβάνων τὰς προτάσεις διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς δείκνυσι ταύτας τὰς συζυγίας, ἵνα μή τις εἴπῃ ὅτι διὰ τὴν μετάληψιν
10 τῶν προτάσεων ἠκολούθησε τὸ ἀδύνατον, διὰ τοῦτο πρότερον προέθετο 50 δεῖξαι ὅτι οὐδέποτε δυνατῇ τινι ὑποθέσει ἐγχωρεῖ τι ἀδύνατον ἀκολουθεῖν. ἀλλὰ πάντως τῷ δυνατῷ δυνατὸν ἔσται τὸ ἑπόμενον. εἴπερ οὖν τὴν μετάληψιν τῶν προτάσεων δυνατὸν γενέσθαι καὶ οὐκ ἀδύνατον, δυνατῷ δὲ οὐδὲν ἀδύνατον ἀκολουθεῖ, οὐδὲν ἄρα ἀκολουθήσει τῇ μεταλήψει αὐτῶν ἀδύνατον.
15 δείκνυσι δὲ αὐτὸ οὕτως. ἔστω, φησί, τοῦ A ὄντος ἐξ ἀνάγκης ἕπεσθαι αὐτῷ τὸ B· ἐπειδὴ τοίνυν τὸ μὲν A ἐστὶ προηγούμενον τὸ δὲ B ἑπόμενον, ἀνάγκη, φησίν, εἰ τὸ A δυνατὸν εἴη, καὶ τὸ B δυνατὸν εἶναι. εἰ γὰρ τοῦτο ψεῦδος καὶ ἐγχωρεῖ τοῦ A | δυνατοῦ ὄντος τὸ B ἀδύνατον εἶναι, ὑπο- XLIIᵛ κείσθω οὕτως. ἐπειδὴ τοίνυν τὸ A δυνατόν ἐστι, τὸ δὲ δυνατὸν οἷόν τέ
20 ἐστι γενέσθαι, ἐκβαινέτω εἰς ἐνέργειαν τὸ A· ἐκβὰν δὲ ἔστι δῆλον ὅτι· εἰ τοίνυν τὸ μὲν A ἐστί, τὸ δὲ B ἀκολουθεῖν τῷ A ἐξ ἀνάγκης ὑπόκειται, ἔσται ἄρα καὶ τὸ B. ἀλλ' ἐπειδὴ τὸ B ἀκολουθεῖ μὲν τῷ A, φασὶν οἱ ἀντιλέγοντες, ἀδύνατον δὲ εἶναι, τὸ δὲ ἀδύνατον εἶναι οὐκ ἔστι, τὸ B ἄρα οὐκ ἔστιν. ἀλλὰ μὴν ὑπέκειτο καὶ εἶναι· ἐξ ἀνάγκης γὰρ ἠκολούθησε τῷ 5
25 A. τὸ αὐτὸ ἄρα καὶ ἔστι καὶ οὐκ ἔστιν, ὅπερ ἀδύνατον. δέδεικται ἄρα διὰ τούτων ὅτι πᾶσα ἀνάγκη τὸ τῷ δυνατῷ ἑπόμενον δυνατὸν εἶναι.

Οὕτω μὲν οὖν ὁ Ἀριστοτέλης ἀποδείκνυσι τὸ τοιοῦτον. οἱ δὲ Στωικοὶ τῇ δείξει ταύτῃ ἀντειπεῖν μὴ δυνάμενοι διὰ παραδειγμάτων τινῶν ἐλέγχειν πειρῶνται τὸν τοῦ φιλοσόφου λόγον. δυνατὸν γὰρ τὸ τῷ δυνατῷ ἑπόμενον
30 ἀδύνατον εἶναι· λέγω γὰρ οὕτω· τῷ 'εἰ τέθνηκε Δίων' ἀκολουθεῖ τὸ 'τέθνηκεν οὗτος'· τὸ μὲν οὖν τεθνάναι Δίωνα δυνατόν, τὸ δὲ τοῦτον τεθνάναι ἀδύ-

1 προσλαμβάνει B 2 τὴν τούτων δεῖξιν BS: τὴν δεῖξιν τὴν τούτων Vt δύνανται pr. V 3 πρὸς utroque loco V 5 εἰ καὶ SV: inv. ord. t: καὶ B¹, εἰ superscr. B² 6 καὶ prius Bt: τὸ V 7 καὶ om. B τὴν om. B S ἐπεὶ B μεταλαμβάνει B τὸ om. S S. 9 post ἀπαγωγῆς add. καὶ B 9 εἴπῃ BS: εἴποι Vt post μετάληψιν del. ἠκολούθησε V 11 δυνατῇ τινι ὑποθέσει B: δυνατῇ ὑποθέσει δύναται ἢ V: τινι ὑποθέσει δύναται t 12 post δυνατῷ add. τὸ V 13 δὲ e μὲν corr. B² 14 ἀκολουθήσει SVt: ἀκολουθεῖ, sed post ἀδύνατον alt. B 15 τὸ α' ὄντως V 16 ἐπεὶ B προηγούμενον BS: ἡγούμενον Vt 19 ἐπεὶ B δὲ ἀδύνατον V 20 post ἐκβαινέτω add. οὖν Bt: om. SV 22 καὶ om. t ἀλλ'—β' om. V ἐπειδὴ St: ἐπεὶ B ἀκολουθεῖ scripsi: ἀκολουθεῖν BSVt 22. 23 φησιν ὁ ἀντιλέγων B 23 δὲ alt. om. t 24 ἠκολούθησε B¹Vt: ἠκολούθει B²S 25 καὶ prius B: om. SVt 28 δόξη B 30 οὕτω τῶ B: οὕτω S: ὅτι τὸ Vt τὸ BS: τῶ Vt

νατον. ἕπεται δὲ πάντως τῷ Δίωνα τεθνάναι τὸ τεθνάναι τοῦτον· εἰ μὲν XLII[v]
γὰρ ἀποθάνοι Δίων, πάντως καὶ οὗτος, ὁ δεικνύμενος δηλονότι, τέθνηκεν. αὐτὸ 11
δὲ τὸ τοῦτον τεθνάναι ἀδύνατον· τὸ γὰρ τοῦτο δεικτικὸν ὑπάρχον ὄν τι πρᾶγμα
σημαίνει, τὸ δὲ τεθνάναι μὴ ὄν· τὸ δὲ ὂν ἀδύνατον μὴ εἶναι. τὸ ἄρα
5 τεθνάναι τοῦτον ἀδύνατον. τοῦτο δὲ ἀκολουθεῖ τῷ Δίωνα τεθνάναι δυνατῷ
ὄντι· ἀδύνατον ἄρα δυνατῷ τινι ἀκολουθεῖ. πάλιν εἰ ἔσται νύξ, αὕτη
ἡμέρα οὐκ ἔστι· τὸ δὲ ταύτην ἡμέραν μὴ εἶναι ἀδύνατον· ἕπεται ἄρα τῷ
εἶναι νύκτα δυνατῷ ὄντι τὸ μὴ εἶναι ταύτην ἡμέραν ἀδύνατον ὄν. ταῦτα 15
μὲν οἱ Στωικοί. ἡμεῖς δὲ πρὸς ταῦτά φαμεν ὅτι δεῖ τὸ κυρίως ἑπόμενον
10 ἐπὶ πλέον εἶναι τοῦ ἡγουμένου· ἐὰν δὲ ᾖ ἐπ' ἔλαττον, οὐχ ὑγιῶς ἕψεται
τῷ ἡγουμένῳ. οἷον τῷ ἄνθρωπον εἶναι ἕπεται ἐξ ἀνάγκης τὸ ζῷον εἶναι·
κυρίως ἄρα ἑπόμενον τὸ ζῷον, διότι καὶ ἐπὶ πλεῖον· πάντως γὰρ ἕπεται
τῷ ἄνθρωπον εἶναι· ὁμοίως καὶ τῷ ἵππον ἢ κύνα εἶναι. οὐκέτι μέντοι, εἰ
λάβοιμεν προηγούμενον μὲν τὸ ζῷον ἑπόμενον δὲ τὸν ἄνθρωπον ἢ τὸν
15 ἵππον ἢ τὸν κύνα, οὐκέτι ὑγιῶς οὐδὲ κυρίως ἔσται τὸ ἑπόμενον· οὐ γὰρ 20
πάντως τῷ ζῴῳ ἕπεται ἄνθρωπος ἢ ἵππος ἤ τι τοιοῦτον, διότι μερικώτερόν
ἐστι καὶ ἐπ' ἔλαττον τὸ ἑπόμενον. εἰ τοίνυν τοῦτο οὕτως ἔχει καὶ δεῖ πάν-
τως τὸ ἑπόμενον ἐπὶ πλεῖον εἶναι τοῦ ἡγουμένου, οὐκ ἄρα καλῶς ἐλάβετε
τῷ Δίωνα τεθνάναι ἡγουμένῳ ἑπόμενον τὸ τοῦτον τεθνάναι· ἐπὶ πλεῖον
20 γὰρ τὸ 'Δίων τέθνηκε' τοῦ 'οὗτος τέθνηκε'. τὸ μὲν γὰρ 'Δίων τέθνηκεν'
ἐπὶ πλείονος χρόνου λαμβάνεται, ἐπί τε τοῦ κατὰ τὸ ζῆν καὶ ἐπὶ τοῦ κατὰ
τὸ τεθνάναι· τὸ δὲ 'οὗτος' ἐπὶ μόνου τοῦ τῆς ζωῆς χρόνου· ἐπὶ πλεῖον ἄρα 25
τοῦ 'οὗτος' τὸ 'Δίων'. διὰ τοῦτο ἄρα δυνατῷ τι ἔδοξεν ἀδύνατον ἕπεσθαι,
διὰ τὸ τὴν ἀκολούθησιν μὴ κυρίως ληφθῆναι, ὡς ἂν εἰ ἐλέγομεν ἐπὶ ἀνθρώ-
25 που 'εἰ ζῷόν ἐστιν οὗτος, καὶ ἵππος ἐστίν'. ὥσπερ οὖν εἰ τοῦ Δίωνος
ὁμωνύμου ὄντος ἐλέγομεν ἁπλῶς οὕτως 'εἰ Δίων τέθνηκεν', ὁ δὲ τεθνηκὼς
τύχοι ὢν φέρε εἰπεῖν ὁ ἐκ Θετταλίας, εἶτα ἐπιφέρωμεν 'οὗτος ὁ Δίων τέθνη-
κεν', οἷον ὁ ἐξ Ἀθηνῶν, ἐδείκνυμεν ἀδύνατόν τι τῷ ἡγουμένῳ ἀκολουθεῖν, τὸν
μὴ τεθνηκότα Δίωνα ἀποθανεῖν, τοῦ παραλογισμοῦ δι' οὐδὲν ἕτερον γενο- 30
30 μένου ἢ διὰ τὸ τὸν ἡγούμενον ὁμώνυμον λαβεῖν καὶ διὰ τοῦτο ἐπὶ πλεῖον
τὸν δὲ ἑπόμενον μερικόν, οἷον ἐπὶ τοῦ Ἀθηναίου, οὕτω κἀνταῦθα λέγομεν

1 τὸ—τῷ t γὰρ BSV: οὖν t 3 τὸ γὰρ—5 ἀδύνατον om. B an γὰρ οὗτος? ὑπάρχον Sb: ὑπάρχει Vt 4 σημαίνει St: σημαῖνον V 5 τούτω—τὸ t 5. 6 δυνατῶ ὄντι BS: ὄντι ἀδύνατον V: δυνατὸν δηλονότι t 6 δυνατὸν τινὶ ἀκολουθεῖν V 7 ἔσται ἄρα t 8 ἀδύνατον ὄν om. B 10 ἐπεὶ pr. V 12 κυρίως—13 κύνα εἶναι iterat V, iterata del. V² 13 καὶ τὸ B 14 λάβωμεν B 15 post οὐκέτι add. δὲ t 16 τὸ ζῶον V post ἕπεται add. ἢ V ἄνθρωπος—τοιοῦτον Vt: τὸ ἄνθρωπον εἶναι ἢ ἵππον B 17 τὸ ἡγούμενον t 18 ἐπεὶ B τοῦ κατηγορουμένου t οὐκέτι ἄρα B 18. 19 ἔλαβε τὸ V 19 τούτω V 20 τὸ prius om. t τὸ (ante οὗτος) B 22 θνᾶναι V 23 τὸ (ante οὗτος) V post ἄρα add. τῶ Vt: om. BS ἔδοξεν ἀδύνατον ἕπεσθαι VS: inv. ord. B: ἔδοξεν ἕπεσθαι t 24 εἰ S: om. BVt 25 οὗτος ἐστι B ἵππος ἔσται B οὖν εἰ] ἢ ἡ V 27 τύχη B ἐπιφέροιμεν V οὕτως t ὁ BS: om. Vt 28 οἷον om. t ἀκολουθοῦν τῶ ἡγουμένω S an ⟨τὸ⟩ τὸν? 30 τὸ e τοῦ corr. V² τὸν BS: om. Vt 31 τὸν BS: τὸ Vt λέγει B

ὅτι δι' οὐδὲν ἕτερον γέγονεν ὁ παραλογισμὸς ἢ διὰ τὸ τὸν ἑπόμενον μερι- XLIIv
κώτερον λαβεῖν. καὶ ἄλλως δὲ οὐδέποτε ὁ ἡγούμενος ἀναιρεθεὶς συναναιρεῖ
τὸν ἑπόμενον, ἀλλὰ τοὐναντίον ὁ ἑπόμενος τὸν ἡγούμενον ἀναιρεῖ· οἷον
προηγεῖται ὁ ἄνθρωπος, ἕπεται τὸ ζῷον· ἀναιρεθεὶς ὁ ἄνθρωπος οὐ συν-
5 αναιρεῖ τὸ ζῷον, τὸ δὲ ζῷον ἀναιρεθὲν συναναιρεῖ τὸν ἄνθρωπον. εἰ τοίνυν 35
αὕτη ἡ φύσις τοῦ ἑπομένου ὥστε μὴ συναναιρεῖσθαι τῷ ἡγουμένῳ, κακῶς
ἄρα ἐλάβετε τὸν ἑπόμενον ὅρον ἀναιρούμενον ὑπὸ τοῦ ἡγουμένου· ὅταν γὰρ
εἴπωμεν ὅτι Δίων τέθνηκεν, ἀναιροῦμεν τὸ λέγειν ἐπὶ αὐτοῦ τὸ 'οὗτος'.
εἴγε τὸ 'οὗτος' δεικτικὸν ὂν ἐπὶ ὑφεστώτων πραγμάτων λέγεται, ὁ δὲ τεθνη-
10 κὼς οὐχ ὑφέστηκεν. κακῶς ἄρα λαμβάνομεν τὸν ἑπόμενον ἀναιρούμενον
ὑπὸ τοῦ ἡγουμένου μὴ πεφυκότα συναναιρεῖσθαι τῷ ἡγουμένῳ ἀλλὰ τοὐ-
ναντίον τὸν ἡγούμενον ἑαυτῷ συναναιροῦντα. τοῦτο δὲ συμβαίνει διὰ τὴν
αὐτὴν πάλιν αἰτίαν, διότι βούλεται ὁ ἑπόμενος ἐπὶ πλέον εἶναι τοῦ ἡγου- 40
μένου. εἰ δὲ δύναται καὶ ἐπ' ἴσης εἶναι, ὅτε καὶ ἰσοτίμως ἔχουσι πρὸς ἀλλή-
15 λους οἱ ὅροι, ὡς ἐπὶ τοῦ ἀνθρώπου καὶ τοῦ γελαστικοῦ, οὐδὲν ἡμῖν τοῦτο πρὸς
τὸ προκείμενον, πλὴν ὅτι ἀδύνατον τὸν ἡγούμενον ἐπὶ πλέον εἶναι τοῦ ἑπο-
μένου. πρὸς δὲ τούτοις κἀκεῖνο λέγομεν, ὅτι εἰ κατ' αὐτοὺς τοὺς Στωικοὺς
τὰ ὀνόματα τὸ ἰδίως ποιὸν σημαίνουσιν, ἰδίως δὲ ποιόν φασι τὰ συμβε-
βηκότα τὰ χαρακτηρίζοντα ἑκάστην οὐσίαν, τὸ ἄρα Δίων ἀδύνατον φέρειν 45
20 ἐπὶ τοῦ τεθνηκότος ἰδίως ποιοῦ μὴ ὄντος ἀλλ' ἢ φθαρέντος ἢ ἐπὶ φθορὰν
ὁδεύοντος· ἀδυνάτῳ δὲ ὄντι τούτῳ, λέγω δὴ τῷ λέγεσθαι ἐπὶ τοῦ τεθνη-
κότος ὅτι Δίων, εἰ ἀδύνατόν τι ἀκολουθεῖ, οὐδέν θαυμαστόν. εἰ δὲ λέγουσιν
ὅτι κατὰ ἀναφορὰν λέγομεν τὸ Δίων, οἷον ὁ ποτὲ Δίων, φήσομεν καὶ ἡμεῖς
ὅτι καὶ τὸ 'οὗτος' κατὰ ἀναφορὰν ληψόμεθα 'ὁ ποτὲ οὗτος', καὶ οὕτως οὐκ
25 ἔσται ἀδύνατον ἀλλὰ δυνατὸν τὸ ἑπόμενον. καὶ γὰρ πολλὰ λέγομεν κατὰ
ἀναφορὰν καὶ ἐπὶ τοῦ παρελθόντος καὶ ἐπὶ τοῦ μέλλοντος χρόνου, οἷον ὅταν 50
εἴπωμεν ὅτι ὁ τάφος οὗτος Ἀχιλλέως ἐστί, πολλάκις μηδὲ τοῦ τυχόντος
λειψάνου τῶν ὀστῶν Ἀχιλλέως ἐν τῷ τάφῳ ὄντος, ἀλλὰ δῆλον ὅτι τοῦ
ποτὲ Ἀχιλλέως ὄντος· πάλιν οἰκίας οἰκοδομουμένης λέγομεν ὅτι ὁ οἶκος
30 οὗτος Πλάτωνός ἐστιν οἶκος, ἀλλὰ δῆλον ὅτι ὁ ἐσόμενος οἶκος.

Ὅτι μὲν οὖν οὐκ ἐγχωρεῖ δυνατοῦ ὄντος τοῦ προηγουμένου τὸ
ἑπόμενον εἶναι ἀδύνατον, δῆλον. ἐγχωρεῖ δὲ δυνατοῦ ὄντος τοῦ ἑπο-
μένου τὸ προηγούμενον εἶναι ἀδύνατον, ὡς εἴ τις λέγων ἑαυτὸν ὄνον
εἶναι ἐπιφέροι ὅτι καὶ ζῷον εἴη· ἐν τούτοις | γὰρ τὸ μὲν ἑπόμενον XLIIIr

2 καὶ om. B 3 ἀλλ' ὁ B 7 ἐλάβετε V: ἐλάμβανε B: ἔλαβε t S εἴπομεν t
ὅτι om. V: ὁ S 10 ἄρα om. V τὸν pr. V: τὸ BSt, corr. V 11 πεφυκότα
scripsi: πεφυκότος BVt: πεφυκὸς S 12 συναναιρεῖν B 13 πάλιν om. B
διότι BS: ὅτι Vt 15 ὡς] καὶ V post ἡμῖν add. ἐστὶ B 16 τὸν S: τὸ BVt
ἐπέλαττον B 17 εἰ] οἱ B 18 ποιὸν σημαίνουσιν SVt: ποσὸν σημαίνει B
immo ποιά φασὶ B: φησι Vt 20 μὴ ὄντος ποιοῦ B supra φθορὰν scr.
δια B² 22 ἀκολουθεῖν Bt 24 καὶ οὗτος t: καὶ οὗτος καὶ οὕτως B
25 ἔστιν B τὸ ἑπόμενον S: om. BVt πολλάκις B 27 ὅτι om. SV
28 ὀστῶν BS: ὀστέων Vt 28. 29 ἀλλὰ — ὄντος om. V 29 λέγω B
31 οὖν om. V 32 εἶναι ἀδύνατον SVt: inv. ord. B 34 [illegible] BSV
ταύτοις sic V post γὰρ del. τὸν ἄνθρωπον εἶναι ὄνον (e p. 168,1. 2 illata) V

δυνατόν, τὸ δὲ προηγούμενον ἀδύνατον· ἀδύνατον γὰρ τὸν ἄνθρωπον ὄνον XLIIIr
εἶναι· ἕπεται δὲ τῷ ὄνον εἶναι τὸ ζῷον εἶναι, καὶ δυνατὸν τὸν ἄνθρωπον
ζῷον εἶναι· ὥστε ἀδυνάτῳ δυνατὸν ἕπεται. οὕτω καὶ ὁ Ἀριστοτέλης ἐν
τῷ δευτέρῳ βιβλίῳ δείκνυσι ψευδέσι προτάσεσιν ἀληθὲς συμπέρασμα ἀκο-
5 λουθοῦν, ὡς εἴ τις λέγοι 'ὁ ἄνθρωπος κύων, ὁ κύων ζῷον, ὁ ἄνθρωπος
ἄρα ζῷον'. ἐν τούτοις δὲ οὐκ ἔχει τὸ κῦρος τοῦ συμπεράσματος ὁ μέσος 5
ὅρος, ὥσπερ χρὴ τὰς συλλογιστικὰς ἔχειν προτάσεις, ἀλλὰ διὰ τὴν φύσιν
τῶν ἄκρων τὸ συμπέρασμα συνῆκται.

Ὀκτὼ δὲ συζυγιῶν ἐκ τοῦ δυνατοῦ καὶ ἀδυνάτου γινομένων καὶ ἑπο-
10 μένου καὶ προηγουμένου ἀνάγκη τοῦ προηγουμένου δυνατοῦ ὄντος [τὸ ἑπόμενον]
ἕπεσθαι ἢ τὸ δυνατὸν ἢ τὸ ἀδύνατον· πάλιν τοῦ δυνατοῦ ἑπομένου τὸ προηγού-
μενον ἢ δυνατὸν ἔσται ἢ ἀδύνατον. καὶ οὕτω μὲν τέσσαρες τοῦ δυνατοῦ ἢ
προηγουμένου ἢ ἑπομένου. ἐὰν δὲ πάλιν λάβωμεν τὸ ἀδύνατον ἡγούμενον, 10
ἀνάγκη τὸ ἑπόμενον ἢ καὶ αὐτὸ ἀδύνατον εἶναι ἢ δυνατόν· πάλιν ἐὰν λάβωμεν
15 τὸ ἑπόμενον ἀδύνατον εἶναι, τὸ ἡγούμενον ἢ ἀδύνατον ἔσται ἢ δυνατόν. ὀκτὼ
οὖν συζυγιῶν γινομένων ὅτι μὲν τοῦ δυνατοῦ ἡγουμένου πάντως τὸ ἑπό-
μενον δυνατὸν ἔσται καὶ οὐκ ἀδύνατον. δῆλον ἐξ ὧν ὁ Ἀριστοτέλης ἔδειξε·
δῆλον δὲ ἐκ τούτων καὶ ὅτι τοῦ δυνατοῦ ἑπομένου ἐγχωρεῖ δυνατὸν εἶναι
τὸ προηγούμενον, ἀδυνάτου δὲ τοῦ ἑπομένου ὄντος οὐκ ἐγχωρεῖ δυνατὸν
20 εἶναι τὸ προηγούμενον. ὥστ' ἔχομεν τέσσαρας συζυγίας ἀποδεδειγμένας. 15
ὅτι δὲ ἀδυνάτου ἡγουμένου δυνατὸν ἕπεσθαι ἐγχωρεῖ, ἡμεῖς ἐδείξαμεν·
καὶ ἐκ τούτου δῆλον ὅτι δυνατοῦ ἑπομένου ἀδύνατον ἐγχωρεῖ προηγούμενον
εἶναι. ὥστ' ἔχομεν ἓξ συζυγίας. πάλιν ἀδυνάτου προηγουμένου οὐδὲν
θαυμαστὸν ἀδύνατον ἕπεσθαι καὶ ἑπομένου προηγεῖσθαι. ὥστ' ἔχομεν τὰς
25 ὀκτὼ συζυγίας.

p. 34a12 Δεῖ δὲ λαμβάνειν μὴ μόνον ἐν τῇ γενέσει τὸ δυνατὸν
καὶ ἀδύνατον ἀλλὰ καὶ ἐν τῷ ἀληθεύεσθαι καὶ ἐν τῷ ὑπάρχειν 20
καὶ ὁσαχῶς ἄλλως λέγεται τὸ δυνατόν· ἐν ἅπασι γὰρ ὁμοίως ἕξει.

Δείξας ὅτι τοῦ ἡγουμένου δυνατοῦ ὄντος ἀνάγκη καὶ τὸ ἑπόμενον
30 εἶναι δυνατόν, διὰ τούτων φησὶν ὅτι ἡ ἀκολούθησις αὕτη οὐ μόνον ἐπὶ τοῦ
κυρίως δυνατοῦ ὑπάρχει, ὅπερ φησὶ κατὰ τὴν γένεσιν, τουτέστι τὸ μήπω

1. 2 ὄνον εἶναι BS: inv. ord. Vt 2 δὲ om. V 3. 4 ἐν τῷ δευτέρῳ βιβλίῳ] c. 2 p. 53b26 sq. 4. 5 ἀκολουθεῖν B 5 λέγοι St: λέγει BV post λέγ. add. ὅτι Vt: om. BS 6 ἄρα om. B 9 ἀδυνάτου—δυνατοῦ V γενομένων t 10 τοῦ om. t τὸ ἑπόμενον delevi 12 μὲν om. B 13 προηγουμένου — ἑπομένου B: inv. ord. Vt ἐὰν δὲ Vt: εἰ B τὸ B1: τὸν B2 post ἡγούμενον del. ἀδύνατον B 14. 15 πάλιν — εἶναι] ὀκτὼ οὖν συζυγίας γινομένων ὅτι μὲν τοῦ δυνατοῦ (e vs. 15. 16 illata) del. V 17 δῆλον—ἔδειξε iterat B 18 τοῦ ἀδυνάτου B post ἑπομένου add. οὐκ B 23 συζυγίας ἕξ B 24 ἑπομένοις V 26 ἐν τῇ γενέσει μὴ μόνον B 28 post ὁσαχῶς add. ἁπλῶς t ἀδύνατον V post δυνατόν add. καὶ t 31 ὃ B post γένεσιν del. αὐτοῦ V

μὲν ὂν δυνάμενον δὲ ὑπάρχειν, ὅπερ εἰς ταὐτὸν ἔρχεται τῷ κυρίως ἐνδεχο- XLIII r
μένῳ. ἀδύνατον δὲ ἐν τῇ γενέσει οἷον τὸ ἐν τῷ βυθῷ ὄστρακον ἀδύνατον γενέσθαι ὁρατόν. ἀδύνατον δὲ οὐ τῇ φύσει ἀλλὰ τῇ γενέσει. οὐ μόνον 25
οὖν, φησίν, ἐπὶ τούτου φυλάττεται ἡ ἀκολούθησις αὕτη ἀλλὰ καὶ ἐν τῷ
5 δυνατῷ τῷ κατὰ τὸ ἀληθεύειν, τουτέστι τῷ κατὰ τὸ ἀναγκαῖον· εἴπομεν γὰρ πολλάκις ὅτι τὸ δυνατὸν καὶ τὸ ἐνδεχόμενον φέρεται καὶ ἐπὶ τοῦ ἀναγκαίου καὶ ἐπὶ τοῦ ὑπάρχοντος, ὡς φαμὲν δυνατὸν τὸν ἥλιον ἐν κριῷ γενέσθαι καίτοι ἀναγκαῖον ⟨ὄν⟩, καὶ τὸν Σκύθην δυνατὸν λευκὸν εἶναι καίτοι ὑπάρχον. ἢ γὰρ δυνατὸν πάντως ἢ οὐ δυνατόν· ἀλλὰ μὴν τὸ οὐ δυνατὸν
10 ψεῦδος· δυνατὸν ἄρα. ἀδύνατον δὲ ἐν τῷ ἀληθεύεσθαι τὸ κυρίως ἀδύνα- 30
τον. ἐν δὲ τῷ ὑπάρχειν * * ὁμοίως, φησίν, ἡ ἀκολούθησις τοῦ δυνατοῦ καὶ ἐπὶ τοῦ κατὰ τὸ ἀναγκαῖον καὶ ἐπὶ τοῦ κατὰ τὸ ὑπάρχον ἔσται. ἐπειδὴ δὲ τὸ ἀναγκαῖον ἀεὶ ὡσαύτως ἔχει καὶ ὁ περὶ αὐτοῦ τι λέγων πάντως ἀληθεύει, διὰ τοῦτο βουλόμενος τὸ κατὰ τὸ ἀναγκαῖον δυνατὸν σημᾶναι τὸ ἐν τῷ
15 ἀληθεύεσθαί φησι. τὸ δὲ καὶ ὁσαχῶς ἄλλως λέγεται τὸ δυνατὸν προσέθηκεν, ἵνα σημάνῃ τὸ ὡς ἐπὶ τὸ πολύ, τὸ ἐπ' ἴσης, τὸ ἐπ' ἔλαττον. Διόδωρος δὲ ἄλλα τινὰ τοῦ δυνατοῦ σημαινόμενα εἶναί φησι· φησὶ γὰρ 35
δυνατὸν εἶναι ἢ τὸ ἐκβεβηκὸς ἤδη, ὅπερ φαμὲν ἡμεῖς ὑπάρχον, ἢ τὸ δυνάμενον ἐκβῆναι μήπω δὲ ἐκβεβηκός. ὁ δὲ Φίλων φησὶ δυνατὸν εἶναι ἢ τὸ
20 ἐκβεβηκὸς ἢ τὸ δυνάμενον ἐκβῆναι μηδέποτε δὲ ἐκβαῖνον, ὥσπερ λέγομεν αἰσθητὸν εἶναι τὸ ἐν τῷ βυθῷ ὄστρακον. ὁ δὲ Ἀριστοτέλης μέσον τούτων χωρήσας τὸ κυρίως τοῦ δυνατοῦ σημαινόμενον ἡμῖν παραδέδωκεν, ὃ μήπω μὲν ἐξέβη δύναται δὲ ἐκβῆναι.

p. 34a 16 Ἔτι τὸ ὄντος τοῦ Α τὸ Β εἶναι οὐχ ὡς ἑνός τινος ὄντος 40
25 τοῦ Α τὸ Β ἔσται δεῖ ὑπολαβεῖν· οὐ γάρ ἐστιν οὐδὲν ἐξ ἀνάγκης ἑνός τινος ὄντος, ἀλλὰ δυοῖν ἐλαχίστοιν.

Ἐπειδὴ οὐχ ὡς ἐπὶ προτάσεων πλειόνων ἐγύμνασε τὸν λόγον ἀλλ' ὡς ἐπὶ δύο ὅρων ἀντιστρεφόντων πρὸς ἀλλήλους, διὰ τοῦτο ταῦτα ἐπήγαγε λέγων ὅτι οὐχ ὡς ἐπὶ μιᾶς προτάσεως λαμβάνομεν τὴν δεῖξιν ταύτην ἀλλ'
30 ὡς ἐπὶ συλλογισμοῦ· λαμβάνομεν γὰρ τὸ μὲν Α ἀνάλογον ταῖς προτάσεσι, τὸ δὲ Β τῷ συμπεράσματι. ἀνάγκη οὖν, φησί, δυνατῶν οὐσῶν τῶν προ- 45

1 μὲν B: om. Vt ὃ B τὸν αὐτὸν t 1. 2 post ἐνδεχομένῳ add. καὶ τὸ δυνατὸν φύσει t 2 ἀδύνατον alt. deleverim 3 ἀδύνατον—γενέσει Vt: ἀλλὰ τῇ γενέσει ἀδύνατον οὐ τῇ φύσει B 4 οὖν Vt: δὲ B ἡ ἀκολούθησις αὕτη ἐπὶ τούτου φυλάττεται V 5 τὸ (post τουτέστι) V εἴπομεν] cf. p. 148,1 sq. 7 post ἀναγκαίου del. καὶ τοῦ ἀναγκαίου B ἐπὶ om. B φασὶ B 8 ἤτοι B ὄν addidi: fort. etiam post 9 ὑπάρχον addendum 11 ὑπάρχοντι B lac. indicavi: supple ὁμοίως. διὸ καὶ 13. 14 ἀληθεύσει B 16 post ἐπίσης add. καὶ B 17 ἀδυνάτου t φησι prius om. B 18 ἤδη ἐκβεβηκός B ὅπερ—ὑπάρχον om. B ἔφαμεν t 19 μήπω—20 ἐκβῆναι om. B εἶναι t: οὖν V 20 μήποτε V λέγεται B 21 μέσος Vt 21. 22 χωρήσας τούτων B 22 χωρίσας t 23 δυνατὸν V ἐκβῆναι om. B 24 τὸ V Arist.: τε Bt 25 ὑπολαμβάνειν t οὐ γάρ κτλ. om. B 30 ἀνάλογον BS: ἀναλογοῦν Vt

τάσεων δυνατὸν εἶναι καὶ τὸ συμπέρασμα· ἀδύνατον γὰρ συμπέρασμα δυνα- XLIIIr
ταῖς προτάσεσιν οὐδέποτε ἀκολουθεῖ.

Οὐ γάρ ἐστιν οὐδὲν ἐξ ἀνάγκης ἑνός τινος ὄντος φησί, τουτέστιν ἑνός τινος ἡγουμένου οὐδὲν συμπέρασμα ἀκολουθήσει. τί οὖν; οὐκ ἀνθρώπου ὄντος ἀνάγκη εἶναι ζῷον; ἀλλ' οὐκ ἐπὶ τούτων φησὶ τῶν ἀκολουθήσεων ἀλλ' ἐπὶ τῶν συλλογιστικῶν, ὡς εἶπον, ὅτι μιᾶς προτάσεως οὔσης οὐκ ἔσται τι συμπέρασμα, ἀλλὰ δεῖ τοὐλάχιστον δύο εἶναι τὰς προτάσεις, ὡς πολλάκις εἴρηται.

p. 34a18 Οἷον ὅταν αἱ προτάσεις οὕτως ἔχωσιν ὡς ἐλέχθη κατὰ τὸν συλλογισμόν· εἰ γὰρ τὸ Γ κατὰ τοῦ Δ, τὸ δὲ Δ κατὰ τοῦ Ζ, καὶ τὸ Γ κατὰ τοῦ Ζ ἐξ ἀνάγκης· καὶ εἰ δυνατὸν δ' ἑκάτερον, καὶ τὸ συμπέρασμα δυνατόν. |

Λαμβάνει προτάσεις τὸ ΓΔ καὶ ΔΖ, συμπέρασμα δὲ τὸ ΓΖ. ὅταν XLIIIv
οὖν [ὡς], φησίν, οὕτως συμπλακῶσιν ὥσπερ εἴπομεν κατὰ συλλογιστικὴν μέθοδον, ἀνάγκη καὶ τὸ συμπέρασμα ἕπεσθαι. οὕτω δὲ ἕπεται ὡς ἂν ἔχωσιν αἱ προτάσεις· δυνατῶν γὰρ οὐσῶν πᾶσα ἀνάγκη δυνατὸν εἶναι καὶ τὸ συμπέρασμα, καὶ εἰ ἀναγκαῖαι, πάντως ἀναγκαῖον.

p. 34a25 Τούτου δὲ δειχθέντος φανερὸν ὅτι ψεύδους ὑποτεθέντος καὶ μὴ ἀδυνάτου καὶ τὸ συμβαῖνον διὰ τὴν ὑπόθεσιν ψεῦδος ἔσται καὶ οὐκ ἀδύνατον.

Δειχθέντος, φησίν, ὅτι πάντως τοῦ ἡγουμένου δυνατοῦ ὄντος πᾶσα ἀνάγκη καὶ τὸ ἑπόμενον δυνατὸν εἶναι, ἐάν, φησίν, ὡς ἐν ὑποθέσει προηγούμενόν τι λάβωμεν, ὅπερ ψεῦδος μέν ἐστι διὰ τὸ αὐτὸ τοῦτο κατὰ τὴν ὑπόθεσιν εἰλῆφθαι καὶ μήπω εἰς ἐνέργειαν ἐκβεβηκέναι, ἀδύνατον δὲ οὐκ ἔστι διὰ τὸ δύνασθαι εἰς ἐνέργειαν ἐκβῆναι, δῆλον ὅτι καὶ τὸ ἑπόμενον τούτῳ ψεῦδος μὲν ἔσται, ἀδύνατον δὲ οὐκ ἔσται. οἷον εἰ καθημένου Σωκράτους εἴποιμι ὅτι, εἰ βαδίζει Σωκράτης, ἐξ ἀνάγκης καὶ κινεῖται, λαμβάνω προηγούμενον μὲν τὸ Σωκράτην βαδίζειν, ὅπερ ψεῦδος μέν ἐστιν (ὑπόκειται

1 ἀδύνατον γὰρ B: καὶ ἀδύνατον SVt 1. 2 post δυναταῖς add. ταῖς BVt: om. S 2 ἀκολουθεῖ BS: ἀκολουθεῖν Vt 3 ἐστιν οὐδὲν B Arist.: ἔσται τι Vt 4 τινος om. B 5 ἀναγκαῖον B 8 πολλάκις] velut p. 22,10 64,16 εἰρήκαμεν B 9 ἔχουσιν V εἴρηται B 11 δ' om. B(C) ἑκάτερα pr. V 12 post δυνατὸν add. ἔσται V: ante δυνατὸν add. t: om. B Arist. 13 λαμβάνειν V post λαμβ. add. δὲ Vt 14 ὡς Bt: ὥσπερ V: delevi ὥσπερ SVt: ὡς B 16 δὲ B 17 καὶ εἰ BS: εἰ δὲ Vt ἀναγκαῖαι BV: ἀναγκαῖα t post πάντως add. καὶ t 18 ὑποτιθέντος V 21 τοῦ ἡγουμένου πάντως B πᾶσα om. B 22. 23 προηγούμενόν τι λάβωμεν SVt: inv. ord. B 23 ὃ B τὴν om. S 24 post καὶ add. τὸ Vt: om. BS 25 post δύνασθαι add. καὶ B ἐκβῆναι BS: ἐκβεβηκέναι Vt δῆλον ὅτι S: διὸ B: δι' ὅτι Vt 26 μὲν om. V οὐκ ἔσται SVt: οὔ B 26. 27 σωκράτης pr. V, corr. V² 27 εἴποιμεν B σωκράτης om. B ἐξ ἀνάγκης S: ἀνάγκη BVt καὶ om. V 28 σωκράτην βαδίζειν BS: inv. ord. Vt ὃ B

γὰρ καθήμενος), οὐ μέντοι ἀδύνατον· οὐκοῦν καὶ τὸ ἑπόμενον τούτῳ, τὸ XLIIIv
κινεῖσθαι αὐτόν, ψεῦδος μέν, οὐ μὴν καὶ ἀδύνατον. καὶ πάλιν τὸ λέγειν
μὴ οὔσης ἡμέρας 'εἰ ἡμέρα ἐστίν, ὁ ἥλιος ὑπὲρ γῆν ἐστιν', ὁμοίως, καὶ
τὸ ἑπόμενον καὶ τὸ ἡγούμενον ψεῦδος μέν, οὐκ ἀδύνατον δέ. εἰ γὰρ πάν-
5 τως μὲν ἕπεται, φησί, τῷ Α τὸ Β, τὸ δὲ Α ἐστὶ δυνατόν, ἀνάγκη πᾶσα
καὶ τὸ Β εἶναι δυνατόν· εἰ γὰρ ἀδύνατον εἴη τὸ Β, ἕπεται δὲ τῷ Α, τὸ
αὐτὸ καὶ δυνατὸν καὶ ἀδύνατον ἔσται. εἰ μὲν γὰρ ἕπεται τῷ Α, ἐξ ἀνάγ- 20
κης δυνατὸν ἔσται· ἔστι δὲ καὶ ἀδύνατον, ὡς ἡ ὑπόθεσις τῶν οὕτω βουλο-
μένων· τὸ αὐτὸ ἄρα δυνατὸν καὶ ἀδύνατον ἔσται καὶ ὂν καὶ μὴ ὄν, ὅπερ
10 ἄτοπον. ψεῦδος ἄρα τὸ ὑποτίθεσθαι τῷ δυνατῷ ἀδύνατον ἀκολουθεῖν· οὐκοῦν
ἀληθὲς τὸ τῷ δυνατῷ πάντως δυνατὸν ἀκολουθεῖν, ὅπερ ἔδει δεῖξαι.

p. 34a34 Διωρισμένων δὲ τούτων ὑπαρχέτω τὸ Α παντὶ τῷ Β, τὸ δὲ Β παντὶ τῷ Γ ἐνδεχέσθω· ἀνάγκη οὖν τὸ Α παντὶ τῷ Γ ἐνδέχεσθαι ὑπάρχειν.

15 Λοιπὸν ἐντεῦθεν τὰς προτάσεις ἡμῖν παραδίδωσι τὰς ἐκ τῆς μείζονος
ὑπαρχούσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης, καὶ φησὶν ἐνδεχόμενον συνάγε- 30
σθαι τὸ συμπέρασμα. παραδίδωσι δὲ πρῶτον τὴν ἐκ δύο καθόλου κατα-
φατικῶν. δείκνυσι δὲ αὐτὴν οὕτως. τὸ Α, φησίν, ὑπαρχέτω παντὶ τῷ Β,
τὸ δὲ Β ἐνδεχέσθω παντὶ τῷ Γ· λέγω, φησίν, ὅτι συνάγεται τὸ Α παντὶ
20 τῷ Γ ἐνδέχεσθαι ὑπάρχειν. εἰ γάρ τις φαίη ψεῦδος εἶναι τοῦτο τὸ συμ-
πέρασμα, δῆλον ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθὲς εἶναι δώσει 'τὸ οὐκ
ἐνδέχεται παντί'· ὑποκείσθω οὖν τὸ Α τῷ Γ μὴ ἐνδέχεσθαι παντί. ἐπειδὴ
τοίνυν τὸ 'οὐκ ἐνδέχεται παντί' ἰσοδυναμεῖ τῷ 'ἀνάγκη μὴ παντί' (ὃ γὰρ 35
οὐκ ἐνδέχεται παντί, τοῦτο ἀνάγκη μὴ παντί· εἰ γὰρ οὐκ ἐνδέχεται παντὶ
25 ζῴῳ δίποδι εἶναι, ἀνάγκη μὴ πᾶν ζῷον δίπουν εἶναι), εἰ τοίνυν ἰσοδυναμεῖ,
ὑποκείσθω τὸ Α τῷ Γ ἐξ ἀνάγκης μὴ παντὶ ὑπάρχειν. πάλιν ἐπειδὴ τὸ
Β ὑπόκειται παντὶ τῷ Γ ἐνδέχεσθαι ὑπάρχειν, ὑποκείσθω τὸ ἐνδεχόμενον
ἐκβεβηκὸς καὶ γινόμενον ὑπάρχον· τοῦτο γὰρ εἰ καὶ ψεῦδος, ἀλλ' οὖν οὐκ
ἀδύνατον. εἰ τοίνυν τὸ μὲν Α ἀνάγκη μὴ παντὶ τῷ Γ ὑπάρχειν, τὸ δὲ Β
30 παντὶ τῷ Γ ὑπάρχει, γίνεται τὸ τρίτον σχῆμα ἐξ ἀναγκαίας τε καὶ ὑπαρ- 40
χούσης προτάσεως· ἐδείχθη δὲ ὅτι ἐν τρίτῳ σχήματι, ὅταν ἡ μὲν μείζων

1 post ἀδύνατον superscr. βαδίζειν V² τοῦτο pr. V τὸ alt. BS: om. Vt 2 post μέν add. ἐστι Vt: om. BS καὶ prius BSV: δὲ t 3 ἐστιν utrumque habet S: prius om. B: alt. om. Vt γῆς V fort. ὅμοιον ⟨ὡς⟩ 4 ἡγούμενον—ἑπόμενον V 5 ἕπεται μὲν S φησί om. B πᾶσα om. B 6 εἶναι δυνατόν SVt: inv. ord. B εἴη SVt: ἐστὶ B 10 ἀκολουθεῖν S: ἀκολουθοῦν BVt 11 τὸ SVt: om. B τῷ δυνατῷ πάντως δυνατὸν B: τῶ ἀδυνάτω πάντως ἀδύνατον S: δυνατὸν τῶ δυνατῶ V: δυνατὸν t 12 μίξις ὑπάρχοντος τοῦ ἐνδεχομένου ἐν πρώτω σχήματι inscr. V 13 παντὶ τῷ γ' τὸ α' t 16 ἥσσονος B 18 αὐτὴ V 20 εἴπη B 21 ἀντιφατικὸν V 22. 23 ἐπειδὴ—ἐνδέχεται παντί om. V ἐπειδὴ τοίνυν St: ἐπεὶ δὲ B 26 ὑπάρχον t: compend. B ἐπεὶ B 28 immo γενόμενον 30 ὑπάρχει scripsi: ὑπάρχειν Vt: compend. B 30. 31 ἀναγκαίας (compend. B)—ὑπαρχούσης προτάσεως BS: ἀναγκαίων ὑπαρχουσῶν προτάσεων Vt 31 ἐδείχθη] c. 11 p. 31b38 sq. ἐν τρίτω σχήματι ὅτι B ὁ μὲν t

ἀναγκαία ἢ μερικὴ ἀποφατικὴ ἡ δὲ ἐλάττων καθόλου ὑπάρχουσα κατα- XLIIIv
φατική, μερικὸν ἀποφατικὸν ὑπάρχον συνάγεται συμπέρασμα· τὸ ἄρα Α οὐ
παντὶ τῷ Β ὑπάρχει. ὑπέκειτο δὲ καὶ παντὶ ὑπάρχειν· τὸ αὐτὸ ἄρα τῷ
αὐτῷ καὶ παντὶ καὶ οὐ παντὶ ὑπάρχει, ὅπερ ἀδύνατον. πόθεν οὖν τὸ ἀδύ-
5 νατον ἠκολούθησεν; λέγω ὅτι παρὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ Α τῷ Γ μὴ
ἐνδέχεσθαι παντὶ ὑπάρχειν. εἰ τοίνυν τῇ ὑποθέσει ταύτῃ ἀδύνατόν τι ἠκο- 45
λούθησε, ψεῦδος ἄρα τὸ λέγειν ὅτι τὸ 'οὐκ ἐνδέχεται παντί' συνάγεται· εἰ δὲ
τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντικείμενον τὸ ἐνδέχεσθαι παντί, ὅπερ ἔδει δεῖξαι.

Ἀποροῦσι δέ τινες πρὸς ταύτην τὴν δεῖξιν τοῦ Ἀριστοτέλους, ὧν τὴν
10 ἀπορίαν ἄξιόν ἐστιν ἐπισκεψάσθαι οὐκ ἀφυῶς ἔχουσαν. φασὶ γὰρ ὅτι οὐδὲν
ἀδύνατον συμβαίνει, ἐὰν ὑποθώμεθα συνάγεσθαι τὸ Α τῷ Γ μὴ ἐνδέχεσθαι
παντί. τί γὰρ συνήγετο; ὅτι τὸ Α τῷ Β οὐ παντὶ ὑπάρχει. ὑπῆρχε δὲ
καὶ παντί. τοῦτο δὲ ψεῦδος μέν ἐστι τὸ τὸ αὐτὸ καὶ παντὶ καὶ μὴ παντὶ 50
ὑπάρχειν, οὐ μέντοι καὶ ἀδύνατον· εἰ γὰρ τὸ ὑπάρχον τοιοῦτόν ἐστιν ὡς
15 καὶ ποτὲ δύνασθαι μὴ ὑπάρχειν, δυνατὸν ἄρα τὸ παντὶ ὑπάρχον ποτὲ καὶ
μὴ παντὶ ὑπάρχειν. εἴπερ οὖν καὶ ὑμεῖς, φασί, μετελάβετε τὴν ἐνδεχομένην
εἰς ὑπάρχουσαν, ὅπερ ψεῦδος μέν ἐστιν οὐ μέντοι ἀδύνατον, τί ἄτοπον, εἰ
ἐκ προτάσεως ψευδοῦς μὲν οὐκ ἀδυνάτου δὲ ψευδὲς συναχθείη συμπέρασμα
καὶ οὐκ ἀδύνατον; τί οὖν πρὸς ταῦτα ἡμεῖς λέγομεν; ὅτι ἡ μὲν μετά-
20 λῆψις τῆς ἐνδε|χομένης εἰς τὴν ὑπάρχουσαν οὐκ ἐπὶ τοῦ αὐτοῦ χρόνου XLIVr
οὐδὲ μενούσης τῆς ἐνδεχομένης [ἐνδεχομένη] γέγονε [καὶ ὑπάρχουσα] (τοῦτο
γὰρ οὐ μόνον ἐστὶ ψεῦδος ἀλλὰ καὶ ἀδύνατον τὴν αὐτὴν ἐνδεχομένην τε
ἅμα καὶ ὑπάρχουσαν εἶναι), ἀλλὰ μετεληφθη ἡ πρότασις ἀπὸ μέλλοντος
χρόνου εἰς ἐνεστῶτα, εἴπερ ἡ μὲν ἐνδεχομένη τὸν μέλλοντα δηλοῖ, ἡ δὲ
25 ὑπάρχουσα τὸν ἐνεστῶτα. τὸ τοίνυν μεταλαβεῖν τὴν ἐνδεχομένην εἰς ὑπάρ- 5
χουσαν, εἰ καὶ ψεῦδός ἐστι, διότι ἀντὶ μέλλοντος χρόνου ἐνεστῶτα λαμβάνομεν, οὐ μέντοι τοῦτο ἀδύνατον ἔσται τὸ τὴν ἐνδεχομένην ποτὲ ὑπάρχουσαν γενέσθαι. ἐπὶ δὲ τῆς ΑΒ προτάσεως μενούσης αὐτῆς καθόλου καταφατικῆς ὑπαρχούσης καὶ μὴ μεταληφθείσης εἰς ἑτέραν συνήχθη ἐκ
30 τοῦ ὑποθέσθαι ἡμᾶς μὴ ἐνδέχεσθαι παντὶ τῷ Γ τὸ Α ὑπάρχειν ὅτι τὸ Α
οὐ παντὶ τῷ Β ὑπάρξει. κατὰ δὲ τὸν αὐτὸν χρόνον ἀδύνατον τὸ αὐτὸ τῷ

2 ὑπάρχον om. B post συνάγεται add. τὸ Vt: om. BS ἄρα] δ' ut videtur, deletum V 3 ὑπάρχειν t: ὑπάρχει V: om. B 3. 4 ἄρα τῷ αὐτῷ om. B 4 ὑπάρχει om. B ἄτοπον B οὖν SVt: δὲ B 5 λέγω ὅτι παρὰ τὸ SVt: ἐκ τοῦ B 6 τι om. B 7 τὸ λέγειν ὅτι mrg. B² post λέγειν add. πάντως S 8 τὸ alt. om. V ὅπερ ἔδει δεῖξαι om. BS 9 ἀποροῦντες V 9. 10 τοῦ—ἐπισκέψασθαι om. B 10 ἔχουσαν. φασὶ γὰρ Vt: λέγοντες B ὅτι om. V post οὐδὲν add. ἴσως S 11 γ' BS, superscr. V²: β' V¹t 12 ὑπῆρχε SVt: ἦν B 13 δὲ om. B τὸ alt. V: om. Bt 14 μὴν B ἀδυνάτοις pr. V, corr. V² 15 καὶ alt. B: μὲν V: om. St 16 εἴπερ scripsi: ὥσπερ BSVt καὶ (superscr. V) ὑμεῖς (υ ex η corr. V) φασιν SV: φασὶ καὶ ὑμεῖς Bt μεταλαμβάνετε e μεταλάβετε corr. V² 18 ψευδὲς συναχθείη συμπέρασμα BS: inv. ord. Vt 19 τί om., λέγομεν ante οὖν colloc. B 21 ἐνδεχομένη et καὶ ὑπάρχουσα delevi 23 καὶ superscr. V² 24 ἡ prius ex εἰ corr. V² 26 ἐστι om. t 27 ἔσται V²: γενέσθαι BSV¹t ποτὲ] πρότασιν B 28 α' β'] αὐτῆς t αὐτῆς SVt: om. B 30 post ἡμᾶς add. τὸ B 31 οὐ om. V ὑπάρχει S

αὐτῷ καὶ παντὶ καὶ μὴ παντὶ ὑπάρχειν· ὥστε οὐ μόνον ψευδὲς τὸ τοι- XLIVr
οῦτον ἀλλὰ καὶ ἀδύνατον.

Ἴδωμεν οὖν πόθεν τὸ ἀδύνατον ἠκολούθησε. δύο ὑποθέσεων κει- 10
μένων, μιᾶς μὲν τῆς λεγούσης τὸ Α τῷ Γ οὐκ ἐνδέχεσθαι παντί,
5 ἑτέρας δὲ τῆς μεταλαμβανούσης τὴν ἐλάττονα πρότασιν ἐνδεχομένην οὖσαν
εἰς ὑπάρχουσαν, πᾶσα ἀνάγκη διὰ τὴν ἑτέραν τούτων ἀκολουθῆσαι
τὸ ἄτοπον. ὅτι μὲν οὖν διὰ τὴν μετάληψιν τῆς ἐνδεχομένης εἰς τὴν
ὑπάρχουσαν οὐκ ἠκολούθησε τὸ ἀδύνατον, δῆλον· εἰ γὰρ δυνατόν ἐστι τὸ
μεταλαβεῖν τὴν ἐνδεχομένην εἰς ὑπάρχουσαν καὶ οὐκ ἀδύνατον, ἐδείχθη δὲ 15
10 μικρῷ πρότερον ὅτι οὐδέποτε δυνατῷ ὑποτεθέντι ἀδύνατόν τι ἀκολουθεῖ
(διὰ τοῦτο γὰρ καὶ προείληπται τὸ περὶ τούτου θεώρημα), δῆλον ἄρα ὅτι
οὐ διὰ ταύτην τὴν ὑπόθεσιν τὸ ἀδύνατον ἠκολούθησεν. οὐκοῦν λείπεται
διὰ τὴν ἑτέραν τὴν τὸ Α τῷ Γ οὐκ ἐνδέχεσθαι παντὶ λέγουσαν ὑπάρχειν.
εἰ τοίνυν ψευδὴς ἠλέγχθη αὕτη ἡ ὑπόθεσις, δῆλον ὅτι τὸ ἀντικείμενον
15 τούτῳ συνάγεται τὸ 'ἐνδέχεται παντί', ὅπερ ἔδει δεῖξαι. ἴδωμεν δὲ καὶ τῆς
Ἀριστοτελικῆς δείξεως τὴν ἀκολουθίαν· ἔχει γάρ τι καὶ ἀσαφέστερον.

Μὴ γὰρ ἐνδεχέσθω. ἐκθέμενος τὰς προτάσεις καὶ εἰπὼν ὅτι τὸ 20
ἐνδέχεσθαι παντὶ συνάγεται, κατασκευάζει τοῦτο τῇ εἰς ἀδύνατον ἀπαγωγῇ
ὑποτιθέμενος τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ 'οὐκ ἐνδέχεται παντί'.

20 Τὸ δὲ Β παντὶ τῷ Γ κείσθω ὑπάρχον. ὑποθέμενος τὸ ἀντι-
φατικῶς ἀντικείμενον τῷ συμπεράσματι μεταλαμβάνει καὶ τὴν ἐλάττονα
πρότασιν τὴν ΒΓ εἰς ὑπάρχουσαν, ὥσπερ ἤδη εἴπομεν· τοῦτο γὰρ εἰ καὶ
ψεῦδός ἐστιν, ἀλλ' οὐκ ἀδύνατον. εἴπομεν δὲ ὅτι καὶ τὸ 'οὐκ ἐνδέχεται
παντὶ τῷ Γ τὸ Α', ὅπερ ἐξ ὑποθέσεως ἔλαβεν ὡς συναγόμενον, μεταλαμ- 25
25 βάνει εἰς τὴν 'ἀνάγκη τινί' ὡς ἰσοδυναμοῦσαν. καὶ τοῦτο μὲν αὐτόθεν οὐ
φαίνεται ὁ Ἀριστοτέλης μεταλαμβάνων, ἐκ μέντοι τοῦ συμπεράσματος δῆλός
ἐστι τοῦτο βουλόμενος· φησὶ γὰρ συμπεραίνων τὸ Α οὐ παντὶ τῷ Β
ἐνδέχεται ἀντὶ τοῦ 'οὐ παντὶ ὑπάρχει'· τὸ γὰρ ἐνδέχεται ἀντὶ τοῦ
'ὑπάρχει' εἶπε. καὶ ὅτι τοῦτό ἐστι συνάγων τὸ ἄτοπον, φησὶν ἀλλ' ὑπέ-
30 κειτο παντὶ ἐνδέχεσθαι ὑπάρχειν (καὶ μὴν οὐχ ὑπέκειτο τὸ Α τῷ
Β παντὶ ἐνδέχεσθαι) τὸ ἐνδέχεσθαι ἀντὶ τοῦ ὑπάρχειν εἰπών. ὅπερ οὖν 30
ἔλεγον, δῆλός ἐστι μεταλαμβάνων τὴν 'οὐκ ἐνδέχεται παντί' εἰς τὴν 'ἀνάγκη
τινί'· ἐπεὶ εἰ μὴ μετελάμβανε, πόθεν δῆλον ἐν τρίτῳ σχήματι ἐκ τῆς μεί-

3 εἴδωμεν t 4 ἐνδέχεσθαι B: ἐνδέχεται Vt cf. vs. 13 7. S ὅτι—ἀδύνατον om. B 8 ἐστι om. B 10 μικρῷ S: ἐκ μικρᾶς V: ἐν μικρῷ t: om. B μικρῷ πρότερον] p. 34a5 sq. δυνατοῦ ὑποτεθέντος B 14 ἤλεγχθη St: ἐλέγχθη V: ἐδείχθη B 15 ὃ B εἴδωμεν pr. V: εἴδομεν t 17 μὴ γὰρ ἐνδεχέσθω om. t καὶ alt. om. V 18 συνάγεσθαι pr. V 19 ἀντικείμενον ἀντιφατικῶς B 20 δὲ om. V παντὶ B Arist.: om. Vt 20. 21 ἀντιφατικῶς V: om. Bt 22 εἰς B: εἰς τὴν t: om. V ὥσπερ ἤδη εἴπομεν om. B 23 ἐστιν om. B post δὲ add. οὕτως B 24 ὡς BV: ὃ t 26 δῆλος B: δῆλον Vt 27 ἐστι BV: ὅτι t τὸ B Arist.: τὸ δὴ SVt 28 ἐνδέχεται alt. B: ἐνδέχεσθαι S: ἐνδεχόμενον Vt 29 ὑπάρχει B: ὑπάρχειν SVt εἰρήκαμεν B συνάγον B 30. 31 α' τῷ β' ex ἄτοπον, ut videtur, corr. V 31 εἰπών S: φησίν BVt 32 δῆλος S: δῆλον Vt: om. B ἐστι V: ὅτι t: om. B μεταλαμβάνει B 33 post δῆλον add. ὅτι S

ζονος μερικῆς ἐνδεχομένης τῆς δὲ ἐλάττονος ὑπαρχούσης καταφατικῆς τί XLIV[r]
ἤμελλε συνάγεσθαι; οὐδὲ γὰρ εἶπε περὶ αὐτῶν· περὶ δὲ τῆς μίξεως τῆς
ἀναγκαίας καὶ ὑπαρχούσης εἴρηται· διόπερ εἰς τὸ ὁμολογούμενον ἐκφεύγει.

Ἀνάγκη ἄρα τὸ Α παντὶ τῷ Γ ἐνδέχεσθαι. εἰ γὰρ τῇ ὑποθέσει
5 τῇ λεγούσῃ τὸ 'οὐκ ἐνδέχεται παντί' συνάγεσθαι ἠκολούθησέ τι ἀδύνατον, τὸ 35
τὸ Α τῷ Β καὶ παντὶ καὶ μὴ παντὶ ὑπάρχειν, ᾗ δὲ ὑποθέσει ἀδύνατόν
τι ἀκολουθεῖ ψευδής ἐστι, δῆλον ὅτι τὸ ἀντικείμενον ἀληθὲς ἔσται τὸ 'ἐνδέχε-
ται παντί', ὅπερ ἔδει δεῖξαι. οὐ γάρ δήπου, φησί, διὰ τὴν μετάληψιν
τῆς ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν τὸ ἀδύνατον συνῆκται· ψευδοῦς γὰρ
10 οὔσης τῆς ὑποθέσεως καὶ οὐκ ἀδυνάτου οὐκ ἄν ποτε ἀδύνατον ἠκολού-
θησεν, ὡς δέδεικται· οὐκ ἄρα διὰ τοῦτο συνέβη τὸ ἀδύνατον.

p. 34b2 Ἐγχωρεῖ δὲ καὶ διὰ τοῦ πρώτου σχήματος ποιῆσαι τὸ 40
ἀδύνατον θέντας τῷ Γ τὸ Β ὑπάρχειν.

Ἑτέρως δείκνυσι τὸ ἀδύνατον ἀκολουθοῦν τῇ λεγούσῃ ὑποθέσει τὸ μὴ
15 ἐνδέχεσθαι παντὶ συνάγειν τὴν προκειμένην πρότασιν. δείκνυσι δὲ τοῦτο
μεταλαμβάνων ἑκατέραν τῶν προτάσεων εἰς τὴν ἑτέραν, λέγω δὲ τὴν μὲν 45
μείζονα ὑπάρχουσαν οὖσαν εἰς ἐνδεχομένην τὴν δὲ ἐλάττονα ἐνδεχομένην
οὖσαν εἰς ὑπάρχουσαν. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ἐνδέχεται ὑπάρχειν, τὸ
δὲ Β παντὶ τῷ Γ ὑπάρχει, συνάγεται συμπέρασμα ὅτι τὸ Α παντὶ τῷ Γ
20 ἐνδέχεται ὑπάρχειν· πρὸ μικροῦ γὰρ τοῦτο δέδεικται. ἀλλὰ μὴν ὑπέκειτο
μὴ ἐνδέχεσθαι παντὶ ὑπάρχειν τῷ Γ τὸ Α, ὡς ἡ ὑπόθεσις· τὸ αὐτὸ ἄρα
τῷ αὐτῷ καὶ ἐνδέχεται παντὶ καὶ οὐκ ἐνδέχεται παντί, ὅπερ ἀδύνατον, τοῦ
ἀδυνάτου πάλιν ἀκολουθήσαντος οὐ διὰ τὴν τῶν προτάσεων μετάληψιν 50
(αὗται γὰρ ψευδεῖς μὲν ἦσαν, οὐ μέντοι ἀδύνατοι, καὶ οὐδὲν ἀδύνατον
25 δυνατῷ ἀκολουθεῖ, ὡς δέδεικται) ἀλλὰ δῆλον ὅτι διὰ τὸ ὑποθέσθαι μὴ
ἐνδέχεσθαι τῷ Γ παντὶ τὸ Α ὑπάρχειν. καὶ ἠδύνατο μὲν ὁ φιλόσοφος
μεταλαβὼν τὰς πρώτας προτάσεις αὐτόθεν τὸ ἐνδέχεσθαι παντὶ δεῖξαι συν-
αγούσας (τοῦτο γὰρ καὶ συνῆγον) καὶ μὴ δεηθῆναι τῆς εἰς ἄτοπον ἀπαγω-
γῆς· ὅμως ἐκ περιουσίας ποιῶν ὑπέθετο καὶ τὸ ἀντικείμενον καὶ ἔδειξε
30 τοῦτο ἀδύνατον. ἰστέον δὲ ὅτι οὐκ ἔστιν αὕτη κυ|ρίως εἰς ἀδύνατον XLIV[v]

1 ἐλάττονος καθόλου καταφατικῆς ὑπαρχούσης ὑπάρχον τι S (unde fort. καθόλου addendum) καταφατικὸν V 2 ἔμελλε V οὐδὲ B: οὐδὲν SVt post γὰρ add. οὐδέπω S μείξεως Vt 3 καὶ om. V διὸ B καταφεύγει B 4 post ἐνδέχεσθαι add. ὑπάρχειν B 6 τὸ om. t τῷ β̄ τὸ ᾱ B ᾗ Vt: εἰ B ὑποθέσει V: ἡ ὑπόθεσις B, om. ἡ t 7 τι om. Vt ἐστιν (ἔσται t) ἀληθὲς Vt 7. 8 ἐνδέχεται B[2]: ἐνδέχεσθαι B[1]Vt 8 ὃ B γὰρ διὰ τὴν μετάληψίν φησι B 9 τὴν om. B 11 ὡς δέδεικται om. B 16 λαμβάνων t 17 post εἰς add. τὴν S τὴν δὲ t: καὶ τὴν BS: τὴν V post ἐλάττονα del. εἰς B[2] 18 εἰς om. V: εἰς τὴν S 20 πρὸ μικροῦ] p. 33b33 sq. τοῦτο γὰρ t ἀλλὰ om. pr. B 22 τῷ—οὐκ (μὴ V) SVt: καὶ παντὶ καὶ οὐ παντὶ B παντί alt. SV: om. Bt 24 post οὐδὲν add. ὂν t 25 ante δυνατῷ add. τῷ Vt: om. BS ὡς δέδεικται om. B 27 αὐτόθεν St: αὐτόθι V: compend. B 28 γὰρ συνῆγον καὶ μὴ δεηθεῖσαι S 29 καὶ prius om. t 30 δὲ superscr. V post κυρίως add. ἡ SV

ἀπαγωγή· ἡ γὰρ εἰς ἀδύνατον ἀπαγωγὴ ὑποθεμένη τὸ ἀντικείμενον τῷ XLIVv
ἐξ ἀρχῆς καὶ τοῦτο πρότασιν ποιησαμένη καὶ προσθεῖσα αὐτῇ τῶν ἀληθῶν
τινα ἐξ ἀρχῆς κειμένων προτάσεων οὕτω δείκνυσι ἑπόμενον τὸ ἀδύνατον,
ὡς πολλάκις διὰ τῶν προλαβόντων ἐδείξαμεν. ἐνταῦθα δὲ τὴν 'οὐκ ἐνδέ-
5 χεται παντί' οὐκ ἐποίησε μέρος τοῦ συλλογισμοῦ, ἀλλὰ τὰς κειμένας προ-
τάσεις ἀντιστρέψας καὶ μεταλαβὼν εἰς ἀλλήλας καὶ δείξας συναγόμενον τὸ
ἐνδέχεσθαι παντὶ τῷ Γ τὸ Α ὑπάρχειν ἐπήγαγεν ὅτι, εἰ κατὰ τὴν ὑπό- 5
θεσιν δῶμεν τὸ μὴ ἐνδέχεσθαι παντὶ τῷ Γ τὸ Α ὑπάρχειν συνάγεσθαι,
εἰς ἀντίφασιν περιπεσούμεθα, ὅπερ ἀδύνατον. ἰστέον δὲ ὅτι, κἂν μίαν τῶν
10 προτάσεων μόνην ἀντιστρέψωμεν πρὸς τὴν ἑτέραν, ὡσαύτως τὸ αὐτὸ δείξομεν
ἀδύνατον γινόμενον· εἴτε γὰρ τὴν μείζονα ἐνδεχομένην ποιήσομεν, γίνεται
ὁ συλλογισμὸς ἐξ ἀμφοτέρων ἐνδεχομένων καταφατικὸν ἐνδεχόμενον καθόλου
συνάγων συμπέρασμα, καὶ πάλιν ἡ ἀντίφασις ἀκολουθήσει, εἴτε τὴν ἐλάτ-
τονα εἰς ὑπάρχουσαν μεταλάβωμεν, γίνεται ὁ συλλογισμὸς ἐκ δύο ὑπαρχου- 10
15 σῶν καθόλου καταφατικὸν ὑπάρχον συνάγων, καὶ ὁμοίως πάλιν τὸ ἄτοπον
ἀκολουθήσει· τὸ αὐτὸ γὰρ τῷ αὐτῷ καὶ παντὶ ἢ ὑπάρχει ἢ ἐνδέχεται ὑπάρ-
χειν καὶ οὐκ ἐνδέχεται παντί, ὅπερ ἀδύνατον.

p. 34b7 Δεῖ δὲ λαμβάνειν τὸ παντὶ ὑπάρχειν μὴ κατὰ χρόνον
ὁρίσαντας, οἷον νῦν ἢ ἐν τῷδε τῷ χρόνῳ, ἀλλ' ἁπλῶς· διὰ τοι-
20 ούτων γὰρ προτάσεων καὶ τοὺς συλλογισμοὺς ποιοῦμεν.

Ὃ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν· ὅταν λάβωμεν, φησί, καθόλου
καταφατικὴν ὑπάρχουσαν πρότασιν, ὥσπερ νῦν λαμβάνομεν τὸ Α κατὰ
παντὸς τοῦ Β κατηγορούμενον, οὐ δεῖ τὸ κατὰ παντὸς ἐν χρόνῳ λαμβάνε- 20
σθαι ἀληθεῦον ἀλλ' ἀεί, ἐπεὶ ἀσυλλόγιστος ἔσται ἡ συζυγία· συνάξει γὰρ
25 καὶ τὸ ἐξ ἀνάγκης οὐδενί. οἷον τί λέγω; ἐὰν λάβω ἄνθρωπον καὶ κινούμενον
καὶ ἵππον (τούτοις γὰρ καὶ αὐτὸς κέχρηται τοῖς ὅροις) καὶ εἴπω οὕτως 'ὁ
ἄνθρωπος παντὶ κινουμένῳ ὑπάρχει' (ὑποκείσθω γὰρ μόνα τὰ κινούμενα
ἀνθρώπους εἶναι), 'κινούμενον παντὶ ἵππῳ ἐνδέχεται ὑπάρχειν', συναχθήσεται
ἄνθρωπος ἐξ ἀνάγκης μηδενὶ ἵππῳ ὑπάρχειν, ἐξ ὑπαρχούσης καὶ ἐνδεχο-

1 ἡ γὰρ — ἀπαγωγὴ Vt et om. εἰς ἀδύν. S: αὕτη B τῷ Bt: τὸ V: τῶ συμπεράσματι τῶ S 2 post αὐτῇ add. τί B: μίαν superscr. V² ἀληθὲς, ut videtur, pr. V, corr. V² 3 τινα S: καὶ BVt ἑπόμενον om. V: ἐσόμενον, sed post ἀδύν. t τὸ ἑπόμενον S 4 ὡς—ἐδείξαμεν om. B διὰ τῶν προλ.] velut p. 37,25 sq. 47,14 sq. 5 ἐποίησε B: ἐποιήσατο V: ἐποίησας t ἀντικειμένας B 7. 8 ἐπήγαγεν—ὑπάρχειν om. Vt 8. 9 συνάγεσθαι—ἀδύνατον iterat, iterata del. V 9 post ἀντίφασιν add. φησι t: priore loco superscr. V² ὃ B κἂν BS: εἰ καὶ Vt 9. 10 μόνην τῶν προτάσεων B 10 ἀντιστρέψομεν SV post ὡσαύτως add. ἀπόχρη Vt: om. BS δείξομεν BS: δεῖξαι Vt 11 γενόμενον t an ποιήσωμεν? cf. vs. 14 12 καταφατικὸν SV: καταφατικῶν Bt cf. vs. 15 13 συμπέρασμα om. B 14 μεταλάβομεν V 15 καθόλου καταφατικῶν ὑπάρχον καθόλου συνάγων S post συνάγων add. συμπέρασμα Vt: om. BS 16 ἀκολουθεῖ B ἢ ὑπαρχόντως ἢ ἐνδεχομένως B 17 καὶ scripsi: ἢ BSVt οὐκ SV: om. Bt 18 οὐ V 19 ἢ om. V post διὰ add. τῶν Vt: om. B Arist. 26 χρῆται B 29 ante ἄνθρ. add. ὁ B οὐδενὶ B

μένης προτάσεων καταφατικῶν ἀναγκαῖον ἀποφατικὸν συμπέρασμα. τοῦτο XLIVv δέ, φησί, συμβαίνει διὰ τὸ τὴν μείζονα πρότασιν ἐν χρόνῳ λαμβάνειν ἀληθεύουσαν, ὅτε ἄνθρωποι μόνον ἐκινοῦντο. ὥστε, φησί, παραφυλακτέον τὸ τοιοῦτον ὡς μὴ κατὰ χρόνον ἀληθευούσας λαμβάνειν τὰς προτάσεις ἀλλ' ἁπλῶς, τουτέστι καθόλου.

p. 33b14 Ἔτι ἔστω τὸ μὲν πρῶτον ζῷον, τὸ δὲ μέσον κινούμενον, τὸ δ' ἔσχατον ἄνθρωπος.

Ὑπαλλάξας τὸν ἐλάττονα ὅρον, φυλάξας δὲ τὰς προτάσεις ὡς ἐξ ἀρχῆς 31 κατά τε τὸ ποιὸν καὶ τοὺς τρόπους, δείκνυσι συναγόμενον καὶ τὸ παντὶ ἐξ ἀνάγκης· εἰ γὰρ τὸ μὲν ζῷον παντὶ κινουμένῳ ὑπάρχει, εἰ πάλιν τὰ κινούμενα μόνον ζῷα εἴη, κινούμενον δὲ παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν, συνάγεται δῆλον ὅτι ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχειν. καὶ τὸ μὲν ἀντιφατικῶς ἀντικείμενον τῷ ἐνδέχεσθαι παντὶ τὸ ἐξ ἀνάγκης οὐδενί ἐστιν, ὅπερ ἔδειξεν ἐν τοῖς πρὸ τούτου ὅροις. ἐπειδὴ δὲ ὅλως εὐπόρησεν ὅρων συναγόντων καὶ τὸ ἐξ ἀνάγκης παντί, τούτου χάριν καὶ τοῦτο ἐπήγαγεν. πόθεν δὲ ὅλως εὐπόρησε τὸ ἐξ ἀνάγκης παντὶ συναγαγεῖν; διότι ἔλαβε τὸν ἐλάττονα ὅρον εἶδος ὄντα τοῦ μείζονος. ὥστε δεῖ μήτε τὸν μείζονα ὅρον λαμβάνειν ὁριζόμενον χρόνῳ μήτε τὸν ἐλάττονα εἶδος ὄντα τοῦ πρώτου, ἐπεὶ οὐ συνάξομεν τὸ ἐνδεχόμενον.

p. 34b19 Πάλιν ἔστω στερητικὴ πρότασις καθόλου ἡ ΑΒ, καὶ εἰλήφθω τὸ μὲν Α μηδενὶ τῷ Β ὑπάρχειν, τὸ δὲ Β παντὶ ἐνδεχέσθω ὑπάρχειν τῷ Γ. τούτων οὖν τεθέντων ἀνάγκη τὸ Α ἐνδέχεσθαι μηδενὶ τῷ Γ ὑπάρχειν.

Εἰπὼν τὴν ἐξ ἀμφοτέρων καθόλου καταφατικῶν νῦν τίθησι τὴν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἐνδεχομένης, καὶ συνάγει ἐνδέχεσθαι μηδενὶ τῷ Γ τὸ Α. δείκνυσι δὲ καὶ ταύτην τῇ αὐτῇ δείξει, λέγω δὴ τῇ μεταλήψει καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. εἰ τὸ Α, φησί, μηδενὶ τῷ Β ὑπάρχει, τὸ δὲ Β παντὶ τῷ Γ ἐνδέχεται ὑπάρχειν, λέγω, φησίν, ὅτι καὶ τὸ Α οὐδενὶ τῷ Γ ἐνδέχεται ὑπάρχειν. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον

1 προτάσεων t: προτάσεως BV καταφατικῶν t: καταφατικῆς V: om. B
3 ὅταν V 4 μὴ om. t λαβεῖν B 5 τουτέστι Vt: ἤτοι B
6 et 7 τὸν δὲ V 8 ante ὑπαλλάξας add. τούτων Vt ἐναλλάξας B
10 μὲν γὰρ τὸ V εἰ alt. om. V 11 ζῶα μόνον Vt 12 ὑπάρχει Bt
14 ὅ B ἐπεὶ B ηὐπόρησεν ex ἠπόρησεν corr. B²: εὐπορήσομεν pr. V
15 καὶ τούτου V 16 ηὐπόρησε ex ἠπόρησε corr. B² 16 17 ἐλάσσονα B
22 ἀνάγκη] νάγκη add. B² 24 τὴν prius V²: τὰ B: τὰς V¹t νῦν τίθησι e συντίθησι corr. B² τὴν alt. e τὸν, ut videtur, corr. V² 25 τῆς prius om. t
27 δὴ BS: δὲ Vt 29 λέγω, φησίν, ὅτι om. B post γ̄ alt. add. φησὶν B
29. 30 ἐνδέχεται S, pr. V: ἐνδέχεσθαι Bt, corr. V 30 δὲ V

τὸ 'οὐκ ἐνδέχεται μηδενὶ ὑπάρχειν τὸ Α τῷ Γ'· τοῦτο δὲ πάλιν ταὐτόν XLIV[v]
ἐστι τῷ 'ἀνάγκη τινί'· ὃ γὰρ οὐκ ἐνδέχεται μηδενὶ ὑπάρξαι, τοῦτο ἀνάγκη
τινὶ ὑπάρχειν. εἰ δὲ καὶ μὴ μεταλαμβάνει τοῦτο πάλιν αὐτὸς διὰ τῶν
προτάσεων, δῆλός ἐστιν ἐξ ὧν συμπεραίνει τοῦτο βουλόμενος. εἰ τοίνυν τὸ 50
5 μὲν Α ἀνάγκη τινὶ τῷ Γ ὑπάρχειν, τὸ δὲ Β ὑπάρχει παντὶ τῷ Γ (μεταλαμβανέσθω γὰρ πάλιν ἡ ἐνδεχομένη εἰς τὴν ὑπάρχουσαν διὰ τὸ εὔσημον), τὸ ἄρα Α τινὶ τῷ Β ὑπάρξει· ὑπέκειτο δὲ καὶ οὐδενί· τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον πάλιν ἠκολούθησεν οὐ διὰ τὴν μετάληψιν τῆς ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν· εἰ γὰρ καὶ ψευδὴς
10 ἦν, ἀλλ' οὐκ ἀδύνατος. δῆλον ἄρα ὅτι διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ 'ἀνάγκη τινὶ τῷ Γ | τὸ Α ὑπάρχειν', ἤτοι 'οὐκ ἐνδέχεται οὐδενί'· ταὐτὸν γάρ XLV[r]
ἐστι. ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ 'ἐνδέχεται μηδενί', ὅπερ ἔδει δεῖξαι. καὶ δείξας διὰ τοῦ ἀδυνάτου ὅτι τὸ 'ἐνδέχεται μηδενί' συνάγει, ἐπάγει τούτοις καὶ φησὶν ὅτι τοῦτο τὸ συμπέρασμα
15 οὐκ ἔστι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου, τουτέστιν οὐκ ἔστι τοῦτο τὸ ἐνδεχόμενον ὃ ὡρισάμεθα ἐξ ἀρχῆς, ὅπερ ἐλέγομεν καὶ ἀντιστρέφειν κατὰ τὰς καταφατικὰς καὶ ἀποφατικάς, ἀλλ' ἔστι τοῦ μηδενὶ ἐξ ἀνάγκης, ὅπερ ἡμισύ φησιν εἶναι τοῦ ἐνδεχομένου. ὅπως δὲ ἔχει 5
τοῦτο, δείξομεν ὧδε ἐκθέμενοι ἐν διαγράμματι πάσας τὰς προτάσεις.

20 οὐκ ἀνάγκη παντί		ἀνάγκη παντί	περιέχει τὰς δύο
οὐκ ἀνάγκη τινί		ἀνάγκη τινί	
οὐκ ἀνάγκη μὴ παντί	δι' ἑαυτὴν μάχεται	ἀνάγκη μὴ παντί	
ἐνδέχεται μηδενί	διὰ τὴν 'ἐνδέχεται παντί' μάχεται	οὐκ ἐνδέχεται μηδενί	10
ἐνδέχεται παντί		οὐκ ἐνδέχεται παντί	

25 Τὴν 'ἐνδέχεται μηδενί' βουλόμενος δεῖξαι συναγομένην ἔλαβε τὴν ἀντιφατικῶς ἀντικειμένην ταύτῃ τὴν 'οὐκ ἐνδέχεται μηδενί', ἵνα δείξας ταύτῃ ἀδύνατόν τι ἀκολουθοῦν συνάξῃ τὴν ἀντιφατικῶς αὐτῇ ἀντικειμένην τὴν 'ἐνδέχεται μηδενί'. ἐπειδὴ δέ, ὡς εἴρηται, δείκνυται διὰ τοῦ τρίτου σχήματος ἡ εἰς ἀδύνατον ἀπαγωγὴ λαμβανόντων ἡμῶν ὡς μίαν πρότασιν τοῦ συλ- 15
30 λογισμοῦ τὸ ἐξ ὑποθέσεως λαμβανόμενον συμπέρασμα καὶ τὴν ἐλάττονα πρότασιν εἰς ὑπάρχουσαν μεταλαμβανόντων, ἄδηλον δέ ἐστιν ἐν τρίτῳ σχήματι ἐκ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου ποῖον γίνεται

2 τὸ V 3 λαμβάνει V: μεταλαμβάνῃ t 5 τῶν (post τινὶ) t ὑπάρχειν om. B ὑπάρχει δὲ καὶ τὸ β̄ B 7 ἄρα alt. om. B post ἄρα alt. add. τῷ αὐτῷ V, at cf. p. 179,11 8 τινὶ—οὐδενὶ SV: inv. ord. Bt 13 ὃ B καὶ δείξας V: om. Bt τὸ B: om. Vt 14 συνάγειν V post ἐπάγει add. δὲ Bt 15 τουτέστιν Vt: ἤτοι B 16 ὡρισάμεθα SVt: διωρισάμεθα B ἐξ ἀρχῆς (scil. c. 13 p. 32a18 sq.) om. B ἐλέγομεν] p. 32a29 sq. 18 ὃ B ὅπως] ὅπερ V 19 διαγράμμασι B 20—24 St: om. BV 25 post τὴν prius add. δὲ t βαλλόμενος pr. V 26 ταύτην (post ἀντικ.) V μηδενί V: οὐδενί BSt 27 συνάξει t ἀντικειμένην αὐτῇ B 28 ἐπεὶ V 29 ὡς om. B 31 ἐστιν] ὅτι B 32 post ποῖον add. τι t

συμπέρασμα (οὔπω γὰρ οὐδὲν εἴρηται περὶ αὐτῶν), διὰ τοῦτο μεταλαμβάνει XLVr τὴν 'οὐκ ἐνδέχεται οὐδενί' πρότασιν εἰς τὴν ἰσοδυναμοῦσαν αὐτῇ τὴν 'ἀνάγκη τινί'· ὃ γὰρ οὐκ ἐνδέχεται οὐδενί, τοῦτο ἀνάγκη τινί. μεταλαμβάνων τοί- 20 νυν τὴν 'οὐκ ἐνδέχεται οὐδενί' εἰς τὴν 'ἀνάγκη τινί' καὶ δεικνὺς ταύτῃ τῇ ὑποθέσει ἀδύνατόν τι ἀκολουθοῦν, ὡς ἐδείξαμεν τὸ τὸ Α τῷ Β καὶ τινὶ καὶ οὐδενὶ ὑπάρχειν, καὶ διὰ τοῦτο ἐλέγχων ὡς ψευδῆ τὴν ὑπόθεσιν τὴν λέγουσαν 'ἀνάγκη τινὶ τῷ Γ τὸ Α ὑπάρχειν' δείκνυσιν εἰκότως ἀληθῆ προσεχῶς τὴν ἀντικειμένην αὐτῇ τὴν 'οὐκ ἀνάγκη τινί' καὶ διὰ τοῦτο τὴν 'ἐνδέχεται μηδενί', ὅπερ ἐξ ἀρχῆς προὔκειτο δεῖξαι. τοῦτο δέ, φησί, τὸ 'ἐνδέχεται μηδενί' οὐκ ἔστι τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ἀλλὰ τὸ 25 ἥμισυ τούτου, ὅπερ ἐστὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης. πῶς καὶ τίνα τρόπον; ὅτι τῇ 'ἐνδέχεται μηδενί' ἀντίκειται δι' ἑαυτὴν μὲν ἡ 'ἀνάγκη τινί', διὰ δὲ τὴν 'ἐνδέχεται παντί' ἰσοδυναμοῦσαν αὐτῇ ἡ 'ἀνάγκη μὴ παντί'. ὥστε αἱ δύο μερικαὶ τοῦ ἀναγκαίου προτάσεις μάχονται τῇ 'ἐνδέχεται μηδενί', ἀλλ' ἡ μὲν καταφατικὴ ἡ 'ἀνάγκη τινί' ὡς ἀντικειμένη αὐτῇ κατὰ πάντα, κατὰ ποσόν, κατὰ ποιόν, κατὰ τρόπον· ἡ δὲ 'ἀνάγκη μὴ παντί' ἀντίκειται μὲν τῇ 'ἐνδέχεται παντί', ἐπεὶ δὲ ἰσοδυναμεῖ ἡ 'ἐνδέχεται μηδενί' τῇ 30 'ἐνδέχεται παντί', διὰ τοῦτο καὶ ἡ 'ἀνάγκη μὴ παντί' μαχήσεται τῇ 'ἐνδέχεται μηδενί', ὥσπερ καὶ ἐν τῷ διαγράμματι πρόκειται. εἰ τοίνυν τῇ μὲν 'ἐνδέχεται οὐδενί' ὡς μὲν καταφάσει ἀπόφασις μάχεται ἡ 'οὐκ ἐνδέχεται οὐδενί', μάχονται δὲ κατά τε ποσὸν καὶ ποιὸν καὶ τρόπον ἀμφότεραι αἱ μερικαὶ τοῦ ἀναγκαίου προτάσεις κατὰ τὸν εἰρημένον τρόπον, δῆλον ἄρα ὅτι ἡ 'οὐκ ἐνδέχεται οὐδενί' περιέχει τὰς δύο μερικὰς τοῦ ἀναγκαίου προτάσεις. εἰ τοίνυν τοῦτο οὕτως ἔχει, εὑρίσκομεν δὲ τῇ μὲν 'ἀνάγκη τινί' ὑπο- 35 τιθεμένῃ ἀδύνατόν τι ἀκολουθοῦν, τῇ δὲ 'ἀνάγκη μὴ παντί' οὐκέτι, δῆλον ἄρα ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ 'ἀνάγκη τινί' μόνως συνάγεται, ὅπερ ἐστὶ τὸ 'οὐκ ἀνάγκη τινί'. εἰ τοίνυν αἱ δύο μὲν μερικαὶ τοῦ ἀναγκαίου, ὥσπερ εἴπομεν, περιέχονται ὑπὸ τῆς 'οὐκ ἐνδέχεται οὐδενί', τὸ δὲ ἀντικείμενον τῇ ἑτέρᾳ τούτων μόνον συνάγεται, δῆλον ἄρα ὅτι τὸ ἥμισυ τοῦ ἀντικειμένου τῷ 'οὐκ ἐνδέχεται οὐδενί' τοῦτ' ἔστι τὸ συναγόμενον,

1 οὐδὲ pr. B 2 εἰς om. V τὴν alt. BS: om. Vt τῇ (post αὐτῇ) pr. V 5 τῷ α' τὸ pr. V 8 τὴν προσεχῶς S 9 ὃ B 11 ὃ B 12 αὐτὴν t 15 κατάφασις S 16 ante ποσόν et ante ποιόν add. τὸ, ante τρόπον add. τὸν Bt: om. SV ποιὸν—ποσὸν, post quae add. καὶ B· 17 ἐπεὶ BS: ἐπειδὴ Vt 19 ὡς B 20 οὐδενὶ SVt: μηδενὶ B καταφάσεις, ut videtur, pr. V, corr. V² 21 οὐδενί BSt: μηδενί V itemque vs. 23. 28 ante ποσὸν et ante ποιὸν add. τὸ B ποσὸν—ποιὸν V: inv. ord. BSt cf. vs. 16 ἀμφότεραι καὶ κατὰ τὸν τρόπον B 22 post τρόπον add. τῇ ἐνδέχεται μηδενὶ B ὅτι om. V 24 τοῦτο SVt: ταῦθ' B 24. 25 ὑποτεθειμένη B 25 οὐκ ἔστι t 26 ὅτι St: om. BV τῷ BS, corr. V: τὸ pr. V: τῇ t 27 post τινί add. ὦ ταυτόν ἐστι τὸ οὐδενὶ ἐξ ἀνάγκης. ὃ καὶ φησὶν ὁ ἀριστοτέλης συνάγεσθαι B 27. 28 post ἀναγκαίου add. προτάσεις Vt: om. BS 28 ἐκ V τῆς BSV²: τοῦ V¹t ἐνδέχονται pr. V, corr. V² 30 τοῦ ἐνδεχομένου τὸ V τοῦτ' om. S, at cf. p. 179,18

ὅπερ ἐστὶ τὸ 'οὐκ ἀνάγκη τινί'· τοῦτο γὰρ ἦν ἀντιφατικῶς ἀντικείμενον XLVr τῷ 'ἀνάγκη τινί', ᾧπερ μόνῳ ὑποτεθέντι ἀδύνατόν τι ἠκολούθησεν. ὅτι γὰρ τῷ 'ἀνάγκη μὴ παντί' ὑποτεθέντι ἀδύνατον οὐκ ἀκολουθεῖ, δῆλον ἐξ αὐτῶν τῶν προτάσεων· εἰ γὰρ τὸ Α ἀνάγκη μὴ παντὶ τῷ Γ ὑπάρχειν, τὸ δὲ Β παντὶ τῷ Γ ὑπάρχει, τὸ ἄρα Α οὐ παντὶ τῷ Β ὑπάρχει· ἦν δὲ καὶ οὐδενί· καὶ οὐδὲν ἀδύνατον τὸ αὐτὸ καὶ οὐδενὶ καὶ οὐ παντί.

Ζητήσειε δ' ἄν τις τί δήποτε ⟨εἰ⟩ οὐ μόνον τοῦ 'ἀνάγκη τινί' τεθεμένου ἀδύνατόν τι ἀκολουθεῖ ἀλλὰ καὶ τοῦ 'ἀνάγκη παντί', μὴ λέγομεν τὸ ἀντιφατικῶς αὐτῷ ἀντικείμενον συνάγεσθαι τὸ 'οὐκ ἀνάγκη παντί'. εἰ γὰρ τὸ Α ἀνάγκη παντὶ τῷ Γ, τὸ δὲ Β ὑπάρχει παντὶ τῷ Γ, τὸ ἄρα Α τινὶ τῷ Β ὑπάρχει· ἦν δὲ καὶ οὐδενί· τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενί, ὅπερ ἀδύνατον. ὥστε οὐ μόνον τὰ ἀντιφατικῶς ἀντικείμενα συνάγονται διὰ τούτων ἀλλὰ καὶ τὰ ἐναντία. ὥστε εἰ τῷ 'παντὶ ἐξ ἀνάγκης' ὑποτεθέντι ἀδύνατόν τι ἠκολούθησε, διὰ τί μὴ λέγομεν τὸ ἀντιφατικῶς ἀντικείμενον αὐτῷ συνάγεσθαι, λέγω δὲ τὸ 'οὐκ ἀνάγκη παντί'; φαμὲν οὖν πρὸς τοῦτο ὅτι, εἰ περιείχετο ἡ 'ἀνάγκη παντί' ὑπὸ τῆς 'οὐκ ἐνδέχεται οὐδενί', ἐλέγομεν ἂν καὶ τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ 'ἀνάγκη παντί' συνάγεσθαι, ἐπειδὴ καὶ τὸ ἀντικείμενον τῷ 'οὐκ ἐνδέχεται οὐδενί' τοῦ|τό ἐστι τὸ συναγό- XLVv μενον. νῦν δὲ οὐ περιέχεται ὑπ' αὐτῆς. ἡ δὲ αἰτία, δι' ἣν οὐ περιέχεται, αὕτη· εἰ γὰρ τῇ 'ἐνδέχεται μηδενί' ἀντίκειται ἡ 'οὐκ ἐνδέχεται μηδενί', ἡ δὲ 'ἐνδέχεται μηδενί' ἰσοδυναμεῖ τῇ 'ἐνδέχεται παντί', ἡ δὲ 'ἐνδέχεται παντί' οὐκ ἀντίκειται τῇ 'ἀνάγκη παντί', οὐκ ἄρα περιέξει ἡ 'οὐκ ἐνδέχεται οὐδενί' τὴν 'ἀνάγκη παντί' ἀντικειμένως ἔχουσα τῇ 'ἐνδέχεται παντί' διὰ τὸ ἰσοδυναμεῖν αὐτὴν τῇ 'ἐνδέχεται μηδενί'. ἠκολούθησε δὲ ὅλως τῇ 'ἀνάγκη παντί' ἀδύνατον, διότι τῇ καθόλου ἀποφάσει δύο μάχονται καταφάσεις, ἥ τε καθόλου καὶ ἡ μερική, ἡ μὲν ὡς ἀντιφατικῶς ἀντικειμένη, ἡ δὲ ὡς ἐναντίως. διὰ ταῦτα οὖν καὶ τῇ 'παντί' τεθείσῃ ἠκολούθησε τὸ ἀδύνατον οὐχ ὡς ἀντιφατικῇ ἀλλ' ὡς ἐναντίᾳ. μόνως ἄρα ἐστὶ τὸ συναγόμενον τὸ ἀντικείμενον τῷ 'ἀνάγκη τινί', ὅπερ ἐστὶ τὸ 'οὐκ ἀνάγκη τινί', ὅπερ ταὐτόν ἐστι τῷ 'οὐδενὶ ἐξ ἀνάγκης'. διαφέρει δὲ τὸ 'οὐδενὶ ἐξ ἀνάγκης' τοῦ 'ἐνδέχεται μηδενί'· καὶ διὰ τοῦτό φησιν αὐτὸς ὅτι τὸ 'ἐνδέχεται μηδενί' συναγόμενον ἐν τούτῳ τῷ συλλογισμῷ οὐκ ἔστι τοῦ κατὰ τὸν

---

1 post ἦν add. τὸ B 2 ὅπερ t μόνον V 3 ὑποτιθέντι V οὐκ Bt: οὐδὲν, sed ante ἀδύν. S: τι V ἠκολοῦ B 4 εἰ ex ἡ corr. V² ἀνάγκη τὸ α' B ὑπάρχει V 7 τί δήποτε SVt: διὰ τί B εἰ addidi cf. [Themist.] p. 37,23 7. S θεμένου V 8 ἀκολουθεῖν pr. V 8. 9 μὴ—ἀνάγκη παντί S: om. BVt 10 τινὶ SV: παντὶ Bt 11 ἄρα om. B τινὶ S: παντὶ BVt 11. 12 ὅ ἄτοπον B 14 λέγωμεν t 14. 15 αὐτῷ ἀντικείμενον B 15 δὴ V 16 μηδενί V 17 τῷ BSt: τὸ οὐκ V ἐπεὶ B 18 ante καὶ add. δὲ Bt: om. SV καὶ om. S τὸ οὐκ V ἐνδέχεσθαι B οὐδενὶ Bt: μηδενὶ SV ante τοῦτό add. εἶναι Vt: om. BS 20 αὕτη—23 οὐκ ἐνδέχεται om. V 21 ἡ δὲ—μηδενί BS: om. t 24 τῇ] τὸ t δὲ ὅλως BSt: om. V 25 ἀποφατικῇ t 27 ἐναντίως BS: ἐναντία Vt 28 τὸ om. S 29 ὅ B 30 μηδενὶ (post τὸ) V 32 ἐν om. B τῷ συλλογισμῷ τούτῳ B

διορισμὸν ἐνδεχομένου ἀλλὰ τοῦ οὐδενὶ ἐξ ἀνάγκης. ἐπὶ πλέον XLV v
δέ ἐστι τὸ 'οὐδενὶ ἐξ ἀνάγκης' τοῦ 'ἐνδέχεται μηδενί'. καὶ ὅτι τοῦτό ἐστι, δείξο-
μεν αὖ καὶ λογικώτερον καὶ διὰ παραδειγμάτων. λογικώτερον μὲν δι' αὐτῶν
τῶν προτάσεων οὕτως· τῇ 'ἐνδέχεται μηδενί' ἀντίκειται ἥ τε 'ἀνάγκη τινί' καὶ
5 ἡ 'ἀνάγκη μὴ παντί', ὡς εἴρηται πολλάκις· ἐφ' ὧν γὰρ ἐκείνη ψεύδε-
ται, αὗται ἀληθεύουσι, καὶ ἀνάπαλιν. τῷ δὲ 'οὐκ ἀνάγκη τινί', ὅπερ ταὐ- 15
τόν ἐστι τῷ 'οὐδενὶ ἐξ ἀνάγκης', ἀντίκειται μόνη ἡ 'ἀνάγκη τινί'· ὥστε
καὶ ἐνταῦθα, ἐφ' ὧν ἡ ἑτέρα ψεύδεται, ἡ ἑτέρα ἀληθεύει, καὶ ἔμπαλιν.
εἰ τοίνυν τῇ 'ἐνδέχεται μηδενί' δύο μάχονται τοῦ ἀναγκαίου προτάσεις,
10 ἥ τε 'ἀνάγκη τινί' καὶ ἡ 'ἀνάγκη μὴ παντί', τῇ δὲ 'οὐκ ἀνάγκη τινί', ἥτις
ἰσοδυναμεῖ τῇ 'οὐδενὶ ἐξ ἀνάγκης', ἡ ἑτέρα τούτων μόνον ἡ 'ἀνάγκη τινί',
ἐφ' ὧν ἄρα αἱ δύο προτάσεις, ἥ τε 'ἀνάγκη τινί' καὶ ἡ 'ἀνάγκη μὴ παντί'
ἀληθεύουσιν, ἐπὶ τούτων ἡ 'ἐνδέχεται μηδενί' ψεύδεται, ἐφ' ὧν δὲ ἡ
'ἀνάγκη τινί' ἀληθεύει, ἐπὶ τούτων μόνον ἡ 'οὐκ ἀνάγκη τινί' ψεύδεται, 20
15 ἥτις ἰσοδυναμεῖ τῇ 'οὐδενὶ ἐξ ἀνάγκης'. ἐπ' ἐλαττόνων ἄρα ψεύδεται ἡ
'οὐκ ἀνάγκη τινί' τῆς 'ἐνδέχεται μηδενί'· εἰ δὲ ἐπ' ἐλαττόνων ψεύδεται
ἡ 'οὐκ ἀνάγκη τινί', ἐπὶ πλειόνων ἀληθεύει. ὅτι δὲ μόνη ἡ 'ἀνάγκη τινί'
μάχεται τῇ 'οὐκ ἀνάγκη τινί', οὐκέτι δὲ καὶ ἡ 'ἀνάγκη μὴ παντί', δῆλον
ἐξ ὧν καὶ συναληθεύουσιν ἐπί τινων ὅρων, οἷον ὡς ἐπὶ τοῦ περιπατεῖν καὶ
20 τοῦ ζῴου· καὶ γὰρ τὸ λέγειν ὅτι οὐκ ἀνάγκη τινὶ ζῴῳ τὸ περιπατεῖν
ὑπάρχειν ἀληθές (οὐδὲν γὰρ ζῷον ἐξ ἀνάγκης περιπατεῖ), καὶ πάλιν τὸ 25
λέγειν ὅτι ἀνάγκη μὴ παντὶ ζῴῳ τὸ περιπατεῖν ὑπάρχειν ἀληθὲς διὰ τὰ
ἑρπετά· οὐδὲν γὰρ τῶν ἑρπετῶν περιπατεῖ. οὕτω μὲν οὖν κοινῷ λόγῳ
δεδείχθω ἐπὶ πλεῖον οὖσα τῆς 'ἐνδέχεται μηδενί' ἡ 'οὐδενὶ ἐξ ἀνάγκης'.
25 δειχθήσεται δὲ καὶ διὰ παραδειγμάτων. λέγω δὴ διὰ τῶν ὅρων αὐτῶν. πάλιν
γὰρ ἐπὶ τοῦ ζῴου καὶ τοῦ περιπατεῖν τὸ μὲν εἰπεῖν 'οὐδενὶ ἐξ ἀνάγκης ζῴῳ
τὸ περιπατεῖν ὑπάρχει' ἀληθεύει καὶ ἐπὶ τῶν περιπατούντων ζῴων καὶ ἐπὶ
τῶν ἑρπετῶν· οὐκ ἔστι γὰρ ἀναγκαῖον τούτοις περιπατεῖν. τὸ δὲ 'ἐνδέχεται 30
μηδενὶ ζῴῳ τὸ περιπατεῖν' οὐκέτι ἀληθές ἐστιν ἐπὶ πάντων ἀλλ' ἐπὶ τῶν
30 περιπατούντων· ἐπὶ δὲ τῶν ἑρπετῶν οὐκ ἔστιν ἀληθές, διότι ἐφ' ὧν τὸ 'ἐνδέ-
χεται μηδενί', ἐπὶ τούτων καὶ τὸ 'ἐνδέχεται παντί' ἀληθεύει. εἰ τοίνυν
τὸ 'ἐνδέχεται παντί' ἐπὶ τῶν ἑρπετῶν ψεῦδος, δῆλον ὅτι καὶ τὸ 'ἐνδέχεται

---

1 τὸ V 3 αὖ scripsi cf. p. 208,20: αὐτὸ BVt: om. S post παραδειγμάτων add. καὶ S δι' SVt: ἐξ ex εἰ, ut videtur, corr. B² 5 ὡς—πολλάκις om. B: πολλάκις om. S 6 ὃ B 8 ἐνταῦθα SVt: ὧδε B ἀνάπαλιν B
9 τοῦ ἀναγκαίου προτάσεις BS: inv. ord. Vt 10 post παντί add. καὶ ἀληθεύουσιν ἐπὶ τούτων B 11 τούτων μόνον St: inv. ord. B: μόνον V 12 ἡ om. t
14 μόνων B 21 ὑπάρχειν t: ὑπάρχει SV: compend. B 21. 22 τὸ λέγειν ὅτι om. B 22 ἀνάγκη om. V τὸ om. B¹ 25 διὰ παραδειγμάτων B: τοῖς παραδείγμασι SVt cf. vs. 3 δὴ BV: δὲ St 26 ζῴῳ ἐξ ἀνάγκης B
27. 28 τῶν ἑρπετῶν—τῶν περιπατούντων ζῴων B 27. 28 ἐπὶ τῶν om. t
28 ἐξ ἀνάγκης B post τούτοις add. τὸ B 29 τὸ BS: om. Vt οὐκ ἀληθές ἐστιν t: οὐκ ἔστιν ἀληθὲς S 30 οὐκέτι t διατί, ὅτι B 31 τούτῳ V
32 ἐνδέχεσθαι (ante παντί) B ψεύδεται B

μηδενί'. ἐπὶ πλειόνων ἄρα τὸ 'οὐδενὶ ἐξ ἀνάγκης' ἀληθεύει τοῦ 'ἐνδέ- XLVᵛ
χεται μηδενί'.

Δυνατὸν δὲ καὶ τὴν ἐκ δύο καταφατικῶν συζυγίαν δεῖξαι τῷ αὐτῷ τρόπῳ μὴ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον συνάγουσαν, ἀλλὰ καὶ ταύ- 35
5 την τὸ ἥμισυ τοῦ ἐνδεχομένου συνάγουσαν. ὑποκείσθω δὲ πρῶτον ἡμῖν τὸ διάγραμμα.

οὐκ ἀνάγκη μὴ παντί		ἀνάγκη μὴ παντί	περιέχει τὰς δύο
οὐκ ἀνάγκη τινί	δι' ἑαυτὴν μάχεται	ἀνάγκη τινί	
ἐνδέχεται παντί	διὰ τὴν 'ἐνδέχεται μηδενί' μάχεται	οὐκ ἐνδέχεται παντί	
10 ἐνδέχεται μηδενί		οὐκ ἐνδέχεται μηδενί	40

εἰ γὰρ τὸ Α παντὶ τῷ Β ὑπάρχει, τὸ δὲ Β παντὶ τῷ Γ ἐνδέχεται ὑπάρχειν, τὸ ἄρα Α παντὶ τῷ Γ ἐνδέχεται ὑπάρχειν. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ 'οὐκ ἐνδέχεται παντί', ὅπερ ἰσοδυναμεῖ τῷ 'ἀνάγκη μὴ παντί'. εἰ τοίνυν τὸ μὲν Α τῷ Γ ἀνάγκη μὴ παντί, τὸ δὲ Β τῷ Γ ὑπάρχει παντὶ
15 μεταληφθείσης τῆς ἐνδεχομένης, τὸ ἄρα Α τῷ Β ὑπάρχει οὐ παντί· ἦν δὲ καὶ παντί· τὸ αὐτὸ καὶ παντὶ καὶ οὐ παντί, ὅπερ ἀδύνατον· ψεῦδος 45 ἄρα τὸ 'οὐκ ἐνδέχεται παντί', ἀληθὲς δὲ τὸ 'ἐνδέχεται παντί', ὅπερ ἔδει δεῖξαι. ἔστιν οὖν καὶ ἐνταῦθα ὁμοίως δεῖξαι ὅτι τὸ 'ἐνδέχεται παντί' οὐκ ἔστι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἀλλ' ἡμισυ τούτου. εἰ γὰρ μάχε-
20 ται τῇ 'ἐνδέχεται παντί' ὡς καταφάσει ἀπόφασις ἡ 'οὐκ ἐνδέχεται παντί', μάχονται δὲ αὐτῇ καὶ αἱ δύο τοῦ ἀναγκαίου μερικαὶ προτάσεις, ἡ μὲν 'ἀνάγκη μὴ παντί' δι' ἑαυτὴν ὡς κατὰ πάντα ἀντικειμένη, μάχεται δὲ αὐτῇ καὶ ἡ 'ἀνάγκη τινί' διὰ τὴν 'ἐνδέχεται μηδενί' | ὡς ἰσοδυνα- XLVIʳ
μοῦσαν αὐτῇ, περιέξει ἄρα ἡ 'οὐκ ἐνδέχεται παντί' τὰς δύο τοῦ ἀναγκαίου
25 μερικάς. εἰ γὰρ αἱ δύο μερικαὶ τοῦ ἀναγκαίου μάχονται τῇ 'ἐνδέχεται παντί', μάχεται δὲ αὐτῇ καὶ ἡ 'οὐκ ἐνδέχεται παντί', περιέξει ἄρα αὕτη τὰς δύο. πάλιν τῶν δύο τούτων λαμβανομένων ἐν τῷ συλλογισμῷ, τῇ μὲν 'ἀνάγκη μὴ παντί' ὑποτεθείσῃ εὑρήκαμεν ἀδύνατόν τι ἀκολουθοῦν, ὥστε τὸ ἀντικείμενον αὐτῇ εἶναι τὸ συναγόμενον· τῇ δὲ 'ἀνάγκη τινί' 5
30 ὑποτεθείσῃ οὐδὲν ἀδύνατον ἀκολουθεῖ, ὥστε οὐ συνάγεται τὸ ἀντικείμενον αὐτῇ. ὅτι γὰρ οὐδὲν ἀδύνατον αὐτῇ ὑποτεθείσῃ ἀκολουθεῖ, δῆλον· εἰ γὰρ τὸ Α ἀνάγκη τινὶ τῷ Γ, τὸ δὲ Β παντὶ τῷ Γ ὑπάρχει, τὸ ἄρα Α τινὶ τῷ Β ὑπάρχει· ἦν δὲ καὶ παντί, καὶ οὐδὲν ἀδύνατον τὸ αὐτὸ καὶ παντὶ καὶ τινί. μόνως ἄρα συνάγεται τὸ ἀντικείμενον τῷ 'ἀνάγκη μὴ παντί'.
35 τὸ δὲ 'ἀνάγκη μὴ παντί' ἥμισυ ἦν τοῦ 'οὐκ ἐνδέχεται παντί'· τὸ ἄρα ἀντι-

3 δὲ om. V 4. 5 ταύτην BS: αὐτὴν Vt 7—10 t: aliam figuram praebet B: om. SV 11 γὰρ om. B 12 γὰρ conicio cf. p. 189,18 14 εἰ—μὴ παντί om. B 17 ὃ B 22 πάντα S: παντὶ t: compend. BV ἀντικειμένην S 23. 24 ἰσοδυναμοῦσαν (ν add. ut videtur B²) BS: ἰσοδυναμοῦσα Vt 26. 27 τὰς δύο αὕτη V 28 post εὑρήκαμεν add. τι V 29 ὡς V 30 οὐ] οὖν V 31 ὅτι BS: εἰ Vt 32 τινὶ om. t 34 ὁμοίως pr. V τῷ S: τοῦ BVt

κείμενον τῷ ἡμίσει τοῦ 'οὐκ ἐνδέχεται παντί' ἐστι τὸ συναγόμενον. ὥστε XLVI r
καὶ ἐν ταύτῃ τῇ συζυγίᾳ τὸ ἥμισυ τοῦ ἐνδεχομένου συνάγεται. πῶς οὖν 11
οὐκ εἶπε τοῦτο ὁ Ἀριστοτέλης ἐπὶ ταύτης τῆς συζυγίας ἀλλ' ἐπὶ τῆς
στερητικῆς μόνης; τί οὖν πρὸς τοῦτο ἐροῦμεν; ὅτι ἀκόλουθα πεποίηκεν
5 ἑαυτῷ. ἐπειδὴ γάρ, ὡς εἴπομεν, τὴν μὲν ἀποφατικὴν ἐνδεχομένην μεταλαμβάνει εἰς τὴν καταφατικήν, τὴν δὲ καταφατικὴν οὐκέτι εἰς τὴν ἀποφατικήν, διὰ τοῦτο ἐπὶ μόνης τῆς στερητικῆς. ἐπειδὴ τὸ συμπέρασμα ἀποφατικὸν ἦν ἐνδεχόμενον κατὰ τὰς ἐνταῦθα παραλαμβανομένας προτάσεις, 15
λέγω δὲ 'τὸ ἐνδέχεται μηδενί', [καὶ διὰ τοῦτο] εὑρίσκομεν αὐτῷ μαχομένας
10 τὰς δύο τοῦ ἀναγκαίου μερικὰς προτάσεις, τὴν μὲν δι' ἑαυτὴν τὴν δὲ διὰ τὴν 'ἐνδέχεται παντί', ἐπειδὴ λαμβάνομεν ἰσοδυναμοῦσαν τὴν 'ἐνδέχεται μηδενί' τῇ 'ἐνδέχεται παντί'. ἐπειδὴ οὖν ἐνταῦθα εὑρίσκομεν τὰς δύο τοῦ ἀναγκαίου μερικὰς ἀντικειμένας τῇ 'ἐνδέχεται μηδενί' καὶ διὰ τοῦτο περιεχομένας ὑπὸ τῆς ἀποφατικῆς τῆς 'οὐκ ἐνδέχεται μηδενί' καὶ 20
15 εὑρίσκομεν τὸ ἀντικείμενον μόνῃ τῇ ἑτέρᾳ τῶν μερικῶν προτάσεων συναγόμενον, διὰ τοῦτο ἐλέγομεν τὸ ἥμισυ τοῦ ἐνδεχομένου μόνον συνάγεσθαι. ἐπειδὴ δὲ ἐν τῇ κατηγορικῇ συζυγίᾳ καταφατικὸν ἐνδεχόμενόν ἐστι τὸ συμπέρασμα, οὐ μεταλαμβάνεται δὲ ἡ κατάφασις εἰς τὴν ἀπόφασιν, δῆλον ἄρα ὅτι ἡ μία μόνη τοῦ ἀναγκαίου μερικὴ πρότασις ἀντίκειται τῷ
20 συμπεράσματι ἡ 'ἀνάγκη μὴ παντί', ὥστε ἡ 'οὐκ ἐνδέχεται παντί' αὐτὴν μόνην περιέξει. τιθεμένῃ δὲ ταύτῃ ἀδύνατόν τι ἠκολούθει· δῆλον ἄρα ὅτι 25
τὸ ἀντικείμενον αὐτῇ ἔσται ἀληθές. ἔστι δὲ αὕτη οὐχ ἥμισυ τοῦ ἐνδεχομένου ἀλλ' ὅλον· καὶ ἡ ἀντικειμένη ἄρα αὐτῇ οὐχ ἥμισυ ἔσται τοῦ ἐνδεχομένου. εἰκότως ἄρα ἐπὶ τῆς καταφατικῆς συζυγίας οὐκ εἶπε τὸ ἥμισυ
25 συνάγεσθαι τοῦ ἐνδεχομένου. τὸ μὲν οὖν βούλημα τοῦ φιλοσόφου, ὡς ἐνῆν, διὰ τούτων ἐδηλώσαμεν. ἴδωμεν δὲ καὶ ἐπ' αὐτῆς τῆς λέξεως τὰ εἰρημένα.

p. 34b 22 Μὴ γὰρ ἐνδεχέσθω. 30

Εἰπὼν τὸ ἐνδέχεσθαι μηδενὶ συνάγεσθαι πιστοῦται τῇ εἰς ἀδύνατον ἀπαγωγῇ τὸ εἰρημένον, καὶ τίθησι τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ μὴ ἐνδέ-
30 χεσθαι μηδενί, ἐπειδὴ ἐπὶ παντὸς πράγματος ἢ τὴν κατάφασιν ἀνάγκη 35
ἀληθεύειν ἢ τὴν ἀπόφασιν. μεταλαμβάνει δὲ καὶ τὴν ἐλάττονα πρότασιν εἰς ὑπάρχουσαν. ἀνάγκη δὴ τὸ Α τινὶ τῷ Β ὑπάρχειν· ἀλλ' ὑπέκειτο καὶ

4 ἐροῦμεν B: ἡμεῖς Vt cf. p. 192,25 post ἀκόλουθα add. τε, post πεποίηκεν add. πρὸς t 5 γάρ om. S ὡς ἑπόμενον t εἴπομεν] p. 159,30 sq.
7 μόνης S: μὲν BVt 8 προτάσεις S: ἀποφάσεις BVt 9 δὴ V καὶ διὰ τοῦτο ut e vs. 13 illata delevi 10 ἑαυτὴν BS: αὐτὴν Vt 12 τὴν V
14 ante ἀποφ. add. αὐτῆς Bt: ταύτης S 15 post τὸ add. μὲν BVt: om. S
μόνῃ B: μόνῳ SV: μόνον t τῇ ἑτέρᾳ B: τῷ ἑτέρῳ SVt 16. 17 μόνον συναγόμενον τοῦ ἐνδεχομένου συνάγεσθαι B 18 ἡ καταφατικὴ εἰς τὸ ἀποφατικὸν B
21 περιέξει BS: περιέχει Vt ταύτῃ BS: αὐτῇ Vt ἠκολούθει S: ἠκολούθησε B: ἀκολουθεῖ V: ἠκολούθη t ἄρα BS: om. Vt 22 ἔσται Bt: ἐστὶν SV 23 ἐστὶ B
24. 25 εἰκότως—ἐνδεχομένου iterant Vt 26 ἐδήλωσεν t εἴδωμεν V 28 τῇ om. t 30 ἐπεὶ B ἀνάγκη post πράγματος collocat B 31 δὲ t: om. BV

οὐδενί, ὅπερ ἄτοπον. ψευδὴς ἄρα ἡ ὑπόθεσις ἡ 'οὐκ ἐνδέχεται οὐδενί'· XLVI
οὐκοῦν ἀληθὴς ἡ ἀντικειμένη ἡ 'ἐνδέχεται μηδενί', ὅπερ ἔδει δεῖξαι.

p. 34ᵇ27 Οὗτος οὖν ὁ συλλογισμὸς οὐκ ἔστι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου.

Τὸ συμπέρασμα, φησί, τὸ συναχθὲν οὐκ ἔστι τοιούτου ἐνδεχομένου οἷουπερ ἡμεῖς ἐξ ἀρχῆς διωρισάμεθα· τοῦτο δὲ ἦν ὃ ἀντιστρέφουσαν εἶχε τὴν 'μηδενί' πρὸς τὴν παντί. τοῦτο δὲ τὸ συμπέρασμα οὐκ ἔστι τοιοῦτον. ὅτι γὰρ οὐ δύναται ἀντιστρέφειν πρὸς τὴν 'παντί', ἐδείξαμεν ἤδη θέντες τὸ ἀντικείμενον τῷ 'ἐνδέχεται παντί', λέγω δὴ τὸ 'ἀνάγκη μὴ παντί', καὶ μηδὲν εὑρηκότες αὐτῷ ἄτοπον ἀκολουθοῦν, ἵνα οὕτω κατασκευάσωμεν τὸ ἀντικείμενον· ὥστε οὐ δύναται συμπεραίνεσθαι τὸ ἀντικείμενον τῷ 'ἀνάγκη μὴ παντί'. εἰ δὲ μὴ συμπεραίνεται, οὐκ ἄρα ἰσοδυναμεῖ ἐνταῦθα τὸ συναχθὲν συμπέρασμα, λέγω δὴ τὸ 'ἐνδέχεται μηδενί', τῷ ἐνδέχεσθαι παντί. τὸ δὲ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ἰσοδυναμούσας ταύτας εἶχε τὰς προτάσεις· οὐκ ἄρα τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἐστὶ τοῦτο τὸ συμπέρασμα.

p. 34ᵇ28 Ἀλλὰ τοῦ μηδενὶ ἐξ ἀνάγκης· αὕτη γάρ ἐστιν ἡ ἀντίφασις τῆς γενομένης ὑποθέσεως· ὑπετέθη γὰρ τὸ Α τινὶ τῷ Γ ἐξ ἀνάγκης ὑπάρχειν· ὁ δὲ διὰ τοῦ ἀδυνάτου συλλογισμὸς τῆς ἀντικειμένης ἐστὶν ἀντιφάσεως.

Εἰπὼν ὅτι οὐκ ἔστι τὸ συμπέρασμα τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου, προστίθησι διὰ τούτων ποίου ἐστίν, ὅτι τοῦ οὐδενὶ ἐξ ἀνάγκης. τίς δὲ ἡ διαφορὰ τούτου πρὸς τὸ ἐνδέχεσθαι μηδενί, εἴπομεν. καὶ ὅτι τοῦτό ἐστι, φησί, τὸ συναγόμενον, δῆλον. τῇ γὰρ εἰς ἀδύνατον ἀπαγωγῇ βουλόμενοι κατασκευάσαι τὸ 'ἐνδέχεται μηδενί' καὶ λαβόντες τὸ ἀντικείμενον αὐτῷ τὸ 'οὐκ ἐνδέχεται μηδενί', ὅπερ ταὐτόν ἐστι τῷ 'ἀνάγκη τινί', εἰς ὃ μετελάβομεν διὰ τὸ σαφές, ὑποθέμενοι οὖν τὸ 'ἀνάγκη τινί' εὕρομεν ἀδύνατόν τι ἀκολουθοῦν. | οὐκοῦν πᾶσα ἀνάγκη τὸ ἀντικείμενον τούτῳ XLVI

---

1 οὐδενί alt. Bt: μηδενί V 2 ἡ ἀληθὲς t ὃ B 5 τὸ alt. om. V
6 οἷου B ἐξ ἀρχῆς] c. 13 p. 32ᵃ18 sq. 7. 8 τοῦτο — παντί om. B
8 ἐδείξαμεν] p. 179,3 sq. 9 τῷ] τὸ t λέγω δὴ — παντί iterat t
post τὸ alt. add. α B 10 εὑρηκότες BS: εὑρίσκοντες V: εὑρίσκονται t
11 δύνασθαι V τὸ ἀντικείμενον alt. om. SV τῶ B: τὸ SVt 12 μὴ SVt:
οὐ B συμπεραίνηται t 13 ἐνδέχεσθαι ex ἐνδέχεται corr. B² 16 τὸ συμ-
πέρασμα τοῦτο B 17 post ἀλλὰ add. καὶ B 18 ὑπετέθη BVt(n): ἐτέθη Arist.
18. 19 ἐξ ἀνάγκης τὸ α' τινὶ τῷ γ' t Arist. 20 φάσεως (i n u, corr. AC) Phil.
legisse apparet e p. 184,3 22 τούτων B: τούτου Vt 23 τούτου] τοῦ t
ἐνδέχεται St εἴπομεν] p. 180,1 sq. καὶ ὅτι BSV: ὅτι δὲ t 24. 25 βουλό-
μενος t 25 λαβόντα t 26 ὃ B ταὐτόν ἐστι BS: inv. ord. Vt
27 μετεβάλομεν B ἀσαφές V ἐροῦμεν t 28 τούτου B

ἀληθὲς εἶναι τὸ 'οὐκ ἀνάγκη τινί', ὅπερ ταὐτόν ἐστι τῷ 'οὐδενὶ ἐξ ἀνάγ- XLVIᵛ
κης'· ἀνάγκη γάρ, φησί, πᾶσα, ὅταν συλλογισμὸν διὰ τοῦ ἀδυνάτου δείκνυμεν, τὴν ἀντικειμένην φάσιν, τουτέστι πρότασιν, τῇ ὑποθέσει ἡ ἀδύνατον ἠκολούθησέ τι, ταύτην εἶναι ἀληθῆ.

p. 34ᵇ31 Ἔτι δὲ καὶ ἐκ τῶν ὅρων φανερὸν ὅτι οὐκ ἔσται τὸ συμπέρασμα ἐνδεχόμενον.

Ὅρους ἐκτίθεται, δι' ὧν δείκνυσι τέως μὲν ὅτι οὐ συνάγεται τὸ ἐνδέχεται μηδενί', κόρακα, διανοούμενον, ἄνθρωπον· μείζων κόραξ, ἐλάττων ἄνθρωπος. κόραξ μὲν γάρ, φησίν, οὐδενὶ διανοουμένῳ ὑπάρχει, διανοού- 10
μενον δὲ ἐνδέχεται παντὶ ἀνθρώπῳ, καὶ συνάγεται κόραξ οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· ὥστε τέως ἔχομεν διὰ τούτων ὅτι οὐ συνάγεται τὸ ἐνδεχόμενον. διὰ δὲ τῶν ἑξῆς ὅρων δείκνυσιν ὅτι οὐδὲ ἀναγκαῖόν ἐστιν ἀεὶ τὸ συμπέρασμα, πλὴν ὅτι οὔτε ⟨ἐκεῖ οὔτε⟩ ἐνταῦθα καλῶς ἔλαβε τοὺς ὅρους· ἀναγκαίαν γὰρ ἔλαβε τὴν μείζονα πρότασιν, οὐχ ὑπάρχουσαν κυρίως· κόραξ γὰρ οὐδενὶ διανοουμένῳ οὐχ ὑπάρχει μόνον ἀλλ' ἐξ ἀνάγκης οὐχ ὑπάρχει.

p. 34ᵇ37 Ἀλλ' οὐδ' ἀναγκαῖον ἀεί· ἔστω γὰρ τὸ μὲν Α κινούμενον, τὸ δὲ Β ἐπιστήμη, τὸ δὲ ἐφ' ᾧ Γ ἄνθρωπος.

Δείξας διὰ τῶν προλαβόντων ὅρων ὅτι οὐκ ἔστιν ἐνδεχόμενον τὸ συμπέρασμα, διὰ τούτων δείκνυσιν ὅτι οὐδὲ ἀναγκαῖον ἀεὶ συνάγεται. ἔστω 20
γὰρ κινούμενον μὲν μηδεμιᾷ ἐπιστήμῃ ὑπάρχειν, ἐπιστήμη δὲ ἐνδέχεται παντὶ ἀνθρώπῳ ὑπάρχειν, καὶ συνάγεται κινούμενον μηδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχειν. δῆλον δὲ ὅτι τὴν ἐπιστήμην ἐνταῦθα ἀντὶ τοῦ ἐπιστήμονος λαμβάνει, ἐπεὶ ἀναγκαία καὶ οὐχ ὑπάρχουσα ἔσται ἡ ἀπόφασις. ὥστε, φησίν, εἰ μήτε ἐνδεχόμενον ἀεί ἐστι τὸ συμπέρασμα μήτε ἀεὶ ἀναγ-
καῖον, εἰκότως εἴρηται ὅτι τοῦ οὐδενὶ ἐξ ἀνάγκης ἐστίν, ὡς δέδεικται πρότερον. συναισθόμενος δὲ καὶ αὐτὸς ὅτι οὐκ ἔλαβε καλῶς τοὺς ὅρους, 25
φησὶν ὅτι ληπτέον δὲ βέλτιον τοὺς ὅρους. λάβοιμεν δὲ ἂν αὐτοὺς βέλτιον οὕτως· βαδίζον, ἀλλοιούμενον, ζῷον. λέγω οὖν οὕτως· βαδίζον μηδενὶ ἀλλοιουμένῳ ὑπαρχέτω, ἀλλοιούμενον ἐνδέχεται παντὶ ζῴῳ ὑπάρ-
χειν, καὶ συνάγεται βαδίζον οὐδενὶ ζῴῳ ἐξ ἀνάγκης ὑπάρχειν. οὐ γὰρ

1 εἶναι] ἔσται t ὅ B τῷ] τὸ V 2 συλλογισμὸς V 4 τι post 3 ἀδύνατον collocat S: om. Vt 5 ἔστι δὲ t καὶ V Arist.: om. Bt ἔσται V Arist.: ἔστι Bt 8 διανώμενον pr. B., corr. B² 9 γάρ om. B 11 post τέως add. μὲν V 12. 13 τὸ συμπέρασμα ἀεὶ B 13 ἐκεῖ οὔτε addidi cf. p. 186,18 et [Themist.] p. 41,15 14 τὴν μίαν B 19 δείκνυσι διὰ τούτων V ἀεὶ om. t 20 μὲν—ὑπάρχειν Vt: ἐπιστήμη, ἄνθρωπος B 25 οὐδενὸς V δέδεικται] p. 178,11 sq. 25. 26 πρότασις V 26 δὲ om. B 27 δὲ prius Vt Arist.: δὴ B βέλτιον V Arist.: κάλλιον Bt λάβομεν V 28 ζῶον— 29 ἀλλοιούμενον om. V βαδίζων utrobique t 29 παντὶ ζώω ἐνδέχεται B 29. 30 post ὑπάρχειν add. τι V 30 ὑπάρχει V

ἀληθὲς τὸ μηδενὶ ζῴῳ λέγειν τὸ βαδίζον ἐνδέχεσθαι, ἐπειδὴ ἐφ' ὧν τὸ XLVIv
'μηδενί' ἀληθεύει, ἐπὶ τούτων καὶ τὸ 'παντὶ ἐνδέχεται'· οὐ πάντα δὲ τὰ
ζῷα βαδίζει· οὐδὲ γὰρ τὰ ἑρπετά· ὥστε διὰ τοῦτο οὐκ ἀληθὲς ἐπὶ τού- 30
των τὸ εἰπεῖν μηδενὶ ἐνδέχεσθαι. μόνως ἄρα ἀληθὲς τὸ οὐδενὶ ἐξ ἀνάγ-
5 κης ζῴῳ τὸ βαδίζειν λέγειν ὑπάρχειν· ἀληθὲς γὰρ καὶ ἐπὶ τῶν ἑρπόντων
εἰπεῖν ὅτι οὐδενὶ αὐτῶν ἐξ ἀνάγκης τὸ βαδίζειν ὑπάρχει, ὥσπερ ἤδη καὶ
πρὸ τούτου εἴπομεν.

p. 35a3 Ἐὰν δὲ τὸ στερητικὸν τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον ἐνδέ-
χεσθαι σημαῖνον, ἐξ αὐτῶν μὲν τῶν εἰλημμένων προτάσεων
10 οὐδεὶς ἔσται συλλογισμός, ἀντιστραφείσης δὲ τῆς κατὰ τὸ ἐνδέ-
χεσθαι προτάσεως ἔσται, καθάπερ ἐν τοῖς πρότερον. 35

Ἐκθέμενος πάσας τὰς συζυγίας τῶν καθόλου συλλογισμῶν τὰς τὴν
ἐλάττονα πρότασιν ἐχούσας καταφατικὴν τὴν δὲ μείζονα ἢ καταφατικὴν ἢ
ἀποφατικὴν ἐπί τε τῶν ἐχουσῶν συζυγιῶν τὴν μείζονα ἐνδεχομένην ἐπί
15 τε τῶν τὴν ἐλάττονα, νῦν τὰς ἐχούσας τὴν ἐλάττονα ἀποφατικὴν τίθησιν.
ἐὰν οὖν, φησίν, ἡ ἐλάττων ᾖ ἐνδεχομένη ἀποφατική, γίνεται μὲν συλλογι- 45
σμός, πλὴν ἀτελής· οὐ γὰρ διὰ τῶν ἐξ ἀρχῆς ἡμῖν εἰλημμένων, λέγω δὴ
ἀποφατικῆς μενούσης τῆς ἐλάττονος, ἀλλὰ μεταλαμβανομένης αὐτῆς εἰς
ἐνδεχομένην καταφατικήν. εἰ μὲν οὖν ἡ μείζων καταφατικὴ ᾖ ὑπάρχουσα,
20 δῆλον ὅτι ἀντιστραφείσης τῆς ἐλάττονος γενήσεται συμπέρασμα τοιοῦτον
οἷον ἐγίνετο καὶ ἐκ τῶν δύο καταφατικῶν. εἰ δὲ ἀποφατικὴ καὶ ἡ μείζων
ᾖ, πάλιν ἀντιστραφείσης τῆς ἐλάττονος εἰς τὴν καταφατικὴν τὸ συμπέρασμα 50
ἕξουσιν οἷον καὶ ἡ ἐκ τῆς μείζονος ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάτ-
τονος καταφατικῆς ἐνδεχομένης, λέγω δὴ τοῦ οὐδενὶ ἐξ ἀνάγκης, καὶ ἁπλῶς
25 ὅσα εἴρηται ἐπὶ ἐκείνων, ταῦτα καὶ ἐπὶ τούτων λεχθήσεται.

p. 35a18 Ἐὰν δὲ ληφθῇ τὸ Β παντὶ τῷ Γ ἐνδέχεσθαι, ὅπερ ἐστὶν
ἀληθές.

Τὸ ὅπερ ἐστὶν ἀληθὲς οὐ τοῦτό φησιν, ὅτι ἀληθές ἐστι τὸ XLVIIr
τὴν ἀποφατικὴν ἐνδεχομένην ποιῆσαι καταφατικήν (τοῦτο γὰρ ψεῦδός ἐστιν),

1 βαδιστικὸν B: βαδίζειν S 2 οὐ πάντως V 3 τούτων V ἀληθεύει t
4. 5 οὐδενὶ—ζῴῳ St: ἐξ ἀ. οὐδ. ζ. B: οὐδ. ζῴων ἐξ ἀ. V 5 λέγειν τὸ βαδίζειν V
6 ὑπάρχειν V 6. 7 ὥσπερ—εἴπομεν om. B 7 πρὸ τούτου] p. 180,28
9 post προτάσεων add. ὅτι B 11 ἔσται t Arist.: om. BV πρότερον V Arist.:
προτέροις Bt 13 τὴν—16 ἀποφατική om. V 15 ἐλάσσονα B 17 οὐδὲ γὰρ V
18 μὲν οὔσης B 19 ἡ BS: om. Vt 20 τῆς ἐλάττονος ἀντιστραφείσης B
21 καὶ prius om. V εἰ ex ἡ corr. V² 24 οὐδενὸς V 24. 25 ἁπλῶς ὅσα
scripsi: inv. ord. BSVt 25 ἐξ ἐκείνων t ταῦτα om. B post τούτων add.
τάδε B 26 δὲ om. B ὅ B 28 τὸ τὴν—p. 186,1 ἀληθές ἐστι om. B
29 ἀποφατικὴν t: μείζονα V post ποιῆσαι add. ἐνδεχομένην t

ἀλλὰ τοῦτό φησιν, ὅτι ἀληθές ἐστι τὸ δύνασθαι τὴν ἀποφατικὴν εἰς XLVII[r]
καταφατικὴν μεταληφθῆναι.

p. 35a 20 Ἐὰν δὲ μὴ ὑπάρχειν τεθῇ τὸ Β τῷ Γ καὶ μὴ ἐνδέχεσθαι μὴ ὑπάρχειν, οὐκ ἔσται συλλογισμὸς οὐδαμῶς, οὔτε στερητικῆς οὔσης οὔτε καταφατικῆς τῆς ΑΒ προτάσεως.

Τὰς ἐχούσας τὴν ἐλάττονα ἐνδεχομένην ἀποφατικὴν θεὶς τὴν δὲ μείζονα ὑπάρχουσαν ἢ καταφατικὴν ἢ ἀποφατικήν, νῦν τίθησι τὰς ἐχούσας τὴν ἐλάττονα ἀποφατικὴν ὑπάρχουσαν τὴν δὲ μείζονα ἐνδεχομένην ἢ καταφατικὴν ἢ ἀποφατικήν. καὶ φησὶν ἀσυλλογίστους εἶναι ταύτας. εἴπομεν γὰρ καὶ κατ' ἀρχὰς ὅτι ἐπὶ μὲν τῶν ἐχουσῶν ἐν τῇ μείζονι τὴν ἐνδεχομένην δεῖ καὶ τὸ ποσὸν τῆς μείζονος φυλάξαι καὶ τὸ ποιὸν τῆς ἐλάττονος, ἐπὶ δὲ τῶν ἐχουσῶν τὴν μείζονα ὑπάρχουσαν μόνον ἀρκεῖ φυλάξαι τὸ ποσὸν τῆς μείζονος, διότι ἡ μὲν ἐνδεχομένη ἀποφατικὴ μεταλαμβάνεται εἰς τὴν καταφατικὴν καὶ ποιεῖ συλλογιστικὴν τὴν συζυγίαν, ἡ δὲ ὑπάρχουσα ἀποφατικὴ οὐ μεταλαμβάνεται εἰς τὴν καταφατικήν. καὶ δείκνυσι ταύτας ἀσυλλογίστους τῷ καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ συνάγειν· ταύτῃ γὰρ ἐχαρακτηρίζοντο αἱ ἀσυλλόγιστοι. ληψόμεθα δὲ ἡμεῖς ὅρους μᾶλλον ἁρμόζοντας τοῖς προκειμένοις· ὡς γὰρ εἴπομεν, ἔστιν ὅτε ἀδεέστερον αὐτὸς κέχρηται τοῖς ὅροις. ἔστωσαν οὖν τοῦ μὲν τὸ παντὶ συνάγειν ὅροι λευκόν, περιπατητικόν, κύκνος· λευκὸν παντὶ ἢ μηδενὶ περιπατητικῷ ἐνδεχέσθω, περιπατητικὸν μηδενὶ κύκνῳ ὑπαρχέτω. καὶ συνάγεται λευκὸν παντὶ κύκνῳ ἐξ ἀνάγκης. τοῦ δὲ τὸ μηδενὶ συνάγεσθαι τὰ μὲν ἄλλα ὡσαύτως, ἀντὶ δὲ τοῦ κύκνου ἔστω κόραξ· λευκὸν παντὶ ἢ μηδενὶ περιπατητικῷ ἐνδεχέσθω, περιπατητικὸν μηδενὶ κόρακι ὑπαρχέτω, καὶ συνάγεται λευκὸν οὐδενὶ κόρακι ἐξ ἀνάγκης.

p. 35a 25 Φανερὸν οὖν ὅτι καθόλου τῶν ὅρων ὄντων καὶ τῆς μὲν ὑπάρχειν τῆς δὲ ἐνδέχεσθαι λαμβανομένης τῶν προτάσεων. ὅταν ἡ πρὸς τὸ ἔλαττον ἄκρον ἐνδέχεσθαι λαμβάνηται πρότασις, ἀεὶ γίνεται συλλογισμός.

Εἰκότως· εἴτε ⟨γὰρ⟩ καταφατικὴ ἡ ἐλάττων ἦν, ὅπως ἂν εἶχεν ἡ μείζων,

1 τὸ B: om. Vt 1. 2 εἰς καταφατικὴν om. V 3 μηδενὶ t ante τῷ add. παντὶ Arist. (om. n) 4 μὴ om. B (del. C) ἔστι V 5 κατηγορικῆς V 6 ἐνδεχομένην ἀποφατικὴν B: inv. ord. Vt 7 καταφατικὴν—ἀποφατικήν B: inv. ord. V: ἀποφατικὸν—καταφατικόν t 10 δὲ V κατ' ἀρχὰς] p. 162,27 sq. ὅτι om. V 11 post δεῖ add. δὲ t 14 τὴν alt. om. B 15 καὶ V: om. Bt post δείκνυσι add. δὲ t 16 τὸ alt. om. V ταύτην V 18 εἴπομεν] p. 184,13 post εἴπομεν add. ὅτι B 19 ἐχρήσατο B τὸ om. V συνάγοντος B 20 λευκὸν—22 ἐξ ἀνάγκης om. B μηδενὶ περιπατητικὸν t item-que vs. 23 22 συνάγοντος B 23 λευκὸν—25 ἐξ ἀνάγκης om. B 26 ὄντων] ὄν superscr. V[2] 27 ἐνδέχεσθαι] sequentia exaravit V[2]: hinc notatus est U 28 ἄκρον om. U ἐνδεχομένη B 30 γὰρ addidi cf. p. 190,23 ἦν BU: om. Vt οὕτως B ἂν superscr. V: om. t

αὐτόθεν καὶ δι' αὐτῶν τῶν προτάσεων ἐγίνετο ὁ συλλογισμός, εἴτε ἀπο- XLVIIr
φατικὴ ἦν, πάλιν τῆς μείζονος ἀδιαφορούσης κατὰ τὸ ποιόν, μεταλαμβανο- 25
μένης τῆς ἐλάττονος πάλιν ἐγίνετο ὁ συλλογισμός.

p. 35a28 Πλὴν ὁτὲ μὲν ἐξ αὐτῶν ὁτὲ δὲ ἀντιστραφείσης τῆς
5 προτάσεως.

Τὸ ἐξ αὐτῶν οὐ τοῦτό φησιν, ὅτι τῇ δι' εὐθείας δείξει (πάντες γὰρ ἐδείχθησαν τῇ μεταλήψει τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ), ἀλλ' ὅτι φυλάξαντες τὸ ἴδιον ποιόν· οἷοι ἦσαν οἱ ἔχοντες τὴν ἐλάττονα καταφατικήν. οἱ δὲ ἄλλοι οὐ δι' ἑαυτῶν ἐδείχθησαν, 30
10 ἀλλὰ μετελήφθησαν ἐξ ἀποφατικῆς εἰς καταφατικήν. τί οὖν; φήσειεν ἄν τις, οὐχὶ καὶ ἐπ' ἐκείνων πάντων μετελαμβάνομεν τὸν ἐνδεχόμενον τρόπον εἰς τὸν ὑπάρχοντα, ὥσπερ καὶ ἐπὶ τούτων τὴν ἀπόφασιν εἰς τὴν κατάφασιν, ὥστε οὐδὲ ἐκεῖνοι δι' ἑαυτῶν ἐδείχθησαν; τί οὖν φαμεν; ὅτι ὥσπερ οἱ ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι συλλογισμοὶ ἀνήγοντο εἰς τὸ πρῶτον σχῆμα, οὐχ
15 ὡς οὐκ ἔχοντες ἀφ' ἑαυτῶν τὸ ἀναγκαῖον (οὐδὲν γὰρ ἧττον, καὶ εἰ μὴ 35
ἀνήχθησαν εἰς τὸ πρῶτον σχῆμα, εἶχον ἐξ ἀνάγκης τὸ συμπέρασμα ἑπόμενον), ἀλλὰ διὰ τοῦτο καὶ μόνον ἀνήγοντο ὥστε σαφεστέραν ἡμῖν τὴν δεῖξιν διὰ τῶν γνωριμωτέρων γενέσθαι, οὕτω φημὶ καὶ ἐπὶ τῆς μεταλήψεως τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον ὅτι, κἂν μὴ μετελήφθησαν αἱ προτάσεις,
20 οὐδὲν ἧττον τὸ συμπέρασμα εἶχον ἑπόμενον. ἀλλ' ἐπειδὴ ἄδηλος τέως ἡμῖν ἡ μῖξις τοῦ ἀναγκαίου καὶ ἐνδεχομένου, διὰ τοῦτο γνωριμωτέραν ποιῶν τὴν διδασκαλίαν μετέλαβε τὴν ἐνδεχομένην εἰς τὴν ὑπάρχουσαν. ἐν μέν- 40
τοι ταῖς ἐχούσαις τὴν ἐλάττονα ἀποφατικὴν οὐχ ἁπλῶς διὰ τὴν σαφήνειαν τῆς διδασκαλίας ἡ μετάληψις γίνεται, ἀλλ' ὅτι φυλαττομένης τῆς ἀποφατι-
25 κῆς καὶ ὅσον ἐπ' αὐτῇ ἀσυλλόγιστός ἐστιν ἡ συζυγία. ἐπειδὴ δὲ οὐκ ἀδύνατόν ἐστι μεταλαμβάνειν αὐτὴν εἰς τὴν καταφατικήν, μεταλαμβανομένη ποιεῖ τὴν συζυγίαν συλλογιστικήν.

p. 35a29 Πότε δὲ τούτων ἑκάτερος καὶ διὰ τίνα αἰτίαν, εἰρήκαμεν.

Ὅτι δι' ἑαυτῶν μὲν δείκνυνται, ὅτε ἔχουσι τὴν ἐλάττονα καταφατικὴν 45

---

1. 2 εἴτε—ἀδιαφορούσης om. B 2 ἦν U: om. Vt 3 πάλιν—συλλογισμός om. B ὁ V: om. Ut 6 post τὸ add. δὲ Vt 8 φυλάξαντες BU: οἱ φυλάξαντες S: φυλάξαντα Vt οἷοι BSU: οἷον Vt ἦσαν SU: ἦ Vt: om. B 9 αὐτῶν U 10 ὅτι U φήσειεν ἄν τις S: φησιν BVt 11 μεταλαμβάνομεν B 12 ὡς B ἀπόφασιν—κατάφασιν SU: ἀποφατικὴν—καταφατικήν BVt 13 αὐτῶν V τί οὖν BSU: ἀλλὰ Vt 14 οὐχ om. pr. B 16 ἀνήχθησαν B: ἀνηνέχθησαν SUVt 20 τὸ om. pr. B εἶχον om. B ἐπεὶ B 21 ἡμῖν SUVt: ἐστὶν B ἡ BSU: om. Vt μῖξις SVt: δεῖξις BU τούτων B 22 μετελάμβανε B 24 τῆς διδασκαλίας om. B ὅτι BSU: ὅσον Vt 25 καὶ] τὸ S 26 μεταλαβεῖν Vt τὴν om. S 28 ἕκαστον αὐτῶν SU δι' ἣν SU 29 δείκνυται pr. B ὅτε ἔχουσι BSU: ὅταν ἔχωσι Vt

εἴτε ὑπάρχουσαν εἴτε ἐνδεχομένην. δι' ἀντιστροφῆς δέ, ὅτε ἡ ἐλάττων ἐστὶν XLVII[r]
ἀποφατικὴ ἐνδεχομένη. δι' ἣν δὲ αἰτίαν, ὅτι τῶν μὲν συλλογιστικῶν συζυγιῶν χαρακτηριστικὸν ἐν πρώτῳ σχήματι τὸ τὴν ἐλάττονα εἶναι καταφατικήν, καὶ ὅτι ἡ ἀποφατικὴ ἐνδεχομένη κατὰ τὸν τοῦ ἐνδεχομένου προσδιο-
5 ρισμὸν δύναται μεταληφθῆναι εἰς καταφατικήν.

p. 35a30 Ἐὰν δὲ τὸ μὲν καθόλου τὸ δ' ἐν μέρει ληφθῇ τῶν διαστημάτων, ὅταν μὲν τὸ πρὸς τὸ μεῖζον ἄκρον καθόλου τεθῇ καὶ ἐνδεχόμενον, εἴτε ἀποφατικὸν εἴτε καταφατικόν, τὸ δ' ἐν μέρει καταφατικὸν ὑπάρχον, ἔσται συλλογισμὸς τέλειος, καθάπερ καὶ
10 καθόλου τῶν ὅρων ὄντων. ἀπόδειξις δὲ ἡ αὐτὴ ἥπερ καὶ πρότερον.

Πληρώσας πάσας τὰς ἐξ ἀμφοτέρων καθόλου συζυγίας τὰς XLVII[v]
ἐχούσας τὴν μὲν μείζονα ἐνδεχομένην τὴν δὲ ἐλάττονα ὑπάρχουσαν καὶ τὰς ἀνάπαλιν ἐχούσας καὶ δείξας, τίνες μέν εἰσιν ἐν αὐταῖς ἀσυλλόγιστοι
15 τίνες δὲ συλλογιστικαί, νῦν τὰς ἐχούσας τὴν ἑτέραν μερικὴν ἐκτίθεται. πρώτας δὲ πάλιν ἐκτίθεται τὰς ἐχούσας τὴν μείζονα ἐνδεχομένην τὴν δὲ ἐλάττονα ὑπάρχουσαν. καὶ λέγει ὅτι, ἐὰν ἡ ἐλάττων καταφατικὴ ᾖ, ἡ δὲ μείζων ἀποφατικὴ ἢ καταφατική, συλλογισμὸς γίνεται, ὥσπερ ἐγίνετο καὶ ἐπὶ τῶν τοιούτων καθόλου προτάσεων. τουτέστιν ἐνδεχόμενον ἔσται τὸ συμ-
20 πέρασμα. δείκνυνται δὲ καὶ οὗτοι οἱ συλλογισμοὶ τῇ αὐτῇ δείξει διὰ τοῦ κατὰ παντὸς καὶ κατὰ μηδενός. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ὑπάρχειν ἐνδέχεται, τὸ δὲ Β τινὶ τῷ Γ ὑπάρχει μόνον, καὶ τὸ Α ἄρα τινὶ τῷ Γ ἐνδέχεται ὑπάρχειν· ἐπεὶ γὰρ τὸ Α ἐνδέχεται παντὶ τῷ Β, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδεχομένως ὑπάρχει· τὶ δὲ τῶν Γ μέρος αὐτοῦ ἐστι· τὸ ἄρα Α
25 τινὶ τῶν Γ ἐνδεχομένως ὑπάρχει. ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τῆς ἀποφατικῆς. ὅροι δὲ ὑπνοῦν, περιπατητικόν, ζῷον· τὸ ὑπνοῦν παντὶ περιπατητικῷ ἐνδέχεται ὑπάρχειν ἢ μὴ ὑπάρχειν, περιπατητικὸν τινὶ ζῴῳ ὑπάρχει, καὶ συνάγεται 'τὸ ὑπνοῦν τινὶ ζῴῳ ἐνδέχεται ὑπάρχειν ⟨ἢ μὴ ὑπάρχειν⟩'.

p. 35a35 Ὅταν δὲ καθόλου μὲν ᾖ τὸ πρὸς τὸ μεῖζον ἄκρον,
30 ὑπάρχον δὲ καὶ μὴ ἐνδεχόμενον, θάτερον δ' ἐν μέρει καὶ ἐνδεχόμενον καὶ τὰ ἑξῆς.

Τὰς ἐνηλλαγμένως τοῖς τρόποις ἐχούσας συζυγίας διὰ τούτων ἐκτίθεται,

1 ὅτι B ἔλαττον pr. U, corr. U² 2 τῶν BSU: τὸ Vt 4 καὶ superscr. V τὸν BSU: om. Vt 5 καταφατικόν U 7 τὸ prius U Arist.: om. BVt 10 ὄντων superscr. V ἢ U Arist. 12 τὰς ἐξ ἀμφοτέρων πάσας συζυγίας καθόλου B 13 μὲν B: om. UVt 14 ἀνάπαλιν UVt: ἄλλως πάλιν B αὐτοῖς UVt 17 ἐλάττονα B: ἑτέραν UVt λέγη V ᾖ om. U 20 καὶ BSU: om. Vt 21 post καὶ add. τοῦ S κατὰ alt. BS: om. UVt α' om. V τῷ β̄ παντὶ B ὑπάρχει V 22 ᾱ ἄρα BS: inv. ord. UVt 23 post β add. ὑπάρχειν B 24 post τῶν add. τοῦ S 25 τῷ S 26 περιπατητικὸν B: περιπατοῦν SUVt τὸ ὑπνοῦν—28 ὑπάρχειν om. B 28 ἢ μὴ ὑπ. addidi 29 ἐὰν U 31 καὶ τὰ (τὸ B) ἑξῆς BU: ἐάν τε—ἀτελής Vt 32 ἐνηλεγμένως Vt

λέγω δὴ τὰς ἐχούσας τὴν μείζονα ὑπάρχουσαν τὴν δὲ ἐλάττονα ἐνδεχο- XLVII[v]
μένην, καὶ ὥσπερ ἐπὶ τῶν καθόλου συζυγιῶν τὰς οὕτως ἐχούσας ἔλεγε
πάσας συλλογιστικὰς εἶναι, ὅπως ἂν εἶχον κατὰ τὸ ποιόν, οὕτως καὶ ἐπὶ
τούτων φησί, καὶ ἁπλῶς εἰπεῖν, οἷα εἶχον συμπεράσματα αἱ καθόλου συζυ- 20
γίαι, τὰ αὐτὰ ταῦτα ἕξουσι καὶ αἱ ὁμοίως ἐκείναις κατὰ τὸ ποιὸν ἔχουσαι
μερικαί. ἀτελεῖς δέ εἰσι καὶ αὗται πᾶσαι αἱ συζυγίαι, ὥσπερ καὶ αἱ καθό-
λου αἱ ὁμοίως αὐταῖς ἔχουσαι, διότι οὐκ ἐκ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ
μηδενὸς δείκνυνται, ἀλλὰ δέονται τῆς τοῦ ἀδυνάτου δείξεως πᾶσαι.

p. 35ᵃ40 Πλὴν οἱ μὲν διὰ τοῦ ἀδυνάτου δειχθήσονται, οἱ δὲ διὰ
τῆς ἀντιστροφῆς τῆς τοῦ ἐνδέχεσθαι, καθάπερ ἐν τοῖς πρότερον. 25

Δεῖ προσθεῖναι τὸν 'καί' σύνδεσμον καὶ εἰπεῖν οὕτως· οἱ δὲ καὶ διὰ
τῆς ἀντιστροφῆς· καὶ γὰρ οἱ δι' ἀντιστροφῆς δεικνύμενοι δέονται καὶ
τῆς τοῦ ἀδυνάτου δείξεως. δείκνυνται δὲ διὰ μὲν τοῦ ἀδυνάτου μόνον οἱ
ἔχοντες τὴν ἐλάττονα καταφατικήν, ὥσπερ καὶ ἐπὶ τῶν καθόλου. εἰ γὰρ
τὸ Α παντὶ ἢ μηδενὶ τῷ Β ὑπάρχει, τὸ δὲ Β τῷ Γ τινὶ ἐνδέχεται,
λέγω, φησίν, ὅτι συνάγεται τὸ Α τινὶ ἢ μὴ παντὶ τῷ Γ ἐνδέχεσθαι ὑπάρ- 30
χειν, ἐπὶ μὲν τῆς ἐχούσης τὴν μείζονα ἀποφατικὴν τὸ μὴ παντί, ἐπὶ δὲ
τῆς ἐχούσης αὐτὴν καταφατικὴν τὸ τινί. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθῆ τὰ
ἀντιφατικῶς ἀντικείμενα, ἐπὶ μὲν τῆς καταφατικῆς τὸ ἐξ ἀνάγκης μηδενί,
ἐπὶ δὲ τῆς ἀποφατικῆς τὸ παντί· ἀλλ' ἀμφοτέροις ἀδύνατόν τι ἀκολουθεῖ.
ἐπὶ μὲν τῆς καταφατικῆς· εἰ γὰρ τὸ Α ἐξ ἀνάγκης μηδενὶ τῷ Γ κατὰ τὴν
ὑπόθεσιν, τὸ δὲ Β τῷ Γ ὑπάρχει τινί (μεταληψόμεθα γὰρ πάλιν διὰ τὸ
σαφὲς τὴν ἐνδεχομένην εἰς τὴν ὑπάρχουσαν), τὸ Α ἄρα οὐ παντὶ τῷ Β 35
ὑπάρχει· ἦν δὲ καὶ παντί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ
ὑποθέσθαι τὸ Α τῷ Γ ἐξ ἀνάγκης μηδενί· ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ
τὸ κατὰ πάντα ἀντικείμενον τὸ 'ἐνδέχεται τινί', ὅπερ ἔδει δεῖξαι. ὁμοίως
δὲ καὶ ἐπὶ τῆς ἀποφατικῆς ἔχει· λέγω γὰρ ὅτι συνάγει τὸ Α τῷ Γ ἐνδέ-
χεσθαι μὴ παντὶ ὑπάρχειν. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ κατὰ πάντα
ἀντικείμενον τὸ 'ἀνάγκη παντί'· ἐπεὶ οὖν τὸ Α τῷ Γ ἀνάγκη παντί, τὸ
δὲ Β τῷ Γ ὑπάρχει τινί, τὸ ἄρα Α τῷ Β ὑπάρχει τινί· ἦν δὲ καὶ 40
μηδενί, ὅπερ ἀδύνατον· ψεῦδος ἄρα τὸ 'ἀνάγκη παντὶ τῷ Γ τὸ Α', ἀληθὲς

---

2. 3 πάσας ἔλεγε Vt 4 εἰπεῖν S: εἰπὼν BUVt 5 αἱ SU: om. BVt
6 ὡς B 7 post αὐταῖς add. μερικαὶ B ἔχουσαι SVt: ἔχουσι BU
τοῦ alt. om. B 8 δείκνυται pr. U, corr. U² τοῦ SU: δι' B: διὰ τοῦ Vt
9 οἱ δὲ—11 οὕτως om. B 11 προσθεῖσθαι Vt 11. 12 διὰ τῆς SUVt: δι' B
12 δι' BSU: διὰ τῆς Vt 13 τοῦ prius BUVt: δι' S δὲ om. U: οὖν S
μὲν διὰ U 15 τινὶ BSU: om. Vt 16 μὴ superscr. U 17 et 18 τὸ
deleverim 18 γὰρ scripsi cf. vs. 28: δὲ BSUVt 19 οὐδενί SU 21 γὰρ
om. S: post μὲν transposuerim 22 μεταληψώμεθα Vt 23 σαφὲς BSU:
ἀσαφὲς Vt τὴν alt. om. B α ἄρα BS: inv. ord. UVt 24 ὅ B
post τὸ prius add. δὲ B at cf. p. 91,10 n. 25 μηδενὶ ἐξ ἀνάγκης B
27. 28 ἐνδέχεται B 30 β̄ alt. BSU: γ' Vt ὑπάρχει alt. om. S: ὑπάρχειν ἀνάγκη B
at cf. vs. 24 τινί alt. BVt et ante τῷ β S: παντί U 31 ὅ B

δὲ τὸ ἐνδέχεσθαι μὴ παντί, ὅπερ ἔδει δεῖξαι. καὶ οὗτοι μὲν οἱ διὰ τοῦ XLVII[v]
ἀδυνάτου μόνου δεικνύμενοι. διὰ δὲ τοῦ ἀδυνάτου καὶ τῆς ἀντιστροφῆς οἱ
ἔχοντες τὴν ἐλάττονα ἀποφατικήν· ἀντιστραφείσης γὰρ τῆς ἐλάττονος οὕτως
ἡ διὰ τοῦ ἀδυνάτου γίνεται δεῖξις ὥσπερ καὶ ἐπὶ τῶν πρότερον. σημει-
5 ωτέον δὲ πάλιν κἀν τούτοις ὅτι διαστήματα τὰς προτάσεις καλεῖ, ἐπειδή, 45
ὡς ἐλέγομεν, ἐξομοιῶσαι βούλεται τὰ ἐν συλλογισμοῖς τοῖς κατὰ γεωμετρίαν.
εἰκότως οὖν ὥσπερ αἱ προτάσεις ἀνάλογον ἔχουσαι ταῖς γραμμαῖς διαστή-
ματα ἐκλήθησαν ὥσπερ καὶ αἱ γραμμαί, οὕτω καὶ οἱ συλλογισμοὶ ἀνάλογον
ἔχοντες τοῖς σχήμασιν, διότι ὥσπερ ἐκεῖνα ἐκ γραμμῶν οὕτως καὶ οὗτοι
10 ἐκ προτάσεων σύγκεινται, σχήματα ἐκλήθησαν.

p. 35b2 Ἔσται δὲ συλλογισμὸς διὰ τῆς ἀντιστροφῆς, καὶ ὅταν ἡ
μὲν καθόλου πρὸς τὸ μεῖζον ἄκρον τεθεῖσα σημαίνῃ τὸ ὑπάρ- 50
χειν ἢ μὴ ὑπάρχειν, ἡ δ' ἐν μέρει στερητικὴ οὖσα τὸ ἐνδέχε-
σθαι λαμβάνῃ.

15 Τὸ 'δέ' ἐνταῦθα ἀντὶ τοῦ 'καί' ληπτέον· ἔστι γὰρ συμπέρασμα XLVIII[r]
τῶν εἰρημένων. εἰπὼν γὰρ ὅτι τῆς ἐλάττονος οὔσης ἐνδεχομένης ἀπο-
φατικῆς γίνεται καὶ οὕτω συλλογισμός, αὐτὸ τοῦτο ὅτι δυνατόν ἐστι διὰ
τούτων κατασκευάζει, διὰ τὸ ἀντιστρέφειν τὰς ἀποφατικὰς τοῦ ἐνδεχομένου
πρὸς τὰς καταφατικάς. τῆς μὲν οὖν μερικῆς ἀποφατικῆς εἰς τὴν μερικὴν 5
20 καταφατικὴν μεταληφθείσης εἰκότως γίνεται ὁ συλλογισμός.

p. 35b8 Ὅταν δὲ τὸ μὴ ὑπάρχειν λαμβάνῃ ἡ κατὰ μέρος τεθεῖσα,
οὐκ ἔσται συλλογισμός.

Εἰκότως· οὐκέτι γὰρ ἡ μερικὴ ὑπάρχουσα ἀποφατικὴ μεταλαμβάνεται 10
εἰς τὴν καταφατικήν. δεικτέον δὲ αὐτήν, φησίν, ὅτι ἐστὶν ἀσυλλόγιστος
25 διὰ τοῦ ἀδιορίστου, ὥσπερ ἐν τοῖς ἁπλοῖς συλλογισμοῖς ἔλεγε τοῖς ἔχουσι
τὴν ἐλάττονα μερικὴν ἀποφατικήν, ὅτι δείκνυνται αἱ τοιαῦται ἀσυλλό-
γιστοι ἐκ τοῦ ἀόριστον ἔχειν τὴν μερικὴν ἀποφατικὴν τὴν ἀλήθειαν. ἐπειδὴ
γὰρ ἀληθεύει ἢ δι' ἑαυτὴν ἢ διὰ τὴν καθόλου ἀπόφασιν, ὅταν μὲν δι' ἑαυ-

4 καὶ BS: om. UVt προτέρων BU 5 διάστημα pr. U, corr. U[2] post ἐπειδὴ add. οὖν B 6 ἐλέγομεν] p. 66,29 sq. συλλογισμῶ B 7 ἔχουσι B 7. 8 διάστημα pr. U, corr. U[1] 8 καὶ ὥσπερ B: ὥσπερ S 9 ἐκεῖναι SU καὶ om. Vt οὗτοι S: αὗται BUVt 10 post ἐκ add. τῶν Vt προτάσεως συγκείμεναι B 11 post συλλογισμὸς add. καὶ B 12 τεθεῖσα πρὸς τὸ ἄκρον μεῖζον UVt 14 λαμβάνει UVt 15 τὸ B: τὸν UVt 18 διὰ τοῦ U 19 μὲν om. U 19. 20 εἰς μερικὰ καταφατικὰ B 21 ante τεθεῖσα add. πρότασις B, post τεθεῖσα Vt: om. U Arist. 23 οὐκ ἔστι pr. B 24 δεικτέον BSU: δείκνυσι Vt αὐτὴν BSU: ταύτην Vt ἐστὶν ἀσυλλόγιστος BU: inv. ord. S: ἔσται συλλογισμὸς Vt 25 ἀορίστου S, pr. U ἔλεγε] c. 4 p. 26a39 sq. τὴν ἔχουσαν Vt 26 αἱ αὐταὶ U 27 ἀορίστως U: διορίστου B τὴν ἀλήθειαν om. S 28 ἀποφατικὴν S μὲν BSU: δὲ Vt

τὴν ἀληθεύη. ὑποδύεται συλλογιστικὴν συζυγίαν τῷ δύνασθαι μεταλαμβά- XLVIIIr
νεσθαι εἰς τὴν καταφατικήν, διότι ὃ μὴ παντὶ ὑπάρχει, τοῦτο τινὶ ὑπάρχει· 15
διὰ τοῦτο ἐκβάλλει αὐτὴν ὡς ἀόριστον. ὅταν δὲ λάβωμεν αὐτὴν διὰ
τὴν καθόλου ἀληθεύουσαν, τότε προδήλως ἀσυλλόγιστος οὖσα ἐλέγχεται·
5 συνάγει γὰρ καὶ τὸ παντὶ καὶ τὸ μηδενί. οἱ δὲ ὅροι, οὓς μὲν αὐτὸς παρα-
λαμβάνει, οὐ πάνυ εἰσὶ προσφυεῖς τοῖς προκειμένοις, διότι τό τε λευκὸν
τισὶ ζῴοις ἐξ ἀνάγκης ὑπάρχει ἢ οὐχ ὑπάρχει καὶ τὸ ζῷον πάσῃ τῇ
χίονι ἢ τῇ πίττῃ ἐξ ἀνάγκης οὐχ ὑπάρχει. ἔστωσαν οὖν ὅροι τοῦ μὲν
παντὶ κινούμενον, λευκόν, βαδίζον· κινούμενον παντὶ λευκῷ ἐνδέχεται ὑπάρ- 20
10 χειν, λευκὸν ὑπαρχέτω μὴ παντὶ βαδίζοντι, καὶ συνάγεται κινούμενον παντὶ
βαδίζοντι ἐξ ἀνάγκης. τοῦ δὲ μηδενὶ κινούμενον, λευκόν, ἔστω· κινού-
μενον ἐνδέχεται παντὶ λευκῷ, λευκὸν μὴ παντὶ ἔστῳ ὑπαρχέτω, καὶ συν-
άγεται κινούμενον οὐδενὶ ἔστῳ ἐξ ἀνάγκης.

p. 35ᵇ11 Ἐὰν δὲ τὸ καθόλου τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον, τὸ δ'
15 ἐν μέρει πρὸς τὸ μεῖζον, ἐάν τε στερητικὸν ἐάν τε καταφατικόν. 25

Λειπόμεναι ἦσαν αἱ συζυγίαι αἱ ἔχουσαι τὴν μείζονα μερικὴν τὴν δὲ
ἐλάττονα καθόλου, αἵτινες πᾶσαι ἀσυλλόγιστοί εἰσιν, ὅπως ἂν ἔχωσι τοῦ
τε τρόπου καὶ τοῦ ποιοῦ. ὁμοίως δέ, κἂν μερικαὶ ἀμφότεραι ληφθῶσι
κἂν ἀμφότεραι ἀδιόριστοι ἢ ἡ μὲν μερικὴ ἡ δὲ ἀδιόριστος· καὶ αὗται
20 γὰρ πάλιν, ὅπως ἂν ἔχωσι κατά τε τοὺς τρόπους καὶ τὸ ποιόν, πᾶσαι 30
ἀσυλλόγιστοί εἰσιν. ἀπόδειξις δὲ τοῦ ἀσυλλογίστους αὐτὰς εἶναι ἡ αὐτὴ
ἥπερ καὶ ἐπὶ τῶν ἄλλων ἀσυλλογίστων· αὕτη δέ ἐστιν ἡ παραδειγματική·
εὑρίσκονται γὰρ ὅροι συνάγοντες καὶ τὸ παντὶ καὶ τὸ μηδενί· ἐφ' ὧν δὲ καὶ
τὸ παντὶ καὶ τὸ μηδενὶ συνήγετο, αὗται ἀσυλλόγιστοι ἦσαν αἱ συζυγίαι διὰ
25 τὴν ἀοριστίαν. ἔστωσαν οὖν ὅροι πάντων κοινοὶ τοῦ μὲν παντὶ ἐπιστήμη,
κινούμενον, γραμματικόν· ἐπιστήμη τινὶ κινουμένῳ ἐνδεχέσθω ὑπάρχειν ἢ
μὴ ὑπάρχειν, κινούμενον παντὶ ἢ μηδενὶ γραμματικῷ ὑπαρχέτω, καὶ συν- 35
άγεται ἐπιστήμη παντὶ γραμματικῷ ἐξ ἀνάγκης ὑπάρχειν. τοῦ δὲ μηδενὶ
ἐπιστήμη, κινούμενον, ἵππος ἢ ἁπλῶς ἄλογον ζῷον· ἐπιστήμη ἐνδεχέσθω
30 τινὶ κινουμένῳ ἢ μὴ παντί, κινούμενον ὑπαρχέτω παντὶ ἢ μηδενὶ ἵππῳ,
καὶ συνάγεται ἐπιστήμη ἐξ ἀνάγκης οὐδενὶ ἵππῳ. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

---

1. 2 μεταλαμβάνεσθαι S: διαλαμβάνεσθαι BUVt 2 post τοῦτο add. εἰς τὸ ἕτερον BU τὶ B 3 ἐκλαμβάνει Y 5 μηδενὶ—παντί B 7 πάσῃ B: πάλιν UVt 9 κινούμενον παντὶ—11 ἐξ ἀνάγκης om. B παντὶ λευκῷ ἐνδέχεται SU: ἐνδ. π. λ. Vt 12 ante λευκὸν add. τὸ B μὴ παντὶ ἔστῳ Vt: μηδενὶ (μὴ τινὶ S) βαδίζοντι BSU 15 post καταφατικόν add. καὶ τὰ ἑξῆς B 16 εἰσι συζυγίαι S αἱ alt. om. Vt 17 πᾶσαι post εἰσι collocat U, ante εἰσιν SVt συλλόγιστοι V 18 δέ om. U 19 ἀόριστος U 20 γὰρ S: om. BUVt ὅπως ἔχουσι B post καὶ add. κατὰ B post πᾶσαι add. αὗται BUVt: om. S 23 γὰρ e δὲ corr. B² μηδενὶ—παντί B 25 οὖν SVt: γὰρ B: om. U κοινοὶ πάντων B παντὶ μὲν B 26 γραμματική SVt κινουμένῳ τινὶ Vt ἐνδέχεσθαι B 29 post ἄλογον add. ἢ U 31 ὁμοίως] huc usque V

p. 35ᵇ14 Οὐδ' ὅταν ἐν μέρει ᾖ ἀδιόριστοι τεθῶσιν αἱ προτά- XLVIIIʳ
σεις, εἴτ' ἐνδέχεσθαι λαμβάνουσαι εἴτε ὑπάρχειν εἴτε ἐναλλάξ.

Εἰ μὲν συμπεραίνων πάντα τὰ περὶ τοῦ ἐνδεχομένου λέγει, λέγοι ἂν τὸ ἐναλλὰξ ὥστε τὴν μὲν εἶναι ὑπάρχουσαν τὴν δὲ ἐνδεχομένην· εἰπὼν γὰρ εἴτε ἐνδέχεσθαι λαμβάνουσαι εἴτε ὑπάρχειν ἐπήγαγε τὸ ἐναλλάξ. εἰ δὲ τὰ προσεχῶς εἰρημένα περαίνει, λέγω δὴ τὴν μῖξιν τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου, οὕτως ἀκουστέον τὸ ἐναλλάξ, εἴτε ἐν μέρει εἴτε ἀδιόριστοι εἴτε ἐναλλάξ, ἀντὶ τοῦ 'ἡ μὲν μερικὴ ἡ δὲ ἀδιόριστος'.

p. 35ᵇ20 Φανερὸν οὖν ὅτι τοῦ μὲν πρὸς τὸ μεῖζον ἄκρον καθόλου τεθέντος ἀεὶ γίνεται συλλογισμός.

Προσυπακουστέον τῷ ἀεὶ γίνεται συλλογισμὸς 'ὅταν ἡ ἐλάττων καταφατικὴ ᾖ'· τότε γὰρ ἀεὶ γίνεται συλλογισμός· ἐπεί τοί γε, ἐὰν ἡ μὲν μείζων ᾖ καθόλου ἡ δὲ ἐλάττων ἀποφατικὴ ὑπάρχουσα, οὐ γενήσεται συλλογισμός, ὡς δέδεικται. ἐζήτηται δὲ ἡμῖν, μήποτε οἱ ὅροι οἱ ληφθέντες εἰς τὸ δεῖξαι τὴν συζυγίαν τὴν ἔχουσαν τὴν ἐλάττονα μερικὴν ἀποφατικὴν ὑπάρχουσαν τῆς | μείζονος καθόλου οὔσης ἐνδεχομένης ἢ ἀποφατικῆς XLVIIIᵛ
ἢ καταφατικῆς, ἐὰν οἱ αὐτοὶ ὅροι ληφθῶσι καὶ τῆς ἐλάττονος μερικῆς οὔσης καταφατικῆς ὑπαρχούσης, δείξουσιν αὐτὴν ἀσυλλόγιστον· συνάξουσι γὰρ καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης. λέγω γὰρ οὕτως· κινούμενον παντὶ λευκῷ ἐνδεχέσθω, λευκὸν τινὶ βαδίζοντι ὑπαρχέτω, καὶ συνάγεται 'κινούμενον ἐξ ἀνάγκης παντὶ βαδίζοντι ὑπάρχει'. συνάγεται δὲ πάλιν καὶ τὸ οὐδενὶ οὕτως· κινούμενον παντὶ λευκῷ ἐνδεχέσθω, λευκὸν ὑπαρχέτω τινὶ ἐστῶτι, καὶ συνάγεται 'κινούμενον οὐδενὶ ἐστῶτι ἐξ ἀνάγκης'. ὁμοίως δέ, κἂν ἐνδεχομένη ὑπάρχῃ ἡ μερική, τὰ αὐτὰ πάλιν συμβαίνει. ὥστε ὅσον ἐκ τῶν ὅρων τούτων δειχθήσονται καὶ αὗται ἀσυλλόγιστοι. τί οὖν ἐροῦμεν; ὅτι αὐτὸς εἶπεν ὁ φιλόσοφος ὅτι δεῖ τὴν μείζονα πρότασιν μὴ ὁρίζεσθαι χρόνῳ ὑπὸ τῆς ἐλάττονος· ὡρίζετο δὲ χρόνῳ, ὁπηνίκα ὑπερέτεινεν ὁ μέσος ὅρος τὸν μείζονα. κἀνταῦθα τοίνυν ὑπερέτεινεν ὁ μέσος ὅρος τὸν μείζονα· εἰ γὰρ τὸ λευκόν, ὅπερ ἐστὶν ὁ μέσος ὅρος, κατηγορεῖται ἐπὶ τοῦ βαδίζοντος καὶ ἐπὶ τοῦ ἑστῶτος, τὸ δὲ κινούμενον, ὁ μείζων, ἐπὶ μόνου τοῦ βαδίζοντος κατηγορεῖται, οὐκέτι δὲ καὶ ἐπὶ τοῦ ἑστῶτος, δῆλον ὅτι ἐπὶ πλέον ἐστὶν ὁ

---

2 λαμβάνουσαι U Arist.: λαμβάνουσιν Bt 3 ante εἰ add. ἐπήγαγε τὸ ἐναλλὰξ ταῦτα Ut λέγει BU: λέγοι t 6 περαίνοι Ut δὲ U 11 τῷ scripsi: τὸ BUt ante ὅταν addiderim τὸ 11. 12 ὅταν—συλλογισμός om. t 12 ᾖ U: om. B 13 γίνεται B 14 δέδεικται] p. 35ᵇ8 ἐζήτηται U δὲ om. B 17 post ἐὰν add. οὖν t οὔσης post 18 ὑπαρχούσης collocat S: om. t 20 ἐνδεχέσθω BU: ὑπαρχέτω t ὑπαρχέτω Ut: ὑπαρχόντως BS 20. 21 παντὶ βαδίζοντι ἐξ ἀνάγκης t 22 ἐνδεχέσθω Ct: ἐνδέχεται BU 24 ἡ μερικὴ ὑπάρχει t τὴν αὐτὴν B 26 εἶπεν] p. 34ᵇ7 27 τῆς τοῦ ἐλάσσονος B 29 ὁ B 31 οὐκέτι δὲ SUt: οὐ μὴν B ἑνεστῶτος pr. U πλέον BS: πλεῖον Ut

μέσος ὅρος τοῦ μείζονος. εἰ δὲ τοῦτο, μερικὴ γίνεται ἡ μείζων πρότα- XLVIII
σις· μερικῆς δὲ αὐτῆς γινομένης ἀσυλλόγιστος γίνεται ἡ συζυγία, ὥστε εἰκότως
συνήγαγε καὶ τὸ παντὶ καὶ τὸ οὐδενί. οὕτω μὲν οὖν καταφατικῆς οὔσης
τῆς ἐλάττονος. εἰ μέντοι ἀποφατικὴ εἴη, οὐκέτι ὁρίζεται ἡ μείζων ὑπὸ 15
5 τῆς ἐλάττονος ὑπερτείνοντος τοῦ μέσου τὸν μείζονα· εἰ γὰρ καὶ λέγομεν
τὸ λευκὸν μηδενὶ ὑπάρχειν βαδίζοντι μηδ' ἐστῶτι, ἐπειδὴ ἀκοφάσκεται
αὐτῶν καὶ οὐ κατηγορεῖται, διὰ τοῦτο οὐκ ἔσται ἐπὶ πλεῖον τοῦ μείζονος.
δῆλον οὖν ὅτι ἡ ἔχουσα τὴν ἐλάττονα μερικὴν ἀποφατικὴν τὴν δὲ μεί-
ζονα καθόλου δι' αὐτὸ τοῦτο τὸ ἔχειν τὴν ἐλάττονα ἀποφατικὴν ὑπάρ-
10 χουσαν καὶ μόνον ἀσυλλόγιστός ἐστι καὶ οὐ διὰ τὸ ὁρίζεσθαι χρόνῳ τὴν
μείζονα· οὐδὲ γὰρ ὁρίζεται, ὡς εἴπομεν.

p. 35b22 Ὅταν δὲ ἡ μὲν ἐξ ἀνάγκης ὑπάρχειν ἢ μὴ ὑπάρχειν ἡ 20
δὲ ἐνδέχεσθαι σημαίνῃ τῶν προτάσεων, ὁ μὲν συλλογισμὸς
ἔσται τὸν αὐτὸν τρόπον ἐχόντων τῶν ὅρων, καὶ τέλειος, ὅταν
15 πρὸς τῷ ἐλάττονι ἄκρῳ τεθῇ τὸ ἀναγκαῖον.

Διαλεχθεὶς περὶ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος τῆς
ἐν πρώτῳ σχήματι καὶ δείξας ποῖαι μέν εἰσιν αὐτῶν συλλογιστικαί,
ποῖαι δὲ ἀσυλλόγιστοι, νῦν τρέπεται ἐπὶ τὴν μῖξιν τοῦ ἀναγκαίου καὶ τοῦ 25
ἐνδεχομένου. καὶ φησὶν ἐπὶ τούτων γίνεσθαι συλλογιστικὰς συζυγίας ὡσαύ-
20 τως ἐχούσης τῆς τάξεως τῶν ὅρων, ὥσπερ εἶχε καὶ ἐπὶ τῆς μίξεως τοῦ
ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος, λέγω δὲ τῆς μὲν μείζονος ἀναγκαίας
οὔσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης, ὅπως ἂν ἔχωσι κατὰ τὸ ποιὸν ἀμφό-
τεραι· κἂν γὰρ ἡ ἐλάττων ᾖ ἀποφατική, οὐδὲν ἧττον συλλογιστικὴ ἔσται
ἡ συζυγία μεταλαμβανομένης αὐτῆς εἰς καταφατικὴν διὰ τὸ ἐνδεχομένην
25 εἶναι. ἐὰν δὲ ἡ μὲν μείζων ἐνδεχομένη ᾖ ἡ δὲ ἐλάττων ἀναγκαία, τῆς
μὲν μείζονος ὁμοίως τὸ ποιόν ἐστιν ἀδιάφορον, τῆς δὲ ἐλάττονος οὐκέτι, 30
ἀλλὰ μόνον δεῖ αὐτὴν καταφατικὴν εἶναι, ἵνα γένηται συλλογιστική.

p. 35b26 Τὸ δὲ συμπέρασμα κατηγορικῶν μὲν ὄντων τῶν ὅρων
τοῦ ἐνδέχεσθαι καὶ οὐ τοῦ ὑπάρχειν ἔσται, ἀμφοτέρων καὶ
30 καθόλου καὶ μὴ καθόλου τιθεμένων.

Ὥσπερ ἐπὶ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου διάφορα

4 ἡ B: ὁ SUt 5 τῆς scripsi: τοῦ BSUt καὶ S: om. BUt λέγει B
6 ἐπεὶ B 9 δι' αὐτὸ τοῦτο SUt: διὰ B τὴν ἐλάττονα post ὑπάρχουσαν
collocant BU post ἐλ. add. μερικὴν t: om. BSU 10 καὶ prius om. S, at
cf. p. 187,17 ἀσυλλόγιστόν B 12 μίξις ἀναγκαίου καὶ ἐνδεχομένου σχήματος πρώτου
inscr. B ἢ μὴ ὑπάρχειν Bt (d n, rec. u): om. U Arist. ἡ alt. ex ὁ corr. U²
15 ἐλάσσονι B τεθείη BU 16 μείξεως t itemque vs. 20 τῆς alt. Bt: τοῦ U
17 μέν om. B αὐτῶν om. B: ante εἰσι collocat S post συλλ. add. καὶ B
19 post φησὶν add. καὶ Ut συλλογιστικὴν συζυγίαν B 20 ἤπερ B
21 δὲ BSU: δὴ t 22 ὅπερ pr. B, corr. B² 23 συλλογιστικὴ ἔσται οὐδὲν ἧσσον B
29 ἀμφοτέρων om. Arist. καὶ prius om. Ut(d) 31 ἐνδεχομένου—ὑπάρχοντος B
τοῦ alt. BS: om. Ut

ἐγίνοντο τὰ συμπεράσματα καὶ ποτὲ μὲν τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχο- XLVIIIᵛ
μένου ποτὲ δὲ ἄλλου τινός, οὕτω καὶ ἐπὶ τούτων φησὶν ὅτι, ἐὰν μὲν ὦσιν
ἀμφότεραι καταφατικαὶ ἢ ἡ μείζων ἐνδεχομένη ἀποφατική, τοῦ κατὰ τὸν
διορισμὸν ἐνδεχομένου ἐστὶ τὸ συμπέρασμα, ὅταν δὲ ἡ μείζων ἀποφατικὴ
ἀναγκαία, οὐκέτι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἐστὶ τὸ συμπέρασμα
ἀλλὰ τοῦ συντρέχοντος τῷ ὑπάρχοντι. τέλειοι δὲ γίνονται συλλογισμοὶ
ἐπὶ ταύτης τῆς μίξεως οἱ ἔχοντες τὴν ἀναγκαίαν καταφατικὴν οὖσαν ἐν τῇ
ἐλάττονι τὴν δὲ μείζονα ἀποφατικὴν ἢ καταφατικὴν ἐνδεχομένην. ὁμοίως
δὲ ἔχουσι καὶ αἱ μερικαὶ ἐπί τε τῶν συμπερασμάτων καὶ ἐπὶ τῶν τελείων,
ὡς εἶχον καὶ αἱ καθόλου συζυγίαι.

p. 35ᵇ33 Τὸ δὲ ἐνδέχεσθαι ἐν τῷ συμπεράσματι τὸν αὐτὸν τρόπον ληπτέον ὅνπερ καὶ ἐν τοῖς πρότερον.

Ἐπειδὴ εἶπεν ὅτι, ὅταν τὸ στερητικὸν ἀναγκαῖον ᾖ, τὸ συμπέρασμα ἔσται καὶ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν καὶ τοῦ μὴ ὑπάρχειν, διὰ τοῦτο ἐπήγαγεν ὅτι ἐνδεχόμενον ἐνταῦθα λαμβάνειν δεῖ οὐ τὸ κατὰ τὸν διορισμὸν ἀλλ', ὥσπερ καὶ τὸ πρὶν ἐλάμβανε, τὸ συντρέχον ἄλλῳ τινί, τουτέστι τῷ ὑπάρχοντι· κατηγορεῖται γὰρ τὸ ἁπλῶς ἐνδεχόμενον καὶ κατὰ τοῦ ὑπάρχοντος.

p. 35ᵇ34 Τοῦ δὲ ἐξ ἀνάγκης μὴ ὑπάρχειν οὐκ ἔσται συλλογισμός· ἕτερον γὰρ τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχειν καὶ τὸ ἐξ ἀνάγκης μὴ ὑπάρχειν.

Εἰπὼν ὅτι τὰ συναγόμενα συμπε|ράσματα ἢ τοῦ κατὰ τὸν διορισμὸν XLIXʳ
ἐνδεχομένου ἐστὶν ἢ τοῦ ⟨ἁπλῶς⟩ ἐνδεχομένου, τουτέστι τοῦ τῷ ὑπάρχοντι
συντρέχοντος, ἐν τούτοις ἐπάγει ὅτι κατ' οὐδένα τρόπον τοῦ ἐξ ἀνάγκης
μὴ ὑπάρχειν γίνεται ὁ συλλογισμός, οὐδαμῶς ἄρα τοῦ ἀναγκαίου ἔσται
συλλογισμός. εἶτα εἰπὼν ὅτι τοῦ ἐξ ἀνάγκης μηδενὶ οὐ γίνεται συλλογισμός,
ἐπειδὴ ἀνωτέρω ἔλεγεν ὅτι τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχειν ταὐτόν ἐστι τῷ
ἐνδεχομένῳ, διὰ τοῦτο ἐν τούτοις ἐπήγαγεν ὅτι ἕτερόν ἐστι τὸ ἐξ ἀνάγκης μὴ ὑπάρχειν καὶ τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχειν. τὸ μὲν γὰρ ἐξ ἀνάγκης μὴ ὑπάρχειν τὸ μηδαμῇ μηδαμῶς ὑπάρχον σημαίνει, ὅπερ καὶ φαμὲν ἐνταῦθα μὴ συνάγεσθαι· τὸ δὲ μὴ ἐξ ἀνάγκης ὑπάρχειν τὸ ὑπάρχον μὲν οὐκ ἀναγκαίως δέ, ἀλλ' ἐνδεχομένως ἀποφασκόμενον.

1 ἐγίνετο S τὰ om. U 3 post ἀμφότεραι add. ὡς U 7 ταύτης BSU: πάσης t S ἐλάσσονι B 12 καὶ BUt(Cn): om. Arist. τῷ B 13 ἐπεὶ B post ᾖ add. καὶ B 16 τὸ πρὶν] c. 15 p. 34ᵇ27 sq. ἐλάμβανε B: ἐλάμβανον Ut: ἐλαμβάνομεν S ἄλλῳ τινὶ SUt: inv. ord. B 17 καὶ om. B 20 post μὴ prius del. ὑπάρχειν U ὑπάρχειν superscr. U 23 εἶναι B: εἰσίν t ἁπλῶς addidi cf. vs. 17 et p. 197,31 25 ὁ om. S post συλλ. add. εἰ δὲ τοῦτο S 27 ἐπεὶ B ἀνωτέρω] c. 15 p. 33ᵇ31 30 ὃ B καὶ om. S 31 ante ὑπάρχον add. μὴ B

p. 35ᵇ37 Ὅτι μὲν οὖν καταφατικῶν ὄντων τῶν ὅρων οὐ γίνεται XLIXᵃ τὸ συμπέρασμα ἀναγκαῖον, φανερόν· ὑπαρχέτω γὰρ τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης, τὸ δὲ Β ἐνδεχέσθω παντὶ τῷ Γ· ἔσται δὴ συλλογισμὸς ἀτελὴς ὅτι ἐνδέχεται τὸ Α παντὶ τῷ Γ ὑπάρχειν. ὅτι δὲ ἀτελής, ἐκ τῆς ἀποδείξεως δῆλον· τὸν αὐτὸν γὰρ τρόπον δειχθήσεται ὅνπερ καὶ ἐπὶ τῶν προτέρων.

Ἐντεῦθεν λοιπὸν ἐκτίθεται τὰς συζυγίας τῆς μίξεως τοῦ ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου, καὶ δείκνυσιν ὅτι ἐπ' οὐδεμιᾶς τούτων ἀναγκαῖον συνάγεται συμπέρασμα, ἀλλ' ἐκεῖνο ὅπερ προλαβὼν εἴρηκε. πρότερον δὲ ἐκτίθεται τὴν ἐκ δύο καθόλου καταφατικῶν συζυγίαν· τῆς μὲν μείζονος ἀναγκαίας τῆς δὲ ἐλάττονος ἐνδεχομένης, καὶ φησὶν ὅτι ἐνδεχόμενον καθόλου καταφατικὸν συνάγεται συμπέρασμα. ἔστω γάρ, φησί, τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης, τὸ δὲ Β παντὶ τῷ Γ ἐνδεχομένως· λέγω ὅτι τὸ Α παντὶ τῷ Γ ἐνδέχεται. εἰ γὰρ τοῦτο ψεῦδος, ἔσται τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθὲς τὸ 'οὐκ ἐνδέχεται παντί', ὅπερ ταὐτόν ἐστι τῷ 'ἀνάγκη μὴ παντί'. ἐπεὶ οὖν τὸ Α τῷ μὲν Β παντὶ ἐξ ἀνάγκης ὑπάρχει τῷ δὲ Γ οὐ παντί, γίνεται τὸ δεύτερον σχῆμα ἐξ ἀμφοτέρων ἀναγκαίων καὶ συνάγει τὸ Β τῷ Γ ἐξ ἀνάγκης μὴ παντί· ὑπέκειτο δὲ καὶ παντὶ ἐνδέχεσθαι, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε διὸ τὸ ὑποθέσθαι ἡμᾶς τὸ Α τῷ Γ μὴ ἐνδέχεσθαι παντί· οὐκοῦν ψεῦδος τοῦτο, ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ 'ἐνδέχεται παντί', ὅπερ ἔδει δεῖξαι. φανερὸν δὲ καὶ ὅτι ἀτελής ἐστιν οὗτος ὁ συλλογισμός, εἴτε διὰ τοῦ ἀδυνάτου δέδεικται, καὶ ὅτι τὸ ἥμισυ τοῦ ἐνδεχομένου συνάγει, εἴτε τῷ 'ἀνάγκη μὴ παντί' μόνῳ ὑποτεθέντι τὸ ἀδύνατον ἠκολούθησε.

p. 36ᵃ2 Πάλιν τὸ μὲν Α ἐνδεχέσθω παντὶ τῷ Β ὑπάρχειν, τὸ δὲ Β παντὶ τῷ Γ ὑπαρχέτω ἐξ ἀνάγκης· ἔσται δὴ συλλογισμὸς ὅτι τὸ Α παντὶ τῷ Γ ἐνδέχεται ὑπάρχειν, ἀλλ' οὐχ ὅτι ὑπάρχει. καὶ τέλειος ἀλλ' οὐκ ἀτελής· εὐθὺς γὰρ ἐπιτελεῖται διὰ τῶν ἐξ ἀρχῆς προτάσεων.

Παραδίδωσιν ἐντεῦθεν τὴν δευτέραν συζυγίαν τὴν ἐκ δύο καθόλου καταφατικῶν τὴν πρὸς τῇ ἐλάττονι τὸ ἀναγκαῖον ἔχουσαν, καὶ φησὶ καὶ ταύτην τὸ ἐνδέχεσθαι παντὶ συνάγειν διὰ τῆς ἐπ' εὐθείας δείξεως· διὸ καὶ τέλειόν φησι τὸν συλλογισμόν. ἐπεὶ γὰρ τὸ Α παντὶ ἐνδέχεται τῷ Β,

---

2 ante α' add. μὲν t(C n m) 3 ἐνδέχεσθαι U 5 γὰρ αὐτὸν B
6 ὂν U 10 καταφατικὴν t 13. 14 τῷ γ ἐνδέχεται St: inv. ord. Bt
14 δὲ t 19 post τὸ primum add. δὲ B cf. p. 189,24 20. 21 οὐκοῦν — δεῖξαι om. B 21 καὶ ὅτι S: inv. ord. BUt 22 καὶ SU: om. Bt 23 τῷ] τὸ Ut
26 ἐξ ἀνάγκης ὑπαρχέτω U 30 ἐνταῦθα B 31 πρὸς τῷ U 32 ταύτη B

πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδεχομένως ὑπάρχει· ἓν δὲ τῶν μερῶν τοῦ XLIXr
Β τὸ Γ ἐστί· τὸ ἄρα Α παντὶ τῷ Γ ἐνδεχομένως ὑπάρχει. ἐν τούτῳ
δὲ τῷ συμπεράσματι τὸ κατὰ τὸν διορισμὸν συνάγεται ἐνδεχόμενον.

p. 36ª7 Εἰ δὲ μὴ ὁμοιοσχήμονες εἶεν αἱ προτάσεις, ἔστω πρῶτον 35
5 ἡ στερητικὴ ἀναγκαία. καὶ τὸ μὲν Α μηδενὶ ἐνδεχέσθω τῷ Β ἐξ
ἀνάγκης, τὸ δὲ Β παντὶ τῷ Γ ἐνδεχέσθω· ἀνάγκη δὴ τὸ Α
μηδενὶ τῷ Γ ὑπάρχειν. κείσθω γὰρ ὑπάρχειν ἢ παντὶ ἢ τινί·
τῷ δὲ Β ὑπέκειτο μηδενὶ ἐνδέχεσθαι. ἐπεὶ οὖν ἀντιστρέφει τὸ
στερητικόν, οὐδὲ τὸ Β τῷ Α οὐδενὶ ἐνδέχεται· τὸ δὲ Α τῷ Γ ἢ
10 παντὶ ἢ τινὶ κεῖται ὑπάρχειν· ὥστε οὐδενὶ ἢ οὐ παντὶ τῷ Γ τὸ
Β ἐνδέχοιτ' ἂν ὑπάρχειν· ὑπέκειτο δὲ παντὶ ἐξ ἀρχῆς.

Διαλεχθεὶς περὶ τῶν ἐξ ἀμφοτέρων καθόλου καταφατικῶν νῦν περὶ τῶν 40
ἀνομοιοσχημόνων διαλέγεται συζυγιῶν, καὶ ὥσπερ ἐπὶ τῶν ὁμοιοσχημόνων
πρότερον ὑπετίθετο τὴν ἐκ τῆς μείζονος ἀναγκαίας, οὕτως καὶ ἐπὶ τῶν
15 ἀνομοιοσχημόνων ποιεῖ. φησὶν οὖν ὅτι, ἐὰν ἡ μείζων ἀναγκαία ᾖ ἀπο-
φατικὴ καθόλου, ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ ἐνδεχομένη, τὸ συμ-
πέρασμα γίνεται καθόλου ἀποφατικὸν ὑπάρχον. ἔστω γὰρ τὸ Α οὐδενὶ ἐξ
ἀνάγκης τῷ Β, τὸ δὲ Β παντὶ ἐνδεχέσθω τῷ Γ· λέγω, φησίν, ὅτι τὸ Α
οὐδενὶ ὑπάρχει τῷ Γ. εἰ γὰρ τοῦτο ψεῦδος, ἔσται τὸ ἀντιφατικῶς ἀντι- 45
20 κείμενον ἀληθὲς τὸ 'ὑπάρχει τινί' ἢ τὸ ἐναντίον τῷ οὐδενὶ τὸ 'ὑπάρχει
παντί'. ἐπεὶ οὖν τὸ μὲν Α ἐξ ἀνάγκης οὐδενὶ τῷ Β, οὐδὲ τὸ Β οὐδενὶ τῷ
Α ἐξ ἀνάγκης ὑπάρχει· ἀλλὰ μὴν καὶ τὸ Α παντὶ ἢ τινὶ τῷ Γ ὑπάρχει
μόνον· καὶ συνάγεται τὸ Β τῷ Γ ἢ οὐδενὶ ἢ οὐ παντὶ ἐξ ἀνάγκης· ὑπέ-
κειτο δὲ καὶ παντὶ ἐνδέχεσθαι, ὅπερ ἀδύνατον. δεῖ δὲ εἰδέναι ὅτι τὸ ἀδύ- 50
25 νατον ἠκολούθησεν ἐνταῦθα διὰ τὸ βούλεσθαι τὸν Ἀριστοτέλην ἐπὶ τῆς μίξεως
τοῦ ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος τῇ μείζονι προτάσει ἀκολουθεῖν τὸ
συμπέρασμα· ἐπεὶ ἐὰν τῇ χείρονι ἀκολουθεῖν ὑποθώμεθα, ὡς δέδεικται
ἀνωτέρω, οὐχ ἕψεταί τι ἀδύνατον. ἔσται γὰρ τὸ Β τῷ Γ ἢ οὐδενὶ ὑπάρχον
ἢ οὐ παντί· ὑπέκειτο δὲ καὶ παντὶ ἐνδέχεσθαι· καὶ οὐδὲν ἀδύνατον· κἂν
30 γὰρ οὐδενὶ ὑπάρχῃ τῶν Γ τὸ Β, | δυνάμεθα λέγειν ὅτι ἐνδεχομένως XLIXv
πᾶσιν ὑπάρχει· ὁμοίως κἂν τισὶν ὑπάρχῃ τισὶ δὲ μή, δύναται ἐνδεχομένως
πᾶσιν ὑπάρχειν. οὕτω μὲν οὖν οὐκ ἀκολουθεῖ ἀδύνατον. ὁ δὲ Ἀριστοτέ-

---

1. 2 ἓν—ὑπάρχει om. B 4 εἶεν BUt(i): om. Arist. 5 τῷ t Arist.: τῶν BU (corr. A) 7 τῶν γ̄ U γὰρ ὑπάρχον U(n) 9 ἢ U Arist.: om. Bt 11 ἐνδέχεται, om. ἂν B ἐξ ἀνάγκης U post ἀρχῆς add. ἐνδέχεσθαι Bt: om. U Arist. 12 ἀμφοῖν B 14 πρότερον B: προτάσεων Ut 14. 15 τῶν ἀνομοιοσχημόνων U et om. τῶν B: τούτων t 15 φησὶν οὖν BU: καί φησιν t ἢ ἀναγκαῖα t 19 ἔσται scripsi cf. p. 195,14: ἔστω BSUt 20 ὑπάρχει prius scripsi: ὑπάρχειν SU: ὑπάρχον t: compend. B ὑπάρχει alt. t: ὑπάρχειν SU: compend. B 23 καὶ St: om. BU 24 δὲ alt. om. U 28 ἀνωτέρω] p. 124,9 sq. ὑπάρχει B 30 ὑπάρχει t itemque vs. 31 32 ἀκολουθοῦν t

λης ἀκολουθῶν ταῖς ἰδίαις ὑποθέσεσι, λέγω δὴ τῷ τῇ μείζονι τῶν προ- XLIXv
τάσεων ἕπεσθαι τὸ συμπέρασμα, εἰκότως συνάγει τὸ ἀδύνατον. ἰστέον δὲ
ὅτι οὐ μόνον, ἐὰν τὸ Α τῷ Γ ὑπάρχειν παντὶ ⟨ἢ τινὶ⟩ ὑποθώμεθα, ἀδύνατον 5
ἀκολουθεῖ, ἀλλὰ καὶ ἐὰν τὸ αὐτὸ τῷ αὐτῷ ἐξ ἀνάγκης παντὶ ἢ τινὶ ὑποτεθῇ,
5 οὐδὲν ἧττον ἕψεται τὸ ἀδύνατον. ἔστω γὰρ τῶν αὐτῶν ὄντων ὅρων τὸ Α
τῷ Γ ἀνάγκη παντὶ ἢ τινὶ ὑπάρχειν· ἐπεὶ οὖν τὸ Α τῷ Β ἀνάγκη μηδενὶ
ὑπόκειται, καὶ τὸ Β τῷ Α ἐξ ἀνάγκης οὐδενὶ ὑπάρχει· τὸ δὲ Α τῷ Γ
ἀνάγκη παντὶ ἢ τινὶ ὑπετέθη· γίνεται τὸ πρῶτον σχῆμα, καὶ συνάγεται 'τὸ
Β τῷ Γ ἀνάγκη μηδενὶ ἢ μὴ παντί'· ὑπέκειτο δὲ καὶ 'ἐνδέχεται παντί', ὅπερ
10 ἀδύνατον. ἔτι δὲ κἂν ὑποτεθῇ τὸ 'ἐνδέχεται παντὶ τῷ Γ τὸ Α ὑπάρχειν', 10
καὶ οὕτως τὸ ἀδύνατον ἀκολουθήσει. ὑποκείσθω γὰρ τὸ Α παντὶ τῷ Γ
ἐνδέχεσθαι· ἐπεὶ οὖν ὑπέκειτο καὶ τὸ Β παντὶ τῷ Γ ἐνδέχεσθαι, καὶ τὸ
Γ ἄρα τινὶ τῷ Β ἐνδέχεται ὑπάρχειν· ἀντιστρέφει γὰρ οὕτως. εἰ τοίνυν
τὸ μὲν Α παντὶ τῷ Γ ἐνδέχεται, τὸ δὲ Γ τινὶ τῷ Β ἐνδέχεται, καὶ τὸ
15 Α ἄρα τινὶ τῷ Β ἐνδέχοιτ' ἂν ὑπάρχειν· γίνεται γὰρ τὸ πρῶτον σχῆμα.
ὑπέκειτο δὲ καὶ ἐξ ἀνάγκης μηδενὶ τῷ Β τὸ Α, ὅπερ ἀδύνατον. εἰ τοίνυν
καὶ τούτοις ὑποτεθεῖσι τὸ ἀδύνατον ἠκολούθησεν, ἔσται τὰ ἀντικείμενα 15
αὐτοῖς ἀληθῆ, καὶ συμβήσεται μὴ μόνον τὸ ὑπάρχειν μηδενὶ συνάγεσθαι
ἀλλὰ καὶ τὸ 'οὐκ ἀνάγκη παντί' ἢ 'οὐκ ἀνάγκη τινί' καὶ τὸ 'οὐκ ἐνδέχεται
20 παντί'. τί οὖν φαμεν πρὸς ταῦτα; ὅπερ καὶ ἄλλοτε ἐν τοῖς ἔμπροσθεν
εἴπομεν, ὅτι τὸ ἀδύνατον τούτοις πᾶσιν ἠκολούθησεν οὐ διὰ τοὺς τρόπους
ἀλλὰ διὰ τὸ ποιόν, ἐπειδὴ τῷ 'ὑπάρχει οὐδενί' ὑποτεθέντι τὸ ἀντικείμενόν
ἐστι τὸ καταφατικὸν ἢ ἀντιφατικῶς τὸ μερικὸν ἢ ἐναντίως τὸ καθόλου.
ἐν πάσαις οὖν ταῖς ὑποθέσεσι τὸ αὐτὸ καταφατικὸν ληφθὲν εἰκότως τὸ 20
25 αὐτὸ συνήγαγεν ἀδύνατον.

p. 36a15 Φανερὸν δὲ ὅτι καὶ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν γίνεται συλλογισμός, εἴπερ καὶ τοῦ μὴ ὑπάρχειν.

Δείξας ἐπὶ τῆς εἰρημένης συζυγίας ὁ φιλόσοφος, ὅτι τοῦ ὑπάρχειν
μηδενὶ συνάγεται τὸ συμπέρασμα, ἐπισημαίνεται νῦν ὅτι, εἰ καὶ τὸ ὑπάρχειν
30 μηδενὶ συνάγεται, πρόδηλον ὅτι καὶ τὸ ἐνδέχεσθαι μηδενί, ἀλλ' ἐνδεχόμενον 25
οὐ τὸ κατὰ τὸν διορισμὸν ἀλλὰ τὸ ἁπλῶς ἐνδεχόμενον τὸ κατηγορούμενον
καὶ κατὰ τοῦ ὑπάρχοντος.

p. 36a17 Πάλιν ἔστω ἡ καταφατικὴ πρότασις ἀναγκαία, καὶ τὸ μὲν Α ἐνδεχέσθω μηδενὶ τῷ Β ὑπάρχειν, τὸ δὲ Β παντὶ τῷ Γ

---

1 τῷ B: τὸ Ut τῇ supra del. ταῖς scr. U 3 ἢ τινὶ addidi 7 ὑπάρχειν t S post τινὶ add. εἰ B ὑποτεθῇ SU post γίνεται add. οὖν t 11 τὸ prius om. SU 12 καὶ alt. om. t 13 γ S: α B et post ἄρα Ut 14 καὶ om. S itemque vs. 16 20 ἐν τοῖς ἔμπροσθεν] p. 125,19 sq. 22 τῷ SUt: τὸ B ὑπάρχοντι Bt: ὑπάρχειν S 23 post ἢ utrumque add. τὸ S 26 καὶ ὅτι U 28 ὑπάρχει U 31 τὸ (post οὐ) om. U 34 τῷ prius BUt(C): τῶν Arist.

ὑπαρχέτω ἐξ ἀνάγκης. ὁ μὲν οὖν συλλογισμὸς ἔσται τέλειος, XLIX[v]
ἀλλ' οὐ τοῦ μὴ ὑπάρχειν ἀλλὰ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν.

Ὑποθέμενος τὴν μείζονα πρότασιν ἀναγκαίαν ἀποφατικὴν καὶ δείξας ὑπάρχον ἀποφατικὸν συναγόμενον τὸ συμπέρασμα τρέπει νῦν τὴν τάξιν τῶν προτάσεων, καὶ ὑποτίθεται τὴν μείζονα πρότασιν ἐνδεχομένην ἀποφατικὴν τὴν δὲ ἐλάττονα ἀναγκαίαν καταφατικήν, καὶ φησὶν ἐνδεχόμενον ἀποφατικὸν καθόλου συνάγεσθαι τὸ συμπέρασμα τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου καὶ οὐ τοῦ κατὰ τοῦ ὑπάρχοντος κατηγορουμένου. τοῦτο δὲ δείκνυται οὐ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἀλλὰ τῇ ἐπ' εὐθείας δείξει διὰ μόνου τοῦ κατὰ μηδενός· διὸ καὶ τέλειός ἐστιν ὁ συλλογισμός. ἐπεὶ γὰρ τὸ Α οὐδενὶ τῶν Β ἐνδέχεται, πάντων ἄρα τῶν μερῶν αὐτοῦ κεχώρισται ἐνδεχομένως· ἓν δὲ τῶν μερῶν τοῦ Β τὸ Γ ἐστί· παντὶ γὰρ τῷ Γ τὸ Β ἐξ ἀνάγκης ὑπάρχει· τὸ ἄρα Α οὐδενὶ τῶν Γ ἐνδέχεται ὑπάρχειν.

p. 36a21 Ἡ τε γὰρ πρότασις οὕτως ἐλήφθη ἡ ἀπὸ τοῦ μείζονος ἄκρου, καὶ εἰς τὸ ἀδύνατον οὐκ ἔστιν ἀπαγαγεῖν. εἰ γὰρ ὑποτεθείη τὸ Α τῷ Γ μηδενὶ ὑπάρχειν, κεῖται δὲ καὶ τὸ Α τῷ Β ἐνδέχεσθαι μηδενὶ ὑπάρχειν, οὐδὲν συμβαίνει διὰ τούτων ἀδύνατον.

Τὴν αἰτίαν ἐπάγει δι' ἣν ἡ προειρημένη συζυγία ἐνδεχόμενον συνάγει συμπέρασμα καὶ οὐχ ὑπάρχον, καὶ φησὶν ὅτι πρῶτον μὲν τοῦτο δῆλον ἐκ τοῦ κατὰ παντὸς καὶ κατὰ μηδενός· τοῦτο γάρ ἐστι τὸ ἥ τε γὰρ πρότασις οὕτως ἐλήφθη ἡ ἀπὸ τοῦ μείζονος ἄκρου· δεύτερον δὲ ὅτι οὐκ ἐνδέχεται ἡμᾶς ὥσπερ ἐπὶ τῆς ἀνάπαλιν ταύτῃ ἐχούσης συζυγίας τῇ εἰς ἀδύνατον ἀπαγωγῇ χρωμένους δεῖξαι τὸ μηδενὶ ὑπάρχειν συναγόμενον. ὑποκείσθω γὰρ τὸ μὲν Α μηδενὶ τῶν Β ἐνδεχομένως, τὸ δὲ Β παντὶ τῷ Γ ἀναγκαίως· λέγω ὅτι οὐ δυνατὸν δεῖξαι τῇ εἰς ἄτοπον ἀπαγωγῇ τὸ Α μηδενὶ ὑπάρχον τῶν Γ. ὑποκείσθω γὰρ τὸ ἀντικείμενον ἀντιφατικῶς τῷ ὑπάρχειν μηδενί, ἵνα, ἐὰν τούτῳ ἀκολουθήσῃ τὸ ἀδύνατον, εἴπωμεν τὸ μηδενὶ ὑπάρχειν εἶναι τὸ συναγόμενον. ἐπεὶ οὖν τὸ Β τῷ Γ ἀνάγκη παντὶ ὑπάρχειν, καὶ τὸ Γ τῷ Β τινὶ ἐξ ἀνάγκης ὑπάρξει· εἰ τοίνυν τὸ Α παντὶ ὑπάρχει τῷ Γ, ὡς ἡ ὑπόθεσις, τὸ δὲ Γ τινὶ τῷ Β ἐξ ἀνάγκης, γίνεται

1 ἔστω U 6 ἀποφατικόν, sed post 7 καθόλου S: ἀποφατικὴν Ut: om. B
8 καὶ μὴ t post τοῦ alt. add. μὴ U δὲ St: om. BU δέδεικται B
10 ἐπεὶ BS: ἐπειδὴ Ut 10. 11 τῷ β̄ S 14 ἡ om. t 15 ἀπαγαγεῖν Bt(C f): ἐπαγαγεῖν U: ἀγαγεῖν Arist. ἐάντε γὰρ t(f) 16 μηδενὶ BUt(A B C d f n u): τινὶ Arist. ὑπάρχον t τὸ ᾱ alt. superscr. B (corr. B): om. Arist. 20 εἴτε U
γὰρ alt. om. t 21 ἐλήφθη οὕτως U ἡ t: om. BU cf. vs. 14 ὑπὸ U
22 ὅπερ pr. B ταύτῃ B: πάντα Ut τῇ e τῆς corr. U 23 χρομένους pr. B
ὑπάρχειν C: ὑπάρχον Ut: compend. B 24 τῷ β̄ S τῶν γ̄ B 26 τῶν BU: τῷ St ἀντιφατικὸν t: ἐναντίως exspectamus cf. p. 197,23 τῷ alt. BS: τὸ Ut
27 ante ὑπάρχ. add. οὐχ BUt: om. S ὑπάρχει U post μηδενὶ add. τὸ ὑπάρχειν
παντί S τοῦτο t εἴπομεν Ut 29 ὑπάρξει BSU: ὑπάρχει t παντὶ S:
οὐδενὶ BUt 30 τῷ alt. BS: τῶν Ut post ἀνάγκης add. καὶ t

τὸ πρῶτον σχῆμα τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου· τὸ ἄρα XLIXᵛ
A τινὶ τῷ B ὑπάρξει. ὑπέκειτο δὲ καὶ οὐδενὶ ἐνδέχεσθαι, ὅπερ οὐκ ἀδύνατον·
οὐκ ἄρα οὐδὲ διὰ τοῦ ἀδυνάτου δείκνυται τὸ ὑπάρχειν μηδενὶ συναγόμενον.

p. 36ᵃ25 Ἐὰν δὲ πρὸς τῷ ἐλάττονι ἄκρῳ τεθῇ τὸ στερητικόν, Lʳ
5 ὅταν μὲν ἐνδέχεσθαι σημαίνῃ, συλλογισμὸς ἔσται διὰ τῆς ἀντι-
στροφῆς καθάπερ ἐν τοῖς πρότερον.

Ὑποθέμενος ἐν ταῖς προλαβούσαις συζυγίαις τὴν μείζονα ἀποφατικὴν τὴν δὲ ἐλάττονα καταφατικὴν νῦν τὸ ἀνάπαλιν ὑποτίθεται, καὶ φησὶν ὅτι, ἐὰν ἡ ἐλάττων ἀποφατικὴ ᾖ, ὅταν μὲν ἐνδεχομένη ᾖ, τῆς μείζονος δηλονότι 5
10 ἀναγκαίας οὔσης καὶ ἀδιαφορούσης κατὰ τὸ ποιόν, γίνεται συλλογισμὸς μεταλαμβανομένης τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικήν, τὰ δὲ συμπεράσματα τοιαῦτα ἔσται, οἷα καὶ πρότερον ἦσαν ἐν ταῖς ὁμοίαις συζυγίαις. τῆς γὰρ ἐλάττονος ἐνδεχομένης οὔσης ἀποφατικῆς τῆς δὲ μείζονος ἀναγκαίας ἢ ἀποφατικῆς ἢ καταφατικῆς, μεταληφθείσης τῆς ἐνδεχομένης
15 ἀποφατικῆς εἰς τὴν καταφατικὴν αἱ αὐταὶ δῆλον ὅτι συζυγίαι πάλιν γίνονται, ὥστε καὶ τὰ αὐτὰ συμπεράσματα καὶ οἱ αὐτοὶ τρόποι τῶν δείξεων ταῖς 10 προτέραις, λέγω δὴ ταῖς ἐχούσαις τὴν μείζονα ἀναγκαίαν ἢ καταφατικὴν ἢ ἀποφατικὴν τὴν δὲ ἐλάττονα ἐνδεχομένην καταφατικήν.

p. 36ᵃ27 Ὅταν δὲ μὴ ἐνδέχεσθαι, οὐκ ἔσται.

20 Εἰκότως· εἰ γὰρ ἀναγκαία ἀποφατικὴ γένηται ἡ ἐλάττων, ἀπόλλυσι τὸ ἴδιον τοῦ πρώτου σχήματος μὴ ἔχουσα τὴν ἐλάττονα καταφατικήν· οὐκέτι γὰρ μεταλαβεῖν τὴν ἀποφατικὴν ἀναγκαίαν δυνατὸν εἰς τὴν καταφατικήν. 15

p. 36ᵃ28 Οὐδ' ὅταν ἄμφω μὲν τεθῇ στερητικά, μὴ ᾖ δὲ ἐνδεχόμενον τὸ πρὸς τὸ ἔλαττον. ὅροι δὲ οἱ αὐτοί, τοῦ μὲν ὑπάρχειν
25 λευκόν, ζῷον, χιών, τοῦ δὲ μὴ ὑπάρχειν λευκόν, ζῷον, πίττα.

Ἀμφοτέρων, φησί, τῶν προτάσεων ἀποφατικῶν λαμβανομένων. ἐὰν μὲν ἡ ἐλάττων ἐνδεχομένη ᾖ, διὰ τὴν αὐτὴν πάλιν αἰτίαν συλλογιστικὴ γίνεται ἡ συζυγία· μεταλαμβάνεται γὰρ πάλιν ἡ ἀποφατικὴ εἰς τὴν κατα- 20
φατικήν· ἐὰν δὲ ἀναγκαία ᾖ ἡ ἐλάττων, οὐκέτι. ἐκτίθεται δὲ ὅρους
30 συνάγοντας καὶ τὸ παντὶ καὶ τὸ οὐδενί, οὕσπερ παρέθετο καὶ ἐπὶ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου· λευκὸν γὰρ χιόνι μὲν ἐξ ἀνάγκης

2 τινὶ S: οὐ παντὶ BUt 3 οὐδὲ om. U ὑπάρχειν om. U S τὸ om. t
9 ἐλάσσων B itemque vs. 27. 29 ᾖ prius t: εἴη BSU 13 γὰρ BSU: οὖν t
οὔσης BU: om. St 16 τόποι B 17 πρότερον U 18 καταφατικήν S:
ἀποφατικήν BUt 19 δὲ om. B 22 μεταλαμβάνειν U 23 μὲν om. t
24 τὸ alt. om. B 25 χιών—ζῶον om. B 27 μὲν BU: μὴ t
28. 29 κατάφασιν B 29 ᾖ Ct: om. BU 30 μηδενί U παρέθετο
c. 15 p. 35ᵃ24 καὶ tert. Ct: om. BU 31 ἐξ ἀνάγκης Ct: om. BU

πάσῃ, πίττῃ δὲ οὐδεμιᾷ. ληψόμεθα δὲ ἡμεῖς ὅρους κἀπὶ τούτων κρείττονας, Lr
οὅσπερ καὶ ἐν ἐκείνοις εἰλήφαμεν, τοῦ μὲν παντί· λευκὸν ἐνδέχεται μηδενὶ
ἵππῳ. ἵππος οὐδενὶ κύκνῳ ἐξ ἀνάγκης. καὶ λευκὸν ἐξ ἀνάγκης παντὶ κύκνῳ·
τοῦ δὲ μηδενί, εἰ ἀντὶ κύκνου κόρακα λάβωμεν· λευκὸν γὰρ ἐνδέχεται
5 μηδενὶ ἵππῳ, ἵππος οὐδενὶ κόρακι ἐξ ἀνάγκης, καὶ λευκὸν ἐξ ἀνάγκης 25
οὐδενὶ κόρακι.

p. 36a32 Τὸν αὐτὸν δὲ τρόπον ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν· ὅταν μὲν γὰρ ᾖ τὸ στερητικὸν ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται τοῦ μὴ ὑπάρχειν.

10 Πληρώσας τὸν τῶν ἐξ ἀμφοτέρων τῶν προτάσεων καθόλου λόγον ἀκο- 31
λούθως μέτεισιν ἐπὶ τὰς ἐχούσας τὴν ἑτέραν μερικήν. καὶ συντόμως εἰπεῖν,
ὅπως ἂν εἶχον αἱ καθόλου, οὕτως ἔχουσι καὶ αὗται κατά τε τὰ συμπερά-
σματα καὶ τοὺς τρόπους τῶν δείξεων, καὶ μόνῳ τῷ καθόλου καὶ τῷ μερικῷ
διαλλάττουσιν. ἐκτίθεται δὲ τὰς ἀνομοιοσχήμονας συζυγίας πρώτας, ἐφ'
15 ὧν καὶ ἡ διαφορὰ τῶν συμπερασμάτων ἐγίνετο (αἱ μὲν γὰρ τὸ ἐνδεχόμενον 35
συνῆγον, αἱ δὲ τὸ ὑπάρχον), ἵνα κατὰ συνέχειαν πληρώσῃ τὸν περὶ τῶν
ἀνομοιοσχημόνων λόγον. πρώτας δὲ ἐκτίθεται τὰς τὸ ὑπάρχον συναγούσας,
καὶ φησὶν ὅτι, ὅταν μὲν ᾖ τὸ στερητικὸν ἀναγκαῖον, τουτέστιν ὅταν ἡ μείζων
ἀναγκαία ᾖ ἀποφατικὴ καθόλου· ἀνομοιοσχημόνων γὰρ οὐσῶν τῶν προτά-
20 σεων ἐν πρώτῳ σχήματι ἀνάγκη τὴν ἀποφατικὴν μείζονα εἶναι· πάλιν τῆς
ἑτέρας οὔσης μερικῆς τῆς δὲ ἑτέρας καθόλου τὴν καθόλου ἀνάγκη μείζονα
εἶναι· ὥστε τοῦτό φησιν, ὅτι ἐπὶ τῶν ἀνομοιοσχημόνων συζυγιῶν καὶ ἐχου- 40
σῶν τὴν ἑτέραν μερικήν, ὅταν ἡ μείζων ἀναγκαία ᾖ, δηλονότι ἀποφατικὴ
οὖσα καὶ καθόλου, ἡ δὲ ἐλάττων ἐνδεχομένη μερικὴ οὖσα καταφατική, τὸ
25 συμπέρασμα ὑπάρχον ἔσται καὶ οὐ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον, ὡς
δέδεικται καὶ ἐπὶ τῶν καθόλου συζυγιῶν. ἔστω γὰρ τὸ μὲν Α ἐξ ἀνάγκης
μηδενὶ τῷ Β ὑπάρχον, τὸ δὲ Β τινὶ τῷ Γ ἐνδεχέσθω ὑπάρχειν· λέγω,
φησίν, ὅτι τὸ Α τινὶ τῷ Γ οὐχ ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ
ἀντιφατικῶς ἀντικείμενον τὸ 'ὑπάρχει παντί'· ἐπεὶ οὖν τὸ Α τῷ Β ἐξ 45
30 ἀνάγκης οὐδενί, καὶ τὸ Β τῷ Α ἐξ ἀνάγκης οὐδενί· ἀντιστρέφει γάρ· εἰ
τοίνυν τὸ Β τῷ Α ἐξ ἀνάγκης οὐδενί, τὸ δὲ Α τῷ Γ ὑπάρχει παντί, ὡς
ἡ ὑπόθεσις, γίνεται ἄρα τὸ πρῶτον σχῆμα τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ
ἀναγκαίου· ἐπὶ δὲ τῆς τοιαύτης μίξεως κατὰ Ἀριστοτέλην τῇ μείζονι τῶν
προτάσεων ἠκολούθησε τὸ συμπέρασμα· τὸ ἄρα Β οὐδενὶ τῷ Γ ἐξ ἀνάγκης

1 καὶ ἐπὶ τούτων ὅρους U 2 ἐκείναις, ut videtur B ἐν ἐκείνοις] p. 186,19 sq. post λευκὸν addiderim ἵππον, κύκνον· λευκὸν 4 ληψόμεθα S 8 μὲν BUt(Cn): om. Arist. 10 τὸν τῶν scripsi: τὸν BU: τῶν t 12 ὅπερ pr. B, corr. B² αὗται U 18 post φησὶν add. οὖν B 20 πάλιν – 22 εἶναι iterat B 23 post ὅταν add. μὲν U ᾖ om. t 25 post οὐ add. τὸ BUt: om. S 26 δέδεικται] p. 35b31 27 ὑπάρχειν St: compend. B τῷ alt. BS, pr. U: τῶν corr. U, t ἐνδέχεσθαι Bt 28 τῷ St, pr. U: τῶν B, corr. U 29 ὑπάρχειν St: compend. B 30 ἐξ ἀνάγκης τῷ α B 34 ἠκολούθει U

ὑπάρχει· ὑπέκειτο δὲ καὶ τινὶ ἐνδέχεσθαι ὑπάρχειν, ὅπερ ἀδύνατον. τὸ L[r]
ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ Α τῷ Γ παντὶ ὑπάρχειν· 50
ψεῦδος ἄρα τοῦτο· οὐκοῦν ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ μὴ παντὶ
ὑπάρχειν, ὅπερ δεῖξαι προὔκειτο. ὁμοίως δέ, κἂν τὴν ἐλάττονα ἐνδεχομένην
5 μερικὴν ἀποφατικὴν ὑποθώμεθα, ἵνα ὁμοιοσχήμων γένηται ἡ συζυγία ἐξ
ἀμφοτέρων ἀποφατικῶν, τὸ αὐτὸ πάλιν γίνεται συμπέρασμα, ἐπειδὴ καὶ
ἡ αὐτὴ πάλιν συζυγία μεταλαμβανομένης τῆς ἀποφατικῆς εἰς τὴν κατα-
φατικήν. |

p. 36a39 Ὅταν δὲ τὸ ἐν μέρει καταφατικὸν ἀναγκαῖον ᾖ τὸ ἐν L[v]
10 τῷ στερητικῷ συλλογισμῷ, οἷον τὸ Β Γ, ἢ τὸ καθόλου τὸ ἐν τῷ
κατηγορικῷ, οἷον τὸ Α Β, οὐκ ἔσται τοῦ ὑπάρχειν συλλογισμός.
ἀπόδειξις δ' ἡ αὐτὴ ἣ καὶ ἐπὶ τῶν προτέρων.

Εἰρηκὼς τῶν μερικῶν τὰς τὸ ὑπάρχειν συναγούσας συζυγίας νῦν περὶ
τῶν τὸ ἐνδεχόμενον συναγουσῶν διαλέγεται. τί οὖν φησιν; ὅτι ὁπηνίκα 5
15 ἐπὶ τῶν ἀποφατικῶν συλλογισμῶν ἡ ἐλάττων πρότασις καταφατικὴ οὖσα
ἀναγκαία ᾖ, τῆς μείζονος δηλονότι ἐνδεχομένης οὔσης καθόλου ἀποφατικῆς,
οὐχ ὑπάρχον ἀλλ' ἐνδεχόμενον συνάγεται τὸ συμπέρασμα, δείκνυται δὲ
καθάπερ καὶ ἡ καθόλου συζυγία [καὶ] ἡ ὁμοίως αὐτῇ ἔχουσα τῇ ἐπ'
εὐθείας δείξει διὰ μόνου τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενός. ἐπεὶ
20 γὰρ τὸ Α τῷ Β ἐνδέχεται μηδενί, πάντων ἄρα τῶν μερῶν αὐτοῦ ἐνδεχο-
μένως κεχώρισται· ἓν δὲ τῶν μερῶν τοῦ Β τι τῶν Γ ἐστί· τὸ ἄρα Α τινὶ 10
τῶν Γ ἐνδεχομένως οὐχ ὑπάρχει. ὁμοίως, φησί, καὶ ἐπὶ τοῦ κατηγορικοῦ
συλλογισμοῦ, τουτέστι τοῦ ἐξ ἀμφοτέρων καταφατικῶν τῶν προτάσεων, ἐὰν
ἡ καθολικὴ πρότασις ἀναγκαία ᾖ, τουτέστιν ἡ μείζων, οὐχ ὑπάρχον πάλιν
25 ἀλλ' ἐνδεχόμενόν ἐστι τὸ συμπέρασμα. τοῦτο δὲ διὰ τοῦ ἀδυνάτου δείκνυ-
ται ὥσπερ καὶ ἐπὶ τῆς καθόλου συζυγίας τῆς ὁμοίως αὐτῇ ἐχούσης. ἔστω
γὰρ τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης, τὸ δὲ Β τινὶ τῶν Γ ἐνδεχομένως·
συνάγεται, φησίν, ὅτι τὸ Α τινὶ τῶν Γ ἐνδέχεται. εἰ γὰρ τοῦτο ψεῦδος, 15
ἔσται τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθὲς τὸ 'οὐκ ἐνδέχεται τινί', ὅπερ
30 ταὐτόν ἐστι τῷ 'ἀνάγκῃ μηδενί'· ἐπεὶ οὖν τὸ Α τῷ μὲν Γ ἐξ ἀνάγκης
οὐδενὶ τῷ δὲ Β παντὶ ὑπάρχει, γίνεται τὸ δεύτερον σχῆμα ἐξ ἀμφοτέρων
ἀναγκαίων, τῆς μείζονος ἀποφατικῆς, καὶ συνάγεται τὸ Β ἐξ ἀνάγκης οὐδενὶ

1 post τὸ add. δ' B cf. p. 195,19 2 post ἀδύνατον add. διατί BU 4 δεῖξαι προὔκειτο BS: ἔδει δεῖξαι Ut 5 μερικὴν ἀποφατικὴν St: inv. ord. BU 6 καὶ om. t 7 post ἀποφατικῆς add. μερικῆς t post τὴν add. μερικὴν t 10 τὸ ἐν BUt(d n): ἐν Arist. 11 ἔστι B 12 ἢ om. B 14 ὅτι om. pr. B 15 ἀντιφατικῶν t 16 εἴη t 18 καὶ alt. delevi 21 τι U: ἔτι Bt τῶν alt. corr. U, t: τὸ B, pr. U ἐστι om. B 22 post ὁμοίως add. δὲ t 23 post ἐὰν add. φησὶν BU: om. t 27 τῶν Ut: τῷ B 28 ἐνδεχομένως t τοῦτο Bt: τὸ U 29 ἔστω U 30 τῶν μὲν U 31 μηδενὶ B

τῷ Γ· ἦν δὲ καὶ ἐνδεχομένως τινί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκο- Lᵛ
λούθησε διὰ τὸ ὑποθέσθαι ὅτι τὸ Α τῷ Γ οὐκ ἐνδέχεται τινί· οὐκοῦν
ψεῦδος τοῦτο, ἀληθὲς δὲ τὸ 'ἐνδέχεται τινί', ὅπερ ἔδει δεῖξαι. φανερὸν δὲ
ὅτι καὶ ἐνταῦθα δυνατὸν λέγειν ὅτι τὸ ἥμισυ τοῦ ἐνδεχομένου συνάγεται.

p. 36ᵇ3 Ἐὰν δὲ τὸ μὲν καθόλου τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον ἢ καταφατικὸν ἢ στερητικὸν ἢ ἐνδεχόμενον, τὸ δ' ἐν μέρει ἀναγκαῖον πρὸς τῷ μείζονι ἄκρῳ, οὐκ ἔσται συλλογισμός. ὅροι δὲ τοῦ μὲν ὑπάρχειν ἐξ ἀνάγκης ζῷον, λευκόν, ἄνθρωπος, τοῦ δὲ μὴ ἐνδέχεσθαι ζῷον, λευκόν, ἱμάτιον.

Ἐκθέμενος τὰς συζυγίας τὰς ἐκ τῆς ἑτέρας καθόλου τῆς δὲ ἑτέρας μερικῆς τὰς ἐχούσας τὴν μείζονα καθόλου καὶ δείξας, ποῖαι μὲν ἐν ταύταις συλλογιστικαί, ποῖαι δὲ ἀσυλλόγιστοι, νῦν τὰς ἐναντίως ἐχούσας κατὰ τὸ ποσὸν ἐκτίθεται, λέγω δὴ τὴν μὲν μείζονα μερικὴν τὴν δὲ ἐλάττονα καθόλου. καὶ πάσας φησὶ ταύτας ἀσυλλογίστους εἶναι· ἀπώλεσε γὰρ ἡ μείζων τὸ ἴδιον τοῦ πρώτου σχήματος, λέγω δὴ τὸ καθόλου. τὸ δὲ ἢ ἐνδεχόμενον ἀντὶ τοῦ 'καὶ ἐνδεχόμενον'· πρώτας γὰρ ἐξέθετο ἀσυλλογίστους τὰς ἐχούσας τὴν ἐλάττονα ἐνδεχομένην. συνάγουσιν οὖν αὗται καὶ τὸ παντὶ καὶ τὸ μηδενί· τὸ γὰρ ζῷον ἀνθρώπῳ μὲν παντὶ ἐξ ἀνάγκης, ἱματίῳ δὲ οὐδενί. εἰλήφθωσαν δὲ πάλιν κάλλιον οἱ ὅροι· ζῷον τινὶ λευκῷ ἐξ ἀνάγκης, λευκὸν ἐνδέχεται μηδενὶ ἵππῳ ἢ παντί, καὶ ζῷον ἐξ ἀνάγκης παντὶ ἵππῳ. τοῦ δὲ μηδενί, εἰ ἀντὶ τοῦ ἵππου λάβωμεν ἱμάτιον· ζῷον τινὶ λευκῷ ἐξ ἀνάγκης, λευκὸν ἐνδέχεται μηδενὶ ἢ παντὶ ἱματίῳ, καὶ ζῷον ἐξ ἀνάγκης οὐδενὶ ἱματίῳ.

p. 36ᵇ7 Ὅταν δὲ ἀναγκαῖον ᾖ τὸ καθόλου, τὸ δ' ἐν μέρει ἐνδεχόμενον, στερητικοῦ μὲν ὄντος τοῦ καθόλου τοῦ μὲν ὑπάρχειν ζῷον, λευκόν, κόραξ καὶ τὰ ἑξῆς.

Ἀμείβει διὰ τούτων τὴν τάξιν τῶν τρόπων τῇ μὲν ἐλάττονι διδοὺς τὸ ἀναγκαῖον τῇ δὲ μείζονι τὸ ἐνδεχόμενον. αὗται οὖν πᾶσαι, ὅπως ἂν ἔχωσι κατὰ τὸ ποιόν, πᾶσαί εἰσιν ἀσυλλόγιστοι· συνάγουσι γὰρ πᾶσαι καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης, ὡς διὰ τῶν ὅρων αὐτὸς ἐκτίθεται.

---

1 τῶν γ̄ t ἐνδεχομένως, sed post τινὶ B: ἐνδέχεται Ut post τὸ add. δ' B cf. p. 201,1 2 τὸ ā post τινί collocat B 3 δὲ prius om. U τινὶ ἐνδέχεται B 5 τὸ ἔλαττον (ἔλασσον B) ἄκρον BU: τὸ (sic) ἐλάττονι ἄκρῳ t 6 ἢ alt. BUt(d): om. Arist. cf. vs. 15 7 πρὸς τῷ μείζονι ἄκρῳ BUt(B C n u): om. Arist. post συλλογισμὸς add. τέλειος U 8 μὲν om. t 9 post ἐνδέχεσθαι add. ὑπάρχον B, ὑπάρχειν U: om. t Arist. 10 ἑκατέρας B 13 ποσὸν scripsi: ποιὸν BUt 17 οὖν om. t 18 μηδενί BU: οὐδενί t 20 ἐνδέχεται ex οὐδενὶ corr. B² 21 λάβοιμεν t 22 post ἱματίῳ prius add. ἐστὶν U, εἶναι t καὶ—ἱματίῳ om. U ἐξ—ἱματίῳ t: οὐδενὶ ἱματίῳ ἐξ ἀνάγκης B 24 post ὑπάρχειν add. ὅροι t Arist.: om. BU(C) 26 διὰ e δὲ corr. B² 27 οὖν scripsi: γὰρ οὖν BU: γὰρ t ἂν superscr. B 29 ὡς om. Ut post ὅρων add. οὓς t

p. 36ᵇ12 Οὐδ' ὅταν ἀδιόριστοι ληφθῶσιν αἱ προτάσεις ἢ ἀμφότε- Lᵛ
ραι κατὰ μέρος, οὐδὲ οὕτως ἔσται συλλογισμός. ὅροι δὲ κοινοὶ 41
τοῦ μὲν ὑπάρχειν ζῷον, λευκόν, ἄνθρωπος, τοῦ δὲ μὴ ὑπάρχειν
ζῷον, λευκόν, ἄψυχον.

Αὗται περιλείπονται ἐν πρώτῳ σχήματι συζυγίαι, αἵτινες πᾶσαι ἀσυλλόγιστοί εἰσιν· αἵ τε γὰρ ἐξ ἀμφοτέρων μερικῶν ἀσυλλόγιστοι τῆς μείζονος οὐκ ἐχούσης τὸ καθόλου καὶ αἱ ἐξ ἀπροσδιορίστων ἀμφοτέρων, διότι κατὰ τὸν Ἀριστοτέλην ταῖς μερικαῖς ἰσοδυναμοῦσιν αἱ ἀπροσδιόριστοι. εὐπορεῖ δὲ κοινῶν ὅρων ἐπὶ πάντων συναγόντων καὶ τὸ παντὶ καὶ τὸ οὐδενί· ζῷον λευκῷ ὑπαρχέτω ἢ τινὶ ἐξ ἀνάγκης ἢ ἐνδεχομένως, λευκὸν ἀνθρώπῳ ὑπαρχέτω ἢ τινὶ ἐξ ἀνάγκης ἢ ἐνδεχομένως, καὶ συνάγεται ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. καὶ πάλιν ὁμοίως ἐχουσῶν τῶν προτάσεων ζῷον οὐδενὶ ἀψύχῳ ἐξ ἀνάγκης.

p. 36ᵇ15 Καὶ γὰρ τὸ ζῷον τινὶ λευκῷ καὶ τὸ λευκὸν τινὶ ἀψύχῳ καὶ ἀναγκαῖον ὑπάρχειν καὶ οὐκ ἐνδέχεται ὑπάρχειν. καὶ ἐπὶ 50
τοῦ ἐνδέχεσθαι ὁμοίως, ὥστε πρὸς πάντα χρήσιμοι οἱ ὅροι.

Βούλεται διὰ τούτων δεῖξαι ὅπως οἱ εἰρημένοι ὅροι εὐοδοῦσιν ἐπὶ πασῶν ὁμοῦ ὧν ἐξέθετο συζυγιῶν, τῶν τε μερικῶν καὶ τῶν ἀπροσδιορίστων. καὶ τοῦτο † δείκνυσι διότι φησὶ δυνατὸν εἰπεῖν ⟨τὸ ζῷον⟩ τινὶ λευκῷ ἐξ ἀνάγκης ὑπάρχειν, οἷον τῷ ἐν κύκνῳ ἢ τῷ ἐν Σκύθῃ· ὥστε δῆλον διὰ τούτων ὅτι δυνατὸν λαβεῖν τὴν μείζονα πρότασιν ἀναγκαίαν καταφατικήν. ὅτι δὲ καὶ ἀποφατικήν, δῆλον· λέγομεν γὰρ τὸ ζῷον μὴ παντὶ λευ|κῷ LIʳ
ἐξ ἀνάγκης ὑπάρχειν, οἷον τῷ ἐν χιόνι. οὕτω μὲν οὖν δέδεικται ὅτι δυνατὸν τὴν μείζονα πρότασιν μερικὴν οὖσαν λαβεῖν ἀναγκαίαν καταφατικήν τε καὶ ἀποφατικήν. ὡσαύτως δὲ καὶ τὴν ἐλάττονα δείξομεν· λέγομεν γὰρ τὸ λευκὸν τινὶ ἀνθρώπῳ, οἷον τῷ Σκύθῃ, ἢ ἀψύχῳ ἐξ ἀνάγκης ὑπάρχειν, οἷον χιόνι, καὶ ἐξ ἀνάγκης μὴ παντὶ * * * ἀψύχῳ ὑπάρχειν· οὐδὲ γὰρ τῇ ἐβένῳ. οὕτω μὲν οὖν ἀμφοτέρας ἀναγκαίας ἔστι λαβεῖν καταφατικάς τε καὶ ἀποφατικάς. ὡσαύτως δὲ καὶ ἐνδεχομένας δυνατὸν λαβεῖν· ζῷον γὰρ τινὶ λευκῷ ἐνδέχεται, οἷον τῷ ἐν Σωκράτει, καὶ οὐ παντὶ ἐνδέχεται· οὐδὲ γὰρ τῷ ἐν ψιμυθίῳ. καὶ πάλιν τὸ λευκὸν τινὶ ἀψύχῳ ἐνδέχεται, οἷον λίθῳ,

1 ἢ om. U 3 ὑπάρχοντος sive ὑπαρχόντως (post μὲν) compend. B 5 παραλείπονται B 8 μεριστοῖς t 10 λευκὸν (ante ὑπ.) U 10. 11 λευκὸν—ἐνδεχομένως om. B 14 τινὶ ἀψύχῳ BU: inv. ord. t Arist. 16 ἅπαντα t Arist. 17 εὐδοκουσιν U, κ corr. U² 18 τε om. B 19 fort. δεικνὺς [διότι] τὸ ζῶον addidi: οἷον τὸ ζῶον mrg. U² 20 ἐν prius t: om. U: ἐν utrumque om. B 23 τὸ U 26 ἢ superscr. U: om. Bt lac. indicavi; supple ἀνθρώπῳ (οὐδὲ γὰρ τῷ Αἰθίοπι) καὶ μὴ παντὶ ὑπάρχει B 31 τῷ U: τὸ Bt post ἐν add. τῷ B ψιμυθίῳ B, pr. U: ψιμμιθίῳ corr. U²: ψιμυθίῳ t τὸ superscr. U: om. Bt λευ$^{\omega}_{\chi}$ U

καὶ τινὶ οὐκ ἐνδέχεται (οὐδὲ γὰρ ἐβένῳ) ἢ ἀνθρώπῳ ἐνδέχεται τινὶ καὶ LIʳ
οὐκ ἐνδέχεται, Σωκράτει τε καὶ Αἰθίοπι. ὥστε ὅπως ἂν ληφθῶσιν αἱ προτάσεις αὗται, ἀσυλλόγιστοί εἰσι.

Καὶ οὐκ ἐνδέχεται ὑπάρχειν ἀντὶ τοῦ 'οὐκ ἀνάγκη ὑπάρχειν'.

p. 36ᵇ19 Φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὅτι ὁμοίως ἐχόντων τῶν ὅρων ἔν τε τῷ ὑπάρχειν καὶ ἐν τοῖς ἀναγκαίοις γίνεταί τε καὶ οὐ γίνεται συλλογισμός.

Τοῦτο συμπέρασμά ἐστι κοινὸν τῶν προειρημένων μίξεων τοῦ ἐνδεχομένου, λέγω πρὸς τὸ ὑπάρχον καὶ τὸ ἀναγκαῖον. παραδίδωσι δὲ ἐκ τῶν εἰρημένων συμπεράνας τί τὸ κοινὸν ἀμφοτέραις ταύταις ταῖς μίξεσι πρὸς ἀλλήλας καὶ τί τὸ διάφορον. κοινὸν οὖν φησιν αὐταῖς ὅτι ὁμοίως ἐπ' ἀμφοτέρων ἐχουσῶν τῶν προτάσεων κατά τε τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ τὸν τρόπον ἢ συλλογιστικαί εἰσιν ἢ ἀσυλλόγιστοι. καὶ τὰ αὐτὰ συνήγετο συμπεράσματα ὁμοίως ἐχουσῶν τῶν συζυγιῶν· ἢ γὰρ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἢ ἄλλου τινός. εἰπὼν οὖν τὴν κοινωνίαν ἐπάγει καὶ τὴν διαφοράν.

p. 36ᵇ21 Πλὴν κατὰ μὲν τὸ ὑπάρχειν τιθεμένης τῆς στερητικῆς προτάσεως τοῦ ἐνδέχεσθαι ἦν ὁ συλλογισμός, κατὰ δὲ τὸ ἀναγκαῖον τῆς στερητικῆς καὶ τοῦ ἐνδέχεσθαι καὶ τοῦ μὴ ὑπάρχειν.

Αὕτη, φησίν, ἡ διαφορὰ τῶν δύο τούτων μίξεων, ὅτι ἐπὶ μὲν τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου ἐπὶ τῶν ἀνομοιοσχημόνων προτάσεων, ἐὰν ἡ μείζων ᾖ ὑπάρχουσα, δηλονότι ἀποφατικὴ οὖσα, ἡ δὲ ἐλάττων καταφατικὴ ἐνδεχομένη, τὸ συμπέρασμα ἐνδεχόμενον συνήγετο, ἐπὶ δὲ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου ὁμοίως πάλιν ἐχουσῶν τῶν προτάσεων, τῆς μείζονος ἀναγκαίας ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς ἐνδεχομένης, τοῦ μὴ ὑπάρχειν συνήγετο ⟨τὸ⟩ συμπέρασμα καὶ τοῦ μὴ ἐνδέχεσθαι ὑπάρχειν, τοῦ κατὰ τοῦ ὑπάρχοντος δηλονότι κατηγορουμένου. ταῦτα μὲν οὕτω λέγεται παρ' αὐτοῦ. ἐπιστῆσαι δὲ χρή, πῶς φησιν 'ἐνδεχόμενον ἦν τὸ συμπέρασμα' ἐπὶ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου, ἡνίκα ἡ μείζων ἀποφατικὴ ἦν ὑπάρχουσα, ἡ δὲ ἐλάττων καταφατικὴ ἐνδεχομένη, καίτοι ἀνωτέρω ἔλεγεν ὅτι ἐπὶ τῆς τοιαύτης μίξεως κατὰ ταύτην τὴν συζυγίαν οὐ συνάγεται τὸ ἐνδεχόμενον ἀλλὰ τὸ μηδενὶ ἐξ ἀνάγκης. λέγομεν

1 καὶ ἀ. conicio, at cf. p. 203,26 τινὶ alt. Ct: τι BU 2 ante αἰθίοπι add. τῷ B
6 τε alt. U Arist.: om. Bt(n) 8 κοινῶν t 9 λόγου U 10 συμπεράνας τί BU: συμπερασμάτων. καὶ t ἀμφοτέρων t 11 τὸ om. B 17 τοῦ B(C)
26 τοῦ — τοῦ t: τὸ — τὸ BSU τὸ addidi 27 τοῦ — κατηγορουμένου scripsi: τὸ—κατηγορούμενον BSUt post μὲν add. οὖν t 28 ὡς U 31 ἀνωτέρω] c. 15 p. 34ᵇ27 ἔλεγεν BU: εἰπὼν t κατὰ ταύτην BS: κατ' αὐτὴν Ut
32 συνάγεται Ct: συνάγεσθαι BSU

οὖν, ὅπερ κἀκεῖ εἰρήκαμεν, ὅτι τὸ οὐδενὶ ἐξ ἀνάγκης περιεκτικόν ἐστι καὶ LIr
τοῦ ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου. ἐπειδὴ οὖν τὸ οὐδενὶ ἐξ ἀνάγκης κατά τί
ἐστιν ἐνδεχόμενον, εἰ καὶ μὴ τὸ κατὰ τὸν διορισμόν, διὰ τοῦτό φησιν ὅτι τοῦ 31
ἐνδεχομένου ἐστὶ τὸ συμπέρασμα. συνήγετο δὲ τὸ ὑπάρχον ἐπὶ τῆς εἰρημένης
5 συζυγίας τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ ἀναγκαίου, ἐπειδὴ κεχρημένος
ἐπὶ ταύτης τῇ εἰς ἀδύνατον ἀπαγωγῇ, δι' ἧς ἐβούλετο δεῖξαι ὑπάρχον συν-
αγόμενον τὸ συμπέρασμα, μετέπεσεν εἰς τὴν μῖξιν τοῦ ὑπάρχοντος καὶ τοῦ
ἀναγκαίου, ἐν ᾗ ἐβούλετο τῇ μείζονι τῶν προτάσεων ἀκολουθεῖν τὸ συμ- 35
πέρασμα καὶ ἐκ ταύτης δεῖξαί τι ἀδύνατον συναγόμενον τὸ 'τὸ Β τῷ Γ
10 καὶ ἀνάγκη μηδενὶ καὶ ἐνδέχεται παντί', ὅπερ ἀδύνατον. ἐπεὶ εἰ μὴ τῇ
μείζονι ἀκολουθήσοι τὸ συμπέρασμα ἀλλὰ τῇ χείρονι, οὐδὲν ἀδύνατον ἠκο-
λούθει· συνήγετο γὰρ τὸ Β τῷ Γ καὶ ὑπάρχειν μὴ παντὶ καὶ ἐνδέχεσθαι
παντί, καὶ οὐδὲν ἀδύνατον. οἱ μέντοι περὶ Θεόφραστον καὶ ἐπὶ ταύτης
τῆς συζυγίας ἐνδεχόμενον λέγουσιν εἶναι τὸ συμπέρασμα, ἵνα καὶ ἐνταῦθα
15 τῇ χείρονι τῶν προτάσεων ἕπηται τὸ συμπέρασμα. καὶ τοῦτο δεικνύουσι 40
τῇ εἰς ἀδύνατον ἀπαγωγῇ οὕτως. ἔστωσαν γὰρ αἱ προτάσεις οὕτως ὡς
εἴπομεν· λέγω ὅτι συνάγουσι 'τὸ Α τῷ Γ ἐνδέχεται μηδενί'. εἰ γὰρ τοῦτο
ψεῦδος, ἔσται ἀληθὲς τὸ 'οὐκ ἐνδέχεται μηδενί', ὅπερ ταὐτόν ἐστι τῷ
'ἀνάγκη τινί'· ἐπεὶ οὖν ἀντιστρέφει ἡ μερικὴ καταφατική, καὶ τὸ Γ ἄρα
20 τινὶ τῶν Α ἐξ ἀνάγκης ὑπάρχει. εἰ τοίνυν τὸ μὲν Β κεῖται ἐνδέχεσθαι
παντὶ τῷ Γ, τὸ δὲ Γ τινὶ τῶν Α ἐξ ἀνάγκης ὑπάρχειν ὑπόκειται, τὸ ἄρα
Β τινὶ ἐνδέχεται τῶν Α. ἐπεὶ τοίνυν ὑπέκειτο ἐξ ἀρχῆς τὸ Α τῷ Β ἐξ
ἀνάγκης μηδενί, καὶ τὸ Β ἄρα τῷ Α ἐξ ἀνάγκης οὐδενί· ὑπέκειτο δὲ καὶ 45
ἐνδέχεσθαι τινί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι
25 ἡμᾶς τὸ Α τῷ Γ οὐκ ἐνδέχεσθαι μηδενί, ὅπερ ἐστὶ ταὐτὸν τῷ 'ἀνάγκη
τινί'· ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ 'ἐνδέχε-
ται μηδενί'. τοῦτο ἄρα ἐστὶ τὸ συναγόμενον. ἔστι δὲ καὶ ἄλλως δεῖξαι
τὸ ἀδύνατον· εἰ γὰρ τὸ Α τῷ Β ἐξ ἀνάγκης μηδενί, καὶ τὸ Β τῷ Α ἐξ
ἀνάγκης οὐδενί· τὸ δὲ Α τῷ Γ ἀνάγκη τινί· τὸ ἄρα Β τῷ Γ ἀνάγκη μὴ
30 παντί· ἦν δὲ καὶ 'ἐνδέχεται παντί', ὅπερ ἀδύνατον. 50

p. 36ᵇ24 Δῆλον δὲ καὶ ὅτι πάντες ἀτελεῖς οἱ συλλογισμοὶ καὶ ὅτι τελειοῦνται διὰ τῶν προειρημένων σχημάτων.

Οὐ πάντες ἁπλῶς ἀτελεῖς, ἀλλ' ὅσοι ἔχουσι τὴν ἐλάττονα ἐνδεχομένην.

---

1 κἀκεῖ] p. 184,25 καὶ om. t 2 ἐπεὶ B 6 ταύτη B ἠβούλετο t
10 καὶ alt. om. t 11 ἀκολουθήσει B 11. 12 ἠκολουθήσει sic t 12 ἐνδέχε-
ται B 14 εἶναι λέγουσι B καὶ om. U 15 δείκνυσιν Ut
17 α superscr. U 21 ὑπόκειται ὑπάρχειν B 22 τῶν α ἐνδέχεται B
τῶν β' t 23 οὐδενί Ut: μηδενί B ὑπόκειται U 24 post τὸ add. δ' B
cf. p. 201,1 25 ἐνδέχεσθαι t: ἐνδέχεται BU 26 δὲ om. B 27 post μηδενί
delevit ὅπερ ἐστὶ ταυτὸν τῷ ἀνάγκη τινὶ e vs. 25 illata B 29 α scripsi: β̄ BUt
30 immo ἐνδεχομένως cf. p. 215,26 216,4 31 πάντες om. B 33 post οὐ add. γὰρ t

τελειοῦνται δὲ πάντες τῇ εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῇ ἢ τῶν ἁπλῶν LIr
συλλογισμῶν ἢ τῶν μικτῶν· διὰ τοῦτο γὰρ εἶπε σχημάτων καὶ οὐ
'σχήματος'. |

p. 36b26 Ἐν δὲ τῷ δευτέρῳ σχήματι, ὅταν μὲν ἐνδέχεσθαι λαμ- LIv
5 βάνωνται ἀμφότεραι αἱ προτάσεις, οὐδεὶς ἔσται συλλογισμός,
οὔτε κατηγορικῶν οὔτε στερητικῶν τιθεμένων, οὔτε καθόλου
οὔτε κατὰ μέρος.

Παραδοὺς ὁ φιλόσοφος τοῦ τε ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου ἰδίᾳ
ἑκάστου ἐπὶ τῶν τριῶν σχημάτων τοὺς ἁπλοῦς συλλογισμούς. ἐφεξῆς τού-
10 των ἐξέθετο τὴν μῖξιν ἐπί τε πρώτου καὶ δευτέρου καὶ τρίτου σχήματος·
εἶτα μετὰ τοῦτο παραδέδωκε τοῦ ἐνδεχομένου αὐτοῦ καθ' αὑτοῦ ἐν πρώτῳ 5
σχήματι τοὺς ἁπλοῦς συλλογισμούς. καὶ δέον εὐθέως τὰ λοιπὰ δύο σχή-
ματα τῶν ἁπλῶν συζυγιῶν τοῦ ἐνδεχομένου παραδοῦναι, ὥσπερ ἐποίησε καὶ
ἐπὶ τῶν ἄλλων, εἶθ' οὕτως ἐπὶ τὴν μῖξιν τραπῆναι τοῦ ἐνδεχομένου πρὸς
15 τοὺς ἄλλους δύο τρόπους, οὐχ οὕτως ὁ φιλόσοφος ποιεῖ, ἀλλὰ μετὰ τὸ
παραδοῦναι τοῦ ἐνδεχομένου ἐν πρώτῳ σχήματι τὰς ἁπλᾶς συζυγίας εὐθέως
ἐτράπη ἐπὶ τὴν μῖξιν αὐτοῦ τὴν πρὸς τὸ ὑπάρχον καὶ ἀναγκαῖον ἐν πρώτῳ 10
σχήματι· εἶτα λοιπὸν νῦν ἐπὶ τὸ δεύτερον σχῆμα μεταβέβηκεν. τοῦτο δὲ
πεποίηκεν, ἐπειδὴ πᾶσαι αἱ ἐν δευτέρῳ σχήματι τοῦ ἐνδεχομένου συζυγίαι
20 ἀσυλλόγιστοί εἰσι. καὶ διὰ τοῦτο ὥσπερ εἴωθεν, οὕτω καὶ νῦν ποιεῖ προ-
τέρας τὰς συλλογιστικὰς παραδούς, λέγω δὴ τὰς ἐν πρώτῳ σχήματι ἁπλᾶς
τε καὶ μικτάς, εἶτα οὕτως μεταβὰς ἐπὶ τὸ δεύτερον σχῆμα καὶ δεικνὺς ὡς
πᾶσαι ἀσυλλόγιστοί εἰσιν αἱ ἁπλαῖ τοῦ ἐνδεχομένου ἐν τούτῳ προτάσεις.
πρὶν δὲ ταύτας ἐκθέσθαι προλαμβάνει τι λημμάτιον, δεικνὺς ὅτι οὐκ ἀντι- 15
25 στρέφει πρὸς ἑαυτὴν τοῦ ἐνδεχομένου ἡ ἀπόφασις ὥσπερ ἐπὶ τῶν ἄλλων
τρόπων, ἀλλ' οὐδὲ πρὸς ἄλλην τινά. μεμνήμεθα γάρ, ἡνίκα παρεδίδου τὰς
ἀντιστροφὰς τῶν ὑπαρχουσῶν καὶ ἀναγκαίων προτάσεων, ὅτι ὁμοίως ἑαυ-
τοῖς οἱ δύο τρόποι οὗτοι ἀντιστρέφουσιν, ὅτε ἔλεγεν ὅτι αἱ τοῦ ἐνδεχομένου
προτάσεις κατὰ μὲν τὰς καταφατικὰς ὁμοίως καὶ αὗται ἀντιστρέφουσι,
30 κατὰ δὲ τὴν καθόλου ἀποφατικὴν οὐκέτι· οὐ γὰρ πρὸς ἑαυτὴν ἀντιστρέφει
ἡ τοῦ ἐνδεχομένου καθόλου ἀπόφασις· "τοῦτο δὲ ἔσται φανερόν, ἡνίκα 20
περὶ τοῦ ἐνδεχομένου λέγωμεν". ὃ οὖν ἐκεῖ ἐπηγγείλατο, νῦν ἀποδίδωσι.
τί οὖν φησιν ἀρχόμενος ὁ φιλόσοφος; ἐν τῷ δευτέρῳ σχήματι ἀμφοτέρων

1 ἁπλῶς Ut 2 οὐχὶ t 4 περὶ τοῦ δευτέρου σχήματος ἐξ ἀμφοτέρων ἐνδεχομένων inscr. B: περὶ τῶν ἐξ ἀμφοτέρων ἐνδεχομένων προτάσεων ἐν δευτέρῳ σχήματι συλλογισμῶν U ἐνδεχόμεναι t 4. 5 λαμβάνωνται Ut (m n, corr. C): λαμβάνονται B: λαμβάνωσιν Arist. 8 ἀναγκαίου BU: ἐνδεχομένου t 9 ἑκάστω U 12 ἁπλῶς B 18 νῦν om. t ἐπὶ δευτέρου σχήματος t 20 καὶ prius om. B 23 εἰσιν αἱ Ct: εἰσὶ πᾶσαι BU 24 post δεικνὺς add. γὰρ BU: om. Ct 25 post ὥσπερ add. καὶ B 26 μεμνῆσθαι, supra quod scr. nescio quid, U γὰρ Ct: om. BU 28 ὅτε Bt: ὅτι U ἔλεγεν] c. 3 p. 25a39 sq. 31 ὅταν Arist. p. 25b18 32 λέγομεν t 33 οὖν BU: τοίνυν t

τῶν προτάσεων ἐνδεχομένων οὐσῶν, εἴτε καθόλου ὦσι εἴτε μερικαὶ εἴτε LIv
ἀπροσδιόριστοι, καὶ αὗται εἴτε καταφατικαὶ εἴτε ἀποφατικαὶ εἴτε ἀνομοιο-
σχήμονες, οὐδαμῶς γίνεται συλλογισμός. καὶ ἡ αἰτία δῆλη· ἐπειδὴ γὰρ ἐν
δευτέρῳ σχήματι ἀνομοιοσχήμονες θέλουσιν εἶναι αἱ συλλογιστικαὶ προ-
5 τάσεις, ἐάν τε ὁμοιοσχήμονας αὐτὰς λάβωμεν, δι' αὐτὸ τοῦτο ἀσυλλόγιστοι 25
ἔσονται, ἐάν τε ἀνομοιοσχήμονας, ἐπειδὴ δυνατὸν τὴν ἀποφατικὴν εἰς κατα-
φατικὴν μεταλαβεῖν καὶ πάλιν διὰ τοῦτο γίνονται ὁμοιοσχήμονες. διὰ τοῦτο
ὅλως οὐ γίνονται ἐν δευτέρῳ σχήματι ἐξ ἀμφοτέρων ἐνδεχομένων τῶν
προτάσεων συλλογισμοί.

10 p. 36b29 Ὅταν δὲ ἡ μὲν ὑπάρχειν ἡ δὲ ἐνδέχεσθαι σημαίνῃ, τῆς
μὲν καταφατικῆς ὑπάρχειν σημαινούσης οὐδέποτε ἔσται, τῆς δὲ 30
στερητικῆς τῆς καθόλου ἀεί.

Προοιμιασάμενος καὶ πρὸ τῆς δείξεως προαναφωνήσας, ὅτι αἱ ἐξ ἀμφο-
τέρων ἐνδεχομένων ἐν δευτέρῳ σχήματι πᾶσαι ἀσυλλόγιστοί εἰσι, νῦν φησι
15 περὶ τῶν ἐχουσῶν τὴν μίαν ἐνδεχομένην τὴν δὲ ἑτέραν ὑπάρχουσαν. καὶ
συντόμως διαιρεῖ τὰς συλλογιστικάς τε καὶ τὰς ἀσυλλογίστους ταύτῃ. ὅσαι,
φησί, τὴν καταφατικὴν πρότασιν ὑπάρχουσαν ἔχουσιν, αὗται πᾶσαι ἀσυλ-
λόγιστοί εἰσι· κἂν γὰρ ἀποφατικὴ ᾖ ἡ ἐνδεχομένη, διὰ τὸ πάλιν μετα- 35
λαμβάνεσθαι τὴν ἀποφατικὴν τοῦ ἐνδεχομένου εἰς τὴν καταφατικὴν καὶ
20 πάλιν ὁμοιοσχήμονας γίνεσθαι τὰς προτάσεις ἀσυλλόγιστοι αἱ τοιαῦται συζυ-
γίαι. ὅσαι δὲ ἀποφατικὴν τὴν ὑπάρχουσαν ἔχουσι, τῆς ἐνδεχομένης ὡς
ἔτυχεν ἐχούσης, εἴτε ἀποφατικῶς εἴτε καταφατικῶς, πάντως γίνεται συλ-
λογιστικὴ ἡ συζυγία· μένει γὰρ ἡ συζυγία τηνικαῦτα ἀνομοιοσχήμονας
ἔχουσα τὰς προτάσεις διὰ τὸ μήτε τὴν ἀποφατικὴν ὑπάρχουσαν μεταλη-
25 φθῆναι δύνασθαι εἰς τὴν καταφατικὴν μήτε τὴν ἐνδεχομένην καταφατικὴν 40
εἰς τὴν ἀποφατικὴν κατὰ τὰ Ἀριστοτέλει δοκοῦντα, κἂν ἀποφατικὴ ᾖ ἡ
ἐνδεχομένη, δύνασθαι ταύτην εἰς καταφατικὴν μεταληφθῆναι καὶ ποιεῖν
ἀνομοισχήμονα τὴν συζυγίαν. δεῖ δὲ τὴν ἀποφατικὴν ὑπάρχουσαν καθόλου
εἶναι διὰ τὸ ἀντιστρέφειν πρὸς ἑαυτήν· εἰ γὰρ μερικὴ εἴη, οὐ πάντως ποιεῖ
30 συλλογισμόν, ὡς μαθησόμεθα ἐν τῷ τόπῳ.

p. 36b31 Τὸν αὐτὸν δὲ τρόπον καὶ ὅταν ἡ μὲν ἐξ ἀνάγκης ἡ δὲ
ἐνδέχεσθαι λαμβάνηται τῶν προτάσεων· ὅσα γὰρ ἐπὶ τοῦ ὑπάρ- 45
χοντος καὶ ἐνδεχομένου εἴρηται, ταῦτα καὶ ἐπὶ τούτων ῥηθήσεται.

---

1 κἄντε καθόλου ὦσι κἄντε t post μερικαὶ add. εἴτε προσδιορισμέναι t 4 συλλογιστικαὶ om. U 5. 6 ὁμοιοσχήμονες—ἀνομοιοσχήμονες t 5 διὰ τοῦτο U 7 ἀνομοιοσχήμονες B 8 τῶν ἐνδεχομένων B 9 συλλογισμός B 10 σημαίνειν U 13 αἱ om. U 16 τὰς alt. om. U 18 ᾖ S: εἴη BUt 21 ἀποφατικαὶ BSt τὴν om. t 22 ἀποφατικῆς—καταφατικῆς SU 24 post διά add. τε B 25 τὴν prius om. Ut 25. 26 ἀποφατικὴν εἰς τὴν καταφατικὴν t 26 post δοκοῦντα add. ἀλλὰ t 30 τῷ Ut: om. B 31 καὶ om. U 32 ἐνδέχεται B ὅσα κτλ. om. U 32. 33 ὅσα—ῥηθήσεται Bt(d): om. Arist.

δεῖ δὲ καὶ ἐν τούτοις λαμβάνειν τὸ ἐν τοῖς συμπεράσμασιν LIᵛ
ἐνδεχόμενον ὥσπερ καὶ ἐν τοῖς πρότερον.

Τὰ συμπεράσματα, φησί, τὰ συναγόμενα ἐν δευτέρῳ σχήματι ἐπὶ τῆς μίξεως τοῦ ἐνδεχομένου πρὸς τὸ ὑπάρχον καὶ τὸ ἀναγκαῖον ἐνδεχόμενα ὄντα τοιούτου ἐνδεχομένου δεῖ λαμβάνειν ὄντα, οἷου ἦν καὶ τὸ ἐν πρώτῳ σχήματι ἐπὶ τῆς μίξεως τοῦ ἐνδεχομένου πρὸς τοὺς αὐτοὺς δύο τρόπους, δηλονότι τῶν συζυγιῶν ὁμοίως ἐχουσῶν ἐκείναις τῶν ἐνταῦθα. οἷον ἐπὶ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος, τῆς μείζονος οὔσης ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης καταφατικῆς, ὥσπερ καὶ ἐπὶ τοῦ πρώτου σχήματος τοῦ οὐδενὶ ἐξ ἀνάγκης δεῖ λαμβάνειν τὸ συναγόμενον, ὅπερ ἐστὶ τὸ ἥμισυ τοῦ ἐνδεχομένου· ἐπὶ δὲ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου, ὁμοίως ἐχούσης πάλιν τῆς συζυγίας, τὸ 'ἐνδέχεται μηδενί' τὸ τοῦ μὴ ὑπάρχοντος κατηγορούμενον. καὶ ἐπὶ τῶν ἄλλων συζυγιῶν, ὥσπερ | εἶχον αἱ τοῦ πρώτου σχήματος κατὰ τὰ συμ- LIIʳ
περάσματα, οὕτως ἔχουσι καὶ αἱ ἐν δευτέρῳ.

p. 36ᵇ35 Πρῶτον οὖν δεικτέον ὅτι οὐκ ἀντιστρέφει τὸ ἐν τῷ ἐνδέχεσθαι στερητικόν, οἷον εἰ τὸ Α ἐνδέχεται μηδενὶ τῷ Β, οὐκ ἀνάγκη καὶ τὸ Β ἐνδέχεσθαι μηδενὶ τῷ Α.

Ἐνταῦθα δείκνυσι τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην μὴ ἀντιστρέφουσαν πρὸς ἑαυτήν. δείκνυσι δὲ αὖ διὰ τριῶν ἐπιχειρημάτων, πρῶτον μὲν ἐπ' αὐτῶν τῶν προτάσεων διὰ τῶν καθόλου λόγων γυμνάζων τὸν λόγον, ὅτι τοῦτο ἀδύνατον εἶναι, ἔπειτα διὰ τῆς τῶν ὅρων παραθέσεως (παραδειγματικὴ δὲ ἡ τοιαύτη πίστις) καὶ τρίτον, ὅτι οὐδ' ὡς ἄν τις ὑπολάβοι, οὐδὲ διὰ τῆς τοῦ ἀδυνάτου δείξεως δυνατὸν πιστώσασθαι ὅτι πρὸς ἑαυτὴν ἀντιστρέφει ἡ τοῦ ἐνδεχομένου καθόλου ἀποφατική. πρῶτον οὖν δι' αὐτῶν τῶν προτάσεων δείκνυσιν οὕτως. οὐκ ἐπειδὴ τὸ Α, φησίν, ἐνδέχεται μηδενὶ τῶν Β, δυνατὸν ἀντιστρέψαντα εἰπεῖν ὅτι καὶ τὸ Β ἐνδέχεται μηδενὶ τῶν Α. εἰ γὰρ δυνατόν, ὑποκείσθω ἀντιστρέφειν καὶ τὸ Α μηδενὶ τῶν Β ἐνδέχεσθαι καὶ τὸ Β μηδενὶ ἐνδέχεσθαι τῶν Α. εἰ τοίνυν μηδενὶ τῶν Α τὸ Β ἐνδέχεται, καὶ παντὶ ἄρα ἐνδέχεται· δέδεικται γὰρ πρὸ τούτου ὅτι πᾶσαι αἱ τοῦ ἐνδεχομένου προτάσεις πρὸς ἑαυτὰς ἀντιστρέφουσι, λέγω δὴ αἱ ἀποφάσεις πρὸς τὰς καταφάσεις καὶ ἔμπαλιν· ἐνταῦθα

2 καὶ Bt(C): om. Arist. 5 οἷον U ἢ B 6 πρὸς BS: καὶ Ut
7 ἐκείναις scripsi: ἐκείνοις BSUt 10 τοῦ alt. S: τὸ BUt οὐθενὶ B
12 τοῦ t cf. vs. 8: om. BSU 13 κατηγορούμενον S: κατηγορουμένου BUt
15 αἱ om. BSt 16. 17 τὸ στερητικὸν τὸ ἐν τῷ ἐνδέχεσθαι B 18 ἐνδέχεσθαι post α' collocat t τῷ α' Ut Arist.: τῶν ᾱ B(C) 19 ἐντεῦθεν B
20 ἑαυτὸ B αὖ scripsi cf. p. 180,3 et Arist. c. 10 p. 30ᵇ18 sq.: αὐτὴν BUt
21 διὰ BUt: καὶ S τὸν—λόγον U λόγων om. t γυμνάζων B: γυμνάσομεν S: ἐγγυμνάζων Ut 22 post ἔπειτα add. δὲ t 23 παραδειγματικῶς t 27 ἀντιστρέψαντας S 29 τῶν β SUt: τῷ β B ἐνδέχεσθαι—ἐνδέχεσθαι S: ἐνδεχομένως—ἐνδεχέσθω BUt 30 δέδεικται] c. 13 p. 32ᵃ29 sq. 32 ἀποφατικαὶ—καταφατικὰς t

δὲ περὶ τῆς ἐν ὅροις, τουτέστι τῆς ἁπλῆς ἀντιστροφῆς, ἡμῖν ὁ λόγος. εἰ LHr τοίνυν μηδενὶ τῶν Α ἐνδέχεται τὸ Β ὑπάρχειν, καὶ παντὶ ἄρα ἐνδέχεται· πάλιν εἰ τὸ Α οὐδενὶ τῶν Β ἐνδέχεται (τοῦτο γὰρ ὑπόκειται ἐξ ἀρχῆς), διὰ τὴν αὐτὴν αἰτίαν ἣν εἴπομεν καὶ παντὶ τῷ Β τὸ Α ἐνδέχεται· ὥστε 5 συνάγεται ἐκ τούτου, ἐπεὶ τῷ Β παντὶ τὸ Α ἐνδέχεται, καὶ τῷ Α παντὶ τὸ Β ἐνδέχεσθαι. ἡ ἄρα καθόλου καταφατικὴ ἐνδεχομένη ἀντιστρέφει πρὸς ἑαυτήν, ὅπερ ἀδύνατον· ἐν οὐδενὶ γὰρ τρόπῳ ἡ καθόλου καταφατικὴ ἀντιστρέφει πρὸς ἑαυτήν. ὥστε ἐνταῦθα μὲν τῇ δι' ἀδυνάτου δείξει μὴ δυναμένην ἀντιστρέφειν πρὸς ἑαυτὴν τὴν καθόλου ἀποφατικὴν δείκνυσιν. 10 ἐν δὲ τῇ τρίτῃ δείξει οὐχ ἁπλῶς διὰ τοῦ ἀδυνάτου τοῦτο δείκνυσιν, ἀλλὰ τὴν δι' ἀδυνάτου δεῖξιν, δι' ἧς ἄν τις ὑπέλαβε δεικνύναι τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην τοῖς ὅροις ἀντιστρέφειν πρὸς ἑαυτήν, ψευδῆ οὖσαν ἐλέγχει.

p. 36b38 Οὐκοῦν ἐπεὶ ἀντιστρέφουσιν αἱ ἐν τῷ ἐνδέχεσθαι κατα-
15 φάσεις ταῖς ἀποφάσεσι, καὶ αἱ ἐναντίαι καὶ αἱ ἀντικείμεναι.

Ἐναντίας μέν φησι τήν τε πᾶς καὶ τὴν οὐδεὶς καὶ τὴν τὶς καὶ τὴν οὐ πᾶς, ἀντικειμένας δὲ τήν τε οὐδεὶς καὶ τὴν τὶς καὶ τὴν πᾶς καὶ τὴν οὐ πᾶς. ἀντιστρέφουσιν οὖν αὗται πρὸς ἀλλήλας, ἥ τε οὐδεὶς πρὸς τὴν πᾶς καὶ ἀνάπαλιν, καὶ ἡ τὶς πρὸς τὴν οὐ πᾶς. οὕτω μὲν αἱ ἐναντίαι.
20 ἀλλὰ δὴ καὶ αἱ ἀντικείμεναι ἀντιστρέφουσι τοῦτον τὸν τρόπον, ἡ μὲν πᾶς πρὸς τὴν οὐ πᾶς, ἡ δὲ οὐδεὶς πρὸς τὴν τὶς. οὐκέτι δὲ καὶ τὸ ἀνάπαλιν ἡ τὶς πρὸς τὴν οὐδεὶς οὐδὲ ἡ οὐ πᾶς πρὸς τὴν πᾶς· εἴρηται γὰρ ἡμῖν ἤδη ἐν τῷ περὶ τούτων λόγῳ ὅτι τὰ μὲν καθόλου εἰσάγει τὰ μερικά, οὐκέτι δὲ καὶ τὰ μερικὰ τὰ καθόλου.

25 p. 37a4 Ἔτι δὲ οὐδὲν κωλύει τὸ μὲν Α τῷ Β ἐνδέχεσθαι μηδενί, τὸ δὲ Β τινὶ τῶν Α ἐξ ἀνάγκης μὴ ὑπάρχειν· οἷον τὸ μὲν λευκὸν παντὶ ἀνθρώπῳ ἐνδέχεται μὴ ὑπάρχειν· καὶ γὰρ ὑπάρχει· ἄνθρωπον δὲ οὐκ ἀληθὲς εἰπεῖν ὡς ἐνδέχεται μηδενὶ λευκῷ· πολλοῖς γὰρ ἐξ ἀνάγκης οὐχ ὑπάρχει, τὸ δὲ ἀναγκαῖον οὐκ ἦν
30 ἐνδεχόμενον.

Οὗτος ὁ δεύτερος τῆς δείξεως τρόπος ὁ ἐπ' αὐτῶν τῶν ὅρων δεικνὺς ἀδύνατον εἶναι ἀντιστρέφειν πρὸς ἑαυτὴν τὴν ἐνδεχομένην καθόλου ἀπο-

---

1 δὲ scripsi: γὰρ BUt 5 τῶ—τὸ U, corr. S¹: τὸ—τῶ Bt, pr. S 5. 6 τῶ—τὸ corr. S¹: τὸ—τῶ BUt, pr. S 6 ἀντιστρέψει fort. recte S 8 post ἑαυτὴν add. ἡ πρὸς τὴν καθόλου ἀποφατικὴν BSU cf. [Them.] p. 51,33: om. Ct δι' Bt: διὰ τοῦ U 9 τὴν iterat U 10 δευτέρᾳ t 11 δι' Bt: διὰ τοῦ U 18 post τὴν add. οὐ t 19 post μὲν add. οὖν t: om. BSU 21 ὁ δὲ U 22 post οὐδὲ add. γὰρ t εἴρηται] p. 149,27 sq. 25 δὲ om. B 26 τῷ α' t 27 post παντὶ delevit τῷ B ὑπάρχει U(C): ὑπάρχειν t Arist.: compend. B cf. p. 210,5

φατικήν· ἔστι δέ, ὡς εἶπον, παραδειγματικὴ ἡ δεῖξις. οὐδὲ γάρ, φησίν, LII[r]
εἰ τὸ Α οὐδενὶ τῶν Β ἐνδέχεται, καὶ τὸ Β οὐδενὶ τῶν Α * * * * ἐνδέ- 40
χοιτο ἄν· τοῦτο δὲ ἀδύνατον· τισὶ γὰρ ἐξ ἀνάγκης οὐχ ὑπάρχει. οἷον τοῦ Α
ὄντος λευκοῦ τοῦ δὲ Β ἀνθρώπου τὸ μὲν λευκὸν οὐδενὶ ἀνθρώπῳ ἐνδέχεται,
5 διότι καὶ παντὶ ἐνδέχεται (τοῦτο γὰρ σημαίνει τὸ καὶ γὰρ ὑπάρχει),
ἄνθρωπος δὲ οὐκ ἀληθὲς εἰπεῖν ὡς οὐδενὶ λευκῷ ἐνδέχεται· εἰ
γὰρ οὐδενὶ ἐνδέχεται, καὶ παντὶ ἐνδέχεται, ὅπερ ἀδύνατον· τισὶ γὰρ λευκοῖς
ἐξ ἀνάγκης οὐχ ὑπάρχει, οἷον τῷ κύκνῳ καὶ τῇ χιόνι. ληπτέον δὲ κάλλιον
τοὺς ὅρους λαμβάνοντας κίνησιν καὶ ἄνθρωπον· κίνησιν μὲν γὰρ ἐνδέχεται 45
10 μηδενὶ ἀνθρώπῳ ὑπάρχειν, ἐπειδὴ καὶ παντί, ἄνθρωπον δὲ ἀδύνατον μηδε-
μιᾷ κινήσει ὑπάρχειν· εἰ γὰρ ἐνδέχεται μηδεμιᾷ κινήσει ἄνθρωπον, καὶ
πάσῃ ἐνδέχεται ὑπάρχειν· τοῦτο δὲ ἀδύνατον· τινὶ γὰρ ἐξ ἀνάγκης οὐχ
ὑπάρχει, οἷον τῇ κυκλοφορικῇ.

p. 37a9 Ἀλλὰ μὴν οὐδ' ἐκ τοῦ ἀδυνάτου δειχθήσεται ἀντι-
15 στρέφον, οἷον εἴ τις ἀξιώσειεν, ἐπεὶ ψεῦδος τὸ ἐνδέχεσθαι τὸ
Β τῷ Α μηδενὶ ὑπάρχειν, ἀληθὲς τὸ μὴ ἐνδέχεσθαι μηδενί· 50
φάσις γὰρ καὶ ἀπόφασις. εἰ δὲ τοῦτο ἀληθές, ἐξ ἀνάγκης τινὶ
τῶν Α τὸ Β ὑπάρξει, ὥστε καὶ τὸ Α τινὶ τῶν Β.

Δι' ἧς ἄν τις ὑπενόησε δείξεως, λέγω δὲ τῆς εἰς τὸ ἀδύνατον, τὴν
20 καθόλου ἀποφατικὴν ἐνδεχομένην πρότασιν δεῖξαι πρὸς ἑαυτὴν ἀντιστρέ-
φουσαν, ταύτην αὐτὸς ἐκτίθεταί τε καὶ ἐξελέγχει. ἐκτίθεται οὖν τέως
αὐτὴν τὴν εἰς τὸ ἀδύνατον ἀπαγωγὴν δοκοῦσαν δεικνύναι τὴν ἀποφατικὴν
καθόλου ἐνδεχομένην πρὸς ἑαυτὴν ἀντιστρέφουσαν οὕτως. εἰ τὸ Α οὐδενὶ
τῶν Β ἐνδέχεται, λέγω, φησίν, ὅτι καὶ τὸ Β οὐδενὶ | τῶν Α ἐνδέχεται. LII[v]
25 εἰ γὰρ τοῦτο ψεῦδος, ἔσται τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθές, ὅτι οὐκ
ἐνδέχεται μηδενὶ τῶν Α τὸ Β, ὅπερ ταὐτόν ἐστι τῷ 'ἀνάγκη τινί'· ὁ γὰρ
οὐκ ἐνδέχεται μηδενί, τοῦτο ἀνάγκη τινί. ἐπεὶ οὖν τὸ Β ἐξ ἀνάγκης τινὶ τῶν
Α ὑπάρχει, ὡς ἡ ὑπόθεσις, καὶ τὸ Α ἄρα τινὶ τῶν Β ἐξ ἀνάγκης ὑπάρξει·
ἀντιστρέφει γὰρ ἐν παντὶ τρόπῳ τὰ μερικὰ καταφατικὰ πρὸς ἑαυτά· ὑπέ-
30 κειτο δὲ καὶ ἐνδέχεσθαι μηδενὶ τὸ Α τῶν Β· τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ 5
ἐνδέχεται μηδενὶ καὶ ἀνάγκη τινί, ὅπερ ἀδύνατον. οὐκ ἄρα τὸ 'ἀνάγκη
τινί' ἀληθές, τουτέστι τὸ 'οὐκ ἐνδέχεται μηδενί'· εἰ δὲ τοῦτο ψεῦδος,

---

1 εἶπον] p. 208,23 2 lac. indicavi; supple ἐνδέχεται· εἰ γὰρ τοῦτο, καὶ τὸ Β παντὶ τῷ Α 5 ὑπάρχει Ut: compend. B cf. p. 209,27 8 ἐξ ἀνάγκης om. t οἷον τῷ κύκνῳ καὶ τῇ B: ὡς κύκνῳ χιόνι μυρίοις ἄλλοις S: τὸ ἐν κύκνῳ τὸ ἐν Ut 12 ὑπάρχειν post 11 ἄνθρωπον colloc. S τισὶ t post γὰρ add. κινήσει S 14. 15 ἀντιστρέφειν B 15. 16 τῷ β̄ τὸ α̅ μηδενὶ U: μηδενὶ τῷ α' τὸ β t 17 post ἀληθὲς add. καὶ τὸ t (f i) 18 τῷ α' t, pr. B ὑπάρχειν τὸ β' t (u m) τῶν alt. U Arist.: τῷ Bt(m) 19 ὑπονοῆσαι U: ὑπονοήσει S cf. p. 209,11 211,10 δὴ B 20. 21 πρὸς ἑαυτὴν δεῖξαι ἀντιστρέφουσαν πρότασιν t 20 ἑαυτὸ B 21 τε om. t 22 τῆς—ἀπαγωγῆς U 25 ἔσται om. U ἀντιφατικῶς om. BSt ὅτι BUt: τὸ S οὐκ BSt: οὐ μὲν U 28 ὑπάρχειν utrobique U

ἀληθὲς τὸ 'ἐνδέχεται μηδενὶ τῶν Α τὸ Β'. οὕτω μὲν οὖν ἡ δοκοῦσα διὰ LIIv
τοῦ ἀδυνάτου δεῖξις. πῶς οὖν καὶ ταύτην ἐλέγχει, ἴδωμεν.

p. 37a14 Τοῦτο δ' ἀδύνατον· οὐ γάρ, εἰ μὴ ἐνδέχεται μηδενὶ τὸ Β τῶν Α, ἀνάγκη τινὶ ὑπάρχειν. τὸ γὰρ μὴ ἐνδέχεσθαι μηδενὶ διχῶς λέγεται, τὸ μὲν εἰ ἐξ ἀνάγκης τινὶ ὑπάρχει, τὸ δὲ εἰ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχει· τὸ γὰρ ἐξ ἀνάγκης τινὶ τῶν Α μὴ ὑπάρχον οὐκ ἀληθὲς εἰπεῖν ὡς παντὶ ἐνδέχεται μὴ ὑπάρχειν, ὥσπερ οὐδὲ τὸ τινὶ ὑπάρχον ἐξ ἀνάγκης ὅτι παντὶ ἐνδέχεται ὑπάρχειν.

Ἐκθέμενος ἀνωτέρω τὴν εἰς ἀδύνατον ἀπαγωγήν, ᾗ ἄν τις ἐχρήσατο πρὸς τὸ δεῖξαι τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην πρὸς ἑαυτὴν ἀντιστρέφουσαν, διὰ τούτων αὐτὴν τὴν δεῖξιν ἐλέγχει ὡς οὐκ οὖσαν ἀληθῆ ἀλλ' ἀδύνατον. τί οὖν λέγει; οὐ δεῖ, φησίν, εἰ τῇ 'ἀνάγκη τινί' ὑποτεθείσῃ ἀδύνατόν τι ἠκολούθησε, τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ 'ἐνδέχεται μηδενί' λέγειν ἀληθὲς εἶναι καὶ διὰ τοῦτο ἀντιστρέφειν οἴεσθαι πρὸς ἑαυτὴν τὴν τοῦ ἐνδεχομένου ἀπόφασιν· ἡ γὰρ 'οὐκ ἐνδέχεται μηδενί', ἣν ὑπεθέμεθα, ἵνα δείξωμεν τὸ ἀδύνατον, οὐ μόνον τὴν 'ἀνάγκη τινί' περιέχει ἀλλὰ καὶ τὴν 'ἀνάγκη μὴ παντί', ὡς ἀνωτέρω δέδεικται. εἰ τοίνυν τῆς 'οὐκ ἐνδέχεται μηδενί' ἀμφότεραι αἱ μερικαὶ τοῦ ἀναγκαίου μέρη εἰσί (περιέχονται γὰρ ὑπ' αὐτῆς), οὐ δεῖ τῷ ἑνὶ μόνῳ μέρει αὐτῆς δεῖξαι τὸ ἀδύνατον ἀκολουθοῦν τῷ 'ἀνάγκη τινί', ἀλλὰ καὶ τῷ 'ἀνάγκη μὴ παντί'. δεῖ οὖν καὶ ταύτην ὑποθέσθαι καὶ δεῖξαι ἀδύνατόν τι ἀκολουθοῦν, ἵνα τῇ ὅλῃ προτάσει τῇ 'οὐκ ἐνδέχεται μηδενί', τουτέστι τοῖς μέρεσιν αὐτῆς πᾶσι, δείξαντες ἀκολουθοῦν τὸ ἀδύνατον τότε τὴν ἀντιφατικῶς αὐτῇ ἀντικειμένην εἰσαγάγωμεν τὴν 'ἐνδέχεται μηδενί'· ὅλον γὰρ δεῖ δεῖξαι πρὸς ἑαυτὸ τὸ ἐνδεχόμενον ἀντιστρέφον, τουτέστι τὴν ὅλην πρότασιν πρὸς ὅλην ἑαυτὴν καὶ οὐ πρὸς τὸ ἥμισυ. ἀλλὰ μὴν τῇ 'ἀνάγκη μὴ παντί' ὑποτεθείσῃ οὐδὲν ἀδύνατον ἀκολουθεῖ· τὴν γὰρ ἀρχὴν οὐδὲ ἀντιστρέφει· δῆλον ἄρα ὅτι οὐκ ἔστι χρησαμένους τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δεῖξαι τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην πρὸς ἑαυτὴν ἀντιστρέφουσαν. καὶ ἡ μὲν ἔννοια αὕτη. δεῖ δὲ σαφηνίσαι τὴν λέξιν. φησὶν οὖν ὅτι κακῶς ὑποθέμενοι τὸ 'ἐξ ἀνάγκης τινί' μόνον ἀντὶ τοῦ 'οὐκ ἐνδέχεται μηδενί' τούτῳ μόνῳ τὸ ἀδύνατον ἐδείξατε ἀκολουθοῦν· τὸ γὰρ 'οὐκ

2 post δεῖξις add. δεικνύναι ἀντιστρέφειν τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην S οὖν ἐλέγχει αὐτὴν B · εἴδομεν t 3 οὐ δὲ B 3. 4 τῷ α' τὸ β' t 4 ἀνάγκη t Arist.: ἐξ ἀνάγκης U(C): ἀνάγκης B τινὶ ὑπάρχειν B Arist.: inv. ord. Ut ante τὸ add. μόνον, ἀλλὰ καὶ ἐξ ἀνάγκης οὐ παντί Ut (similia i f) 5 post τινὶ add. τῷ α' t 6 ὑπάρχειν U (u, pr. C) τῷ α' t 7 ὑπάρχον t Arist.: ὑπάρχειν BU 8 ὅτι om. U 12 ὡς om. U 17 τῇ U 18 ἀνωτέρω] p. 178,11 sq. τῇ οὐκ t 23 αὐτοῖς B πᾶσι δείξαντες BSU: ἀποδείξαντα t 24 post τότε add. γὰρ Ut τὴν prius om. t ἀντικείμενον t εἰσαγάγωμεν S: εἰσάγομεν BUt 25 δεῖ om. U 28 χρησάμενον corr. o χρησάμενος B² 31 μόνον—32 ἀκολουθοῦν om. B

ἐνδέχεται μηδενί' δύο περιέχει, τὸ 'ἀνάγκη τινί' καὶ τὸ 'ἀνάγκη μὴ παντί'. LIIv ἔδει οὖν ὑποθεμένους τὸ 'ἀνάγκη τινί' ὑποθέσθαι καὶ τὸ 'ἀνάγκη μὴ παντί'.

Τὸ γὰρ ἐξ ἀνάγκης, φησί, τινὶ τῶν Α μὴ ὑπάρχον οὐκ ἀληθὲς εἰπεῖν ὡς παντὶ ἐνδέχεται μὴ ὑπάρχειν, ὥσπερ οὐδὲ τὸ τινὶ ὑπάρχον ἐξ ἀνάγκης ὅτι παντὶ ἐνδέχεται ὑπάρχειν. ἐξ ἀναλογίας τινὸς δείκνυσιν ὅτι ἐν τῇ 'οὐκ ἐνδέχεται μηδενί' οὐ μόνον ἡ 'ἀνάγκη τινί' περιέχεται ἀλλὰ καὶ ἡ 'ἀνάγκη μὴ παντί'. ὥσπερ γάρ, φησίν, ἡ 'ἀνάγκη τινί' οὐ περιέχεται ἐν 'τῇ ἐνδέχεται παντί', ἐπειδὴ ὃ ἐνδέχεται παντί, τοῦτο ἐνδέχεται μηδενί, καὶ ἐπειδὴ ἐν ταύτῃ οὐ περιέχεται, πᾶσα ἀνάγκη ἐν τῇ ἀντιφατικῶς αὐτῇ ἀντικειμένῃ περιέχεσθαι τῇ 'οὐκ ἐνδέχεται παντί', οὕτω δὴ καὶ ἡ 'ἀνάγκη μὴ παντί', ἐπειδὴ μὴ περιέχεται ἐν τῇ 'ἐνδέχεται μηδενί' (ὃ γὰρ ἐνδέχεται μηδενί, ἐνδέχεται παντί· ὃ δὲ ἐνδέχεται παντί, οὐκ ἀληθὲς εἰπεῖν ὡς ἀνάγκη μὴ παντί), εἰ τοίνυν μὴ περιέχεται ἐν τῇ 'ἐνδέχεται μηδενί' τὸ 'ἀνάγκη μὴ παντί', πᾶσα ἀνάγκη ἐν τῷ 'οὐκ ἐνδέχεται μηδενί' αὐτὸ περιέχεσθαι. δῆλον ἄρα ὅτι ἡ 'οὐκ ἐνδέχεται μηδενί' τὸ 'ἀνάγκη τινί' καὶ τὸ 'ἀνάγκη μὴ παντί' περιέχει. ἰστέον δὲ ὅτι ἀντὶ τοῦ εἰπεῖν, ὅτι οὐκ ἀληθὲς εἰπεῖν ὡς ἐνδέχεται μηδενὶ ὑπάρχειν, εἶπεν ὡς παντὶ ἐνδέχεται μὴ ὑπάρχειν. ἔστι δὲ ἓν καὶ ταὐτόν· εἰ γὰρ παντὶ ἐνδέχεται μὴ ὑπάρχειν, ἐνδέχεται μηδενὶ ὑπάρχειν.

p. 37a20 Εἰ οὖν τις ἀξιοίη, ἐπεὶ οὐκ ἐνδέχεται τὸ Γ τῷ Δ παντὶ ὑπάρχειν, ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν αὐτό, ψεῦδος ἂν λαμβάνοι· παντὶ γὰρ ὑπάρχει, ἀλλ' ὅτι ἐνίοις ἐξ ἀνάγκης ὑπάρχει, διὰ τοῦτό φαμεν οὐ παντὶ ἐνδέχεσθαι. ὥστε τῷ ἐνδέχεσθαι παντὶ ὑπάρχειν τό τε ἐξ ἀνάγκης τινὶ ὑπάρχειν ἀντίκειται καὶ τὸ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν. ὁμοίως δὲ καὶ τῷ ἐνδέχεσθαι μηδενί.

Ὃ λέγει τοιοῦτόν ἐστιν. ὥσπερ, φησίν, εἴ τις ἀξιώσειεν ἀντιστρέφειν πρὸς ἑαυτὴν τὴν καθόλου καταφατικὴν καὶ λέγοι οὕτως 'ἐπεὶ τὸ Δ παντὶ τῷ Γ ἐνδέχεται ὑπάρχειν, καὶ τὸ Γ παντὶ τῷ Δ ἐνδέχεται ὑπάρχειν', εἶτα τοῦτο ἐπιχειροίη κατασκευάζειν οὕτως 'εἰ γὰρ ψεῦδος τὸ παντὶ τῷ Δ τὸ Γ ἐνδέχεσθαι ὑπάρχειν, ἀληθὲς ἄρα τὸ 'οὐκ ἐνδέχεται παντὶ τῷ Δ τὸ Γ',

---

2 ἔδει—παντί om. B 3 ὑπάρχειν U 6 τῶ B 7 ὥσπερ γάρ, φησίν scripsi: ὥσπερ φησὶν BUt: φησὶ γὰρ ὥσπερ YZ 8 τῶ B 10 ἀντιφατικῇ t αὐτῇ om. B ἐνδέχεσθαι Bt 14 an ἐν τῇ? compend., ut etiam antea B 15 αὐτῶ U 18 μὴ post ὡς collocat t ταυτὸ t 20 ἀξιώη BU cf. p. 213,22 21. 22 λαμβάνοιτο t 22 post ὑπάρχει prius add. εἰ τύχοι Bt (n u) 23. 24 τῶ τε—τὸ U 23 post ἐνδέχεσθαι alt. add. μὴ B: ras. U 25 τῶ—τὸ U ἐνδέχεται B 27 τοιοῦτον B: τοῦτο Ut ἀξιώσειεν Ct: ἀξιώσει BSU 28 λέγοι S: λέγει BUt 29 τὸ γ̄ (ante ἐνδ.) B 30 κατασκευάζων B τὸ γ' post παντὶ collocat t: om. S

εἶτα ἀντὶ τούτου παραλάβοι τὸ 'ἀνάγκη μὴ παντί' μόνον, κακῶς ποιεῖ, LII· διότι ἐνδέχεται ἐπί τινων ὅρων τὸ Γ τῷ Δ παντὶ ὑπάρχειν, οὕτως δὲ παντὶ ὑπάρχειν ὡς τισὶ μὲν ἐξ ἀνάγκης ὑπάρχειν, τισὶ δὲ ὑπαρχόντως, καὶ διὰ τοῦτο συμβαίνει, διὰ τὸ μὴ πᾶσιν ἐξ ἀνάγκης ὑπάρχειν, ἀληθεύειν τὸ 'ἀνάγκη μὴ παντὶ τῷ Δ τὸ Γ', διότι δὲ πάλιν καὶ τισὶν ἐξ ἀνάγκης ὑπάρχει, ἀληθεύειν τὸ 'ἀνάγκη τινί'. οἷον ἔστω κινούμενον καὶ σῶμα· λέγω οὕτως· κινούμενον παντὶ σώ|ματι ὑπάρχει, καὶ ἔστιν ἀληθὴς ὁ λόγος· LIII r δύναμαι ἐπὶ τούτων τῶν ὅρων ἀντιστρέψας εἰπεῖν καὶ ὅτι σῶμα παντὶ κινουμένῳ ὑπάρχει, ἀλλὰ τινὶ μὲν ἐξ ἀνάγκης, οἷον τῇ κυκλοφορίᾳ τοῦ οὐρανοῦ, τινὶ δὲ οὐκ ἐξ ἀνάγκης, οἷον τῇ βαδίσει· οὐδὲ γὰρ ἀεὶ συνυπάρχουσιν ἀλλήλοις σῶμα καὶ βάδισις· διόπερ οὐκ ἀναγκαία ἐστὶν ἡ συνύπαρξις αὐτῶν. ὥστε οὐ καλῶς τις λαμβάνει ὅτι, εἰ μὴ τὸ Γ τῷ Δ ἐνδέχεται παντί, ἀνάγκη μὴ παντὶ μόνως (δέδεικται γὰρ ὅτι δυνατὸν εὑρεῖν ὅρους τὸ ὑπάρχειν παντὶ τῷ Δ τὸ Γ συνάγοντας· εἰ δὲ παντὶ ὑπάρχει, ψεῦδος τὸ λέγειν ὅτι ἀνάγκη μὴ παντὶ μόνως), ἀλλ' ὅτι καὶ ἀνάγκη τινί. ὥστε τῷ ἐνδέχεσθαι παντὶ δύο ἀντίκεινται προτάσεις, ἥ τε 'ἀνάγκη μὴ παντί' καὶ ἡ 'ἀνάγκη τινί', καὶ οὐ δεῖ τὴν 'ἀνάγκη μὴ παντί' μόνην παραλαμβάνειν ὡς ἀντικειμένην. ὡσαύτως δὲ καὶ τῇ 'ἐνδέχεται μηδενί' αἱ αὐταὶ δύο ἀντίκεινται, καὶ οὐ δεῖ τὴν 'ἀνάγκη τινί' μόνην παραλαμβάνειν τοὺς εἰς ἀδύνατόν τι βουλομένους ἀπαγαγεῖν καὶ τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ 'οὐκ ἐνδέχεται μηδενί' εἰσάγειν τὸ 'ἐνδέχεται μηδενί'. ἐπισημειωσώμεθα δὲ καὶ κατὰ τὴν λέξιν τὰ εἰρημένα.

Εἰ οὖν τις ἀξιοίη, ἐπεὶ οὐκ ἐνδέχεται τὸ Γ τῷ Δ παντὶ ὑπάρχειν, ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν αὐτό, ψεῦδος ἂν λαμβάνοι. εἰ ὑποθεμένων ἡμῶν, φησί, τὸ Δ τῷ Γ ἐνδέχεσθαι παντὶ ἀντιστρέψας τις εἴποι καὶ τὸ Γ τῷ Δ ἐνδέχεσθαι παντί (εἰ γὰρ τοῦτο ψεῦδος, τὸ 'οὐκ ἐνδέχεται παντί' ἀληθές, ὅπερ ἐστὶ ταὐτὸν τῷ 'ἀνάγκη μὴ παντί' μόνῳ), ψεῦδος ἂν λέγοι ὁ τοιοῦτος. ὅτι δὲ ψεύδεται, τὴν αἰτίαν ἐπάγει· παντὶ γὰρ ὑπάρχει, φησί, τουτέστι δυνατὸν εὑρεῖν ὅρους τὸ παντὶ ὑπάρχειν τῷ Δ τὸ Γ συνάγοντας. οὐκοῦν οὐκ ἀληθὲς εἰπεῖν ὡς ἀνάγκη μὴ παντὶ μόνως. πόθεν δὲ ὅλως ἀληθεύει κατά τι τὸ ἀνάγκη μὴ παντί, εἴπερ δυνατὸν εὑρεῖν ὅρους τὸ ὑπάρχειν παντὶ συνάγοντας, τούτου τὴν αἰτίαν ἐπήγαγεν. ἀλλ' ὅτι, φησίν, ἐνίοις ἐξ ἀνάγκης ὑπάρχει, διὰ τοῦτό φαμεν οὐ παντὶ ἐνδέχεσθαι. ἐφ' ὧν, φησίν, ὅρων εὑρίσκομεν κατηγορούμενον παντὸς τοῦ Δ τὸ Γ, τισὶ μὲν τῶν ὑπὸ τὸ Δ ἀναγκαίως ὑπάρχει, τισὶ δὲ οὐκ ἀναγκαίως.

---

2 ἐνδέχεται post ὅρων colloc. U: om. S 4 συμβαίνειν BS ὑπάρχει t 5 τὸ γ̄ τῷ δ̄ B 6 ὑπάρχειν t ἀληθεύειν St: ἀληθεύει BU 7 ὑπάρχειν B 8 post δύναμαι add. δὲ Ut: om. BS 13 τὸ prius S: τοῦ BUt 15 τῷ S: τὸ BUt ἐνδέχεσθαι BS: ἐνδέχεται Ut 16 post ἥ τε add. ἡ Ut 20 τὸ (ante οὐκ) t 21 ἐπισημειωσόμεθα Ut δὲ Ct: om. BU 22 ἀξιώη BUt cf. p. 212,20 τὸ γ̄ om. B 23 ἂν om. U 24 φησὶν ἡμῶν U τὸ α B 24. 25 ἀντιστρέψας—παντί om. B 25 τὸ alt. om. U 27 δὲ scripsi: γὰρ BUt 30 ἀληθεύει scripsi: ἀληθεύειν BUt post παντὶ add. τῷ δ̄ τὸ γ̄ συνάγοντας (e vs. 28. 29 illata) B 31 ὑπάρχει U: ὑπάρχον t συνάγοντα t post τούτου add. οὖν U 34 τὸ δ (δ corr. B) Bt: τῶδε U

ἐπειδὴ τοίνυν μὴ πᾶσιν ἀναγκαίως ὑπάρχει, διὰ τοῦτο ἀληθὲς τὸ λέγειν LIIIr ὅτι ἀνάγκη μὴ παντί· [ὥστε] ἐπειδὴ ⟨δὲ⟩ καὶ τισὶν ἀναγκαίως ὑπάρχει, ἀληθεύσει καὶ τὸ ἀνάγκη τινί. ὥστε, φησί, τῷ ἐνδέχεσθαι παντὶ τὰ ἀντικείμενα, ἐπειδὴ τοῦτο ὑποθέσθαι ἐβούλοντο, δύο εἰσὶ τὸ 'ἀνάγκη τινί' καὶ 5 'ἀνάγκη μὴ παντί'. ὁμοίως δὲ καὶ τῷ ἐνδέχεσθαι μηδενί.

p. 37a26 Δῆλον οὖν ὅτι πρὸς τὸ οὕτως ἐνδεχόμενον καὶ μὴ ἐνδε- 25 χόμενον, ὡς ἐν ἀρχῇ διωρίσαμεν, οὐ μόνον τὸ ἐξ ἀνάγκης τινὶ ὑπάρχειν ἀλλὰ καὶ τὸ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν ληπτέον. τούτου δὲ ληφθέντος οὐδὲν συμβαίνει ἀδύνατον, ὥστε οὐ γίνεται 10 συλλογισμός. φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὅτι οὐκ ἀντιστρέφει τὸ στερητικόν.

Συμπέρασμα ἐπιφέρει τῶν εἰρημένων. ἐκ τῶν εἰρημένων, φησί, δῆλόν ἐστιν ἡμῖν ὅτι τοῦ διορισθέντος ἡμῖν ἐξ ἀρχῆς ἐνδεχομένου ("οὗ μὴ 30 ὄντος ἀναγκαίου τεθέντος δὲ οὐδὲν ἀδύνατον ἀκολουθεῖ"· ἔστι γὰρ καὶ τὸ 15 κοινοτέρως λεγόμενον ἐνδεχόμενον, ὡς πολλάκις εἰρήκαμεν) καὶ τῇ ἀποφάσει τῇ 'ἐνδέχεται μηδενί' καὶ τῇ καταφάσει τῇ 'ἐνδέχεται παντί' δύο εἰσὶ καὶ τὰ αὐτὰ ἑκάστῳ τὰ ἀντικείμενα, τὸ 'ἀνάγκη τινί' καὶ 'ἀνάγκη μὴ παντί'. ὥστε τοὺς κεχρημένους τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἐφ' ἑκατέρᾳ τῶν προτάσεων τούτων ἀμφότερα δεῖ λαμβάνειν τὰ ἀντικείμενα. ὑποτεθέντος δὲ 20 τοῦ 'ἀνάγκη μὴ παντί' οὐδὲν ἀδύνατον ἠκολούθει· ὥστε, φησίν, οὐ γίνε- 35 ται συλλογισμός, τουτέστιν οὐδὲν ἀδύνατον συμπέρασμα ἡμῖν ἀκολουθήσει· συλλογισμὸν γὰρ ἐνταῦθα ἐκάλεσε τὸ συμπέρασμα. εἰ δὲ μὴ ἀκολουθεῖ τι ἀδύνατον, οὐδὲ διὰ τούτου ἄρα δειχθήσεται ἀντιστρέφουσα πρὸς ἑαυτὴν ἡ τοῦ ἐνδεχομένου καθόλου ἀπόφασις.

25 p. 37a32 Τούτου δὲ δειχθέντος κείσθω τὸ Α τῷ μὲν Β ἐνδέχεσθαι μηδενὶ τῷ δὲ Γ παντί. διὰ μὲν οὖν τῆς ἀντιστροφῆς οὐ γίνεται συλλογισμός· εἴρηται γὰρ ὅτι οὐκ ἀντιστρέφει ἡ τοιαύτη πρότασις.

Τὰ χρήσιμα αὐτῷ ἐσόμενα πρὸς τὴν διδασκαλίαν τῶν ἐν δευτέρῳ 40 30 σχήματι συλλογισμῶν εἰπὼν νῦν ἐπὶ τὰς συζυγίας αὐτὰς μετέρχεται, καὶ δείκνυσιν ὅτι οὐκ ἐνδέχεται ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων ἐν

2 ὥστε delevi, δὲ addidi post ἀναγκαίως add. οὐχ BU: om. t ἀληθεύει, ut videtur, pr. B 3 τῷ BU: τοῦ t ἐνδέχεσθαι t Arist.: ἀνάγκη BU 4 ὑποτίθεσθαι B ἠβούλετο t post καὶ addiderim τὸ, at cf. vs. 17 5 τῷ Arist.: τὸ BUt ἐνδέχεται U 10 ὅτι ante ἐκ collocat B 12 fort. ἐπιφέρων ἐκ τῶν εἰρημένων BU: καὶ t 13 ἐξ ἀρχῆς] c. 13 p. 32a19 15 εἰρήκαμεν] velut p. 60,20 sq. 17 τὰ alt. om. S 23 τούτου BSU: τούτων t 26 τὸ Bt 26. 27 οὐκ ἔσται Arist. 30 εἰπὼν B (εἴπομεν S): προδιδάξας, sed ante συλλ. t: om. U αὐτῶν t

δευτέρῳ σχήματι συλλογισμὸν γενέσθαι. δεῖ γὰρ ἐν τούτῳ τῷ σχήματι LIIIr
ἀνομοιοσχήμονας εἶναι τὰς συλλογιστικὰς προτάσεις· ἐνδεχομένων δὲ ἀμφο-
τέρων οὐσῶν ἀδύνατον αὐτάς, ὅπως ἂν ληφθῶσιν, ἀνομοιοσχήμονας εἶναι,
ἀεὶ τῆς ἀποφατικῆς μεταλαμβανομένης εἰς καταφατικήν. ὑποκείσθω γάρ, 45
5 φησί, συζυγία ἐκ τῆς μείζονος ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς·
οἷον τὸ Α τῷ μὲν Β μηδενὶ ἐνδεχέσθω, τῷ δὲ Γ παντί. ταύτην φησὶν
οὔτε δι' ἀντιστροφῆς δεῖξαι δυνατὸν ἀνάγοντας εἰς τὸ πρῶτον σχῆμα οὔτε
τῇ εἰς ἀδύνατον ἀπαγωγῇ οὔτε τῇ τῶν ὅρων παραθέσει. καὶ ὅτι μὲν
δι' ἀντιστροφῆς οὐ δυνατόν, δῆλον· δέδεικται γὰρ ὅτι ἡ ἀπόφασις τοῦ ἐνδε-
10 χομένου οὐκ ἀντιστρέφει πρὸς ἑαυτήν.

p. 37a35 Ἀλλ' οὐδὲ διὰ τοῦ ἀδυνάτου· τεθέντος γὰρ τοῦ Β παντὶ 50
τῷ Γ ἐνδέχεσθαι ὑπάρχειν οὐδὲν συμβαίνει ψεῦδος· ἐνδέχοιτο
γὰρ ἂν τὸ Α τῷ Γ καὶ παντὶ καὶ μηδενὶ ὑπάρχειν.

Δείξας μὴ δυνάμενον δι' ἀντιστροφῆς ἐν δευτέρῳ σχήματι γενέσθαι
15 συλλογισμὸν νῦν δείκνυσιν ὅτι οὐδὲ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δυνατόν ἐστι
συμπέρασμά τι συναγαγεῖν ἐν δευτέρῳ σχήματι. ἔστω γὰρ τὸ Α τῷ Β
ἐνδέχεσθαι μηδενί, τῷ δὲ Γ ἐνδέχεσθαι παντί· ἴδωμεν οὖν εἰ δυνατὸν τῇ
εἰς ἀδύνατον δείξει χρήσα|σθαι. ὑποκείσθω γὰρ συνάγειν ὅτι τὸ Β ἐνδέ- LIIIv
χεται μηδενὶ τῷ Γ ὑπάρχειν· τοῦτο γὰρ ἂν συνήγαγεν, εἴγε συνῆγεν.
20 δεικνύωμεν οὖν τοῦτο, εἰ δυνατόν, τῇ δείξει τῇ διὰ τοῦ ἀδυνάτου. εἰ γὰρ
ψεῦδος τὸ 'ἐνδέχεται μηδενὶ τῶν Γ τὸ Β', ἔσται τὸ 'οὐκ ἐνδέχεται μηδενί'
ἀληθές, ὅπερ ταὐτόν ἐστι τῷ 'ἀνάγκη τινί'. εἰ τοίνυν τὸ Α ἐνδέχεται
μηδενὶ τῷ Β, τὸ δὲ Β ἀνάγκη τινὶ τῶν Γ, γίνεται τὸ πρῶτον σχῆμα ἐκ τῆς
μείζονος ἐνδεχομένης ἀποφατικῆς τῆς δὲ ἐλάττονος ἀναγκαίας μερικῆς 5
25 καταφατικῆς· συνάγει δὲ τὸ ὅτι τὸ Α οὐ παντὶ τῷ Γ ἐνδέχεται· ἦν δὲ
καὶ παντὶ ἐνδεχομένως, καὶ οὐδὲν ἀδύνατον τὸ παντὶ ἐνδεχόμενον ἐνδέχε-
σθαι μὴ παντί. οὕτω μὲν οὖν οὐ δυνατὸν τῇ διὰ τοῦ ἀδυνάτου δείξει χρήσα-
σθαι. ἰστέον δὲ ὅτι ὁ Ἀριστοτέλης τῇ 'οὐκ ἐνδέχεται μηδενί' ἰσοδυνα-
μοῦσαν ἔλαβε τὴν 'ἀνάγκη παντί, ὅπερ ἐπί τινων μὲν ὅρων ἀληθεύει,
30 οὐκ ἐπὶ πάντων δέ· ἀλλ' ἀεὶ τὸ 'ἀνάγκη τινί'. ἀλλὰ ὁ Ἀριστοτέλης ἐκ
περιουσίας ἐλέγξαι βουλόμενος τὸν λόγον τὸ 'ἀνάγκη παντί' ὑπέθετο δεικνὺς 10
ὅτι, εἰ ταύτῃ ὑποτεθείσῃ οὐδὲν ἀδύνατον ἀκολουθεῖ, πολλῷ γε μᾶλλον τῇ
'ἀνάγκη τινί'· ἀκολουθεῖ γὰρ τῷ καθόλου τὸ μερικόν. τεθέντος γάρ.

---

3 post ληφθῶσι lac. X fere litt. t ante ἀνομ. add. καὶ BUt: om. S 4 μεταλαμ βανομένης B²St: λαμβανομένης B¹U post εἰς add. τὴν S 7 ἀνάγοντας BS: ἀνάγοντα Ut 9 γὰρ St: om. BU ὅτι om. U ἀπόφασις S cf. p. 214,24: ἀποφατικὴ BUt 11 οὐ t post ἀδυνάτου add. φησὶν BU β̄] τὸ t
15 ἀπαγωγῇ δυνατόν om. pr. B 16 συναγαγεῖν St: συνάγειν BU 16. 17 ἐνδέχεσθαι τῶν β U 17 ἐνδέχεται utroque loco B 19 συνῆγεν ἂν S εἴπερ SU 20 δεικνύ-ωμεν scripsi: δεικνύομεν BSUt εἰ BUt: μὴ S διὰ om. SU 21 ἔστω U
25 ἐνδέχεσθαι, om. τὸ ὅτι S 26 ἐνδεχομένως S cf. p. 216,4: ἐνδέχεσθαι Ut: compend. B
27 διὰ τοῦ BU: δι' St cf. vs. 20 32 ὑποτεθείσῃ BU: τῇ ὑποθέσει t 33 τῷ—τὸ U

φησί, τοῦ Β παντὶ τῷ Γ ἐνδέχεσθαι ὑπάρχειν, τουτέστιν ἀνάγκη LIIIv παντὶ ὑπάρχειν, οὐδὲν ἀδύνατον συμβαίνει· εἰ γὰρ τὸ Α οὐδενὶ τῷ Β ἐνδέχεται, τὸ δὲ Β παντὶ τῷ Γ ἀνάγκη ὑπάρχειν, γίνεται τὸ πρῶτον σχῆμα καὶ συνάγεται 'τὸ Α ἐνδέχεται μηδενὶ τῶν Γ''· ἦν δὲ καὶ παντὶ ἐνδεχομένως, καὶ οὐδὲν ἀδύνατον.

p. 37a38 Ὅλως δέ, εἰ ἔστι συλλογισμός, δῆλον ὅτι τοῦ ἐνδέχεσθαι ἂν εἴη διὰ τὸ μηδετέραν τῶν προτάσεων εἰλῆφθαι ἐν τῷ ὑπάρχειν, καὶ οὗτος ἢ καταφατικὸς ἢ στερητικός.

Νυνὶ διὰ τῶν ὅρων βούλεται δεῖξαι ἀσυλλογίστους τὰς τοῦ ἐνδεχομένου συζυγίας ἐν δευτέρῳ σχήματι. εἰ γὰρ ὅλως, φησί, συνάγουσί τι συμπέρασμα αἱ τοῦ ἐνδεχομένου προτάσεις ἐν δευτέρῳ σχήματι, ἐνδεχόμενον συνάγουσιν, ἐπεὶ ἀμφότεραί εἰσιν ἐνδεχόμεναι, καὶ τοῦτο πᾶσα ἀνάγκη ἢ καταφατικὸν εἶναι ἢ ἀποφατικόν. εἰ μὲν οὖν καταφατικόν τις ὑπόθοιτο εἶναι τὸ συμπέρασμα, πρῶτον μὲν ἄλογον τῆς μιᾶς ἀποφατικῆς οὔσης μὴ ἀποφατικὸν εἶναι τὸ συμπέρασμα, εἴγε ἀληθὴς ὁ λόγος ὁ λέγων τῇ χείρονι τῶν προτάσεων ἕπεσθαι τὸ συμπέρασμα. ἔπειτα ἐλέγχεται τὸ τοιοῦτον τῇ τῶν ὅρων παραθέσει. ἐκτίθεται γὰρ ὅρους συνάγοντας τὸ 'ἀνάγκη μηδενί'· λευκὸν γὰρ ἐνδέχεται ἵππῳ μὲν μηδενὶ ὑπάρχειν ἀνθρώπῳ δὲ παντί, καὶ ὁμοίως ἵππος ἐξ ἀνάγκης οὐδενὶ ἀνθρώπῳ ὑπάρχει. ὅτι μὲν οὖν οὐ γίνεται καταφατικὸν συμπέρασμα, δῆλον ἐξ ὧν διὰ τῶν ὅρων εὑρήκαμεν τὸ ἐξ ἀνάγκης μηδενὶ συναγόμενον· τοῦτο γὰρ ἀναιρετικόν ἐστι πάντων τῶν καταφατικῶν. ὅτι δὲ οὐδὲ ἀποφατικὸν ἐνδεχόμενον συνάγεται, δῆλον ἐξ ὧν τὸ ἀναγκαῖον ἀποφατικὸν διὰ τῶν ὅρων συνηγάγομεν· τοῦτο γὰρ ἀναιρετικόν ἐστι πασῶν τῶν τοῦ ἐνδεχομένου προτάσεων. ὥστε οὔτε καταφατικὸν οὔτε ἀποφατικὸν ἐνδεχόμενον συνάγεται. οὕτω μὲν οὖν ὁ Ἀριστοτέλης διὰ τῶν ὅρων δείξας ἀποφατικὸν καθόλου ἀναγκαῖον συναγόμενον συμπέρασμα ἀσυλλογίστους δείκνυσι τὰς ἐν δευτέρῳ σχήματι τοῦ ἐνδεχομένου συζυγίας, οὐ καθὼς εἶχεν ἔθος ποιήσας· ἀεὶ γὰρ ἐδείκνυεν ἀσυλλογίστους τὰς ἀσυλλογίστους συζυγίας δεικνὺς αὐτὰς συναγούσας καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ ἐξ ἀνάγκης· ἐνταῦθα δὲ ὅρους παρέθηκε μόνον τὸ ἐξ ἀνάγκης μηδενὶ συνάγοντας. φησὶ δὲ ὁ Ἀλέξανδρος ὅτι δυνατὸν καὶ ἐνταῦθα εὐπορῆσαι ὅρων καὶ τὸ παντὶ ἐξ ἀνάγκης συναγόντων. ἔστωσαν γὰρ ὅροι λευκόν, ζῷον καὶ εἶδός τι τῶν ὑπὸ τὸ ζῷον, οἷον ἄνθρωπος· λευκὸν μηδενὶ ζῴῳ ἐνδεχέσθω,

1 φησί om. U 4 γ̄ scripsi: β̄ BUt 7 μηδ' ἑτέρων U 11 αἱ τοῦ ἐνδεχομένου SU: inv. ord. Bt 12 εἰσιν ἐνδεχόμεναι SUt: inv. ord. B πάντως S ἢ SU: om. Bt 13 εἶναι prius om. U 14 post μὲν add. οὖν U 15 εἰ γὰρ pr. B 16 τὸ τοιοῦτον BSU: τοῦτο t 18 μὲν om. B 18. 19 ἀνθρώπω — ὑπάρχει om. B 19 ὅρως fort. recte S cf. p. 224,32 225,20 23 ἀποφατικὸν ἀναγκαῖον B συνηγάγομεν SU: συνήγομεν Bt 25. 26 διὰ τῶν ὅρων δείξας Ut: inv. ord. B 27 post ἐν add. τῷ t 30 δὲ t: om. BU 31 ὁ Ἀλέξανδρος] p. 230,9 sq. ἀπορῆσαι pr. B 32 ante ὅροι add. οἱ U 32. 33 καὶ εἶδός] καὶ εἰ corr. B

λευκὸν παντὶ ἀνθρώπῳ ἐνδεχέσθω, καὶ συνάγεται ζῷον ἐξ ἀνάγκης παντὶ LIIIᵛ ἀνθρώπῳ. ταῦτα μὲν οὖν ὁ Ἀλέξανδρος βουλόμενος δεῖξαι ὡς δυνατὸν καὶ ταύτας τὰς συζυγίας διὰ τοῦ συνάγειν τὸ παντὶ καὶ μηδενὶ ἐξ ἀνάγκης ἀσυλλογίστους δεικνύναι. οὐκ ἀποδεκτέον δὲ αὐτὸν ἐν τούτῳ. δεῖ γάρ, ὡς πολλάκις εἴρηται, ἀμφοτέρας τὰς προτάσεις κατὰ τὸν αὐτὸν χρόνον ἀληθεῖς εἶναι· αἱ δὲ εἰλημμέναι ὑπὸ τοῦ Ἀλεξάνδρου προτάσεις ὡς συνάγουσαι τὸ ἐξ ἀνάγκης παντὶ οὐ δύνανται κατὰ τὸν αὐτὸν χρόνον ἀμφότεραι ἀληθεῖς εἶναι. εἰ γὰρ τὸ ἐνδέχεσθαι μηδενὶ ζῴῳ τὸ λευκὸν ὑποκείοιτο ἀληθὲς εἶναι, ψεῦδος ἂν εἴη τὸ λέγειν ἐνδέχεσθαι παντὶ ἀνθρώπῳ τὸ λευκὸν ὑπάρχειν· ὁ γὰρ ἄνθρωπος ὑπὸ τὸ ζῷόν ἐστιν, εἴρηται δὲ μηδενὶ ζῴῳ ἐνδέχεσθαι τὸ λευκόν. πλὴν αὐτῷ τούτῳ μετὰ πολλὰ καὶ ὁ Ἀλέξανδρος ἐπέστησεν, ὅτι οὐ δυνατὸν λαβεῖν ὅρους τοῦ ἐξ ἀνάγκης καὶ παντὶ ὑπάρχειν. καὶ μάλα εἰκότως. πῶς γὰρ ἐγχωρεῖ τὸ 'ἀνάγκη παντί' συνάγεσθαι; εἰ γὰρ συνάγοιτο τὸ 'ἀνάγκη παντί', ἀνάγκη τὸν ἐλάττονα ὅρον εἶδος εἶναι τοῦ μείζονος ἢ ἄλλως πως ἀεὶ ὑπ' αὐτὸν εἶναι· εἰ δὲ τοῦτο, πᾶσα ἦν ἀνάγκη τὸν μέσον, ὡς ἂν κατηγοροῖτο τοῦ μείζονος, οὕτω κατηγορεῖσθαι καὶ τοῦ ἐλάττονος, ἐπειδὴ παντὸς τοῦ μείζονος κατηγορεῖται, παντὸς δὲ κατηγορούμενος περιέχει ἐν τῇ κατηγορίᾳ καὶ τὸν ἐλάττονα· ἐν δὲ τῷ δευτέρῳ σχήματι ἀνομοιοσχήμονές εἰσιν αἱ προτάσεις. εἰ τοίνυν λάβωμεν εἶδος τοῦ μείζονος ὅρου ὄντα τὸν ἐλάττονα, ψευδῆ πάντως ἀνάγκη λαμβάνειν τὴν ἑτέραν πρότασιν· ψευδὴς δὲ λαμβανομένη αὐτόθεν διὰ τὴν ὕλην καὶ οὐ διὰ τὸ σχῆμα ἕξει τὸ ἀσυλλόγιστον. |

p. 37ᵇ7 Ὅτι μὲν οὖν ὑπάρχειν οὐκ ἐγχωρεῖ, φανερόν· οὐδεὶς LIVʳ γὰρ ἵππος ἄνθρωπος. ἀλλ' οὐδὲ ἐνδέχεσθαι μὴ ὑπάρχειν· ἀνάγκη γὰρ μηδένα ἵππον ἄνθρωπον εἶναι· τὸ δ' ἀναγκαῖον οὐκ ἦν ἐνδεχόμενον. οὐκ ἄρα γίνεται συλλογισμός.

Ὅτι μὲν οὖν, φησί, καταφατικὸν οὐ συνάγεται συμπέρασμα, δῆλον ἐκ τῶν ὅρων· συνῆκται γὰρ ὅτι ἐξ ἀνάγκης οὐδενὶ ἵππῳ ἄνθρωπος ὑπάρχει. ὅτι δὲ οὐδὲ ἀποφατικόν, φησίν, ἐνδεχόμενον συμπέρασμα δυνατὸν συναγαγεῖν, δῆλον ἐξ ὧν ἀναγκαῖόν ἐστιν ἀποφατικὸν τὸ συνηγμένον· ὁριζόμενοι δὲ τὸ ἐνδεχόμενον ἐλέγομεν αὐτὸ μὴ εἶναι ἀναγκαῖον.

p. 37ᵇ10 Ὁμοίως δὲ δειχθήσεται, κἂν ἀνάπαλιν τεθῇ τὸ στερητικόν, καὶ ἐὰν ἀμφότεραι καταφατικαὶ ληφθῶσιν ἢ στερητικαί· διὰ γὰρ τῶν αὐτῶν ὅρων ἔσται ἡ ἀπόδειξις.

Ταῦτα μέν, φησίν, εἴρηται τῆς μείζονος ἀποφατικῆς οὔσης ἐνδεχο-

1 συνάζεται pr. B 4 ἀποδεικτέον Bt αὐτὸ t 5 εἴρηται] velut p. 175,21 sq. 192,26 7 δύναται Ut ἀμφοτέρας B 11 immo μετ' οὐ πολλὰ (scil. p. 232,19 sq.) cf. p. 62,8 12 τὸ Bt καὶ παντὶ t: μηδενὶ BU 13 ἐνεχώρει B 15 κατηγορεῖται t 16 κατηγορηθήσεται B καὶ τοῦ ἐλάττονος om. B 17 κατηγορούμενος scripsi: κατηγορουμένου BUt 22 οὐθεὶς B 27 γὰρ t: om. BU ἐξ ἀνάγκης om. U 30 ἐλέγομεν] c. 13 p. 32ᵃ19 31 καὶ ἀνάπαλιν ὅταν t τεθῇ t Arist.: τεθείη BU 32 καὶ ἐὰν BU: κἂν t Arist. ληφθῶσιν t Arist.: τεθῶσιν BU 34 εἰρήσθω S

μένης τῆς δὲ ἐλάττονος καταφατικῆς. ἀλλὰ δὴ κἂν ἀμειφθῇ ἡ τάξις τῶν LIVr
προτάσεων καὶ ἡ μὲν μείζων ἡ καταφατικὴ ἡ δὲ ἐλάττων ἀποφατική, καὶ
οὕτως ἀσυλλόγιστος ἔσται ἡ συζυγία. ὁμοίως δὲ κἂν ὁμοιοσχήμονες ὦσιν
αἱ προτάσεις· ἐπὶ πασῶν γὰρ τούτων τῶν συζυγιῶν οἱ προσεχῶς εἰρημένοι
5 ὅροι πρὸς τὸ δεῖξαι αὐτὰς ἀσυλλογίστους ἀρκέσουσι τὸ ἀναγκαῖον ἀποφατικὸν
συνάγοντες.

p. 37b 13 Καὶ ὅταν ἡ μὲν καθόλου ἡ δ' ἐν μέρει, ἢ ἀμφότεραι 15
κατὰ μέρος ἢ ἀδιόριστοι, ἢ ὁσαχῶς ἄλλως ἐνδέχεται μεταλα-
βεῖν τὰς προτάσεις· ἀεὶ γὰρ ἔσται διὰ τῶν αὐτῶν ὅρων ἡ δεῖξις.

10 Δείξας πάσας τὰς συζυγίας τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχο-
μένων καθόλου ἐν δευτέρῳ σχήματι ἀσυλλογίστους νῦν τὰς λοιπὰς πάσας
ἐκτίθεται, καὶ φησὶ καὶ αὐτὰς ἀσυλλογίστους εἶναι· συνάγειν γὰρ διὰ τῶν
αὐτῶν ὅρων καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης.

p. 37b 16 Φανερὸν οὖν ὅτι ἀμφοτέρων τῶν προτάσεων κατὰ τὸ 20
15 ἐνδέχεσθαι τιθεμένων οὐδεὶς γίνεται συλλογισμός.

Τοῦτο συμπέρασμά ἐστι τῶν εἰρημένων.

p. 37b 19 Εἰ δὲ ἡ μὲν ὑπάρχειν ἡ δὲ ἐνδέχεσθαι σημαίνει, τῆς
μὲν κατηγορικῆς ὑπάρχειν τεθείσης τῆς δὲ στερητικῆς ἐνδέχε-
σθαι οὐδέποτε ἔσται συλλογισμός, οὔτε καθόλου τῶν ὅρων
20 οὔτ' ἐν μέρει λαμβανομένων. ἀπόδειξις δὲ ἡ αὐτὴ καὶ διὰ τῶν 25
αὐτῶν ὅρων.

Ἐκθέμενος τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων συζυγίας
νῦν βούλεται περὶ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ ἐνδεχομένου διαλαβεῖν.
φησὶν οὖν ταύτας εἶναι ἀσυλλογίστους συζυγίας ἐπὶ ταύτης τῆς μίξεως ἐν
25 τούτῳ τῷ σχήματι, λέγω δὴ τῷ δευτέρῳ, ὅσαι καταφατικὴν μὲν ἔχουσι
τὴν ὑπάρχουσαν ἀποφατικὴν δὲ τὴν ἐνδεχομένην, ἐπειδὴ γὰρ μεταλαμ-
βάνεται ἡ ἀποφατικὴ ἐνδεχομένη εἰς τὴν καταφατικήν, μεταληφθείσης δὲ 30
γίνονται ὁμοιοσχήμονες αἱ προτάσεις, ἐν δὲ τῷ δευτέρῳ σχήματι πᾶσαι

---

1 ἀλλὰ δὴ BS: ἀλλ' ἐπειδὴ Ut 2 προτέρων U: om. S 3 οὕτος t
5 τὸ δεῖξαι] τόδε U αὐτὰς St: ταύτας BU 9 ἀπόδειξις t Arist.
12 καὶ alt. om. t 16 post τοῦτο add. τὸ U 17 μίξις ὑπάρχοντος καὶ ἐνδε-
χομένου ἐν δευτέρῳ σχήματι inscr. B 18 καταφατικῆς ὑπάρχειν σημαινούσης B
19 post ὅρων add. ὄντων Bt: om. U Arist. 20 post αὐτὴ add. ἡ Ut
22 ἐνδεχομένας Ut 25 τὸ β' Ut μὲν καταφατικὴν B 26 γὰρ deleverim
27 ἡ superscr. B

αἱ ἐξ ὁμοιοσχημόνων προτάσεων συζυγίαι ἀσυλλόγιστοί εἰσιν. ὅτι δέ, φησίν, LIVᵛ ἀσυλλόγιστοί εἰσιν αἱ τοιαῦται συζυγίαι, οἱ αὐτοὶ ὅροι οἱ προσεχῶς ἡμῖν εἰρημένοι ἀρκέσουσιν ἡμῖν πρὸς τὸ δεῖξαι αὐτὰς συναγούσας καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης· λευκὸν παντὶ ἵππῳ ὑπαρχέτω, ἀνθρώπῳ δὲ 35
5 μηδενὶ ἐνδεχέσθω, καὶ συνάγεται ἵππος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. τοῦτο δὲ ἀναιρετικόν ἐστι πάντων τῶν ἐνδεχομένων καὶ τῶν ὑπαρχόντων· ὥσπερ γὰρ ὃ ἐνδέχεται μηδενί, τοῦτο ἐνδέχεται παντί, οὕτω καὶ ὃ ὑπάρχει μηδενί, τοῦτο ὑπάρξαι ποτὲ παντί· τὸ γὰρ ὑπάρχον ἐνδεχόμενόν ἐστιν ἐκβεβηκός· ὃ δὲ ἀνάγκη μηδενί, τοῦτο οὔτε ὑπάρξαι ποτὲ παντὶ οὔτε ἐνδέχεσθαι δυνήσε- 40
10 ται παντί.

p. 37ᵇ23 Ὅταν δὲ ἡ μὲν καταφατικὴ ἐνδέχεσθαι ἡ δὲ στερητικὴ ὑπάρχειν, ἔσται συλλογισμός.

Δείξας ὅτι αἱ τὴν ὑπάρχουσαν καταφατικὴν ἔχουσαι συζυγίαι ἀσυλλό- 45
γιστοί εἰσι, νῦν δείκνυσιν ὅτι αἱ ἀνάπαλιν ἔχουσαι κατὰ τοὺς τρόπους συλ-
15 λογιστικαί εἰσι, τουτέστιν αἱ τὴν ὑπάρχουσαν πρότασιν ἀποφατικὴν ἔχουσαι τὴν δὲ ἐνδεχομένην καταφατικήν. συνάγουσι δὲ αἱ τοιαῦται συζυγίαι ἐνδεχόμενον ἀποφατικὸν συμπέρασμα, οὐ τὸ κατὰ τὸν διορισμὸν ἀλλὰ τὸ συντρέχον τῷ οὐδενὶ ἐξ ἀνάγκης, ὅπερ ἐστὶ τὸ ἥμισυ τοῦ ἐνδεχομένου. καὶ τέως δείκνυσι τὴν ἐκ τῆς μείζονος ὑπαρχούσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης· 50
20 τὸ γὰρ Α, φησί, τῷ μὲν Β μηδενὶ ὑπαρχέτω, τῷ δὲ Γ παντὶ ἐνδεχέσθω. ἐὰν οὖν ἀντιστρέψωμεν τὴν μείζονα πρότασιν, γίνεται τὸ πρῶτον σχῆμα· εἰ γὰρ τὸ Α οὐδενὶ τῶν Β ὑπάρχει, οὐδὲ τὸ Β οὐδενὶ τῶν Α ὑπάρξει· τὸ δὲ Α παντὶ τῷ Γ ἐνδέχεται. δέδεικται δὲ ἡ τοιαύτη συζυγία ἐν πρώτῳ σχήματι τῇ εἰς ἀδύνατον ἀπαγωγῇ τὸ οὐδενὶ ἐξ ἀνάγκης συν-
25 άγουσα, ὅπερ ἦν τὸ ἥμισυ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου, ἵνα μὴ πολλάκις τὰ αὐτὰ λέγωμεν. |

p. 37ᵇ29 Ὁμοίως δὲ καὶ εἰ πρὸς τῷ Γ τεθείη τὸ στερητικόν. LIVᵛ

Ἐὰν ἡ ἐλάττων, φησί, ληφθῇ καθόλου ἀποφατικὴ ὑπάρχουσα ἡ δὲ μείζων καθόλου καταφατικὴ ἐνδεχομένη, ὁ αὐτὸς γίνεται συλλογισμὸς ἀντι-
30 στρεφομένης τῆς ἀποφατικῆς ὑπαρχούσης. οἷον τὸ Α τῷ Β μὲν παντὶ ἐνδεχέσθω ὑπάρχειν, μηδενὶ δὲ τῶν Γ ὑπαρχέτω. εἰ οὖν τὸ Α οὐδενὶ τῶν Γ ὑπάρχει, οὐδὲ τὸ Γ οὐδενὶ τῶν Α ὑπάρξει· τὸ δὲ Α παντὶ τῷ Β 5
ἐνδεχομένως ὑπῆρχε· τὸ ἄρα Γ ἐνδέχεται μηδενὶ τῶν Β ὑπάρχειν. ζητοῦμεν

---

2 ἡμῖν om. t 3. 4 δεῖξαι συνάγοντες τὸ οὐδενὶ exspectamus cf. p. 218,5
10 παντί Bt: ποτε U 16 δὲ prius om. Bt 18 τῷ U: τὸ Bt 19 ἐκ τῆς—ἐνδεχομένης S: μείζονα ὑπάρχουσαν τὴν δὲ ἐλάττονα ἐνδεχομένην BUt 20 ὑπαρχέτω scripsi: ὑπάρχειν libri 20. 21 ἐνδέχεσθαι Ut 23 δέδεικται] c. 15 p. 34ᵇ19 sq.
24 post τὸ add. ἡ Bt 24. 25 συνάγουσαν U 27 τὸ γ̄ U 28 κἂν U
32 ὑπάρξει (post γ̄) B

δὲ δεῖξαι ὅτι τὸ Β οὐδενὶ τῶν Γ ἐνδέχεται· δέδεικται δὲ τὸ ἐναντίον ὅτι τὸ LIVᵛ
Γ οὐδενὶ τῶν Β ἐνδέχεται. καὶ ἐπειδήπερ τοῦ ἐνδέχεσθαι ὁ συλλογισμός,
τὸ δὲ ἐνδεχόμενον ἀποφατικὸν οὐκ ἀντιστρέφει πρὸς ἑαυτό, πῶς ἔτι συν-
άξομεν τὸ ζητούμενον μὴ δυνάμενοι τὸ συμπέρασμα ἀντιστρέψαι; 'μήποτε
5 οὖν', φησὶν ὁ Ἀλέξανδρος, 'τὸ ἐνδεχόμενον ἔλαβεν οὐ τὸ κατὰ τὸν
διορισμὸν ἀλλὰ τὸ κατὰ τοῦ ὑπάρχοντος ἀληθευόμενον· ἐδείχθη γὰρ ἐν τῷ 10
πρώτῳ σχήματι τὸ τοιοῦτον συναγόμενον τῆς μείζονος ἀποφατικῆς ληφθείσης·
ἡ δὲ τοιαύτη ἀπόφασις πρὸς ἑαυτὴν ἀντιστρέφει. ὥστε καὶ τὸ συμπέρασμα
ἀντιστραφήσεται καθόλου ἀποφατικὸν ὑπάρχον ⟨ὄν⟩. ὅτι δὲ τοιοῦτον γίνεται
10 τὸ συμπέρασμα καὶ οὐχὶ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου, καὶ διὰ τῶν
ἑξῆς μὲν δῆλον ποιεῖ· προείρηκε δὲ καὶ ἀρχόμενος τοῦ δευτέρου σχήματος,
ἔνθα ἔλεγε ''δεῖ δὲ καὶ ἐν τούτοις λαμβάνειν τὸ ἐν τοῖς συμπεράσμασιν
ἐνδεχόμενον ὥσπερ ἐν τοῖς πρότερον'''. τὰς δὲ εἰς τοῦτο κεκινημένας 15
ἀπορίας ἐν τοῖς Ἀλεξάνδρου εὑρήσεις.

15 p. 37ᵇ29 Ἐὰν δὲ ἀμφότεραι μὲν ὦσι στερητικαί, σημαίνῃ δὲ ἡ
μὲν μὴ ὑπάρχειν ἡ δὲ ἐνδέχεσθαι, δι' αὐτῶν μὲν τῶν εἰλημ-
μένων οὐδὲν συμβαίνει ἀναγκαῖον· ἀντιστραφείσης δὲ τῆς κατὰ
τὸ ἐνδέχεσθαι προτάσεως γίνεται συλλογισμός, ὅτι τὸ Β τῷ Γ
ἐνδέχεται μηδενὶ ὑπάρχειν, καθάπερ ἐν τοῖς πρότερον· ἔσται γὰρ
20 πάλιν τὸ πρῶτον σχῆμα.

Τὸ ἀντιστραφείσης φησὶν ἀντὶ τοῦ 'μεταληφθείσης τῆς ἐνδεχομένης 20
ἀποφατικῆς εἰς τὴν καταφατικήν'· τούτου γὰρ γινομένου γίνονται πάλιν αἱ
πρότεραι δύο συλλογιστικαὶ συζυγίαι τὰ αὐτὰ συνάγουσαι συμπεράσματα.

p. 37ᵇ35 Ἐὰν δὲ ἀμφότεραι τεθῶσι κατηγορικαί, οὐκ ἔσται συλ-
25 λογισμός. ὅροι τοῦ μὲν ὑπάρχειν ὑγίεια, ζῷον, ἄνθρωπος, τοῦ
δὲ μὴ ὑπάρχειν ὑγίεια, ἵππος, ἄνθρωπος.

Παραδοὺς ἐν δευτέρῳ σχήματι τὰς καθόλου συλλογιστικὰς συζυγίας τῆς 25
μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος νῦν φησιν ὅτι πᾶσαι αἱ ὁμοιοσχή-
μονες καταφατικαὶ οὖσαι ἀσυλλόγιστοί εἰσιν, εἰκότως· οὐδὲ γὰρ βούλεται μετα-
30 λαμβάνεσθαι τὴν ἐνδεχομένην καταφατικὴν εἰς τὴν ἐνδεχομένην ἀποφατικήν,
ἵνα, ὥσπερ ἐξ ἀμφοτέρων ἀποφατικῶν τῶν προτάσεων μεταληφθείσης τῆς
ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικὴν γίνεται συλλογισμός, οὕτω

1 δὲ prius om. U 2 ἐνδέχεται pr. B 5 ὁ Ἀλέξανδρος] p. 231,35 sq.
9 ὄν ex Al. addidi 10 τοῦ -ἐνδεχομένου Al.: τὸ—ἐνδεχόμενον BUt: τὸ om. S
καὶ om. t 12 ἔλεγε (ἔλαβε U)] c. 17 p. 36ᵇ33 post καὶ add. τὸ t
14 ἐν τοῖς Ἀλεξ.] p. 232,10 sq. 15 ὦσι B Arist.: ὦσιν αἱ Ut (fort. pr. B)
σημαίνει B 16 ἐνδέχεσθαι BU (A C d n u): ἐνδέχεσθαι μὴ ὑπάρχειν t Arist.
22 τὴν om. t 23 συνάγουσι U 25 post ὅροι add. δὲ B ὑγεία t
itemque vs. 26 27 συλλογιστικὰς t: om. BU 32 post οὕτω add. δὲ t

καὶ ἐκ τῆς καταφατικῆς πάλιν εἰς τὴν ἀποφατικὴν ἡ μετάληψις ποιή- LIVv
σει συλλογιστικὴν τὴν συζυγίαν. παρατίθεται οὖν πάλιν ὅρους δι' ὧν 30
δείκνυσι συναγούσας αὐτὰς καὶ τὸ παντὶ καὶ τὸ μηδενί· ὑγίεια παντὶ
ζῴῳ ἐνδεχομένως ὑπαρχέτω, ἀνθρώπῳ δὲ ὑπαρχέτω παντί· καὶ συνάγε-
5 ται ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· πάλιν ὑγίεια ἵππῳ μὲν παντὶ
ἐνδεχέσθω, ἀνθρώπῳ δὲ ὑπαρχέτω παντί, καὶ ἵππος οὐδενὶ ἀνθρώπῳ
ἐξ ἀνάγκης.

p. 37b39 Τὸν αὐτὸν δὲ τρόπον ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλο-
γισμῶν· ὅταν μὲν γὰρ ᾖ τὸ καταφατικὸν ὑπάρχον, εἴτε καθόλου 35
10 εἴτ' ἐν μέρει ληφθέν, οὐδεὶς ἔσται συλλογισμός.

Εἰκότως· τῆς γὰρ ἀποφατικῆς ἐνδεχομένης οὔσης καὶ διὰ τοῦτο μεταλαμβανομένης εἰς τὴν καταφατικὴν γίνονται ὁμοιοσχήμονες αἱ συζυγίαι· αἱ δὲ τοιαῦται πᾶσαι ἐν δευτέρῳ σχήματι ἀσυλλόγιστοί εἰσιν.

p. 38a3 Ὅταν δὲ τὸ στερητικόν, ἔσται διὰ τῆς ἀντιστροφῆς, 40
15 καθάπερ ἐν τοῖς πρότερον.

Δηλονότι καθόλου οὔσης τῆς ἀποφατικῆς ὑπαρχούσης· οὕτω γὰρ ἐχούσης αὐτῆς καὶ πρὸς τῇ μείζονι προτάσει κειμένης ἀεὶ γίνεται συλλογισμὸς διὰ τῆς ἀντιστροφῆς ἀναγομένης αὐτῆς εἰς τὸ πρῶτον σχῆμα. ὅπως δὲ ἔχουσιν αἱ συζυγίαι αἱ τὴν ὑπάρχουσαν ἔχουσαι μερικὴν ἀποφατικήν,
20 προϊὼν διδάξει.

p. 38a4 Πάλιν ἐὰν ἄμφω μὲν τὰ διαστήματα στερητικὰ ληφθῇ, καθόλου δὲ τὸ μὴ ὑπάρχειν, ἐξ αὐτῶν | μὲν τῶν προτάσεων LVr
οὐκ ἔσται τὸ ἀναγκαῖον, ἀντιστραφέντος δὲ τοῦ ἐνδέχεσθαι, καθάπερ ἐν τοῖς πρότερον, ἔσται συλλογισμός.

25 Πάλιν τὸ ἀντιστραφείσης ἀντὶ τοῦ 'μεταληφθείσης' φησὶ τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικήν. δεῖ δὲ τὴν ὑπάρχουσαν ἐν τούτοις ἀεὶ μείζονα εἶναι, ἵνα καὶ σώζηται τὸ ἴδιον τοῦ δευτέρου σχήματος. 5
πάλιν δὲ τὰ αὐτὰ συνάγεται συμπεράσματα οἷα καὶ αὐτόθεν ἀνομοιοσχήμοσιν οὔσαις μερικαῖς συζυγίαις.

3 δείκνυσι post αὐτὰς collocat B αὐτὰς om. U τὸ prius om. U
4. 5 συνάξεται pr. B 6 post καὶ add. συνάγεται B 12. 13 αἱ δὲ St: om. BU
13 post πᾶσαι add. αἱ B, γὰρ U 14 ἔσται om. U 15 ὥσπερ t
18 ἀναγομένης St: ἀγομένης BU 20 προϊὼν] p. 38a8 sq. 21 ληφθῇ U Arist.: τεθῇ Bt 23 τὸ om. t(d) 27 τῷ δευτέρῳ σχήματι B 29 μερικαῖς BSU: ταῖς τοιαύταις t

p. 38ᵃ8 Ἐὰν δὲ ὑπάρχον μὲν ᾖ τὸ στερητικόν, ἐν μέρει δὲ ληφθῇ, LVr
οὐκ ἔσται συλλογισμός, οὔτε καταφατικῆς οὔτε στερητικῆς οὔσης
τῆς ἑτέρας προτάσεως.

Ἐάν, φησίν, ἡ ὑπάρχουσα στερητικὴ μὲν ληφθῇ μερικὴ δέ, τῆς
5 ἑτέρας προτάσεως καθόλου καταφατικῆς οὔσης ἐνδεχομένης ἢ ἀποφατικῆς 10
οὐδεὶς γίνεται συλλογισμός. καὶ τοῦτο εἰκότως· δεῖ μὲν γὰρ ἀντιστρα-
φῆναι τὴν μερικήν, ἵνα εἰς τὸ πρῶτον ἀναγάγωμεν σχῆμα τὴν συζυγίαν·
οὐκ ἀντιστρέφει δὲ ἡ μερικὴ ἀποφατικὴ ὑπάρχουσα ἐπὶ πάσης ὕλης,
ὡς ἐδείχθη, καὶ ἀντιστρεφομένη μερικὴν ἐποίει τὴν μείζονα καὶ ἀσυλλό-
10 γιστον διὰ τοῦτο τὴν συζυγίαν. εἰκότως ἄρα οὐδεὶς ἐν τούτῳ γίνεται
συλλογισμός.

Ἀλλ' οὐδ' εἰ ἀμφότεραι μερικαὶ ληφθῶσιν ἢ ἀμφότεραι ἀδιό- 15
ριστοι, ὅπως ἂν ἔχωσι κατὰ τὸ ποιόν, οὐδεὶς ἔσται συλλογισμός, ἐπεὶ καὶ
αἱ ἀπροσδιόριστοι ταῖς μερικαῖς ἰσοδυναμοῦσιν. δείκνυσθαι δὲ ταῦτά φησι
15 διὰ τῶν αὐτῶν ὅρων· ὑγίεια, ζῷον, ἄνθρωπος.

p. 38ᵃ13 Ἐὰν δὲ ἡ μὲν ἐξ ἀνάγκης ἡ δ' ἐνδέχεσθαι σημαίνῃ τῶν
προτάσεων, τῆς μὲν στερητικῆς οὔσης ἀναγκαίας ἔσται συλ- 20
λογισμός, οὐ μόνον ὅτι ἐνδέχεται μὴ ὑπάρχειν, ἀλλὰ καὶ ὅτι
οὐχ ὑπάρχει, τῆς δὲ καταφατικῆς οὐκ ἔσται.

20 Πληρώσας τὰς μίξεις τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος τὰς ἐν
δευτέρῳ σχήματι μέτεισιν ἀκολούθως ἐπὶ τὴν μῖξιν τοῦ ἐνδεχομένου πρὸς
τὸ ἀναγκαῖον τοῦ αὐτοῦ δευτέρου σχήματος. καὶ φησὶν ὅτι, εἰ μὲν ἡ ἀναγ-
καία ἀποφατικὴ εἴη εἴτε μείζων οὖσα εἴτε ἐλάττων, πάντως γίνεται συλ-
λογισμὸς τοῦ ἐνδεχομένου, οὐ τοῦ κατὰ τὸν διορισμὸν ἀλλὰ τοῦ κατηγορου- 25
25 μένου κατὰ τοῦ μὴ ὑπάρχοντος· εἰ μέντοι ἡ ἀναγκαία καταφατικὴ εἴη,
δηλονότι ἀποφατικῆς οὔσης τῆς ἐνδεχομένης, ἀσυλλόγιστοι πᾶσαι αἱ τοιαῦταί
εἰσι συζυγίαι. ἡ δὲ αὐτὴ αἰτία πάλιν, τὸ μεταλαμβάνεσθαι τὴν ἀποφατικὴν
ἐνδεχομένην εἰς τὴν καταφατικὴν καὶ διὰ τοῦτο γίνεσθαι ὁμοιοσχήμονας
τὰς συζυγίας.

---

5 post ἢ add. καὶ t 9 ἐδείχθη] c. 2. 3 p. 25ᵃ12 sq. 10 διὰ τοῦτο om. U
οὐδαμῶς t 12. 13 ἀλλ'—ἀδιόριστοι, post quae add. ex Arist. ἢ καταφατικαὶ—ὅρων t,
lemmatis loco praebent BUt 13 post ἂν add. φησιν t ποιόν] ιὸν corr. B²
οὐδαμῶς t 14 αἱ om. Bt φησι om. U 15 post ἄνθρωπος add. τοῦ
ὑπάρχειν, ὑγεία, ἵππος, ἄνθρωπος τοῦ μὴ ὑπάρχειν S 16 ἀρχὴ τῆς μίξεως τοῦ
ἀναγκαίου καὶ ἐνδεχομένου ἐν δευτέρῳ σχήματι inscr. B σημαίνει Bt
17 post μὲν add. γὰρ U ἀναγκαίας οὔσης t Arist. 18 ἀλλ' ὅτι U
22 εἰ] ἡ t ἡ om. U 27 αὐτὴ om. SU

p. 38a16 Κείσθω γὰρ τὸ Α τῷ μὲν Β ἐξ ἀνάγκης μηδενὶ ὑπάρ- LVr
χειν, τῷ δὲ Γ παντὶ ἐνδέχεσθαι· ἀντιστραφείσης οὖν τῆς
στερητικῆς οὐδὲ τὸ Β τῷ Α οὐδενὶ ὑπάρξει καὶ τὰ ἑξῆς.

Πρώτην τίθησι τὴν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ἀναγκαίας τῆς δὲ ἐλάττονος ἐνδεχομένης καταφατικῆς, καὶ συνάγειν φησὶν αὐτὴν τὸ ἐνδέχεσθαι μηδενί. δείκνυσι δὲ αὐτὴν ἀντιστρέφων τὴν μείζονα πρότασιν καὶ ἀνάγων εἰς τὸ πρῶτον σχῆμα. εἰ γὰρ τὸ Α, φησίν, ἀνάγκη μηδενὶ τῶν Β, καὶ τὸ Β ἀνάγκη μηδενὶ τῶν Α· τὸ δὲ Α παντὶ τῷ Γ ἐνεδέχετο· γίνεται ἄρα τὸ πρῶτον σχῆμα τῆς μείζονος ἀναγκαίας καθόλου ἀποφατικῆς οὔσης τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἐνδεχομένης. συνῆγε δὲ αὕτη ἡ συζυγία τῇ εἰς ἀδύνατον ἀπαγωγῇ τὸ 'ἐνδέχεται μηδενί' τὸ ἰσοδυναμοῦν τῷ 'ὑπάρχει μηδενί'. μέμνηται δὲ ἐνταῦθα τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ἧς ἐμνήσθη καὶ ἐν τῷ πρώτῳ σχήματι, δι' ἧς δείκνυσιν ὑπάρχον εἶναι τὸ συμπέρασμα.

p. 38a21 Ἅμα δὲ δῆλον ὅτι οὐδ' ὑπάρξει τὸ Β οὐδενὶ τῷ Γ.

Τουτέστιν οὐ μόνον τὸ 'ἐνδέχεται μηδενί' συνάγεται ἀλλὰ καὶ τὸ 'ὑπάρχει οὐδενί'. δείκνυσιν οὖν τοῦτο τῇ διὰ τοῦ ἀδυνάτου δείξει.

p. 38a22 Κείσθω γὰρ ὑπάρχειν· οὐκοῦν εἰ τὸ Α τῷ Β μηδενὶ ἐνδέχεται, τὸ δὲ Β ὑπάρχει τινὶ τῶν Γ, τὸ Α τινὶ τῶν Γ οὐκ
ἐνδέχεται· ἀλλὰ παντὶ ὑπέκειτο ἐνδέχεσθαι.

Εἴ τις, φησίν, ἀντιλέγοι ὅτι οὐ συνάγει τὸ ὑπάρχειν οὐδενί, δῆλον ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον συναχθήσεται τὸ ὑπάρχειν τινὶ τῶν Γ τὸ Β. εἰ τοίνυν τὸ μὲν Α οὐδενὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρχει, τὸ δὲ Β τινὶ τῶν Γ ὑπάρχει, γίνεται δὴ ὁ τέταρτος | τρόπος τοῦ πρώτου σχήματος ἐξ LVv ἀμφοτέρων ἀναγκαίων, τῆς μείζονος ἀποφατικῆς καθόλου τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς, καὶ συνάγει τὸ Α οὐ παντὶ τῷ Γ ἐξ ἀνάγκης ὑπάρχειν· ὑπέκειτο δὲ καὶ ἐνδέχεσθαι παντί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ ὑπάρχειν τινὶ συνάγεσθαι ἠκολούθησεν· οὐκοῦν τοῦτο μὲν ψεῦδος, ἀληθὲς δὲ τὸ ὑπάρχειν οὐδενί, ὅπερ ἔδει δεῖξαι.

---

1 ὑποκείσθω t μηδενὶ ἐξ ἀνάγκης t 2 ἐνδέχεται U 3 τῷ β̄ τὸ U μηδενὶ t 4 καθόλου οὔσης ἀναγκαίας ἀποφατικῆς t 5 τῆς δὲ—καταφατικῆς om. U 8 τῶν prius Ut: τῷ B ἐνδέχοιτο t 12 τὸ t ὑπάρχον U post δὲ add. καὶ t 13 ἐμνήσθη] c. 16 p. 36a8 sq. 15 ὑπάρξει BU(Cn): ὑπάρχει t Arist. τῷ BUt(u): τῶν Arist. 16 ἐνδέχεσθαι t 17 ὑπάρχον t μηδενί B διὰ om. U 18 ὑπάρχον Ut(f) 19 τῶν prius U Arist.: τῷ Bt 21 ὑπάρχον Bt εὔδηλον B 23 τῶν β̄ U 24 δὲ U: om. t 24—26 ἐκ τῆς μ. ἀναγκαίας—ἐλάττονος ⟨ὑπαρχούσης⟩ exspectamus 27 ὑπάρχει t post τὸ add. δὲ B cf. p. 205,24 28 συνάγειν U ἠκολούθησε ante διὰ collocat U 29 post μὲν add. ἐστι U ὑπάρχον t

p. 38a25 Τὸν αὐτὸν δὲ τρόπον δειχθήσεται, καὶ εἰ πρὸς τῷ Γ LVv
τεθείη τὸ στερητικόν.

Παραδοὺς τὴν ἐκ τῆς μείζονος ἀναγκαίας ἀποφατικῆς τῆς δὲ ἐλάττονος ἐνδεχομένης καταφατικῆς νῦν ἑτέραν συζυγίαν παραδίδωσιν ἐναντίως ἔχουσαν τῇ τάξει τῶν προτάσεων, τουτέστι τὴν μὲν μείζονα καθόλου καταφατικὴν ἐνδεχομένην τὴν δὲ ἐλάττονα καθόλου ἀποφατικὴν ἀναγκαίαν. ἣν καὶ αὐτήν φησι τὸ αὐτὸ συνάγειν συμπέρασμα, λέγω δὴ τὸ ὑπάρχειν μηδενὶ καὶ τὸ ἐνδέχεσθαι μηδενί, διὰ τοῦ αὐτοῦ τρόπου τῆς δείξεως· τὸ Α παντὶ τῷ Β ἐνδέχεται, τῷ δὲ Γ ἀνάγκη μηδενί· οὐκοῦν καὶ τὸ Γ τῷ Α ἀνάγκη μηδενί· τὸ δὲ Α τῷ Β ἐνδέχεται παντί· λέγω ὅτι καὶ τὸ Γ τῷ Β ὑπάρχει οὐδενί. ἀλλ' οὐ τοῦτο ἐβουλόμεθα δεῖξαι, ἀλλ' εἰ τὸ Β τῷ Γ ὑπάρχει οὐδενί. ἐπεὶ τοίνυν ἀντιστρέφει ἡ καθόλου ἀπόφασις, καὶ τὸ Β τῷ Γ ὑπάρχει οὐδενί. δείξομεν δὲ πάλιν τοῦτο διὰ τοῦ ἀδυνάτου. εἰ γὰρ ψεῦδος ὅτι τὸ Β τῷ Γ ὑπάρχει οὐδενί, ἀληθὲς τὸ 'ὑπάρχει τινί'· ἐπειδὴ τοίνυν τὸ Α ἐνδέχεται παντὶ τῷ Β, τὸ δὲ Β ὑπάρχει τινὶ τῶν Γ, γίνεται τὸ πρῶτον σχῆμα ἐξ ἀμφοτέρων καταφατικῶν, τῆς μείζονος καθόλου τῆς δὲ ἐλάττονος μερικῆς· τὸ ἄρα Α τινὶ τῶν Γ ἐνδέχεται ὑπάρχειν. ἦν δὲ καὶ ἀνάγκη μηδενί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι τὸ Β τῷ Γ ὑπάρχειν τινί· οὐκοῦν ψεῦδος τοῦτο, ἀληθὲς δὲ τὸ 'ὑπάρχει οὐδενί'.

p. 38a26 Πάλιν ἔστω τὸ μὲν κατηγορικὸν ἀναγκαῖον, θάτερον δὲ ἐνδεχόμενον.

Ὑποθέμενος τὴν ἀποφατικὴν ἀναγκαίαν τὴν δὲ κατηγορικὴν ἐνδεχομένην καὶ παραδοὺς τὰς γινομένας ἐκ τῶν τοιούτων προτάσεων δύο συζυγίας νῦν τὸ ἀνάπαλιν ὑποτίθεται τὰς ἐχούσας τὴν μὲν ἀναγκαίαν καταφατικὴν τὴν δὲ ἐνδεχομένην ἀποφατικήν. καὶ φησὶ ταύτας ἀσυλλογίστους εἶναι τὰς συζυγίας διὰ τὸ τὴν ἀποφατικὴν ἐνδεχομένην μεταλαμβάνεσθαι εἰς τὴν καταφατικὴν καὶ ποιεῖν ὁμοιοσχήμονας τὰς συζυγίας· αὗται δὲ ἐν δευτέρῳ σχήματι ἀσυλλόγιστοί εἰσι. δείκνυσιν οὖν ταύτας διὰ τῶν ὅρων μηδὲν συμπέρασμα συναγούσας, μήτε ἐνδεχόμενον μήτε ὑπάρχον μήτε ἀναγκαῖον· λευκὸν παντὶ κύκνῳ ἐξ ἀνάγκης ὑπάρχει, ἀνθρώπῳ δὲ ἐνδέχεται μηδενί, οἷον τοῖς ἐν Ἀλεξανδρείᾳ, καὶ ὅμως κύκνος ἐξ ἀνάγκης

1 πρὸς τὸ t 9 οὐκοῦν—μηδενί om. U τῷ γ̄ τὸ U 11 ἠβουλόμεθα t
12. 13 ἐπεὶ—οὐδενί om. B 12. 13 τὸ—τῷ t: inv. ord. U 12 β̄ U: α' t
13 fort. δείξωμεν cf. p. 215,20 τοῦτο πάλιν t 15 τῶν Ut: τῷ BS
17 τῷ γ̄ S 18 post τὸ add. δὲ B cf. p. 223,27: om. SUt 19 δὲ BS: om. Ut
20 ὑπάρχον t 21 τὸ om. t μὲν BUt(n): om. Arist. post δὲ add. στερητικὸν καὶ t(n) 24. 25 συγίας pr. B 31 post ἀναγκαῖον add. οὕτως Bt: om. SU 32 οἷον — ἀλεξανδρείᾳ om. S post οἷον add ἐν Bt τῆς, ut videtur, U ἀλεξανδρεία t: ἀλεξάνδρου U: compend. B οὕτως U

οὐδενὶ ἀνθρώπῳ. οὕτω μὲν οὖν διὰ τῶν ὅρων 'τὸ ἀνάγκῃ μηδενί' δείκνυσι LV v
συναγόμενον, καὶ ἐκ τούτου κατασκευάζει ὅτι οὐδὲν συνάγουσιν αἱ τοιαῦται
προτάσεις συμπέρασμα. ὅτι μὲν γάρ, φησίν, ἐνδεχόμενον οὐδὲν συνάγεται,
δῆλον ἐξ ὧν ἀναγκαῖον ἀποφατικὸν συνῆκται συμπέρασμα, τὸ δὲ ἀναγκαῖον
5 πάντων τῶν ἐνδεχομένων ἐστὶν ἀναιρετικόν. ὅτι δὲ οὐδὲ ἀναγκαῖον, φησί,
συνάγεται, δῆλον ἐντεῦθεν· τὸ γὰρ ἀναγκαῖον συμπέρασμα ἢ ἐξ ἀμφο- 40
τέρων ἀναγκαίων προτάσεων συνήγετο ἢ τῆς ἀποφατικῆς ἀναγκαίας οὔσης·
νῦν δὲ οὐδέτερον τούτων ἐστίν.

p. 38a38 Ἔτι δὲ καὶ ἐγχωρεῖ τούτων κειμένων τὸ Β τῷ Γ
10 ὑπάρχειν.

Δείξας ὅτι ἀναγκαῖον οὐδὲν συνάγεται συμπέρασμα τῷ μήτε ἀμφοτέρας 45
ἀναγκαίας εἶναι μήτε τὴν ἀποφατικήν, ἵνα μή τις ὑπολάβοι, ἐπειδὴ ὅλως
ἀνωτέρω τὸ 'ἀνάγκῃ μηδενί' διὰ τῶν ὅρων συνήγετο, τοῦτο ἀεὶ ὡρισμένως
συνάγεσθαι, νῦν δείκνυσιν ὅτι τῶν αὐτῶν οὐσῶν προτάσεων ἐγχωρεῖ εὐπο-
15 ρῆσαι ὅρων τὸ ἐξ ἀνάκκης παντὶ συναγόντων, ὥστε καὶ ταύτῃ πάντα ἀναι-
ρεῖσθαι τὰ ἀναγκαῖα συμπεράσματα· διὰ μὲν γὰρ τοῦ ἀποφατικοῦ καθόλου
ἀναιρεῖται πάντα τὰ καταφατικά, διὰ δὲ τοῦ καθόλου καταφατικοῦ πάντα 50
τὰ ἀποφατικά. τίθησιν οὖν ὅρους τὸ ἐξ ἀνάγκης παντὶ συνάγοντας τούτους,
κίνησιν, ἐγρήγορσιν, ζῷον· κίνησιν γὰρ παντὶ ζῴῳ ἐνδέχεται ὑπάρχειν,
20 ἐγρηγορότι δὲ ἐξ ἀνάγκης παντί, καὶ ὁμοίως ζῷον παντὶ ἐγρηγορότι ἐξ
ἀνάγκης. ἐπιστῆσαι δὲ χρὴ τοῖς ὅροις· οὐ γάρ εἰσι καλῶς εἰλημμένοι.
εἴρηται γὰρ ἡμῖν ἀνωτέρω ὅτι δεῖ κατὰ τὸν αὐτὸν χρόνον ἀληθευούσας
λαμβάνεσθαι τὰς προτάσεις· ἐν δὲ τοῖς εἰλημμένοις ὅροις οὐ δυνατὸν κατὰ
τὸν αὐτὸν χρόνον ἀμφοτέρας λαβεῖν ἀληθευούσας τὰς προτάσεις. εἰ γὰρ LVI r
25 παντὶ ζῴῳ ἐνδέχεται ὑπάρχειν κίνησιν, οὐκ ἔσται τι ζῷον ἐξ ἀνάγκης
κινούμενον· καὶ τὴν ἐγρήγορσιν γὰρ κίνησιν ἔλαβεν ἐξ ἀνάγκης ὑπάρχουσαν
τῷ ἐγρηγορότι. εἰ δὲ ἔσται τι ἐγρηγορὸς ὡς ἐξ ἀνάγκης ὑπάρχειν αὐτῷ τὴν
κατὰ τὸ ἐγρηγορέναι κίνησιν (ἐν ᾧ γὰρ ἐγρήγορεν, ἐξ ἀνάγκης † ἐγρήγορε),
ψευδὴς ἡ μείζων πρότασις ἡ λέγουσα ἐνδέχεσθαι παντὶ ζῴῳ κίνησιν ὑπάρ- 5
30 χειν· τινὶ γὰρ ζῴῳ ἐξ ἀνάγκης ὑπάρχει, τῷ ἐγρηγορότι· τὸ γὰρ ἐγρηγορὸς
ζῷόν ἐστιν. ὥστε οὐ καλῶς διὰ τούτων τῶν ὅρων τὸ ἐξ ἀνάγκης παντὶ
συνήγαγεν.

p. 38b2 Φανερὸν οὖν ὅτι οὐδὲ τοῦ μὴ ὑπάρχειν, εἴπερ οὕτως
ἐχόντων ἀνάγκη ὑπάρχειν.

35 Δείκνυσι διὰ τούτων ὅτι οὐδὲ ὑπάρχον οὐδὲν συνάγεται συμπέρασμα·

1 μηδενὶ (ante ἀνθρ.) t 6 post δῆλον add. ὅτι BUt: om. S 8 ἐστίν om. t
12 τὴν ἀποφατικήν BU: ἀποφατικάς t ὑπολάβῃ t 13 post τοῦτο add. δὲ Ut
14 συνάγεται U 15. 16 τὰ ἀναγκαῖα ἀναιρεῖσθαι U: ἀναγκαῖα om. S 18 τὰ om. Ut
τὸ om. U 22 ἀνωτέρω] p. 217,5 24 χρόνον om. Bt ἀμφοτέρας om. U
ἀληθευούσας λαμβάνειν U 28 ἐγρήγορεν S: ἐγρηγόρειν BU: ἐγρηγορεῖ t ἐγρήγορε
BSU: ἐγρήγορας t: ἐνεργεῖ sive κινεῖται conicio 30 γὰρ alt. om. Bt

τὰ μὲν γὰρ καταφατικὰ πάντα ἀναιρεῖται ὑπὸ τῆς ἀναγκαίας ἀποφατικῆς, LVI r
τὰ δὲ ἀποφατικὰ διὰ τῆς καταφατικῆς ἀναγκαίας, ὥστε οὐδὲ ὑπάρχον 10
οὐδὲν συνάγεται.

p. 38b3 Οὐδὲ δὴ τῶν ἀντικειμένων καταφάσεων.

Διττὴ φέρεται ἡ γραφή· ἢ φάσεων ἢ καταφάσεων. εἰ μὲν οὖν φάσεων, πρὸς τὸ ἀνωτέρω εἰρημένον ἡ ἀπάντησις, τό τε 'ἀνάγκη παντί' καὶ τὸ 'ἀνάγκη οὐδενί'· ἀντίκεινται γὰρ ταύταις, τῇ μὲν 'ἀνάγκη παντί' ἡ 'ἐνδέχεται μὴ παντί', τῇ δὲ 'ἀνάγκη οὐδενί' ἡ 'ἐνδέχεται τινί'. εἰ μὲν οὖν φάσεων, οὕτως. εἰ δὲ καταφάσεων, πρὸς τὸ 'ὑπάρχει οὐδενί' καὶ 'ἀνάγκη 15
οὐδενί' ἡ ἀπάντησις. ἐπειδὴ γὰρ εὗρεν ὅρους συνάγοντας τὸ 'ἀνάγκη παντί' καὶ διὰ τούτων ἀνεῖλε τό τε ἀναγκαῖον ἀποφατικὸν καθόλου καὶ τὸ ὑπάρχον, ἐπήγαγεν ὅτι οὐδὲ αἱ ἀντικείμεναι ταύταις καταφάσεις συνάγονται· ἀντίκειται δὲ τῇ μὲν 'ἀνάγκη μηδενί', ὡς εἴρηται, ἡ 'ἐνδέχεται τινί', τῇ δὲ 'ὑπάρχει οὐδενί' ἡ 'ὑπάρχει τινί'.

p. 38b4 Ὁμοίως δὲ δειχθήσεται καὶ ἀνάπαλιν τεθείσης τῆς καταφατικῆς.

Ἀνωτέρω μὲν ὑποτίθεται τὴν μείζονα ἐνδεχομένην ἀποφατικὴν τὴν δὲ 25
ἐλάττονα καταφατικὴν ἀναγκαίαν καθόλου· νῦν δὲ τὸ ἀνάπαλιν ὑποτίθεται τὴν μὲν ἐλάττονα ἐνδεχομένην ἀποφατικὴν τὴν δὲ μείζονα ἀναγκαίαν καταφατικήν. καὶ αὐτὴν ἀσυλλόγιστόν φησιν εἶναι διὰ τῶν αὐτῶν δείξεων δι' ὧν καὶ τὴν πρὸ ταύτης ἔδειξεν.

p. 38b6 Ἐὰν δὲ ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις, στερητικῶν μὲν οὐσῶν ἀεὶ γίνεται συλλογισμὸς ἀντιστραφείσης τῆς κατὰ τὸ ἐνδέχεσθαι προτάσεως.

Παραδοὺς τὰς ἐξ ἀνομοιοσχημόνων τῶν προτάσεων νῦν παραδίδωσι 30
τὰς ὁμοιοσχήμονας. πάλιν οὖν φησιν ὅτι ἀμφοτέρων μὲν οὐσῶν ἀποφατικῶν συλλογιστικαὶ γίνονται αἱ συζυγίαι, οὐ διὰ τῶν εἰλημμένων προτάσεων ἀλλὰ διὰ τῆς μεταλήψεως τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικήν. καὶ τὰ συμπεράσματα τὰ αὐτὰ συνάγονται ταῖς ἤδη παραδεδομέναις προτάσεσι καὶ διὰ τῶν αὐτῶν δείξεων, ἐπειδὴ καὶ μεταληφθείσης τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικὴν αἱ αὐταὶ γίνονται συζυγίαι. 35
εἰ μέντοι ἀμφότεραι ληφθῶσι καταφατικαί, ἀσυλλόγιστοί εἰσι πᾶσαι διὰ τὸ

1 ἀποφάσεως Ut 2. 3 ὑπάρχειν, οὐδὲ t 4 δεῖ U 5 διττὸν, ut videtur, pr. B
5 φάσεων Arist. codd. excepto n 7 μηδενί U ἀντίκειται B 8 μὴ om. Bt
9 ὑπάρχει scripsi: ὑπάρχον Bt: ὑπάρχειν U καὶ om. Bt 11 τοῦτο t
12 post ταύταις add. ταῖς t 13 τῆς δὲ B 17 immo ὑπετίθετο 18 δὲ t: om. BU
20 post αὐτὴν add. οὖν t 27 γίνονται συλλογιστικαὶ B αἱ S: om. BUt
29 τὰ αὐτὰ SU: αὐτὰ B: ταυτὰ t συνάγοντι U 30 καὶ prius om. t

μὴ μεταλαμβάνεσθαι τὴν ἐνδεχομένην καταφατικὴν εἰς τὴν ἀποφατικήν, LVI[r]
ὡς πολλάκις εἰρήκαμεν.

p. 38b14 Τοῦ μὲν γὰρ μὴ ὑπάρχειν ἢ τοῦ ἐξ ἀνάγκης μὴ ὑπάρχειν φανερὸν ὅτι οὐκ ἔσται διὰ τὸ μὴ εἰλῆφθαι στερητικὴν πρότασιν μήτε ἐν τῷ ὑπάρχειν μήτε ἐν τῷ ἐξ ἀνάγκης ὑπάρχειν.

Ὅτι, φησίν, ἀμφοτέρων οὐσῶν καταφατικῶν οὐδὲν συνάγεται συμπέρασμα, δῆλον· οὐ συνάγεται γὰρ ἀποφατικὸν οὐδὲν οὔτε ἀναγκαῖον οὔτε ὑπάρχον διὰ τὸ μηδετέραν πρότασιν ἀποφατικὴν εἰλῆφθαι, μήτε τὴν ἀναγκαίαν μήτε τὴν ἐνδεχομένην. ὅτι δέ, φησίν, οὐδὲ ἐνδεχόμενον ἀποφατικὸν συνάγεται, δῆλον· εὐπορήσομεν γὰρ ὅρων τὸ 'ἀνάγκη μηδενί' συναγόντων· τούτου δὲ συναχθέντος ἀναιρεῖται πάντα τὰ ἐνδεχόμενα. οἱ δὲ ὅροι λευκόν, κύκνος, ἄνθρωπος· λευκὸν γὰρ κύκνῳ μὲν ἐξ ἀνάγκης παντί, ἀνθρώπῳ δὲ ἐνδέχεται παντί, καὶ κύκνος ἐξ ἀνάγκης οὐδενὶ ἀνθρώπῳ ὑπάρχει.

p. 38b21 Οὐδέ γε τῶν ἀντικειμένων ἀποφάσεων, ἐπειδὴ δέδεικται τὸ Β τῷ Γ ἐξ ἀνάγκης οὐχ ὑπάρχειν. οὐκ ἄρα γίνεται συλλογισμὸς ὅλως.

Τοῦ γὰρ 'ἀνάγκη μηδενί' διὰ τῶν ὅρων συναχθέντος πάντα τὰ καταφατικὰ ἀνῄρηται συμπεράσματα, καὶ ἀναγκαῖα καὶ ὑπάρχοντα καὶ ἐνδεχόμενα· ἀποφάσεις γὰρ ἀντικειμένας λέγει τὰς καταφάσεις τῶν προσεχῶς εἰρημένων ἀποφάσεων.

p. 38b24 Ὁμοίως δὲ ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν· ὅταν μὲν γὰρ ᾖ τὸ στερητικὸν καθόλου τε καὶ ἀναγκαῖον, ἀεὶ συλλογισμὸς ἔσται καὶ τοῦ ἐνδέχεσθαι καὶ τοῦ μὴ ὑπάρχειν· ἀπόδειξις δὲ διὰ τῆς ἀντιστροφῆς. |

Ἀπήρτισε τὸν ἐξ ἀμφοτέρων καθόλου λόγον, καὶ νῦν τὰς ἐχούσας LVI[v]
τὴν ἑτέραν μερικὴν παραδίδωσιν. ὥσπερ δέ, φησίν, εἶχον αἱ καθόλου, οὕτως ἔχουσι καὶ αὗται· αἵτινες γὰρ ἐκεῖ ἦσαν συλλογιστικαί, αἱ αὐταὶ καὶ ἐνταῦθα γίνονται· ὁμοίως καὶ ἀσυλλόγιστοι. εἰ μὲν γὰρ τὸ ἀποφατικὸν ἀναγκαῖον εἴη καθόλου ἐν τῇ μείζονι κείμενον προτάσει, ἀεὶ ποιεῖ συλλογιστικὴν συζυγίαν, καὶ τὸ αὐτὸ συμπέρασμα συνάγει ταῖς καθόλου, λέγω δὴ τὸ ἐνδεχόμενον τὸ ἰσοδυναμοῦν τῷ ὑπάρχοντι· εἰ δὲ καταφατικὸν ᾖ τὸ ἀναγκαῖον, οὐδέποτε γίνεται συλλογιστικὴ συζυγία διὰ τὸ μεταλαμβάνεσθαι τὴν ἀποφατικὴν ἐνδεχομένην εἰς τὴν καταφατικήν.

1 τὴν prius t: om. BU 2 εἰρήκαμεν] velut p. 220,29. 30 6 Τοῦτό φησιν ὅτι t 7 γὰρ t: μὲν οὖν BU 13 παντί scripsi cf. Alex. p. 239,31: οὐδενί BU 14 prius ἀντικειμένων add. φάσεων ἢ t ἐπειδὴ BU (C): ἐπεὶ t Arist. 15 ὑπάρχει U: ὑπάρχον Arist. 17 τοῦ in ras. U 18 καὶ alt. t: om. BU 25 ἀπήρτησε U 26 ἑτέραν BU: στερητικὴν t 27 αἱ αὐταὶ B: αὐταὶ U: αὗται t 31 εἴη t

p. 38b29 Οὐδ' ὅταν ἀμφότεραι ληφθῶσι καταφατικαί. LVI^v

Ὥσπερ καὶ ἐν ταῖς καθόλου, οὕτως καὶ ἐὰν ὁμοιοσχήμονες εἶεν αἱ προτάσεις, καταφατικαὶ μὲν οὖσαι ἀσυλλόγιστοί εἰσιν, ἀποφατικαὶ δὲ γίνονται συλλογιστικαὶ διὰ τῆς μεταλήψεως τῆς ἐνδεχομένης ἀποφατικῆς, δηλονότι τοῦ καθόλου ἐν τῇ μείζονι προτάσει τιθεμένου, ἐπειδὴ τοῦτο ἴδιόν ἐστι τοῦ δευτέρου σχήματος.

p. 38b35 Ἐὰν δὲ ἀμφότεραι ἀδιόριστοι ἢ ἐν μέρει τεθῶσιν, οὐκ ἔσται συλλογισμός.

Οὔτε γὰρ ἐξ ἀμφοτέρων μερικῶν γίνεταί τι συμπέρασμα οὔτε ἐξ ἀμφοτέρων ἀπροσδιορίστων διὰ τὸ ἰσοδυναμεῖν αὐτὰς ταῖς μερικαῖς.

p. 39a1 Δῆλον δὲ καὶ ὅτι πάντες ἀτελεῖς οἱ συλλογισμοί, καὶ ὅτι τελειοῦνται διὰ τῶν προειρημένων σχημάτων.

Ἀτελεῖς εἰκότως· οὐδεὶς γὰρ αὐτῶν διὰ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενὸς δείκνυται, ἀλλὰ δέονται πάντες τῆς εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῆς. σχημάτων δὲ εἶπε πληθυντικῶς, οὐχ ὅτι εἰς πλείονα σχήματα ἀνάγονται (πάντες γὰρ εἰς τὸ πρῶτον ἀνάγονται), ἀλλ' ὅτι ἕκαστος τῶν ἐν δευτέρῳ σχήματι εἰς τὸ πρῶτον σχῆμα τῆς οἰκείας μίξεως ἀνάγεται.

p. 39a4 Ἐν δὲ τῷ τελευταίῳ σχήματι καὶ ἀμφοτέρων ἐνδεχομένων καὶ τῆς ἑτέρας ἔσται συλλογισμός.

Ἐπλήρωσε τὸ δεύτερον σχῆμα· ἐντεῦθεν δὲ ἄρχεται τοῦ τρίτου. εἶναι οὖν φησιν ἐν τούτῳ τῷ σχήματι συλλογιστικὰς συζυγίας καὶ τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων, διότι καὶ ἀνομοιοσχημόνων οὐσῶν τῶν προτάσεων καὶ ὁμοιοσχημόνων ἐν τούτῳ τῷ σχήματι συλλογισμὸς γίνεται· μόνην γὰρ δεῖ τὴν ἐλάττονα καταφατικὴν φυλάττειν, τὰ δὲ ἄλλα πάντα ὅπως ἂν ἔχωσιν αἱ προτάσεις, οὐδὲν διαφέρει. συνάγεσθαι δέ φησιν ἐν τούτῳ τῷ σχήματι ἀμφοτέρων μὲν οὐσῶν ἐνδεχομένων ἢ τῆς μὲν ἐνδεχομένης τῆς δὲ ὑπαρχούσης ἐνδεχόμενον συμπέρασμα. ἐὰν δὲ ἡ μὲν ἀναγκαία ᾖ ἡ δὲ ἐνδεχομένη, εἰ μὲν καταφατικὴ εἴη ἡ ἀναγκαία, ἐνδεχόμενον πάλιν φησὶ γίνεσθαι τὸ συμπέρασμα, εἰ δὲ ἡ ἀναγκαία ἀποφατικὴ εἴη, τοῦ μὴ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου τοῦ ἰσοδυναμοῦντος αὐτῷ.

---

2 post ὥσπερ add. φησὶ t κἂν t 4 συλλογισταὶ B 5 τὸ κ. U τιθεμένη t 9 οὔτε γὰρ BU: Διότι φησὶν οὔτε t τι U: τὸ Bt 10 διὰ— αὐτὰς BU: ἐπειδὴ ἰσοδυναμοῦσιν καὶ αὗται t 11 καὶ ὅτι (post δὲ) B Arist.: inv. ord. Ut 12 εἰρημένων t (d) 15. 16 ἀνάγονται σχήματα t 17 ἀνάγεται μίξεως t 18 περὶ τοῦ τρίτου σχήματος ἐξ ἀμφοτέρων ἐνδεχομένων inscr. B 19 συλλογισμὸς ἔσται t 21 λογιστικὰς pr. B, corr. B¹ 22 ἐνδεχομένας t 28 ἢ S: εἴη BUt ἡ μὲν καταφατικὴν—ἀναγκαίαν t ἡ alt. S.: om. BUt 29 φησὶ om. U

p. 39a 11 Ληπτέον δὲ καὶ ἐν τούτοις ὁμοίως τὸ ἐν τοῖς συμ- LVIv
περάσμασιν ἐνδεχόμενον.

Τοιοῦτον καὶ ἐν τοῖς προλαβοῦσιν ἐπεσημήματο, ὅτι οὐ τὸ κατὰ τὸν 45
διορισμὸν ἐνδεχόμενον ἐν τοῖς συμπεράσμασιν εἴληπται ἀλλὰ τὸ ἑπόμενον
5 τῷ ὑπάρχοντι καὶ κατ' αὐτοῦ λεγόμενον ἀληθῶς.

p. 39a 14 Ἔστωσαν δὴ πρῶτον ἐνδεχόμεναι, καὶ τὸ Α καὶ τὸ Β
παντὶ τῷ Γ ἐνδεχέσθω ὑπάρχειν.

Πρώτας τίθησι τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων συζυγίας· 51
δεῖ γὰρ προηγεῖσθαι τὰς ἁπλᾶς προτάσεις τῶν μικτῶν. ἐν ταύταις οὖν
10 πρώτας τὰς καθόλου καταφατικὰς παραδίδωσι. συνάγειν δέ φησιν αὐτὰς
ἐνδεχόμενον καταφατικὸν μερικὸν συμπέρασμα. δείκνυσι δὲ τὴν συζυγίαν
ἀντιστρέφων τὴν ἐλάττονα πρότασιν καὶ ἀνάγων εἰς τὸν τρίτον τρόπον τοῦ
πρώτου σχήματος. |

p. 39a 19 Καὶ εἰ τὸ μὲν Α ἐνδέχεται μηδενὶ τῷ Γ ὑπάρχειν, LVIIr
15 τὸ δὲ Β ἐνδέχεται παντὶ τῷ Γ, ἀνάγκη τὸ Α τινὶ τῶν Β ἐνδέχε-
σθαι μὴ ὑπάρχειν.

Δευτέραν τίθησι τὴν ἐκ τῆς μείζονος ἀποφατικῆς καθόλου τῆς δὲ
ἐλάττονος καθόλου καταφατικῆς. συνάγει οὖν καὶ αὕτη μερικὸν ἀποφατικὸν
συμπέρασμα ἀντιστρεφομένης πάλιν τῆς ἐλάττονος προτάσεως καὶ ἀναγο- 5
20 μένη εἰς τὸν τέταρτον τρόπον τοῦ πρώτου σχήματος.

p. 39a 23 Εἰ δὲ ἀμφότεραι στερητικαὶ τεθείησαν, ἐξ αὐτῶν μὲν
τῶν εἰλημμένων οὐκ ἔσται τὸ ἀναγκαῖον· ἀντιστραφεισῶν δὲ
τῶν προτάσεων ἔσται συλλογισμός, καθάπερ ἐν τοῖς πρότερον.

Ἐξ αὐτῶν μέν φησι μηδὲν συνάγεσθαι συμπέρασμα, διότι ἀμφοτέρων 10
25 οὐσῶν ἀποφατικῶν ἡ ἐλάττων οὐ σώζει τὸ ἴδιον τοῦ σχήματος τοῦ τρίτου.
μεταλαμβανομένης δὲ τῆς ἐλάττονος εἰς καταφατικὴν καὶ ἀντιστρεφομένης
πρὸς τὴν μερικὴν ἀνάγεται πάλιν ἡ συζυγία εἰς τὸν τέταρτον τρόπον
τοῦ πρώτου σχήματος καὶ συνάγει μερικὸν ἀποφατικὸν ἐνδεχόμενον συμ-
πέρασμα.

---

1 τὸ] καὶ U 3 ἐν τοῖς προλαβ.] c. 16 p. 35b30 c. 19 p. 38a14 8 ἐνδεχομένας Bt
9 οὖν t: om. BU ταύταις scripsi cf. p. 230,29. 30 233,23: τούτος BUt
14 τῶν γ̄ U 15 ἐνδέχεται post γ' collocat t: om. Arist. (ἐνδέχοιτο post β' Cn)
post ἀνάγκη add. καὶ t τῶν BU (Cn): τῷ t Arist. 18 αὐτὴ Ut 19. 20 ἀνα-
ομένη scripsi (καὶ deleverim): ἀναγομένης BUt 20 τὸν δεύτερον U 21 ἐὰν t (C)
τεθείησαν Arist.: τεθῶσιν BUt 24 μέν Bt: δέ U 25 τοῦ τρίτου σχήματος t
27 τὸν δεύτερον U

p. 39ᵃ28 Εἰ δὲ ὁ μέν ἐστι καθόλου τῶν ὅρων ὁ δὲ ἐν μέρει, τὸν LVIIr
αὐτὸν τρόπον ἐχόντων τῶν ὅρων ὅνπερ ἐπὶ τοῦ ὑπάρχειν, ἔσται
τε καὶ οὐκ ἔσται συλλογισμός.

Ὡς εἶχον, φησίν, αἱ ἐξ ἀμφοτέρων ὑπαρχουσῶν προτάσεων συζυγίαι, οὕτως ἔχουσι καὶ αἱ ἐξ ἀμφοτέρων ἐνδεχομένων τῆς ἑτέρας μερικῆς οὔσης τῆς δὲ ἑτέρας καθόλου. πλὴν διαφέρουσιν αὗται πρὸς ἐκείνας, ὅτι ἐν ταῖς ἐνδεχομέναις καὶ ἀμφοτέρων οὐσῶν ἀποφατικῶν γίνεται συλλογισμὸς μεταλαμβανομένης τῆς ἐλάττονος ἀποφατικῆς εἰς τὴν καταφατικήν. εἰ δὲ μεταλαμβάνεται ἡ ἐλάττων ἀποφατικὴ εἰς τὴν καταφατικὴν ἐπὶ τῶν ἐνδεχομένων, ἵνα γένηται συλλογιστικὴ ἡ συζυγία, οὐδὲν ἄρα διαφέρουσι πρὸς ἀλλήλας.

p. 39ᵇ7 Ἐὰν δὲ ἡ μὲν ὑπάρχειν ἡ δὲ ἐνδέχεσθαι σημαίνῃ τῶν προτάσεων, τὸ μὲν συμπέρασμα ἔσται ὅτι ἐνδέχεται καὶ οὐχ ὅτι ὑπάρχει· συλλογισμὸς δὲ ἔσται τὸν αὐτὸν τρόπον ἐχόντων τῶν ὅρων ὅνπερ καὶ ἐν τοῖς πρότερον.

Παραδοὺς τὰς τοῦ ἐνδεχομένου αὐτοῦ καθ' αὑτοῦ συζυγίας ἐν τρίτῳ σχήματι νῦν μίγνυσιν αὐτὸ πρὸς τὸ ὑπάρχον, καὶ φησὶ τὸ μὲν συμπέρασμα ἐν τούτοις οὐδαμῶς εἶναι ὑπάρχον· οὐδὲ γὰρ ἐν πρώτῳ σχήματι ἐπὶ τῆς τοιαύτης μίξεως ὑπάρχον ἐγίνετο τὸ συμπέρασμα ἀλλὰ μόνως ἐνδεχόμενον· οὕτως οὖν καὶ ἐνταῦθα. ἐνδεχόμενον δὲ δῆλον ὅτι οὐκ ἐν πάσαις συζυγίαις τὸ αὐτό, ἀλλ' ὅσαι μὲν ἔχουσι τὴν ὑπάρχουσαν, φησί, καταφατικήν, τὸ κατὰ τὸν διορισμὸν συνάγουσιν ἐνδεχόμενον· ὅσαι δὲ ἀποφατικὴν ἔχουσι τὴν ὑπάρχουσαν, αὗται οὐ τὸ κατὰ τὸν διορισμὸν συνάγουσιν, ὡς εἴρηται ἡμῖν πλατύτερον ἐν τῷ πρώτῳ σχήματι. συλλογιστικαὶ δὲ γίνονται συζυγίαι ⟨αἱ⟩ αὐταὶ αἵτινες καὶ ἐν τῷ πρώτῳ σχήματι ἦσαν, τουτέστι πᾶσαι αἱ ἄλλαι χωρὶς τῶν ἐχουσῶν τὴν ἐλάττονα ἀποφατικὴν ὑπάρχουσαν.

p. 39ᵇ10 Ἔστωσαν γὰρ πρῶτον κατηγορικοί, καὶ τὸ μὲν Α παντὶ τῷ Γ ὑπαρχέτω, τὸ δὲ Β παντὶ τῷ Γ ἐνδεχέσθω.

Πάλιν τὰς ἐξ ἀμφοτέρων καταφατικῶν πρώτας παραδίδωσιν, ἐν ταύταις δὲ πρώτην τὴν ἐκ τῆς μείζονος ὑπαρχούσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης, καὶ συνάγειν φησὶν ἐνδεχόμενον συμπέρασμα· τῇ γὰρ χείρονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα. δείκνυται δὲ διὰ τῆς ἀντιστροφῆς τῆς ἐλάττονος προτάσεως ἀντιστρεφομένης πρὸς τὴν μερικὴν καταφατικὴν τῆς ἐλάττονος προτάσεως καὶ ποιούσης τὸν τρίτον τρόπον τοῦ πρώτου σχήματος.

4. 5 ὑπαρχουσῶν—ἀμφοτέρων t: om. BU 9 εἰ δὲ—καταφατικὴν t: om. BU 12 μίξις ἐνδεχομένου καὶ ὑπάρχοντος ἐπὶ τοῦ αὐτοῦ σχήματος inser. B 13 post μὲν add. οὖν B 15 ὅνπερ καὶ ἐν om. Arist. (sed ὃν καὶ ἐν A B d u m) 18 οὐδαμῶς ἐν τούτοις t 19 ἀλλ' ὁμοίως B: ἀλλ' S 22 δὲ BSU: καὶ t 23 τὸ om. U εἴρηται] p. 176,24 sq. 25 αἱ αὐταὶ scripsi: αὗται libri ἦσαν om. B 28 τῷ γ alt. BUt (C): om. Arist. 29. 30 ταύταις scripsi cf. p. 229,9 233,23: τούτοις BUt

p. 39b16 Ὁμοίως δὲ καὶ εἰ τὸ μὲν ΒΓ ὑπάρχειν τὸ δὲ ΑΓ LVII[r]
ἐνδέχεσθαι.

Ὑποθέμενος τὴν μείζονα ὑπάρχουσαν τὴν δὲ ἐλάττονα ἐνδεχομένην νῦν τὸ ἀνάπαλιν ὑποτίθεται τὴν μὲν μείζονα ἐνδεχομένην τὴν δὲ ἐλάττονα ὑπάρχουσαν. συνάγει δὲ καὶ αὕτη τὸ αὐτὸ συμπέρασμα καὶ διὰ τῆς αὐτῆς δείξεως. |

p. 39b17 Καὶ εἰ τὸ μὲν ΑΓ στερητικὸν τὸ δὲ ΒΓ κατηγορικόν, LVII[v]
ὑπάρχοι δ' ὁποτερονοῦν, ἀμφοτέρως ἐνδεχόμενον ἔσται τὸ συμπέρασμα.

Εἰρηκὼς τὰς ἐξ ἀμφοτέρων κατηγορικῶν δύο συλλογιστικὰς συζυγίας νῦν τὰς ἀνομοιοσχήμονας δύο παραδίδωσιν ἅμα. τῆς γὰρ μείζονος, φησίν, ἀποφατικῆς οὔσης τῆς δὲ ἐλάττονος καταφατικῆς, τῆς ὑπαρχούσης ἢ πρὸς τῇ μείζονι τιθεμένης ἢ πρὸς τῇ ἐλάττονι δύο γίνονται συζυγίαι. συνάγουσι δὲ ἀμφότεραι ἐνδεχόμενον συμπέρασμα, ἀλλ' ἡ μὲν ἔχουσα τὴν μείζονα ἐνδεχομένην τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον, ἡ δὲ ὑπάρχουσαν τὸ οὐδενὶ ἐξ ἀνάγκης, ὡς δέδεικται ἐν τῷ πρώτῳ σχήματι. ἡ δὲ δεῖξις ἡ αὐτὴ ἐπ' ἀμφοτέρων ἀντιστρεφομένης τῆς ἐλάττονος προτάσεως πρὸς τὴν μερικὴν καταφατικὴν καὶ ποιούσης τὸν τέταρτον τρόπον τοῦ πρώτου σχήματος.

p. 39b22 Εἰ δὲ τὸ στερητικὸν τεθείη πρὸς τὸ ἔλαττον ἄκρον ἢ καὶ ἄμφω τεθείη στερητικά, δι' αὐτῶν μὲν τῶν κειμένων οὐκ ἔσται συλλογισμός, ἀντιστραφέντων δ' ἔσται, καθάπερ ἐν τοῖς πρότερον.

Δεῖ προσθεῖναι τῷ στερητικὸν 'ἐνδεχόμενον'· εἰ γὰρ ἡ ὑπάρχουσα στερητικὴ εἴη ἡ ἐλάττων, ἀσυλλόγιστος γίνεται ἡ συζυγία μὴ δυναμένη μεταληφθῆναι εἰς καταφατικήν.

p. 39b26 Εἰ δὲ ἡ μὲν καθόλου τῶν προτάσεων ἡ δὲ ἐν μέρει καὶ τὰ ἑξῆς.

Παραδοὺς τὰς ἐξ ἀμφοτέρων καθόλου νῦν τὰς ἐκ τῆς ἑτέρας καθόλου τῆς δὲ ἑτέρας μερικῆς παραδίδωσιν. αἱ μὲν οὖν ἐξ ἀμφοτέρων κατα-

1 δὲ alt. om. U 2 ἐνδέχεται ὑπάρχειν t 3 δὲ om. U 4 μὲν om. t 5 αὐτὴ Ut 8 ὁποτεροῦν U 12 τῆς alt. S: τῆς δὲ Bt: om. U 13 τῷ (ante μείζ.) U: utrobique S 14 ἀμφότερον t 15 ἐνδεχόμενον om. t 16 οὐδενὶ ἐξ ἀνάγκης SUt: οὐ παντὶ ὑπάρχειν (compend.) B δέδεικται] c. 15 p. 34b27 sq. τῷ om. t 17 ἡ αὐτὴ St: αὐτὴ B: αὕτη U 20 τὸ prius U Arist.: τὸ ἐνδεχόμενον B (Arist. codd. exc. n): inv. ord. t ἢ—23 πρότερον Bt: καὶ τὰ ἑξῆς U 24 προστεθεῖναι t: προστιθέναι b τῷ scripsi: τὸ BUt 25 ἐλάσσων B 29 παρέδωκε B 30 αἱ μὲν οὖν scripsi: αἱ μὲν BU: αὗται οὖν αἱ t

φατικῶν, φησίν, ἢ τῆς μείζονος ἀποφατικῆς καθόλου πᾶσαι διὰ τῆς ἀντι- LVII[v]
στροφῆς τῆς ἐλάττονος ἀνάγονται εἰς τὸ πρῶτον σχῆμα, αἱ μὲν ἐξ ἀμφο-
τέρων κατηγορικῶν εἰς τὸν τρίτον τρόπον, αἱ δὲ ἐκ τῆς μείζονος ἀπο-
φατικῆς καθόλου εἰς τὸν τέταρτον.

5 p. 39b31 Εἰ δὲ ἡ μὲν καταφατικὴ καθόλου ἡ δὲ στερητικὴ ἐν μέρει, διὰ τοῦ ἀδυνάτου ἔσται ἡ ἀπόδειξις.

Ἐάν, φησίν, ἡ μὲν ἐλάττων καθόλου εἴη καταφατικὴ ἡ δὲ μείζων μερικὴ ἀποφατική, συλλογιστικὴ μὲν γίνεται ἡ συζυγία, οὐ μὴν δι' ἀντι- 30
στροφῆς δείκνυται ἀλλὰ διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς. κείσθω
10 γὰρ τὸ μὲν Β παντὶ τῷ Γ ὑπάρχειν, τὸ δὲ Α ἐνδεχέσθω μὴ παντὶ τῷ Γ ὑπάρχειν· συνάγεται ὅτι τὸ Α ἐνδέχεται μὴ παντὶ τῷ Β ὑπάρχειν. εἰ γὰρ τοῦτο ψεῦδος, τὸ ἀντικείμενον ἀληθὲς ἔσται, ὅτι ἐξ ἀνάγκης τὸ Α παντὶ τῷ Β ὑπάρχει· ὑπέκειτο δὲ καὶ τὸ Β παντὶ τῷ Γ ὑπάρχειν· τὸ ἄρα Α ἐξ ἀνάγκης παντὶ τῷ Γ ὑπάρξει· γίνεται γὰρ τὸ πρῶτον σχῆμα
15 ἐξ ἀναγκαίας καθόλου καταφατικῆς τῆς μείζονος καὶ ὑπαρχούσης καθόλου 35
καταφατικῆς τῆς ἐλάττονος, ἐφ' ἧς συνήγετο καθόλου καταφατικὸν ἀναγ-
καῖον συμπέρασμα. ἀλλ' ἀδύνατον παντὶ τῷ Γ ὑπάρχειν ἐξ ἀνάγκης· ὑπέκειτο γὰρ ἐνδέχεσθαι μὴ παντὶ ὑπάρχειν αὐτῷ. τὸ δὲ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ἐξ ἀνάγκης ὑπάρχειν τὸ Α τῷ Β. μήποτε δὲ
20 δυνατὸν καὶ δι' ἀντιστροφῆς δεῖξαι συλλογιστικὴν τὴν συζυγίαν, εἴγε κατ' αὐτὸν ἡ μερικὴ ἀποφατικὴ ἐνδεχομένη ἀντιστρέφει εἰς τὴν μερικὴν καταφατικὴν ἐνδεχομένην. εἰ οὖν τὸ Α ἐνδέχεται μὴ παντὶ τῷ Γ ὑπάρχειν, 40
καὶ τὸ Γ τινὶ τῶν Α ἐνδέχεται ὑπάρχειν· ἀλλὰ μὴν τὸ Β παντὶ τῷ Γ ὑπῆρχε· τὸ Γ δὲ τινὶ τῶν Α ἐνδέχεται ὑπάρχειν· ⟨τὸ Β ἄρα τινὶ τῶν Α
25 ἐνδέχεται ὑπάρχειν·⟩ οὐκοῦν καὶ τὸ Α ἐνδέχεται ⟨μὴ⟩ παντὶ τῷ Β ὑπάρχειν, ὅπερ ἔδει δεῖξαι.

p. 40a1 Ὅταν δὲ ἀδιόριστοι ἢ ἐν μέρει ληφθῶσιν ἀμφότεραι, οὐκ ἔσται συλλογισμός. ἀπόδειξις δὲ ἡ αὐτὴ ἣ καὶ ἐν τοῖς καθόλου καὶ διὰ τῶν αὐτῶν ὅρων.

30 Καθόλου νῦν λέγει τὰς ἐξ ἀμφοτέρων ἐνδεχομένων, ὡς ἂν εἰ ἔλεγε 45
'δι' ὧν ὅρων ἐδείχθησαν καὶ αἱ δι' ὅλου ἐνδεχόμεναι δύο ἐπὶ μέρους συζυγίαι οὖσαι ἀσυλλόγιστοι'. ἦσαν δὲ ὅροι τοῦ μὲν παντὶ ὑπάρχειν ζῷον, ἄνθρωπος, λευκόν· ζῷον ἐνδέχεται μὴ παντὶ λευκῷ, ἄνθρωπος ἐνδέχεται τινὶ λευκῷ, καὶ ζῷον ἀνάγκη παντὶ ἀνθρώπῳ ὑπάρχειν. τοῦ δὲ μηδενὶ

---

2 συνάγονται t 3 κατηγορικαὶ Ut 7 μὲν t: om. BU 8 γίνεται μὲν συλλογιστικὴ t διὰ τῆς U 13 τῷ β̄ Ut: τῷ γ̄ B 14 ὑπάρχει Ut 17 παντὶ om. B 18 δὲ om. fort. recte U cf. p. 224,18 20 καὶ t: om. BU 23 post ἐνδέχεται add. μὴ U 24 γ̄—ᾱ scripsi: ᾱ—γ̄ BUt ὑπάρχον (post ἐνδ.) U τὸ β̄—25 ὑπάρχειν addidi cf. p. 238,2sq. 25 μὴ addidi β̄ scripsi: γ̄ libri ante ὅπερ quaedam deesse censet Waitz Organ. I 29 31 post ἐνδεχόμεναι add. αἱ Bt μέρει t 33 ἄνθρωπον (ante ἐνδ.) B 33. 34 τινὶ λευκῷ ἐνδέχεται t 34 post καὶ add. συνάγεται t ὑπάρχειν om. U

ἵππος, ἄνθρωπος, λευκόν· ἵππος οὐ παντὶ λευκῷ ἐνδεχομένως, ἄνθρωπος LVIIv
τινὶ λευκῷ ἐνδέχεται, καὶ ἵππος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. μήποτε δὲ 50
καὶ ἡ λέξις ἡμάρτηται, φησὶν ὁ Ἀλέξανδρος, καὶ δέον εἶναι 'ἀπόδειξις
δὲ ἡ αὐτὴ ἢ καὶ ἐν ταῖς ἐξ ἀμφοτέρων ἐνδεχομένων' τὸ ἢ καὶ ἐν τοῖς
5 καθόλου μεταγέγραπται.

p. 40a 4 Εἰ δέ ἐστιν ἡ μὲν ἀναγκαία τῶν προτάσεων ἡ δὲ ἐνδεχομένη, κατηγορικῶν μὲν ὄντων τῶν ὅρων ἀεὶ τοῦ ἐνδέχεσθαι ἔσται συλλογισμός καὶ τὰ ἑξῆς. |

Πληρώσας τὴν μῖξιν τοῦ ἐνδεχομένου πρὸς τὸ ὑπάρχον νῦν λοιπὸν LVIIIr
10 τρέπεται ἐπὶ τὴν μῖξιν τοῦ ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου. ταὐτὰ δὲ συν- 5
άγονται ἐν ταύταις ταῖς συζυγίαις τὰ συμπεράσματα, ἃ συνήγοντο καὶ ἐν
πρώτῳ σχήματι ἐπὶ τῆς αὐτῆς μίξεως ὁμοίως ἐχουσῶν τῶν προτάσεων.
εἰ μὲν γὰρ ἀμφότεραι κατηγορικαὶ ὦσι, τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον
συνάγεται συμπέρασμα· εἰ δὲ ἡ μὲν εἴη καταφατικὴ ἡ δὲ ἀποφατική, εἰ
15 μὲν ἡ ἐνδεχομένη ἀποφατικὴ εἴη, τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου
πάλιν ἔσται τὸ συμπέρασμα, εἰ δὲ τὸ ἀναγκαῖον εἴη ἀποφατικόν, ἐνδεχό-
μενον γίνεται τὸ συμπέρασμα, οὐ τὸ κατὰ τὸν διορισμὸν ἀλλὰ τὸ συντρέχον
τῷ μὴ ὑπάρχοντι.

p. 40a 11 Ἔστωσαν δὴ κατηγορικοὶ πρῶτον οἱ ὅροι, καὶ τὸ μὲν 10
20 Α παντὶ τῷ Γ ὑπαρχέτω ἐξ ἀνάγκης, τὸ δὲ Β παντὶ ἐνδεχέσθω ὑπάρχειν.

Πάλιν πρώτας ὑποτίθεται τὰς ἐξ ἀμφοτέρων καταφατικῶν, καὶ ἐν 15
ταύταις πρώτην ὑποτίθεται τὴν ἔχουσαν τὴν μείζονα ἀναγκαίαν τὴν δὲ
ἐλάττονα ἐνδεχομένην. καὶ συνάγει μερικὸν ἐνδεχόμενον συμπέρασμα ἀντι-
25 στραφείσης τῆς ἐλάττονος πρὸς τὴν μερικὴν καὶ ποιούσης τὸν τρίτον
τρόπον τοῦ πρώτου σχήματος. εἰ δὲ καὶ ἐν τούτῳ τῷ σχήματι καὶ ἐν
τοῖς ἄλλοις ἐπὶ τῆς μίξεως τοῦ ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου οὐ βούλεται
τῇ μείζονι τῶν προτάσεων ἕπεσθαι τὸ συμπέρασμα ἀλλὰ τῇ χείρονι,
δῆλον ἄρα ὅτι ἐπὶ τῆς μίξεως τοῦ ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος, ὅτε 20
30 ἔλεγε τῇ μείζονι προτάσει ἕπεσθαι τὸ συμπέρασμα καὶ τὰς ἐχούσας τὴν
μείζονα ἀναγκαίαν ἀναγκαῖον συμπέρασμα συνάγειν, οὐ τὸ κυρίως ἀναγ-
καῖον ἐβούλετο συνάγεσθαι ἀλλὰ τὸ ἐξ ὑποθέσεως. ὥσπερ δὲ ἔχει ἡ τὴν

---

2 λευκῷ om. Ut 3 λέξις U: δεῖξις Bt ὁ Ἀλέξανδρος] p. 248,38 sq. 6 μῖξις ἀναγκαίου καὶ ἐνδεχομένου ἐπὶ τοῦ αὐτοῦ σχήματος inscr. B Ἐὰν t 10 post ἐνδεχομένου del. πρὸς τὸ ὑπάρχον U τοῦ alt. om. B ταὐτὰ S: ταῦτα BUt 12 τῆς αὐτοῦ B: ταύτης τῆς t 13 post ἐνδεχόμενον add. οὐ t 14 ἡ prius om. t 19 δὴ Bt Arist.: γὰρ U (u) πρότερον U οἱ St Arist.: om. BU 20 post παντὶ alt. add. τῷ γ' t (n m, ante παντὶ add. A) 27 τοῦ alt. om. BSt οὐ om. U 28 μείζονι BSU: κρείττονι t 30 ἔλεγε] c. 9 p. 30a 15 sq. cf. p. 126,17 sq. 31 ante συμπ. add. τὸ S συνάγειν συμπέρασμα U 32 ἠβούλετο sic t

μείζονα ἔχουσα ἀναγκαίαν συζυγία κατὰ τὸ συμπέρασμα, οὕτω καὶ ἡ LVIIIʳ ἀνάπαλιν ἔχουσα, λέγω δὴ ἡ τὴν μείζονα ἐνδεχομένην. ἐν δὲ τῇ δείξει διαφέρουσιν, ὅτι ἡ μὲν ἔχουσα τὴν μείζονα ἐνδεχομένην μετὰ τὴν ἀντιστροφὴν τῆς ἐλάττονος τῇ ἐπ' εὐθείας δείξει δείκνυται διὰ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενός, ἡ δὲ τὴν μείζονα ἔχουσα ἀναγκαίαν μετὰ τὴν ἀντιστροφὴν τῆς ἐλάττονος τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δείκνυται. τὸ γὰρ Α τῷ Γ παντὶ ἐξ ἀνάγκης ὑπαρχέτω, τὸ δὲ Β τῷ Γ παντὶ ἐνδεχέσθω· οὐκοῦν καὶ τὸ Γ τινὶ τῷ Β. γίνεται οὖν τὸ πρῶτον σχῆμα τοῦ μὲν Α τῷ Γ παντὶ ὑπάρχοντος ἐξ ἀνάγκης, τοῦ δὲ Γ τῷ Β τινὶ ἐνδεχομένου· συνάγει οὖν, φησί, τὸ 'ἐνδέχεται τινί'. καὶ τοῦτο δείκνυμι τῇ εἰς ἀδύνατον ἀπαγωγῇ· εἰ γὰρ ψεῦδος τὸ 'ἐνδέχεται τινί', ἀληθὲς τὸ 'ἀνάγκη μηδενί'· εἰ τοίνυν τὸ Α τῷ Β ἀνάγκη μηδενί, τὸ δὲ Β τῷ Γ ἐνδέχεται παντί, τὸ Α ἄρα τῷ Γ ἐνδέχεται μηδενί· τοῦτο γὰρ δέδεικται ἐν τῷ πρώτῳ σχήματι· ἦν δὲ καὶ ἐξ ἀνάγκης παντί, ὅπερ ἀδύνατον, ὅτι ὃ ἐνδέχεται μηδενί, τοῦτο ἐνδέχεται παντί. ὁμοίως δὲ ἔχουσιν αἱ τοιαῦται προτάσεις ἐπὶ ταύτης τῆς μίξεως ⟨ὡς ἐπὶ τῆς μίξεως⟩ τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος· πᾶσαι γὰρ αἱ τὴν μείζονα ἔχουσαι ἢ ὑπάρχουσαν ἢ ἀναγκαίαν τὴν δὲ ἐλάττονα ἐνδεχομένην διὰ τοῦ ἀδυνάτου δείκνυνται.

p. 40ᵃ18 Πάλιν ἔστω τὸ μὲν κατηγορικὸν τὸ δὲ στερητικόν, ἀναγκαῖον δὲ τὸ κατηγορικόν.

Νῦν τὰς ἀνομοιοσχήμονας παραδίδωσι, καὶ πρώτην ὑποτίθεται τὴν ἔχουσαν τὴν μείζονα ἐνδεχομένην ἀποφατικὴν τὴν δὲ ἐλάττονα καταφατικὴν ἀναγκαίαν. καὶ συνάγει αὕτη ἀντιστραφείσης τῆς ἐλάττονος πρὸς τὴν μερικὴν καταφατικὴν μερικὸν ἀποφατικὸν ἐνδεχόμενον συμπέρασμα. ἡ δὲ δεῖξις διὰ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενός· αὕτη γάρ ἐστιν ἡ κατ' εὐθεῖαν. εἰ γὰρ τὸ Α ἐνδέχεται μηδενὶ τῶν Γ, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ οὐχ ὑπάρχει ἐνδεχομένως· ἓν δὲ τῶν μερῶν τοῦ Γ τι τῶν Β· τὸ γὰρ Γ τινὶ τῶν Β ὑπῆρχε διὰ τὴν ἀντιστροφήν· τὸ Α ἄρα τινὶ τῶν Β ἐνδεχομένως οὐχ ὑπάρχει.

p. 40ᵃ25 Εἰ δὲ ἡ στερητικὴ πρότασις ἀναγκαία, τὸ συμπέρασμα ἔσται καὶ ὅτι ἐνδέχεται τινὶ μὴ ὑπάρχειν καὶ ὅτι οὐχ ὑπάρχει.

Τῆς μείζονος οὔσης ἀναγκαίας ἀποφατικῆς τῆς δὲ ἐλάττονος κατα-

1 ἔχουσα S: ἔχουσαν BUt κατὰ om. B 2 δὲ U δείξει] γρ. μίξει mrg. U
3 διαφέρει B 4 δείξει om. t 9 ὑπάρχοντος om. t ἐξ ἀνάγκης St: om. BU
10 σύμφημι om. οὖν U καὶ τοῦτο — 11 τινί om. U 13 post μηδενὶ add. ὑπάρχειν t
δέδεικται] c. 16 p. 36ᵃ7 sq. 14 ὃ t: τὸ BSU 16 ὡς—μίξεως addidi 19 περὶ τῶν ἀνομοιοσχημόνων inscr. B 23 αὐτὴ^ν U 25 τοῦ alt. om. BSt 27 οὐχ St: om. BU ὑπάρξει B τινὶ pr. B 27. 28 τὸ γὰρ $\overline{\gamma}$ τινὶ τῶν $\overline{\beta}$ om. pr. B
29 οὐχ om. BS 30 post ἀν. add. καὶ BUt (C): om. Arist. τὸ om. t
31 καὶ prius om. B

φατικῆς ἐνδεχομένης τοῦ μὴ ὑπάρχειν γίνεται τὸ συμπέρασμα. ἡ δὲ LVIIIr
δεῖξις διὰ τῆς ἀντιστροφῆς τῆς ἐλάττονος καὶ τῆ εἰς ἀδύνατον ἀπαγωγῆ.
δέδεικται δὲ ταῦτα πλατύτερον ἐν τῷ πρώτῳ σχήματι.

p. 40a30 Ὅτε δ' οὕτως ἔχοιεν αἱ προτάσεις, συνέβαινε τὸ Α LVIIIv
τῷ Γ ἐνδέχεσθαι τινὶ μὴ ὑπάρχειν καὶ μὴ ὑπάρχειν, ὥστε τὸ
Α τῷ Β ἀνάγκη τινὶ μὴ ὑπάρχειν.

Ἀναμιμνήσκων ἡμᾶς τοῦ πρώτου σχήματος καὶ τῶν ἐκεῖ δεδειγμένων, ὅτε, φησίν, ἐν πρώτῳ σχήματι οὕτως εἶχον αἱ προτάσεις, τουτέστιν ἡ μείζων ἀναγκαία ἦν ἀποφατικὴ ἡ δὲ ἐλάττων ἐνδεχομένη καταφατικὴ μερική, συνέβαινε τὸ Α τῷ Γ (οὗτοι γὰρ ἦσαν ἐκεῖ οἱ ἄκροι ὅροι) τινὶ μὴ ὑπάρχειν καὶ ἐνδέχεσθαι μὴ ὑπάρχειν. οὕτως οὖν, φησί, καὶ ἐνταῦθα, ἐπειδὴ ἀντιστρέψαντες τὴν ἐλάττονα πρότασιν τοῦτον πάλιν τὸν τρόπον ἐποιήσαμεν τοῦ πρώτου σχήματος, τὸ αὐτὸ πάλιν ἀνάγκη συνάγεσθαι συμπέρασμα. ὥστε τὸ Α τῷ Β (οὗτοι γάρ εἰσιν ἐνταῦθα οἱ ἄκροι), εἰ τινὶ οὐχ ὑπάρξει, καὶ τινὶ ἐνδέχεται μὴ ὑπάρχειν, δηλονότι τοῦ ἐνδεχομένου οὐκ ὄντος τοῦ κατὰ τὸν διορισμὸν ἀλλὰ τοῦ κατὰ τοῦ ὑπάρχοντος κατηγορουμένου.

p. 40a33 Ὅταν δὲ τὸ στερητικὸν τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον, ἐὰν μὲν ἐνδεχόμενον, ἔσται συλλογισμὸς μεταληφθείσης τῆς προτάσεως, καθάπερ ἐν τοῖς πρότερον, ἐὰν δ' ἀναγκαῖον, οὐκ ἔσται· καὶ γὰρ παντὶ ἀνάγκη καὶ οὐδενὶ ἐνδέχεται ὑπάρχειν. ὅροι τοῦ παντὶ ὑπάρχειν ὕπνος, ἵππος, καθεύδων ἄνθρωπος, τοῦ δὲ μηδενὶ ὕπνος, ἵππος, ἐγρηγορὼς ἄνθρωπος.

Ἄνω μὲν καταφατικὴν ὑποθέμενος τὴν ἐλάττονα τὴν μείζονα ἢ καὶ αὐτὴν καταφατικὴν ἐλάμβανεν, ὡς εἶναι ἐξ ἀμφοτέρων καταφατικῶν τὰς συζυγίας, ἢ ἀποφατικήν· ἐνταῦθα δὲ τὴν ἐλάττονα ἀποφατικὴν ὑποθέμενος τὴν μείζονα ἢ ἀποφατικὴν λαμβάνει καὶ αὐτὴν ἢ καταφατικήν. εἰ μὲν οὖν, φησίν, ἀποφατικὴ οὖσα ἡ ἐλάττων ἐνδεχομένη εἴη, συλλογιστικὴ γίνεται ἡ συζυγία μεταληφθείσης τῆς ἐλάττονος ἀποφατικῆς εἰς τὴν καταφατικὴν καὶ ἀντιστραφείσης πρὸς τὴν μερικὴν καὶ ποιούσης ἢ τὸν τρίτον τρόπον τοῦ πρώτου σχήματος, ἐὰν ἡ μείζων καταφατικὴ ὑπάρχῃ, ἢ τὸν τέταρτον, ἐὰν ἀποφατική· συνάγουσι δὲ οὗτοι μερικὸν ἐνδεχόμενον. εἰ δὲ

2 τῆς—ἀπαγωγῆς t 3 δέδεικται] cf. ad p. 234,13 5 post γ' add. καὶ t Arist. μὴ alt. om. U post ὥστε add. καὶ t Arist. (om. C) 7 ἀναμιμνήσκων scripsi: ἀναμμνήσκει BU: ἀναμμνήσκη t 15 ὑπάρχει S 19 ἐνδεχόμενον B Arist.: ἐνδεχομένης U: ἐνδεχόμενον ἢ t 20 ὥσπερ t 21 ἀνάγκη] συνάγειν U

22 ὅροι—ὑπάρχειν om. U 23 ἐγρήγορ° sic U 24 post τὴν alt. add. δὲ Ut εἰ U 25. 26 immo τὴν συζυγίαν 26 ἢ ἀποφατικῶν t ἐνθάδε, om. δὲ U 29. 30 post καταφατικὴν add. τὴν πᾶς B 30 ἀντιστραφήσης sic t: ἀντιστρεφούσης B: ἀντιστρέφει U post μερικὴν add. τὴν τίς B 31 ὑπάρχει t 32 οὗτοι scripsi: ταῦτα B: αὗται Ut

ἡ ἐλάττων ἀποφατικὴ οὖσα ἀναγκαία εἴη, ἀσυλλόγιστός ἐστιν ἡ συζυγία· LVIII^{v} τὸ γὰρ ἴδιον τοῦ τρίτου σχήματος ἀπώλεσε τὸ τὴν ἐλάττονα ἔχειν καταφατικήν. συνάγει τοιγαροῦν καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης. τὸ μὲν παντὶ οὕτως· ὕπνος ἐνδέχεται παντὶ ἵππῳ ἢ μηδενὶ ὑπάρχειν, ἵππος οὐδενὶ καθεύδοντι ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει, καὶ συνάγεται 'ὕπνος παντὶ καθεύδοντι ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει'. τοῦ δὲ μηδενί· ὕπνος παντὶ μὲν ἵππῳ ἐνδέχεται ὑπάρχειν, ἵππος οὐδενὶ ἐγρηγορότι ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει, καὶ συνάγεται 'ὕπνος οὐδενὶ ἐγρηγορότι ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει'.

p. 40ᵃ39 Ὁμοίως δὲ καὶ εἰ ὁ μὲν καθόλου τῶν ὅρων ὁ δ' ἐν μέρει πρὸς τὸ μέσον.

Τὰ αὐτὰ πάλιν λεχθήσεται καὶ ἐπὶ τούτων, ἅπερ καὶ ἐπὶ τῶν ἐξ ἀμφοτέρων καθόλου συλλογισμῶν, περί τε τῶν συμπερασμάτων περί τε τῶν δείξεων. καὶ ἐπὶ μὲν τῶν ἐχουσῶν τὴν μείζονα καθόλου πρότασιν τὴν δὲ ἐλάττονα μερικὴν συλλογιστικῶν συζυγιῶν, λέγω δὴ ἐχουσῶν τὴν μείζονα ἀποφατικὴν ἢ καταφατικὴν τὴν δὲ ἐλάττονα καταφατικήν (αὗται γάρ εἰσι συλλογιστικαὶ ἐν τρίτῳ σχήματι) τοσοῦτον μόνη διαφορὰ τούτων πρὸς τὰς καθόλου συζυγίας, ὅτι ἐκεῖναι μὲν τὴν ἐλάττονα καθόλου ἔχουσαι πρὸς τὴν μερικὴν εἶχον αὐτὴν ἀντιστρεφομένην, ἐν ταύταις δὲ μερικῆς οὔσης τῆς ἐλάττονος ἡ ἀντιστροφὴ πάλιν πρὸς αὐτὴν τὴν μερικὴν γίνεται. ἐπὶ δὲ τῶν ἐχουσῶν τὴν ἐλάττονα καθόλου τὴν δὲ μείζονα μερικήν, δηλονότι πάλιν συλλογιστικῶν συζυγιῶν, ἀμφοτέρων μὲν οὐσῶν καταφατικῶν ἡ διαφορὰ αὕτη πρὸς τὰς καθόλου, ὅτι ἐκεῖ μὲν τὴν ἐλάττονα ἀντιστρέφομεν, ἐνταῦθα δὲ τὴν μείζονα, καὶ ἐκεῖ μὲν δείξαντες τὸ συμπέρασμα δι' εὐθείας ἢ διὰ τοῦ ἀδυνάτου οὐδενὸς ἄλλου ἐδεόμεθα, ἐνταῦθα δὲ μετὰ τὸ δεῖξαι καὶ τὸ συμπέρασμα ἀντιστρέφομεν. οἷον ἔστω ἡ μείζων ὑπάρχουσα μερική, ἡ δὲ ἐλάττων καθόλου ἐνδεχομένη, καταφατικαὶ ἀμφότεραι. λέγω οὖν οὕτως· τὸ Α τινὶ τῶν Γ ὑπαρχέτω, τὸ δὲ Β παντὶ τῷ Γ ἐνδεχέσθω ὑπάρχειν. εἶτα ἀντιστρέφω τὴν μείζονα πρότασιν· ἐὰν γὰρ ἀντιστρέψω τὴν ἐλάττονα, ἀσυλλόγιστος γίνεται ἡ συζυγία· ἀμφότεραι γὰρ γίνονται μερικαί. ἐπεὶ οὖν τὸ Α τινὶ τῶν Γ ὑπάρχει, καὶ τὸ Γ τινὶ τῶν Α. εἰ τοίνυν τὸ μὲν Β παντὶ τῷ Γ ἐνδέχεται ὑπάρχειν, τὸ δὲ Γ τινὶ τῶν Α ὑπάρχει, γίνεται τὸ πρῶτον σχῆμα· τὸ ἄρα Β τινὶ τῶν Α ἐνδέχεται ὑπάρχειν. ἀλλ' οὐ τοῦτο προέκειτο δεῖξαι, ἀλλ' εἰ τὸ Α τινὶ τῶν Β ἐνδέχεται ὑπάρχειν. ἐπεὶ τοίνυν ἀντιστρέφει τὸ μερικὸν καταφατικόν, ἀντιστρέψας τὸ συμπέρασμα ἔχω τὸ ζητούμενον· εἰ γὰρ τὸ Β τινὶ τῶν Α ἐνδέχεται ὑπάρχειν, καὶ τὸ Α τινὶ τῶν Β ἐνδέχεται ὑπάρχειν, ὅπερ ἔδει δεῖξαι. καὶ

---

1 ἔσται U 4 ἵππος Ut: ὕπνος B 5 ὕπνος B: ὕπνον Ut 6 an τὸ? 7 μὲν deleverim 8 ἀνθρώπῳ om. B¹ 10 post δὲ add. ἕξει t Arist. cf. p. 237,13. 25 12 λεχθήσεται ἃ καὶ ἐπὶ τῶν t 14 μὲν om. t 17 ante συλλ. add. αἱ B: om. SUt post συλλ. add. καὶ Ut post ἐν add. τῷ t 19 ταύταις scripsi cf. p. 230,29. 30: τούτοις BSUt 20 πάλιν πρὸς αὐτὴν BS: inv. ord. Ut 26 ἀναγκαία exspectamus, at cf. sq. 28 τῶν SU: τῷ Bt 31 τῶν—τῶν U: τῷ—τῷ BSt 37 τὸ om. Ut

ταῦτα μέν, ἐπειδὴ ὑπεθέμεθα τὴν μείζονα ἐνδεχομένην τὴν δὲ ἐλάττονα LVIII[v]
ἀναγκαίαν. εἰ δὲ ἀνάπαλιν ὑποθώμεθα τὴν μὲν μείζονα ἀναγκαίαν τὴν 50
δὲ ἐλάττονα ἐνδεχομένην, μετὰ τὴν ἀντιστροφὴν τῆς μείζονος προτάσεως
οὐκέτι τῇ κατ' εὐθεῖαν δείξει ἀλλ' ὡς ἐπὶ τῶν καθόλου συζυγιῶν τῇ εἰς
5 ἀδύνατον ἀπαγωγῇ δείκνυται τὸ Β τῷ Α ἐνδεχομένως τινὶ ὑπάρχον, τουτέστιν
ὁ ἐλάττων τῷ μείζονι· καὶ οὕτω τὸ συμπέρασμα ἀντιστρέψαντες εὑρήσομεν
καὶ τὸ Α τινὶ τῶν Β ἐνδεχομένως ὑπάρχον, τουτέστι τὸν μείζονα τῷ
ἐλάττονι. οὕτω μὲν οὖν, εἰ ἀμφότεραι καταφατικαὶ εἶεν αἱ προτάσεις. εἰ
δὲ ἡ μὲν ἀποφατικὴ | ἡ δὲ καταφατική, τῆς μείζονος ἀποφατικῆς οὔσης LIX[r]
10 δηλονότι (εἰ γὰρ ἡ ἐλάττων ᾖ, ἀσυλλόγιστος γίνεται ἡ συζυγία), ἐὰν μὲν
ἡ μείζων καθόλου ᾖ, ὥσπερ εἶχον αἱ ἐξ ἀμφοτέρων καθόλου, κατὰ τὰ
αὐτὰ καὶ αὗται ἕξουσιν ἐν πᾶσιν. εἰ δὲ ἡ μείζων μερικὴ εἴη, ἴδωμεν τὴν
λέξιν ὡς ἔχει. ὁμοίως δὲ καὶ εἰ ὁ μὲν καθόλου τῶν ὅρων ὁ δὲ
ἐν μέρει πρὸς τὸ μέσον, τουτέστιν εἰ ἡ μὲν τῶν προτάσεων εἴη καθό-
15 λου ἡ δὲ μερική· διὰ γὰρ τῶν ὅρων τὰς προτάσεις ἐδήλωσεν· τῷ γὰρ 5
πρὸς τὸ μέσον τοὺς ἄκρους συμπλέξαι τοῦτο δεδήλωκεν. ἅμα δὲ καὶ
τὸ τρίτον ὑπέγραψε σχῆμα, ἐν ᾧ οἱ δύο ἄκροι τοῦ μέσου κατηγοροῦνται·
δεύτερον γὰρ ἐν ᾧ ὁ εἷς τῶν δύο κατηγορεῖται, ὡς καὶ πρῶτον ἐν ᾧ ὁ
μέσος θατέρῳ μὲν ὑπέκειτο, θατέρου δὲ κατηγορεῖτο.

20 p. 40ᵇ2 Καὶ ὅταν τὸ μὲν στερητικὸν ληφθῇ ἐνδεχόμενον τὸ δὲ
καταφατικόν, ἀναγκαῖον δὲ τὸ καταφατικόν, τοῦ ἐνδέχεσθαι. 10

Εἰ ἡ μείζων ἐνδεχομένη εἴη μερικὴ ἀποφατικὴ ἡ δὲ ἐλάττων καθό-
λου καταφατικὴ ἀναγκαία, τὸ συμπέρασμα γίνεται μερικὸν ἐνδεχόμενον,
ὁποῖον ἐγίνετο καὶ ὅτε ἦσαν ἀμφότεραι καθόλου. γίνεται δὲ διὰ τῆς εἰς ἀδύ-
25 νατον ἀπαγωγῆς· τὸ γὰρ ὁμοίως δὲ ἕξει οὐκ ἐπὶ τῶν δείξεων εἶπεν ἀλλ'
ἐπὶ τοῦ συμπεράσματος. τὸ γὰρ Α ἐνδεχέσθω μὴ παντὶ τῷ Γ ὑπάρχειν,
τὸ δὲ Β παντὶ τῷ Γ ἐξ ἀνάγκης· συνάγεται τὸ Α ἐνδέχεσθαι μὴ παντὶ 15
τῷ Β. εἰ γὰρ τοῦτο ψεῦδος, παντὶ ἐξ ἀνάγκης· ἀλλὰ μὴν τὸ Β παντὶ τῷ
Γ ἐξ ἀνάγκης· καὶ τὸ Α ἄρα παντὶ τῷ Γ ἐξ ἀνάγκης· ἀλλ' ὑπέκειτο μὴ
30 παντὶ ἐνδέχεσθαι. ὅροι λευκόν, ἄνθρωπος, ζῷον· λευκὸν ἐνδέχεται μὴ παντὶ
ἀνθρώπῳ, ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, καὶ λευκὸν ἐνδέχεται μὴ παντὶ
ζῴῳ. εἰ γὰρ τοῦτο ψεῦδος, τὸ παντὶ ἐξ ἀνάγκης ἀληθές· ἀλλὰ καὶ τὸ
ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· καὶ τὸ λευκὸν ἄρα παντὶ ἀνθρώπῳ ἐξ
ἀνάγκης, ὅπερ ἐστὶ ψεῦδος· ὑπέκειτο γὰρ ἐνδέχεσθαι μὴ παντί. δυνατὸν 20
35 δὲ καὶ διὰ τῆς ἐπὶ μέρους ἀντιστροφῆς δεῖξαι τὴν συζυγίαν συλλογιστικήν·
ἡ γὰρ μερικὴ ἐνδεχομένη ἀποφατικὴ ἀντιστρέφει εἰς τὴν μερικὴν κατα-
φατικήν. γίνεται τοίνυν ἡ ἀντιστροφὴ τὸν τρόπον τοῦτον· εἰ τὸ Α ἐνδέ-

---

1 μέν scripsi: δὲ BSUt 2 μὲν om. SU 4 τὴν κατ' U 6 τῷ SU: τῇ Bt
7 τὴν t 12 καὶ αὗται U εἴδωμεν t 15 τὸ γὰρ U 19 θατέρου Ut: θάτερον
compend. B 20 τὸ δὲ om. B 21 δὲ τὸ κτλ. om. U τοῦ ἐνδέχεσθαι om. Arist.
22 ἐνδεχομένη ex ἐνδεχομαίη corr. B 24 ἐγίνετο ex ἐγένετο corr. B 27 post ἀνάγκης
add. καὶ t 29 καὶ om. U 31 ἐξ ἀνάγκης ante ζῷον colloc. t 36 πρὸς S

χεται μὴ παντὶ τῷ Γ, καὶ τὸ Γ τινὶ τῶν Α ἐνδέχεται· ἀλλὰ καὶ τὸ Β LIXr παντὶ τῷ Γ ἐξ ἀνάγκης· καὶ τὸ Β ἄρα τινὶ τῶν Α ἐνδέχεται. ἀντιστραφέντος οὖν καὶ τοῦ συμπεράσματος εἰς τὴν μερικὴν ἀποφατικὴν ἐνδεχομένην καὶ τὸ Α οὐ παντὶ τῷ Β ἐνδέχεται, ὅπερ ἔδει δεῖξαι.

5 p. 40b3 Ὅταν δὲ τὸ στερητικὸν ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται τοῦ μὴ ὑπάρχειν· ὁ γὰρ αὐτὸς τρόπος ἔσται τῆς δείξεως καὶ καθόλου τῶν ὅρων ὄντων· ἀνάγκη γὰρ διὰ τοῦ πρώτου σχήματος τελειοῦσθαι τοὺς συλλογισμούς, ὥστε καθάπερ ἐν ἐκείνοις, καὶ ἐπὶ τούτων ἀναγκαῖον συμπίπτειν.

10 Ἐάν, φησί, τὴν στερητικὴν πρότασιν ἀναγκαίαν λάβωμεν τὴν δὲ καταφατικὴν ἐνδεχομένην, δῆλον ὅτι ἐναντίως τῇ πρὸ ταύτης συζυγίᾳ τὸ συμπέρασμα γίνεται μερικὸν ἀποφατικὸν ὑπάρχον. ἔστωσαν δὲ ὅροι ἄνθρωπος μὲν ἐπὶ τοῦ Α, περιπατητικὸν δὲ ἐπὶ τοῦ Β, ζῷον δ' ἐπὶ τοῦ Γ· ἄνθρωπος μὲν γὰρ οὐ παντὶ ζῴῳ ἐξ ἀνάγκης, περιπατητικὸν δὲ ἐνδέχεται παντὶ ζῴῳ, 15 καὶ ἄνθρωπος οὐ παντὶ ὑπάρχει περιπατητικῷ. συνάγεται δὲ καὶ ἐνδεχόμενον, οὐ τὸ κατὰ τὸν διορισμὸν ἀλλὰ τὸ συντρέχον τῷ ὑπάρχοντι. ὅτι γὰρ οὐ συνάγεται τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον, δῆλον ἐντεῦθεν. εἰ γὰρ τὸ Α ἐνδέχεται μὴ παντὶ τῷ Β ὑπάρχειν, καὶ τὸ Β ἐνδέχεται τινὶ τῶν Α ὑπάρχειν· ἀντιστρέφει γὰρ τὰ μερικὰ τοῦ κυρίως ἐνδεχομένου. 20 ὑπῆρχε δὲ καὶ τῷ Γ παντὶ τὸ Β· τὸ ἄρα Γ τινὶ τῶν Α ἐνδέχεται ὑπάρχειν. εἰ δὲ τοῦτο, καὶ τὸ Α τινὶ τῶν Γ ἐνδέχεται ὑπάρχειν. ὃ δὲ ἐνδέχεται τινί, ἐνδέχεται καὶ μηδενί· ἐνδέχεται ἄρα τὸ Α μηδενὶ τῶν Γ ὑπάρχειν. ὃ δὲ ἐνδέχεται μηδενί, ἐνδέχεται καὶ παντί· ἐνδέχεται γὰρ πάντα ἄνθρωπον καὶ λούεσθαι καὶ μὴ λούεσθαι· ἐνδέχεται ἄρα τὸ Α παντὶ 25 τῷ Γ ὑπάρχειν. ἀλλ' ὑπέκειτο καὶ μὴ παντὶ ἐξ ἀνάγκης· οὐκ ἄρα ἀληθὲς τὸ ἐνδεχομένως τὸ Α μὴ παντὶ τῷ Β ὑπάρχειν. ὁ δὲ Ἀλέξανδρος ἐνταῦθα τὴν μὲν ἀποφατικὴν ἀναγκαίαν καθόλου λαμβάνει, τὴν δὲ ἐνδεχομένην καταφατικὴν ἐπὶ μέρους· τὸ Α μηδενὶ τῶν Γ ὑπαρχέτω ἐξ ἀνάγκης, οἷον ἵππῳ μηδενὶ ἄνθρωπος, τὸ Β τινὶ τῶν Γ ἐνδεχέσθω ὑπάρχειν, οἷον 30 λευκὸν τινὶ ἵππῳ· συνάξεις τὸ Α, τουτέστι τὸν ἄνθρωπον, μὴ παντὶ λευκῷ ὑπάρχειν, οἷον τῷ ψιμυθίῳ, τῇ χιόνι. καὶ δῆλον ὡς οὐχὶ ἐνδεχομένως ἀλλ' ἁπλῶς οὐχ ὑπάρξει. τὸ δὲ αἴτιον τοῦ τοιαῦτα γίνεσθαι τὰ συμπεράσματα προσέθηκε τὸ 'καθάπερ ἐπὶ τῶν ἐξ ἀμφοτέρων καθόλου, οὕτω καὶ ἐπὶ τούτων διὰ τοῦ πρώτου σχήματος τελειοῦνται οἱ συλλογισμοί'.

6 ἔσται τρόπος U 7 post καθόλου add. καὶ μὴ καθόλου t Arist.: om. BU (A d f u et pr. BCd) 13 περιπατητικὸς U δ' t: om. BSU 14 δὲ St: om. BU 15 καὶ alt. om. S 18 μὴ παντὶ τῷ scripsi cf. vs. 15. 26: τινὶ τῶν (τῶ S) BSUt 19 post ᾱ add. μὴ SUt 20 τὸ β̄ παντὶ τῶ γ̄ B: τὸ γ' παντὶ τῶ β' St ἐνδέχεται ὑπάρχειν St: inv. ord. BU 22 α' St: γ̄ B: β̄ U γ̄ SUt: ᾱ B 24 καὶ prius om. BSt 25 ἀληθῶς U 26 post ἐνδεχομένως add. ὡς B¹, ὥστε corr. B² Ἀλέξανδρος] p. 253,6 sq. 28 τῶν BU: τῷ t 29 ἄνθρωπος t: ἄνθρωπον BU post τὸ add. δὲ t τῶ γ̄ U 30 συνάξει t 31 ψιμυθίω] μυ corr. U ante τῇ add. fort. recte ἢ t 32 ὑπάρχει B 34 κἀπὶ B τούτου U

τὸ δὲ ὥστε καθάπερ ἐν ἐκείνοις, καὶ ἐπὶ τούτων ἀναγκαῖον συμ- LIXr
πίπτειν, τοῦτ' ἔστιν 'ὁποῖα ἐπ' ἐκείνων ὑπῆρχε τὰ συμπεράσματα, τοι-
αῦτα καὶ ἐπὶ τούτων συμπίπτει'. 'ἐπιζητήσειε δ' ἄν τις', φησὶν ὁ Ἀλέξανδρος,
'εὐκαίρως ἐνταῦθα, τί δήποτε μὴ καὶ ἐν ταῖς ἐξ ὑπαρχούσης καὶ ἐνδεχο-
5 μένης μίξεσιν οὕτως εἶπε γίνεσθαι ἐν τούτῳ τῷ σχήματι τὰ συμπεράσματα,
ὡς καὶ ἐν τῷ πρώτῳ ἐδείκνυτο σχήματι'. φησὶν οὖν ὅτι τὰ νῦν λεγόμενα
κοινῶς ἐξακούειν δεῖ ἐπὶ πάντων ἁπλῶς· "ὡς γὰρ ἐν τῷ πρώτῳ σχήματι 30
σχοίη τὸ συμπέρασμα, οὕτω καὶ ἐν τοῖς ἄλλοις ἕξει σχήμασι τοῖς τὴν
ὁμοίαν συμπλοκὴν ἔχειν δεικνυμένοις διὰ τῆς ἀντιστροφῆς".

10 p. 40b8 Ὅταν δὲ τὸ στερητικὸν καθόλου ληφθὲν τεθῇ πρὸς τὸ
ἔλαττον ἄκρον, ἐὰν μὲν ἐνδεχόμενον, ἔσται συλλογισμὸς διὰ
τῆς ἀντιστροφῆς, ἐὰν δὲ ἀναγκαῖον, οὐκ ἔσται. δειχθήσεται δὲ
τὸν αὐτὸν τρόπον ὃν καὶ ἐν τοῖς καθόλου καὶ διὰ τῶν αὐτῶν ὅρων.

Τῆς μείζονος οὔσης μερικῆς καταφατικῆς ἀναγκαίας τῆς δὲ ἐλάττονος LIXv
15 καθόλου ἀποφατικῆς ἐνδεχομένης γίνεται συλλογισμὸς τοῦ ἐνδέχεσθαι μὴ
παντί· ἀντιστρεφομένης γὰρ τῆς μερικῆς καταφατικῆς πρὸς ἑαυτὴν γίνεται
τὸ πρῶτον σχῆμα. εἰ γὰρ τὸ Α τῶν Γ τινὶ ἐξ ἀνάγκης, καὶ τὸ Γ τινὶ
τῶν Α ἐξ ἀνάγκης· εἰ οὖν τὸ μὲν Β οὐδενὶ τῶν Γ ἐνδέχεται, τὸ δὲ Γ 5
τινὶ τῶν Α ἐξ ἀνάγκης, τὸ ἄρα Β ἐνδέχεται μὴ παντὶ τῷ Α. τούτου δὲ
20 τοῦ συμπεράσματος ἀντιστραφέντος καὶ τὸ Α ἐνδέχεται μὴ παντὶ τῷ Β·
ἀντιστρέφει γὰρ ἡ μερικὴ ἀποφατικὴ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου.
ἐὰν δὲ ἡ ἐλάττων καθόλου ἀποφατικὴ ἀναγκαία εἴη, δηλονότι τῆς μείζονος
μερικῆς οὔσης καταφατικῆς ἐνδεχομένης, οὐκ ἔσται συλλογισμός. ἀνάγεται
μὲν γὰρ εἰς τὸ πρῶτον σχῆμα τῆς μείζονος πάλιν ἀντιστρεφομένης πρὸς
25 ἑαυτήν· εἰ γὰρ τὸ Α ἐνδέχεται τινὶ τῶν Γ, καὶ τὸ Γ τινὶ τῶν Α ἐνδέ- 10
χεται. ἐπεὶ οὖν τὸ μὲν Β οὐδενὶ τῶν Γ ἐξ ἀνάγκης, τὸ δὲ Γ τινὶ τῶν
Α ἐνδέχεται, συνάγεται μὲν τὸ Β μὴ παντὶ τῷ Α ὑπάρχειν· οὐκ ἀντι-
στρεφούσης δὲ τῆς μερικῆς ἀποφατικῆς ὑπαρχούσης οὐ δυνατὸν ἀντιστρέψαι
τὸ συμπέρασμα· ἀντιστρεφομένου γὰρ συνάγεται καὶ τὸ παντὶ καὶ τὸ οὐδενί.
30 οἱ δὲ ὅροι τοῦ μὲν παντὶ ὑπάρχειν ὕπνος, ἵππος καὶ κοιμώμενος ἄνθρωπος·
ὕπνον γὰρ τινὶ ἵππῳ ἐνδέχεται ὑπάρχειν, ἄνθρωπος δὲ κοιμώμενος οὐδενὶ
ἵππῳ ἐξ ἀνάγκης· ἀντιστραφείσης οὖν τῆς μείζονος (ἐνδέχεται γὰρ ἵππον 15
τινὶ ὕπνῳ ὑπάρχειν, τουτέστιν ὑπνοῦντι) συνάγεται ὕπνος παντὶ κοιμωμένῳ
ἀνθρώπῳ. τοῦ δὲ μηδενί, εἰ ἀντὶ τοῦ κοιμωμένου ἀνθρώπου ἐγρηγορότα
35 ἄνθρωπον λάβωμεν· ὕπνος γὰρ οὐδενὶ ἐγρηγορότι ἀνθρώπῳ ὑπάρχει. ἀλλὰ

1 γὰρ conicio 2 ἐν ἐκείνοις t 3 ἐπιζητήσει Bt ὁ Ἀλέξανδρος] p. 253,17 sq.
4 εὐκαίρως om. U ταῖς t: τοῖς BU 5 γενέσθαι U 7. 8 γὰρ ἂν ἐν—ἔχῃ Alex.
8 ἑξῆς t 9 δεικνυομένοις B 12 post ἀναγκαῖον add. ἢ Ut 13 ὃν t Arist.:
om. BU 16 ἑαυτὸ B 17. 18 τινὶ τῶν α' St: inv. ord. BU 29 μηδενί t
30 καὶ om. S 31 ὕπνος μὲν γὰρ S ἐνδέχεται ὑπάρχειν SU: inv. ord. Bt
32 οὖν BSt: γὰρ U 34 post ἀνθρώπῳ add. ὑπάρχειν t οὐδενὶ U

κἂν ἡ ἐλάττων εἴη μερικὴ ἀποφατικὴ ἀναγκαία ἡ δὲ μείζων καθόλου LIXᵛ καταφατικὴ ἐνδεχομένη, οὐ γίνεται συλλογισμός· πάλιν γὰρ συνάγεται καὶ τὸ παντὶ καὶ τὸ οὐδενί. ὅροι δὲ πάλιν ἀρκέσουσιν οἱ αὐτοί· ὕπνον παντὶ ἵππῳ ὑπάρχειν ἐνδεχέσθω, καθεύδων ἄνθρωπος οὐ παντὶ ἵππῳ ἐξ ἀνάγκης, τῆς μερικῆς νῦν ἀποφατικῆς διὰ τὴν καθόλου ἀποφατικὴν ἀληθευούσης· συνάξεις οὖν 'ὕπνος παντὶ καθεύδοντι ἀνθρώπῳ'. εἰ δὲ τὸν ἐγρηγορότα λάβωμεν ἄνθρωπον, καὶ τὸ οὐδενὶ συναχθήσεται. ἰστέον δὲ ὅτι τῶν λοιπῶν ἀσυλλογίστων συζυγιῶν οὐκ ἐμνημόνευσε, λέγω δὲ τῶν ἐξ ἀμφοτέρων μερικῶν ἢ ἀπροσδιορίστων καταφατικῶν τε καὶ ἀποφατικῶν καὶ ἀνομοιοσχημόνων, ὡς ἤδη δήλων ὄντων τούτων.

p. 40ᵇ15 Δῆλον δὲ καὶ ὅτι πάντες ἀτελεῖς, καὶ ὅτι τελειοῦνται διὰ τοῦ πρώτου σχήματος.

Οἱ μὲν γὰρ δι' ἀντιστροφῆς τῶν προτάσεων ἐπὶ τοὺς συλλογιστικοὺς τρόπους τοῦ πρώτου σχήματος ἀνήγοντο, οἱ δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. τοῦτο δὲ ἦν ὃ καὶ ἐπὶ τοῦ δευτέρου σχήματος ἔλεγεν, ὅτι "τελειοῦνται διὰ τῶν προειρημένων σχημάτων" ἀντὶ τοῦ 'διὰ τοῦ προειρημένου σχήματος', τουτέστι τοῦ πρώτου, τῷ πληθυντικῷ χρησάμενος ἀντὶ τοῦ ἑνικοῦ, ὡς ἔθος. καὶ σχημάτων λέγοι ἂν τοὺς συλλογιστικοὺς τρόπους τοῦ πρώτου σχήματος, εἰς οὓς ἀνάγονται πᾶσαι αἱ συλλογιστικαὶ συζυγίαι καὶ τοῦ δευτέρου καὶ τοῦ τρίτου σχήματος.

p. 40ᵇ17 Ὅτι μὲν οὖν οἱ ἐν τούτοις τοῖς σχήμασι συλλογισμοὶ τελειοῦνται διὰ τῶν ἐν τῷ πρώτῳ σχήματι καθόλου συλλογισμῶν καὶ εἰς τούτους ἀνάγονται, δῆλον ἐκ τῶν εἰρημένων. ὅτι δ' ἁπλῶς πᾶς συλλογισμὸς οὕτως ἕξει, νῦν ἔσται φανερόν, ὅταν δειχθῇ πᾶς γινόμενος διὰ τούτων τινὸς τῶν σχημάτων.

Εἰπὼν περὶ τοῦ ὑπάρχοντος τρόπου καὶ τοῦ ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου καὶ τούτους μίξας, ἔτι τε ἀναγαγὼν τοὺς ἐκ τοῦ δευτέρου καὶ τρίτου σχήματος συλλογισμοὺς εἰς τοὺς ἐν τῷ πρώτῳ καὶ τοὺς ἐν τῷ πρώτῳ εἰς τοὺς δύο τοὺς καθόλου, νῦν βούλεται δεῖξαι ὅτι ἀδύνατον γενέσθαι συλλογισμόν, ὁμοίως ὑποθετικόν τε καὶ κατηγορικόν, εἰ μὴ δι' ἑνὸς τῶν τριῶν τούτων σχημάτων. ἵνα δὲ τοῦτο δείξῃ, μεταβαίνει ἐκ τῶν συλλογισμῶν ἐπὶ τὰ συλλογιστὰ ὡς σαφέστερα, καὶ προάγει τὸν λόγον ἐκ διαιρέσεως

1 post κἂν add. εἰ U εἴη ἐλάττων ἡ B 2 οὐ St: om. BU 4 ὑπάρχειν ἐνδεχέσθω Ut: inv. ord. B supra οὐ παντὶ scr. οὐδενὶ B¹ 5 post τῆς add. δὲ t νῦν om. B 6 παντὶ om. t 7 δὲ om. U 8 δὲ BSU: δὴ t 11 καὶ ὅτι prius B Arist.: inv. ord. Ut 13 διὰ τῆς U 15 ἔλεγεν] c. 19 p. 39ᵃ2 16 προειρημένων Arist.: εἰρημένων BUt (d) cf. p. 228,12 18 τοῦ συλλογιστικοῦ τρόπου B 19 post οὓς add. καὶ t 21 ἀρχὴ σὺν θεῷ τῶν ὑποθετικῶν συλλογισμῶν inscr. B οὖν om. B (d) 22 post τελ. add. τε Arist. (om. A d f u) τῷ om. U 24 ἔχει Arist., at cf. p. 247,33 25 πᾶς γινόμενος e παραγινόμενος corr. B² τινὸς om. U 27 ἀναγαγὼν scripsi: ἀνάγων BUt 31 δὲ superscr. U 32 ἀσυλλόγιστα U

οὕτως· πᾶν συλλογιστὸν ἢ καθόλου ἐστὶν ἢ κατὰ μέρος, καὶ τοῦτο ἢ κατα- LIXᵛ
φατικὸν ἢ ἀποφατικόν. εἶτα καὶ τὸν τρόπον τῆς δείξεως ἐκ διαιρέσεώς φησι·
πᾶν γὰρ τὸ δεικνύμενον, φησίν, ἢ δεικτικῶς δείκνυται, τουτέστι διὰ κατηγορι-
κῶν προτάσεων, ἢ ἐξ ὑποθέσεως. τούτων οὖν οὕτως ἐχόντων εἴπωμεν πρῶ-
5 τον περὶ τῶν δεικτικῶς δεικνυμένων. λαμβάνει δὲ πάλιν τὸ Α καὶ τὸ Β στοι- 45
χεῖα ἀντὶ τῶν συλλογιστικῶν ὅρων. ἐὰν οὖν, φησί, βουληθῶμεν δεῖξαι ὅτι τὸ
Α τῷ Β ὑπάρχει ἢ οὐχ ὑπάρχει, εἰ μὲν αὐτόθεν τοῦτο λάβοιμεν, ὅτι ⟨ὑπάρχει
ἢ ὅτι⟩ οὐχ ὑπάρχει, τὸ ἐν ἀρχῇ αἰτησόμεθα καὶ τὸ ζητούμενον ὡς ὁμολογού-
μενον ληψόμεθα. ἐπεὶ οὖν ἀνάγκη δι' ἑτέρων τὸ ζητούμενον [ὡς ὁμολο-
10 γούμενον] κατασκευάσαι, ἐὰν λάβωμεν ὅτι τὸ Α τῷ Γ ὑπάρχει ἢ τὸ Γ
ἑτέρῳ ἢ τῷ Α ἕτερον ἢ τὸ Β τινὶ ἄλλῳ, οὐδὲν ὁμοίως ἐσόμεθα δεδειχότες·
μίαν γὰρ πρότασιν εἰλήφαμεν· ὁ δὲ συλλογισμὸς ἐκ δύο τοὐλάχιστόν ἐστι 50
προτάσεων· "τεθέντων γάρ τινων ἕτερον τῶν κειμένων ἐξ ἀνάγκης συμ-
βαίνει". πάλιν εἰ δύο λάβωμεν προτάσεις, οἷον τὸ Α κατὰ τοῦ Γ καὶ
15 τὸ Γ κατ' ἄλλου τινός, ἢ καὶ κατὰ τοῦ Α ἄλλο, ἢ ὅσας ἂν ἄλλας λάβωμεν
συμπλεκομένας προτάσεις μὴ συναπτούσας δὲ πρὸς τὸ Β, συλλογισμὸν
μὲν ποιήσομεν, οὐ μὴν τοῦ προκειμένου. ἀνάγκη οὖν πᾶσα, εἰ δεῖ δει-
χθῆναι ὅτι τὸ Α τῷ Β ὑπάρχει ἢ οὐχ ὑπάρχει, λαβεῖν τινα κοινὸν ὅρον,
ὃς συνάψει πρὸς τὸ Β καὶ διαβιβάσει δι' ἑαυτοῦ ἀπὸ τοῦ Α | ἐπὶ τὸ Β LXʳ
20 ἢ τὴν κατηγορίαν ἢ τὴν ἀπόφασιν. ἀνάγκη οὖν τοῦτον τὸν κοινὸν ὅρον
ἢ τοῦ μὲν κατηγορεῖσθαι τῷ δὲ ὑποκεῖσθαι ἢ ἀμφοτέρων κατηγορεῖσθαι ἢ
ἀμφοτέροις ὑποκεῖσθαι. καὶ οὕτως τὰ τρία· ἀναφαίνεται σχήματα. οὕτω
μὲν οὖν δῆλον ὅτι πᾶς κατηγορικὸς συλλογισμὸς εἰς ἓν πάντως τῶν τριῶν
ἀνάγεται σχημάτων. οὐ μόνον δὲ οὗτοι, φησίν, ἀλλὰ καὶ οἱ ὑποθετικοὶ
25 πάντες εἰς ταῦτα ἀνάγονται τὰ σχήματα. λέγει δὲ τοῦτο, οὐχ ὅτι οἱ ὑπο- 5
θετικοὶ τὴν αὐτὴν ἀγωγὴν ἔχουσι τῶν ὅρων, ἀλλ' ὅτι λαμβανόντων ἡμῶν
τινα ὑπόθεσιν καὶ ἐκ ταύτης τὰ ἑξῆς κατασκευαζόντων (οἷον εἰ πρόνοια
ἔστιν, ἡ ψυχὴ ἀθάνατός ἐστιν· ἀλλὰ μὴν ἔστι πρόνοια· ἀθάνατος ἄρα ἡ
ψυχή) ἀνάγκη τὴν εἰλημμένην ὑπόθεσιν ὅτι ἀληθὴς ἀποδεῖξαι, ἐπεὶ οὐ
30 συγχωρήσει τὰ ἑξῆς συμπεραίνειν ὁ προσδιαλεγόμενος. πόθεν γὰρ δῆλον
ὅτι πρόνοια ἔστιν; εἰ τοίνυν βουλόμενοι δεῖξαι ταύτην τὴν ὑπόθεσιν δι'
ἑτέρας ὑποθέσεως αὐτὴν δείκνυμεν, ἀνάγκη κἀκείνην ἀποδεῖξαι, καὶ τοῦτο 10
ἐπὶ τοσοῦτον, ἕως ἂν εἰς ὡμολογημένον τι καταντήσωμεν, ὅπερ κατηγορι-
κῶς τὴν πρώτην ὑπόθεσιν δείκνυσιν. οἷον ὥσπερ καὶ ὁ Πλάτων ἐποίησεν
35 ἐν τῷ Φαίδωνι· βουλόμενος γὰρ δεῖξαι τὴν ψυχὴν ἀθάνατον λαμβάνει

3 post διὰ add. τῶν t 6 συλλογιστῶν Bt ὅρων om. t 7. 8 ὑπάρχει ἢ ὅτι addidi 8. 9 ὡμολογημένον t 9. 10 ὡς ὁμολογούμενον ut e vs. 8. 9 illata delevi: ὡς ὁμολογουμένων, sed ante τὸ ζ. U: ὡς ὡμολογημένον ibidem t 10. 11 ἢ τῷ γ'—τὸ α'—τῷ β' t 13 τεθέντων κτλ.] c. 1 p. 24ᵇ19 κειμένων B Arist.: προκειμένων Ut 15 καὶ om. t ἄλλας post λάβ. collocat t λάβωμεν e λάβοιμεν sive hoc ex illo corr. U: λάβοιμεν Bt 18 τῷ γ̄ B λαμβάνειν U (ν alt. superscr. U²) 19 τὸ utrobique B 21 τῷ μὲν U 26 τὴν αὐτὴν Bt: τοιαύτην U 30 περαίνειν U 32 an αὐ? cf. p. 208,20 33 ὁμολογούμενον pr. B 34 καὶ om. U 35 ἐν om. B ἐν τῷ Φαίδωνι] c. 15 p. 70 C sq.

δυνάμει ταύτην τὴν ὑπόθεσιν· εἰ αἱ ψυχαὶ ἡμῶν μετὰ θάνατον ἐν Ἅιδου, LXr
οὐκ ἄρα φθείρονται· ἀλλὰ μὴν τὸ πρῶτον· καὶ τὸ δεύτερον ἄρα. πόθεν
δ' ὅτι ἐν Ἅιδου αἱ ψυχαί; δι' ἑτέρας πάλιν ὑποθέσεως δείκνυσιν· εἰ τὸ
ζῶν καὶ τὸ τεθνηκὸς ἐξ ἀλλήλων εἰσίν, ἡμῶν αἱ ψυχαὶ ἐν Ἅιδου· ἀλλὰ
5 μὴν τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα. πόθεν ὅτι τὸ ζῶν καὶ τὸ τεθνηκὸς 15
ἐξ ἀλλήλων; λοιπὸν εἰς ὡμολογημένον καταντᾷ καὶ οὕτω κατηγορικῶς τὴν
ὑπόθεσιν εἰσάγει. τὸ γὰρ ζῶν καὶ τὸ τεθνηκὸς ἐναντία, τὰ ἐναντία ἐξ
ἀλλήλων· καὶ τὸ ζῶν ἄρα καὶ τὸ τεθνηκὸς ἐξ ἀλλήλων. ὅτι γὰρ τὰ ἐναντία
ἐξ ἀλλήλων, πρόδηλον· ἐκ γὰρ λευκοῦ μέλαν γίνεται καὶ ἐκ θερμοῦ ψυχρόν,
10 καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἐπειδὴ οὖν ἀνάγκη τὴν λαμβανομένην ὑπόθεσιν
ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς διὰ κατηγορικοῦ συλλογισμοῦ δείκνυσθαι,
πᾶς δὲ κατηγορικὸς συλλογισμὸς ὑφ' ἓν πίπτει τῶν τριῶν σχημάτων, εἰκότως 20
ἄρα, φησί, καὶ τοὺς ὑποθετικοὺς συλλογισμοὺς ὑπὸ τὰ αὐτὰ ἀνάγεσθαι σχήματα.

Ἐπειδὴ δὲ ὁ μὲν Ἀριστοτέλης τοσοῦτον εἰπὼν περὶ τῶν ὑποθετικῶν
15 ἐπαύσατο καὶ οὐδὲν ἡμᾶς περὶ αὐτῶν ἐδίδαξεν, ἀλλὰ τὴν πᾶσαν σπουδὴν
περὶ τοῦ κατηγορικοῦ συλλογισμοῦ ἐποιήσατο, ἅτε δὴ τούτων μὲν τελείων 25
ὄντων καὶ μηδενὸς ἔξωθεν δεομένων, τῶν δὲ ὑποθετικῶν δεομένων τῶν
κατηγορικῶν, εἴπωμεν ἡμεῖς βραχέα περὶ αὐτῶν. ἰστέον γὰρ ὅτι πολυ-
στίχους πραγματείας περὶ τούτων κατεβάλλοντο οἵ τε μαθηταὶ τοῦ Ἀριστο-
20 τέλους, οἱ περὶ Θεόφραστον καὶ Εὔδημον καὶ τοὺς ἄλλους, καὶ ἔτι οἱ Στωι-
κοί. εἴπωμεν οὖν τίσιν ὀνόμασιν ἐχρήσαντο ἔν τε τοῖς μέρεσιν αὐτῶν καὶ
τοῖς ὅλοις οἱ Περιπατητικοὶ καὶ οἱ Στωικοί, καὶ ἔτι τὴν διαίρεσιν αὐτῶν,
καὶ πόσοι τρόποι ἐκ ταύτης ἡμῖν ὑποθετικῶν συλλογισμῶν ἀναφαίνονται.

Ἰστέον οὖν ὅτι ἐφεξῆς τούτων ὄντων ἀλλήλοις, πραγμάτων, νοημάτων, 30
25 φωνῶν, πάλιν δ' αὖ καὶ τούτων ἐφεξῆς ὄντων ἐν τοῖς ὑποθετικοῖς συλλο-
γισμοῖς, ὡς γνωσόμεθα, τοῦ ἡγουμένου, τοῦ ἑπομένου, τοῦ συνημμένου,
τῆς προσλήψεως, τοῦ συμπεράσματος, οἱ μὲν Περιπατητικοὶ τῇ κοινῇ συνη-
θείᾳ κεχρημένοι τὰ μὲν πράγματα αὐτὸ τοῦτο πράγματα ὠνόμασαν, καὶ
τὰ νοήματα ὡσαύτως, ὁμοίως δὲ καὶ τὰς φωνάς, ἔτι τε τὸ ἡγούμενον ἐν
30 τοῖς ὑποθετικοῖς συλλογισμοῖς αὐτὸ τοῦτο ἡγούμενον, καὶ τὸ ἑπόμενον
ὡσαύτως. οἷον τὸ 'εἰ ἡμέρα ἐστί', τοῦτο ἡγούμενον· τὸ δὲ 'ἥλιος ὑπὲρ 35
γῆν', τοῦτο ἑπόμενον· ἕπεται γὰρ τῷ πρώτῳ τὸ δεύτερον. τὸ δὲ ὅλον
τοῦτο τὸ 'εἰ ἡμέρα ἐστίν, ἥλιος ὑπὲρ γῆν ἐστι', τοῦτο συνημμένον διὰ
τὸ συνῆφθαι ταῦτα ἀλλήλοις. τὸ δὲ 'ἀλλὰ μὴν ἡμέρα ἐστί', τοῦτο οἱ
35 Περιπατητικοὶ μετάληψιν καλοῦσι διὰ τὸ μεταλαμβάνεσθαι ἐκ δευτέρου·
ἤδη γὰρ ἐλήφθη ἐν τῷ ἡγουμένῳ. τὸ δὲ 'ἥλιος ἄρα ὑπὲρ γῆν', τοῦτο

---

3 δ' om. Ut δείκνυται U 4 τὸ om. t 5 post μὴν add. καὶ t ζῶον B itemque vs. 7. 8 τὸ quart. om. t 6 ὡμολογημένον t: ὁμολογούμενον BU cf. p. 241,33 7 post τὰ add. δ' t 8 καὶ prius om. U ὅτι—9 πρόδηλον, quae post ἀλλήλων prius colloc. BUt, huc transposui 13 συνάγεσθαι t 14 περὶ (τῶν add. t) ὑποθετικῶν συλλογισμῶν inser. SUt δὲ om. U 16 ἐποιήσατο συλλογισμοῦ U 18 εἴπομεν t itemque vs. 21 19 κατεβάλλοντο SUt: κατεβάλοντο B 20 post οἱ prius add. τε U 22 οἱ alt. om. t 26 ἑπομένου—συνημμένου BS: inv. ord. Ut 28 αὐτῶ τούτω U 29 τε om. B 31 τοῦτο BSt: τὸ U 33 τὸ om. SU 36 ἐν om. pr. B

συμπέρασμα. οὕτω μὲν οἱ Περιπατητικοί. οἱ δὲ Στωικοὶ καινοτέραν βαδί- LXr
ζοντες τὰ μὲν πράγματα τυγχάνοντα ὠνόμασαν, διότι τῶν πραγμάτων τυχεῖν
βουλόμεθα, τὰ δὲ νοήματα ἐκφορικά, διότι ἅπερ ἐν αὐτοῖς νοοῦμεν, ταῦτα
εἰς τὸ ἔξω προφέρομεν, τὰς δὲ φωνὰς λεκτά. τὸ δὲ ἡγούμενον καὶ αὐτοὶ
ἡγούμενον ἐκάλεσαν (κατὰ γὰρ τοῦτο μόνον συμφωνοῦσι τοῖς Περιπατητι-
κοῖς), τὸ δὲ ἑπόμενον λῆγον, τὸ δὲ συνημμένον τροπικόν, διότι τρεπόμεθα
ἐκ τοῦ ἡγουμένου εἰς τὸ ἑπόμενον, ⟨οἷον⟩ εἰ ἡμέρα ἐστίν, ἥλιος ὑπὲρ γῆν
ἐστι. τὴν μετάληψιν πρόσληψιν (καὶ ἔμεινε τοῦτο ἐν τῇ συνηθείᾳ), τὸ δὲ
συμπέρασμα ἐπιφοράν, διότι τοῖς ἄλλοις πᾶσιν ἐπιφέρεται. ταῦτα μὲν οὖν
τὰ ὀνόματα οἷς κέχρηνται οἱ Περιπατητικοὶ καὶ οἱ Στωικοί.

Λάβωμεν δὲ λοιπὸν ἐκ διαιρέσεως τὰ εἴδη τῶν ὑποθετικῶν συλλογι-
σμῶν. καθόλου πᾶς συλλογισμὸς ἢ τὸ ἔστιν ἢ τὸ οὐκ ἔστι δείκνυσιν, ἢ τίνος
ὄντος τί ἔστιν ἢ τί οὐκ ἔστιν, ἢ τίνος μὴ ὄντος τί ἔστιν ἢ τί οὐκ ἔστιν. οἱ
μὲν οὖν τίνος ὄντος ἢ μὴ ὄντος τί ἔστιν ἢ τί οὐκ ἔστι δεικνύντες, οὗτοι
καλοῦνται διὰ τριῶν καὶ δι' ὅλων ὑποθετικοί, δι' ὅλων μέν, ὅτι πᾶσαι αἱ
παραλαμβανόμεναι προτάσεις ὑποθετικαί, διὰ τριῶν δέ, ὅτι τοὐλάχιστον
οὗτοι οἱ συλλογισμοὶ διὰ τριῶν ὑποθέσεων περαίνονται. οἷον βούλομαι
δεῖξαι ὅτι τῇ ὑποθέσει τῇ λεγούσῃ ἀγαθὸν εἶναι τὸν θεὸν ἀκολουθεῖ τὸ
ἀίδιον εἶναι τὸ πᾶν. ἐπειδὴ οὖν δύο ταύτας ὑποθέσεις βούλομαι δεῖξαι
ἑπομένας ἀλλήλαις, πᾶσα ἀνάγκη δι' ἑτέρου τοῦτο κατασκευάσαι· ἐπεὶ εἰ
αὐτόθεν τοῦτο λάβωμεν, τὸ ἐν ἀρχῇ πάλιν αἰτησόμεθα. οὐκοῦν χρεία
ἡμῖν πλειόνων ἢ τοὐλάχιστον ἄλλης μιᾶς ὑποθέσεως, δι' ἧς μέσης ταύτας
ἀλλήλαις συνάψομεν· οἷον ἵνα εἴπωμεν οὕτως, εἰ ὁ θεὸς ἀγαθός, ἀγαθὰ ποιεῖ·
εἰ ἀγαθὰ ποιεῖ, ἀίδια ποιεῖ· εἰ ὁ θεὸς ἄρα | ἀγαθός, ἀίδια ποιεῖ. ὁμοίως LXv
ἔχουσι καὶ οἱ τίνος ὄντος τί οὐκ ἔστι κατασκευάζοντες· οἷον εἰ ὁ θεὸς ἀγαθός,
καὶ δίκαιος· εἰ δίκαιος, εἰσὶ τὰ ἐν Ἅιδου δικαιωτήρια· εἰ τοῦτο, οὐκ εἰσὶ θνηταὶ
αἱ τῶν ἀνθρώπων ψυχαί· εἰ ὁ θεὸς ἄρα ἀγαθός, οὐκ εἰσὶ θνηταὶ αἱ τῶν
ἀνθρώπων ψυχαί. ἔτι τίνος μὴ ὄντος τί ἔστιν ἢ τί οὐκ ἔστιν, οἷον ὡς
ἐπὶ τῶν αὐτῶν· εἰ μή ἐστιν ἄδικον τὸ θεῖον, εἰσὶ τὰ ἐν Ἅιδου δικαιωτήρια·
εἰ τοῦτο, ἀθάνατοι αἱ τῶν ἀνθρώπων ψυχαὶ καὶ οὐκ εἰσὶ θνηταί· εἰ μή
ἔστιν ἄρα ἄδικον τὸ θεῖον, ἀθάνατοί εἰσιν αἱ τῶν ἀνθρώπων ψυχαὶ καὶ
οὐκ εἰσὶ θνηταί. σκόπει δὲ ὅτι διὰ πάντων τούτων οὐ τὸ εἶναί τι ἁπλῶς
ἢ μὴ εἶναι κατεσκευάσαμεν, ἀλλ' ὅτι τῷδε ὑποτεθέντι τόδε ἀκολουθεῖ.
καὶ ἐπειδὴ οὐδαμοῦ τὸ εἶναι τόδε τι ἢ μὴ εἶναι ἀπεδείξαμεν, εἰκότως δι' ὅλου
ὑποθετικοὶ καλοῦνται· ἐφ' ὧν γὰρ εἶναί τι ἢ μὴ εἶναι κατασκευάζομεν,
δεόμεθα πάντως καὶ κατηγορικοῦ συλλογισμοῦ.

---

1 οὕτω St: τούτω B: τοῦτο U post μὲν add. οὖν t: om. BSU 2 μὲν om. U
3 αὐτοῖς BSU: ἑαυτοῖς t 5 τοῦτο γὰρ t 7 οἷον addidi ante ἥλιος add. ὁ Bt: om. SU
8 post τὴν add. fort. recte δὲ t: om. BSU 10 οἵ τε π. S 12 ἢ τὸ οὐκ ἔστι bis. semel del. B 14 ἔστιν ἢ τί οὐκ S: οὐκ ἔστιν ἢ τί BUt 21 λάβομεν t: λάβοιμεν b
23 εἴπομεν pr. B 23 et 24 ἀγαθοποιεῖ SUt, at cf. p. 244,19 sq. 25 οἱ BSt: εἰ U
25. 26 ἀγαθός—δίκαιος scripsi: inv. ord. BSUt 26 καὶ SU: om. Bt εἰ δίκαιος scripsi: εἰ ἀγαθός Bt: om. SU 27 αἱ ψυχαὶ τῶν ἀνθρώπων t 31 ἄρα om. pr. B
32 post τούτων add. ὅτι BUt: om. S 34 τόδε SUt: om. B 36 καὶ SUt: om. B

Τῶν οὖν εἶναί τι ἢ μὴ εἶναι δεικνύντων οἱ μὲν κατηγορικῶς δει- LXv
κνύουσιν οἱ δὲ ὑποθετικῶς. περὶ μὲν οὖν τῶν κατηγορικῶν συλλογι- 10
σμῶν ἱκανῶς εἴρηται· περὶ δὲ τῶν ὑποθετικῶν οὕτως εἴπωμεν. τῶν
τὸ εἶναι ἢ μὴ εἶναι κατασκευαζόντων ὑποθετικῶν οἱ μὲν ἀκολουθίαν
5 κατασκευάζουσιν οἱ δὲ διάζευξιν. καὶ τῶν ἀκολουθίαν κατασκευαζόντων
οἱ μὲν τῇ θέσει τοῦ ἡγουμένου κατασκευάζουσι τὸ ἑπόμενον, οἱ δὲ
τῇ ἀναιρέσει τοῦ ἑπομένου ἀναιροῦσι καὶ τὸ ἡγούμενον. οἷον εἰ τὸ
προσιὸν ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστιν· ἀλλὰ μὴν ἄνθρωπός ἐστι· καὶ
ζῷον ἄρα ἐστί. καὶ ἔστιν οὗτος πρῶτος τρόπος τῶν ὑποθετικῶν ὁ ἐξ
10 ἀκολουθίας τῇ θέσει τοῦ ἡγουμένου κατασκευάζων τὸ ἑπόμενον. πάλιν 15
εἰ τὸ προσιὸν ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστιν· ἀλλὰ μὴν οὐκ ἔστι ζῷον·
οὐδὲ ἄνθρωπος ἄρα ἐστίν. οὗτος δεύτερος τρόπος ὑποθετικὸς ὁ ἐξ ἀκο-
λουθίας τῇ ἀναιρέσει τοῦ ἑπομένου ἀναιρῶν καὶ τὸ ἡγούμενον. τί οὖν
οὗτοι διαφέρουσι τῶν δι' ὅλου ὑποθετικῶν, εἰ κἀκεῖνοι ἀκολουθίαν τινὰ
15 κατασκευάζουσι (δεικνύουσι γὰρ τίνος ὄντος τί ἔστιν ἢ τί οὐκ ἔστι) καὶ
οὗτοι ἀκολουθίαν λέγονται κατασκευάζειν; λέγω οὖν ὅτι ἐκεῖνοι μὲν τοσοῦτον
μόνον τῷδε ὑποτεθέντι ἀκολουθεῖν τόδε λέγουσιν, οὐ μέντοι γε καὶ αὐτὴν 20
τὴν ὑπόθεσιν κατασκευάζοντες ἀποφαίνονται 'οὐκοῦν καὶ τόδε ἐστίν'. οἷον
εἰ ὁ θεὸς ἀγαθός, ἀγαθὰ ποιεῖ· εἰ ἀγαθὰ ποιεῖ, ἀίδια ποιεῖ· εἰ ὁ θεὸς
20 ἄρα ἀγαθός, ἀίδια ποιεῖ· σκόπει γὰρ ὅτι οὐχ ἁπλῶς ἀποφαίνεται ὅτι ἀίδια
ποιεῖ, ἀλλ' 'εἰ ἀγαθός ἐστιν, ἀίδια ποιεῖ'. ἐπὶ δὲ τῶν τὸ εἶναι ἢ μὴ εἶναι
κατασκευαζόντων αὐτὴ ἡ τοῦ πράγματος ὕπαρξις κατασκευάζεται· λέγομεν
γὰρ 'εἰ ἀγαθός, ἀίδια ποιεῖ'· εἶτα τὴν πρόσληψιν λαβόντες τὸ 'ἀλλὰ μὴν
ἀγαθός' ἐπάγομεν τὸ 'ἀίδια ἄρα ποιεῖ'. ἀποφαινόμεθα οὖν ἐν τούτοις ὅτι 25
25 ἀίδιά ἐστι τὰ ὑπὸ θεοῦ γινόμενα. ὁμοίως ἔχει καὶ ἐπὶ τῶν ἄλλων, κἂν
διὰ πλειόνων ὑποθέσεων κατασκευάζωμεν. πάλιν οὖν λέγω ὅτι τῶν τὸ
εἶναι ἢ μὴ εἶναι κατασκευαζόντων συλλογισμῶν οἱ μὲν ἀκολουθίαν κατα-
σκευάζουσιν οἱ δὲ διάζευξιν, καὶ τῶν ἀκολουθίαν κατασκευαζόντων οἱ μὲν
τῇ θέσει τοῦ ἡγουμένου κατασκευάζουσι τὸ ἑπόμενον, οἱ δὲ τῇ ἀναιρέσει
30 τοῦ ἑπομένου ἀναιροῦσι καὶ τὸ ἡγούμενον. γίνονται οὖν οὗτοι δύο τρόποι
ὑποθετικῶν συλλογισμῶν, πρῶτός τε καὶ δεύτερος. τῶν δὲ διάζευξιν κατα-
σκευαζόντων οἱ μὲν λαμβάνονται ἐπὶ τῶν μὴ ἀντικειμένων, οἱ δὲ ἐπὶ τῶν 30
ἀντικειμένων, καὶ ἐπὶ τῶν ἀντικειμένων ἢ τῶν ἐμμέσων ἢ τῶν ἀμέσων, καὶ
τῶν ἐμμέσων ἢ τῶν ὡρισμένα ἐχόντων τὰ ἔμμεσα ἢ τῶν ἀόριστα, καὶ
35 ἐπὶ τῶν ἀμέσων ἢ τῶν κατὰ τὰ ἐναντία ἢ τῶν καθ' ἕξιν καὶ στέρησιν ἢ
τῶν κατὰ κατάφασιν καὶ ἀπόφασιν. διάζευξιν δὲ λέγομεν τὴν ἐν διαιρέσει

1 post εἶναι alt. add. τι U 4 ἀκολουθίαν S: ἀκολούθως Ut: ἀκολοῦθ B
8 ἀλλὰ—9 ἄρα ἐστί mrg. U ἐστι alt. om. U 12 ὑποθετικὸς BS: ὑποθετικῶν U: τῶν ὑποθετικῶν t 14 post κἀκεῖνοι add. γὰρ U 15 δείκνυσι Ut
16 οὗτοι BU: οὐκέτι St 17 οὐ SU: οἱ Bt 18 οἷον om. B 19 ἀγαθὸς bis, semel del. B post ἀγαθός add. ἐστιν U ἀγαθοποιεῖ utroque loco U
22 αὕτη t 25 post ὑπὸ add. τοῦ t ἔχει post ἄλλων collocat B
29 θέσει B: ὑποθέσει Ut 31 ὑποθετικοὶ U 35 ἀμέσων ex ἐμμέσων corr. B²
ἱκα B: ἢ Ut 36 διαιρέσεσιν B

ὑπόθεσιν, οἷον εἰ πᾶς ἀριθμὸς ἢ ἄρτιός ἐστιν ἢ περιττός, εἰ ἡ ψυχὴ ἢ LXv
θνητή ἐστιν ἢ ἀθάνατος, εἰ ἡ διάμετρος τῇ πλευρᾷ ἢ σύμμετρος ἢ ἀσύμ-
μετρος· ἔχουσι γὰρ πάντα ταῦτα τὸν 'ἢ' διαζευκτικὸν σύνδεσμον. τῶν οὖν
κατὰ διάζευξιν ὑποθετικῶν συλλογισμῶν τῶν ἢ ἐπὶ τῶν μὴ ἀντικειμένων
5 λαμβανομένων ἢ ἐπὶ τῶν ἐμμέσων ἀντικειμένων καὶ ἀόριστα ἐχόντων τὰ
ἔμμεσα οὐ δεῖ τὴν ὑπόθεσιν κατὰ διαίρεσιν προάγειν, οἷον ὅτι τὸ προσιὸν ἢ
ἄνθρωπος ἢ κύων ἢ ἵππος ἤ τι τοιοῦτόν ἐστι (ταῦτα δὲ οὐκ ἀντικείμενα), ἢ
πάλιν ὅτι τὸ προσιὸν ἢ λευκόν ἐστιν ἢ μέλαν ἢ φαιὸν ἢ ἐρυθρὸν ἤ τι τοιοῦτον·
ταῦτα δὲ ἔμμεσα ἀντικείμενα καὶ ἀόριστα. εἰ γὰρ κατὰ διαίρεσιν ποιησό-
10 μεθα τὴν ὑπόθεσιν, οὔτε τὴν διαίρεσιν ὑγιᾶ ποιήσομεν (οὐ γὰρ δυνατὸν
πᾶσιν ἐπεξελθεῖν ἢ τοῖς μὴ ἀντικειμένοις ἢ τοῖς ἐμμέσοις καὶ ἀορίστοις
ἀντικειμένοις), οὔτε δυνάμεθα ἐν τῷ συμπεράσματι τῇ τοῦ ἑνὸς ἀναιρέσει
τὸ λοιπὸν εἰσαγαγεῖν, ἀλλὰ δεῖ τῇ τῶν λοιπῶν πάντων ἀναιρέσει τὸ κατα-
λειπόμενον εἰσαγαγεῖν· τοῦτο δὲ ἀδύνατον· οὐ γὰρ δυνατὸν ἐξαριθμήσασθαι
15 πάντα. ⟨οἷον⟩ ἐὰν εἴπω ὅτι τὸ προσιὸν ἢ ἄνθρωπός ἐστιν ἢ ἵππος ἤ τι
τοιοῦτον, ψεύδομαι· δυνατὸν γὰρ ἄλλο τι εἶναι· ὁμοίως δὲ κἂν ὅτι τὸ προσιὸν
ἢ λευκόν ἐστιν ἢ μέλαν· δυνατὸν γὰρ ἢ φαιὸν ἢ ὠχρὸν εἶναι. ἀλλὰ καὶ τὸ
πᾶσιν ἐπεξελθεῖν ἢ χαλεπὸν ἢ ἀδύνατον. ἀλλ' οὐδὲ ἐν τῷ συμπεράσματι
δυνάμεθα εἰπεῖν οὕτως 'ἀλλὰ μὴν οὐχ ἵππος· ἄνθρωπος ἄρα'. πῶς οὖν
20 δεῖ ποιεῖν; δεῖ μετὰ ἀποφάσεως ποιεῖσθαι τὴν διαίρεσιν 'τὸ προσιὸν οὐχὶ
καὶ ἄνθρωπός ἐστι καὶ ἵππος ἐστίν' (ἀληθεύομεν γὰρ οὕτω λέγοντες), εἶτα
τῇ θέσει τοῦ ἑνὸς ἀναιρεῖν τὰ λοιπά· 'ἀλλὰ μὴν ἄνθρωπός ἐστιν· οὐκ
ἔστιν ἄρα ἵππος'. καὶ ἔστιν οὗτος τρίτος τρόπος τῶν ὑποθετικῶν ὁ ἐξ
ἀποφατικῆς συμπλοκῆς τῇ θέσει τοῦ ἑνὸς ἀναιρῶν τὰ λοιπά. ἐὰν δὲ
25 ἢ ἐπὶ τῶν ἀμέσων ἀντικειμένων ποιώμεθα τὴν διαίρεσιν ἢ ἐπὶ τῶν ἐμμέσων
ὡρισμένα δὲ ἐχόντων τὰ ἔμμεσα, γίνονται δύο τρόποι ὑποθετικῶν συλλο-
γισμῶν· ἀμέσων μὲν οἷον ὁ ἀριθμὸς ἢ περιττός ἐστιν ἢ ἄρτιος, ἡ διάμετρος
τῇ πλευρᾷ ἢ σύμμετρος ἢ ἀσύμμετρος· ἐμμέσων δὲ ὡρισμένων, ὡς ὅταν
λαβόντες δύο μεγέθη λέγωμεν ὅτι τόδε τῷδε ἢ ἴσον ἐστὶν ἢ μεῖζον ἢ
30 ἔλαττον, ἢ ἀγαθὸν ἢ κακὸν ἢ οὐδέτερον, τοῦ [δὲ] οὐδετέρου δυναμένου πάλιν
τέμνεσθαι ἢ εἰς τὸ δεκτικὸν ἀνὰ μέρος ἑκατέρου τῶν ἀντικει|μένων ἢ LXIr
εἰς τὸ μηδέτερον τούτων δεχόμενον. γίνονται οὖν, ὡς εἶπον, ἐκ τούτων
ἕτεροι δύο τρόποι ὑποθετικοί, τέταρτος μὲν ὁ ἐκ διαζευκτικοῦ τῇ θέσει
τοῦ ἑνὸς ἀναιρῶν τὸ λοιπὸν ἢ τὰ λοιπά, πέμπτος δὲ ὁ ἐκ διαζευκτικοῦ τῇ
35 ἀναιρέσει τοῦ ἑνὸς ἢ τῶν λοιπῶν τὸ καταλειπόμενον εἰσάγων. παράδειγμα
τοῦ μὲν πρώτου· ἡ πλευρὰ τῇ πλευρᾷ ἢ ἴση ἐστὶν ἢ μείζων ἢ ἐλάττων·
ἀλλὰ μὴν ἴση ἐστίν· οὐκ ἄρα μείζων οὐδὲ ἐλάττων. ὁ πέντε ἀριθμὸς ἢ

3 πάντα ταῦτα BU: inv. ord. S: ταῦτα t τὸν c τὸ corr. B 5 ἐν μέσω U
9 εἰ evan. U 10 ὑγιῆ S 11 ὑπεξελθεῖν t 14 εἰσάγειν S: συναγαγεῖν t
15 οἷον addidi τι om. pr. B 16 κἂν scripsi: καὶ BUt 21 καὶ prius om. B
γὰρ S: δὲ BUt 22 θέσει S: ὑποθέσει BUt, itemque vs. 24. 33 23 οὗτος ἐστὶ τρόπος
τρίτος B 24 ἀποφατικοῦ SU 25 ποιούμεθα B 29 τῷδε scripsi cf. vs. 36
p. 246,3. 7: τοῦδε BSUt 30 ἢ ἀγαθὸν bis, semel del. B δὲ delevi πάλιν
om. U 31 ἑκάτερον t: compend. B 32 ἐνδεχόμενον U ἐκ τούτων ὡς εἶπον St

περιττός ἐστιν ἢ ἄρτιος· ἀλλὰ μὴν περιττός· οὐκ ἄρα ἄρτιος. τοῦ δὲ LXIr
δευτέρου· ἡ διάμετρος τῇ πλευρᾷ ἢ σύμμετρός ἐστιν ἢ ἀσύμμετρος· ἀλλὰ
μὴν σύμμετρος οὐκ ἔστιν· ἀσύμμετρος ἄρα. ἡ πλευρὰ τῇ πλευρᾷ ἢ ἴση
ἐστὶν ἢ μείζων ἢ ἐλάττων· ἀλλὰ μὴν οὔτε μείζων οὔτε ἐλάττων· ἴση ἄρα.
5 ἰστέον δὲ ὅτι δυνάμεθα καὶ τὸν τέταρτον καὶ τὸν πέμπτον τρόπον ἐξ ἀπο-
φατικῆς συμπλοκῆς ποιῆσαι· λέγω γὰρ οὕτως, ὅτι ἡ διάμετρος τῇ πλευρᾷ
οὐχὶ καὶ σύμμετρος καὶ ἀσύμμετρος, καὶ ὅτι ἡ γραμμὴ τῇ γραμμῇ οὐκ 10
ἴση καὶ μείζων καὶ ἐλάττων. λέγω οὖν ὅτι, ὅταν οὕτω προφερώμεθα, τὸν
τρίτον τρόπον ποιοῦμεν· πλὴν περιττὸν τὸ οὕτω προφέρεσθαι, ὅταν ἐξὸν
10 ἢ διαιρετικῶς προφέρεσθαι. ὥστε διακέκριται μὲν οἱ ὑποθετικοὶ τρόποι
μάλιστα μὲν τοῖς πράγμασιν, ὡς ἤδη διείλομεν, ἔπειτα καὶ τῷ σχήματι
τῆς ἀγωγῆς αὐτῆς καὶ τῆς προφορᾶς. εἰ δὲ τοῦτο, οὐδὲν θαυμαστὸν καὶ
τὸν τέταρτον καὶ πέμπτον διῃρημένους οὐ πραγματωδῶς, ἐπειδὰν προ-
φερώμεθα μετὰ συμπλοκῆς ἀποφάσεως, τρίτον λέγειν εἶναι τρόπον. 15
15 Ἐπεὶ δέ φησι καὶ τοὺς διὰ τοῦ ἀδυνάτου συλλογισμοὺς μέρος εἶναι
τῶν ἐξ ὑποθέσεως, ἴδωμεν πῶς καὶ τοῦτό φησι. λέγομεν ὅτι καθόλου πᾶς
δι' ἀδυνάτου συλλογισμὸς διὰ δύο ὑποθετικῶν περαίνεται καὶ ἑνὸς κατηγορι-
κοῦ. καὶ ὁ μὲν πρῶτος τοῦ ἀδυνάτου τῶν ὑποθετικῶν ἐστιν ὁ πέμπτος, ὁ
δεύτερος δὲ τοῦ ἀδυνάτου ὁ δεύτερος τῶν ὑποθετικῶν. ἐπειδὴ οὖν πᾶς μὲν
20 δι' ἀδυνάτου ὑποθετικοῖς χρῆται συλλογισμοῖς, οὐ πᾶς δὲ ὑποθετικὸς δι'
ἀδυνάτου, διὰ τοῦτό φησι μέρος εἶναι τῶν ὑποθετικῶν τοὺς δι' ἀδυνάτου, 20
οἷον ὡς ἐπὶ παραδείγματος. βουλόμενος ὁ γεωμέτρης δεῖξαι, ὅτι ἡ διά-
μετρος τῇ πλευρᾷ ἀσύμμετρός ἐστι, κέχρηται τῷ δι' ἀδυνάτου συλλογισμῷ
οὕτως· ἡ διάμετρος, φησί, τῇ πλευρᾷ ἢ σύμμετρός ἐστιν ἢ ἀσύμμετρος·
25 ἀλλὰ μὴν οὐ σύμμετρος, ὡς δείξω· ἀσύμμετρος ἄρα. ἔστι δὲ οὗτος ὁ
πέμπτος τρόπος τῶν ὑποθετικῶν. πόθεν οὖν ὅτι οὐκ ἔστι σύμμετρος;
κατασκευάζει τοῦτο διὰ τοῦ δευτέρου τῶν ὑποθετικῶν· ἡ διάμετρος τῇ
πλευρᾷ εἰ ἔστι σύμμετρος, ὁ αὐτὸς ἀριθμὸς ἄρτιος ἔσται καὶ περιττός· 25
ἀλλὰ μὴν ὁ αὐτὸς ἀριθμὸς ἄρτιος καὶ περιττὸς οὐκ ἔστιν· οὐδὲ ἄρα ἡ διά-
30 μετρος τῇ πλευρᾷ σύμμετρος ἔσται. ταύτην οὖν λοιπὸν τὴν ὑπόθεσιν τὴν
ὅτι, εἰ ἔστιν ἡ διάμετρος τῇ πλευρᾷ σύμμετρος, ἀνάγκη τὸν αὐτὸν ⟨ἀριθμὸν⟩
ἄρτιον εἶναι καὶ περιττὸν διὰ κατηγορικοῦ συλλογισμοῦ κατασκευάζει. ὁμοίως
εἶχον καὶ οἱ ἐν τοῖς κατηγορικοῖς συλλογισμοῖς δι' ἀδυνάτου δεικνύμενοι,

5 τέταρτον BSt: δεύτερον U τρόπον post τέταρτον colloc. Bt 5. 6 ἀποφατικοῦ SU
7 οὐκ BUt: οὐχὶ καὶ S 9 ὅταν om. fort. recte S ἐξ' ὧν Ut 10 ἢ SU: fort. del.
μὲν om. t post τρόποι add. συλλογισμοί U 12 ἀγωγῆς SU: ἀναγωγῆς Bt
13 τὸν δεύτερον U διῃρημένους B: διῃρημένου St: διειρημένου U πραγματωδῶς S:
πραγματειωδῶς BUt 14 τρίτου λέγει U 15 διὰ τοῦ BU Arist.: δι' St
16 εἴδωμεν t λέγωμεν t 18 post πέμπτος add. δὲ U 18. 19 ὁ δεύτερος
δὲ S: καὶ ὁ δεύτερος BUt 19 post ὁ add. δὲ U 20 κέχρηται U 21 διὰ
τοῦ ἀ. B 22 δεῖξαι S, mrg. U: post βουλόμενος colloc. B: om. t 23 ἐστι BSt:
ἐστιν οὐ U post κέχρηται add. δὲ U 26 τῶν ὑποθετικῶν τρόπος B
29 ἔστιν corr. U: ἔσται BSt, pr. U 30 σύμμετρος ante τῇ colloc. B: ἀσύμμετρος
pr. U 31 ἀσύμμετρος B, pr. U ἀριθμὸν addidi cf. p. 251,18

οἷον ὡς οἱ ἐν δευτέρῳ σχήματι ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς LXI r
δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς· οὗτος γὰρ ἐπειδὴ δι' ἀντιστροφῆς οὐκ
ἐδύνατο δείκνυσθαι, ἐδείκνυτο διὰ τοῦ ἀδυνάτου. οἷον ἔστω τὸ Α παντὶ
μὲν τῷ Β ὑπάρχον, οὐ παντὶ δὲ τῷ Γ· ἐλέγομεν εἶναι τὸ συμπέρασμα ὅτι
τὸ Β οὐ παντὶ τῷ Γ ὑπάρχει. καὶ ἐδείκνυμεν τοῦτο διὰ τοῦ ἀδυνάτου οὕτως·
τὸ Β τῷ Γ ἢ παντὶ ὑπάρχει ἢ οὐ παντί· ἀλλὰ μὴν ψεῦδος τὸ παντί,
ὡς δείξω· ἀνάγκη ἄρα οὐ παντί· ταῦτα γὰρ δυνάμει ἐλέγομεν. οὗτος οὖν
πάλιν ἐστὶν ὁ πέμπτος τρόπος τῶν ὑποθετικῶν. πόθεν ὅτι ψεῦδος τὸ
παντὶ τῷ Γ τὸ Β ὑπάρχειν; ἐδείκνυμεν τοῦτο διὰ τοῦ δευτέρου τῶν ὑπο-
θετικῶν· εἰ τὸ Β παντὶ τῷ Γ ὑπάρχει, τὸ αὐτὸ τῷ αὐτῷ καὶ παντὶ καὶ
οὐ παντὶ ὑπάρξει· ἀλλὰ μὴν τὸ αὐτὸ τῷ αὐτῷ καὶ παντὶ καὶ μὴ παντὶ
ὑπάρχειν ἀδύνατον· οὐδὲ ἄρα τὸ Β τῷ Γ παντὶ ὑπάρξει. πόθεν οὖν ὅτι,
εἰ τὸ Β παντὶ τῷ Γ ὑπάρξει, ἔσται τινὶ τὸ αὐτὸ καὶ παντὶ καὶ οὐ παντί;
τοῦτο οὖν διὰ κατηγορικοῦ συλλογισμοῦ ἐδείκνυμεν· εἰ τὸ Β τῷ Γ παντὶ
ὑπάρχει, ἦν δὲ καὶ τὸ Α τῷ Β παντί, τὸ ἄρα Α παντὶ τῷ Γ ὑπάρξει·
ὑπέκειτο δὲ καὶ οὐ παντί· τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ παντὶ καὶ οὐ παντί.
δῆλον οὖν ἐκ τῶν εἰρημένων ὡς πᾶς ὁ διὰ τοῦ ἀδυνάτου συλλογισμὸς ἐκ
δύο ἐστὶν ὑποθετικῶν καὶ ἑνὸς κατηγορικοῦ. καὶ διὰ τοῦτο, ὅτι ἐκ δύο
ὑποθετικῶν ἐστι, μέρος εἶναι αὐτῶν φησι τοὺς διὰ τοῦ ἀδυνάτου.

Ἴσως τις ἀπορήσειε πρὸς ταῦτα· εἰ οἱ διὰ τοῦ ἀδυνάτου μέρος εἰσὶ τῶν
ὑποθετικῶν, τινὲς δὲ τῶν κατηγορικῶν διὰ τοῦ ἀδυνάτου ἐδείκνυντο, ἔσονται
καὶ τινὲς τῶν κατηγορικῶν μέρος τῶν ὑποθετικῶν. λέγομεν οὖν πρὸς τοῦτο
ὅτι, ὅσοι τῶν κατηγορικῶν διὰ τοῦ ἀδυνάτου ἐδείκνυντο, τὴν μὲν ἀγωγὴν κατη-
γορικοὶ ἦσαν, καὶ τὸ συμπέρασμα αὐτῶν οἴκοθεν ἔχει τὸ ἀναγκαῖον, κἂν
μὴ διὰ τοῦ ἀδυνάτου δείκνυται, καὶ διὰ τοῦτο οὐκ ἀναχθήσονται εἰς τοὺς
ὑποθετικούς. ἐπειδὴ δὲ ἡμῖν φανερὸν οὐκ ἔχουσι τὸ ἀναγκαῖον, τῇ εἰς
ἀδύνατον ἀπαγωγῇ τὸ φύσει αὐτῶν ἀναγκαῖον καὶ ἡμῖν φανεροῦται. αὕτη
οὖν ἡ διὰ τοῦ ἀδυνάτου ἀπαγωγὴ ἡ διὰ τὸ ἡμῖν ποιῆσαι προφανὲς τοῦ
συλλογισμοῦ τὸ ἀναγκαῖον παραληφθεῖσα, αὕτη ἐστὶ μέρος τῶν ὑποθετικῶν
συλλογισμῶν, οὐκ αὐτὸς ὁ κατηγορικὸς συλλογισμός, ὃς τὸ ἀναγκαῖον οὐκ
ἐκ τοῦ ἀδυνάτου ἀλλ' οἴκοθεν κέκτηται. ταῦτα μὲν οὖν περὶ τῶν ὑπο-
θετικῶν συλλογισμῶν. ἴδωμεν δὲ ἄνωθεν καὶ τοῦ φιλοσόφου τὴν λέξιν.

p. 40b 20 Ὅτι δὲ ἁπλῶς πᾶς συλλογισμὸς οὕτως ἕξει, νῦν ἔσται φανερόν.

Πᾶς, εἴτε κατηγορικὸς δηλονότι εἴτε ὑποθετικός.

---

1 ὡς οἱ BU: ὅσοι t 3 ἠδύνατο B ἐδείκνυτο] c. 5 p. 27a38 sq.
5 τῷ—τὸ U 6 ὑπῆρχεν B 8 post πόθεν add. οὖν t 13 post αὐτὸ add. τῷ αὐτῷ (e vs. 11 illata) Ut 14 ἐδεικνύομεν t post ἐδείκν. add. οὖν BU: om. t
16 ἄρα om. U 17 διὰ τοῦ Ut: δι' B 19 αὐτοὺς—τῶν U 20 post ἴσως add. δὲ t ἀπορήσει B 28 διὰ prius om. U 30 συλλογισμῶν om. Ut
32 εἴδωμεν t 35 ὑποθετικῶς t

p. 40b25 Δεικτικῶς ἢ ἐξ ὑποθέσεως.

Δεικτικῶς, τουτέστι κατηγορικῶς· αὐτόθεν γὰρ οὗτοι δεικνύουσι τὸ προκείμενον. διὸ καὶ ἡ μὲν κατηγορικὴ δεῖξις ἐπ' εὐθείας εἴρηται, ἡ δὲ διὰ τοῦ ἀδυνάτου, ἥτις μέρος ἐστὶ τῶν ἐξ ὑποθέσεως, κύκλῳ | δεῖξις LXIv ὡς ἐκ περιόδου τινὸς καὶ οὐκ αὐτόθεν δεικνύουσα τὸ προκείμενον.

p. 40b27 Τούτων γὰρ δειχθέντων φανερὸν ἔσται καὶ ἐπὶ τῶν εἰς τὸ ἀδύνατον καὶ ὅλως τῶν ἐξ ὑποθέσεως.

Ἐπειδὴ εἴπομεν ὅτι πᾶς ὑποθετικὸς συλλογισμὸς δεῖται πρὸς τὸ τελειωθῆναι κατηγορικοῦ συλλογισμοῦ, εἰκότως, ὅταν δειχθῇ πᾶς κατηγορικὸς συλλογισμὸς ὑπὸ τὰ τρία σχήματα ἀναγόμενος, δῆλον ἔσται καὶ περὶ τῶν ὑποθετικῶν οὕτως, ὅτι καὶ αὐτοὶ εἰς ταῦτα ἀναχθήσονται, εἴγε δέονται τῶν κατηγορικῶν, οἵτινες εἰς ταῦτα ἀνήγοντο.

p. 40b33 Εἰ δὲ κατὰ τοῦ Γ, τὸ δὲ Γ κατὰ μηδενός.

Ἵνα γένηται τὸ πρῶτον σχῆμα, εἴγε ἐλήφθη κατά τινος τὸ Γ.

p. 40b33 Μηδ' ἄλλο κατ' ἐκείνου.

Δηλονότι τοῦ Γ, ἵνα γένηται τὸ τρίτον σχῆμα· εἰ γὰρ ληφθέντος τοῦ Α κατὰ τοῦ Γ ἐλήφθη καὶ ἄλλο τι κατὰ τοῦ Γ, ἐγίνετο τὸ τρίτον σχῆμα.

p. 40b34 Μηδὲ κατὰ τοῦ Α ἕτερον.

Ἵνα γένηται πάλιν τὸ πρῶτον· εἰλήφαμεν γὰρ τὸ Α κατὰ τοῦ Γ· ἐὰν οὖν ληφθῇ καὶ ἄλλο τι κατὰ τοῦ Α, πάλιν γίνεται τὸ πρῶτον σχῆμα. πλὴν ἀνωτέρω μὲν ὡς μέσον ὅρον ἐλάμβανε τὸ Γ, ἐνταῦθα δὲ τὸ Α. τὸ δὲ Β παρῆκεν ὡς δῆλον ὂν καὶ ὡς διὰ τῶν ἄκρων καὶ τὸ μέσον περιλαβών.

p. 40b35 Τῷ γὰρ ἓν καθ' ἑνὸς ληφθῆναι οὐδὲν συμβαίνει ἐξ ἀνάγκης.

Μίαν πρότασιν, φησί, διὰ τούτων πάντων εἰλήφαμεν· ὁ δὲ συλλογισμὸς τοὐλάχιστον ἐκ δύο προτάσεών ἐστι. διὰ μιᾶς γὰρ προτάσεως οὐδὲν συμπεραίνεται· συλλογισμὸς γάρ ἐστι "λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι".

4 τοῦ ἐξ U · κυκλόδειξις, quod in mrg. corr. U 6 περὶ U 8 εἴπομεν] p. 241,25 sq. ὅτι om. U δείκνυται U 12 ταύτην U 14 ληφθῇ B 16. 17 εἰ γὰρ – σχῆμα post 21 τὸ α colloc. B 17 καὶ om. U 22 παραλαβών U 23 τῷ t Arist.: τὸ BU (C, pr. A) post ἑνὸς add. φησι BU 24 εἰλήφαμεν post πρότασιν colloc. B 25 δὲ Bt 26 λόγος κτλ.] c. 1 p. 24b18 27 ἐξ ἀνάγκης om. B τῷ ταῦτα] ταυτὸν U

p. 40b37 Ἐὰν μὲν οὖν ληφθῇ τὸ Α κατ' ἄλλου. LXIb

Ἰδοὺ ἐνταῦθα τὸ δεύτερον ἐσήμανε σχῆμα· εἰπὼν γὰρ τὴν μίαν πρότασιν ἄνω ἐν τῷ λαβεῖν τὸ Α κατὰ τοῦ Γ νῦν πάλιν τὸ Α κατ' ἄλλου τινὸς ὑποτίθεται, ὅπερ ἐστὶ τὸ δεύτερον σχῆμα.

p. 40b37 Ἢ ἄλλο κατὰ τοῦ Α.

Ἵνα ᾖ τὸ πρῶτον· ἔχομεν γὰρ τὸ Α κατὰ τοῦ Γ, καὶ νῦν κατὰ τοῦ Α ἕτερον.

p. 40b38 Ἢ κατὰ τοῦ Γ ἕτερον.

Ἵνα ᾖ τὸ τρίτον· κατὰ γὰρ τοῦ Γ καὶ τὸ Α καὶ ἄλλο τι· πανταχοῦ γὰρ τὸν μέσον ὅρον τὸ Γ ἔλαβε τοῦ τρίτου. ἔσται οὖν, φησί, διὰ τούτων συλλογισμός τις, οὐ μέντοι τοῦ προκειμένου· βουλόμεθα γὰρ δεῖξαι ὅτι τὸ Α τῷ Β ὑπάρχει, οὐκ ἄλλῳ τινὶ ἢ τούτῳ ἄλλο ἢ ἑτέρῳ ἕτερον.

p. 40b40 Οὐδ' ὅταν τὸ Γ ἑτέρῳ κἀκεῖνο ἄλλῳ καὶ τοῦτο ἑτέρῳ, μὴ συνάπτῃ δὲ πρὸς τὸ Β, οὐδ' οὕτως ἔσται πρὸς τὸ Β συλλογισμὸς τοῦ Α.

Κἂν πλείους, φησί, προτάσεις ἀλλήλαις ἐπισυνάπτωμεν, μηδεμία δὲ πρότασις ἔχῃ σχέσιν τινὰ πρὸς τὸ Β, οὐδέποτε ὅτι τὸ Α τῷ Β ὑπάρχει κατασκευάσομεν.

p. 41a4 Ὁ μὲν γὰρ συλλογισμὸς ἁπλῶς ἐκ προτάσεών ἐστιν, ὁ δὲ πρὸς τόδε συλλογισμὸς ἐκ τῶν πρὸς τόδε προτάσεων, ὁ δὲ τοῦδε πρὸς τόδε διὰ τῶν τοῦδε πρὸς τόδε προτάσεων.

Ὃ μὲν βούλεται λέγειν, τοῦτό ἐστιν, ὅτι ἁπλῶς μὲν πᾶς συλλογισμὸς διὰ προτάσεων περαίνεται, ἐὰν δὲ πρός τι ποιώμεθα τὸν συλλογισμόν * * * *. οἷον εἰ περὶ ψυχῆς βουλόμεθα δεῖξαι ἢ συλλογίσασθαι, οὐχ ὡρισμένως ὅτι ἀθάνατος ἢ ἀκίνητος ἢ ἀσώματος ἤ τι τοιοῦτον, ἀλλ' ἁπλῶς καὶ ἀδιορίστως ζητοῦμεν τίνα ποτέ ἐστι τὰ τῇ ψυχῇ ὑπάρχοντα, δεῖ τὰς προτάσεις τὰς παραλαμβανομένας συνάπτειν πρὸς τὴν ψυχήν, ἐπεὶ ⟨ἄλλως⟩ οὐκ ἔσται πρὸς αὐτὴν συλλογισμός· ἐὰν δὲ ζητῶμεν εἰ ἡ ψυχὴ ἀθάνατος, δεῖ τὰς προτάσεις συνάπτειν καὶ πρὸς τὴν ψυχὴν καὶ πρὸς τὸ ἀθάνατον· ἄλλως γὰρ οὐκ ἔσται συλλογισμὸς τοῦ ἀθανάτου πρὸς τὴν ψυχήν, εἰ μὴ

1 μὲν om. U 5 lemma om. U 9 τοῦ α U 10 γ̄ scripsi: ᾱ BUt fort. τοῦ τρίτου—τὸ γ̄ 11 γὰρ om. U 13 οὐδ' ὅταν] εἰ δὲ εἰ U κἀκεῖνω ἄλλο U 14 συνάπτει U 15 τοῦ ᾱ BUt (B f u): om. Arist. 16 πλείω Bt 17 ἔχῃ scripsi: ἔχει libri 18 κατασκευάσωμεν Bt 19 προτάσεως B 20 τόδε prius Bt Arist.: τοῦτο U(f) 22 post μὲν add. οὖν t 24 lac. indicavi: supple ἐκ τῶν πρὸς τόδε προτάσεων ποιούμεθα τὸν συλλογισμόν δεῖξαι ἢ om. U 26 ἀπροσδιορίστως U ζητῶμεν Bt 27 ἄλλως addidi

αἱ προτάσεις τοῦ συλλογισμοῦ καὶ πρὸς τὴν ψυχὴν καὶ πρὸς τὸ ἀθάνατον συνάπτουσι. καὶ ταῦτα μέν ἐστιν ἃ δοκεῖ λέγειν. ὅτι δὲ ἁπλῶς μὲν ὁ συλλογισμὸς ἐκ προτάσεων καὶ ὁ τοῦδε πρὸς τόδε συλλογισμός, φέρε εἰπεῖν τοῦ ἀθανάτου πρὸς τὴν ψυχήν, ἐκ τῶν συναπτουσῶν προτάσεων πρός τε | τὸ ἀθάνατον καὶ τὴν ψυχὴν γίνεται, δῆλον· ἐν γὰρ τῷ συλλογισμῷ LXIIʳ τῷ λέγοντι ὅτι ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, τὸ ἀεικίνητον ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατος, συνημμέναι εἰσὶν αἱ προτάσεις πρός τε τὸ ἀθάνατον καὶ τὴν ψυχήν. τὸ δὲ λέγειν, ὅτι ὁ πρὸς τοῦτο συλλογισμὸς ἐκ τῶν πρὸς τοῦτο προτάσεων, δοκεῖ περιττὸν καὶ ἀδιανόητον εἶναι· πᾶς γὰρ συλλογισμὸς τοῦδε πρὸς τόδε ἐστίν· οὐδεὶς γὰρ ἁπλῶς προτίθεται συλλογίσασθαι ψυχὴν ἢ λίθον ἤ τι τοιοῦτον, ἀλλά τι κατά τινος ἤ τι ἀπό τινος προτίθεται συλλογίσασθαι, ὅπερ αὐτὸς τοῦδε πρὸς τόδε φησίν. εἰ δὲ λέγοιεν ὅτι ἁπλῶς, ὅταν προτιθώμεθα τὰ ὑπάρχοντά τινι συλλογίσασθαι, οὐχ ὡρισάμεθα δὲ τοῦδε πρὸς τόδε, ἰστέον ὅτι ἡ μὲν πρόθεσις συλλογισμὸς οὐκ ἔστιν, αὐτὸς δὲ περὶ συλλογισμῶν φησιν. ὅταν δὲ συλλογισμὸς γένηται, πάντῃ τε καὶ πάντως τοῦδε πρὸς τόδε γίνεται, εἰ μή τις εἴποι ὅτι ὅταν εἰ ἔστι τι ἢ μὴ ἔστι ζητῶμεν· ἐνταῦθα γὰρ οὐ τί ὑπάρχει ἢ μὴ ὑπάρχει τῷ πράγματι ζητοῦμεν, ἀλλ' αὐτὸ ὅλως εἰ ἔστιν, εἰ μὴ πάλιν τις λέγοι ὅτι κἀνταῦθα τὸ 'ἔστιν' αὐτοῦ κατηγορεῖται, ὥστε ἔστι τοῦδε πρὸς τόδε. τοῦ 'ἔστι' γὰρ πρὸς τὴν ψυχήν. ὥστε οὐδαμῶς δύναται τοῦτο καθίστασθαι τὸ ῥητόν, εἰ μὴ ἐπὶ προτάσεώς τις αὐτὸ λάβοι. τοῦτο δὲ πάλιν οὐκ ἔσται ἀληθές· περὶ συλλογισμῶν γὰρ αὐτός φησιν.

p. 41ᵃ18 Ὁ γὰρ αὐτὸς λόγος καὶ εἰ διὰ πλειόνων συνάπτοι πρὸς τὸ Β· ταὐτὸν γὰρ ἔσται σχῆμα καὶ ἐπὶ τῶν πολλῶν.

Τουτέστι κἂν μὴ διὰ δύο μόνων προτάσεων περαίνηται ὁ συλλογισμὸς ἀλλὰ διὰ πλειόνων· πάλιν γάρ, φησίν, εἰ καὶ μὴ ἀμέσως, ἀλλὰ διά τινων ἄλλων πρὸς τὸν μέσον ὅρον τὰ ἄκρα συνάπτουσι. τοῦτο δὲ γίνεται, ὅταν αἱ παραλαμβανόμεναι προτάσεις κατασκευῶν δέωνται, ὡς ὅταν βουληθεὶς δεῖξαι, ὅτι ἡ ἡδονὴ οὐκ ἀγαθόν, δείξω διὰ μέσου τοῦ ἀτελοῦς· ἡ ἡδονὴ ἀτελές. τὸ δὲ ἀτελὲς οὐκ ἀγαθόν, ἡ ἡδονὴ ἄρα οὐκ ἀγαθόν. πόθεν ὅτι ἀτελὲς ἡ ἡδονή; πᾶσα ἡδονὴ κίνησις, ἡ δὲ κίνησις ἀτελής, ἡ ἡδονὴ ἄρα ἀτελής. πόθεν ὅτι τὸ ἀτελὲς οὐκ ἀγαθόν; τὸ ἀτελὲς ἢ τῷ ἐνδεῖν ἢ τῷ ἐκπεπτωκέναι τῆς ἑαυτοῦ τελειότητος ἀτελές ἐστιν, ἑκάτερον δὲ τούτων οὐκ ἀγαθόν, τὸ ἀτελὲς ἄρα οὐκ ἀγαθόν.

---

2 συνάπτωσι t 3 προτάσεων scripsi: προτάσεως libri 9 τούτων U 11 προστίθεται Bt τι alt. om. t 12 τίθεται B: προστίθεται t 13 προστιθέμεθα Bt 14 an ὁρισώμεθα? δὲ post ἰστέον colloc. B 15 περὶ συλλογισμοῦ U 16 immo γίνηται (post συλλ.) 17 εἴπῃ B ὅτι om. U ἢ Bt: εἰ U ζητοῦμεν U οὐ τί Bt: ὅτι U 18 ἀλλὰ τὸ B 19. 20 an ὥστε ἔσται? 20 τὸ b 22 ἔστιν U περὶ om. U 23 συλλογισμὸς B 24 τὸ αὐτὸ t(f) 25 μόνον U περαίνεται Ut 28 δέονται t 30 ἀτελής (ante τὸ) B 31 δὲ om. U 32 post ἀγαθόν add. καὶ t ἀτελὲς alt. Bt: ἀγαθὸν U 33 αὐτοῦ t

p. 41ᵃ21 Ὅτι μὲν οὖν οἱ δεικτικοὶ περαίνονται διὰ τῶν προειρη- LXIIr
μένων σχημάτων, φανερόν. ὅτι δὲ καὶ οἱ εἰς τὸ ἀδύνατον,
δῆλον ἔσται διὰ τούτων· πάντες γὰρ οἱ διὰ τοῦ ἀδυνάτου πε-
ραίνοντες τὸ μὲν ψεῦδος συλλογίζονται, τὸ δ' ἐξ ἀρχῆς ἐξ ὑπο-
5 θέσεως δεικνύουσιν, ὅταν ἀδύνατόν τι συμβαίνῃ τῆς ἀντιφάσεως
τεθείσης.

Ἐν τοῖς δι' ἀδυνάτου συλλογισμοῖς, ἐπεὶ μὴ ἔστιν αὐτόθεν τὸ προκεί-
μενον δεῖξαι, τίθεμεν αὐτὸ ὡς ἐν ὑποθέσει, εἶτα τὴν ἀντίφασιν τούτου ἢ
τὸ ἐναντίον λαβόντες, ἐὰν ἄμεσον ᾖ, τοῦτο κατηγορικῶς κατασκευάζομεν,
10 ἐπειδὴ πᾶσα ἀνάγκη ἐν τοῖς τοιούτοις τὸ ἕτερον ἀληθεύεσθαι ἢ ψεύδεσθαι,
καὶ εὑρηκότες τούτῳ ψεῦδος ἀκολουθοῦν ἅτε δὴ ψευδῶς εἰλημμένῳ τοῦτο
μὲν ἀπαγορεύομεν, τὴν δὲ ἐξ ἀρχῆς ὑπόθεσιν λοιπὸν ἐξ ἀνάγκης τίθεμεν.
τοῦτο οὖν ἐστιν ὅ φησιν, ὅτι ἀεὶ ἐν τοῖς δι' ἀδυνάτου συλλογισμοῖς τὸ
παραληφθὲν ψεῦδος εἰς κατασκευὴν τοῦ ἀδυνάτου τοῦτό ἐστι τὸ κατηγορι-
15 κῶς συλλογιζόμενον. οἷον, φησί, καὶ ὁ γεωμέτρης ἐποίησε· βουλόμενος
γὰρ δεῖξαι, ὅτι ἡ διάμετρος τῇ πλευρᾷ ἀσύμμετρός ἐστι, καὶ τοῦτο μὴ
ἔχων ἐξ εὐθείας δεῖξαι φησὶν ὅτι, εἰ μὴ τοῦτο, πάντως σύμμετρος ἔσται·
ἀλλὰ μὴν εἰ σύμμετρος εἴη, συμβαίνει τὸν αὐτὸν ἀριθμὸν ἄρτιον εἶναι καὶ
περιττόν· ⟨ὃ⟩ ὅτι ἀνάγκη συμβαίνειν τῆς διαμέτρου συμμέτρου τεθείσης,
20 ἐκβάλλει μὲν τοῦτο, εἰσάγει δὲ ἐξ ἀνάγκης τὴν ἐξ ἀρχῆς ὑπόθεσιν, λέγω
δὲ τὴν ὅτι ἀσύμμετρος· εἰ γὰρ ψεῦδος τὸ 'σύμμετρος', ἀνάγκη τὸ 'ἀσύμ-
μετρος' ἀληθὲς εἶναι. οὐκοῦν εἰ πᾶς δι' ἀδυνάτου τὸ ψεῦδος κατηγορικῶς
συλλογίζεται, οἱ δὲ κατηγορικοὶ πάντες ὑπὸ τὰ τρία ἀνήγοντο σχήματα,
εἰκότως καὶ οἱ δι' ἀδυνάτου ὑπὸ ταῦτα ἀναχθήσονται. εἴπομεν δὲ ἤδη
25 καὶ περὶ τῶν λοιπῶν ὑποθετικῶν, πῶς καὶ αὐτοὶ ὑπὸ ταῦτα ἀνάγονται.

Ὅταν ἀδύνατόν τι συμβαίνῃ τῆς ἀντιφάσεως τεθείσης. ἀντί-
φασιν λέγει τὸ ἕτερον μόριον τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ ἐξ ἀρχῆς
ὑποτεθέντι, οἷον τῷ ἀσυμμέτρῳ τὸ σύμμετρον.

p. 41ᵃ37 Ὡσαύτως δὲ καὶ οἱ ἄλλοι πάντες οἱ ἐξ ὑποθέσεως· ἐν
30 ἅπασι γὰρ ὁ μὲν συλλογισμὸς γίνεται πρὸς τὸ μεταλαμβανό-
μενον, τὸ δ' ἐξ ἀρχῆς περαίνεται δι' ὁμολογίας ἤ τινος ἄλλης
ὑποθέσεως·

Καὶ οἱ ἄλλοι, φησί, συλλογισμοὶ οἱ ὑποθετικοὶ ἀνάγονται ὑπὸ τὰ
τρία σχήματα, διότι πᾶσι τούτοις ἡ μετάληψις κατηγορικῶς συλλογίζεται,

1 post περαίνονται add. πάντες t(f) 7 ἐν τοῖς—συλλογισμοῖς lemmati continuant BU: om. t 19 ὃ addidi 20 ἐκβάλλει—εἰσάγει scripsi: ἐκβάλλειν (ἐκβάλειν Bt)—εἰσάγειν libri 21 δὴ t post γὰρ add. τοῦτο U σύμμετρον U 21. 22 ἀσύμμετρον Ut 22 τὸ ψεῦδος U: ψευδὴς B: ψεῦδος t 24 διὰ τοῦ U ἀναχθήσεται t εἴπομεν (εἴπωμεν t)] p. 241,21 sq. 26 post ὅταν add. δ' B συμβαίνει t 29 ἄλλοι om. B 33 συλλογισμοὶ οἱ scripsi: inv. ord. U: οἱ om. Bt ἐπὶ Ut

οἱ δὲ κατηγορικοὶ ὑπὸ τὰ τρία σχήματα. τινὲς ἐξέλαβον τὸ μετα- LXIIᵛ
λαμβανόμενον οὐ τὴν μετάληψιν· οὐ γὰρ ἀεί, φασίν, ἡ μετάληψις μόνη
δεῖται κατασκευῆς, ἀλλ' ἔστιν ὅτε καὶ τὸ συνημμένον, καὶ δεῖ καὶ τοῦτο
κατηγορικῶς συλλογίσασθαι. μεταλαμβανόμενον οὖν ἀκουστέον ἁπλῶς τὸ
5 κατασκευῆς δεόμενον, εἴτε τὸ συνημμένον εἴη εἴτε ἡ μετάληψις. πρὸς
τοῦτο δὲ καλῶς καὶ ὁ Ἀλέξανδρος, ὅτι κακῶς νενομίκασι· πρὸς γὰρ μόνην
τὴν μετάληψιν τοῦτο ἀκουστέον. ἐὰν γὰρ τὸ συνημμένον ἄδηλον ᾖ, οὐδὲ
ὅλως γενήσεται συλλογισμός· οὐ γὰρ συγχωρήσει ὁ προσδιαλεγόμενος. οἷον 5
εἰ κινεῖταί τι, τοῦτο καὶ ἵπταται· αὐτόθεν ἐνίσταται τῷ συνημμένῳ καὶ
10 οὐ συγχωρήσει προβῆναι τὸν συλλογισμόν. ἡ μέντοι μετάληψίς ἐστιν ἐν
τοῖς συλλογισμοῖς ἡ ἀεὶ κατασκευῆς δεομένη. οἷον εἰ ἄνθρωπος, καὶ ζῷον·
ἀλλὰ μὴν ἄνθρωπος· τοῦτο λοιπὸν κατασκευάσαι δεῖ· πόθεν γὰρ ὅτι
ἄνθρωπος; καὶ ὅτι τοῦτο ἀληθές ἐστι, δηλοῖ καὶ αὐτός, ὅτι τὸ ἐξ ἀρχῆς
περαίνεται δι' ὁμολογίας, ὅτι εἰ ἄνθρωπος, καὶ ζῷον. ὥστε τὸ μὲν
15 συνημμένον ὡς ὡμολογημένον λαμβάνει, τὴν δὲ μετάληψιν ὡς δεομένην 10
κατασκευῆς. τὸ δὲ ἤ τινος ἄλλης ὑποθέσεως, οἷον ὅτι τὸ ἑνὶ ὑπάρχον
τῶν ὁμοειδῶν, τοῦτο καὶ πᾶσιν. ὅπερ καὶ ὁ Ἀριστοτέλης ἐν τῷ Περὶ
οὐρανοῦ ἐποίησε· λαβὼν γὰρ ὅτι ὁμοειδῆ τὰ οὐράνια, ὅπερ, φησίν, ἐφ' ἑνὸς
εὑρήσομεν, τοῦτο καὶ ἐπὶ πάντων ὁμολογεῖν ἀνάγκη, καὶ οὕτως συλλογί-
20 ζεται σφαιρικὰ εἶναι πάντα ἐξ ἑνός, τῆς σελήνης, ἐκ τῶν φωτισμάτων
αὐτῆς τοῦτο συλλογισάμενος. διαφέρει δὲ τοῦτο τῶν ἄλλων· ἐκεῖ μὲν γὰρ
ἓν ἑνὶ λαμβάνομεν ἀκολουθοῦν· εἰ ἄνθρωπος, καὶ ζῷον· εἰ μὴ ζῷον, οὐδὲ 15
ἄνθρωπος· ἐνταῦθα δὲ ἑνὶ πολλά.

p. 41ᵇ6 Ἔτι δὲ ἐν ἅπαντι δεῖ κατηγορικόν τινα τῶν ὅρων εἶναι
25 καὶ τὸ καθόλου ὑπάρχειν.

Πάντα τὰ νῦν παραδιδόμενα θεωρήματα ἐκ τῶν προαποδεδειγμένων ἀνακεφαλαιοῦται· ἐκ γὰρ τῶν προειρημένων, φησί, δῆλον ἡμῖν ἔσται ὅτι δύο ἀποφατικαὶ ἢ δύο μερικαὶ οὐδέποτε ποιοῦσι συλλογισμόν.

p. 41ᵇ7 Ἄνευ γὰρ τοῦ καθόλου ἢ οὐκ ἔσται συλλογισμὸς ἢ οὐ
30 πρὸς τὸ προκείμενον, ἢ τὸ ἐξ ἀρχῆς αἰτήσεται.

Εἰ μὴ ἔχοιεν, φησίν, αἱ ἐν τῷ συλλογισμῷ παραλαμβανόμεναι προτάσεις καθολικὴν πρότασιν, ἀσυλλόγιστοι γίνονται· ἐὰν γὰρ βουληθεὶς δεῖξαι, ὅτι ἡ μουσικὴ ἡδονὴ σπουδαία ἐστίν, εἴπω 'ἡ μουσικὴ ἡδονὴ ἡδονή ἐστιν, 30
ἡ ἡδονὴ σπουδαία ἐστίν', εἶτα συμπεράνω, ἀσυλλογίστως περαίνω, ἐπειδὴ
35 αἱ ἀδιόριστοι ἰσοδυναμοῦσι ταῖς μερικαῖς.

1 post τινὲς addiderim δ' 1. 2 μεταλαμβανόμενον b: μεταλαμβάνον BUt 2 φασίν scripsi: φησιν libri 5 τὸ Ut: γὰρ B 6 καὶ om. U ὁ Ἀλέξ.] p. 262,5 sq. 7 εἴη B 9 τὸ συνημμένον B 16 εἰ U 17 ἐν τῇ t 17. 18 Περὶ οὐρ.] II 11 p. 291ᵇ17 sq. 24 δὲ BUt (m): τε Arist. ἅπασι t(m) 27 ἀνακεφαλαιοῦνται U 28 μερικὰ B 30 προκείμενον BUt (C f): κείμενον Arist. cf. p. 253,1 34 συμπεραίνω (post εἶτα) Ut συμπεραίνω (post ἀσ.) U 35 ἀόριστοι U

Ἢ οὐ πρὸς τὸ προκείμενον. τοῦτο οὕτως ἐξηγοῦνται· ἐάν, φησίν, LXIIv
εἰπὼν 'ἡ μουσικὴ ἡδονὴ ἡδονή ἐστιν' ἐπαγάγω 'πᾶσα ἡ ἀπὸ τοῦ γεω-
μετρεῖν ἡδονὴ σπουδαία ἐστιν', εἶτα συμπεράνω, οὐ τοῦ προκειμένου ἀλλ'
ἄλλου ἐποίησα τὸν συλλογισμόν. μερικὴν δέ, φασί, λέγομεν εἶναι καὶ ταύ-
5 την τὴν πρότασιν, ἐπειδὴ οὐ τὴν καθόλου ἡδονὴν παρελάβομεν ἀλλὰ τὴν
γεωμετρικήν, εἰ καὶ πᾶσαν. λέγω οὖν πρὸς τοῦτο ὅτι μάλιστα μὲν εἰπόντες 35
'ἡ μουσικὴ ἡδονὴ ἡδονὴ σπουδαία ἐστίν', εἶτα ἐπαγαγόντες 'πᾶσα ἡ γεω-
μετρικὴ ἡδονὴ σπουδαία ἐστίν' ἄλλον ἐποιήσαμεν τὸν μέσον ὅρον· δεῖ δὲ
τὸν αὐτὸν εἶναι ἐν ταῖς δύο προτάσεσιν. ἔπειτα εἰπόντες 'πᾶσα' καθόλου
10 ἐποιήσαμεν τὴν πρότασιν· ᾧ γὰρ ἂν τὸ 'πᾶς' πρόσκειται, καθόλου γίνεται·
πρὸς γὰρ τὸν προσδιορισμόν, οὐ τὸν ὅρον τὸ καθόλου, ὡς ὅταν εἴπω 'πᾶς
ἄνθρωπος'· διὰ γὰρ τὸ ζῷον οὐ καθόλου ὁ ἄνθρωπος. αὐτὸς δὲ ὑποθέ-
μενος τὰς δύο μερικὰς οὕτω τὰ ἑξῆς προσέθηκε καὶ οὐδὲ τῷ 'πᾶς' ἐχρήσατο.
ὥστε ψευδὴς ἡ τούτων ἐξήγησις. σκόπει οὖν μὴ οὕτως μᾶλλον ἀληθεύει 40
15 τις τὸ ῥητὸν ἐξηγούμενος. ἐάν, φησίν, εἴπω ὅτι ἡ μουσικὴ ἡδονὴ ἡδονή
ἐστιν, εἶτα προσθῶ τὴν ἑτέραν πρότασιν λέγων 'τὶς ἡδονὴ σπουδαία ἐστί'
(ταὐτὸν δέ ἐστι κἂν ἀπροσδιόριστον εἴπω, ἐπειδὴ τὸ μερικὸν ἀληθεύει ἐπὶ
τῆς ἡδονῆς), ταύτην τὴν τινὰ ἡδονὴν ἣν εἶπον σπουδαίαν εἶναι εἰ μὲν
ἄλλην τινὰ ἔλαβον, φέρε εἰπεῖν τὴν γεωμετρικήν, οὐδὲν ἔσται πρὸς τὸ προ-
20 κείμενον· οὐ γάρ, εἰ ἡ γεωμετρικὴ σπουδαία, παρὰ τοῦτο καὶ ἡ μουσική· 45
εἰ δὲ εἰπὼν τινὰ ἡδονὴν εἶναι σπουδαίαν ταύτην τὴν τινὰ ἐπὶ τῆς μουσι-
κῆς φέρω, ὡσανεὶ ἔλεγον 'ἡ μουσικὴ ἡδονὴ ἡδονή ἐστιν, ἡ μουσικὴ
ἡδονὴ σπουδαία ἐστί', τὸ ἐξ ἀρχῆς αἰτοῦμαι, τουτέστι τὸ ζητούμενον
ὁμολογούμενον ἔλαβον. δῆλος δὲ καὶ αὐτὸς ἐν τοῖς ἐπαγομένοις τοῦτο
25 βουλόμενος.

p. 41b 13 Μᾶλλον δὲ γίνεται φανερὸν ἐν τοῖς διαγράμμασιν, οἷον ὅτι τοῦ ἰσοσκελοῦς ἴσαι αἱ πρὸς τῇ βάσει.

Ὅτι, φησίν, ἀνάγκη πᾶσα ἐν τοῖς συλλο-
γισμοῖς εἶναί τινα καθόλου πρότασιν, φανερόν ἐστι
30 μᾶλλον ἐν ταῖς γεωμετρικαῖς μεθόδοις. ὅταν γὰρ
ὁ γεωμέτρης βούληται δεῖξαι ὅτι τοῦ ἰσοσκελοῦς
τριγώνου ἴσαι εἰσὶν αἱ πρὸς τῇ βάσει γωνίαι,
ἐπειδὴ τὸ ἰσοσκελὲς τρίγωνον γίνεται διὰ τῶν ἀγο-
μένων διὰ τοῦ κέντρου εὐθειῶν γινομένης τῆς
35 βάσεως δι' ἑτέρας εὐθείας ἀποτεμνούσης τμῆμά
τι τοῦ κύκλου, συλλογίζεται οὕτως· ἐπειδὴ παντὸς



1 κείμενον Ut Arist. 2 εἴπω Ut 3 συμπεραίνω Ut 6 post εἰπόντες add. ὅτι t 7 ἡδονὴ alt. t: om. BU 8 σπουδαία ἐστίν om. U ἄλλον U: ἀλλ' Bt post ὅρον add. ἄλλον Bt 10 πρόκειται B 13 τὸ πᾶς t 14 ἀληθεύη Ut 17 ἀπροσδιορίστως S 18 τῆς scripsi: τινὸς BSUt εἰπὼν, omisso ἣν Bt: εἴπω S εἰ—ἔλαβον (19) scripsi: τινα ἔλαβον. εἰ μὲν ἄλλην τινὰ libri 20 οὐ SUt: οὐδὲ B 21 ἐπὶ μουσικὴν S 24 post καὶ add. ὁ Bt 31 βούλεται B τοῦ om. U 34 διὰ om. B figuram e B dedi, ε, ζ addidi: litteras om. U: intra circulum scr., ε pro ζ t

ἡμικυκλίου αἱ | γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, ἡμικυκλίου δὲ γωνίαι ἡ LXIIIr
ΑΓ καὶ ἡ ΒΔ, ἴσαι ἄρα ἀλλήλαις ἔσονται· λαμβάνομεν γὰρ ἐνταῦθα οὐ
τοῦ ἰσοσκελοῦς τὰς γωνίας ἀλλὰ τῶν ἡμικυκλίων τῶν τεμνομένων διὰ τῶν
ΑΒ εὐθειῶν τῶν ἠγμένων διὰ τοῦ κέντρου. ἔχει οὖν τέως ὅτι τοῦ ἡμι-
5 κυκλίου ἴσαι εἰσὶν αἱ γωνίαι. ἐπειδὴ δὲ ἡ βάσις τοῦ τριγώνου τμῆμά τι
τοῦ κύκλου ἀποτέμνει, παντὸς δὲ τμήματος κύκλου ἴσαι εἰσὶν αἱ γωνίαι, 5
ἴσαι ἄρα εἰσὶ καὶ αἱ ΓΔ τοῦ τμήματος γωνίαι. οὐκοῦν ἴση μὲν ἡ ΑΓ τῇ
ΒΔ γωνίᾳ, τουτέστι τοῦ ἡμικυκλίου· ἴσαι δὲ καὶ αἱ τοῦ τμήματος, ἡ Γ
καὶ ἡ Δ. ἐὰν δὲ ἀπὸ ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενα ἴσα γίνεται·
10 ἀφαιρεθεῖσαι ἄρα ἐκ τῶν ΑΓ καὶ ΒΔ γωνιῶν ἴσων οὐσῶν αἱ Γ καὶ Δ
ἴσαι οὖσαι τὰ καταλειφθέντα ἴσα ἐποίησαν, λέγω δὲ τὴν Ε καὶ τὴν Ζ
γωνίαν, αἵπερ εἰσὶ τοῦ ἰσοπλεύρου γωνίαι. οὕτως οὖν ὁ γεωμέτρης
πανταχοῦ τὴν καθόλου παραλαμβάνει πρότασιν· ἄνευ δὲ ταύτης οὐκ ἂν 10
συλλογίσοιτο. εἰ γὰρ εἶπεν ὅτι ἴση ἐστὶν ἡ ΑΓ γωνία τῇ ΒΔ, μὴ εἰπὼν
15 ὅτι παντὸς ἡμικυκλίου ἴσαι εἰσὶν αἱ γωνίαι, οὐ συνελογίζετο, ἀλλὰ τὸ ἀμφί-
βολον ὡς ὁμολογούμενον ἐλάμβανεν. ὁμοίως δὲ καὶ εἰ τὴν Γ καὶ Δ ἔλεγεν
ἴσας εἶναι μὴ προστιθεὶς ὅτι καὶ παντὸς τμήματος ἴσαι εἰσὶν αἱ γωνίαι,
αἴτημα ἦν καὶ οὐ συλλογισμὸς τὸ λεγόμενον. καὶ πάλιν εἰ ἔλεγεν 'ἐπειδὴ
ἀφείλομεν ἀπὸ τῶν ΑΓ καὶ ΒΔ γωνιῶν τὴν Γ καὶ τὴν Δ, ἀνάγκη τὰς
20 καταλειπομένας Ε καὶ Ζ ἴσας εἶναι' μὴ προστιθεὶς ὅτι ἀπὸ δὲ τῶν ἴσων 15
ἐὰν ἴσα ἀφέλῃς, τὰ καταλειπόμενα ἴσα γίνεται, οὐκ ἂν συνελογίζετο.
δῆλον οὖν ἐκ τούτου ὅτι οὐκ ἂν γένοιτο συλλογισμὸς δίχα καθολικῆς
προτάσεως.

p. 41b23 Καὶ ὅτι τὸ μὲν καθόλου ἐξ ἁπάντων τῶν ὅρων καθόλου
25 δείκνυται.

Οὐδέποτε γὰρ γίνεται συμπέρασμα καθόλου μὴ πασῶν τῶν προτάσεων
καθόλου οὐσῶν.

p. 41b24 Τὸ δ' ἐν μέρει καὶ οὕτως κἀκείνως.

Δύναται γὰρ μερικὸν συνάγεσθαι συμπέρασμα καὶ μὴ οὐσῶν ἀμφο- 21
30 τέρων τῶν προτάσεων καθόλου, οἷά ἐστι τὰ ἐν πρώτῳ σχήματι μερικὰ
συμπεράσματα· ἐνδέχεται δὲ καὶ τὰς μὲν προτάσεις καθόλου εἶναι τὸ δὲ
συμπέρασμα μερικόν, ὥσπερ τὰ ἐν τρίτῳ σχήματι.

---

1 ἀλλήλαις εἰσίν om. t 2 καὶ ἡ B: καὶ U: om. t ἄρα om. t ἀλλήλοις B
3. 4 τοῦ ᾱ καὶ β̄ U 4 διὰ Bt: ὑπὸ U 5 δὲ om. Ut τι om. U
7 αἱ om. pr. B: ἡ U 8 ἴση δὲ καὶ ἡ U 10 ἐκ τῆς U β̄δ̄ BU: α'δ' t
11 οὖσαι ἴσαι B δὴ t 13 πανταχοῦ om. B λαμβάνει Ut δὲ om. U
14 συλλογισάμενος U 15 παντὶ t itemque vs. 17 ἰσά t συνελογίσατο U
16 post ὁμολογούμενον add. καὶ t 19 ἀπὸ τοῦ U 19. 20 τὰς καταλειπομένας—
ἴσας t: τὴν καταλειπομένην—ἴσην BU 21 ἐὰν ἀφέλης U: ἀφαιρεθέντα Bt
ἴσα γίνεται U: ἐστιν ἴσα Bt cf. vs. 9 οὐκ ἂν—22 τούτου om. Bt 24 καὶ B Arist.:
om. Ut τὸ om. U 30 post ἐν add. τῷ Ut 32 post ἐν add. δευτέρῳ καὶ U, τῷ t

p. 41b27 Δῆλον δὲ καὶ ὅτι ἐν ἅπαντι συλλογισμῷ ἢ ἀμφοτέρας LXIIIr ἢ τὴν ἑτέραν πρότασιν ἀνάγκη ὁμοίαν γίνεσθαι τῷ συμπε- 25 ράσματι.

Ἐὰν γὰρ ᾖ καταφατικὸν τὸ συμπέρασμα, ἀνάγκη ἀμφοτέρας εἶναι καταφατικάς, ἐὰν ἀποφατικόν, τὴν ἑτέραν, ἐὰν ἀναγκαῖον ἢ ἐνδεχόμενον ἢ ὑπάρχον, ἢ ἀμφοτέρας ἢ τὴν ἑτέραν.

p. 41b31 Ἐπισκέψασθαι δὲ δεῖ καὶ τὰς ἄλλας κατηγορίας.

Οἷον ἐὰν ἔνδοξον ᾖ τὸ συμπέρασμα ἢ ἀληθές, ἀνάγκη ἢ ἀμφοτέρας 30 ἢ τὴν μίαν εἶναι ὁμοίαν, ἐὰν δυνατόν, ἢ τὴν μίαν ἢ τὰς ἀμφοτέρας· ὁμοίως καὶ ἐὰν ψευδές, καὶ ἐπὶ πάντων τῶν τοιούτων. πλὴν διαλλάττει μόνον ἐπί τε τοῦ ἀληθοῦς καὶ ἐπὶ τοῦ δήλου, δυνατὸν ⟨ὂν⟩ ἀληθὲς συμπέρασμα ἐπὶ ψευδῶν προτάσεων συμπεραν θῆναι· οἷον ἐὰν εἴπω ὅτι ὁ ἄνθρωπος ποιότης, ἡ ποιότης οὐσία, συνάγεται ὅτι ὁ ἄνθρωπος οὐσία, καὶ ἔστιν ἀληθές· αἱ μέντοι προτάσεις ἀμφότεραί εἰσι ψευδεῖς. καὶ ἐπὶ τοῦ δήλου δὲ οὐ πάντως ἀνάγκη καὶ τὰς προτάσεις δήλας εἶναι. οἷόν ἐστι δῆλον 35 ὅτι ἔστιν ἔκλειψις· ἐὰν οὖν δέοι τοῦτο συλλογίσασθαι, λέγω οὕτως· ἡ σελήνη μὴ ἔχουσα οἰκεῖον τὸ φῶς ἐμπίπτει εἰς τὸ σκίασμα τῆς γῆς· πᾶν τὸ ἐμπῖπτον εἰς τὸ σκίασμα τῆς γῆς, εἰ μὴ ἔχοι οἰκεῖον φῶς, ἐκλιμπάνει· ἡ σελήνη ἄρα ἐκλιμπάνει. εἰσὶ δὲ ἐν τούτῳ τῷ συλλογισμῷ αἱ μὲν προτάσεις ἄδηλοι τοῖς μὴ δι' ἀστρονομίας ἠγμένοις, τὸ μέντοι συμπέρασμα δῆλον· τῇ αἰσθήσει γὰρ ἔχει τὸ πιστόν. φασὶ δὲ ὅτι οὐ πάντως οὐδὲ τὸ ἄδηλον συμπέρασμα ἀδήλους ἔχει τὰς προτάσεις· εἰ γὰρ δέοι τὸ ἄδηλον 40 δι' ἀδήλων δείκνυσθαι, πῶς ἂν εἴη δεδειγμένον; ζητητέον δὲ τούτου παράδειγμα.

25 p. 41b32 Φανερὸν δὲ καὶ ἁπλῶς πότε ἔσται καὶ πότε οὐκ ἔσται συλλογισμός, καὶ πότε δυνατὸς καὶ πότε τέλειος.

Δῆλον ὅτι τέλειοι μὲν οἱ ἐν πρώτῳ σχήματι, ἀτελεῖς δὲ οἱ ἐν δευ- 45 τέρῳ καὶ τρίτῳ, διότι δέονται ἀντιστροφῆς· οὗς διὰ τοῦ δυνατοῦ σημαίνει· δυνάμει γὰρ ἔχουσι τὴν τελειότητα καὶ οὐκ ἐνεργείᾳ. ἐὰν δὲ προσκέηται 30 ἔν τισιν ἀντιγράφοις τὸ ἀτελές, τὸ μὲν ἀτελὲς νοήσομεν ὁμοίως καὶ ἐπὶ τῶν ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι, ἐπειδὴ καὶ αὐτὸς ἀτελεῖς αὐτοὺς ἐκάλεσε, δυνατοὺς δὲ λέξομεν συλλογισμοὺς τοὺς δεομένους ἔξωθεν προ-

1 ὅτι καὶ U(f) 2 ἀνάγκη ὁμοίαν BU: inv. ord. t Arist. 6 ἢ prius om. Bt 8 ἢ prius om. Ut 10 ὁμοίως scripsi: ὁμοίας BUt καὶ prius om. B 11 τε τῆς B ὂν addidi 15 ἀδήλου U οὐ πάντως U: ἀπάντως B: ἀπάντως t δῆλον Bt: ἐπὶ τοῦ δήλου U 17 ἐμπίπτεις U σκίαμα B πᾶν—18 γῆς om. U 18 ἔχει B ἐκλιμπάνοι t 23 ἀδήλου B 25 ἁπλῶς om. U 26 συλλογισμός om. U 27 μὲν om. U post ἐν alt. add. τῶ U 30 νοήσωμεν t καὶ om. U 31 ἀτελεῖς Ut: δυνατοὺς B 32 ἐκάλεσε] c. 5 p. 28a4 c. 6 p. 29a15

τάσεως εἰς τελείωσιν τοῦ δηλουμένου. οἷον τί λέγω; βουλόμενος δεῖξαι ὅτι ἡ ψυχὴ ἀθάνατος λέγω οὕτως, ὅτι ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατος. λέγω τοῦτον τὸν συλλογισμὸν δυνατὸν εἶναι, | διότι ἐλλείπει ἔξωθεν πρότασις εἰς τελείαν δεῖξιν τοῦ δηλου- LXIIIv
5 μένου, δυνάμει μέντοι ἔνεστιν ἡ ἐλλείπουσα πρότασις ἐν τῷ συλλογισμῷ· ἐλλείπει μὲν γὰρ ὅτι τὸ αὐτοκίνητον ἀεικίνητον, τὸ ἀεικίνητον ἐξ ἀνάγκης ἀθάνατον· δυνάμει μέντοι ἐν τῷ αὐτοκινήτῳ ἐστὶ καὶ τὸ ἀεικίνητον· πᾶν γὰρ αὐτοκίνητον ἀεικίνητόν ἐστι.

p. 41b36 Δῆλον δὲ καὶ ὅτι πᾶσα ἀπόδειξις ἔσται διὰ τριῶν ὅρων καὶ οὐ πλειόνων, ἐὰν μὴ δι' ἄλλων καὶ ἄλλων τὸ αὐτὸ συμπέρασμα γίνηται.

Τὸ προκείμενον δῆλον· βούλεται γὰρ δεῖξαι ὅτι πᾶς συλλογισμὸς διὰ τριῶν ὅρων μόνων καὶ οὐ πλειόνων γίνεται. βουλόμεθα γὰρ ἐν τῷ συλλογίζεσθαι τὶ ὑπάρχον τινὶ ἢ μὴ ὑπάρχον δεικνύναι· ἔχομεν οὖν τούτους
15 δύο ὅρους. δείκνυμεν δὲ τὴν τούτων σχέσιν πρὸς ἄλληλα διά τινος ἀλλοτρίου ὅρου σχέσιν ἔχοντος πρὸς ἄμφω τούτους καὶ δι' ἑαυτοῦ ἢ συνάγοντος ἢ διιστῶντος τοὺς ἄκρους. ὥστε τριῶν ὅρων μόνων χρεία ἡμῖν ἐν τῷ συλλογισμῷ, εἰ μή, φησί, δι' ἄλλων καὶ ἄλλων τὸ αὐτὸ συμπέρασμα γίνεται, τουτέστιν εἰ μὴ διαφόροις ἐπιχειρήσεσι τὸ αὐτὸ βουλόμεθα
20 κατασκευάσαι· τότε γὰρ κεχρήμεθα ἄλλῳ τινὶ μέσῳ ὅρῳ. οἷον βουλόμενος ὁ Πλάτων κατασκευάσαι ὅτι ἀθάνατος ἡ ψυχή, ποτὲ μὲν κατασκευάζει διὰ μέσου τοῦ ἀεικινήτου, ὥσπερ ἐν τῷ Φαίδρῳ, ποτὲ δὲ διὰ τοῦ αὐτὸ τὸ ζῆν ἐπιφέρειν τοῖς σώμασιν, ὡς ἐν τῷ Φαίδωνι, ποτὲ δὲ διὰ τοῦ ὑπὸ τῆς ἰδίας κακίας μὴ φθείρεσθαι, ὡς ἐν τῷ Κρίτωνι. εἰ γὰρ πᾶν τὸ φθειρόμενον
25 ὑπὸ τῆς ἰδίας φθείρεται κακίας, ἡ δὲ ψυχὴ ὑπὸ τῆς ἰδίας κακίας οὐ φθείρεται, ἡ ψυχὴ ἄρα οὐ φθείρεται· τὸ σχῆμα δεύτερον. πάλιν ὅτι ὁ ἄνθρωπος οὐσία κατασκευάζομεν ποτὲ μὲν διὰ μέσου τοῦ ζῴου, ποτὲ δὲ διὰ μέσου τοῦ ἐμψύχου· πᾶς ἄνθρωπος ζῷον, πᾶν ζῷον οὐσία, πᾶς ἄνθρωπος οὐσία· καὶ ἐπὶ τοῦ ἑτέρου ὁμοίως. ὅταν δὲ τοῦτο κατασκευάζωμεν, ἓν μὲν
30 συνάγομεν συμπέρασμα, οὐχ ἕνα μέντοι συλλογισμόν· διαφόρους γὰρ τοὺς μέσους παρειλήφαμεν καὶ διαφόρους διὰ τοῦτο προτάσεις· οὐδὲ γὰρ ταὐτόν ἐστι τὸ εἰπεῖν ὅτι ὁ ἄνθρωπος ἔμψυχος τῷ εἰπεῖν ὅτι ὁ ἄνθρωπος ζῷον· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὥστε πλείονες οἱ συλλογισμοί. ὁμοίως δέ, φησί, καὶ ἐὰν τῷ αὐτῷ μὲν μέσῳ ὅρῳ χρησώμεθα μὴ τὴν αὐτὴν μέντοι

7 καὶ om. U 8 post γὰρ add. τὸ BU: om. t 9 ὅτι καὶ U 10 καὶ ἄλλων B Arist.: om. Ut 11 γίνηται Arist.: γίνεται B: γένηται Ut cf. vs. 19 12 γὰρ om. U 14 post τι add. καὶ U τινὶ scripsi: τι BU: om. t 17 ὅρων om. U post ἡμῖν add. ὅρων B 19 γίνηται t ἐπιχειρήμασι B 21 κατασκευάζομεν U 22 ante μέσου add. τοῦ t ἐν τῷ Φαίδρῳ] c. 24 p. 245 C sq. 22. 23 αὐτῶ τοῦ (τῷ t) εἶναι ζῶω ἐπιφέρει Ut 23 ὥσπερ B ἐν τῷ Φαίδωνι] c. 54 p. 105 D sq. 24 ἐν τῶ Κρίτωνι (κρείττονι t)] immo Respubl. X 9 p. 608 D sq. 26 ὁ om. t 28 post πᾶς alt. add. ἄρα t 29 κατασκευάζομεν t 32 ὅτι prius Bt: τί U τὸ (post ἔμψ.) U

σχέσιν ἔχοντι πρὸς τὰ ἄκρα, τὸ αὐτὸ μὲν πάλιν συμπεραίνομεν, δι' ἄλλων LXIIIᵛ μέντοι καὶ ἄλλων, καὶ πάλιν διὰ τοῦτο οὐχ εἷς ὁ συλλογισμὸς ἀλλὰ πλείους διὰ τὴν διάφορον τοῦ μέσου σχέσιν· οὗτος γάρ ἐστιν ὁ τὸ κῦρος ἔχων ἐν τοῖς συλλογισμοῖς. οἷον ὅταν τὸ μερικὸν ἀποφατικὸν δεικνύωμεν καὶ διὰ τοῦ πρώτου καὶ διὰ τοῦ δευτέρου καὶ διὰ τοῦ τρίτου σχήματος· καὶ ἐνταῦθα γὰρ ἓν μὲν τὸ συμπέρασμα, πλείονες δὲ οἱ συλλογισμοί. κἂν διὰ προσυλλογισμῶν δὲ κατασκευάζηται ὁ συλλογισμός, οὐδὲν ἧττον πλείους οἱ συλλογισμοί, ἐπεὶ καὶ τὰ συμπεράσματα ἐνταῦθα πλείονα· ἀεὶ γὰρ τὸ συμπεραν θὲν ἐν τῷ πρώτῳ συλλογισμῷ τοῦ ἐφεξῆς ποιούμεθα πρότασιν. οἷον ὡς ὅταν βουλώμεθα δεῖξαι ὅτι τὸ δίκαιον ἀγαθόν ἐστι διὰ μέσου τοῦ καλοῦ οὕτως· τὸ δίκαιον καλόν, τὸ καλὸν ἀγαθόν, τὸ δίκαιον ἄρα ἀγαθόν. τοῦτον οὖν τὸν συλλογισμὸν κατασκευάζομεν διὰ προσυλλογισμῶν. πόθεν γὰρ ὅτι τὸ δίκαιον καλόν; τὸ δίκαιον ἐπαινετόν· οὐδεὶς γὰρ ἐπαινεῖ τοὺς ἀδίκους ἀλλὰ τοὺς δικαίους, καὶ αὐτοὶ οἱ τὰ ἄδικα πράττοντες· τὸ ἐπαινετὸν καλόν· τὸ δίκαιον ἄρα καλόν. πόθεν δὲ ὅτι τὸ καλὸν ἀγαθόν; λέγομεν πάλιν οὕτως· [τὸ δίκαιον καλόν] τὸ καλὸν ἐφετόν· ἐπιστρέφει γὰρ εἰς ἑαυτὸ τὸ καλὸν καὶ ἐρᾶν ἑαυτοῦ ποιεῖ, ὅθεν ἔχει καὶ τοὔνομα ὡς καλοῦν πάντα πρὸς ἑαυτὸ καὶ καλεῖται καλὸν ἀγαθόν ⟨· τὸ ἐφετὸν ἀγαθόν· τὸ καλὸν ἄρα ἀγαθόν⟩. πόθεν ὅτι τὸ ἐφετὸν ἀγαθόν; τὸ ἐφετὸν συμφέρον· οὐδεὶς γὰρ τῶν βλαπτόντων ἐφίεται· ⟨τὸ συμφέρον ἀγαθόν·⟩ τὸ ἐφετὸν ἄρα ἀγαθόν. πόθεν τὸ δίκαιον ὅτι ἀγαθόν; ⟨τὸ δίκαιον καλόν· τὸ καλὸν ἐφετόν·⟩ τὸ ἄρα δίκαιον ἐφετόν. τὸ δίκαιον ἐφετόν· τὸ ἐφετὸν συμφέρον· [οὐδεὶς γὰρ τῶν βλαπτόντων ἐφίεται] τὸ δίκαιον ἄρα συμφέρον. τὸ δίκαιον συμφέρον· τὸ συμφέρον ἀγαθόν· τὸ δίκαιον ἄρα ἀγαθόν. ὥστε κἂν διὰ προσυλλογισμῶν περαίνωμεν, πλείονές εἰσιν οἱ συλλογισμοί. εἰ μέντοι μὴ διὰ προσυλλογισμῶν περαίνομεν, ἀλλ' αὐτὰ τὰ συμπεράσματα ἐπισυνάπτοντες ἕνα ποιοῦμεν συλλογισμόν, οἷον τὸ δίκαιον ἐπαινετόν, τὸ ἐπαινετὸν καλόν, τὸ καλὸν ἐφετόν, τὸ ἐφετὸν συμφέρον, τὸ συμφέρον ἀγαθόν, τὸ δίκαιον ἄρα ἀγαθόν, οὗτος, φησίν, ὁ συλλογισμὸς διὰ πλειόνων μὲν ὅρων περαίνεται, σύνθετος μέντοι ἐστὶ καὶ οὐχ ἁπλοῦς. περὶ δὲ τῶν ἁπλῶν ὁ λόγος, ὅτι ἀνάγκη διὰ τριῶν καὶ μόνων ὅρων περαίνεσθαι, ὁπότε κἀνταῦθα οἱ προσεχεῖς ὅροι καὶ τὸ κῦρος ἔχοντες τρεῖς εἰσιν οἱ καὶ τὸ προκείμενον κατασκευάσαντες, τὸ δίκαιον, τὸ συμφέρον, τὸ ἀγαθόν.

p. 41ᵇ38 Οἷον τὸ Ε διά τε τῶν ΑΒ καὶ τῶν ΓΔ.

Τοῦτο παράδειγμά ἐστι τοῦ δι' ἄλλου καὶ ἄλλου μέσου περαινομένου συμ-

ὁ α

1 τὰ ἄκρον sic U: ἄκρον Bt 2 ὁ om. U 3 οὗτος scripsi: αὐτὸς BUt 7 δὲ Bt: μὲν U ὁ superscr. U 14 αὐτοί τε οἱ τἄδικα, om. καὶ U 16 τὸ δίκαιον καλόν delevi 18 καλεῖται Bt: καλῶν U καλὸν ἀγαθόν—21 ὅτι ἀγαθόν om. U 18. 19 τὸ ἐφετὸν—ἄρα ἀγαθόν addidi 20 τὸ συμφέρον ἀγαθόν addidi 21 τὸ δίκαιον—ἐφετόν addidi 21. 22 τὸ ἄρα δίκαιον ἐφετόν om. t 22. 23 οὐδεὶς—ἐφίεται ut e vs. 19. 20 illata delevi 26 περαίνωμεν U

περάσματος, ὡς τὸν ἄνθρωπον εἶναι οὐσίαν διά τε τοῦ ζῴου καὶ διὰ τοῦ ἐμψύχου καὶ τὴν ψυχὴν * * διά τε τοῦ ἀεικινήτου καὶ τοῦ αὐτοκινήτου. λαμβάνει δὲ τὸ μὲν Ε συμπέρασμα, τὸ δὲ Α καὶ Β δύο προτάσεις, καὶ πάλιν ἑτέρας δύο | τὸ Γ καὶ τὸ Δ. LXIVr

p. 41b39 Ἢ διὰ τῶν ΑΒ καὶ ΑΓ καὶ ΒΓ.

Τοῦτο παράδειγμα τοῦ ἐν διαφόροις τοῖς σχήμασι τὸ αὐτὸ συμπέρασμα δείκνυσθαι, ἐπειδή, ὡς εἴπομεν, τὸ αὐτὸ μερικὸν ἀποφατικὸν δείκνυται ἐν τοῖς τρισὶ σχήμασιν. οἷον ὅτι τὸ λευκὸν οὐ παντὶ ἀνθρώπῳ ἐν τῷ πρώτῳ οὕτως· λευκὸν οὐδενὶ Αἰθίοπι, Αἰθίοψ τινὶ ἀνθρώπῳ, καὶ συνάγεται λευκὸν οὐ παντὶ ἀνθρώπῳ. καὶ ἐν τῷ δευτέρῳ· Αἰθίοψ οὐδενὶ λευκῷ, Αἰθίοψ τινὶ ἀνθρώπῳ, καὶ λευκὸν οὐ παντὶ ἀνθρώπῳ. καὶ ἐν τῷ τρίτῳ· λευκὸν οὐδενὶ Αἰθίοπι, ἄνθρωπος τινὶ Αἰθίοπι, καὶ λευκὸν οὐ παντὶ ἀνθρώπῳ. ἡ γὰρ μείζων ἐν τῷ πρώτῳ σχήματι ἀντιστρεφομένη ποιεῖ τὸ δεύτερον, λέγω δὴ ἡ ἀποφατική· ἐπειδὴ γὰρ λευκὸν οὐδενὶ Αἰθίοπι, καὶ Αἰθίοψ οὐδενὶ λευκῷ· γίνεται οὖν τὸ δεύτερον. ἐὰν δὲ τὴν ἐλάττω τοῦ πρώτου ἀντιστρέψωμεν, λέγω δὴ τὴν καταφατικήν, γίνεται τὸ τρίτον σχῆμα· εἰ γὰρ Αἰθίοψ τινὶ ἀνθρώπῳ, καὶ ἄνθρωπος τινὶ Αἰθίοπι. ὅρα οὖν πῶς διὰ τῆς τῶν στοιχείων ἐναλλαγῆς τοῦτο ἐσήμανε. τὸ μὲν γὰρ ΑΒ τὸ πρῶτον σχῆμα δηλοῖ· ἔστι δὲ τὸ μὲν Α ἡ ἐλάττων καταφατικὴ πρότασις, τὸ δὲ Β ἡ μείζων ἀποφατική. ἐπειδὴ οὖν ἐν τῷ δευτέρῳ φυλάττομεν τὴν ἐλάττονα, ἀντιστρέφομεν δὲ τὴν μείζονα, διὰ τοῦτο τὸ δεύτερον διὰ τοῦ ΑΓ ἐδήλωσε φυλάξας μὲν τὸ Α ἀμείψας δὲ τὸ Β. πάλιν ἐπειδὴ ἐν τῷ τρίτῳ φυλάττομεν τὴν μείζονα, ἀντιστρέφομεν δὲ τὴν ἐλάττονα, διὰ τοῦτο καὶ αὐτὸς ἐφύλαξε μὲν τὸ Β, ἤμειψε δὲ τὸ Α εἰς τὸ Γ· τὸ γὰρ ΒΓ τὸ τρίτον σημαίνει σχῆμα.

p. 42a1 Ἢ πάλιν ὅταν ἑκάτερον τῶν ΑΒ διὰ συλλογισμοῦ ληφθῇ.

Τουτέστιν ὅταν αἱ παραλαμβανόμεναι δύο προτάσεις προσυλλογισμῶν δέωνται· ἐδείκνυμεν γὰρ ὅτι τὸ δίκαιον καλὸν διὰ τοῦ ὅτι τὸ δίκαιον ἐπαινετὸν καὶ τὸ ἐπαινετὸν καλόν, καὶ ὅτι τὸ καλὸν ἀγαθὸν δι' ὧν ἐδείξαμεν. τὰς τῶν προσυλλογισμῶν οὖν προτάσεις αὐτῷ σημαίνει τὸ ΔΕ καὶ τὸ ΖΘ.

p. 42a3 Ἢ τὸ μὲν ἐπαγωγῇ τὸ δὲ συλλογισμῷ.

Πολλάκις, φησίν, ἡ μὲν τῶν προτάσεων συλλογισμοῦ δεῖται πρὸς κατα-

2 lac. indicavi; supple εἶναι ἀθάνατον 5 post καὶ alt. add. διὰ τῶν B (corr. A Vat. 199), διὰ U: om. t Arist. 7 εἴπομεν] p. 257,4 8 ὅτι om. t 11. 12 καὶ ἐν — ἀνθρώπῳ om. U 13 ἐν om. U 20 post μείζων add. καὶ Ut 21 ἀντιστρέψομεν pr. B 22 φυλάξω U 24 γ̄ alt. om. U 27 προλαμβανόμεναι U 28 δέονται t ἐδείκνυμεν (ἐδείκνυε μὲν U)] p. 257,13 sq. 30 αὐτὸ B 32 τῶ—τῶ U ἐπαγωγῇ U Arist.: ἀπαγωγῇ Bt

σκευήν, ἡ δὲ ἑτέρα ἐπαγωγῆς. οἷον βουλόμεθα δεῖξαι ὅτι ἡ ἰατρικὴ χρή- LXIVʳ
σιμος τῷ βίῳ, καὶ λέγομεν οὕτως· ἡ ἰατρικὴ τέχνη, πᾶσα τέχνη χρήσιμος
τῷ βίῳ, ἡ ἰατρικὴ ἄρα χρήσιμος τῷ βίῳ. τούτων τῶν προτάσεων τὴν
μὲν διὰ συλλογισμοῦ κατασκευάζομεν, ὅτι ἡ ἰατρικὴ τέχνη· ἡ ἰατρικὴ
μέθοδός ἐστιν ὁδοποιητική, πᾶσα μέθοδος ὁδοποιητικὴ τέχνη ἐστί, ἡ
ἰατρικὴ ἄρα τέχνη ἐστί. τὴν δὲ λέγουσαν ὅτι πᾶσα τέχνη χρήσιμος τῷ
βίῳ μόνως δι' ἐπαγωγῆς κατασκευάζομεν δείξαντες ὅτι πᾶσαι αἱ κατὰ
μέρος τέχναι χρήσιμοι τῷ βίῳ.

p. 42ᵃ4 Πλείω γὰρ τὰ συμπέρασματά ἐστιν, οἷον τό τε Α καὶ τὸ Β καὶ τὸ Γ.

Ὅταν γὰρ δηλονότι διὰ προσυλλογισμῶν τὴν Α πρότασιν κατασκευάζωμεν, συμπέρασμα ποιοῦμεν τὸ Α· ὁμοίως καὶ ἐπὶ τῆς Β προτάσεως. ἐκ δὲ τούτων τῶν συμπερασμάτων, τοῦ Α καὶ τοῦ Β, προτάσεων γινομένων συμπεραίνομεν τὸ Γ. ἰστέον δὲ ὅτι ἀντὶ τοῦ Ε τὸ Γ ἐνταῦθα παρέλαβεν· ἄνω γὰρ εἶπε τὸ Ε εἶναι συμπέρασμα τοῦ ΑΒ.

p. 42ᵃ6 Εἰ δ' οὖν μὴ πλείους ἀλλ' εἷς, οὕτω μὲν ἐνδέχεται γίνεσθαι διὰ πλειόνων τὸ αὐτὸ συμπέρασμα, ὡς δὲ τὸ Γ διὰ τῶν ΑΒ, ἀδύνατον.

Ὃ βούλεται εἰπεῖν, τοῦτό ἐστιν, ὅτι εἰ ὁ διὰ πλειόνων ὅρων δεικνύμενος συλλογισμὸς εἷς λέγοιτο, οὐ προσυλλογισμῶν φημι, οὕτως ἂν λέγοιτο εἷς ὡς σύνθετος, ὡς μέντοι ἁπλοῦς, οὐδαμῶς. πάλιν δὲ τὸ Γ ἀντὶ τοῦ Ε παρέλαβεν.

p. 42ᵃ8 Ἔστω γὰρ τὸ Ε συμπεπερασμένον ἐκ τῶν ΑΒΓΔ.

Τὸ προκείμενον ἦν δεῖξαι ὅτι διὰ δύο μόνων προτάσεων τῶν προσεχεστάτων καὶ κυρίων τοῦ συμπεράσματος γίνεται ὁ συλλογισμὸς καὶ οὐ πλειόνων. δείκνυσιν οὖν τοῦτο διὰ τούτων. εἰ γὰρ ἐγχωρεῖ, φησίν, ὑποκείσθω διὰ τῶν ΑΒΓΔ γινόμενος συλλογισμός, τουτέστι διὰ τεσσάρων προτάσεων· ἕκαστον γὰρ στοιχεῖον ὡς πρότασιν λαμβάνει· καὶ περαινέτωσαν αἱ προτάσεις αὗται τὸ Ε. ἐπειδὴ οὖν, φησί, δέδεικται ὅτι αἱ ποιοῦσαι

---

2. 3 καὶ—ἄ. χρ. τ. βίῳ om. B 4 ἡ alt. om. t 6 post χρήσιμος add. ἐστὶ B 9 ἐστιν, οἷον t Arist.: οἷον B: om. U 11 προσυλλογισμοῦ t 11. 12 κατασκευάζομεν, ut videtur, pr. B 13 β̄ om. pr. B 15 ἄνω] p. 41ᵇ38 συμπέρασμα post β' colloc. t α om. Bt 16 δ' om. U οὕτω Ut Arist.: τοῦτο B 16. 17 γίνεσθαι BUt (C d n): γενέσθαι Arist. 17 post δὲ add. καὶ B διὰ τοῦ U 20 οὐ προσυλλογισμῶν φημι om. U 21 ἁπλῶς U 23 συμπέρασμα B lemmati add. οὐκοῦν—μέρος (cf. p. 261,1. 2) BU 24 τῶν Bt: καὶ U 24. 25 προσεσχάτων Ut 26. 27 ὑποκείσθω ex ὑποκεῖσθαι corr. U² 29 ἐπεὶ B

τὸν συλλογισμὸν προτάσεις ἔχουσί τινας πρὸς ἀλλήλας σχέσεις, διελὼν LXIVr
εἰς δύο τμήματα ταύτας τὰς προτάσεις περὶ ἑκατέρου τμήματος ἐρωτήσαιμι.
αἱ γὰρ ΑΒ προτάσεις ἢ ἔχουσι σχέσιν πρὸς ἑαυτὰς ἢ οὐκ ἔχουσι. καὶ
εἰ μὲν οὐκ ἔχουσι, μάτην ἔσονται παρειλημμέναι· δεῖ γὰρ τὰς τοῦ συλλο-
5 γισμοῦ προτάσεις σχέσιν ἔχειν πρὸς ἀλλήλας· ὥστε αὗται σχέσιν μὴ
ἔχουσαι οὐ ποιοῦσι συλλογισμόν. εἰ δὲ ἔχουσι σχέσιν πρὸς ἀλλήλας, ἤτοι 50
τὸ Ε τὸ προκείμενον ἡμῖν ἐξ ἀρχῆς συμπεραίνουσιν ἢ τῶν ΓΔ προτάσεων
θάτερον ἢ ἄλλο τι παρὰ ταῦτα. πάλιν αἱ ΓΔ προτάσεις ἢ ἔχουσι πρὸς
ἀλλήλας σχέσιν ἢ οὐκ ἔχουσι. καὶ εἰ μὲν μὴ ἔχουσιν, ἅτε μηδὲν συμπε-
10 ραίνουσαι μάτην ἔσονται εἰλημμέναι. εἰ δὲ ἔχουσιν, ἤτοι αὐτὸ τὸ Ε συν-
άγουσιν ἢ τῶν ΑΒ θάτερον ἢ ἄλλο τι παρὰ ταῦτα. τούτων οὕτως ἐξ
ἀνάγκης ἐχόντων, εἰ μὲν αἱ | ΑΒ προτάσεις τὸ Ε συνάγουσιν, ἔχομεν LXIVv
τὸ ζητούμενον, ὅτι ἐκ δύο προτάσεων μόνων γίνεται ὁ συλλογισμός. αἱ
δὲ ΓΔ εἰ μὲν καὶ αὗται τὸ Ε συνάγουσιν, ἓν ἔσται καὶ τὸ αὐτὸ συμπέ-
15 ρασμα διὰ πλειόνων συλλογισμῶν συμπεπερασμένον, ὥστε πάλιν πλείονες
οἱ συλλογισμοί. εἰ δὲ αἱ ΓΔ τῶν ΑΒ θάτερον συνάγουσι, διὰ προσυλλο-
γισμῶν ἔσται δεδειγμένον τὸ Ε· προσυλλογισμοῦ γὰρ αἱ ΓΔ προτάσεις
συνάγουσαι μίαν τῶν ΑΒ προτάσεων, ἐξ ὧν τὸ Ε συνήχθη. εἰ δὲ ἄλλο τι 5
συνάγουσιν αἱ ΓΔ προτάσεις, οὐ μόνον πλείους οἱ συλλογισμοὶ ἀλλὰ καὶ
20 ἀκοινώνητοι ἀλλήλοις· ἄλλος γὰρ συλλογισμὸς ὁ διὰ τῶν ΑΒ συνάγων τὸ
Ε, καὶ ἄλλος ὁ διὰ τῶν ΓΔ ἕτερόν τι συνάγων, φέρε εἰπεῖν τὸ Ζ. οὕτω
μὲν οὖν, εἰ ὑποθώμεθα τὰ μὲν ΑΒ συνάγοντα τὸ Ε, τὰ δὲ ΓΔ ἢ αὐτὸ τὸ
Ε ἢ τῶν ΑΒ θάτερον ἢ ἄλλο τι παρὰ ταῦτα. ὁμοίως δὲ κἂν ὑποθώμεθα
τὰ ΑΒ συνάγοντα ἢ τῶν ΓΔ θάτερον ἢ ἄλλο τι παρὰ ταῦτα, ἀδύνατος
25 δείκνυται ὁ λόγος. εἰ μὲν γὰρ ἄλλο τι παρὰ ταῦτα συνάγοιεν αἱ ΑΒ, αἱ 10
δὲ ΓΔ καὶ αὗται ἄλλο παρὰ τὰ κείμενα, καὶ πλείους οἱ συλλογισμοὶ καὶ
οὐ τοῦ προκειμένου· πρόκειται δὲ τὸ Ε συμπέρασμα. εἰ δὲ τῶν ΑΒ
θάτερον, διὰ προσυλλογισμῶν ἄλλο τι πάλιν καὶ οὐ τὸ προκείμενον δείξομεν·
προσυλλογισμὸς γὰρ τὸ ΓΔ τοῦ ΑΒ συνάγοντος ἄλλο τι τῶν προκειμένων.
30 * * * * εἰ δὲ τὸ ΑΒ τῶν ΓΔ τι συνάγοι, τὰ δὲ ΓΔ * * * εἰ τὸ μὲν Ε,
πάλιν διὰ προσυλλογισμῶν περαίνομεν, καὶ ἔχομεν τὸ ζητούμενον, ὅτι αἱ
κύριαι προτάσεις αἱ συνάγουσαι τὸ Ε δύο εἰσίν, αἱ ΓΔ· εἰ δὲ [ἢ τῶν ΑΒ
θάτερον ἢ] ἄλλο τι παρὰ ταῦτα, ὁμοίως καὶ πλείους οἱ συλλογισμοὶ καὶ 15
οὐ τοῦ προκειμένου. ὥστε πανταχόθεν δέδεικται ὅτι ἀνάγκη διὰ δύο μόνων
35 προτάσεων τῶν κυριωτάτων πάντα συλλογισμὸν γίνεσθαι.

1 σχέσεις post τινας add. in mrg. U 2 τμήματα B: τὰς τέσσαρας Ut τὰς om. Ut 3 ᾱ β̄ Ut: ἄλλαι B 4 ἔσονται Ut: ἂν εἶεν B 10 ἤτοι αὐτὸ scripsi cf. vs. 22: ἢ τοιαῦται BUt 15 συμπεπερασμένον U: περαινόμενον Bt 17 ε̄ Ut: ζ̄ e γ̄, ut videtur, corr. B² πρὸς συλλογισμοῦ Ut 22 τὸ μὲν U τὰ alt. scripsi: τὸ BUt 23 δὲ om. B 24 τὰ—συνάγοντα e τὸ συνάγων corr. U²: τὸ—συνάγον Bt 25 παρ' αὐτὰ U ᾱ β̄ om. U 25. 26 αἱ δὲ om. Ut 30 lacunas indicavi; priore loco supple εἰ δὲ τὸ ε̄ et similia atque vs. 19—21, altero ἢ τὸ ε̄ ἢ ἄλλο τι παρὰ ταῦτα 31 καὶ om. Bt 32 κυρίως B αἱ συνάγουσι U 32. 33 ἢ (εἰ t) — ἢ delevi

p. 42ᵃ9 Οὐκοῦν ἀνάγκη τι αὐτῶν ἄλλο πρὸς ἄλλο εἰλῆφθαι, τὸ μὲν ὡς ὅλον τὸ δ' ὡς μέρος. LXIV[v]

Ἀντὶ τοῦ τὴν μὲν περιέχειν τῶν προτάσεων τὴν δὲ περιέχεσθαι. περιέχει δὲ ἡ μείζων, ἡ δὲ ἐλάττων περιέχεται· ἐὰν γὰρ εἴπω ὅτι οὐσία παντὶ ζῴῳ, ζῷον παντὶ ἀνθρώπῳ, δῆλον ὅτι περιεκτικωτέρα τε καὶ καθολικωτέρα ἡ μείζων ἡ λέγουσα 'οὐσία παντὶ ζῴῳ'· ἔχει γὰρ τὸν μείζονα ὅρον, τὴν οὐσίαν, ὃς περιέχει καὶ τὸ ζῷον καὶ τὸν ἄνθρωπον.

p. 42ᵃ18 Καὶ εἰ μὲν τὸ Ε ἢ τῶν ΑΒ θάτερον, ἢ πλείους ἔσονται οἱ συλλογισμοί, ἢ ὡς ἐνεδέχετο τὸ αὐτὸ διὰ πλειόνων ὅρων περαίνεσθαι συμβαίνει.

Πλείους μὲν οὖν γίνονται, ἐὰν τῶν ΑΒ θάτερον, διότι καὶ τὰ συμπεράσματα ἕτερα· τὸ δὲ ἢ ὡς ἐνεδέχετο τὸ αὐτὸ διὰ πλειόνων ὅρων περαίνεσθαι, ἐὰν τὸ Ε συνάγωσι. σημαίνει δὲ αὐτὸ τοῦτο τάς τε διὰ διαφόρων μέσων τὸ αὐτὸ συναγούσας προτάσεις καὶ τὰς διὰ διαφόρων μὲν μέσων διὰ πλειόνων δὲ σχημάτων ὁμοίως τὸ αὐτὸ συναγούσας συμπέρασμα. ὅτι δὲ καὶ ἐν τοῖς τοιούτοις πλείονες οἱ συλλογισμοί, εἴπομεν ἤδη.

p. 42ᵃ22 Εἰ δὲ μὴ οὕτως ἔχοι τὸ Γ πρὸς τὸ Δ ὥστε ποιεῖν συλλογισμόν, μάτην ἔσται εἰλημμένα.

Ἐπισημειωτέον τῇ λέξει. ὑποθέμενος γὰρ ἐπὶ τῶν ΓΔ προτάσεων πάσας τὰς ἄλλας ὑποθέσεις, ἃ γὰρ ἔχουσι, φησί, σχέσιν πρὸς ἀλλήλας ἢ οὐκ ἔχουσι· καὶ εἰ μὲν ἔχουσιν, ἢ τὸ Ε συνάγουσιν ἢ τῶν ΑΒ θάτερον ἢ ἄλλο τι παρὰ ταῦτα. ταῦτα οὖν πάντα ὑπέθετο. νῦν δὲ ὑποτίθεται ὅτι, εἰ μὴ ἔχουσι σχέσιν, οὐδὲ συμπεραίνουσί τι. ἐπεσημειωσάμην δὲ τοῦτο, ὅτι ὑποκατιὼν καὶ τὰς λοιπὰς ὑποθέσεις ἐπὶ τοῦ ΑΒ γυμνάζων (μόνον γὰρ γυμνάζων τὸ ΑΒ τὸ Ε τέως ὑπέθετο) ἐπάγει μὴ γίνεσθαι ἐκ τῶν ΓΔ μηδὲν συμπέρασμα, δέον εἰπεῖν 'ἐκ τῶν ΑΒ'· ἤδη γὰρ ἐνταῦθα ὑπέθετο τὸ ΓΔ μηδὲν συμπεραῖνον. δῆλον ἄρα ὅτι γραφικὸν ἄνωθέν ἐστι τὸ σφάλμα· πάντα γὰρ τὰ βιβλία οὕτως ἔχουσιν.

p. 42ᵃ23 Εἰ μὴ ἐπαγωγῆς ἢ κρύψεως ἤ τινος ἄλλου τῶν τοιούτων χάριν.

Ἐάν, φησί, τῶν ΑΒ σχέσιν ἐχουσῶν πρὸς ἀλλήλας καὶ διὰ τοῦτο συναγουσῶν τι συμπέρασμα αἱ ΓΔ προτάσεις ἄσχετοι ὦσι, μάτην εἰλημ-

---

4 post δὲ prius add. καὶ t 5 τε om. U 8 μὲν τὸ U Arist.: inv. ord. Bt
9 ταυτὸ t Arist. 11 τῶν Ut: τὸ B 13 συνάγουσι t an αὐτῷ ? cf. p. 258,30
14 μέσον Bt 16 εἴπομεν] p. 256,17 sq. 17 ἔχοι t Arist.: ἔχει B(m): non liquet U
21 μὲν om. U 25 ἐπάγει] p. 42ᵃ28 post ἐπάγει add. δὲ BU: om. t
ἐκ τοῦ B 27 γράφεται Ut

μέναι ἔσονται, εἰ μή, φησίν, ἐπαγωγῆς ἢ κρύψεως ἕνεκα παρελήφθη- LXIVᵛ
σαν. ἐπαγωγῆς μὲν ἀντὶ τῆς καθ' ἕκαστα ἐπαγωγῆς, ὥσπερ καὶ ἀνωτέρω
λαβόντες ὅτι πᾶσα τέχνη ὠφέλιμος τῷ βίῳ * * * * καὶ χαλκευτικὴ καὶ ἐπὶ 50
τῶν ἄλλων ὁμοίως. τὸ δὲ κρύψεως τοιοῦτόν ἐστιν· ὅταν βουλώμεθα τοὺς
5 σοφιστὰς συλλογίσασθαί τι, φέρε εἰπεῖν ὅτι ἡ ἡδονὴ ἀγαθόν ἐστι, προτεί-
νομεν αὐτοῖς ὅτι οὐ δοκεῖ σοι ἡ ἡδονὴ ἐφετὸν εἶναι; εἶτα ταύτην λαβόντες
τὴν πρότασιν ἐὰν εὐθὺς τὴν ἑτέραν ἐπαγάγωμεν λέγοντες 'τί δέ, οὐχὶ τὸ ἐφε-
τὸν ἀγαθόν;', συναισθόμενος τοῦ συμπεράσματος οὐ συγχωρεῖ τῇ προτάσει |
ἢ καὶ τὰ ὁμολογηθέντα ἀνατίθεται. διόπερ ἵνα λάθωμεν αὐτὸν λαβόντες LXVʳ
10 τὴν προτέραν πρότασιν, ὅτι ἡ ἡδονὴ ἐφετόν, μακρὸν κατατείνομεν περὶ τοῦ
ἐφετοῦ λόγον, τί δήποτέ ἐστι τὸ ἐφετόν, καὶ ποσαχῶς λέγεται, καὶ μυρία
ἄλλα τοιαῦτα, βουλόμενοι κρύψαι τὴν ἀκολουθίαν τοῦ συλλογισμοῦ. εἶτα
ἐκκρούσαντες τῆς πρώτης προτάσεως μετὰ πολλὰ καὶ τὴν ἑτέραν ἐρωτῶμεν,
εἰ πᾶσα ἔφεσις ἀγαθοῦ ἔφεσις, καὶ λαβόντες τοῦτο συνάπτομεν τὰς προ- 5
15 τάσεις καὶ ἀποφαινόμεθα τὸ συμπέρασμα. τοῦτο οὖν ἐστιν ὅ φησιν ἢ
κρύψεως, τουτέστιν ἀποκρύψασθαι βουλόμενοι τὴν ἀκολουθίαν τοῦ συλλο-
γισμοῦ ἔξωθέν τισι πολλάκις κεχρήμεθα. τὸ δὲ ἢ ἄλλου τινὸς τῶν
τοιούτων χάριν, τοῦτ' ἔστι μήκους λόγων καὶ ἀναπληρώσεως ἢ χαριτός
τινος, ἵνα μὴ ξηρὸς ᾖ ὁ λόγος, καὶ μάλιστα ὅταν πρὸς ἐπίδειξιν ὁρᾷ, ὡς
20 ὅταν εἰπόντες 'τὸ δίκαιον καλόν, τὸ καλὸν ἀγαθόν' ἀποτείνωμεν περὶ τοῦ
καλοῦ μακρὸν λόγον. 10

p. 42ᵃ28 Εἰ δὲ μὴ γίνεται ἐκ τῶν ΓΔ μηδὲν συμπέρασμα.

Ταύτης ἕνεκεν τῆς λέξεως ἐπεσημηνάμην ἀνωτέρω· δῆλον γὰρ ὅτι 15
περὶ τῶν ΑΒ ὁ λόγος. ὑποθέμενος γὰρ ἀνωτέρω τὰ ΑΒ συνάγοντα τὸ Ε
25 τὰ πρὸ μικροῦ εἰπὼν "εἰ δὲ ἐκ τῶν ΑΒ μὴ τὸ Ε ἀλλ' ἄλλο τι γίνεται συμ-
πέρασμα" ἀκόλουθον ἦν ἐπαγαγεῖν εἰ δὲ μὴ γίνεται ἐκ τῶν ΑΒ μηδὲν
συμπέρασμα. ἔχει δὲ ἡ λέξις ΓΔ, ὥτε δῆλον ὅτι ἡμάρτηται.

p. 42ᵃ33 Εἰ μὴ προσλαμβάνοιτό τι, καθάπερ ἐν τοῖς ἐξ ἀρχῆς
ἐλέχθη, πρὸς τὴν τελείωσιν τῶν συλλογισμῶν. 20

30 Τουτέστιν εἰ μὴ δι' ἐπαγωγῆς ἢ διὰ προσυλλογισμοῦ τὰς προτάσεις
κατασκευάσομεν.

p. 42ᵃ35 Φανερὸν οὖν ὡς ἐν ᾧ λόγῳ συλλογιστικῷ μὴ ἄρτιαί
εἰσιν αἱ προτάσεις δι' ὧν γίνεται τὸ συμπέρασμα τὸ κύριον (ἔνια

1. 2 παρελείφθησαν t 2 μέντοι t post ἀντὶ add. τοῦ U ἀνωτέρω] p. 259,2 sq. 3 lac. indicavi; supple velut κατεσκευάσαμεν τοῦτο δείξαντες ὅτι οἰκοδομικὴ ὠφέλιμος τῷ βίῳ 4 ἄλλων ὁμοίως Bt: λοιπῶν U 5. 6 προτείνωμεν U 6 ταύτην scripsi: αὐτὴν BUt 7 τὴν alt. om. t 10 ἑτέραν B 13 ἐκρούσαντες pr. U 14 συνάπτωμεν t 18 τουτέστι Bt: οἷον U λόγου U 21 καλοῦ e μακροῦ corr. B² 23 ἀνωτέρω] p. 261,23 sq. 25 πρὸ μικροῦ] p. 42ᵃ24 τι U Arist.: om. Bt

γὰρ τῶν ἄνωθεν συμπερασμάτων ἀναγκαῖον εἶναι προτάσεις), LXV r
οὗτος ὁ λόγος ἢ οὐ συλλελόγισται ἢ πλείω τῶν ἀναγκαίων
ἠρώτηκε πρὸς τὴν θέσιν.

Εἰ δέδεικται ὅτι αἱ συνεκτικώταται τοῦ συλλογισμοῦ προτάσεις δύο
5 εἰσί (τῶν γὰρ προσυλλογισμῶν δῆλον ὅτι τὰ συμπεράσματα προτάσεις τοῦ 25
προκειμένου συλλογισμοῦ γίνονται), ἀνάγκη ἄρα, ἐν ᾧ συλλογισμῷ πλείους
εἰσὶ τῶν δύο προτάσεις, τοῦτον ἢ μηδὲ ὅλως εἶναι συλλογισμόν, οἷον εἰ
λέγοιμι 'ὁ ἵππος ζῷον, ὁ κύων τετράπους, ὁ ἄνθρωπος δίπουν', ἢ πλείω
τῶν ἀναγκαίων καὶ συνεκτικωτάτων τοῦ προκειμένου συλλογιζόμενος ἤτησε
10 παρὰ τοῦ προσδιαλεγομένου. οἷον εἰ βουλόμενος δεῖξαι ὅτι ὁ ἄνθρωπος
οὐσία εἴπω ὅτι ὁ ἄνθρωπος γελαστικόν, τὸ γελαστικὸν ζῷον, τὸ ζῷον 30
οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία· δῆλον γὰρ ὅτι περιττὴ ἡ τοῦ γελαστικοῦ
πρόσθεσις· ἤρκει γὰρ ζῷον εἰπόντα δεῖξαι αὐτόθεν ὅτι οὐσία.

p. 42b1 Κατὰ μὲν οὖν τὰς κυρίας προτάσεις λαμβανομένων τῶν
15 συλλογισμῶν ἅπας ἔσται συλλογισμὸς ἐκ προτάσεων μὲν ἀρτίων
ἐξ ὅρων δὲ περισσῶν.

Τὸ προκείμενον διὰ τούτων δεῖξαι ὅπως ἔχουσι πρὸς ἀλλήλας κατὰ
τὸν ἀριθμὸν οἵ τε ὅροι καὶ αἱ προτάσεις καὶ τὰ συμπεράσματα. φησὶν 35
οὖν ὅτι, ἐὰν τὰς κυριωτάτας λάβωμεν τοῦ συλλογισμοῦ προτάσεις, αἱ μὲν
20 προτάσεις ἄρτιαι ἔσονται, οἱ δὲ ὅροι περισσοί, τουτέστι δύο μὲν αἱ προ-
τάσεις, τρεῖς δὲ οἱ ὅροι. τὰ δὲ συμπεράσματα ἡμίση τῶν προτά-
σεων, τουτέστιν ἕν ἐστι τούτων τὸ συμπέρασμα· τῶν γὰρ προτάσεων δύο
οὐσῶν τὸ ἥμισυ τούτων ἓν δηλονότι. ἐὰν δὲ διὰ προσυλλογισμῶν κατα-
σκευάζωμεν ⟨ἢ⟩ σύνθετος ᾖ ὁ συλλογισμός, τουτέστιν ἐὰν τῶν προσυλλο-
25 γισμῶν τὰ συμπεράσματα ἐπισυνάψαντες οὕτω προάγωμεν τὸν λόγον, οἷον 40
τὸ δίκαιον τάξεως αἴτιον, τὸ τάξεως αἴτιον καλόν, τὸ καλὸν ἐφετόν, τὸ
ἐφετὸν ἀγαθόν, τὸ δίκαιον ἄρα ἀγαθόν, ὁμοίως, φησίν, οἱ μὲν ὅροι ἑνὶ
πλείους εἰσὶ τῶν προτάσεων, οὐκέτι δὲ πάντως οἱ μὲν ὅροι περιττοί,
ἄρτιαι δὲ αἱ προτάσεις. καθόλου δὲ ἀντικειμένως ἔχουσι· τῶν γὰρ ὅρων
30 περιττῶν ὄντων αἱ προτάσεις ἄρτιαί εἰσι καὶ ἐναλλάξ. τὰ δὲ συμπερα-
σματα, φησίν, ἐν τούτοις οὐκέτι τὴν αὐτὴν ἔχει τάξιν· οὐ γὰρ ἡμίση
ἐστὶ τῶν προτάσεων, ἀλλὰ πολλῷ πλείονα καὶ τῶν ὅρων καὶ τῶν προτάσεων. 45
τοῖς γὰρ ἐξ ἀρχῆς, φησί, συμπεράσμασιν ὑποκειμένοις ἑνὶ ἐλάττω τῶν
ὑπαρχόντων ὅρων προστίθεται συμπεράσματα. ὃ δὲ λέγει τοῦτό ἐστιν·
35 ἐὰν ὦσι τρεῖς ὅροι, τὸ Α, τὸ Β, τὸ Γ, ἓν ποιοῦσι συμπέρασμα τοῦ Α πρὸς
τὸ Γ· ἐὰν ⟨οὖν⟩ προστεθῇ ἕτερος ὅρος, οἷον τὸ Δ, τῶν προϋπαρχόντων
ὅρων (ἦσαν δὲ τρεῖς, τὸ Α, τὸ Β, τὸ Γ) ἑνὶ ἐλάττω ἕτερα προστίθεται

6 γίνεται U 7 προτάσεων B 10 περὶ Ut 13 πρόθεσις B εἰπόντι Ut
14 κυρίως Ut 16 περιττῶν t Arist. 20 ἄρτιαι t: ἄρτιοι Ut 21 τὰ—προτά-
σεων lemma in libris 22 τουτέστιν om. pr. B 24 ἢ addidi 25 προαγά-
γωμεν B: προσάγωμεν t 29 ἄρτια t 30. 31 συμπεράσματα Arist.: συμπέρασμα BUt
34 συμπέρασμα Bt 35 τοῦ Bt: τὸ U 36 τῷ γ t οὖν addidi οἷον om. Ut

συμπεράσματα, τουτέστι δύο, ὥστε εἶναι τὰ πάντα τρία συμπεράσματα· LXVr
ἦν γὰρ ἐξ ἀρχῆς τοῦ Α πρὸς τὸ Γ· γίνεται νῦν καὶ τοῦ Β πρὸς τὸ Δ καὶ 50
τοῦ Α πρὸς τὸ Δ. ἡ αὐτὴ ἀκολουθία ἐπὶ πάντων ἀεὶ τῶν προστιθεμένων ὅρων.

p. 42b5 Ὅταν δὲ διὰ προσυλλογισμῶν περαίνηται ἢ διὰ πλειόνων
5 μέσων μὴ συνεχῶν. |

Δῆλον ὅτι τότε ἐστὶ τὸ διὰ προσυλλογισμῶν, ὅταν τὰς προτά- LXVv
σεις κατασκευάζοντες αὐτόθεν ἀγωγῇ συλλογιστικῇ χρησώμεθα. οἷον πόθεν
ὅτι τὸ δίκαιον καλόν; λέγομεν οὕτως· τὸ δίκαιον τάξεως αἴτιον, τὸ τάξεως
αἴτιον καλόν, τὸ δίκαιον ἄρα καλόν. τὸ δὲ διὰ πλειόνων μέσων, ὅταν
10 σύνθετον ποιῶμεν τὸν συλλογισμόν, τάσσοντες μεταξὺ τοῦ δικαίου καὶ τοῦ
καλοῦ τὸ τάξεως αἴτιον καὶ πάλιν τοῦ καλοῦ καὶ τοῦ ἀγαθοῦ τὸ ἐφετόν, 5
εἶτα ἐφεξῆς πάσας τὰς προτάσεις ἐπισυνάπτωμεν, ὡς ἤδη εἴπομεν. τὸ δὲ
μὴ συνεχῶν τοῦτ' ἔστιν, ὅταν οἱ παραλαμβανόμενοι ὅροι ἔξωθεν μὴ συν-
εχεῖς ὦσιν ἀλλήλοις. οἷον παρελήφθησαν εἰς τὴν κατασκευὴν τοῦ ὅτι τὸ
15 δίκαιον ἀγαθὸν δύο ὅροι, τὸ τάξεως αἴτιον καὶ τὸ ἐφετόν· ἀλλ' οὗτοι οὐκ
ἐφεξῆς ἀλλήλοις ἐτέθησαν ἀλλὰ παρ' ἑκατέρᾳ τοῦ μέσου ὅρου, λέγω δὴ
τοῦ καλοῦ. πλὴν ὅσα ἐπὶ τῶν ἔξωθεν παρεμπιπτόντων ὅρων μὴ κατὰ
συνέχειαν τιθεμένων ἕπεται, ταὐτὰ καὶ ἐπὶ τῶν κατὰ συνέχειαν τιθεμένων 10
ἀπαραλλάκτως ἀκολουθεῖ. ἀλλ' ὡς τοῦτο μᾶλλον ἀμφίβολον ⟨ὂν⟩ τέθεικεν ὁ
20 Ἀριστοτέλης. τίθενται δὲ τῶν παρεμπιπτόντων ἔξωθεν ὅρων ἐφεξῆς οἱ
τοιοῦτοι, ὡς ὅταν ὅτι τὸ καλὸν ἀγαθὸν διὰ μέσου τοῦ ἐφετοῦ καὶ τοῦ
συμφέροντος κατασκευάζωμεν· τούτους γὰρ ἐφεξῆς τάττομεν· τὸ καλὸν
ἐφετόν, τὸ ἐφετὸν συμφέρον, τὸ συμφέρον ἀγαθόν.

p. 42b7 Ἢ γὰρ ἔξωθεν ἢ εἰς τὸ μέσον τεθήσεται ὁ παρεμπί-
25 πτων ὅρος.

Ἐὰν ἔχωμεν τρεῖς ὅρους ἐκκειμένους τοὺς ΑΒΓ καὶ δεώμεθα ἔξωθεν
ἄλλου τινὸς ὅρου, πᾶσα ἀνάγκη τοῦτον ἢ ἔξωθεν τούτων τίθεσθαι, ἢ πρὸ
τοῦ Α λέγω ἢ μετὰ τὸ Γ, ἢ μεταξὺ ἢ τοῦ ΑΒ ἢ τοῦ ΒΓ.

p. 42b10 Αἱ δὲ προτάσεις ἴσαι τοῖς διαστήμασιν.

30 Ἴσμεν ὅτι κατὰ ἄλλην μὲν διάνοιαν πρότασις τὸ αὐτό, κατὰ ἄλλην 20
δὲ διάστημα καλεῖται, ὡς πόθεν ποῖ. ἐπειδὴ οὖν ταὐτὸν τῷ ὑποκειμένῳ,
εἰκότως καὶ ἰσάριθμα.

2 δὲ t τοῦ prius scripsi: τὸ BUt 3 τῶν προσυλλογισμῶν Bt 6 τότε scripsi: πότε BUt προσυλλογισμοῦ t 7 κατασκευάζων U 9 δὲ om. B 10 τὸν λόγον t 12 ἐπισυνάπτομεν Bt εἴπομεν] p. 263,26. 7 14 παρελείφθησαν Ut τὴν om. B post ὅτι del. τὸ ὅτι B 16 μέσον, ut videtur, pr. B 18 ταῦτα libri 19 ὂν addidi 22 τούτου B τάττομαι t 24 ἔξωθεν ἢ εἰς τὸ μέσον t Arist.: inv. ord. BU 26 τὸν U καὶ om. Bt δεόμεθα Bt ἔξωθεν om. t 27 ἢ prius om. Bt πρὸς τὸ B 28 ἢ (ante τοῦ ᾱβ̄) o m. B 31 τῷ scripsi: ταυτῶ BUt 32 ἰσαριθμ̄ U: ἰσάριθμος t

p. 42b13 Ἅμα γὰρ τῷ ὅρῳ μία προστίθεται πρότασις, ἂν ὁπο- LXVv
θενοῦν προστεθῇ ὁ ὅρος. ὥστε ἐπεὶ αἱ μὲν ἄρτιαι οἱ δὲ περισσοὶ ἦσαν, ἀνάγκη παραλλάσσειν τῆς αὐτῆς προσθέσεως γινομένης.

Κατασκευὴ τοῦ ὅτι ἀνάγκη τοὺς ὅρους ταῖς προτάσεσιν ἐνηλλαγμένως ἔχειν κατὰ τὸ ἄρτιον καὶ τὸ περιττόν. εἰ γὰρ τοῖς προκειμένοις ὅροις, φησίν, ἕτερος ὅρος προστεθῇ, ἐξ ἀνάγκης εὐθὺς καὶ ἑτέρα προστίθεται πρότασις· ἀνάγκη δὲ πᾶσα τῆς αὐτῆς προσθέσεως γενομένης τοῖς τε ὅροις καὶ ταῖς προτάσεσιν ἐναλλάττειν τούτους κατὰ τὸ ἄρτιον καὶ τὸ περιττόν. εἰ γάρ εἰσι τρεῖς ὅροι δύο δὲ προτάσεις, ὥστε αἱ μὲν προτάσεις ἄρτιαι οἱ δὲ ὅροι περιττοί, προσετέθη ἕτερος ὅρος καὶ διὰ τοῦτο καὶ πρότασις ἑτέρα, ὥστε γεγόνασιν ἐναλλὰξ αἱ μὲν προτάσεις περιτταί, τρεῖς γάρ, οἱ δὲ ὅροι ἄρτιοι, τέσσαρες γάρ.

p. 42b19 Πρὸς μόνον γὰρ τὸν ἔσχατον οὐ ποιεῖ συμπέρασμα.

Ὑποτιθέμενος ἔξωθεν προστιθέμενον τὸν ὅρον τοῦτο λέγει. ὅτι, φησίν, ἑνὸς ὅρου προστεθέντος ἀνάγκη ἑνὶ ἐλάττω τῶν προϋπαρχόντων ὅρων προστίθεσθαι συμπεράσματα, δῆλον ἐντεῦθεν· δίχα γὰρ μόνου τοῦ ἐσχάτου, μεθ' ὃν κεῖται ὁ προστεθείς, εἴτε ἐν ἀρχῇ εἴτε ἐν τῷ τέλει, [ἐπεὶ] πρὸς τοὺς ἄλλους πάντας ποιεῖ συμπεράσματα. ὑποκείσθωσαν γὰρ ὅροι τέσσαρες, ΑΒΓΔ, εἶτα προστιθέσθω ὁ Ε· δῆλον ἄρα ὅτι δυνατὸν συμπεραίνειν πρὸς αὐτὸν πάντας τοὺς ἄλλους δίχα τοῦ ἐσχάτου, λέγω δὴ τοῦ Δ.

p. 42b23 Κἂν εἰς τὸ μέσον δὲ παρεμπίπτῃ, τὸν αὐτὸν τρόπον· πρὸς ἕνα γὰρ μόνον οὐ ποιεῖ συλλογισμόν.

Ὑποθέμενος ἔξωθεν προστιθέμενον τὸν ὅρον νῦν φησιν ὅτι, κἂν εἰς τὸ μέσον προστεθῇ, τὸ αὐτὸ πάλιν συμβήσεται, τουτέστιν ἑνὶ ἐλάττω τῶν προκειμένων ὅρων συμβήσεται συμπεράσματα. εἰ γὰρ τὸ Ε μεταξὺ τῶν ἄλλων προστεθῇ, οἷον τῶν ΒΓ, πάλιν ἔσται τρία τὰ προστιθέμενα συμπεράσματα, τοῦ Α πρὸς τὸ Ε καὶ τοῦ Β πρὸς τὸ Γ καὶ τοῦ Ε πρὸς τὸ Δ·

---

1 προτίθεται B 2 ὁ t Arist.: om. BU ἄρτιοι U 2. 3 περιττοὶ—παραλλάττειν t Arist. 3 προθέσεως B 6 post γὰρ add. ἐὰν U 8 δὲ om. Ut: δὴ conicio γενομένοις t 10 εἰ γάρ εἰσι Bt: ἔκειντο U 11 περισσοὶ U [illegible] ὅρος om. Ut καὶ alt. om. Bt 12 τρεῖς γάρ om. U 14 post ἔσχατον add. ὅρον t 15 post τοῦτο add. δὲ U φησίν om. Bt 16 ὑπαρχόντων Bt 17 συμπεράσματα scripsi: συμπέρασμα BUt 18 ἢν ut videtur U προστιθεὶς B: προτεθεὶς t ἐπεὶ delevi: ἐπὶ t 19 συμπέρασμα B ὅροι U: οἱ B, post τέσσαρες t 20 ὁ Bt: τὸ U 21 δὲ U 22 post κἂν add. γὰρ t 23 ποιεῖ BU(d): ποιήσει t Arist. 24 post ὑποθέμενος add. δὲ U post τὸν delevit ὁρισμὸν B 25 προτεθῇ U 26 συμπέρασμα U 27 προσετέθη U τῶν U: τοῦ Bt

τούτων δὲ οὐδὲν ἦν ἐξ ἀρχῆς, ἀλλὰ τοῦ Α πρὸς τὸ Γ καὶ τοῦ Β πρὸς τὸ Δ καὶ τοῦ Α πρὸς τὸ Δ. ἐπειδὴ δέ φησιν ὁ Ἀριστοτέλης ὅτι πρὸς ἕνα γὰρ μόνον οὐ ποιεῖ | συλλογισμόν, ἀνάγκη ἡμᾶς ἐκλαβεῖν τοῦτο LXVI r
ὡς ἐπὶ δύο προτάσεων γυμναζομένου τοῦ λόγου. δύο γὰρ οὐσῶν προτάσεων ἐὰν εἰς τὸ μέσον παρεμπέσῃ ὅρος, τῷ ἑτέρῳ μόνον διαστήματι αἴτιος ⟨οὐ⟩ γίνεται τοῦ ποιῆσαι συμπέρασμα, οἷον τῷ ΒΓ· μέσον γὰρ τοῦ ΑΒ τεθὲν τὸ Ε ἐποίησε τοῦ Α πρὸς τὸ Β συμπέρασμα· εἰ δὲ πρὸς τὸ ἓν μόνον διάστημα οὐ ποιεῖ συμπέρασμα, πρὸς τὸ ἕτερον ποιήσει δηλονότι. ἐπεὶ ἐὰν μὴ ὡς ἐπὶ δύο προτάσεων λάβωμεν ἀλλ' ὡς ἐπὶ πλειόνων, ψευδὴς ἔσται ὁ λόγος. ἐκκείσθωσαν γὰρ πάλιν τεσσάρων ὅρων ὄντων τῶν ΑΒΓΔ τρεῖς προτάσεις, παρεμπιπτέτω δὲ τὸ Ε μεταξὺ τοῦ ΒΓ· δῆλον ἄρα ὅτι ἑνὶ μὲν διαστήματι αἴτιος γίνεται ὁ παρεμπεσὼν τοῦ ποιῆσαι συμπέρασμα, τῷ ΒΓ· πρὸς δὲ τὰ λοιπὰ διαστήματα οὐ ποιήσει, λέγω δὴ τὸ ΑΒ καὶ ΓΔ. ὁμοίως δὲ ἔτι πλείοσιν οὐ ποιήσει, ἐὰν ὦσι πλείονα τὰ διαστήματα.

p. 42ᵇ25 Ὥστε πολὺ πλείω τὰ συμπεράσματα καὶ τῶν ὅρων ἔσται καὶ τῶν προτάσεων.

Ἐὰν ὑπόκειται ἐξ ἀρχῆς τέσσαρες ὅροι, δῆλον ὅτι προτάσεις μὲν τρεῖς εἰσι, συμπεράσματα δὲ τρία, τοῦ Α πρὸς τὸ Γ καὶ τοῦ Β πρὸς τὸ Δ καὶ τοῦ Α πάλιν πρὸς τὸ Δ. ἐὰν δὲ προστεθῇ ἕτερος ὅρος, οἷον τὸ Ε, προστίθενται ἄλλα τρία συμπεράσματα, τοῦ Α πρὸς ⟨τὸ⟩ Ε καὶ τοῦ Β πρὸς τὸ Ε καὶ τοῦ Γ πρὸς τὸ Ε, ὥστε γίνεσθαι τὰ πάντα συμπεράσματα ἕξ· εἰσὶ δὲ οἱ πάντες ὅροι πέντε, προτάσεις δὲ τέσσαρες. πλείω ἄρα τὰ συμπεράσματα καὶ τῶν ὅρων καὶ τῶν προτάσεων. καὶ ὅσῳ προστίθεμεν ὅρον, τοσούτῳ αὔξομεν τὰ συμπεράσματα· ἕκτου γοῦν ὅρου προστεθέντος γίνονται συμπεράσματα δέκα, ἑβδόμου δεκαπέντε, ὥστε ἅμα τῶν προτάσεών τε καὶ τῶν ὅρων πλείω εἶναι· ὅροι μὲν γὰρ ἑπτά, προτάσεις δὲ ἕξ, ὡς γίνεσθαι τὰ πάντα δεκατρία, συμπεράσματα δὲ δεκαπέντε. καὶ οὕτως ἀεὶ προστιθεμένου ὅρου αὔξεται τῶν συμπερασμάτων ὁ ἀριθμός. πλείονα δὲ δῆλον ὅτι τὰ συμπεράσματα λέγομεν τῶν μόνως προτάσεων τῶν μὴ ποτὲ μὲν συμπερασμάτων ποτὲ δὲ ὡς προτάσεων λαμβανομένων· πρὸς γὰρ τὴν κατασκευὴν τοῦ δευτέρου συμπεράσματος τὸ προλαβὸν συμπέρασμα πρότασις γίνεται. οἷον συμπεράναντες τὸ Α πρὸς τὸ Γ, εἰ βουλόμεθα πάλιν τὸ Α πρὸς τὸ Δ συμπεραῖναι, λαμβάνομεν πρότασιν τὴν ΑΓ, ἥτις ἦν πρὸ τούτου συμ-

2 α—δ̄ U: inv. ord. B: γ′—ε′ t 3 ἐκλαμβάνειν U 4 post οὐσῶν add. τῶν U 5 μόνον om. Ut 6 οὐ addidi τῷ B: τὸ Ut 7 τοῦ (ante ε̄) B an γὰρ? 8 εἰς U 9 ψεῦδος t 10 ὅρων om. U ὄντων om. Bt 12 τῷ B: τὸ Ut 13 δὴ Bt: δὲ U 16 ἔσται om. B 17 post ἐὰν add. γὰρ Ut 19 πάλιν om. B δὲ om. Bt 20 ἄλλα corr. ex ἄρα B² τὸ addidi 21 ε̄ prius scripsi: γ̄ BUt γ̄ scripsi: ε̄ Bt: non liquet U ε̄ alt. corr. U: δ̄ Bt, pr. U ὥστε B, τε superscr. U²: ὡς pr. U, t γίνεται U τὰ om. Bt 23 ὅσαις ⟨προτάσεσι⟩ conicio 24 ὅρῳ U αὔξωμεν Ut 28 πλείονα t: πλεῖον B: πλέο α U 29. 30 τῶν—ὡς προτάσεων λαμβανομένων t: τῶν—ὡς προλαμβανομένων mrg. U: om. B 31 προσλαβὸν t 32 συμπεραίνοντες B

πέρασμα, καὶ τὴν ΓΔ· πάλιν ἐὰν πρὸς τὸ Ε τὸ Α βουλώμεθα συμπεραῖναι, LXVI r
λαμβάνομεν τὴν ΑΔ πρότασιν, ἥτις ἦν συμπέρασμα, καὶ τὴν ΔΕ· καὶ
οὕτως ἐπὶ πάντων. ὥστε ταύτῃ οὐ πλείω τὰ συμπεράσματα τῶν προτάσεων,
ἀεὶ τῶν προηγουμένων συμπερασμάτων προτάσεων γινομένων, ἀλλ' ἀεὶ
5 ἡμίση· δεῖ γὰρ καθ' ἕκαστον συμπέρασμα προτάσεις δύο λαμβάνειν. ἀλλ'
ὁ Ἀριστοτέλης, ὡς εἶπον, τῶν μόνως προτάσεων πλείω λέγει εἶναι τὰ συμ-
περάσματα.

p. 42b27 Ἐπεὶ δ' ἔχομεν περὶ ὧν οἱ συλλογισμοί. 25

Δηλονότι περὶ τῶν προβλημάτων. καὶ ποῖον ἐν ἑκάστῳ σχήματι,
10 τουτέστι συμπέρασμα, ὅτι ἐν μὲν τῷ πρώτῳ πάντα, καὶ τὸ καθόλου καὶ
τὸ μερικὸν καὶ τὸ καταφατικὸν καὶ ⟨τὸ⟩ ἀποφατικόν.

p. 42b28 Καὶ ποσαχῶς δείκνυται.

Ὅτι τὸ μὲν καθόλου καταφατικὸν ἐν τῷ πρώτῳ μόνῳ καὶ ἑνὶ τρόπῳ·
τὸ δὲ καθόλου ἀποφατικὸν καὶ ἐν τῷ πρώτῳ καὶ ἐν τῷ δευτέρῳ, καὶ 30
15 ἐν μὲν τῷ πρώτῳ ἅπαξ, ἐν δὲ τῷ δευτέρῳ δίς· τὸ δὲ μερικὸν καταφατικὸν
καὶ ἐν τῷ πρώτῳ καὶ ἐν τῷ τρίτῳ, καὶ ἐν μὲν τῷ πρώτῳ ἅπαξ, ἐν δὲ
τῷ τρίτῳ τρίς· τὸ δὲ μερικὸν ἀποφατικὸν ἐν τοῖς τρισὶ σχήμασι, καὶ ἐν
μὲν τῷ πρώτῳ ἅπαξ, ἐν δὲ τῷ δευτέρῳ δίς, ἐν δὲ τῷ τρίτῳ τρίς.

p. 42b28 Φανερὸν ἡμῖν ἐστι καὶ ποῖον πρόβλημα χαλεπὸν καὶ
20 ποῖον εὐεπιχείρητον.

Σκοπὸς διὰ τούτων τὸ δεῖξαι ποῖον τῶν προβλημάτων δυνατὸν θᾶττον
κατασκευάσαι, καὶ ποῖον οὔ, καὶ ποῖον εἰς τὸ ἀνασκευάσαι ῥᾴδιον, καὶ ποῖον
οὔ. φησὶν οὖν ὅτι τὰ ἐν πλείοσι σχήμασι δεικνύμενα καὶ διὰ πλειό-
νων τρόπων, ταῦτα κατασκευάσαι μὲν εὐχερὲς ἀνασκευάσαι δὲ δυσχερές.
25 ταῦτα δέ ἐστι τὰ μερικά, διότι, φησί, τὰ μερικὰ κατασκευάσαι βουλόμενοι
καὶ δι' αὐτῶν καὶ διὰ τῶν καθόλου κατασκευάζομεν, ἀνασκευάζομεν δὲ διὰ 45
μόνων τῶν καθόλου· ἐάν τε γὰρ δείξω ὅτι τινὶ καὶ ὅτι παντί, τὸ μερικὸν
κατεσκεύασα καταφατικόν· ἀνασκευάζω δὲ αὐτὸ [μόνον] διὰ μόνου τοῦ

---

1 ε̄ Bt: β̄ U 3. 4 ὥστε—συμπερασμάτων om. t 5 ἥμισυ t 8 ἐπειδὴ δὲ B
9 καὶ om. U ἐν ἑκάστῳ σχήματι t Arist.: om. BU 10 τοῦτό ἐστι t: om. U
11 καὶ τὸ καταφατικὸν mrg. U² τὸ tert. addidi 13 post καταφατικὸν add.
καὶ Ut 15 ἐν δὲ τῷ τρίτῳ t καταφατικὸν — 17 μερικὸν om. t 16 καὶ
primum om. U 17 τρίς scripsi: τρίτον BU 18 δίς—τρίς t: δεύτερον—τρίτον BU
21 ante σκοπὸς add. ὁ U σκοπεῖ e σκόπει corr. B² 22 οὔ, καὶ ποῖον om. B
immo ῥᾷον 23 τὰ om. U καὶ superscr. U 24 ταῦτα om. U
ἀνασκευάσαι δὲ δυσχερές om. Bt 27 post καὶ add. πάλιν Bt 28 κατεσκεύασα t:
κατασκευάσαι BU ἀποφατικόν U ἀνασκευάσαι B μόνον delevi
μόνου om. U

καθόλου ἀποφατικοῦ. τὸ δὲ καθόλου καταφατικὸν κατασκευάζεται μὲν μόνως δι' ἑαυτοῦ, ἀνασκευάζεται δὲ καὶ διὰ τοῦ καθόλου ἀποφατικοῦ καὶ διὰ | τοῦ μερικοῦ· ἐάν τε γὰρ δείξω ὅτι οὐδενὶ ἢ οὐ παντί, ἀνεῖλον ὅτι παντί. LXVI v πάλιν τὸ καθόλου ἀποφατικὸν κατασκευάζεται μὲν μόνως δι' ἑαυτοῦ, ἀνασκευάζεται δὲ καὶ διὰ τοῦ καθόλου καταφατικοῦ καὶ διὰ τοῦ μερικοῦ· ἐὰν γὰρ δείξω ὅτι ἢ παντὶ ἢ τινί, ἀνεῖλον τὸ οὐδενί. τὸ δὲ μερικὸν ἀποφατικὸν ἀνασκευάζεται διὰ μόνου τοῦ καθόλου καταφατικοῦ, κατασκευάζεται δὲ ἐν πᾶσι τοῖς σχήμασι καὶ διὰ πλειόνων τρόπων. ὥστε τὸ μὲν καθόλου καταφατικὸν πρὸς μὲν κατασκευὴν δυσχερές· δι' ἑνὸς γὰρ τρόπου καὶ σχήματος κατασκευάζεται· πρὸς ἀνασκευὴν δὲ εὐχερές, διότι καὶ τῷ καθόλου ἀποφατικῷ καὶ τῷ μερικῷ ἀναιρεῖται, ὧν τὸ μὲν καθόλου ἐν δύο σχήμασι δείκνυται, ἅπαξ μὲν ἐν τῷ πρώτῳ, δὶς δὲ ἐν τῷ δευτέρῳ, τὸ δὲ μερικὸν ἀποφατικὸν ἐν πᾶσι τοῖς σχήμασι, καὶ ἐν μὲν τῷ πρώτῳ ἅπαξ, ἐν δὲ τῷ δευτέρῳ δίς, ἐν δὲ τῷ τρίτῳ τρίς. ὁμοίως τὸ καθόλου ἀποφατικὸν μᾶλλον μὲν δυσχερὲς κατασκευάσαι, ἧττον δὲ ἀνασκευάσαι διὰ τὰς αὐτὰς αἰτίας. τρίτην ἔχει τάξιν τὸ μερικὸν καταφατικόν, καὶ τετάρτην τὸ μερικὸν ἀποφατικόν.

p. 43a3 Καὶ γὰρ ἢν μηδενὶ καὶ ἢν τινὶ μὴ ὑπάρχῃ, ἀνῄρηται.

Δηλονότι τὸ καθόλου καταφατικόν· τοῦτο γάρ ἐστι τὸ δι' ἀμφοτέρων τῶν ἀποφατικῶν ἀναιρούμενον, καὶ τοῦ καθόλου καὶ τοῦ μερικοῦ.

p. 43a6 Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν στερητικῶν.

Τὸν αὐτὸν τρόπον τὸ μὲν καθόλου πρὸς κατασκευὴν μὲν δυσχερέστερον τοῦ μερικοῦ πρὸς ἀνασκευὴν δὲ εὐχερέστερον.

p. 43a6 Καὶ γὰρ εἰ παντὶ καὶ εἰ τινί, ἀναιρεῖται τὸ ἐξ ἀρχῆς.

Τουτέστι τὸ καθόλου ἀποφατικόν· τοῦτο γὰρ δι' ἀμφοτέρων τῶν καταφατικῶν ἀναιρεῖται, καὶ τοῦ καθόλου καὶ τοῦ μερικοῦ. καὶ τοῦτο βουλόμενος σημᾶναι, λέγω δὴ τὸ καθόλου ἀποφατικόν, ἐπήγαγε τοῦτο δὲ ἦν ἐν δυσὶ σχήμασιν.

p. 43a10 Ὅλως τε οὐ δεῖ λανθάνειν ὅτι ἀνασκευάσαι μὲν δι' ἀλλήλων ἔστι καὶ τὰ ἑξῆς.

Ὅτι, φησί, μᾶλλον τῶν καθόλου τὰ μερικὰ δυνατὸν κατασκευάσαι ἀνασκευάσαι δὲ δυσχερέστερον, κοινῷ λόγῳ πρόδηλόν ἐστιν, ὅτι τὰ μὲν μερικὰ

---

2 καὶ prius om. Bt 3 τε deleverim 4 καταφατικὸν B 5 καὶ prius om. Bt ἂν U 7 μόνου om. U 9 post ἑνὸς add. μὲν Bt 13. 14 δίς—τρίς t: δεύτερον—τρίτον BU 14 μᾶλλο pr. B δυσχερὲς scripsi: εὐχερὲς BUt 17 ἢν—ἢν BUt ὑπάρχειν U 23 ἀνῄρηται t Arist. 25 τὸ—τὸ μερικὸν U

κατασκευάζεται καὶ δι' ἑαυτῶν καὶ διὰ τῶν καθόλου· δι' ἑαυτῶν μέν, ὡς LXVI[v]
ὅταν δείξω ὅτι τὶ ζῷον ἄνθρωπος ⟨· εἰ γὰρ τὶ ζῷον ἄνθρωπος⟩, καὶ οὐ
πᾶν ζῷον ἄνθρωπος· διὰ τῶν καθόλου δέ, ὡς ὅταν δείξω ὅτι πᾶς ἄνθρωπος
ζῷον· εἰ γὰρ πᾶς, δῆλον ὅτι καὶ τὶς· καὶ πάλιν ὅταν δείξω ὅτι οὐδεὶς λίθος
ἄνθρωπος, δῆλον ὅτι καὶ οὐ πᾶς· εἴρηται γὰρ πολλάκις πῶς λαμβάνεται ἡ
μερικὴ ἀποφατική. κατασκευάζεται μὲν ⟨δὴ⟩ διχῶς τὰ μερικά, ἀνασκευάζεται
δὲ μόνως διὰ τῶν καθόλου, τὸ μὲν τὶς διὰ τοῦ οὐδείς, καὶ τὸ οὐ πᾶς διὰ
τοῦ πᾶς. τὰ μέντοι καθόλου κατασκευάζεται μὲν μόνως δι' ἑαυτῶν, ἀνα-
σκευάζεται δὲ καὶ δι' ἑαυτῶν καὶ διὰ τῶν μερικῶν, τὸ μὲν πᾶς διὰ τοῦ
οὐδεὶς καὶ οὐ πᾶς, τὸ δὲ οὐδεὶς διὰ τοῦ πᾶς καὶ τὶς.

p. 43a 14 Ἅμα δὲ δῆλον ὅτι καὶ τὸ ἀνασκευάζειν ἐστὶ τοῦ κατασκευάζειν ῥᾷον.

Οὐ καθόλου δεῖ ἐκλαβεῖν τοῦτο, ἐπεὶ ψευδὴς ἔσται ὁ λόγος· τὰ γὰρ μερικὰ μᾶλλον κατασκευάζεται ἢ ἀνασκευάζεται, ὡς δέδεικται. ὥστε ἐπὶ τῶν καθόλου τοῦτο ἂν ἁρμόζοι μόνον. |

1 καὶ δι' αὐτῶν B 2 ὅτι—4 δείξω iterat, iterata del. B τὶ scripsi: τὸ BUt ante ἄνθρωπος add. ὁ U εἰ—ἄνθρωπος addidi 5 εἴρηται] velut p. 82,1 sq. 6 δὴ addidi τὰ μερικὰ διχῶς U 7 τὸ (ante οὐδείς) U 10 ante τὶς add. τοῦ U 13 δεῖ BU: δὲ t 15 τοῦτο ἂν Bt: τὸ ἀνασκευάζειν U μόνων conicio τέλος τῶν ὑποθετικῶν συλλογισμῶν subscr. B

ΠΕΡΙ ΕΥΠΟΡΙΑΣ ΠΡΟΤΑΣΕΩΝ ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ. LXVII r

p. 43a20 Πῶς δὲ εὐπορήσομεν αὐτοὶ πρὸς τὸ τιθέμενον ἀεὶ συλλογισμῶν, καὶ διὰ ποίας ὁδοῦ λήψόμεθα τὰς περὶ ἕκαστον ἀρχάς, νυνὶ λεκτέον.

Πέρας ἔσχε τὸ πρῶτον τοῦ βιβλίου τμῆμα, ἐν ᾧ περὶ τῆς γενέσεως τῶν συλλογισμῶν ἡμῖν διελέχθη. νῦν λοιπὸν τοῦ δευτέρου μέρους ἄρχεται, ἐν ᾧ διδάσκει πῶς οἷόν τέ ἐστι προβλήματος ἡμῖν τιθεμένου εὐπορῆσαι προτάσεων τῶν κατασκευαζουσῶν τοῦτο, οἷον εἴ τις ἡμῖν προβάλλοιτο πόθεν δῆλον εἰ ἡ ψυχὴ ἀθάνατος, τίνι χρησάμενοι μεθόδῳ προτάσεις εὑρεῖν δυνησόμεθα, ἃς συμπλέξαντες ἀλλήλαις τὸ προκείμενον κατασκευάσομεν. ἐπιστήμονος γάρ ἐστι μὴ μόνον τὰ εἴδη τῶν ὑποβεβλημένων αὐτῷ πραγμάτων ἐπισκέπτεσθαι ἀλλὰ καὶ τὴν ὕλην τὴν ἐπιτηδείαν εἰς καταδοχὴν τῶν τοιούτων εἰδῶν ἐκλέγεσθαι, οἷον ὁ ναυπηγὸς τὰ ἐπιτήδεια εἰς κατασκευὴν τοῦ πλοίου ξύλα, καὶ ὁ οἰκοδόμος τοὺς ἐπιτηδείους εἰς οἰκοδομίαν λίθους, καὶ ἐπὶ πάντων ὡσαύτως. οὕτως καὶ ὁ Ἀριστοτέλης τὰ εἴδη τῶν συλλογισμῶν ἡμῖν παραδοὺς (εἴδη δὲ τῶν συλλογισμῶν τὰ συμπεράσματα) καὶ εἰπὼν ποῖον ἐν ἑκάστῳ συλλογισμῷ γίνεται τὸ συμπέρασμα, ἔν τε τοῖς ἁπλοῖς καὶ ἐν τοῖς μικτοῖς, νῦν λοιπὸν διδάσκει πῶς τὰς εἰς ἕκαστον συμπέρασμα προτάσεις εὑρεῖν δυνησόμεθα· ὕλη δὲ τῶν συλλογισμῶν αἱ προτάσεις. πρὶν δὲ τὴν μέθοδον ἡμῖν ταύτην παραδοῦναι ζητεῖ πρότερον περὶ ὧν ὅλως πεφύκαμεν συλλογίζεσθαι. τριχῇ γάρ, φησί, τῶν πραγμάτων διῃρημένων, καὶ τῶν μὲν καθολικωτάτων ὄντων καὶ ἀεὶ κατὰ ἄλλων κατηγορουμένων μηδέποτε δὲ ὑποκειμένων ἄλλοις εἰς κατηγορίαν, οἷά ἐστι τὰ γενικώτατα, λέγω δὴ αἱ δέκα κατηγορίαι, τῶν δὲ μηδέποτε κατ' ἄλλου κατηγορουμένων κυρίως ἀεὶ δὲ ὑποκειμένων, οἷά

Inscripsi ex U cf. p. 280,13, 290,4.5, 315,6: Τοῦ αὐτοῦ φιλοπόνου εἰς τὸ περὶ εὐπορίας προτάσεων B: Ἰωάννου γραμματικοῦ ἀλεξανδρέως ἐκ τῶν συνουσιῶν ἀμμωνίου τοῦ ἑρμείου τῶν εἰς τὰ τρία τὸ δεύτερον: — περὶ εὐπορίας προτάσεων τμῆμα δεύτερον U: Εἰς τὸ πρῶτον τῶν προτέρων ἀναλυτικῶν. | Βιβλίον δεύτερον t 3 αὐτοὶ om. B 10 χρησόμεθα U post μεθόδῳ add. καὶ U 12 μόνων t αὐτῶν t 14 τοῦ om. U 15 ὁ om. U 23 καὶ SU: om. Bt 24 ἀλλήλοις B δὴ SU: δὲ Bt

ἐστι τὰ μερικὰ καὶ ἄτομα πάντα, τῶν δὲ μέσως ἐχόντων καὶ ποτὲ μὲν LXVIIr
κατηγορουμένων τινῶν ποτὲ δὲ ὑποκειμένων ἄλλοις εἰς κατηγορίαν, ζητητέον
περὶ τίνων οἱ συλλογισμοὶ καὶ αἱ σκέψεις ἡμῖν εἰσι. δῆλον δὲ ὡς σχεδὸν περὶ
μόνα τὰ μέσα. εἰ γὰρ ὁ συλλογισμὸς βούλεται ζητεῖν τι κατά τινος ἢ ἀπό
τινος ὑπάρχον, τὰ δὲ γενικώτατα οὐκ ἔχουσιν ἑαυτῶν ἕτερα κατηγορούμενα,
δῆλον ὅτι οὐχ ἕξει τις περὶ τούτων συλλογίσασθαι. αἱ γὰρ περί τινων
σκέψεις ⟨εἰσὶ⟩ πότερον τόδε τῷδε ὑπάρχει ἢ οὐχ ὑπάρχει, οἷον τῇ ψυχῇ τὸ
ἀθάνατον ἢ οὔ· ὥστε καὶ τὰ περὶ τῶν γενικωτάτων προβλήματα, εἴπερ
ἔστι, περὶ τούτων ἂν εἴη, οἷον εἰ ἡ οὐσία τυχὸν γέγονεν ἢ ἀγένητός ἐστιν.
ὥστε εἰ μηδέν ἐστι τῶν καθολικωτάτων γενῶν κατηγορούμενον, ἐπεὶ μηδὲν
καθολικώτερον, οὐδὲ πρόβλημα ἂν εἴη περὶ ἐκείνων οὐδὲ συλλογισμός.
πλὴν σπανίως περὶ τούτων γίνεται προβλήματα· ποῖα δὲ καὶ πῶς, αὐτὸς
διδάξει. αὐτὰ μέντοι ὅτι ἑτέροις ὑπάρχει ἢ οὐχ ὑπάρχει, δυνατὸν συλλο-
γίσασθαι. περὶ δὲ τῶν καθ' ἕκαστα ὁμοίως οὐδεὶς συλλογίζεται, οἷον τί
ὑπάρχει ἢ οὐχ ὑπάρχει Σωκράτει ἢ Πλάτωνι· αἰσθητὰ γὰρ ταῦτα, τὰ δὲ
αἰσθητὰ αἰσθήσει ληπτά, οὐ λόγῳ. εἰ γάρ τις περὶ Σωκράτους πειραθείη
ἀποδεικνύναι ὅτι λευκὸς ἢ σιμός, πρὸς τῷ μηδὲ ἔχειν ὅλην ἐπιτηδείαν εἰς
συλλογισμοῦ γένεσιν καὶ ἀσαφέστερον ποιήσει τὸ πρᾶγμα τῆς δι' αἰσθήσεως
ἀντιλήψεως. ὥστε τὰ προβλήματα καὶ οἱ συλλογισμοὶ ὡς ἐπίπαν περὶ τῶν
μεταξὺ γίνονται.

Τὰς περὶ ἕκαστον ἀρχάς, τουτέστι τὰς προτάσεις τὰς περὶ ἕκαστον πρόβλημα.

p. 43a25 Ἁπάντων δὴ τῶν ὄντων τὰ μέν ἐστι τοιαῦτα ὥστε κατὰ μηδενὸς ἄλλου κατηγορεῖσθαι ἀληθῶς καθόλου, οἷον Κλέων καὶ Καλλίας καὶ τὸ καθ' ἕκαστον καὶ αἰσθητόν.

Οὐδὲν γὰρ τῶν μερικῶν πέφυκε κατ' ἄλλου κατηγορεῖσθαι πλὴν κατὰ συμβεβηκός, ὡς ἐφεξῆς λέξομεν, καὶ τοῦτο οὐ καθόλου ἀλλὰ μερικῶς· ἐὰν γὰρ εἴπω ὅτι πᾶς ἄνθρωπος Σωκράτης ἐστὶν ἢ Πλάτων, δῆλον ὅτι ψευδὴς ἡ τοιαύτη κατηγορία. προσέθηκε δὲ καὶ τὸ αἰσθητόν, διότι πάντα τὰ αἰσθητὰ μερικά ἐστι. καὶ αὐτὰ μὲν ὑπόκειται ἄλλοις εἰς κατηγορίαν, καὶ τοῖς καθόλου καὶ τοῖς συμβεβηκόσιν· αὐτὰ δὲ ἄλλων οὐ κατηγορεῖται, εἰ μὴ ἢ παρὰ φύσιν, ὡς ὅταν εἴπω 'τὸ φαλακρὸν τοῦτο Σωκράτης ἐστίν', ἢ κατὰ συμβεβηκός, ὡς ὅταν εἴπω 'τὸ φαλακρὸν τοῦτο φιλόσοφός ἐστιν'.

---

4 post ἢ add. τί U 7 εἰσὶ addidi πρότερον pr. U, corr. U² τὸ om. t
9 τούτου U εἰ om. pr. B ἀγέννητος U 12 γίνονται S προβλήματα SU: πρόβλημα Bt ποῖ U αὐτὸ Ut 13 διδάξει] p. 43a39 15 σωκράτους (e σωκράτος, ut videtur, corr.) ἢ πλάτωνος B 17 τὸ U μηδὲ SU: μὴ Bt
18 αἰσθήσεως SU: αἴσθησιν Bt 25 ante αἰσθητόν add. τὸ BU: om. t Arist.
30 εἰσι B ἀλλήλοις B 32 ἢ libri 33 φιλόσοφον U

p. 43a34 Ὥστε μὴ κατηγορεῖσθαι κατὰ μηδενός, πλὴν ὡς κατὰ συμβεβηκός. LXVII^r

Οὐδέν, φησί, τῶν μερικῶν κατ' ἄλλου κατηγορεῖται, εἰ μὴ κατὰ συμβεβηκός, ὡς ὅταν λέγωμεν ὅτι τὸ φαλακρὸν ἐκεῖνο Σωκράτης ἐστίν. ἰστέον δὲ ὅτι ἐν τῇ Φυσικῇ ταύτην τὴν κατηγορίαν παρὰ φύσιν εἶπεν εἶναι, οὐ κατὰ συμβεβηκός, ἀληθέστερον λέγων. τῶν γὰρ κατηγοριῶν, φησὶν LXVII^v ἐν ἐκείνοις, αἱ μέν εἰσι κατὰ φύσιν αἱ δὲ παρὰ φύσιν αἱ δὲ κατὰ συμβεβηκός. καὶ κατὰ φύσιν μέν, ὡς ὅταν ἢ τὰ καθολικώτερα τῶν μερικωτέρων κατηγορῶμεν, ὡς τὸν ἄνθρωπον Καλλίου καὶ τὸ χρῶμα λευκοῦ, ἢ τὰ συμβεβηκότα τῶν οὐσιῶν, ὡς ὅταν λέγωμεν ὅτι Σωκράτης φιλόσοφός ἐστιν ἢ σιμός. παρὰ φύσιν δέ, ὡς ὅταν τὰς οὐσίας τῶν συμβεβηκότων κατηγορῶμεν, ἣν ἐνταῦθα εἶπε κατὰ συμβεβηκός, ὡς ὅταν εἴπωμεν ὅτι τὸ προσιὸν φαλακρὸν Σωκράτης ἐστί. κατὰ συμβεβηκὸς δέ, ὡς ὅταν συμβεβηκὸς συμβεβηκότος κατηγορῶμεν, ὡς ὅταν εἴπωμεν ὅτι τὸ φαλακρὸν ἐκεῖνο φιλόσοφός ἐστι· συμβέβηκε γὰρ τῷ φαλακρῷ φιλοσόφῳ εἶναι.

p. 43a36 Ὅτι δὲ καὶ ἐπὶ τὸ ἄνω πορευομένοις ἵσταταί ποτε, πάλιν ἐροῦμεν· νῦν δ' ἔστω τοῦτο κείμενον.

Ὥσπερ, φησίν, ἐπὶ τὸ κάτω πορευόμενοι, ἐπειδὰν ἔλθωμεν εἰς τὰ μερικώτατα, οὐκέτι ἔχομεν κατὰ τίνος αὐτὰ κατηγορήσομεν, ἀλλὰ μένουσι μόνως ὑποκείμενα, ὡσαύτως δὲ καὶ ἐπὶ τὸ ἄνω ἀνιόντες, τουτέστιν ἐπὶ τὰ καθολικώτερα, ἐμπίπτομεν εἴς τινα ὧν οὐκέτι καθολικώτερα εὑρεῖν δυνάμεθα ὥστε κατηγορεῖν αὐτὰ κατὰ τούτων, ἀλλὰ μένουσι ταῦτα μόνως κατηγορούμενα· ταῦτα δέ ἐστιν αἱ δέκα κατηγορίαι. τοῦτο οὖν, φησίν, ὅτι οὕτως ἔχει, λέγω δὴ ὅτι ἔστι τινὰ καθολικώτατα μὴ ἔχοντα ἐπέκεινα ἑαυτῶν ἄλλα τινά, δείξομεν ἐν ἑτέροις· ἔδειξε γὰρ ἐν τῇ Ἀποδεικτικῇ ὅτι οὐκ ἐπ' ἄπειρον προΐασιν αἱ κατηγορίαι, ἀλλ' ἀνάγκη ἵστασθαι καὶ ἐπὶ τὸ ἄνω καὶ ἐπὶ τὸ κάτω. νῦν δὲ τοῦτο ὡς ὡμολογημένον εἰλήφθω, φησί.

p. 43a37 Κατὰ μὲν οὖν τούτων οὐκ ἔστιν ἀποδεῖξαι κατηγορούμενον ἕτερόν, πλὴν εἰ μὴ κατὰ δόξαν.

Ἀληθῶς μέν, φησίν, οὐδέν ἐστι τῶν δέκα κατηγοριῶν κατηγορούμενον, πλὴν εἰ μὴ δόξα τις κεκράτηκεν οὐκ ἀληθὴς παρά τισιν. ἐνόμισαν γάρ τινες τὸ ὂν ὡς γένος κατηγορεῖσθαι τῶν δέκα κατηγοριῶν· ἐδείχθη δὲ

---

5 δὲ om. Ut ἐν τῇ Φυσικῇ] nescio ubi 6 γὰρ om. U κατηγορικῶν pr. U 9 καὶ χρώματος U 10 ὅτι U: ὁ Bt 12 εἴπωμεν U: εἴπω Bt 14 ante συμβεβηκότος add. κατὰ U 15 φιλόσοφον U γὰρ om. U 16 καὶ om. B τῶν U πορευόμενος U τότε U 18 ὥστε U 20 δὲ om. t cf. p. 289,9 τὰ (ante ἄνω) U 25 αὐτῶν B ἐν τῇ Ἀποδεικτ.] I 22 27 κάτω—ἄνω U ὁμολογούμενον pr. B φησὶν εἰλήφθω U

τοῦτο ἐν Κατηγορίαις οὐκ ἀληθὲς ὄν, ἀλλ' ὅτι ὁμώνυμός ἐστι φωνὴ τὸ LXVII[v]
ὂν εἰς διάφορα σημαινόμενα διαιρουμένη. πάλιν καὶ τὸ ἕν τινες ἐδόξασαν αὐτῶν κατηγορεῖσθαι, ὅπερ οὐδὲ αὐτὸ γένος ἐστίν, ἀλλ' ὥσπερ καὶ τὸ ὂν ὁμώνυμος φωνή. ἀλλὰ καὶ οἱ ἕν τι τῶν στοιχείων ἀρχὴν ὑποτιθέμενοι,
5 ἢ τὸ ὕδωρ ἢ τὸ πῦρ ἢ ἄλλο τι παρὰ ταῦτα, τοῦτο δῆλον ὅτι ὡς γένος τῶν δέκα κατηγοριῶν κατηγορήσουσιν.

p. 43ᵃ42 Καὶ σχεδὸν οἱ λόγοι καὶ αἱ σκέψεις εἰσὶ μάλιστα περὶ τούτων.

Εἰκότως· οἱ γὰρ συλλογισμοὶ καὶ αἱ ἀποδείξεις ζητοῦσι τί τινος κατη-
10 γορεῖται ἢ οὐ κατηγορεῖται, οἷον τῆς ψυχῆς τὸ ἀθάνατον κατηγορεῖται ἢ οὔ. τὰ τοίνυν γενικώτατα ἅτε ἄλλα μὴ ἔχοντα ἑαυτῶν κατηγορούμενα οὐδεμίαν τοιαύτην ζήτησιν ἔχει. τὰ δὲ μερικώτατα πάλιν, ἅπερ ἐστὶ τὰ αἰσθητά, ἐπειδὴ μόνως ὑπόκειται, ὁμοίως οὐδὲν ἔχει τοιοῦτον ζήτημα. τὰ δὲ μέσα, ἐπειδὴ ὑποκεῖσθαι καὶ κατηγορεῖσθαι πέφυκε, ταῦτα ἔχει τὴν
15 ζήτησιν, τί τινος ἢ κατηγορεῖται ἢ οὐ κατηγορεῖται.

p. 43ᵇ1 Δεῖ δὲ τὰς προτάσεις τὰς περὶ ἕκαστον οὕτω λαμβάνειν, ὑποτιθέμενον αὐτὸ πρῶτον καὶ τοὺς ὁρισμοὺς καὶ ὅσα ἴδια τοῦ πράγματός ἐστιν.

Εἰπὼν περὶ τίνων αἱ ἀποδείξεις καὶ τὰ προβλήματα, ὅτι περὶ τῶν μεταξύ,
20 ἃ πέφυκε κατηγορεῖσθαί τέ τινων καὶ ὑποκεῖσθαι ἄλλοις, ἐντεῦθεν λοιπὸν τὰς μεθόδους ἡμῖν παραδίδωσι τῆς εὑρέσεως τῶν προτάσεων τοῦ προτεθέντος προβλήματος. διό φησιν, ὅταν βουλώμεθά τι ὑπάρχον ἢ μὴ ὑπάρχον κατασκευάσαι, ἐκτίθεσθαι πρῶτον αὐτὸν τὸν κατηγορούμενον ὅρον καὶ τὸν ὑποκείμενον. οἷον ζητοῦμεν δεῖξαι ὅτι ἡ ἡδονὴ ἀγαθόν ἐστι· σημειω-
25 τέον τό τε ἀγαθὸν καὶ τὴν ἡδονήν. εἶτα ζητητέον καὶ σημειωτέον τὸ τί ἑκατέρῳ αὐτῶν ἕπεται, οἷον ὅτι τῷ μὲν ἀγαθῷ τὸ ὠφέλιμον καὶ τὸ αἱρετὸν καὶ τὰ ἄλλα τὰ ἐν τῷ διαγράμματι, τῇ δὲ ἡδονῇ ἡ κίνησις καὶ ἡ ἐνέργεια ἡ κατὰ φύσιν καὶ τὰ λοιπά. πάλιν, φησίν, ἐκλεκτέον καὶ οἷς ἕπεται ἑκάτερον τούτων· οἷον τὸ μὲν ἀγαθὸν ἕπεται τῇ εὐδαιμονίᾳ καὶ
30 τοῖς λοιποῖς, ἡ δὲ ἡδονὴ τῇ ὑγιείᾳ καὶ τοῖς λοιποῖς. δῆλον δὲ ὅτι τὰ μὲν ἑπόμενά τινι ἢ ἐπὶ πλέον ἐστὶν ἢ ἐξισάζει· ἕπεται γὰρ τῷ ἀνθρώπῳ καὶ τὸ ζῷον ⟨ὂν⟩ ἐπὶ πλέον καὶ τὸ γελαστικὸν ⟨ὂν⟩ ἐπ' ἴσης, ὥστε ἐν κατηγορουμένοις τετάξεται. τὰ δὲ οἷς ἕπεται ἢ ἐπ' ἴσης ἢ ἐπ' ἔλαττον· καὶ γὰρ καὶ τῷ γελαστικῷ ἐπ' ἴσης ὄντι ἕπεται καὶ τῷ

1 ἐν Κατηγ.] cf. Phil. p. 15,13 Porph. p. 61,10 sq. 2 διαιρούμενον B ἔδοξαν BS
4 ὁμώνυμος φωνή S: om. BUt 5 ἢ τὸ ὕδωρ SU: om. Bt post ἢ t-rt. add. καὶ t
post τοῦτο add. γὰρ BUt: om. S δηλοῖ B 11 εἴτε t 13 τοιοῦτο t
16 δὲ BUt (m): δὴ Arist. post ἕκαστον add. τούτων t (m n) ἐκλεκτέον t Arist.
17 ὑποτιθέμενον BUt (corr. B u): ὑποθέμενον Arist. αὐτῶ U post τοὺς add. τε Arist.
cf. p. 275,18 20 τέ om. U ἄλλοις scripsi: ἀλλήλοις BUt 22 δεῖ οὖν, φησίν conicio
βουλόμεθά t 24 ἡ Ut: εἰ B 26 τὸ prius om. U 27 καὶ alt. om. Ut 30 ἄλλοις U
ᵘγεία B 31 ἐστὶν om. U 32 ὂν utrumque addidi ante ἐπὶ add. ὡς U

φιλοσόφῳ ἢ γραμματικῷ ἐπ' ἔλαττον ὄντι· ὥστε καὶ τὰ οἷς ἕπεταί τι LXVII[v]
ἐν ὑποκειμένου μοίρᾳ αὐτῷ τετάξεται. ἔτι, φησίν, ἐκλεκτέον καὶ τὰ τούτων 45
ἀλλότρια, οἷον τοῦ μὲν ἀγαθοῦ τὸ ἀτελές, τὸ φευκτόν, τῆς δὲ ἡδονῆς ἡ
νόσος, ὁ πόνος. ταῦτα γὰρ οὕτως ἐκλεξαμένοις ῥᾴδια ἔσται ἡ τῶν προτά-
5 σεων εὕρεσις, ὡς ἐν τοῖς ἑξῆς δειχθήσεται. ἐκθέμενοι οὖν ἡμεῖς ὡς ἐπὶ
τούτων τῶν ὅρων, λέγω δὴ τοῦ ἀγαθοῦ καὶ τῆς ἡδονῆς, χαρακτῆρα τοῦ
διαγράμματος τὴν λέξιν αὐτὴν ἐπισκεψώμεθα. | LXVIII[r]



1 τι t: τῇ U: om. B 2 post τὰ add. τῶν t 4 ἐκλεξάμενος pr. U 5 ἐκθέμενοι] οι supra lac. add. B[2] S conspectum dedi e B, cui similia praebent Ut

Ἔστιν οὖν τὸ μὲν ἐφ' ᾧ τὸ Α ἀγαθόν, τουτέστιν ὁ κατηγορού- LXVIII r
μενος ὅρος, τὰ δὲ ἐφ' ὧν τὸ Β τὰ ἑπόμενα αὐτῷ, ἅπερ ἐστὶν αὐτοῦ καθολικώτερα καὶ κατηγορεῖται αὐτοῦ, τὰ δὲ ἐφ' ὧν τὸ Γ οἷς τὸ ἀγαθὸν ἕπεται· ἔστιν οὖν αὐτῶν καθολικώτερον τὸ ἀγαθὸν καὶ κατηγορεῖται αὐτῶν· τὰ δὲ ἐφ' ὧν τὸ Δ τὰ ἀλλότρια τοῦ ἀγαθοῦ, ὧν καὶ αὐτὸ ἀποφάσκεται καὶ αὐτὰ αὐτοῦ. πάλιν τὸ μὲν ἐφ' ᾧ τὸ Ε ἡ ἡδονή, τουτέστιν ὁ ὑποκείμενος ὅρος ἐν τῷ προβλήματι, τὰ δὲ ἐφ' ὧν τὸ Ζ τὰ ἑπόμενα αὐτῷ, τὰ δὲ ἐφ' ὧν τὸ Η οἷς αὐτὸ ἕπεται, τὰ δὲ ἐφ' ὧν τὸ Θ τὰ ἀλλότρια αὐτοῦ. ἐκεῖνο δὲ ἐπισημήνασθαι ἀναγκαῖον, ὅτι ἐπειδὴ πολλά ἐστιν ἐξισάζοντα, ὥσπερ τὸ ἀγαθὸν καὶ τὸ ἐφετόν, δῆλον δήπου ⟨ὅτι⟩ ἐν τούτοις θάτερον θατέρῳ ἕπεσθαι ἂν λέγοιτο· καὶ γὰρ τὸ ἀγαθὸν ἐφετόν, καὶ τὸ ἐφετὸν ἀγαθόν. ἐν οὖν τοῖς τοιούτοις οὐ διαφέρει πρὸς τὸ προκείμενον λαμβάνειν τὸ ἑπόμενον. εἰ μὲν γὰρ τὸ προκείμενον ἐν τῇ σκέψει εἴη τὸ ἀγαθόν, ληψόμεθα ὡς ἑπόμενον αὐτῷ τὸ ἐφετόν· εἰ δὲ τὸ ἐφετὸν εἴη τὸ προκείμενον, ὡς ἑπόμενον αὐτῷ τὸ ἀγαθὸν ληψόμεθα. καὶ οὕτως ἐπὶ τῶν ἄλλων πάντων.

Ὑποτιθέμενον αὐτὸ πρῶτον, τουτέστι τὸν προκείμενον ἡμῖν ἐν τῷ προβλήματι ὅρον, τόν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον.

Καὶ τοὺς ὁρισμούς τε καὶ ὅσα ἴδια τοῦ πράγματός ἐστιν. ἔστι γὰρ ὅτε καὶ τῶν ὁρισμῶν εἰς τὰς ἀποδείξεις δεόμεθα. τὰ δὲ ἴδια οἷον τὸ γελαστικὸν τοῦ ἀνθρώπου, τὸ πλατυώνυχον, τὸ ὀρθοπεριπατητικόν, τὸ μόνον τῶν ζῴων χερσὶ κεχρῆσθαι. ταῦτα δὲ ἅτε ἴδια ὄντα καὶ ἀντιστρέφοντα καὶ ὡς ἑπόμενα δύναται εἶναι τοῦ ἀνθρώπου καὶ ὡς οἷς αὐτὸς ἕπεται.

p. 43ᵇ3 Εἶτα μετὰ ταῦτα ὅσα ἕπεται τῷ πράγματι, καὶ οἷς τὸ πρᾶγμα αὐτὸ ἀκολουθεῖ. |

Τῷ ἀνθρώπῳ ἕπεται τὸ ζῷον, τὸ λογικόν. ἕπεται δὲ ὁ ἄνθρω- LXVIII v
πος τῷ φιλοσόφῳ, τῷ γραμματικῷ ἢ τῷ σιμῷ ἢ τῷ Σωκράτει ἢ τῷ Πλάτωνι.

p. 43ᵇ4 Καὶ ὅσα μὴ ἐνδέχεται αὐτῷ ὑπάρχειν.

Ὅτι οὐχ ὑπάρχει ἀνθρώπῳ τὸ ἀθάνατον, τὸ ἄλογον, τὸ πτερωτὸν καὶ τὰ ὅμοια.

---

1 οὖν Bt: μὲν U τὸ α U: inv. ord. Bt 2 τὰ—ὧν scripsi: τὸ—ῶ libri τὸ om. Bt 3 ὧν scripsi itemque in seq.: ῶ ubique libri 6 τὸ μὲν om. U τὸ alt. om. Bt 7 αὐτῶν U 8 αὐτὸς Ut τὰ ex ἄρα, ut videtur, corr. B 10 ὅτι addidi cf. p. 297,22 12 οὐδὲν t 14 αὐτοῦ B 15 αὐτὸ U 16 ὑποτιθέμενον U (corr. Bu): ὑποτιθέμενος Bt: ὑποθέμενον Arist. cf. p. 273,17 20 πλατυόνυχον B 22 ὡς οἷς scripsi: ὅσοις Ut: οἷς B cf. p. 247,1 24 ante ὅσα add. καὶ Bt: om. U Arist. post καὶ add. πάλιν t Arist. 26 ἀκολουθεῖ (post ἀνθρώπῳ) B 27 τῷ quint. om. U 30 ὅτι] οἷον conicio ante ἀνθρ. add. τῷ t

p. 43b5 Οἷς δ' αὐτὸ μὴ ἐνδέχεται, οὐκ ἐκλεκτέον διὰ τὸ LXVIII[v]
ἀντιστρέφειν τὸ στερητικόν.

Οὐκ ἐκλεκτέον, φησί, τίσιν ὁ ἄνθρωπος οὐχ ἕπεται, εἰ ἄνθρωπος εἴη τὸ προκείμενον εἰς σκέψιν· ἐν γὰρ τῷ λαβεῖν τίνα αὐτῷ οὐχ ἕπεται ἔχομεν καὶ τίσιν αὐτὸς οὐχ ἕπεται· ἀντιστρέφει γὰρ πρὸς ἑαυτὴν ἡ καθόλου ἀποφατική· εἰ γὰρ οὐδενὶ ἀνθρώπῳ ἕπεται τὸ ἄλογον ἢ τὸ ἀθάνατον, οὐδὲ ἄρα οὐδενὶ τούτων ἕπεται ὁ ἄνθρωπος ἐξ ἀνάγκης.

p. 43b6 Διαιρετέον δὲ καὶ τῶν ἑπομένων ὅσα τε ἐν τῷ τί ἐστι καὶ ὅσα ἴδια καὶ ὅσα ὡς συμβεβηκότα κατηγορεῖται.

Εἰπὼν δεῖν ἐκλέγεσθαι τοὺς ὁρισμοὺς καὶ τὰ ἴδια τοῦ πράγματος καὶ τὰ ἑπόμενα αὐτῷ διαίρεσιν νῦν τῶν ἑπομένων ποιεῖται· τῶν γὰρ ἑπομένων, φησί, τὰ μέν ἐστιν οὐσιώδη τὰ δὲ ἐπουσιώδη, καὶ τῶν ἐπουσιωδῶν τὰ μὲν ἴδια τὰ δὲ συμβεβηκότα. καὶ ταῦτα οὖν ἐκλεκτέον καὶ σημειωτέον· ἕπεται γὰρ τῷ Αἰθίοπι τὸ ζῷον, τὸ γελαστικόν, τὸ μέλαν, ἀλλὰ τὸ μὲν ζῷον καθ' αὑτὸ καὶ οὐσιωδῶς, τὸ δὲ μέλαν κατὰ συμβεβηκός, τὸ δὲ γελαστικὸν ὡς ἴδιον. καὶ ἄνω δὲ τῶν ἰδίων ἐμνήσθη, ἀλλ' ἐκεῖ μὲν ὡς ἀντιδιαστέλλων αὐτὰ τοῖς καθ' αὑτὸ ὑπάρχουσι, λέγω δὴ τοῖς οὐσιώδεσιν, ἐνταῦθα δὲ ὡς τοῖς συμβεβηκόσιν ἀντιδιαστέλλων.

p. 43b8 Καὶ τούτων ποῖα δοξαστικῶς καὶ ποῖα κατ' ἀλήθειαν.

Κατὰ ἀλήθειαν μὲν οὖν ἕπεται τῇ ἡδονῇ ἡ κίνησις καὶ τὸ ὀρεκτόν, κατὰ δόξαν δὲ τὸ κατὰ φύσιν· οὐ γὰρ πᾶσα ἡδονὴ κατὰ φύσιν· ἡ γοῦν τῶν ψωριώντων ἐκ τοῦ κνήθεσθαι ἡδονὴ οὐ κατὰ φύσιν. οὐδὲ μέντοι ἡ ῥαστώνη κατ' ἀλήθειαν ἕπεται τῇ ἡδονῇ ἀλλὰ κατὰ δόξαν· οὐ γὰρ πᾶσα ἡδονὴ ῥαστώνην ποιεῖ ἢ τὸ ἀνενόχλητον· οὐδὲ γὰρ ἡ τῶν ψωριώντων· ἀλλὰ οὐδὲ ἡ αἰσχρὰ ἡδονή· ἐπιτείνει γὰρ μᾶλλον τὴν δυσχέρειαν καὶ τὰς ἐκ τῶν παθῶν ὀχλήσεις. πάλιν ταῖς δέκα κατηγορίαις, ὡς εἴπομεν, κατὰ δόξαν μὲν ἕπεται τὸ ἓν καὶ τὸ ὂν ἢ τὸ πάντα ἐξ ὕδατος εἶναι ἢ πυρὸς ἢ ἀέρος, οὐ μέντοι κατ' ἀλήθειαν.

p. 43b9 Ὅσῳ μὲν γὰρ ἂν πλειόνων τοιούτων εὐπορῇ τις, θᾶττον ἐντεύξεται συμπεράσματι.

Τοιούτων, τουτέστιν ἡγουμένων καὶ ἑπομένων καὶ ὧν ἄλλων εἴπομεν. καὶ ταῦτα ὅσῳ ἂν ᾖ ἀληθέστερα, τοσούτῳ μᾶλλον καὶ ἀποδείκνυμεν.

1 ἐκληπτέον t Arist. 3 ὁ om. U 4 ἔχομεν—5 ἕπεται om. U
8 post καὶ add. ἐπὶ B 9 ante ἴδια add. ὡς Arist. (om. A B C d u n) ὡς om. t 12 ἐπουσιώδη—ἐπουσιωδῶν, quae iam voluerat Waitz Org. I 29, BU: ἐπισοδιώδη—ἐπισοδιωδῶν t 16 post ἴδιον add. ἐπειδὴ οὖν U ἄνω] p. 43b2
21 post γὰρ add. δὴ S γοῦν S: οὖν Bt: γὰρ U 26 εἴπομεν] p. 272,32 sq.
29 εὕρῃ U 30 συμπεράσματος t 31 ὧν U: τῶν Bt post εἴπομεν add. δὲ Bt
32 post ὅσῳ add. δ' Bt τοσοῦτον U

p. 43b 11 Δεῖ δὲ ἐκλέγειν μὴ τὰ ἑπόμενα τινί, ἀλλ' ὅσα ὅλῳ τῷ πράγματι ἕπεται. LXVIIIv

Ἕπεται γὰρ τινὶ ἀνθρώπῳ, ὡς τῷ Αἰθίοπι, τὸ μέλαν, οὐ μέντοι παντί, καὶ τινὶ ἀνθρώπῳ τὸ ἑξαδάκτυλον, καὶ τινὶ ἡδονῇ τὸ κατὰ φύσιν, οὐ μέντοι πάσῃ· οὐ γὰρ δὴ καὶ τῇ τῶν κνηστιώντων. τὸ παντὶ οὖν ἑπόμενον, φησίν, ἐκλεκτέον, ἐπειδὴ τὰ ἑπόμενα κατηγορεῖται τούτων οἷς ἕπεται· δεῖ δὲ καθόλου κατηγορεῖσθαι, ἐπειδὴ καὶ καθολικῶν προτάσεων εἰς τοὺς συλλογισμοὺς δεόμεθα.

p. 43b 14 Ἀδιορίστου μὲν γὰρ ὄντος ἄδηλον εἰ καθόλου ἡ πρότασις.

Ὅτι οὐ μόνον οὐ δεῖ τὰ τινὶ ἀνθρώπῳ ἑπόμενα ἐκτίθεσθαι, ἀλλ' οὐδὲ ἀπροσδιόριστον ἐκτίθεσθαι τὸν ὑποκείμενον καὶ οὕτω τὰ ἑπόμενα αὐτῷ ζητεῖν, οἷον ἄνθρωπος, ἀλλὰ πᾶς ἄνθρωπος· αἱ γὰρ ἀπροσδιόριστοι, ὡς ἐν τῷ Περὶ ἑρμηνείας εἴρηται, ταῖς μερικαῖς ἰσοδυναμοῦσιν.

p. 43b 16 Ὁμοίως δὲ ἐκλεκτέον καὶ οἷς αὐτὸ ἕπεται ὅλοις διὰ τὴν εἰρημένην αἰτίαν.

Ὥσπερ, φησί, τὰ ἑπόμενα τοῖς ὅροις καθολικὰ δεῖ λαμβάνειν, τουτέστι τὰ ὅλοις τοῖς ὑπὸ τὸν ὅρον κατηγορούμενα, οἷον πᾶσι τοῖς ὑπὸ τὸ ἀγαθὸν ἢ τὴν ἡδονήν, οὕτω καὶ ὅταν λαμβάνωμεν τὰ οἷς ἕπεται οὕτω δεῖ λαμβάνειν ὡς πᾶσιν αὐτοῖς ἑπόμενα, οἷον πάσῃ εὐδαιμονίᾳ τὸ ἀγαθὸν καὶ πάσῃ ὑγιείᾳ τὴν ἡδονήν. ἐὰν δὲ λάβωμεν ὡς ἑπόμενον τὸ ἀγαθὸν τῇ ἡδονῇ, οὐ καθόλου ἐλάβομεν· οὐ γὰρ πάσης ἡδονῆς τὸ ἀγαθὸν κατηγορεῖται· οὐ γὰρ δὴ καὶ τῆς τῶν κναιδῶν καὶ τῶν ψωριώντων. καὶ τοῦτο οὖν καθόλου δεῖ λαμβάνειν διὰ τὴν αὐτὴν αἰτίαν, ἵνα καθολικὰς ποιῶμεν τὰς προτάσεις.

p. 43b 17 Αὐτὸ δὲ τὸ ἑπόμενον οὐ ληπτέον ὅλον ἕπεσθαι, λέγω δὲ οἷον ἀνθρώπῳ πᾶν ζῷον.

Οὐ γὰρ δεῖ λέγειν ὅτι τῇ ἡδονῇ πᾶσα κίνησις ἕπεται ἢ τῇ ὑγιείᾳ πᾶσα ἡδονὴ ἢ τῇ εὐεξίᾳ πᾶν ἀγαθόν. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ ἐν τῷ Περὶ ἑρμηνείας εἰρημένον, ὅτι τὸν προσδιορισμὸν οὐ δεῖ τῷ κατηγορουμένῳ συντάττειν ἀλλὰ τῷ ὑποκειμένῳ· οὐ γὰρ δεῖ λέγειν ὅτι ἡ εὐεξία πᾶν ἀγαθόν ἐστιν, ἀλλὰ ἀνάπαλιν πᾶσα εὐεξία ἀγαθόν. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

---

1 τινὶ ἑπόμενα t 3 ὡς om. U 5 φησιν ἑπόμενον U 6 post δὲ add. τὰ t 10 οὐδὲ SU: οὐδὲν Bt 11 ἀπροσδιορίστως S τὸν SU: τοιοῦτον Bt 12 ὡς superscr. B 12. 13 ἐν τῷ Περὶ ἑρμ.] c. 7 p. 17b 29 sq. 17. 18 τὴν ἡδονὴν ἢ τὸ ἀγαθὸν U 18. 19 post λαμβάνειν add. τὸ οἷς ἕπεται U 19 ἑπόμενον U 20 τὸ om. t 27 ὑγεία B 29 ἐν τῷ Περὶ ἑρμ.] c. 7 p. 17b 12 sq. 30 γὰρ om. B ἡ om. U

p. 43b19 Ἀλλὰ μόνον ἁπλῶς ἀκολουθεῖν, καθάπερ καὶ προτεινόμεθα.

Παθητικῷ ἀντὶ ἐνεργητικοῦ ἐχρήσατο· βούλεται γὰρ εἰπεῖν ὅτι προτείνομεν. τί οὖν φησιν; ὅτι ἁπλῶς καὶ | ἀδιορίστως ἐκθώμεθα LXIXr ἀκολουθεῖν πάσῃ ὑγιείᾳ ἡδονήν, μὴ μέντοι πᾶσαν, καὶ πάσῃ ἡδονῇ κίνησιν, μὴ μέντοι πᾶσαν κίνησιν· οὕτω γὰρ καὶ εἰώθαμεν τὰς προτάσεις ποιεῖσθαι πρὸς τοὺς συνδιαλεγομένους.

p. 43b20 Καὶ γὰρ ἄχρηστον θάτερον καὶ ἀδύνατον.

Καὶ διὰ τοῦτο δηλονότι ⟨, ὅτι⟩ ἄχρηστον, καὶ ἀδύνατον· οὐδεὶς γὰρ προτείνει εἰ ἡ ψυχὴ πᾶν ἀθάνατόν ἐστιν, ἀλλ' ἁπλῶς ἀθάνατον. ποῖον δὲ θάτερον; τὸ τῷ κατηγορουμένῳ τὸν προσδιορισμὸν τὸν καθόλου συντάττειν.

p. 43b22 Ἀλλ' ᾧ ἕπεται, ἐπ' ἐκείνου τὸ παντὶ λέγεται.

Τουτέστι τῷ ὑποκειμένῳ· τοῦτο γάρ ἐστιν ᾧ ἕπεται τὸ ἑπόμενον· τὸ γὰρ ἑπόμενον, τουτέστι τὸ κατηγορούμενον, ὡς καθολικώτερον.

p. 43b22 Ὅταν δὲ ὑπό τινος περιέχηται τὸ ὑποκείμενον ᾧ τὰ ἑπόμενα δεῖ λαβεῖν, τὰ μὲν τῷ καθόλου ἑπόμενα ἢ μὴ ἑπόμενα οὐκ ἐκλεκτέον ἐν τούτοις· εἴληπται γὰρ ἐν ἐκείνοις· ὅσα γὰρ ζῴῳ, καὶ ἀνθρώπῳ ἕπεται, καὶ ὅσα μὴ ὑπάρχει, ὡσαύτως.

Ὑποκείμενον ἐνταῦθα λέγει οὐ πάντως τὸν ὑποκείμενον ὅρον ἀλλ' ἁπλῶς τὸν προκείμενον ᾧ δεῖ ζητῆσαι τὰ ἑπόμενα, ὁποῖος ἂν ᾖ, εἴτε ὁ κατηγορούμενος εἴτε ὁ ὑποκείμενος. τί οὖν φησιν; ὅταν τινὶ ὅρῳ λαμβάνειν βουλώμεθα τὰ ἑπόμενα, μὴ λάβωμεν καὶ τὰ τοῖς ἑπομένοις ἑπόμενα· ἐν γὰρ τοῖς πρώτοις ἔχομεν καὶ τὰ δεύτερα. οἷον εἰ ζητοῦμεν τί ἕπεται τῷ ἀνθρώπῳ, εἶτα εὕρωμεν ὅτι τὸ ζῷον, μὴ ζητήσωμεν καὶ τὰ τῷ ζῴῳ ἑπόμενα· ἐν γὰρ τῷ λαβεῖν τὸ ζῷον ἔχομεν δυνάμει καὶ τὰ τούτῳ ἑπόμενα, οἷον τὸ ἔμψυχον, τὸ αἰσθητικόν, τὸ σῶμα, τὴν οὐσίαν καὶ τὰ ὅμοια.

Τὰ μὲν τῷ καθόλου ἑπόμενα, τουτέστι τῷ ἑπομένῳ ᾧ ἐξεθέμεθα· τὰ γὰρ ἑπόμενα καθολικώτερά ἐστι τῶν οἷς ἕπεται· διὸ κατηγορεῖται αὐτῶν.

---

1 ἀλλ' ἁπλῶς μόνον t 5 ὑγεία B κίνησις B 6 πᾶσα B 8 θάτερον ἄχρηστον U 9 ὅτι addidi 12 τάττειν B 13 ὃ B ἐπ' om. U τῷ t 23 post βουλώμεθα add. φησὶ U τοῖς ἑπομένοις U: τῷ ἑπομένῳ S: τούτοις Bt 24 an ζητῶμεν? 25 τὰ om. t 28 τὰ μὲν τῷ U Arist.: ταῦτα μὲν τὰ τῷ Bt cf. vs. 17 ᾧ Bt: ὃ καὶ U 29 post διὸ addiderim καὶ

Καὶ ὅσα μὴ ὑπάρχει, ὡσαύτως. ὥσπερ, φησίν, οὐ δεῖ λαμβάνειν LXIXr τὰ τῷ ἑπομένῳ ἑπόμενα, οὕτως οὐ δεῖ λαμβάνειν οὐδὲ τὰ τοῦ ἑπομένου ἀλλότρια· ὅσα γάρ ἐστιν ἀλλότρια τοῦ γένους, ταῦτα καὶ τοῦ εἴδους ἐξ ἀνάγκης, ὥστε ὡς ὁμολογούμενον τοῦτο οὐ δεῖ λαβεῖν.

5 p. 43b26 Τὰ δὲ περὶ ἕκαστον ἴδια ληπτέον· ἔστι γὰρ ἄττα τῷ εἴδει ἴδια παρὰ τὸ γένος· ἀνάγκη γὰρ τοῖς ἑτέροις εἴδεσιν ἴδια ἄττα ὑπάρχειν.

Τὰ περὶ ἕκαστον ἴδια, τουτέστι τὰ περὶ ἕκαστον τῶν ὅρων τῶν προκειμένων ἡμῖν ἰδίως ἀλλότρια, ταῦτα δεῖ λαβεῖν. πρόκειται ἡμῖν ὅρος 10 ὁ ἄνθρωπος· μὴ λάβωμεν τὰ ὡς ζῴου τούτου ἀλλότρια· ἐν γὰρ τῷ λαβεῖν τὸ ζῷον ὡς ἑπόμενον ἔχομεν ὡμολογημένον ὅτι καὶ τὰ ἀλλότρια τοῦ ζῴου καὶ τοῦ ἀνθρώπου ἐστὶν ἀλλότρια. λάβωμεν οὖν τὰ ἰδίως τοῦ ἀνθρώπου ἀλλότρια, οἷον τὸ ἄλογον, τὸ τετράπουν καὶ τὰ ὅμοια. ἔχουσι γάρ, φησί, τὰ εἴδη ἰδιάζοντα ἀλλότρια, ἅπερ οὐκ ἔστι τοῦ γένους ἀλλότρια· τοῦ γὰρ 15 ἀνθρώπου ἀλλότριον τὸ ἄλογον, τὸ τετράπουν, οὐ μέντοι τοῦ γένους. ὅτι δὲ τοῦτο ἀνάγκη οὕτως ἔχειν, λέγω δὲ τὸ εἶναι ἀλλότριά τινα τῶν εἰδῶν ἅπερ τῶν γενῶν οὐκ εἰσὶν ἀλλότρια, ἐναργῶς κατεσκεύασεν εἰπὼν ἀνάγκη γὰρ τοῖς ἑτέροις εἴδεσιν ἴδια ἄττα ὑπάρχειν. εἰ γὰρ ἀντιδιαιροῦνται, φησίν, ἀλλήλοις τὰ εἴδη καὶ ἕτερά εἰσιν ἀλλήλων, πᾶσα ἀνάγκη ἔχειν 20 τι ἕκαστον ὅπερ ἐστὶν ἀλλότριον τοῦ ἑτέρου, οἷον ὁ ἄνθρωπος τοῦ ἵππου καὶ ἔμπαλιν. ταῦτα μέντοι, ἅπερ ἔχουσι τὰ ἀντιδιαιρούμενα εἴδη ἀλλότρια ἀλλήλων, τοῦ γένους οὐκ εἰσὶν ἀλλότρια· οὐδὲν γὰρ τῶν ὑπαρχόντων τοῖς εἴδεσιν ἀλλότριόν ἐστι τοῦ γένους.

p. 43b29 Οὐδὲ δὴ τῷ καθόλου ἐκλεκτέον οἷς ἕπεται τὸ περι-
25 εχόμενον, οἷον ζῴῳ οἷς ἕπεται ὁ ἄνθρωπος.

Ἵνα σαφέστεραν ποιήσωμεν τὴν δεῖξιν, δεῖ προσθέντας τι μικρὸν οὕτως ἀναγνῶναι· οὐδὲ δὴ τῷ καθόλου ἐκλεκτέον ὡς ὑποκείμενα οἷς ἕπεται τὸ περιεχόμενον. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐάν, φησί, τοῦ ζῴου προκειμένου ἡμῖν ζητῶμεν τίνι ἕπεται τὸ ζῷον, οὐ δεῖ λέγειν ὅτι τῷ φιλο-
30 σόφῳ ἢ τῷ σιμῷ· οὐ γὰρ δεῖ ταῦτα λαμβάνειν ὡς ὑποκείμενα τοῦ ζῴου· ἀλλὰ δεῖ λέγειν ὅτι τῷ ἀνθρώπῳ ἕπεται· τούτῳ γὰρ προσεχῶς ἕπεται τὸ ζῷον. λαβόντων δὲ ἡμῶν ὅτι τῷ ἀνθρώπῳ ἕπεται, ἐξ ἀνάγκης συμπεριείληπται τῷ ἀνθρώπῳ καὶ τὰ ὑπ' αὐτοῦ περιεχόμενα, λέγω δὴ τὸ

---

4 λαμβάνειν S 10 ζώω U τούτου scripsi: τούτω U: om. Bt ἐν γάρ — 12 ἀλλότρια add. B² 11 post ἔχομεν add. ὡς U 13 ἄλογον B 14. 15 τοῦ ἀνθρώπου καὶ γάρ B 16 δὴ (post λέγω) U 18 αὐτὰ U γάρ alt. S: οὖν Bt: om. U 19 καὶ SU: om. Bt ἀλλήλων BSt: ἀλλήλοις U post πᾶσα add. δὲ Bt: om. SU 21 ἀντιδιηρημένα U 24 δεῖ B (corr. d) τῷ B¹ Arist.: τὸ B²Ut 25 ζῷον U (d) ὁ om. t Arist. 26 τὸ U 27 οὐδὲν U δὴ t Arist.: δεῖ BU 30 post ὑποκείμενα add. ὄντα B 32 λαμβανόντων B 32. 33 συμπέρασμα εἴληπται t

σιμὸν καὶ τὸ φιλόσοφον καὶ τὰ ὅμοια. ὥσπερ οὖν, ὅτε ἐζήτει τὰ LXIXʳ ἑπόμενα τῷ πράγματι, ἔλεγεν ὅτι οὐ δεῖ λαμβάνειν καὶ τὰ τοῖς ἑπομένοις ἑπόμενα, οὕτω, φησίν, οὐδὲ τὰ οἷς ἕπεται ζητοῦντα δεῖ λαβεῖν καὶ οἷς ταῦτα ἕπεται· ἔχομεν γὰρ αὐτὰ δυνάμει ἐν αὐτοῖς.

p. 43ᵇ32 Οἰκειότερα δὲ ταῦτα τῆς τοῦ ἀνθρώπου ἐκλογῆς.

Εἰ ἐζητοῦμεν, φησί, τίσιν ὁ ἄνθρωπος ἕπεται, καὶ οὐ τίσι τὸ ζῷον, τότε ταῦτα οἰκειότερον ἔδει λαμβάνειν· προσεχῶς γὰρ περιέχει ὁ ἄνθρωπος τὸ φιλόσοφον καὶ τὸ σιμὸν καὶ τὰ ὅμοια, ὥσπερ τὸ ζῷον προσεχῶς μὲν τὸν ἄνθρωπον, διὰ τούτου δὲ καὶ ἐκεῖνα.

p. 43ᵇ35 Ὅμοιον γὰρ ἑκάστου τὸ συμπέρασμα ταῖς ἀρχαῖς. |

Ἐδείχθη γὰρ διὰ πολλῶν ὅτι ἀνάγκη πᾶσα, ὡς ἂν ἔχῃ τὸ συμ- LXIXᵛ πέρασμα, οὕτω καὶ τὰς προτάσεις ἔχειν, ἢ ἀμφοτέρας ἢ τὴν ἑτέραν. ἔχεις δὲ ἐντεῦθεν τὴν αἰτίαν, δι' ἣν τὸ περὶ εὐπορίας συλλογισμῶν κεφάλαιον οὔτε ἐν τοῖς Τοπικοῖς ἐξέθετο, πῶς ἂν διαλεκτικῶν προτάσεων εὐπορήσωμεν, οὔτε ἐν τοῖς Ἀποδεικτικοῖς, πῶς ἂν εὐπορήσωμεν ἀποδεικτικῶν προτάσεων, οὔτε ἐν τοῖς Σοφιστικοῖς, ἅτε δὴ ἐν τούτοις ἐκθέμενος πῶς ἂν πρὸς πᾶν εἶδος συλλογισμοῦ προτάσεων εὐπορήσωμεν. διὰ τοῦτο γοῦν οὐ μόνον τὰ καθ' αὑτὸ ὑπάρχοντα ἐκτίθεσθαι ἡμᾶς προσέταξεν ἀλλὰ καὶ τὰ κατὰ συμβεβηκὸς ὑπάρχοντα καὶ τὰ ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ ἀλλότρια, ἵνα ἔχωμεν ὕλην πρὸς πάντα συλλογισμὸν ἐκκείμενον· δηλονότι, εἰ μὲν ἀποδεικτικῶς συλλογίσασθαι βουληθῶμεν, ἐκ τῶν ὁρισμῶν καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τὰς προτάσεις ἐκλεγόμεθα, εἰ δὲ διαλεκτικῶς, λαμβάνομεν τὰ ὡς ἐπὶ τὸ πολὺ ὑπάρχοντα καὶ τὰ κατὰ δόξαν, εἰ δὲ σοφιστικῶς, τὰ κατὰ συμβεβηκὸς κατηγορούμενα· καὶ γὰρ τὰ ὁμώνυμα, ἐξ ὧν μάλιστα οἱ σοφιστικοὶ συλλογισμοί, συμβέβηκε τοιαῦτα εἶναι. καὶ τὰ ἀλλότρια δὲ συνοίσει εἰς τοῦτο, ἵνα τὸ μὴ ὂν ὡς ὂν κατηγορῆται. μάλιστα δὲ τὰ ἀλλότρια ἐξέθετο ὡς συνοίσοντα εἰς τοὺς ἀποφατικοὺς συλλογισμούς.

p. 43ᵇ36 Ἔτι τὰ πᾶσιν ἑπόμενα οὐκ ἐκλεκτέον· οὐ γὰρ συλλογισμὸς ἐξ αὐτῶν. δι' ἣν δὲ αἰτίαν, ἐν τοῖς ἑπομένοις ἔσται δῆλον.

Οὐ τοῦτό φησιν, ὅτι οὐ δεῖ ἐκλέγειν τὰ ἀμφοτέροις τοῖς ὅροις ἑπόμενα καὶ ἀπογράφεσθαι (δεῖ γάρ), ἀλλ' ὅτι εἰς τὸ χρήσασθαι μέσῳ ὅρῳ οὐκ ἐκλεκτέον τὰ ἀμφοτέροις ἅμα ἑπόμενα, εἰ τὰ αὐτὰ εἴη· δείκνυσι γὰρ

---

1 φιλόσοφον—σιμόν U 2 ἔλεγεν] p. 43ᵇ24 5 οἰκειότερον B 6 εἰ ἐζητοῦμεν (ζητοῦμεν U) φησι BU: φησὶν εἰ εἴη τὸ μὲν t 7 λαβεῖν U 8 τὸν—καὶ τὸν B 9 τοῦτον Bt 11 ἐδείχθη] c. 24 p. 41ᵇ27 sq. τὸ om. t 14. 15 εὐπορήσομεν Bt 18 προσέταξεν ἡμᾶς ἐκτίθεσθαι B 22. 23 τὰ ὡς Bt: τὰς U 25 δὲ superscr. U 26 post ἵνα add. μὴ B² μὴ τὸ t κατηγορεῖται Bt 27 συνοίσονται Bt 28 post γὰρ add. ἔσται t Arist. 30 ἀμφοτέρως ex ἀμφοτέροις, ut videtur, corr. B 31 καὶ om. U 32 δείκνυσι] c. 28 p. 44ᵇ26 sq.

ἐφεξῆς ὅτι ἐκ τούτων οὐ δυνατὸν συλλογίσασθαι, ἐν δευτέρῳ σχήματι LXIXv
ἐκ δύο καταφατικῶν γινομένης τῆς συμπλοκῆς. δοκεῖ δὲ τοῦτο παρέλκειν
ἐνταῦθα, ἐπειδὴ τέως τὸ πῶς ἐκλεκτέον τὰ ὑπάρχοντα τοῖς ὅροις παρα- 20
διδόωσι καὶ οἷς αὐτοὶ ἕπονται, οὐ μέντοι πῶς αὐτοῖς χρηστέον, καὶ ὅτι οὐχ
5 αὕτη μόνη ἐστὶν ἡ ἐκλογὴ ἄχρηστος, ἀλλὰ καὶ ἄλλαι δύο, ἥ τε λαμβά-
νουσα τὰ ἀμφοτέρων ἀλλότρια καὶ ἡ τὰ ὑποκείμενα μὲν τῷ κατηγορουμένῳ
ἀλλότρια δὲ τοῦ ὑποκειμένου. αὐτὸς δὲ ταύτης μόνης ἐμνήσθη ἐνταῦθα.

p. 43b39 Κατασκευάζειν μὲν οὖν βουλομένοις κατά τινος ὅλου καὶ τὰ ἑξῆς.

10 Εἰπὼν ὅπως δεῖ τὴν ἐκλογὴν ποιεῖσθαι τῶν ἑπομένων τοῖς ὅροις 25
καὶ οἷς αὐτοὶ ἕπονται, ἔτι τε καὶ τῶν ἀλλοτρίων, ἐντεῦθέν φησιν ὅπως
δυνατὸν ἐκ τῶν ἀπογεγραμμένων ἕκαστον τῶν προβλημάτων κατασκευάζειν,
τό τε καθόλου καὶ τὸ μερικόν, καὶ τὸ καταφατικὸν καὶ τὸ ἀποφατικόν.
εἰ μὲν γὰρ τὸ καθόλου καταφατικὸν βουλόμεθα, φησί, κατασκευάσαι,
15 ζητητέον εἴ τι τῶν ὑποκειμένων τῷ κατηγορουμένῳ ὅρῳ, τουτέστιν οἷς 30
ἕπεται, καὶ τῶν ἑπομένων τῷ ὑποκειμένῳ, τουτέστι τῶν κατηγορουμένων
αὐτοῦ, ταὐτόν ἐστιν· καὶ ἐὰν ἐν τούτοις εὕρωμέν τι ταὐτόν, κατασκευάσομεν
τὸ καθόλου καταφατικόν. οἷον ἐν τοῖς ὑποκειμένοις τῷ κατηγορουμένῳ,
λέγω δὴ τῷ ἀγαθῷ, ἔστι τὸ κατὰ φύσιν· πάλιν ἐν τοῖς ἑπομένοις, τουτέστι
20 κατηγορουμένοις, τῇ ἡδονῇ ἐστι τὸ κατὰ φύσιν. συλλογιζόμεθα οὖν οὕτως·
εἰ τὸ ἀγαθὸν παντὶ τῷ κατὰ φύσιν (ὑπόκειται γὰρ αὐτῷ), τοῦτο δὲ τὸ
κατὰ φύσιν ταὐτόν ἐστι τῷ ἑπομένῳ τῇ ἡδονῇ, λέγω δὴ τῷ κατὰ φύσιν
ὀρεκτῷ, τὸ ἀγαθὸν ἄρα παντὶ τῷ κατὰ φύσιν ὀρεκτῷ ὑπάρχει, ὅπερ τῆς 35
ἡδονῆς κατηγορεῖται· τοῦτο δὲ πάσῃ ἡδονῇ ὑπάρχει· καὶ τὸ ἀγαθὸν ἄρα
25 πάσῃ ἡδονῇ. οὕτω μὲν οὖν τὸ καθόλου. ἐὰν δὲ τὸ μερικὸν καταφατικὸν
ζητῶμεν κατασκευάσαι, ἴδωμεν εἴ τι τῶν ὑποκειμένων τῷ τε ὑποκειμένῳ
καὶ τῷ κατηγορουμένῳ, τῷ ἀγαθῷ λέγω καὶ τῇ ἡδονῇ, ταὐτόν ἐστι. καὶ
ἐὰν εὕρωμεν, ὥσπερ ἔχομεν ἐν τούτοις τὸν κατ' ἀρετὴν βίον, τῇ αὐτῇ
μεθόδῳ συνάξομεν τὸ μερικὸν καταφατικὸν διὰ τοῦ τρίτου σχήματος, ἀντι-
30 στρέψαντες δὲ τὴν ἐλάττονα πρότασιν διὰ τοῦ πρώτου. ἐὰν δὲ τὸ καθόλου 40
ἀποφατικὸν ζητῶμεν κατασκευάσαι, ἴδωμεν εἴ τι τῶν ἀλλοτρίων τοῦ κατη-
γορουμένου καὶ τῶν ἑπομένων τῷ ὑποκειμένῳ ταὐτόν ἐστιν, ὥσπερ ἐν τού-
τοις ἔχομεν τὸ ἀτελὲς καὶ τὴν κίνησιν· καὶ γὰρ πᾶσα κίνησις ἀτελής·
πάλιν γὰρ ἐνταῦθα, ἐπειδὴ τὸ ἀγαθὸν οὐδενὶ ἀτελεῖ, ταὐτὸν δὲ εἰπεῖν
35 κινήσει, καὶ κίνησις δὲ πάσῃ ἡδονῇ, τὸ ἀγαθὸν ἄρα οὐδεμιᾷ ἡδονῇ. καὶ
ἀνάπαλιν δὲ ποιήσαντες, φησί, τὸ αὐτὸ κατασκευάσαι δυνάμεθα. ἐὰν εὑρω-

4. 5 οὐκ αὐτὴ Bt 6 ἀμφότερα U τῷ κατηγορουμένῳ scripsi: τοῦ κατηγορουμένου Bt: τῶ ᾱ U 7 ὑποκειμένου Bt: ε̄ U 9 καὶ τὰ ἑξῆς om. t 15 post ζητητέον add. φησὶν U 17 αὐτῶ B κατασκευάσωμεν t 20 τὸ Ut: τι B 21 τῶ U: τὸ Bt 22 τῶ alt. B: τὸ Ut 23 ὀρεκτόν (ante τὸ) U 26. 27 immo κατηγορουμένῳ ὑποκειμένῳ 29 διὰ τοῦτο t 30 δὲ prius om. U post πρότασιν add. καὶ U 34 post εἰπεῖν add. πάσῃ U 35 ἄρα om. Bt

μέν τι τῶν μὲν τοῦ ὑποκειμένου ἀλλοτρίων τῶν δὲ τοῦ κατηγορουμένου LXIXv
ἑπομένων ταὐτόν· συνάξομεν γὰρ οὕτως ἐν δευτέρῳ σχήματι τὸ καθόλου 45
ἀποφατικόν. ἔστω γὰρ ἀλλότριον τῆς ἡδονῆς τὸ Ξ, ἑπόμενον δὲ τῷ ἀγαθῷ
τὸ Ν· ἐπειδὴ οὖν τὸ Ξ οὐδεμιᾷ ἡδονῇ, ταὐτὸν δὲ τὸ Ξ τῷ Ν, τὸ Ν
5 ἄρα οὐδεμιᾷ ἡδονῇ· ἔστι δὲ καὶ παντὶ ἀγαθῷ· ἕπεται γὰρ αὐτῷ· τὸ ἀγαθὸν
ἄρα οὐδεμιᾷ ἡδονῇ. δυνάμεθα δὲ τὸ αὐτὸ τοῦτο καὶ ἐν πρώτῳ σχήματι
ποιῆσαι ἀντιστρέψαντες τήν τε ἀποφατικὴν πρότασιν καὶ τὸ συμπέρασμα·
ἐπεὶ γὰρ τὸ Ξ οὐδεμιᾷ ἡδονῇ, καὶ ἡ ἡδονὴ οὐδενὶ τῷ Ξ, ταὐτὸν δὲ εἰπεῖν 50
τῷ Ν· τὸ δὲ Ν παντὶ ἀγαθῷ· ἡ ἡδονὴ ἄρα οὐδενὶ ἀγαθῷ, ὥστε καὶ
10 ἀντιστρέφει ἀγαθὸν οὐδεμιᾷ ἡδονῇ. ἐὰν δὲ τὸ μερικὸν ἀποφατικὸν ζητῶμεν,
ἴδωμεν εἴ τί ἐστι ταὐτὸν τῶν ἀλλοτρίων τοῦ κατηγορουμένου καὶ τῶν ὑπο-
κειμένων τοῦ ὑποκειμένου, τουτέστιν οἷς ἕπεται, ὥσπερ ἐνταῦθα τὸ ἀλυσι-
τελὲς καὶ ἡ ἀφερεπονία (ἀπονία γάρ ἐστιν ἡ ἀφερεπονία) ἢ καὶ ἁπλῶς
εἴ τι εὑρεθείη ἐν τούτοις ταὐτόν. γίνεται δὲ ἐν τρίτῳ σχήματι ὁ συλ- |
15 λογισμός· τὸ γὰρ ἀγαθὸν οὐδενὶ ἀλυσιτελεῖ, ταὐτὸν δὲ ἔστω εἰπεῖν οὐδε- LXXr
μιᾷ ἀπονίᾳ, ἡδονὴ πάσῃ ἀπονίᾳ, τὸ ἀγαθὸν ἄρα οὐ πάσῃ ἡδονῇ. τὸ
σχῆμα τρίτον. ἀντιστρέψας δὲ τὴν ἐλάττονα, λέγω δὲ τὴν καταφατικήν,
ποιήσεις τὸ πρῶτον σχῆμα.

p. 43b40 Τοῦ μὲν κατασκευαζομένου βλεπτέον εἰς τὰ ὑποκεί-
20 μενα, καθ' ὧν αὐτὸ τυγχάνει λεγόμενον. 5

Τοῦ μὲν κατασκευαζομένου λέγει τοῦ κατηγορουμένου ὅρου, οὗ δὲ δεῖ κατηγορεῖσθαι τοῦ ὑποκειμένου. ἵνα δὲ σαφέστερόν τε τὸν λόγον ποιήσωμεν καὶ τελείως ἐκθώμεθα τὸ διάγραμμα, ἐπ' αὐτῶν ψιλῶν τῶν στοιχείων αὐτὸ ἐκθησόμεθα, ἵνα μάθωμεν πόσαι γίνονται συμπλοκαί, 15
25 καὶ ποῖαι μὲν δύνανται σύστασιν ἔχειν, ποῖαι δὲ οὔ. ἔστω οὖν τὸ μὲν Α ὁ κατηγορούμενος ὅρος, τὸ δὲ Ε ὁ ὑποκείμενος, τὸ δὲ Β τὰ τῷ κατηγορουμένῳ ἑπόμενα, τὸ δὲ Γ τὰ οἷς ἕπεται, τὸ δὲ Δ τὰ ἀλλότρια αὐτοῦ. ὁμοίως τὸ μὲν Ζ τὰ | ἑπόμενα τῷ ὑποκειμένῳ, λέγω τῷ Ε, τὸ δὲ Η τὰ οἷς LXXv
ἕπεται, τὸ δὲ Θ τὰ ἀλλότρια αὐτοῦ. δεῖ οὖν ἐπιβλέπειν εἴ τι ταὐτόν ἐστιν
30 ἔν τινι τῶν πρὸς τῷ Α καὶ ἔν τινι τῶν πρὸς τῷ Ε. συμπλεκόμενα οὖν τὰ πρὸς τῷ Α τοῖς πρὸς τῷ Ε ποιεῖ συζυγίας ἐννέα· τριῶν γὰρ ὄντων τῶν ἐκκειμένων πρὸς τῷ Α, ἑπομένων, οἷς ἕπεται, ἀλλοτρίων, ὁμοίως δὲ καὶ τῶν πρὸς τῷ Ε, τὰ τρία τοῖς τρισὶ συμπλεκόμενα ποιεῖ συζυγίας ἐννέα. ἢ γὰρ τὸ Β τῷ Ζ ταὐτὸν εὑρίσκεται, ἢ τὸ Β τῷ Θ, ἢ τὸ Β τῷ Η· 5
35 πάλιν τὸ Δ ἑνὶ τῶν Ζ, Η, Θ ταὐτὸν εὑρισκόμενον ποιεῖ ἑτέρας τρεῖς, καὶ

1 an τῷ κατηγορουμένῳ ? at cf. p. 286,20 287,15 2 συνάξωμεν libri 6 δὲ Bt: γὰρ U 8 ἡ om. Ut 9 ἡ om. U 11. 12 ὑποκειμένων ex ἑπομένων corr. U 13 ἀπονοία t: ἀπὸ B itemque vs 16 ἐστιν ἡ Bt: ἐστι καὶ U 17 δεύτερον Ut 19. 20 lemma om. BU 24 ἐκθήσομεν B 25 conspectum similem hic atque p. 274 praebent libri 30 τὸ ᾱ U τὸ ε̄ Ut 32 κειμένων t τὸ ᾱ U 33 τὸ ε̄ U 34 an η̄—θ̄ ? τῷ (post ἢ tert.) Ut τὸ η̄ U

πάλιν τὸ Γ τοῖς αὐτοῖς τὰς λοιπὰς τρεῖς. καὶ ἄλλως· ἐπειδὴ δεῖ ἐκ LXXv
τῶν ἀπογεγραμμένων ἔν τε τῷ ὑποκειμένῳ ὅρῳ καὶ ἐν τῷ κατηγορουμένῳ
λαβεῖν τι ταὐτόν, ἵνα δι' αὐτοῦ μέσου συνάψωμεν τοὺς ἄκρους, λέγω δὴ τὸ
Α, Ε, ἢ διαστήσωμεν ἀλλήλων, ἀνάγκη πᾶσα λαμβάνειν ἢ τὰ ἀμφοτέροις
5 ἑπόμενα τὰ αὐτὰ ἢ οἷς ἀμφότεροι ἕπονται ἢ τὰ ἀμφοτέρων ἀλλότρια, ἢ τὰ
τῷ μὲν ὑποκειμένῳ ἑπόμενα οἷς δὲ ἕπεται ὁ κατηγορούμενος ἢ ἔμπαλιν, 10
ἢ τὰ τοῦ μὲν κατηγορουμένου ἀλλότρια ἑπόμενα δὲ τῷ ὑποκειμένῳ ἢ ἀνά-
παλιν, ἢ τὰ οἷς ἕπεται ὁ κατηγορούμενος τὰ δὲ τοῦ ὑποκειμένου ἀλλότρια
ἢ ἀνάπαλιν, καὶ οὐκ ἔστι παρ' αὐτά. γίνονται οὖν συζυγίαι ὑποκείμεναι
10 ἡ τοῦ ΒΖ, ΓΗ, ΔΘ, ΓΖ, ΗΒ, ΔΖ, ΒΘ, ΔΗ, ΓΘ. ἐννέα οὖν γινομένων
συζυγιῶν αἱ μὲν ἓξ συνίστανται καὶ ποιοῦσι συλλογισμόν, αἱ δὲ λοιπαὶ τρεῖς
ἀσύστατοι καὶ ἀσυλλόγιστοί εἰσιν· ἀσύστατοι μὲν ἥ τε λαμβάνουσα τὰ αὐτὰ
τὰ ΒΖ καὶ ἡ τὰ ΔΘ καὶ ἡ τὰ ΓΘ· αἱ δὲ λοιπαὶ ποιοῦσι συλλογισμόν. ἡ 15
μὲν οὖν ΒΖ ἀσύστατος· γίνεται γὰρ τὸ δεύτερον σχῆμα ἐκ δύο καταφατι-
15 κῶν. τὸ γὰρ Β τῷ Α παντί, τὸ δὲ Β τῷ Ζ ταὐτόν· καὶ τὸ Ζ ἄρα τῷ
Α παντί· ἀλλὰ μὴν καὶ τῷ Ε παντί· ἀσύστατος ἄρα ἡ συζυγία· δύο γὰρ
καταφατικαὶ ἐν δευτέρῳ σχήματι. ἀλλὰ κἂν τὴν ΒΑ ἀντιστρέψῃς, μερικὴ
γίνεται ἡ μείζων ἐν πρώτῳ καὶ οὕτως ἀσυλλόγιστος· τὸ γὰρ Α τῷ Β τινί,
τουτέστι τῷ Ζ, τὸ δὲ Ζ τῷ Ε παντί. μία μὲν οὖν αὕτη ἀσυλλόγιστος
20 συζυγία. δευτέρα δὲ ἡ ΔΘ, τουτέστιν ἡ τὰ ἀμφότερα τῶν ὅρων ἀλλότρια 20
λαμβάνουσα· δύο γὰρ γίνονται ἀποφατικαί. τρίτη ἐπὶ τούτοις ἀσυλλόγιστος
ἡ ΓΘ, τουτέστιν ἡ τὰ οἷς ἕπεται ὁ Α ὁ κατηγορούμενος καὶ τὰ ἀλλότρια
τοῦ Ε τοῦ ὑποκειμένου τὰ αὐτὰ λαμβάνουσα· τὸ γὰρ Α παντὶ τῷ Γ, του-
τέστι τῷ Θ· ταὐτὸν γὰρ τὸ Γ τῷ Θ· τὸ δὲ Θ οὐδενὶ τῷ Ε, ὥστε ἡ
25 ἐλάττων ἐν πρώτῳ ἀποφατική. ἀλλὰ κἂν τρίτον γένηται τὸ σχῆμα τῆς
τάξεως τῶν ὅρων ἀντιστραφείσης, συνάγει μὲν μερικὸν ἀποφατικόν, ὅτι
τὸ Ε οὐ παντὶ τῷ Α· οὐκέτι δὲ ἀντιστρέψαι δυνάμεθα τὸ συμπέρασμα, ἵνα 25
τὸ προκείμενον συναγάγωμεν, διὰ τὸ πρὸς μηδεμίαν πρότασιν ἀντιστρέφειν
τὴν μερικὴν ἀποφατικήν. περὶ μὲν οὖν τῶν ἀσυλλογίστων ταῦτα. περὶ δὲ
30 τῶν συλλογιστικῶν λέγομεν. ἡ μὲν οὖν ΒΘ τὸ καθόλου ἀποφατικὸν συνάγει
ἐν πρώτῳ καὶ δευτέρῳ σχήματι. ἐν μὲν οὖν δευτέρῳ οὕτως· ἐπεὶ γὰρ τὸ
Β τῷ Θ ταὐτόν, τὸ δὲ Β παντὶ τῷ Α, καὶ τὸ Θ παντὶ τῷ Α· οὐδενὶ δὲ
τῷ Ε· καὶ τὸ Ε ἄρα οὐδενὶ τῶν Α· εἶτα ἀντιστραφέντος τοῦ συμπερά-
σματος οὐδὲ τὸ Α οὐδενὶ τῶν Ε. συνάγεται δὲ τὸ αὐτὸ καὶ ἐν πρώτῳ 30
35 σχήματι διὰ δύο ἀντιστροφῶν· ἐπεὶ γὰρ τὸ Θ οὐδενὶ τῶν Ε, οὐδὲ τὸ Ε
οὐδενὶ τῶν Θ· τὸ δὲ Θ τῷ Α παντί· καὶ τὸ Ε ἄρα οὐδενὶ τῶν Α, ὥστε
οὐδὲ τὸ Α οὐδενὶ τῶν Ε. μήποτε δὲ καὶ ἐνταῦθα μόνου δεῖ λέγειν τοῦ

1 post δεῖ add. καὶ U ἐκ om. t 2 ὅρων U 3 διὰ τοῦ U δὲ B
4 ἀλλήλων post ἀνάγκη collocat B: post πᾶσα t 6 τῷ μὲν Bt: τῶν ἐν U
8 οἷς ⟨μὲν⟩ — τοῦ δὲ [τοῦ] conicio 9 an συζυγίαι ⟨αἱ⟩? 10 supra $\overline{\beta\zeta}$—$\overline{\gamma\vartheta}$ scr. α, β, γ, δ, ε, ς, ζ, η, ϑ B an $\overline{\beta\eta}$ (post $\overline{\gamma\zeta}$)? cf. p. 284,3 13 ἡ $\overline{\beta\zeta}$ t τὰ alt. et tert. om. t 14 τὸ om. U 15 ζ alt. BU: β' t 19 οὖν om. B 20 ante συζ. add. ἡ U 21 γὰρ om. U 22 ὁ $\overline{\alpha}$ om. B ὁ alt. om. Ut 24 $\overline{\vartheta}$ τῷ $\overline{\gamma}$ U
30 fort. λέγωμεν 34 συνάγεται—37 τῶν $\overline{\varepsilon}$ om. B τὸ αὐτὸ καὶ t: καὶ αὐτὸ U

συμπεράσματος τὴν ἀντιστροφὴν γίνεσθαι· ἐπεὶ γὰρ ἀλλότριόν ἐστι τὸ Θ LXXv τοῦ Ε, δυνατὸν αὐτόθεν λέγειν ὅτι τὸ Ε οὐδενὶ τῶν Θ· οὐδὲ γὰρ ἀναγκαῖον ἀπὸ τοῦ Θ ἄρχεσθαι. ἡ δὲ ΒΗ συζυγία συνάγει τὸ μερικὸν καταφατικὸν διὰ τοῦ πρώτου καὶ τοῦ τρίτου σχήματος. ἐπεὶ γὰρ τὸ Β τῷ Α παντί, καὶ τὸ Α τῷ Β τινί· ταὐτὸν δὲ τὸ Β τῷ Η· τὸ ἄρα Α τινὶ τῶν Η· τὸ 35 δὲ Ε παντὶ τῷ Η· τὸ ἄρα Α τινὶ τῶν Ε. οὕτω μὲν οὖν ἐν τρίτῳ. ἐν δὲ τῷ πρώτῳ δι' ἀντιστροφῆς τοῦ συμπεράσματος· ἐπεὶ γὰρ τὸ Ε τῷ Η παντί, τὸ δὲ Η τῷ Α παντὶ (ταὐτὸν γάρ ἐστι τῷ Β, ὅπερ παντὶ τῷ Α ὑπάρχει) * * *. πάλιν ἡ μὲν ΔΖ τὸ καθόλου συνάγει ἀποφατικὸν ἐν πρώτῳ καὶ δευτέρῳ σχήματι. ἐπεὶ γὰρ τὸ Δ τῷ Ζ ταὐτόν, οὐδενὶ δὲ τῶν Α τὸ Δ, καὶ τὸ Ζ ἄρα οὐδενὶ τῶν Α· τῷ δὲ Ε παντί· τὸ ἄρα Α οὐδενὶ τῶν Ε. ἐν δὲ τῷ πρώτῳ δι' ἀντιστροφῆς τῆς μείζονος· ἐπεὶ γὰρ τὸ Ζ οὐδενὶ τῶν Α, οὐδὲ τὸ Α οὐδενὶ τῶν Ζ· τὸ δὲ Ζ παντὶ τῷ Ε· τὸ Α ἄρα οὐδενὶ τῶν Ε. δυνατὸν δὲ πάλιν μηδὲ 40 ἀντιστροφῆς δεῖσθαι· ἐπεὶ γὰρ ἀλλότριόν ἐστι τὸ Δ τοῦ Α, καὶ τὸ Α δῆλον ὅτι ἀλλότριόν ἐστι τοῦ Δ, ὥστε δυνατὸν εὐθὺς εἰπεῖν τὸ Α οὐδενὶ τῶν Δ, τουτέστι τῶν Ζ. δυνατὸν δὲ ἐν ταύτῃ τῇ συζυγίᾳ καὶ τὸ μερικὸν ἀποφατικὸν συναγαγεῖν ἐν τρίτῳ σχήματι τὴν ἐλάττονα πρότασιν ἀντιστρέψαντας. ἐπεὶ γὰρ τὸ Ζ παντὶ τῷ Ε, καὶ τὸ Ε τινὶ τῶν Ζ ὑπάρχει· τὸ δὲ Α οὐδενὶ τῶν Ζ· ταὐτὸν γὰρ τὸ Δ τῷ Ζ, οὐδενὶ δὲ τῶν Δ τὸ Α· ὥστε τὸ Α οὐ παντὶ τῷ Ε· γίνεται γὰρ τὸ τρίτον ἐκ καθόλου ἀποφατικῆς τῆς 45 μείζονος καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος. ἡ δὲ ΗΔ συνάγει τὸ μερικὸν ἀποφατικὸν ἐν τρίτῳ σχήματι καὶ ἐν πρώτῳ τῆς ἐλάττονος ἀντιστραφείσης. ἐν μὲν γὰρ τῷ τρίτῳ οὕτως· ἐπεὶ τὸ Α οὐδενὶ τῶν Δ, τὸ δὲ Δ τῷ Η ταὐτόν, καὶ τὸ Α οὐδενὶ τῶν Η· τὸ δὲ Ε παντὶ τῷ Η· τὸ ἄρα Α οὐ παντὶ τῷ Ε. καὶ ἐν τῷ πρώτῳ οὕτως· ἐπεὶ τὸ Ε παντὶ τῷ Η, καὶ τὸ Η τινὶ τῶν Ε· τὸ δὲ Α οὐδενὶ τῶν Η· ταὐτὸν γὰρ τὸ Δ τῷ Η· καὶ τὸ Α ἄρα οὐ παντὶ τῷ Ε. πάλιν ἡ μὲν ΓΖ τὸ καθόλου καταφατικὸν συνάγει· ἐπεὶ γὰρ τὸ Γ τῷ Ζ ταὐτόν, τὸ δὲ Α 50 παντὶ τῷ Γ, καὶ τῷ Ζ ἄρα παντὶ τὸ Α ὑπάρχει· τὸ δὲ Ζ παντὶ τῷ Ε· καὶ τὸ Α ἄρα παντὶ τῷ Ε. δῆλον δὲ ὅτι δυνατὸν ἐν τούτῳ καὶ τὸ μερικὸν καταφατικὸν συναγαγεῖν ἐν τρίτῳ σχήματι ἀντιστρεφομένης τῆς ἐλάττονος· ἐπεὶ γὰρ τὸ Ζ παντὶ τῷ Ε, καὶ τὸ Ε τινὶ τῶν Ζ· τὸ δὲ Α παντὶ τῷ Ζ· τὸ ἄρα Α τινὶ τῶν Ε. ἕκτη ἐστὶν ἐπὶ πᾶσι συλλογιστικὴ ἡ ΓΗ συνάγουσα μερικὸν καταφατικὸν ἔν τε τῷ τρίτῳ σχήματι καὶ ἐν τῷ πρώτῳ δι' ἀντι-

2 τῶν t: τῷ BU 4 τοῦ alt. om. U 4. 5 τῷ $\bar{\beta}$—τὸ $\bar{\beta}$ B 5. 6 τὸ ἄρα—τῷ $\bar{\eta}$ om. Bt 8 τὸ $\bar{\beta}$ B lac. indicavi; supple καὶ τὸ $\bar{\varepsilon}$ παντὶ τῷ $\bar{\alpha}$ ὑπάρχει 9 ὁ ζ' t: ζ $\bar{\delta}$ BU immo δευτέρῳ—πρώτῳ 10 τὸ (τῷ t) $\bar{\delta}$ τῷ $\bar{\zeta}$ Bt: τὸ $\bar{\zeta}$ τῷ $\bar{\delta}$ U δὲ om. B 11 τῷ prius U: τὸ Bt 12 τῶν $\bar{\alpha}$ B: τῷ $\bar{\alpha}$ Ut τῶν $\bar{\zeta}$ BU: τῷ ζ' t 14 τῷ $\bar{\delta}$ B τοῦ scripsi: τὸ B: τῷ Ut καὶ om. B 15 τοῦ BU: τῷ t 15 et 16 $\bar{\delta}$ scripsi: $\bar{\varepsilon}$ BUt 16 ἐνταῦθα t 17. 18 ἀντιστρέψαντας scripsi: ἀντιστρέψαντες BUt 21 an $\bar{\delta}\bar{\eta}$? cf. p. 283,10 285,9 23 γὰρ om. U 24 $\bar{\alpha}$—$\bar{\eta}$ scripsi: inv. ord. BUt τῶν Bt: τῷ U 24. 25 $\bar{\alpha}$ ἄρα U 26 δὲ om. B τῶν $\bar{\eta}$ Bt: τῷ $\bar{\eta}$ U 27 τὸ $\bar{\delta}$ τῷ $\bar{\eta}$ U: τῷ $\bar{\delta}$ B: τὸ δ' t καὶ om. U 29 τῷ (ante $\bar{\gamma}$) om. U καὶ—30 τῷ $\bar{\varepsilon}$ om. B τὸ α'—τῷ ζ' t 33 $\bar{\alpha}$ ἄρα U 34 τε om. B διὰ τῆς U

στροφῆς τῆς ἐλάττονος. | ἐν μὲν τῷ τρίτῳ· τὸ Α παντὶ τῷ Γ, τουτέστι LXXIr
τῷ Η· ταὐτὸν γὰρ τὸ Γ τῷ Η· τὸ δὲ Ε παντὶ τῷ Η· τὸ Α ἄρα τινὶ
τῶν Ε· τὸ γὰρ σχῆμα τρίτον. εἰ δέ γε τὸ ΕΗ ἀντιστρέψας εἴπῃς τὸ Η
τινὶ τῶν Ε, ποιεῖς τὸ πρῶτον σχῆμα. τοσαῦται καὶ αἱ συλλογιστικαὶ
5 συζυγίαι καὶ οὕτως ἔχουσαι. συνελόντι δὲ τὸ μὲν καθόλου καταφατικὸν
διὰ μιᾶς μόνης συζυγίας συνάγεται, τῆς ΓΖ· τὸ δὲ καθόλου ἀποφατικὸν
διὰ δύο, τῆς τε ΔΖ καὶ τῆς ΒΘ· τὸ δὲ μερικὸν καταφατικὸν διὰ τριῶν, 5
καθ' αὑτὸ μὲν διὰ δύο, τῆς τε ΒΗ καὶ τῆς ΓΗ, διὰ τὸ καθόλου δὲ καὶ
διὰ τῆς ΓΖ· τὸ δὲ μερικὸν ἀποφατικὸν διὰ μιᾶς τῆς ΔΗ καὶ διὰ τῆς ΔΖ,
10 δι' ἧς καὶ τὸ καθόλου ἀποφατικὸν συνήγετο.

p. 44a11 Μᾶλλον δὲ ἴσως ὧδε ἔσται τῶν λεγομένων ἕκαστον φανερόν. ἔστω γὰρ τὰ μὲν ἑπόμενα τῷ Α ἐφ' ὧν τὸ Β καὶ τὰ ἑξῆς.

Ἐπειδὴ τὰ παραδείγματα σαφήνειαν ἐργάζεται τῇ διδασκαλίᾳ, βούλεται
15 διὰ παραδειγμάτων τὰ εἰρημένα πιστώσασθαι, παραδειγμάτων δὲ τῶν διὰ
τῶν στοιχείων· δυνατὸν γὰρ λοιπὸν τὰς ὕλας πρὸς τὰ στοιχεῖα ἁρμόσαι,
λέγω δὲ αὐτοὺς τοὺς ὅρους. σαφὲς δὲ καὶ τὸ τοῦ παραδείγματος. ἤδη
δὲ εἶπον καὶ ἐφ' ὧν λαμβάνει τὸ Α καὶ τὸ Β καὶ τὰ λοιπὰ στοιχεῖα, ὅτε
ἐξεθέμην τὸ διάγραμμα.

20 p. 44a17 Εἰ μὲν οὖν ταὐτόν τι ἔσται τῶν Γ τινὶ τῶν Ζ. 15

Εἰ τὰ αὐτά, φησίν, εἴη τά τε οἷς ἕπεται ὁ κατηγορούμενος, λέγω δὴ
τὸ Α, καὶ τὰ ἑπόμενα τῷ ὑποκειμένῳ, λέγω δὴ τῷ Ε, συνάγεται τὸ
καθόλου καταφατικόν· ἐπειδὴ γὰρ τὸ Α παντὶ τῷ Γ, τὸ δὲ Γ ταὐτὸν τῷ
Ζ, τὸ Α ἄρα παντὶ τῷ Ζ· τὸ δὲ Ζ παντὶ τῷ Ε· τὸ ⟨Α⟩ ἄρα παντὶ τῷ Ε.

25 p. 44a19 Εἰ δὲ τὸ Γ καὶ τὸ Η ταὐτόν. 20

Τουτέστι τὰ οἷς ἕπεται καὶ ὁ ὑποκείμενος καὶ ὁ κατηγορούμενος.
συνάγεται ἐκ τούτων τὸ μερικὸν καταφατικὸν ἐν τρίτῳ σχήματι, καὶ
εἴπομεν ὅπως.

p. 44a21 Εἰ δὲ τὸ Ζ καὶ τὸ Δ ταὐτόν, οὐδενὶ τῶν Ε τὸ Α ὑπάρξει
30 ἐκ προσυλλογισμοῦ.

Εἰ τὰ ἑπόμενα, φησί, τῷ ὑποκειμένῳ καὶ τὰ ἀλλότρια τοῦ κατηγορου-

1 post μὲν add. οὖν t τῷ prius om. U 2 τῷ γ̄ τὸ U τινὶ mrg. U 3 τῷ ε̄ U γε τὸ Bt: γὰρ U γ η̄ B 4 ποιεῖ Ut 6 post συνάγεται add. ἐκ U 7 ζ δ̄ B 8 τῆς alt. om. Bt 9 διὰ (ante τῆς γ̄ζ̄) om. Ut ζ δ̄ U 10 τὸ om. U 12 τὸ βῆτα U 16 λοιπὸν om. U 18 εἶπον] p. 282,25 sq. 20 ταὐτόν Bt (C): ταὐτό U Arist. τὸ γ̄ U 21 τό τε U 24 ᾱ alt. addidi 28 εἴπομεν (scil. p. 284,33 sq.) BU: εἴπωμεν t 29 τῷ ε' t ὑπάρξει t Arist.: ὑπάρχει BU

μένου ταὐτὰ εἴη, συνάγεται τὸ καθόλου ἀποφατικὸν ἐκ προσυλλογισμοῦ. LXXIr εἰ γὰρ τὸ Δ, φησίν, οὐδενὶ τῶν Α, καὶ τὸ Α οὐδενὶ τῶν Δ· τὸ δὲ Δ ταὐτὸν τῷ Ζ· καὶ τὸ Α ἄρα οὐδενὶ τῶν Ζ. οὗτος ὁ προσυλλογισμός. ἐπεὶ οὖν τὸ Α οὐδενὶ τῶν Ζ, τὸ δὲ Ζ παντὶ τῷ Ε, τὸ ἄρα Α οὐδενὶ τῶν Ε. καὶ δῆλον ὅτι οὐκ ἔστιν οὗτος κυρίως συλλογισμός· τὸ γὰρ Δ καὶ Ζ εἷς ἐστιν ὅρος καὶ οὐ δύο. ἔπειτα εἰ ὅλως καὶ συλλογισμὸς οὗτος, καὶ τὰ ἄλλα ἅπαντα διὰ προσυλλογισμοῦ δείκνυται· τὴν γὰρ αὐτὴν ἔχουσιν ἀγωγήν. οἷον τὸ καθόλου καταφατικόν· εἰ τὸ Α παντὶ τῷ Γ, τὸ δὲ Γ ταὐτὸν τῷ Ζ, καὶ τὸ Α ἄρα παντὶ τῷ Ζ. ὥστε καὶ οὗτος ὁμοίως προσυλλογισμός. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως καὶ οὐ μόνον ἐπὶ τοῦ καθόλου ἀποφατικοῦ. μήποτε οὖν ὑποδείγματος χάριν ἐπὶ τούτου εἶπε τὸ ἐκ προσυλλογισμοῦ διδοὺς ἡμῖν καὶ ἐπὶ τῶν λοιπῶν τὸ αὐτὸ προσυπακούειν. οὐ κυρίως δὲ οὐδὲ συλλογισμὸν δεῖ καλεῖν τὸ τοιοῦτον· εἰ γὰρ τὸ Δ ταὐτόν ἐστι τῷ Ζ, εἷς ἔστιν ὅρος, ὥστε οὐδὲ πρότασιν ποιεῖ τὸ ΔΖ, εἰ μὴ οὕτως ληφθῇ ταὐτὸν ὡς ἐξισάζον, οἷον εἰ τὸ γελαστικόν τις ταὐτὸ λέγοι καὶ τὸν ἄνθρωπον· ἐπὶ γὰρ τῶν τοιούτων δυνατὸν τοῦ ἑτέρου κατηγορεῖν τὸ ἕτερον.

p. 44ᵃ25 Πάλιν εἰ τὸ Β καὶ τὸ Θ ταὐτόν, οὐδενὶ τῶν Ε τὸ Α ὑπάρξει.

Εἴπομεν ὅτι τὸ καθόλου ἀποφατικὸν δείκνυται οὐ μόνον τὰ ἀλλότρια τοῦ κατηγορουμένου καὶ τὰ ἑπόμενα τοῦ ὑποκειμένου λαμβανόντων ἡμῶν, ἀλλὰ καὶ ἔμπαλιν τοῦ μὲν κατηγορουμένου τὰ ἑπόμενα τοῦ δὲ ὑποκειμένου τὰ ἀλλότρια. τοῦτο οὖν ἐστιν ὃ δείκνυσι διὰ τούτων. εἴπομεν δὲ καὶ ἡμεῖς αὐτάρκως.

p. 44ᵃ28 Εἰ δὲ τὸ Δ καὶ τὸ Η ταὐτόν, τὸ Α τινὶ τῶν Ε οὐχ ὑπάρξει.

Τουτέστιν ἐὰν λάβωμεν τὰ τοῦ κατηγορουμένου ἀλλότρια καὶ οἷς ἕπεται τὸ ὑποκείμενον, συνάγομεν τὸ μερικὸν ἀποφατικόν. εἴπομεν δὲ πῶς.

p. 44ᵃ30 Εἰ δὲ τὸ Β τῷ Η ταὐτόν, ἀντεστραμμένος ἔσται ὁ συλλογισμός.

Ἤδη μὲν ἔδειξε πάντα τὰ προβλήματα διὰ ταύτης τῆς ἐκθέσεως τῶν ὅρων. πάλιν δὲ διὰ τούτων δείκνυσιν ὅτι τὸ μερικὸν καταφατικὸν καὶ

2 τῷ ᾱ — τῷ δ̄ Bt ταυτὸν e παντὶ corr. B 3 τῷ utrobique Ut
4 οὐδενὶ τῷ Bt 5 post κυρίως add. ὁ B post συλλογισμὸς add. λέγω δὲ ὁ προσυλλογισμός U 6 πάντα B 9 οὕτως t 15 ταὐτὸ scripsi: αὐτὸ libri λέγει U 16 δυνατὸν scripsi: ἀδύνατον libri 17 τῶν B Arist: τῷ Ut
19 εἴπομεν] p. 285,6. 7 22 εἴπωμεν t 24 τὰ ᾱ B τῷ ε′ t 27 εἴπομεν] p. 284,21 sq. 28 τὸ η̄ τῷ β̄ U (m) τὸ η′ καὶ τὸ β′ t: τῷ η̄ τὸ β̄ Arist.
ὁ BUt (d n m): om. Arist. cf. p. 287,5 30 δι᾽ αὐτῆς B

ἄλλως δυνατὸν συναγαγεῖν, ἐάν, φησίν, εὕρωμέν τι ταὐτὸν τῶν τε ἑπομένων τῷ κατηγορουμένῳ καὶ οἷς ἕπεται τὸ ὑποκείμενον. δείκνυμεν γάρ, φησί, καὶ οὕτως τὸ μερικὸν καταφατι|κόν, ἀλλ' οὐκ αὐτόθεν ἀλλὰ διὰ LXXIv τοῦ ἀντιστρέψαι τὸ συναγόμενον ἐκ τούτων συμπέρασμα· τοῦτο γάρ ἐστι τὸ ἀντεστραμμένος ἔσται ὁ συλλογισμός. εἰ γὰρ τὸ Β παντὶ τῷ Α. ταὐτὸν δὲ τὸ Β τῷ Η, καὶ τὸ Η παντὶ τῷ Α. πάλιν ἐπειδὴ τὸ Ε παντὶ τῷ Η, τὸ δὲ Η ταὐτὸν τῷ Β, καὶ τὸ Ε ἄρα παντὶ τῷ Β· τὸ δὲ Β παντὶ τῷ Α· καὶ τὸ Ε ἄρα παντὶ τῷ Α. ἀλλ' οὐ τοῦτο ἦν τὸ προκείμενον εἰ τὸ Ε παντὶ τῷ Α ὑπάρχει διὰ τούτων, ἀλλ' εἰ τὸ Α τινὶ τῶν Ε ὑπάρχει. * * * * ἡ γὰρ καθόλου καταφατικὴ πρὸς τὴν μερικὴν ἀντιστρέφει.

p. 44a38 Δεῖ δὲ καὶ τῶν ἑπομένων καὶ οἷς ἕπεται ἕκαστον εἰς τὰ πρῶτα καὶ τὰ καθόλου μάλιστα βλέπειν, οἷον τοῦ μὲν Ε μᾶλλον εἰς τὸ ΚΖ ἢ εἰς τὸ Ζ μόνον, τοῦ δὲ Α εἰς τὸ ΚΓ ἢ εἰς τὸ Γ μόνον.

Τὸ διὰ τούτων προκείμενον τοῦτό ἐστι. δεῖ, φησί, λαμβάνοντας ἡμᾶς τὰ ἑπόμενα τῶν ὅρων καὶ οἷς αὐτὰ ἕπεται μὴ μόνον τὰ προσεχῆ λαμβάνειν ἀλλὰ καὶ τὰ πορρωτέρω· διὰ γὰρ τούτου πλειόνων προτάσεων εὐπορῆσαι δυνησόμεθα πρὸς κατασκευὴν τοῦ προκειμένου. οἷον ὅτι ὁ ἄνθρωπος οὐσία βουλόμενοι δεῖξαι καὶ λαβόντες τὸ ἑπόμενον τῷ ἀνθρώπῳ, τὸ ζῷον, δείκνυμεν διὰ τούτου· ὁ ἄνθρωπος ζῷον, τὸ ζῷον οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία. ἐὰν οὖν καὶ τὰ τῷ ἑπομένῳ ἑπόμενα λάβωμεν, λέγω δὴ τὰ τοῦ ζῴου καθολικώτερα, ἔτι εὐπορώτερος ὁ λόγος γενήσεται, οἷον τὸ ἔμψυχον, τὸ σῶμα· κατασκευάσομεν γὰρ καὶ διὰ τούτων ὅτι ὁ ἄνθρωπος οὐσία λέγοντες οὕτως· ὁ ἄνθρωπος ἔμψυχον, τὸ ἔμψυχον οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία· καὶ ἐπὶ τοῦ σώματος ὁμοίως. ὥστε ὅσῳ ἂν καθολικώτερα λαμβάνωμεν, τοσούτῳ πλειόνων εὐπορήσομεν προτάσεων. ὁμοίως ἕξει καὶ ἐπὶ τῶν οἷς ἕπεται· ἕπεται γὰρ ἡ οὐσία προσεχῶς μὲν τῷ σώματι, εἶτα τῷ ἐμψύχῳ, εἶτα τῷ ζῴῳ, καὶ ἐπὶ πάντων ὁμοίως. ἀλλὰ ζητητέον πῶς ἀνωτέρω εἰπὼν ὅτι οὐ δεῖ λαμβάνειν ἡμᾶς εἰ μὴ μόνα τὰ προσεχῶς ἑπόμενα καὶ οἷς ἕπεται, τὰ δὲ πορρωτέρω οὔ, διότι περιέχεται ἐν τούτοις, νῦν τὸ ἐναντίον ἄντικρυς λέγει, ὅτι καὶ τὰ πορρωτέρω ληπτέον. λέγομεν οὖν πρὸς τοῦτο ὅτι ἐκεῖ μὲν λέγων, ὅπως δεῖ τὴν ἀπογραφὴν τούτων ποιεῖσθαι, ἔλεγεν ὅτι τὰ προσεχῶς μόνον ἑπόμενα ἢ οἷς ἕπεται δεῖ ἀπογράφεσθαι, τὰ δὲ πορρωτέρω οὔ, ἵνα μὴ πολλὰ ἀπογράφεσθαι ἀναγκαζώμεθα. ἔχομεν γάρ,

3 post φησιν add. ὅτι U 5. 6 τῶ—τὸ ubique pr. U 8 τῷ γ' (ante καὶ) t τῶ — τὸ pr. U itemque vs. 9 9 τῶ ε̄ U 10 lac. indicavi; supple ἐπεὶ δὲ τὸ ε̄ παντὶ τῷ α ὑπάρχει, καὶ τὸ α τινὶ τῶν ε̄ ὑπάρχει· 12 τὸ μὲν U
14 post ἡμᾶς add. εἰς U 16 τοῦτο B 19 ἄρα t: om. BU 20 δὲ U
21 ἔτι scripsi: ὅτι libri εὐπορώτερον, ut videtur, pr. B 22 κατασκευάζομεν B
24 post ἂν add. τὰ U 24. 25 μάνθωμεν sic t 25 τοσούτων U: τοσοῦτον t
26. 27 τῇ οὐσία — τὸ σῶμα — τὸ ἔμψυχον — τὸ ζῶον Ut 27. 28 ἀνωτέρω] c. 27 p. 43b22 sq. 29 ἐν τούτοις περιέχεται B 30 λέγει ἄντικρυς t λέγωμεν Ut
31 ποιεῖσθαι τούτων U 32 post μόνον add. τὰ t 33 ἀναγκαζόμεθα t

φησί, διὰ τούτων καὶ τὰ λοιπά· διὰ γὰρ τοῦ λαβεῖν ὡς ἑπόμενον τῷ LXXIᵛ ἀνθρώπῳ τὸ ζῷον ἔχομεν καὶ ὅσα τῷ ζῴῳ ἕπεται. ὥστε ἐκεῖ μὲν οὐκ ἔλεγε δεῖν ἀπογράφεσθαι ταῦτα ὡς ὁμολογουμένως δι' ἐκείνων ἐνυπάρχοντα· ἐνταῦθα μέντοι, ἐπειδὴ περὶ αὐτῶν τῶν κατασκευῶν ὁ λόγος, τοῦτο δέ ἐστι τῆς λήψεως τοῦ μέσου ὅρου, διὰ τοῦτό φησι δεῖν παραλαμβάνειν καὶ ταῦτα. δεῖ γὰρ ἐπιβλέπειν, εἰ ἐνδέχεται καὶ διὰ τῶν καθολικωτέρων συνάγειν τὸ προκείμενον, καὶ τούτων τὴν ταυτότητα λαμβάνειν, ἵνα εὐπορίαν τῇ ἀποδείξει ποιήσωμεν διὰ πλειόνων τὸ αὐτὸ συλλογιζόμενοι· ὅσῳ γὰρ διὰ τῶν καθολικωτέρων συνάγομεν τὸ συμπέρασμα, πλειόνων εὐποροῦμεν μέσων. τὸ αὐτὸ γὰρ καὶ διὰ τῶν μερικωτέρων συνάγειν δυνατόν· εἰ δέ τι διὰ τῶν μερικωτέρων συνάγοιτο, οὐ πάντως καὶ διὰ τῶν καθολικωτέρων συναχθήσεται. οἷον εἰ μὲν διὰ τοῦ σώματος μέσου συνάγω ὅτι ὁ ἄνθρωπος οὐσία, πάντως καὶ διὰ τῶν ὑπὸ τὸ σῶμα τὸ αὐτὸ συναγαγεῖν δύναμαι, οἷον τοῦ ἐμψύχου, τοῦ ζῴου, τοῦ λογικοῦ. εἴ τι μέντοι διὰ τοῦ μερικωτέρου συνάγοιτο, οὐ πάντως καὶ διὰ τοῦ καθολικωτέρου τὸ αὐτὸ συναχθήσεται. οἷον τὸ τὸν ἄνθρωπον λογικὸν εἶναι διὰ τοῦ φιλοσοφεῖν· ὁ ἄνθρωπος φιλοσοφεῖ, τὸ φιλοσοφοῦν λόγῳ χρῆται, τοῦτο δὲ λογικόν, ὁ ἄνθρωπος ἄρα λογικός. οὐκέτι δὲ τὸ αὐτὸ συνάγειν δύναμαι διὰ τῶν τοῦ φιλοσοφεῖν καθολικωτέρων, οἷον τῆς ἕξεως ἢ διαθέσεως ἢ ποιότητος· οὔτε γὰρ τὸ ἕξεώς τινος ἢ ποιότητος μετέχον ἤδη καὶ λόγῳ χρῆται, εἴγε καὶ ὄνον ἔστιν ἕξιν ἔχειν.

p. 44ᵃ39 Οἷον τοῦ μὲν Ε μᾶλλον εἰς τὸ ΚΖ ἢ εἰς τὸ Ζ μόνον.

Τὰ ἑπόμενα τῷ Ε τὰ ἐφ' ὧν τὸ Ζ ἦν. λαμβάνει οὖν καὶ τῷ Ζ ἑπόμενον τὸ ΚΖ, τουτέστι καθολικώτερον αὐτοῦ, ὡς τῷ ζῴῳ τὸ ἔμψυχον. δεῖ οὖν, φησίν, εἰς τὸ ΚΖ μᾶλλον ἀποβλέπειν ἢ εἰς τὸ Ζ μόνον, τουτέστιν εἰς τὸ τῷ ἑπομένῳ ἑπόμενον, οἷον εἰς ἔμψυχον ἢ εἰς ζῷον. τοῦτο δὲ δῆλον ὅτι ποιεῖν δεῖ, εἰ ὁμοίως ἐνδέχεται τὸ αὐτὸ καὶ διὰ τοῦ μερικωτέρου καὶ διὰ τοῦ καθολικωτέρου συναγαγεῖν· προκριτέον γὰρ τὸ καθολικώτερον. καλῶς δὲ τὸ ἑπόμενον τῷ Ζ [καὶ] ΚΖ λέγει διὰ τὸ περιέχεσθαι τὸ μερικώτερον ἐν τῷ καθολικωτέρῳ, ὡς ἐν τῷ ἐμψύχῳ τὸ ζῷον.

p. 44ᵃ40 Τοῦ δὲ Α εἰς τὸ ΚΓ ἢ εἰς τὸ Γ μόνον.

Πάλιν τὰ οἷς τὸ Α εἵπετο τὰ ἐφ' ὧν τὸ Γ ἦν. λαμβάνει οὖν πάλιν τὸ ΚΓ ὡς καθολικώτερον τοῦ Γ· διὸ καὶ ΚΓ αὐτὸ καλεῖ ὡς περιέχον ἐν

1 post φησί add. καὶ U 2 τὸ om. pr. B 5 λήξεως B δεῖ B αὐτά U 6 καὶ S: om. BUt καθολικωτέρων S: καθολικωτάτων BUt itemque vs. 8. 9 8 post πλειόνων add. συλλογισμῶν U 11 καθολικωτέρων BS: καθολικωτάτων Ut 12 μὲν om. S post μὲν add. γὰρ BUt: om. S 13 τὸ αὐτὸ om. S: τὸ om. Bt συναγαγεῖν SU: συνάγειν Bt 14 τοῦ tert. S: om. BUt 17 λόγῳ—δὲ om. S χρᾶται t 19 post ἢ utrumque add. τῆς S 20 ὄνον B: νόσου SU: ὄνομα t 21 μὲν ῑ U ἢ κτλ. om. U 22 post τὸ add. ε̄ B 22. 23 τὸ—τῷ U 25 εἰς alt. t: om. BU 26. 27 καθολικωτέρου—μερικωτέρου B 28 τὸ ζ̄ U καὶ delevi 30 δὲ om. B 32 καθολικώτερα t

ἑαυτῷ τὸ Γ· περιέχεται γὰρ τὰ μερικώτερα ὑπὸ τῶν καθολικωτέρων. LXXIv
ἐπιβλέπειν οὖν δεῖ εἰ ἐνδέχεται διὰ τοῦ ΚΓ συλλογίσασθαι μᾶλλον ἢ διὰ
τοῦ Γ μόνου. ἔλαβε δὲ ἐν τούτοις τοῦ μὲν Ε τὰ ἑπόμενα τοῦ δὲ Α οἷς
ἕπεται, ἐπειδὴ διὰ τούτων ἐδείκνυτο τὸ καθόλου καταφατικόν, ἐπὶ ἑνὸς τῶν
5 προβλημάτων ὡς ἐπὶ παραδείγματος γυμνάζων τὸν λόγον. ἐκεῖνο δὲ ἐπι- 30
στῆσαι ἄξιον, ὅτι ἐν τῇ ἐκθέσει τῶν ὑπαρχόντων τοῖς ὅροις ἔλεγε δεῖν,
ὥσπερ ἐπὶ τῶν ἑπομένων ὅτι οὐ δεῖ καὶ τὰ τοῖς ἑπομένοις ἑπόμενα λαμ-
βάνειν ἀλλὰ τὰ τῷ Α ὡς Α ἑπόμενα, τουτέστι τὰ προσεχῶς αὐτῶν καθο-
λικώτερα, οὕτω δὲ καὶ ἐν τῇ λήψει τῶν οἷς εἵπετο τὸ Α καὶ τὸ Ε τὰ οἷς
10 τὸ Α ὡς Α ἕπεται λαμβάνειν· εἰ δὲ εἴέν τινα οἷς κἀκεῖνα εἵπετο, οὐκέτι·
ἐκεῖνα γὰρ ἐκλέγειν παρεκελεύετο τὰ ἴδια τῶν προκειμένων ὅρων ἄνωθέν τε
καὶ κάτωθεν. ὥστε τὰ προσεχῶς ὑποκείμενα | τοῖς ὅροις λαμβάνειν LXXIIr
ἐκέλευσε· τὰ δὲ προσεχῶς ὑποκείμενά τινι τὰ καθολικώτατά ἐστι τῶν
οἷς ἕπεται. οὐ γὰρ ὁμοίως ἔχει τὰ οἷς ἕπεταί τι καὶ τὰ ἑπόμενα αὐτῷ·
15 τὰ μὲν γὰρ προσεχῶς ἑπόμενα τὰ μερικώτατά ἐστι τῶν ἑπομένων· τὰ δὲ
προσεχῶς ὑποκείμενα, ταῦτα δέ ἐστι τὰ οἷς ἕπεται, τὰ καθολικώτατά ἐστι
τῶν οἷς ἕπεται, τουτέστι τῶν ὑποκειμένων. οἷον ζῴῳ προσεχῶς ἕπεται τὸ
ἔμψυχον, καὶ ἔστι μερικώτερον σώματός τε καὶ οὐσίας ἑπόμενον τῷ ζῴῳ· 5
ἕπεται δὲ προσεχῶς τὸ ζῷον τῷ λογικῷ, καὶ ἔστι τοῦτο καθολικώτερον
20 τῶν λοιπῶν οἷς ἕπεται, οἷον ἀνθρώπου, Σωκράτους. τούτων οὖν οὕτω
διατεταγμένων ἐν τῇ λήψει τῶν μέσων ὅρων λέγων δεῖν, εἰ ἐνδέχεται, τὰ
καθολικώτατα λαμβάνειν, ἔχει μόνον ἐπὶ τῶν κατηγορουμένων, τουτέστι
τῶν ἑπομένων τοῖς ὅροις, τοῦτο ποιεῖν. τὸ γὰρ Ζ τοῦ Ε προσεχῶς κατη-
γορεῖται καὶ ἦν μερικώτατον τῶν κατηγορουμένων· εἰκότως οὖν λαμβάνει
25 καθολικώτερον αὐτοῦ τὸ ΚΖ. ἐπὶ δὲ τῶν ὑποκειμένων (ὑπόκειται δὲ 10
τῷ Α τὸ Γ), εἰ τὰ προσεχῶς ὑποκείμενα ἐλαμβάνετο, τοῦτο δέ ἐστι τὰ
καθολικώτατα τῶν ὑποκειμένων, τοῦ Γ ἄρα οὐδέν ἐστι καθολικώτερον.
πῶς οὖν λαμβάνει αὐτοῦ καθολικώτερον τὸ ΚΓ; λέγω οὖν ὅτι ἐν μὲν τῇ
ἐκθέσει τὰ προσεχέστατα ἐλάμβανεν, ἵνα τὰ ἑκάστῳ, ᾗ τοιοῦτόν ἐστι, λάβῃ
30 κατηγορούμενά τε καὶ ὑποκείμενα καὶ μὴ τὰ δι' ἄλλο· τοῦ γὰρ λογικοῦ διὰ
τὸ ζῷον κατηγορεῖται τὸ ἔμψυχον, καὶ τῷ ζῴῳ διὰ τὸ λογικὸν ὑπόκειται
ὁ ἄνθρωπος. ἐν μέντοι τῇ ἐκθέσει τοῦ μέσου ἀξιῶν εἰς τὰ καθολικώτατα 15
ἀποβλέπειν, εἰ οἷόν τε, ὑποδείγματος μόνου ἕνεκεν καὶ σαφηνείας ὡς μερι-
κωτέρῳ τῷ Γ ἐχρήσατο, ἵνα διδάξῃ μὴ εἰς μόνα τὰ ἀπογεγραμμένα προσ-
35 έχειν ἐκλεγομένους τὸν μέσον, ἀλλ' ἐπιβλέπειν εἴ τί ἐστι τῶν ὑποκειμένων
καθολικώτερον, καὶ εἰ ἐνδέχεται τούτῳ μέσῳ κατὰ τὴν παραδεδομένην
μέθοδον χρήσασθαι, τοῦτο λαμβάνειν.

2 δεῖ om. U 3 μόνον Bt τοῦ alt. corr. e τὸ U 6 ἔλεγε] c. 27 p. 43ᵇ22 sq.
9 δεῖ U 10 α alt. superscr. B 12 τοῖς ὅροις om. B 18 ἑπομένων U
19 τῷ ζῴῳ τὸ λογικόν U τὸ (ante λογικῷ) B 20 σωκράτης B 21 λήξει B
22 καθωλικώτερα U 24 μερικώτατον scripsi: μερικώτερον BUt 25 καθολικώτερον
scripsi: compend. B: τὰ καθολικώτερα U, om. τὰ t δὲ alt. om. Bt 26 τὸ α τῷ Bt
ταῦτα conicio 28 τὸ t: τὸν B: τῶν U 30 κατηγορούμενον—ὑποκείμενον B 32 ὁ
om. Ut 33 μόνον B 34 μόνον εἰς τὰ U 34. 35 ἐπιβλέπειν U 35 κειμένων U

p. 44b6 Δῆλον δὲ καὶ ὅτι διὰ τῶν τριῶν ὅρων καὶ τῶν δύο LXXIIr
προτάσεων ἡ σκέψις καὶ διὰ τῶν προειρημένων σχημάτων οἱ
συλλογισμοὶ πάντες.

Βούλεται ὁ φιλόσοφος καὶ διὰ τῶν δεδειγμένων ἐν τῷ τμήματι τούτῳ, λέγω δὴ τῷ περὶ τῆς εὐπορίας τῶν προτάσεων, δεῖξαι ὅτι πᾶσα ἀνάγκη πάντα συλλογισμὸν διὰ μόνων τριῶν ὅρων γίνεσθαι καὶ διὰ τῶν προειρημένων τριῶν σχημάτων καὶ ἄλλως ἀδύνατον. εἰ γὰρ καλῶς εἴληπται ἡ τῶν ἑπομένων τοῖς ὅροις καὶ οἷς ἕπονται ἐκλογή, ἔτι τε καὶ τῶν ἀλλοτρίων αὐτῶν, καὶ ἐπὶ ἑκάστου τῶν προβλημάτων ἔδει τούτων τι ταὐτὸν εὑρεθῆναι. οἷον ἐπὶ μὲν τοῦ καθόλου καταφατικοῦ τὰ οἷς ἕπεται ὁ κατηγορούμενος καὶ τὰ τῷ ὑποκειμένῳ ἑπόμενα, καὶ ἐπὶ τῶν ἄλλων ὡς δέδεικται. ἐχόντων ἡμῶν δύο μὲν ὅρους τοὺς περὶ ὧν ὁ λόγος, τόν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον, λαμβανόντων δὲ καὶ ἕτερόν τινα, ὃς ἦν τῷ μὲν κατηγορουμένῳ ὑποκείμενος τοῦ δὲ ὑποκειμένου κατηγορούμενος, τρεῖς ἀνάγκη μόνους τοὺς ὅρους γίνεσθαι. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων προβλημάτων ὁμοίως. οὕτω μὲν οὖν τρεῖς μόνοι οἱ εἰς τὸν συλλογισμὸν παραλαμβανόμενοι ὅροι. ὅτι δὲ καὶ τρία μόνα τὰ σχήματα, καὶ διὰ τῶν ἐνταῦθα πάλιν δεικνυμένων φανερόν· ἐδείκνυτο γὰρ τὸ μὲν καθόλου καταφατικὸν διὰ τοῦ πρώτου σχήματος, τὸ δὲ καθόλου ἀποφατικὸν διὰ τοῦ πρώτου καὶ διὰ τοῦ δευτέρου, τὸ δὲ μερικὸν καταφατικὸν διὰ τοῦ τρίτου καὶ διὰ τοῦ πρώτου, τὸ δὲ μερικὸν ἀποφατικὸν διὰ τοῦ τρίτου σχήματος καὶ διὰ τοῦ δευτέρου καὶ διὰ τοῦ πρώτου. ταῦτα μέν ἐστι τὰ διὰ τούτων τῷ Ἀριστοτέλει δεικνύμενα. σαφῆ δὲ καὶ τὰ τῆς λέξεως.

p. 44b8 Δείκνυται γὰρ ὑπάρχειν μὲν παντὶ τῷ Ε τὸ Α, ὅταν τῶν Γ καὶ Ζ ταὐτόν τι ληφθῇ. τοῦτο δὲ ἔσται τὸ μέσον.

Τοῦτο ποῖον; δῆλον ὅτι τὸ Γ καὶ τὸ Ζ· ταὐτὸν γὰρ ταῦτα. μέσον δέ φησι, τουτέστι μέσος ὅρος. διὸ ἐπάγει ἄκρα δὲ τὸ Α καὶ τὸ Ε, τουτέστιν ἄκροι ὅροι, ὅ τε μείζων καὶ ὁ ἔσχατος.

p. 44b11 Τοῦτο δὲ ἔσται τὸ ἔσχατον σχῆμα· μέσον δὲ τὸ Η.

Ἐπειδὴ τὸ Γ καὶ τὸ Η ταὐτόν, τοῦτο δέ ἐστι μέσον, δῆλον ὅτι οὐδὲν διαφέρει τὸ Γ εἰπεῖν ἢ τὸ Η μέσον· ταὐτὸν γὰρ ἄμφω.

1 ὅτι καὶ διὰ B ὅρων om. B 5 τὸ t 8 τῶν ἀλλοτρίων S: τὰ ἀλλότρια BUt 9 καὶ S: om. BUt τούτων om. B 11 δέδεικται] p. 283,30 sq. 13 ὅσα t 13. 14 τῷ μὲν κατηγορουμένῳ S: τοῦ μὲν κατηγορουμένου BUt 15 post ἄλλων add. τῶν Bt: om. SU 16 οἱ om. U 17 καὶ prius om. t 18 δεικνύμενα SU 19 σχήματος—πρώτου om. t post ἀποφατ. add. καὶ U: om. BS 21 καὶ διὰ τοῦ δευτέρου e S addidi: om. BUt 24 τῶν U Arist.: τῷ B: τὸ t 25 καὶ U Arist.: καὶ τῷ B: τῷ t 27 τὸ alt. om. t Arist. 31 τὸ alt.] τὸν sic U

p. 44ᵇ19 Φανερὸν οὖν ὅτι διὰ τῶν προειρημένων σχημάτων LXXIIr
οἱ συλλογισμοὶ πάντες, καὶ ὅτι οὐκ ἐκλεκτέον ὅσα πᾶσιν ἕπεται, διὰ τὸ μηδένα γίνεσθαι συλλογισμὸν ἐξ αὐτῶν.

Ἐκ τῆς γενομένης ἀπογραφῆς τῶν ἑπομένων τοῖς ὅροις καὶ οἷς αὐτοὶ ἕπονται καὶ τῶν ἀλλοτρίων αὐτῶν ἐννέα γινομένων συζυγιῶν, ὡς ἐδείξαμεν, αἱ μὲν ἓξ χρησιμεύουσιν ἡμῖν εἰς ἐπίσκεψιν τῶν προτάσεων, ἃς καὶ παραδέδωκεν ἤδη. αἱ δὲ τρεῖς ἄχρηστοί εἰσιν, ἃς νῦν ἐκτίθεται. καὶ τὰς αἰτίας ἀποδίδωσι δι' ἃς εἰσιν ἄχρηστοι. τὰ δὲ ἀμφοτέροις τοῖς ὅροις ἑπόμενα ἄχρηστά φησι, διότι οὔτε κατασκευάζειν οὔτε ἀνασκευάζειν ἔστι διὰ τούτων. κατασκευάζειν μὲν οὖν οὐκ ἔστι, διότι ἐν δευτέρῳ σχήματι ποιοῦσιν ἐκ δύο καταφατικῶν συζυγίαν, ἥτις ἦν ἀσυλλόγιστος· τὸ γὰρ Β καὶ Ζ, ἅπερ ἐστὶ ταὐτόν, τῷ Α καὶ τῷ Ε παντὶ ἀνάγκη ὑπάρχειν· | αὕτη LXXIIv δέ, ὡς εἶπον, ἡ συζυγία ἀσυλλόγιστος ἦν. ἀνασκευάζειν δὲ οὐκ ἔστι διὰ τούτων, ὅτι δεῖ τὸν ἀνασκευάζοντα συλλογισμὸν τὴν ἑτέραν τῶν προτάσεων ἀποφατικὴν ἔχειν, αὗται δὲ ἄμφω εἰσὶ καταφατικαί. καὶ πάλιν, ἐὰν λάβωμεν τὰ αὐτὰ ὄντα τά τε οἷς ἕπεται τὸ κατηγορούμενον καὶ τὰ ἀλλότρια τοῦ ὑποκειμένου, τουτέστι τὰ ΓΘ, γίνεται ἐν πρώτῳ σχήματι ὁ συλλογισμὸς τὴν ἐλάττονα πρότασιν ἔχων ἀποφατικήν· ἀσυλλόγιστος δὲ ἦν καὶ αὕτη ἡ συζυγία. οἷον τὸ Α παντὶ τῷ Γ, ταὐτὸν δὲ εἰπεῖν τῷ Θ, τὸ Θ οὐδενὶ τῷ Ε, ὥστε ἡ ἐλάττων ἀποφατική· ἀσυλλόγιστος ἄρα. ἐὰν δὲ τὰ ἀμφοῖν ἀλλότρια λάβωμεν, εἴη ἂν προφανὲς κἀνταῦθα τὸ ἄχρηστον· ἄμφω γὰρ γίνεται ἀπόφασις, εἴτε κατὰ τὸ πρῶτον σχῆμα ποιήσει τις τὸν συλλογισμὸν εἴτε κατὰ τὸ δεύτερον· κατὰ μὲν τὸ πρῶτον, ἵνα εἴπωμεν, οὕτως· τὸ Α οὐδενὶ τῷ Δ. ταὐτὸν δὲ εἰπεῖν τῷ Θ, καὶ τὸ Θ οὐδενὶ τῷ Ε· κατὰ δὲ τὸ δεύτερον· τὸ Δ καὶ τὸ Θ (ταὐτὸν γὰρ ἄμφω) τῷ Α καὶ τῷ Ε οὐδενί· ὥστε καὶ αὕτη ἀσυλλόγιστος ἡ συζυγία. κατὰ μόνας ἄρα τὰς ἓξ συζυγίας τὰς σκέψεις τῶν προτάσεων ποιητέον.

p. 44ᵇ25 Φανερὸν δὲ ὅτι καὶ αἱ ἄλλαι σκέψεις τῶν κατὰ τὰς ἐκλογὰς ἀχρεῖοι πρὸς τὸ ποιεῖν συλλογισμόν.

Ἐπειδὴ τὴν μίαν συζυγίαν ἐξέθετο τὴν λαμβάνουσαν τὰ ἀμφοτέροις τοῖς ὅροις ἑπόμενα, διὰ τοῦτο, φησί, καὶ αἱ ἄλλαι παρ' ἃς εἴπομεν ἄχρηστοι, ἥ τε τὰ ἀμφοτέρων ἀλλότρια λαμβάνουσα καὶ ⟨ἡ⟩ τὰ οἷς ἕπεται ὁ κατηγορούμενος καὶ οἷς μὴ ὑπάρχει ὁ ὑποκείμενος. εἶτα βουλόμενος ταύτας ἐκθέσθαι λαμβάνει πάλιν τὸν λόγον καὶ ἄρχεται ἀπὸ τῆς λαμβανούσης τὰ

5 ἐδείξαμεν] p. 282,30 sq. 8 δὲ om. Ut 9 ἄχρηστόν U οὔτε alt. om. t
12 ἅπερ scripsi cf. p. 290,26: ὅπερ BUt 15 ἀποφατικὸν Ut 17 ὁ om. U
20 ἀμφοῖν scripsi cf. vs. 32: ἄμφω BUt 21 λάβω U εἴη ἂν scripsi: εἶεν B: ἢ ἐν Ut προφανῶς B 25 ¯ Bt: ϑ U 26 ἡ συζυγία om. U 32 τε om. Bt ἀμφοτέρων scripsi cf. vs. 20: ἀμφότερα libri ἡ addidi 33 καὶ ὑποκείμενος om. U post βουλόμενος add. καὶ U

ἀμφοτέροις ἑπόμενα· φησὶ γὰρ εἰ τὰ ἑπόμενα ἑκατέρῳ. εἶτα ἐκθέ- LXXIIv
μενος τὰς τρεῖς συζυγίας δείκνυσι μετὰ ταῦτα ἐκ τῶν ὅρων ἀπὸ τῆς πρώτης ἀρξάμενος ὅτι ἄχρηστοί εἰσιν εἰς τὰς συλλογιστικὰς μεθόδους.

p. 44b38 Δῆλον δὲ καὶ ὁποῖα ταὐτὰ ληπτέον κατὰ τὴν ἐπίσκεψιν, καὶ ὁποῖα ἕτερα ἢ ἐναντία.

Τὸ διὰ τούτων προκείμενόν ἐστι δεῖξαι ὅτι ἀδύνατον ἄλλῃ μεθόδῳ χρήσασθαι εἰς τὴν λῆψιν τῶν προτάσεων πλὴν τῆς παραδεδομένης, λέγω δὲ τῆς διὰ τῶν ἑπομένων καὶ οἷς ἕπεται καὶ τῶν ἀλλοτρίων, ὧν ταὐτό τι λαβεῖν ἦν ἀνάγκη καθ' ἑκάτερον τῶν ὅρων· εἰ γάρ τις, φησίν, ἄλλην ἐπινοεῖν δόξειε, πάντως εἰς μίαν τῶν ὑφ' ἡμῶν παραδεδομένων συναναχθήσεται ἀγνοῶν. εἴποι γὰρ ἄν τις ὅτι δύναμαι μηδὲν τῶν ἀπογεγραμμένων ταὐτό τι λαβεῖν, ὅπερ ἐν πᾶσι τοῖς προβλήμασιν ὡς ἀναγκαῖον ὁ Ἀριστοτέλης παρέδωκεν, ἀλλὰ λαβὼν τούτων τινὰ ἐναντία ἢ ἁπλῶς ἕτερα ἀλλήλων καὶ μὴ ἐνδεχόμενα τῷ αὐτῷ ὑπάρχειν τὰ ἀποφατικὰ προβλήματα κατασκευάσαι. οἷον ἔστω τὸ Β καὶ τὸ Ζ ἐναντία ἢ μὴ ἐνδεχόμενα τῷ αὐτῷ ὑπάρχειν· κατασκευάζω ἐκ τούτων τὸ καθόλου ἀποφατικὸν οὕτως· ἐπειδὴ τὸ Β τῷ Α παντί, τῷ δὲ Ζ οὐδενί (ἐναντίον γάρ), καὶ τὸ Α ἄρα τῷ Ζ οὐδενί· τὸ δὲ Ζ τῷ Ε παντί· καὶ τὸ Α ἄρα τῷ Ε οὐδενί. ἔστω γὰρ τὸ μὲν Β μέλαν, τὸ δὲ Α Αἰθίοψ, τὸ δὲ Ζ λευκόν, τὸ δὲ Ε κύκνος· ἐπειδὴ οὖν τὸ μέλαν παντὶ Αἰθίοπι ὑπάρχει, οὐδενὶ δὲ λευκῷ τὸ μέλαν (ἐναντίον γάρ), καὶ ὁ Αἰθίοψ ἄρα οὐδενὶ λευκῷ· τὸ δὲ λευκὸν παντὶ κύκνῳ· συνάγεται ἄρα ἐκ τούτων ὅτι ὁ Αἰθίοψ οὐδενὶ κύκνῳ. ὁμοίως δὲ δειχθήσεται, κἂν μὴ ἐναντία λάβωμεν τὸ Β καὶ τὸ Ζ ἀλλ' ἁπλῶς ἀντιδιῃρημένα καὶ μὴ δυνάμενα τῷ αὐτῷ ὑπάρξαι, οἷον εἰ τὸ μὲν Β εἴη ἔμψυχον, τὸ δὲ Α ἄνθρωπος, τὸ δὲ Ζ ἄψυχον, τὸ δὲ Ε λίθος· τῇ αὐτῇ γὰρ μεθόδῳ συνάγεται ὅτι ὁ ἄνθρωπος οὐδενὶ λίθῳ. οἱ οὖν ταῦτα λέγοντες, φησίν, ἠγνοήκασιν ὅτι τὸ συμπέρασμα γέγονεν ἐν τούτοις διὰ τὰς παρ' ἡμῶν εἰρημένας αἰτίας, οὐ διὰ τὸ ἐναντίον ληφθῆναι τὸ Β τῷ Ζ. εἰ γὰρ ἔχομεν πάντα τὰ ἀλλότρια τοῦ τε Α καὶ τοῦ Ε, τὸ δὲ Β οὐδενὶ τῷ Ζ ὑπάρχει καὶ διὰ τοῦτο οὐδὲ τῷ Ε τὸ Β, ἔχομεν δὲ ἐκκείμενα πάντα τὰ τοῦ Ε ἀλλότρια, ἔσται ἄρα τὸ Β ταὐτὸν τινὶ τῶν ἀλλοτρίων τοῦ Ε. ὥστε, φησίν, οὐκ ἠδυνήθησαν συνιδεῖν οἱ ταῦτα λέγοντες τὴν ταὐτότητα τοῦ Β καὶ τοῦ Θ, καὶ διὰ τοῦτο ἐνόμισαν ἑτέρᾳ τινὶ μεθόδῳ συνῆχθαι τὸ συμπέρασμα. ἴδωμεν δὲ καὶ τὴν λέξιν αὐτὴν τοῦ φιλοσόφου.

2 post ταῦτα add. τὰ Bt 4 post ληπτέον add. τὰ t Arist. (om. corr. C)
5 post καὶ add. οὐχ t Arist. cf. p. 293,3sq. 8 ταυτόν B 9 ἑκάτερον scripsi: ἕτερον BUt 10 τῶ U 10. 11 συνενεχθήσεται Ut 11 δύναται B
13 παραδέδωκεν t: παραδεδώκαμεν S 14 μηδὲν ἐχόμενα B 15 ἐναντίον U
16 κατασκευάζων B 17 ἐναντία BS 18 τὸ δὲ — οὐδενί om. B 19 θ (ante κύκνος) U 20 ἐναντία B 21 ὁ om. t post κύκνῳ add. καὶ Bt
30 τῷ t: τῶν BU ἐκκείμενα S, corr. U: ἐκεῖνα Bt, pr. U 34 εἴδωμεν t

Δῆλον δὲ καὶ ποῖα ταὐτὰ ληπτέον κατὰ τὴν ἐπίσκεψιν LXXIIv
καὶ ποῖα ἕτερα ἢ ἐναντία. διάφορόν φησι φέρεσθαι τὴν γραφὴν τοῦ ῥητοῦ
ὁ Ἀλέξανδρος· εἶναι γὰρ ἔν τισι τῶν βιβλίων καὶ οὐχ ὁποῖα ἕτερα ἢ
ἐναντία. εἰ μὲν οὖν φέροιτο καὶ ποῖα ἕτερα ἢ ἐναντία, οὕτως ἐξηγη-
τέον· ἐπεὶ δῆλον γέγονεν ἡμῖν ἐκ τῶν εἰρημένων ποῖα δεῖ λαμβάνειν τὰ
αὐτά, ἔσται καὶ τοῦτο δῆλον, ποῖά ἐστιν ἐν τούτοις ἕτερα ἢ ἐναντία· ἵνα
ὥσπερ πόρισμά τι ἐκ τῶν εἰρημένων τοῦτο συνάγηται, τὸ μανθάνειν
ἡ|μᾶς ποῖα ἐν τούτοις τὰ ἕτερα ἢ τὰ ἐναντία. οὐδὲν γὰρ συμβάλ- LXXIIIr
λεται εἰς τὸ προκείμενον τὸ γνῶναι ταῦτα· ὥστε κατὰ ταύτην τὴν γραφὴν
ὡς πόρισμα ἔσται τοῦτο συνηγμένον. ποῖα οὖν τὰ ἕτερα ἢ τὰ ἐναντία
φέρε εἰπεῖν, εἰ [δὲ] λάβωμεν τὸ Γ καὶ τὸ Ζ ταὐτόν; ἔσται τὸ Δ τῷ Ζ
ἐναντίον ἢ ἕτερον, ἐπειδὴ καὶ τοῦ Γ ἀλλότριον. πάλιν εἰ τὸ Γ καὶ τὸ Θ
ταὐτόν, τὸ Δ καὶ τὸ Θ ἕτερα ἔσονται ἢ ἐναντία· εἰ γὰρ τὸ μὲν Α παντὶ
τῷ Γ, τουτέστι τῷ Θ, τὸ δὲ Δ οὐδενὶ τῶν Α, οὐδὲ τῶν Θ ἄρα οὐδενὶ τὸ
Δ· τὰ ἄρα ΔΘ ἢ ἐναντία εἰσὶν ἢ ἀλλότρια ἀλλήλων. εἰ δὲ τὰ ΓΗ ταὐτὸν
ᾖ, τὸ μὲν Γ τοῦ Θ ἢ ἕτερον ἔσται ἢ ἐναντίον, τὸ δὲ Η τῷ Δ. καὶ ἐπὶ
τῶν λοιπῶν κατὰ τὴν αὐτὴν μέθοδον. δοκεῖ δὲ ἡ ἑτέρα γραφὴ προσφυε-
στέρα εἶναι [ἐν] τῷ προκειμένῳ θεωρήματι καὶ τῇ ἐπαγομένῃ λέξει, λέγω
δὴ καὶ οὐχ ὁποῖα ἕτερα ἢ ἐναντία, ἵνα ᾖ ἡ συνέχεια αὕτη· 'δῆλον ἡμῖν
ἐκ τῶν εἰρημένων γέγονε τὸ ποῖα ἐν τοῖς ἀπογεγραμμένοις καθ' ἕκαστον
πρόβλημα δεῖ λαμβάνειν τὰ αὐτά· οὐ γὰρ δὴ ληπτέον ποῖα ἕτερα ἢ ἐναντία'.
καὶ ὅτι τοῦτο βούλεται σημᾶναι, δῆλον ἐκ τῶν ἐπαγομένων εὐθέως. τί
γάρ φησι;

p. 44b39 Πρῶτον μὲν ὅτι τοῦ μέσου χάριν ἡ ἐπίβλεψις, τὸ δὲ
μέσον οὐχ ἕτερον ἀλλὰ ταὐτὸν δεῖ λαβεῖν.

Ὅτι, φησίν, οὐ δεῖ ζητεῖν ποῖα ἐν τοῖς ἀπογεγραμμένοις ἕτερά ἐστιν,
ἀλλὰ ποῖα τὰ αὐτά, δῆλον· βουλόμεθα γὰρ τὸν μέσον ὅρον εὑρεῖν, δι' οὗ
μέσου σχέσιν τινὰ ἔχοντος πρὸς ἑκάτερον τῶν ὅρων ἢ καταφατικῶς ἢ ἀπο-
φατικῶς δυνησόμεθα τὸν ἄκρον τοῦ ἄκρου ἢ κατηγορῆσαι ἢ ἀποφῆσαι. εἰ
τοίνυν ἡ μὲν ζήτησις τοῦ μέσου ἕνεκεν γίνεται καὶ ἐπισκοποῦμεν τίνα δεῖ
ἐκ τῶν ἀπογεγραμμένων λαβεῖν μέσον ὅρον, δεῖ δὲ τὸν μέσον ἕνα εἶναι
καὶ τὸν αὐτόν, δῆλον ἄρα ὅτι ποῖα τὰ αὐτὰ ἐν τοῖς ἀπογεγραμμένοις ἐν
ἑκατέρῳ τῶν ἄκρων ὅρων δεῖ ζητεῖν, καὶ οὐ ποῖα ἕτερα ἢ ἐναντία·

---

1 διαληπτέον Ut 3 Ἀλέξανδρος] p. 314,6; sed hanc lectionem in codd inveniri non dicit post γὰρ add. φησιν U ἕτερα om. B 5 λαβεῖν, ut videtur, pr. B 10 οὖν τὰ U: ὄντα Bt 11 δὲ delevi ἐλάβομεν Bt 12 εἰς U 13 τῷ—τῷ U δ̄ e δὲ, ut videtur, corr. B 15 εἰσὶν om. t τὰ alt. scripsi: τὸ BUt 16 ἕτερα t ἐστὶν Ut τῷ δὲ t an τοῦ δ̄? 17 κατὰ — p. 297,13 ἄρα παντὶ τῷ η] tertiam fere partem servavit L γὰρ LU 18 ἐν delevi 19 δὲ t ᾖ ἡ scripsi: ἢ B: ἡ Ut: ᾖ post αὕτη add. b συνεχὴς B αὕτη b: αὐτῇ B: αὐτὴ Ut ἡμῖν BU: ἡ t 21 λαβεῖν U δὴ B: δεῖ LUt 22 ταυτὸ L 27 δῆλον e δηλῶν corr. U² 28 ὅ των (I litt. eras.) U 28. 29 καταφατικῶς — ἀποφατικῶς scripsi: inv. ord. Ut: ἀποφατικῶν—καταφατικῶν, ut videtur, B 29 τὸν t: τὸ BU κατηγορεῖν B

ἐπεὶ δύο ληψόμεθα μέσους καὶ οὐχ ἕνα, καὶ οὕτω δύο ποιήσομεν προ- LXXIIIr
τάσεις μηδὲν ἀλλήλαις κοινωνούσας, οἷον τὸ Β παντὶ τῷ Α, καὶ τὸ Ζ παντὶ τῷ Ε. εἰ δέ, φησί, ποτὲ συμβαίη ἐκ τῆς τοιαύτης λήψεως συλλογισμὸν γενέσθαι, τοῦτο γίνεται οὐχ ἁπλῶς. ἐπειδὴ ἐναντία ἐλάβομεν (ὅσον γὰρ ἐκ τούτου δύο ἀπηρτημέναι προτάσεις ἐγένοντο), ἀλλ' ὅτι συμβαίνει εἰς τὴν παρ' ἡμῶν παραδεδομένην μέθοδον λεληθότως ἐμπίπτειν. εἴπομεν δὲ πῶς.

p. 45a7 Τὸ γὰρ Β τῷ μὲν Α παντὶ τῷ δὲ Ε οὐδενὶ ὑπάρξει, ὥστ' ἀνάγκη ταὐτὸν εἶναι τὸ Β τινὶ τῶν Θ.

Ἐπεὶ γὰρ τὸ Β παντὶ τῷ Α ὑπάρχει, ἐναντίον δὲ τὸ Β τῷ Ζ ἢ ἕτερον καὶ διὰ τοῦτο οὐδενὶ τῷ Ζ τὸ Β, ἔστι δὲ τοῦ Ζ μέρος τὸ Ε, καὶ τῶν Ε ἄρα οὐδενὶ ὑπάρξει τὸ Β· ἀλλὰ μὴν ἔχομεν ἀπογεγραμμένα τὰ ἀλλότρια τοῦ Ε· ταῦτα δὲ ἦν τὰ Θ· τὸ ἄρα Β ταὐτὸν τινὶ ἔσται τῶν Θ. ὥστε πάλιν διὰ τὴν ἡμετέραν μέθοδον τὸ συμπέρασμα· λέγομεν γὰρ τὸ καθόλου ἀποφατικὸν συνάγεσθαι λαμβανομένων ἢ τῶν Δ καὶ Ζ τῶν αὐτῶν ἢ τῶν Β καὶ Θ.

p. 45a9 Πάλιν εἰ τὸ Β καὶ Η μὴ ἐγχωρεῖ τῷ αὐτῷ παρεῖναι, ὅτι τινὶ τῷ Ε οὐχ ὑπάρξει τὸ Α· καὶ γὰρ οὕτως ἔσται τὸ μέσον σχῆμα.

Δείξας ὅτι ἐν οἷς [καὶ] συνάγεται τὸ καθόλου ἀποφατικὸν ἐναντίων τινῶν ληφθέντων ἢ μὴ ἐνδεχομένων τῷ αὐτῷ ὑπάρχειν, οὐ διὰ τὴν τῶν ἐναντίων λῆψιν συνάγεται ἀλλὰ διὰ τὸ ἐμπίπτειν εἰς τὴν παρ' αὐτοῦ παραδεδομένην μέθοδον, τὸ αὐτὸ τοῦτο δείκνυσι καὶ ἐπὶ τοῦ μερικοῦ ἀποφατικοῦ. συναχθείη δ' ἂν ἐκ τῶν ἐναντίων οὕτως· ἐπεὶ τὸ Β παντὶ μὲν τῷ Α οὐδενὶ δὲ τῷ Η, καὶ τὸ Α οὐδενὶ τῶν Η· τὸ δὲ Η τινὶ τῶν Ε· καὶ τὸ Α ἄρα οὐ παντὶ τῷ Ε. πάλιν οὖν, φησίν, ἀγνοοῦσιν ἐν τούτοις ὅτι εἰς τὴν παρ' ἡμῶν παραδεδομένην μέθοδον ἐμπίπτουσιν· οὐδὲν γὰρ ἄλλο, φησί, λέγουσι λαμβάνοντες τὸ Β καὶ τὸ Η μὴ ἐνδεχόμενα τῷ αὐτῷ ὑπάρχειν ἢ ὅτι τὸ Β τινὶ ταὐτόν ἐστι τῶν Θ. εἰ γὰρ τὸ Β οὐδενὶ τῶν Η, τὸ δὲ Η μέρος τοῦ Ε, πάντα δὲ τὰ τοῦ Ε ἀλλότρια ἐλάβομεν ἐν τοῖς Θ, ἔσται ἄρα ταὐτὸν τινὶ τῶν Θ τὸ Β. ὥστε πάλιν διὰ τὴν ἡμετέραν μέθοδον γέγονε τὸ συμπέρασμα. καὶ ταῦτα μὲν ὁ φιλόσοφος. ἔοικε δὲ ἢ πεπλανῆσθαι ἐν τούτοις ἢ διὰ τὸ ἤδη παραδοῦναι τὴν μέθοδον ἀδιαφόρως ἐνταῦθα χρήσα-

1 ποιήσωμεν Ut 2 κοινωνούσαις U 3 φησί ποτε LU: inv. ord. Bt 4 γίνεσθαι B 5 ἀπηρτισμέναι B ἐγίνοντο B ἄλλο τι pr. U post ὅτι delevit φησὶ B 6 εἴπομεν (scil. p. 292,26 sq.) B: εἴπωμεν Ut 9 ταὐτὸν BLU(C): ταὐτὸ t Arist. τῷ θ̄ Ut 11 μέρους t 13 ταὐτὸν δὲ ἢ U 16 καὶ om. U 17 ante η̄ add. τὸ t (C) 18 τῶν Arist. τὸ μέσον ἔσται t Arist. 19 καὶ delevi 20 ἢ μὴ ἐνδεχομένων iterat B 21 παραδιδομένην t 24 τὸ η' (post δὲ) t τῷ ε' t 27 λαβάνοντες sic, οντ in ras. U 29 πάντη U 30 β̄—θ̄ B

σθαι. ἔδει γὰρ αὐτὸν εἰπεῖν οὕτως· τὸ γὰρ μὴ ἐνδέχεσθαι τὸ LXXIII[v]
Β καὶ τὸ Η τῷ αὐτῷ ὑπάρχεν οὐδὲν διαφέρει ἢ τὸ Η τῶν Δ τινὶ
εἶναι. νῦν δὲ εἶπεν ἢ τὸ Β τῶν Θ τινὶ εἶναι. ὅτι γὰρ τοῦτο ψεῦδός
ἐστιν⟨, δῆλον⟩· δυνατὸν γὰρ μηδενὶ μὲν τῷ αὐτῷ δύνασθαι τὸ Β καὶ τὸ Η
5 ὑπάρχειν, μηδὲν δὲ τῶν Θ εἶναι τὸ Β. εἰ γὰρ λάβωμεν τὸ μὲν Ε γένος
τὸ δὲ Β καὶ Η ἀντιδιῃρημένα εἴδη, οἷον τὸ μὲν Ε ζῷον τὸ δὲ Β ἄνθρωπον
τὸ δὲ Η ἵππον, ἄνθρωπον μὲν καὶ ἵππον οὐκ ἐγχωρεῖ τῷ αὐτῷ ὑπάρχειν· 5
οὐδενὶ μέντοι τῶν Θ, λέγω δὴ τῶν ἀλλοτρίων τοῦ ζῴου, ὁ ἄνθρωπος ὑπάρξει·
ζῷον γὰρ καὶ ὁ ἄνθρωπος. ὡσαύτως ἔχει καὶ ἐπὶ τῶν ἐναντίων, οἷον ἐὰν
10 λάβωμεν τὸ μὲν Ε χρῶμα τὸ δὲ Β λευκὸν τὸ ⟨δὲ⟩ Η μέλαν· τῷ αὐτῷ
μὲν οὖν τὸ Β καὶ τὸ Η οὐκ ἐγχωρεῖ ὑπάρξαι· οὐδενὶ μέντοι τῶν Θ ταὐτὸν
ἔσται τὸ Β, ἅπερ ἦν ἀλλότρια τοῦ Ε· χρῶμα γὰρ καὶ αὐτό. ἐὰν μέντοι
λάβωμεν τὸ Η καὶ τὸ Δ ταὐτόν, ἀληθεύσει ὁ λόγος· εἰ γὰρ οὐδενὶ τῷ Η
τὸ Α, ἐπειδὴ οὐδὲ τὸ Β οὐδενὶ τῷ Η, οὐδὲ τὸ Η ἄρα οὐδενὶ τῷ Α, ὥστε 10
15 ἀλλότριον τὸ Α τοῦ Η· τὰ δὲ ἀλλότρια τοῦ Α τὰ Δ ἦν· ὥστε ταὐτόν τι
ἔσται τὸ Η τινὶ τῶν Δ.

p. 45ª20 Συμβαίνει δὴ τοῖς οὕτως ἐπισκοποῦσι προσεπιβλέπειν ἄλλην ὁδὸν τῆς ἀναγκαίας διὰ τὸ λανθάνειν ποτὲ τὴν ταὐτότητα τῶν Β καὶ τῶν Θ.

20 Ἐνόμισαν, φησίν, οἱ ταῦτα λέγοντες ἄλλην ὁδὸν τῆς εὐπορίας εὑρηκέναι τῶν προτάσεων, τὴν διὰ τῶν ἐναντίων, ἀγνοήσαντες ὅτι ἐν αὐτοῖς τούτοις οἷς λέγουσιν ἡ ἡμετέρα πάλιν ἀναφαίνεται μέθοδος, ὥστε διὰ ταύτην καὶ 15
μὴ διὰ τὴν παρὰ τούτων λεγομένην συμβαίνειν τὸ συμπέρασμα. ὥστε οἱ διὰ ταύτης τῆς μεθόδου συνάγεσθαί τι νομίσαντες πλείω τῆς ἀναγκαίας
25 βαδίζουσι διά τινος κύκλου ἐπὶ τὴν ἡμετέραν περιαγόμενοι μέθοδον. δεῖ δὲ πάλιν ἀντὶ τοῦ ΒΘ τὸ ΔΗ λαμβάνειν.

p. 45ª23 Τὸν αὐτὸν δὲ τρόπον ἔχουσι καὶ οἱ εἰς τὸ ἀδύνατον ἀπάγοντες συλλογισμοὶ τοῖς δεικτικοῖς· καὶ γὰρ οὗτοι γίνονται διὰ τῶν ἑπομένων καὶ οἷς ἕπεται ἑκάτερον, καὶ ἡ αὐτὴ ἐπίσκεψις
30 ἐπ' ἀμφοῖν.

Οὐ μόνον, φησί, κατηγορικῶς διὰ τῆς μεθόδου ταύτης εὐπορήσομεν συλλογίζεσθαι, ἀλλὰ καὶ εἰς τὴν δι' ἀδυνάτου δεῖξιν αἱ αὐταὶ χρησιμεύσουσιν ἡμῖν μέθοδοι· τὸ γὰρ αὐτὸ πρόβλημα διὰ τῶν αὐτῶν ὅρων κατηγορικῶς τε ἅμα καὶ δι' ἀδυνάτου συλλογιούμεθα, καὶ ἀνάπαλιν, ὃ διὰ τοῦ ἀδυνάτου

3 τινὶ B: τί Ut 4 δῆλον addidi 5 μὴ δὲ B: μηδὲ t 7 δὲ om. t
10 δὲ alt. addidi 11 τῷ (post οὖν)—τῷ pr. B 15 τοῦ a τὸ U τοῦ alt. t:
τῷ B: τὸ U 19 δ̄—η̄ supra β—θ scr. U 21 τούτοις om. L 23 τὰ S
λεγόμενα LSU 26 τοῦ L: om. BUt 27 οἱ om. U 28 ἀπάγοντες t: ἀνάγοντες
BLU: ἄγοντες Arist. συλλογισμὸν t 31 εὐπορίσομεν L 32 συλλογίσασθαι U
34 δι' SUt: διὰ τοῦ B

ἐδείξαμεν, τοῦτο διὰ τῶν αὐτῶν ὅρων καὶ κατηγορικῶς ἕξομεν συλ- LXXIIIv
λογίσασθαι. ὅπως δὲ τοῦτο ἔσται, ἐπάγει.

p. 45a28 Οἷον ὅτι τὸ Α οὐδενὶ τῷ Ε ὑπάρχει· κείσθω γὰρ τινὶ καὶ τὰ ἑξῆς.

Ἔστω, φησί, δι' ἀδυνάτου δεῖξαι τὴν καθόλου ἀποφατικήν. εἰλήφθω οὖν πάλιν τι τῶν ἑπομένων τῷ Α, τουτέστι τὸ Β, καὶ τῶν ἀλλοτρίων τοῦ Ε, τουτέστι τὸ Θ, ταὐτὸ ὑπάρχον. προέρχεται οὖν ἡ δεῖξις οὕτως· ἐπεὶ τὸ Β ταὐτὸν τῷ Θ, τὸ δὲ Β παντὶ τῷ Α, καὶ τὸ Θ τῷ Α παντί· τῷ δὲ Ε οὐδενί. τούτων οὖν ὄντων λέγω ὅτι τὸ Α τῷ Ε οὐδενὶ ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ τινί. οὐκοῦν ἐπεὶ τὸ μὲν Β παντὶ τῷ Α, τὸ δὲ Α τινὶ τῶν Ε, συνάγεται ὅτι τὸ Β τινὶ τῶν Ε· ὑπέκειτο δὲ καὶ οὐδενί. ὅπερ ἀδύνατον· τὸ γὰρ Β ταὐτὸ τινὶ ἦν τῶν Θ, ἅπερ ἦν ἀλλότρια τοῦ Ε. εἰ τοίνυν τῇ ὑποθέσει τῇ λεγούσῃ ὑπάρχειν τὸ Α τινὶ τῶν Ε ἀδύνατόν τι ἠκολούθησε, τὸ τὸ αὐτὸ τῷ αὐτῷ, τὸ Β τῷ Ε, καὶ οὐδενὶ καὶ τινὶ ὑπάρχειν, ψεῦδος ἄρα τὸ τινὶ τῶν Ε τὸ Α ὑπάρχειν, ἀληθὲς δὲ τὸ μηδενί.

p. 45a31 Πάλιν ὅτι τινὶ ὑπάρχει.

Ὁμοίως, φησίν, ἕξει καὶ ἐπὶ τῆς μερικῆς καταφατικῆς· ταῖς γὰρ αὐταῖς μεθόδοις δείξομεν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ τοῦτο τὸ πρόβλημα διὰ τοῦ λαμβάνειν τινὰ τῶν οἷς ἀμφότεροι ἕπονται οἱ ὅροι, λέγω δὲ τῶν Γ καὶ τῶν Η, ταὐτὰ ἀλλήλοις ὄντα. δείκνυμεν οὖν πάλιν διὰ τοῦ ἀδυνάτου οὕτως· λέγω γὰρ ὅτι τὸ Α τινὶ τῶν Ε ὑπάρχει· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐδενί. ἐπεὶ οὖν τὸ Α οὐδενὶ τῷ Ε, τὸ δὲ Ε παντὶ τῷ Η, καὶ τὸ Α ἄρα οὐδενὶ τῶν Η· ἀλλ' ὑπέκειτο καὶ παντί. ὅπερ ἀδύνατον· τὸ γὰρ Γ, καθ' οὗ παντὸς ἦν τὸ Α, ταὐτὸν τῷ Η, ὥστε καὶ τῷ Η παντὶ ὑπάρχει τὸ Α. ψευδὴς ἄρα ἡ ὑπόθεσις ἡ λέγουσα οὐδενὶ τῷ Ε τὸ Α· οὐκοῦν ἀληθὴς ἡ τινί, ὅπερ ἔδει δεῖξαι.

p. 45a33 Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων προβλημάτων.

Τουτέστι τοῦ τε καθόλου καταφατικοῦ καὶ τοῦ μερικοῦ ἀποφατικοῦ. δείξομεν οὖν καὶ ἐπὶ τούτων. ἐδείκνυμεν τὸ καθόλου καταφατικὸν λαμβάνοντες τὸ Γ καὶ τὸ Ζ ταὐτόν· ἔσται οὖν διὰ τῶν αὐτῶν ὅρων τὸ αὐτὸ καὶ δι' ἀδυνάτου δεῖξαι. λέγω γὰρ ὅτι τὸ Α παντὶ τῷ Ε ὑπάρχει·

7 αὐτὸ L προσέρχεται t 8 τῷ δὲ BL cf. S: τὸ δὲ Ut 11 τῷ ε̄ (ante ὑπ.) U
12 ἅπερ scripsi cf. p. 291,12: ὅπερ BUt ἀλλότριον B 13 τῇ λεγούσῃ om. B
14 τὸ alt. om. LU 15 ᾱ scripsi cf. S: αὐτὸ BUt 19 δείξωμεν t 21 δὴ S
25 τὸ prius SU: τοῦ Bt καθ' οὗ S: καθόλου BUt post ᾱ add. ὅπερ B, οὗπερ Ut: om. S 26 τῶν ε̄ U 27 ἀληθὲς τὸ fort. recte S cf. p. 297,9: ἀληθεῖ U 30 δείξωμεν t
ἐδείκνυμεν] p. 284,27 sq. post ἐδείκνυμεν add. οὖν Bt: om. SU 32 ὅτι om. B

εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐ παντί. ἐπεὶ οὖν τὸ Α οὐ παντὶ LXXIII[v]
τῷ Ε, τὸ δὲ Ζ παντὶ τῷ Ε, συνάγεται ἐν τρίτῳ σχήματι τὸ Α οὐ παντὶ
τῷ Ζ· ὑπέκειτο δὲ καὶ παντί, ὅπερ ἀδύνατον· κατὰ παντὸς γὰρ τοῦ Γ τὸ Α·
τὸ δὲ Γ ταὐτὸν ἦν τῷ Ζ· ὥστε καὶ τὸ Α κατὰ παντὸς τοῦ Ζ. ἔστι δὲ καὶ
ἐν δευτέρῳ σχήματι τὸ αὐτὸ συναγαγεῖν. ἐπεὶ γὰρ τὸ Α οὐ παντὶ τῷ Ε,
ὡς ἡ ὑπόθεσις, ἦν δὲ καὶ παντὶ τῷ Ζ τὸ Α (ταὐτὸν γὰρ τῷ Γ τὸ Ζ.
τῷ δὲ Γ παντὶ τὸ Α), ὥστε συνάγεται τὸ Ζ οὐ παντὶ τῷ Ε· ὑπέκειτο δὲ
καὶ παντί, | ὅπερ ἐστὶν ἀδύνατον· ψευδὴς ἄρα ἡ ὑπόθεσις ὅτι τὸ Α LXXIV[r]
οὐ παντὶ τῷ Ε, ἀληθὲς ἄρα τὸ παντί. ὁμοίως καὶ τὸ μερικὸν ἀποφατικὸν
ἐδείκνυτο ταὐτοῦ ὄντος τοῦ Δ καὶ τοῦ Η. πάλιν οὖν δείξομεν τοῖς αὐτοῖς
ὅροις καὶ διὰ τοῦ ἀδυνάτου. λέγω γὰρ ὅτι τὸ Α οὐ παντὶ τῷ Ε ὑπάρχει·
εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντί. ἐπεὶ οὖν παντὶ τῷ Ε τὸ Α, τὸ δὲ
Ε παντὶ τῷ Η, καὶ τὸ Α ἄρα παντὶ τῷ Η· ὑπέκειτο δὲ καὶ οὐδενί, ὅπερ
ἀδύνατον· τὸ γὰρ Α οὐδενὶ τῷ Δ· ταὐτὸν δὲ τὸ Δ τῷ Η· οὐκοῦν οὐδὲ
τῷ Η οὐδενὶ τὸ Α. ψεῦδος οὖν τὸ παντὶ τῷ Ε τὸ Α· οὐκοῦν ἀληθὲς τὸ
οὐ παντί. δυνατὸν δὲ καὶ ἐν δευτέρῳ σχήματι καὶ ἐν τρίτῳ εἰς τὸ ἀδύ-
νατον ἀπαγαγεῖν· ἐν μὲν δευτέρῳ· ἐπεὶ τὸ Α παντὶ τῷ Ε τῷ δὲ Η οὐδενί,
καὶ τὸ Ε ἄρα τῷ Η οὐδενί· ὑπέκειτο δὲ καὶ παντί· ἐν δὲ τῷ τρίτῳ·
ἐπεὶ τὸ Α τῷ Ε παντί, τὸ δὲ Η τινὶ τῶν Ε, καὶ τὸ Α ἄρα τινὶ τῶν Η·
ὑπέκειτο δὲ καὶ οὐδενί.

p. 45ᵃ35 Ἐκ τῶν ἑπομένων καὶ οἷς ἕπεται ἑκάτερον.

Δῆλον δήπου ὅτι καὶ ἐκ τῶν ἀλλοτρίων.

p. 45ᵃ36 Καὶ καθ' ἕκαστον πρόβλημα ἡ αὐτὴ σκέψις δεικτικῶς τε βουλομένων συλλογίσασθαι καὶ εἰς ἀδύνατον ἀπαγαγεῖν· ἐκ γὰρ τῶν αὐτῶν ὅρων ἀμφότεραι αἱ ἀποδείξεις.

Βούλεται δεῖξαι ὅτι ἀντιστρέφουσιν ἀλλήλαις αἱ δείξεις αὗται· ὃ γὰρ δι' ἀδυνάτου δείκνυται, τοῦτο διὰ τῶν αὐτῶν ὅρων καὶ δεικτικῶς, καὶ ὃ δεικτικῶς, τοῦτο διὰ τῶν αὐτῶν ὅρων καὶ δι' ἀδυνάτου. ἐπειδὴ οὖν ἐξέθετο τὴν δι' ἀδυνάτου, βούλεται τὸ αὐτὸ καὶ διὰ τῶν αὐτῶν καὶ δεικτικῶς δεῖξαι.

p. 45ᵃ38 Οἷον εἰ δέδεικται μηδενὶ ὑπάρχειν τῷ Ε τὸ Α, ὅτι συμβαίνει καὶ τὸ Β τινὶ τῶν Ε ὑπάρχειν.

Εἰ τὴν καθόλου, φησίν, ἀποφατικὴν ἐδείξαμεν δι' ἀδυνάτου ὑποθέ-

---

4 τὸ Ζ—τοῦ a U ἔστι δὲ om. LU 6 τῷ Γ τὸ SU: inv. ord. Bt 8 ἐστὶν om. S
9 ἀληθὲς δὲ S 10 ἐδείκνυτο] p. 284,21 sq. δείξωμεν t 15 τὸ Η—τῷ a U
18 τῷ alt. om. St 19 ante παντὶ add. οὐ B 22 ἐκ scripsi: ἐπὶ BUt
24 βουλομένῳ Arist. post εἰς add. τὸ Ut (n) ἀναγαγεῖν t: ἀγαγεῖν Arist.
27 δι' BS: διὰ τοῦ Ut καὶ δεικτικῶς—28 ὅρων om. U 28 δι' BS: διὰ τοῦ Ut
29 διὰ τοῦ t 31 τῶν B Arist.: τῷ Ut

μενοι τὸ ἀντικείμενον καὶ τούτῳ εὑρόντες ἀδύνατόν τι ἀκολουθοῦν, λέγω LXXIVʳ
δὴ τὸ ⟨τὸ⟩ B τινὶ τῶν E ὑπάρχειν οὐδενὶ ὑπάρχον, ἐὰν τὸ ψευδὲς συμπέρασμα 20
εἰς τὸ ἀληθὲς μεταλάβωμεν, λέγω δὲ ὅτι τὸ B οὐδενὶ τῶν E, εἶτα προσθῶμεν
τὴν ἑτέραν πρότασιν, ἥτις καὶ ἐν τῇ δι' ἀδυνάτου ὑπῆρχε, τὴν ὅτι τὸ B
5 παντὶ τῷ A, συνάγεται δεικτικῶς ἐν δευτέρῳ σχήματι ὅτι τὸ A οὐδενὶ τῷ
E. ἀναλαμβάνει οὖν τὰ εἰρημένα, ἵνα δείξῃ ἀντιστρεφούσας ἀλλήλαις τήν τε
ἐπ' εὐθείας καὶ τὴν δι' ἀδυνάτου δεῖξιν. ἀπορήσειε δ' ἄν τις ἐν τούτοις
εἰκότως, πῶς φησιν ἀντιστρέφειν ἀλλήλαις τήν τε δι' ἀδυνάτου καὶ τὴν ἐπ' 25
εὐθείας δεῖξιν. δέδεικται γὰρ ἐν τῷ περὶ τῶν τριῶν σχημάτων λόγῳ ὅτι
10 ὁ τέταρτος τρόπος τοῦ δευτέρου σχήματος καὶ ὁ πέμπτος τοῦ τρίτου μόνως
τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἐδείκνυντο, τῇ δὲ ἐπ' εὐθείας οὐκέτι· ὁποτέραν
γὰρ ἂν τῶν προτάσεων ἀντιστρέψαι τις βουληθείη, ἵνα ἐπ' εὐθείας ποιή-
σηται τὴν δεῖξιν, ἀσυλλόγιστον ποιεῖ τὴν συμπλοκὴν τῶν προτάσεων. ἐπὶ
δὲ τοῦ τετάρτου τρόπου τοῦ δευτέρου σχήματος οὐδὲ ἀντιστρέψαι ἦν τὴν
15 ἐλάττονα· μερικὴ γὰρ ἦν ἀποφατική, ἥτις πρὸς οὐδεμίαν ἀντέστρεφε. 30
πῶς οὖν ἐνταῦθά φησιν ὅτι πάντα τὰ διὰ τοῦ ἀδυνάτου δεικνύμενα καὶ ἐπ'
εὐθείας δείκνυνται καὶ τὰ ἐπ' εὐθείας καὶ δι' ἀδυνάτου; φημὶ οὖν πρὸς
ταῦτα ὅτι πρῶτον μὲν οὐ περὶ τρόπων τῶν σχημάτων ἐνταῦθα ὁ λόγος
ἀλλὰ περὶ τῶν προβλημάτων πάντων, τοῦ καθόλου, τοῦ μερικοῦ, τοῦ κατα-
20 φατικοῦ, τοῦ ἀποφατικοῦ, ὅτι τούτων ἕκαστον καὶ ἐπ' εὐθείας δείκνυται
καὶ δι' ἀδυνάτου, οὐ μὴν ὅτι καὶ καθ' ἕκαστον τρόπον τῶν σχημάτων.
ἔπειτα δὲ οὐδὲ ἐπὶ τῶν τρόπων ψευδής ἐστιν ὁ λόγος. ἀναμνησθῶμεν γὰρ 35
διὰ τί ἔλεγε μὴ δύνασθαι ἐπὶ τῶν εἰρημένων δύο τρόπων τὴν ἐπ' εὐθείας
δεῖξιν γίνεσθαι· δῆλον δήπου, ὅπερ καὶ φθάσας εἶπον, ὅτι τὴν μὲν τῶν
25 προτάσεων οὐκ ἦν ἀντιστρέψαι, αἱ δὲ ἄλλαι ἀντιστρεφόμεναι ἀσυλλόγιστον
ἐποίουν τὸ σχῆμα. τί δὲ ὅλως τῶν ἀντιστροφῶν ἐδέησεν, αὐτὸς ἐν τῷ
περὶ αὐτῶν λόγῳ σαφῶς εἶπεν. ἐπεὶ γὰρ ἀτελεῖς εἰσιν οἱ ἐν τῷ δευτέρῳ
καὶ τρίτῳ συλλογισμοί, δεόμεθα, φησί, τῶν ἀντιστροφῶν οὐ πρὸς τὸ ποιῆσαι
τὸ ἀναγκαῖον ἐν τούτοις τοῖς σχήμασιν, ἀλλ' ἵνα φαινόμενον γένηται τὸ 40
30 ἀναγκαῖον. οὐ γὰρ ἡ ἀντιστροφή ἐστιν ἡ τὴν ἀνάγκην τοῖς συλλογισμοῖς
τούτοις ποιοῦσα· αὐτὰ γὰρ καθ' αὑτὰ τὰ σχήματα ἔχει τὸ ἀναγκαῖον·
ἀλλὰ μὴ φαινόμενον τοῦτο φανερὸν ποιεῖ [καὶ] ἡ εἰς τὸ πρῶτον σχῆμα
ἀναγωγή. ταύτῃ γὰρ καὶ ἀτελῆ λέγονται εἶναι τὰ σχήματα, τὸ δεύτερον
καὶ τὸ τρίτον, διότι μὴ προφανῆ τὴν ἀνάγκην ἔχουσιν. ὥστε εἰ μὴ ποι-
35 οῦσι τὸ ἀναγκαῖον αἱ ἀντιστροφαὶ ἀλλὰ μόνον δεικνύουσιν, ἐνδέχεται δήπου

2 δὲ t τὸ alt. addidi ὑπάρχειν (post οὐδενὶ) t post ἐὰν add. δὲ t
3 μεταβάλωμεν U δὴ t προθῶμεν pr. B 7 ἀπορήσει B 9 δέδεικται] c. 5 p. 27ᵃ37 sq. c. 6 p. 28ᵇ15 sq. 10 ὁ alt. om. B μόνου B 11 ἐδείκνυτο B
12 ἂν om. Ut 14. 15 τὴν ἐλάττονα ἦν U 15 post ἦν add. ἡ B 16 δι' ἀδυνάτου t 17 δείκνυται t καὶ alt. om. t 21 διὰ τοῦ t τῶν om. U
ζητημάτων B 23 εὐθεῖαν B 24 φθάσαν Ut 27 εἶπεν] c. 1 p. 24ᵇ24
28 post γ' add. σχήματι t 30 ἡ prius ex ὁ, ut videtur, corr. B 32 καὶ delevi
34 εἰ om. B 34. 35 ποιῶσι Ut 35 αἱ ἀντιστροφαὶ U: διὰ τῆς ἀντιστροφῆς B: δι' ἀντιστροφῆς t δεικνύουσιν scripsi: δείκνυσιν BUt

καὶ ἐπὶ τῶν εἰρημένων δύο τρόπων ἐπ' εὐθείας συλλογίσασθαι. ἀλλ' LXXIVr
ἐπειδὴ μὴ φαίνεται τὸ ἀναγκαῖον, μήτε δὲ δι' ἀντιστροφῆς τῶν προτάσεων
ἐνδέχεται τοῦτο δεῖξαι, διὰ τοῦτο μόνως διὰ τοῦ ἀδυνάτου δείκνυσθαι τοὺς
τρόπους ἐκείνους φησί· διὰ τοῦτο γὰρ φαίνεται αὐτῶν τὸ ἀναγκαῖον. ὥστε
καὶ ἐπὶ τῶν τρόπων πάντων ἀληθές ἐστι τὸ [κατὰ] τὸ αὐτὸ καὶ ἐπ' εὐθείας
καὶ δι' ἀδυνάτου δείκνυσθαι, καὶ ὅτι καθόλου ἀντιστρέφουσι πρὸς ἀλλήλας
ἥ τε δι' ἀδυνάτου καὶ ἡ ἐπ' εὐθείας δεῖξις.

p. 45b1 Πάλιν εἰ δεικτικῶς συλλελόγισται τὸ Α τῷ Ε μηδενὶ
ὑπάρχειν, ὑποθεμένοις ὑπάρχειν διὰ τοῦ ἀδυνάτου δειχθήσεται
οὐδενὶ ὑπάρχον.

Ἀντιστρέψας πρὸς τὴν δι' ἀδυνάτου δεῖξιν τὴν δεικτικὴν νῦν πρὸς τὴν δεικτικὴν ἀντιστρέφει τὴν δι' ἀδυνάτου. εἰ γὰρ δέδεικται δεικτικῶς διὰ τοῦ δευτέρου σχήματος ὅτι τὸ Α οὐδενὶ τῷ Ε, ἐὰν τὸ ἀντικείμενον τούτῳ λάβωμεν τὸ τινί, δείκνυμεν πάλιν τὸ αὐτὸ καὶ δι' ἀδυνάτου. εἰ γὰρ τινὶ τῶν Ε τὸ Α, τὸ δὲ Β | παντὶ τῷ Α, συνάγεται πάλιν ἐν πρώτῳ LXXIVv
σχήματι τὸ Β τινὶ τῶν Ε· ἀλλ' ὑπέκειτο οὐδενί· ψεῦδος ἄρα τὸ τινὶ τῶν Ε τὸ Α· οὐκοῦν οὐδενί. δέδεικται οὖν διὰ τούτων ὅτι ἀντιστρέφουσιν ἀμφότεραι αἱ δείξεις, ἥ τε κατηγορικὴ καὶ ἡ δι' ἀδυνάτου, καὶ διὰ τῆς αὐτῆς μεθόδου, λέγω δὴ τῆς εὐπορίας τῶν προτάσεων, ἀμφότεραι προέρχονται.

p. 45b3 Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Ἐπειδὴ ὡς ἐπὶ μόνης τῆς καθόλου ἀποφατικῆς τὸν λόγον ἐγύμνασε τῶν ἀντιστροφῶν, τὰ αὐτά, φησί, καὶ ἐπὶ τῶν λοιπῶν προβλημάτων συμβαίνει.

p. 45b4 Ἐν ἅπασι γὰρ ἀνάγκη κοινόν τινα λαβεῖν ὅρον ἄλλον τῶν ὑποκειμένων, πρὸς ὃν ἔσται τοῦ ψεύδους ὁ συλλογισμός.

Ἐν πᾶσι, φησί, τοῖς δι' ἀδυνάτου συλλογισμοῖς δεῖ κοινόν τινα ὅρον ἕτερον ὄντα παρ' ἀμφοτέρους τοὺς ἄκρους ὅρους λαβεῖν· τούτους γὰρ ἐσήμανε διὰ τοῦ εἰπεῖν τῶν ὑποκειμένων· οὗτοι γὰρ ἐξ ἀρχῆς ὑπόκεινται περὶ ὧν ἡ σκέψις, τὸ Α καὶ τὸ Ε. κοινὸν δὲ λέγει οὐχὶ ἀντὶ τοῦ 'μέσον κοινωνίαν ἔχοντα πρὸς ἑκάτερον καὶ δι' ἑαυτοῦ τοὺς ἄκρους

2 τὸ ἀναγκαῖον μὴ φαίνηται t 5 κατὰ delevi 6 διὰ τοῦ t 9 post ὑπάρχειν alt. add. τινὶ t (B u) post δειχθήσεται add. καὶ U 12 post δεικτικῶς add. καὶ Bt: om. SU 13 τούτου U 14 λαμβάνωμεν B 15 τῶν t: τῷ BU 16. 17 τῷ ε̄ U 19 αὐτῆς om. U δὲ U 19. 20 περιέρχονται pr. B, corr. B² 22 ὡς post μόνης colloc. B: om. S cf. p. 304,11 ante τῆς add. ἐπὶ BUt: om. S 24 πᾶσι B 26 τινα κοινὸν B 27 ὅρους om. t λαβεῖν om. SU 29 ὁ δ̄ καὶ ὁ U 30 μέσου St

συνδέοντα', ἀλλὰ κοινόν φησιν 'ἔν τε τῇ ἐπ' εὐθείας δείξει παραλαμ- LXXIVv
βανόμενον τὸν αὐτὸν καὶ ἐν τῇ δι' ἀδυνάτου'. ἐπειδὴ γὰρ εἶπεν ὅτι ἐκ τῶν αὐτῶν ὅρων ἀμφότεραι αἱ ἀποδείξεις, τοῦτο θέλει αὐτὸ ἀποδεῖξαι. εἰ οὖν οἱ ἐξ ἀρχῆς ὑποκείμενοι ὅροι, λέγω δὴ οἱ τοῦ προβλήματος, ὅ τε Α καὶ
5 ὁ Ε περὶ ὧν ἡ σκέψις, οἱ αὐτοὶ ἐν ἀμφοτέραις, δεῖ δὲ καὶ ἕτερόν τινα παρὰ τούτους ἐν ἀμφοτέραις ταῖς ἀποδείξεσιν τὸν αὐτὸν εὑρίσκεσθαι, σαφὲς ὡς ἐκ τῶν αὐτῶν ὅρων ἀμφότεραι αἱ ἀποδείξεις περαίνονται. ὅτι οὖν κοινός τις παρὰ τοὺς κειμένους ὅρος ἐν ἀμφοτέραις λαμβάνεται, δείκνυσι. καὶ γὰρ ἐν ταῖς προκειμέναις δείξεσι, τῇ τε ἐπ' εὐθείας καὶ τῇ δι' ἀδυ-
10 νάτου, ἔστι κοινὸς ὅρος τὸ Β· οὗτος γὰρ ἐπὶ μὲν τῆς ἐπ' εὐθείας δείξεως ἀληθῶς ἀπεφάσκετο τοῦ Ε καὶ ἐποίει τὴν ἐλάττονα πρότασιν· ἐπὶ δὲ τῆς δι' ἀδυνάτου ψευδῶς κατεφάσκετο τὸ Β τοῦ Ε ἐν συμπεράσματι. πρὸς τοῦτον οὖν, φησί, τὸν κοινὸν ὅρον τὸ ψευδὲς γίνεται συμπέρασμα· συνήγετο γὰρ ψευδῶς ὅτι τὸ Β τινὶ τῶν Ε. ταύτης οὖν, φησί, τῆς ψευδοῦς προ-
15 τάσεως, ἥτις ἦν τῆς δι' ἀδυνάτου ἀπαγωγῆς συμπέρασμα, ἀντιληφθείσης, τουτέστιν εἰς τὴν ἀληθῆ μεταληφθείσης, οἷον ἀντὶ τοῦ λέγειν ὅτι τὸ Β τινὶ τῶν Ε, ἵνα λάβωμεν, ὅτι οὐδενί, ὅπερ καὶ ἐξ ἀρχῆς ὑπέκειτο, τῆς δὲ ἑτέρας προτάσεως φυλαττομένης, δηλονότι τῆς πρὸς τὸν μείζονα ὅρον τοῦ μέσου, τῆς ὅτι παντὶ τῷ Α τὸ Β ὑπάρχει, οὕτω, φησίν, ἔσται δεικτικὸς
20 ὁ δι' ἀδυνάτου συλλογισμός· τὸ γὰρ Β παντὶ μὲν τῷ Α οὐδενὶ δὲ τῷ Ε· οὐκοῦν καὶ τὸ Α οὐδενὶ τῷ Ε ὑπάρξει.

p. 45b12 Ταῦτα μὲν οὖν ἔσται φανερὰ μᾶλλον διὰ τῶν ἑπομένων, ὅταν περὶ τοῦ ἀδυνάτου λέγωμεν.

Ἐπειδὴ εἶπε τίνι διαφέρει ὁ δεικτικὸς τοῦ ἀδυνάτου, ταῦτα, φησίν,
25 ἐν τοῖς ἑξῆς ἀκριβέστερον εἰσόμεθα. λέγει δὲ ἐν τῷ δευτέρῳ λόγῳ· ἐκεῖ γὰρ ἀκριβέστερον διεξέρχεται περὶ τῆς τούτων διακρίσεως· λέγει γὰρ ἐκεῖ ὅτι διαφέρει ὁ ἐπ' εὐθείας τοῦ δι' ἀδυνάτου τῷ [τε] εἰρημένῳ τρόπῳ. ὅτι ὁ μὲν ἀμφοτέρας τὰς προτάσεις ἀληθεῖς λαμβάνει. ὁ δὲ τὴν ἑτέραν ψευδῆ.

p. 45b15 Ἐν δὲ τοῖς ἄλλοις συλλογισμοῖς τοῖς ἐξ ὑποθέσεως.
30 οἷον ὅσοι κατὰ μετάληψιν ἢ κατὰ ποιότητα, ἐν τοῖς ὑποκειμένοις, οὐκ ἐν τοῖς ἐξ ἀρχῆς ἀλλ' ἐν τοῖς μεταλαμβανομένοις ἔσται ἡ σκέψις.

Ἐν τοῖς ἄλλοις, δηλονότι τοῖς ἐξ ὑποθέσεως. ἐπειδὴ γὰρ ἔδειξεν

3 αὐτὸ om. t 5 ἀμφοτέραις scripsi cf. vs. S: ἀμφοτέροις BSUt 6 περὶ Ut εὑρίσκεσθαι τὸν αὐτὸν t S post τις add. ὁ BUt: om. S περὶ SUt κειμένους SU: ὑποκειμένους Bt ἀμφοτέραις S: ἀμφοτέροις BUt 9 τε SU: om. Bt 11 ἀποφάσκεται B 12 τὸ ᾱ U post ε̄ del. ὡς B 13 τοῦτον S: τοῦτο BUt τὸν S: om. BUt τὸ ψευδὲς SU: τῷ ψεύδει Bt συμπεράσματι B 14 τὸ ῶ U 15 post ἀπαγωγῆς add. τὸ U 17 καὶ superscr., ut videtur, B¹ 19 δεικτικῶς t 22 μᾶλλον φανερὰ t Arist. 24 ὁ ἀποδεικτικὸς τῆς δι' U ταυτά libri 25 ἐν τῷ δευτέρῳ λόγῳ] c. 14 26 post ἐκεῖ addiderim καὶ 27 τε delevi 30 ἢ Arist.: ἢ καὶ BUt, at cf. p. 301,8

ὅτι οἱ κατηγορικοὶ συλλογισμοὶ καὶ οἱ δι' ἀδυνάτου διὰ τῆς αὐτῆς με- LXXIVᵛ
θόδου περαίνονται, νῦν φησιν ὅτι καὶ οἱ ἄλλοι ὑποθετικοὶ συλλογισμοί, ὅσοι 40
κέχρηνται τῇ μεταλήψει, διὰ τούτων δείκνυνται. ἐν τούτοις γάρ, φησίν,
ἡ μετάληψις δεῖται τῆς δείξεως· οὐ δείκνυται δὲ ἄλλως ἢ κατηγορικῶς· οἱ
5 δὲ κατηγορικοὶ διὰ τούτων ἐδείχθησαν. οὐκοῦν καὶ οὗτοι διὰ ταύτης δει-
χθήσονται τῆς μεθόδου. οὐκ ἀντιδιαιρεῖ δὲ τὴν μετάληψιν τῇ ποιότητι·
καθολικώτερον γὰρ ἡ μετάληψις· τὸ δὲ καθόλου οὐκ ἀντιδιαιρεῖται πρὸς
τὸ μέρος. ὥστε τὸ ἢ κατὰ ποιότητα ἀντὶ τοῦ 'καὶ κατὰ ποιότητα'. 45
εἴπομεν δὲ ἤδη ὅτι ὅπερ οἱ Στωικοὶ πρόσληψιν ἐκάλουν, τοῦτο οἱ Περι-
10 πατητικοὶ μετάληψιν ἔλεγον. πάντες μὲν οὖν οἱ ὑποθετικοὶ κατὰ μετάληψίν
εἰσι. κατὰ ποιότητα δὲ ἐκεῖνοι λέγονται ὅσοι ἐκ τοῦ μᾶλλον ἐπιχειροῦσιν
ἢ ἐκ τοῦ ἧττον ἢ ἐκ τοῦ ὁμοίου. εἰσὶ δὲ οἱ μὲν ἐκ τοῦ μᾶλλον ἀνασκευα-
στικοί, οἱ δὲ ἐκ τοῦ ἧττον κατασκευαστικοί, οἱ δὲ ἐκ τοῦ ὁμοίου πρὸς
ἑκάτερα ἐπ' ἴσης ἔχουσιν. οἷον ἐκ τοῦ μᾶλλον· εἰ ἡ ὑγίεια μᾶλλον ἀγαθὸν ἢ
15 ὁ πλοῦτος, οὐκ ἀγαθὸν δὲ πάντως ἡ ὑγίεια, οὐδὲ ὁ πλοῦτος ἄρα. ἐκ δὲ
τοῦ ἧττον· εἰ ἡ ὑγίεια ἧττον δοκοῦσα ἀγαθὸν εἶναι τῆς ἀρετῆς ὅμως 50
ἀγαθόν ἐστι, καὶ ἡ ἀρετὴ ἄρα ἀγαθόν. ἐκ δὲ τοῦ ὁμοίου κατασκευάζομεν
οὕτως· εἰ ὁμοίως ἡ ἰσχὺς καὶ τὸ κάλλος σώματός εἰσιν ἀρεταί, ἀγαθὸν δὲ
ἡ ἰσχύς, καὶ τὸ κάλλος ἄρα. πάλιν ἀνασκευάζομεν· εἰ ὁμοίως ἄμφω
20 σώματος, οὐκ ἀγαθὸν δὲ ἡ ἰσχύς, οὐδὲ τὸ κάλλος ἄρα. ἐν τοῖς οὖν κατὰ
μετάληψιν, φησί, συλλογισμοῖς καὶ κατὰ ποιότητα (οὐ γὰρ ἐπειδὴ πάντες
κατὰ μετάληψιν, ἤδη πάντες καὶ κατὰ ποιότητα) ἡ ζήτησις ἐν τοῖς
ὑποκειμένοις γίνεται, ὑποκειμένοις δὲ | οὐ τοῖς ἐξ ἀρχῆς ἀλλὰ LXXVʳ
τοῖς ὕστερον. ὃ δὲ λέγει τοῦτό ἐστι· τὸ δεόμενον ἀποδείξεως ἐν τοῖς ὑπο-
25 θετικοῖς συλλογισμοῖς ἡ πρόσληψίς ἐστιν, ὅπερ ἤδη καὶ ἀνωτέρω εἶπεν.
τὴν γὰρ πρόσληψιν βουλόμενος σημᾶναι εἶπε τὸ ἐν τοῖς ὑποκειμένοις,
οὐκ ἐν τοῖς ἐξ ἀρχῆς, ἤγουν τῷ ἡγουμένῳ καὶ τῷ ἑπομένῳ, ἅπερ
ὑποκείμενα εἶπεν, ὑποκείμενα δὲ ἐξ ἀρχῆς· λέγομεν γὰρ 'εἰ ἄνθρωπος,
καὶ ζῷον'. τὸ δὲ 'ἀλλὰ μὴν ἄνθρωπος', ὅπερ ἐστὶν ἡ πρόσληψις, καὶ 5
30 τοῦτό φησιν ὑποκείμενον, ὑποκείμενον δὲ τὸ κατὰ τὴν μετάληψιν, περὶ ὃ
φησι γίνεσθαι τὴν ζήτησιν· τοῦτο γάρ ἐστι τὸ δεόμενον ἀποδείξεως.

p. 45ᵇ18 Ὁ δὲ τρόπος ὁ αὐτὸς τῆς ἐπιβλέψεως.

Καὶ ἐπὶ τούτων, φησί, τῶν συλλογισμῶν τῇ αὐτῇ μεθόδῳ χρηστέον

1 τῆς αὐτῆς B: ταύτης τῆς Ut 8 τὸ alt.] ὁ B ἢ om. U 9 εἴπομεν (scil. p. 242,35 sq.) BU: εἴπωμεν t 10 ἐκάλουν U πάντες — p. 316,32 παρειλήφασιν M 12 ἥττονος M 14 οἷον om. MU ἡ om. Mt ὑγεία B 14 et 15 ἀγαθὴ B 15 ὑγεία B δὲ alt. t: om. BMU 16 ἥττονος M ὑγεία pr. B ἀγαθὸν δοκοῦσα t ὁμοίως B 17 δὲ t: om. BMU 20 τοῖς e τούτοις corr. B 21 φησι om. MU 22 πάντες Bt: πάντως MU ἡ om. U 24 τοιοῦτόν U post δεόμενον add. ἐν τοῖς M 25 ἀνωτέρω (scil. c. 23 p. 41ᵃ39) MU: ἄνω Bt 27 ἤγουν—ἅπερ B: τὸ ἡγούμενον καὶ τὸ ἑπόμενον. τοῦτο τὸ ἡγούμενον MUt 28 ὑποκείμενα — ὑποκείμενα scripsi: ὑποκείμενον — ὑποκείμενον libri fort. ⟨ἐξ ἀρχῆς⟩ γὰρ λέγομεν 32 ὁ alt. om. MU 33 τούτουν sic U: πάντων B

τῆς εὐπορίας τῶν προτάσεων. εἰ γὰρ ἐδείξαμεν ἀνωτέρω ὅτι πάντες LXXVʳ
οἱ ὑποθετικοὶ δέονται κατηγορικοῦ συλλογισμοῦ πρὸς τελείωσιν, οἱ μὲν διὰ 10
τοῦ ἀδυνάτου κατηγορικῶς τὸ ψεῦδος ἡμῶν συλλογιζομένων, οἱ δὲ λοιποὶ
τῆς προσλήψεως κατηγορικῶς δεικνυμένης, οἱ δὲ κατηγορικοὶ πάντες εἰς
5 ταύτην ἀνήγοντο τὴν μέθοδον. δῆλον ἄρα ὅτι καὶ οἱ ὑποθετικοὶ ὑπ' αὐτὴν
ἀναχθήσονται. ἀπορεῖ δὲ ἐν τούτοις ὁ Ἀλέξανδρος περὶ τῶν λεγομένων
παρὰ τῷ Θεοφράστῳ δι' ὅλου ὑποθετικῶν· οὐ γὰρ δέονται οὗτοι κατηγορι-
κοῦ συλλογισμοῦ, ὥστε οὐδὲν χρησιμεύσει πρὸς τούτους ἡ παραδεδομένη
μέθοδος. δι' ὅλου δὲ ὑποθετικοὺς ἐκάλει ὁ Θεόφραστος τοὺς καὶ τὰς προ- 15
10 τάσεις καὶ τὸ συμπέρασμα ἐξ ὑποθέσεως λαμβάνοντας· οἷον εἰ τὸ Α. καὶ
τὸ Β· εἰ δὲ τὸ Β, καὶ τὸ Γ· εἰ τὸ Α ἄρα, καὶ τὸ Γ· σκόπει γὰρ ὅτι
ἐξ ὑποθέσεως καὶ τὸ συμπέρασμα εἴληπται. φησὶν οὖν πρὸς τοῦτο ὅτι
οὐδὲ ὅλως εἰσὶ συλλογισμοὶ οἱ δι' ὅλου ὑποθετικοί· ἀκολουθίαν γὰρ μόνην
σημαίνουσιν. ὥστε ἡ μέθοδος κοινή ἐστιν ἐπὶ πάντων τῶν συλλογισμῶν. ἔλεγε
15 δὲ ὁ Θεόφραστος ὅτι δύνανται καὶ οὗτοι ὑπὸ τὰ τρία σχήματα ἀνάγεσθαι.
ὅταν γὰρ εἴπωμεν 'εἰ τὸ Α, καὶ τὸ Β, εἰ τὸ Β, καὶ τὸ Γ', εἶτα συμπερά- 20
νωμεν 'εἰ τὸ Α ἄρα, καὶ τὸ Γ', ἀναλογεῖ τὸ μὲν Α ἐλάττονι ὅρῳ καὶ
ὑποκειμένῳ, τὸ δὲ Β μέσῳ κατηγορουμένῳ μὲν τοῦ Α ὑποκειμένῳ δὲ τῷ
Γ, ὅπερ ἀναλογεῖ μείζονι ὅρῳ· ὥστε οὕτως ἔσται τὸ πρῶτον σχῆμα.
20 γίνεται πάλιν δεύτερον, ὅταν οὕτως εἴπω· εἰ τὸ Α, καὶ τὸ Β· εἰ μὴ τὸ Γ,
οὐδὲ τὸ Β· εἰ μὴ τὸ Α ἄρα, οὐδὲ τὸ Γ. ὁμοίως καὶ τὸ τρίτον οὕτως· εἰ
μὴ τὸ Β, οὐδὲ τὸ Α· εἰ τὸ Β, καὶ τὸ Γ· εἰ μὴ τὸ Α ἄρα, οὐδὲ τὶ τῶν
Γ. δυνατὸν δὲ καὶ κατηγορικὰς λαβεῖν ἀμφοτέρας. κἀκεῖνο δὲ ἔστιν εἰπεῖν,
ὅτι εἰ ἐξ ὑποθέσεως τὸ συμπέρασμα εἴληπται καὶ οὐκ ἐξ ἀνάγκης, ἐπειδὴ 25
25 καὶ τῶν προτάσεων ἑκάστη, δῆλον ἄρα ὅτι, εἰ ἐθελήσομεν ἀνάγκην ἐπι-
θεῖναι τῷ λόγῳ, ἵνα τῷ ὄντι καὶ συλλογισμὸς γένηται, δεῖ ἑκάστην τῶν
προτάσεων κατηγορικῶς ἀποδεῖξαι. εἴρηται γὰρ ἡμῖν ἐν τοῖς περὶ τῶν ὑπο-
θετικῶν ὅτι πολλάκις μόνον τὸ συνημμένον κατασκευῆς δεῖται ἢ ἡ πρόσ-
ληψις, πολλάκις δὲ καὶ ἀμφότερα. ὥστε εἰ δεῖ καὶ τούτους τῷ ὄντι συλ-
30 λογισμοὺς γενέσθαι, ὑπὸ τὴν αὐτὴν πεσοῦνται τῆς εὐπορίας τῶν προτάσεων
μέθοδον, τοῦ συνημμένου καθ' ἑκάστην πρότασιν κατασκευασθέντος, εἰ 30
ἄδηλον ᾖ. ἢ τῆς προσλήψεως 'ἀλλὰ μὴν τὸ Α' ἢ ἀμφοτέρων.

p. 45ᵇ19 Ἐπισκέψασθαι δὲ δεῖ καὶ διελεῖν ποσαχῶς οἱ ἐξ ὑπο-
θέσεως.

35 Τοῦτο λέγει, ὅπερ φθάσαντες ἐποιήσαμεν, εἰπόντες ποσαχῶς λέγονται
ὑποθετικοί.

---

1 ἀνωτέρω] p. 241,25 sq. 246,15 sq. 2. 3 δι' Bt 3 ἡμῖν συλλογιζόμενοι B 6 ὁ Ἀλέξ.] p. 326,8 sq. 7 π. τ. Θεοφρ.] Wimm. fr. LX οὐδὲ γὰρ B 8 τούτοις U 12 καὶ τὸ συμπέρασμα ἐξ ὑποθέσεως Bt φασὶν Bt 13 εἰσὶ om. M: οἱ U 16. 17 συμπεραίνομεν B 17 post καὶ τὸ add. e vs. 16 $\overline{\beta}$, εἰ τὸ $\overline{\beta}$, καὶ τὸ U $\overline{\gamma}$ e $\overline{\beta}$ corr. ante del. εἰ τὸ $\overline{\beta}$ καὶ τὸ $\overline{\gamma}$ M 19 post ὥστε add. καὶ t 20 post πάλιν add. τὸ t εἴπω οὕτως U 21 οὔτε (ante τὸ $\overline{\beta}$) M $\overline{\beta}$ e δεύτερον corr. M 25 ἐθελήσωμεν Ut 27 ἐν τοῖς περὶ τῶν ὑποθ.] p. 252,2 sq. περὶ om. MU 28 ἢ Bt: πολλάκις MU 33 οἱ om. M 35 εἰπόντες] p. 243,11 sq.

p. 45ᵇ22 Ἔστι δὲ καὶ ἄλλον τρόπον ἔνια συλλογίσασθαι τούτων, οἷον τὰ καθόλου διὰ τῆς κατὰ μέρος ἐπιβλέψεως ἐξ ὑποθέσεως. LXXV[r]

Δυνατόν, φησίν, ἔνια τῶν προβλημάτων, λέγω δὲ τὰ καθόλου, καὶ ἄλλως συλλογίσασθαι, λέγω δὴ ἐξ ὧνπερ καὶ τὰ μερικὰ συνελογισάμεθα, τὸ μὲν καθόλου καταφατικὸν διὰ τῶν ΓΗ (διὰ τούτων γὰρ τὸ μερικὸν καταφατικὸν ἐδείκνυτο), τὸ δὲ καθόλου ἀποφατικὸν διὰ τῶν ΔΗ· διὰ τούτων γὰρ τὸ μερικὸν ἀποφατικὸν ἐδείκνυτο. πῶς οὖν διὰ τούτων τὰ καθόλου συλλογισόμεθα; οὐχ ὡς ἁπλῶς, φησίν, ἀλλ' ὡς ἐξ ὑποθέσεως. ἐξ ὑποθέσεως δὲ λέγεται οὐχ ὅτι ὑποθετικῶς, ἀλλ' ὅτι καθ' ὑπόθεσιν λαμβανόντων ἡμῶν τι. τί οὖν τοῦτό ἐστιν; ἔλεγεν ἐξ ἀρχῆς ὅτι οὐ μόνον τὰ κατ' οὐσίαν τοῖς πράγμασιν ὑπάρχοντα δεῖ ἐκλέγεσθαι καὶ ἀπογράφεσθαι ἀλλὰ καὶ τὰ ἴδια. ἐὰν οὖν ὑποθώμεθα ἐν τοῖς ὑποκειμένοις τῷ Ε, λέγω δὴ τοῖς Η, εἶναί τι ἴδιον, ἐπειδὴ τὸ ἴδιον ἀντιστρέφει πρὸς τὸ οὗ ἐστιν ἴδιον, εἰ τὸ Ε τῷ Η παντί, καὶ τὸ Η τῷ Ε παντί. ἐπεὶ οὖν τὸ μὲν Α παντὶ τῷ Γ, ταὐτὸν δὲ εἰπεῖν τῷ Η, τὸ δὲ Η παντὶ τῷ Ε, καὶ τὸ Α παντὶ τῷ Ε ὑπάρξει. πάλιν εἰ τὸ Α οὐδενὶ τῷ Δ, ταὐτὸν δὲ εἰπεῖν τῷ Η, τὸ δὲ Η παντὶ τῷ Ε, καὶ τὸ Α οὐδενὶ τῷ Ε. τὸ αὐτὸ δῆλον ὅτι ποιοῦσι καὶ οἱ ὁρισμοὶ ἀντιστρέφοντες πρὸς τὸ ὁριστόν.

p. 45ᵇ24 Εἰ γὰρ τὰ Γ καὶ τὰ Η ταὐτὰ εἴη, μόνοις δὲ ληφθείη τοῖς Η τὸ Ε ὑπάρχειν, παντὶ ἂν τῷ Ε τὸ Α ὑπάρχοι.

Δεῖ τῇ ἐννοίᾳ προσσχεῖν τοῦ φιλοσόφου καὶ οὕτω τὸ ῥητὸν νοῆσαι· οὐ γὰρ ἀκριβῶς κατὰ τὴν λέξιν εἴρηται. βούλεται γὰρ εἰπεῖν ὅτι, εἴ τι ἴδιον ὑπάρχοι ἐν τοῖς Η ὥστε μόνον τὸ Ε αὐτῷ ὑπάρχειν, ἔσται διὰ τὴν ἀντιστροφήν, ὡς εἴπομεν, τὸ Α παντὶ τῷ Ε. εἰ γὰρ εἴη τὸ μὲν Ε ἄνθρωπος, τὶ δὲ τῶν Η γελαστικόν, μόνον μὲν ὁ ἄνθρωπος ὑπάρχει τῷ γελαστικῷ, οὐ μέντοι μόνῳ τῷ γελαστικῷ· ὑπάρχει γὰρ καὶ τῷ λογικῷ θνητῷ καὶ τῷ ὀρθοπεριπατη|τικῷ καὶ πλατυωνύχῳ καὶ φιλοσόφῳ καὶ μυρίοις LXXV[v] ἄλλοις. εἰ δέ τις εἴποι ὅτι οὐδὲ τῷ γελαστικῷ μόνον ὁ ἄνθρωπος ὑπάρχει (ὑπάρχει γὰρ καὶ τὸ ζῷον καὶ τὸ λογικὸν καὶ τὰ ἐπάνω), λέγω ὅτι οὐ καλῶς φησιν οὗτος· ἐν γὰρ τῷ ἀνθρώπῳ πάντα περιέχεται τὰ ἐπάνω. ὅτι δὲ οὐκ ἔρρωται κατὰ τὴν ἔννοιαν τοῦ φιλοσόφου ἡ λέξις ἡ λέγουσα μόνοις δὲ ληφθείη τοῖς Η τὸ Ε ὑπάρχειν, καὶ ἐντεῦθεν δῆλον.

---

2 τῆς BU Arist.: τῶν M: τῆς τῶν t 5 δὲ S 7 τὸ δὲ—S ἐδείκνυτο om. U 9 συλλογισώμεθα t ὡς prius om. S ὡς alt. om. MSU 11 ἔλεγεν] c. 27 p. 43ᵇ7 12 post δεῖ add. καὶ MU 13 τὸ ε̄ U δὲ U 14 ante εἰ add. οἷον S 18 post α̅ del. παντὶ τῷ ε̅ ὑπάρξει e vs. 16. 17 illata B 19 ἀντιστραφέντες Bt 20 τὸ — τὸ BM (n) ταυτὸν B 22 προσχεῖν U: προσέχειν Bt 23 ὅτι mrg. U 24 αὐτὸ B 28 πλατυονύχω B 29 εἴπη B μόνω MU 30 τῷ ζῴω MU τὸ λογικὸν scripsi: τὸ λογιστικὸν Bt: τῷ λογικῷ MU τοῖς ἐπάνω MU 32 δὲ scripsi: γὰρ BMUt 33 ἐντεῦθεν scripsi: ἐνταῦθα libri

βούλεται γάρ τι ἴδιον εἶναι ἐν τοῖς Η ὥστε καὶ ἀντιστρέφειν πρὸς τὸ Ε· LXXVᵛ τὸ οὖν μόνοις τοῖς Η τὸ Ε ὑπάρχειν πότερον πᾶσι τοῖς ὑπὸ τὸ Η λέγει ἢ τῷ ἰδίῳ; εἰ μὲν οὖν πᾶσιν, ἀεὶ τοῦτο ὑπάρχει τοῖς Η τὸ μόνοις αὐτοῖς ὑπάρχειν τὸ Ε· πάντα γὰρ ἐλήφθησαν οἷς ἕπεται τὸ Ε, ὥστε ἄλλοις οὐ δύναται ὑπάρξαι. πῶς οὖν φησιν ἐξ ὑποθέσεως δεῖν λαβεῖν τὸ ἀεὶ ὑπάρχον; εἰ δὲ τῷ ἰδίῳ, ψευδὴς ὁ λόγος· οὐ γὰρ μόνῳ τῷ ἰδίῳ ὑπάρχει τὸ Ε ἀλλὰ καὶ ἄλλοις πολλοῖς καὶ μάλιστα οἷς κατ' οὐσίαν ἕπεται. ὥστε κάλλιον ἦν εἰπεῖν μόνον δὲ ληφθείη τοῖς Η τὸ Ε ὑπάρχειν.

p. 45ᵇ28 Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἀναγκαίων καὶ τῶν ἐνδεχομένων· ἡ γὰρ αὐτὴ σκέψις καὶ διὰ τῶν αὐτῶν ὅρων.

Ἐπειδὴ ὡς ἐπὶ ὑπαρχουσῶν προτάσεων ἐγύμνασε τὸν λόγον, ὅσα, φησίν, εἴρηται περὶ τῶν ὑπαρχουσῶν, ταῦτα καὶ περὶ τῶν ἀναγκαίων καὶ τῶν ἐνδεχομένων λέγειν ἔχομεν. οὕτω γὰρ δεῖ τάς τε ἐκλογὰς αὐτῶν ποεῖσθαι καὶ τὰς ἐπιβλέψεις καθ' ἕκαστον πρόβλημα, ἐπισημειουμένους τί μὲν ἀναγκαίως ὑπάρχει, τί δὲ ἐνδεχομένως. τοσοῦτον γὰρ μόνον διοίσει τοῦ ἐνδεχομένου τὸ ὑπάρχον τῷ πρότερον εἶναι κατὰ τὴν τάξιν τὸ ὑπάρχον, διὰ τὸ τὸ μὲν ἐκβεβηκέναι τὸ δὲ μέλλειν. οὕτω γὰρ τούτων ἐκλεγομένων συνάξομεν ἐκ μὲν τῶν ἀναγκαίων προτάσεων ἀναγκαῖον, ἐκ δὲ τῶν ἐνδεχομένων ἐνδεχόμενον.

p. 45ᵇ31 Ληπτέον δὲ ἐπὶ τῶν ἐνδεχομένων καὶ τὰ μὴ ὑπάρχοντα δυνατὰ δὲ ὑπάρχειν.

Ἐπειδὴ λέγεται ἐνδεχόμενον καὶ ὃ ὑπάρχει μὲν ἤδη, ἐνδεχομένως δὲ ὑπάρχει καὶ οὐκ ἀναγκαίως, λέγεται δὲ ἐνδεχόμενον καὶ ὃ μήπω μὲν ὑπάρχει, δύναται δὲ ὑπάρξαι, ὅπερ καὶ κυρίως ἐστὶν ἐνδεχόμενον (ἐκεῖνο γὰρ ὑπάρχον ἦν), εἰς τὰς ἐνδεχομένας, φησί, προτάσεις παραληπτέον καὶ τοῦτο τὸ ἐνδεχόμενον, ὅπερ, ὡς εἶπον, καὶ κυρίως ἐστὶν ἐνδεχόμενον.

p. 45ᵇ35 Ὁμοίως δ' ἔχει καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν.

Τουτέστι τῶν λοιπῶν τρόπων, τοῦ σαφῶς, τοῦ καλῶς, τοῦ ὠφελίμως, τοῦ ἐπαινετῶς καὶ τῶν τοιούτων· ἐλέγετο γὰρ ἐν τῷ Περὶ ἑρμηνείας ἀπείρους εἶναι τοὺς τρόπους, περιέχεσθαι μέντοι ἐν τοῖς τρισίν. ἡ αὐτὴ οὖν, φησί, μέθοδος τῆς εὐπορίας καὶ ἐπὶ τούτων.

---

1 γὰρ t: om. BMU 5 δεῖ e δὴ corr. B λαμβάνειν MU 6 ε̄ scripsi: η̄ BMUt 9 post καὶ alt. add. in ras. ἐπὶ U 12 post καὶ alt. add. περὶ t 13 ἔχειν λέγομεν U δὴ Ut τάς τε ἐκλογὰς αὐτῶν S: τὰς περὶ αὐτῶν ἐκλογὰς B: τὰς περιεκλογὰς αὐτῶν MUt 16 τῷ SU: τὸ BMt τὴν om. B 17 τούτων S: τῶν BMUt 20 μὴ ἐνδεχόμενα BM 21 ὑπάρχουσιν MU 24 καὶ post δὲ colloc. S 25 ἢ M περιληπτέον B 26 ὅπερ ὡς Bt: ὁποτέρως MU 27 ἕξει t (n f): om. Arist. ἀλλοτρίων M 29 ἐν τῷ Περὶ ἑρμ.] cf. Ammon. p. 214,29 sq. 30 ἀπόρους U τοὺς om. Bt τοῖς om. B ἡ BMU: καὶ t αὐτῶν M

p. 45b36 Φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὅτι οὐ μόνον ἐγχωρεῖ. LXXV v

Ἐξυμνεῖ τὴν παρ' αὐτοῦ εὑρημένην τῆς εὐπορίας μέθοδον, ὅτι οὐδὲ οἷόν τε δι' ἄλλης ἢ διὰ ταύτης εἰς πάντα συλλογισμὸν εὐπορεῖν προτάσεων. δείξει μὲν γὰρ μετ' ὀλίγον, ὅτι καὶ εἴ τις ἐπινενόηται τοῖς παλαιοῖς ἄλλη μέθοδος, ἄχρηστός ἐστιν εἰς ἀπόδειξιν. καὶ νῦν δὲ συντόμως τοῦτο κατασκευάζει· εἰ γὰρ δέδεικται ὅτι πάντες οἱ συλλογισμοὶ ὑπὸ τὰ τρία ἀνάγονται σχήματα, δέδεικται δὲ ὅτι πάντα τὰ προβλήματα ἐν τοῖς τρισὶν σχήμασιν εἰς τὴν παραδεδομένην μέθοδον, ἔοικε μηδ' εἶναι ἄλλη τις μέθοδος τῆς εὐπορίας τῶν προτάσεων παρὰ ταύτην.

p. 46a3 Ἡ μὲν οὖν ὁδὸς κατὰ πάντων ἡ αὐτὴ καὶ περὶ φιλοσοφίαν καὶ τέχνην ὁποιανοῦν καὶ μάθημα.

Ἐπειδὴ συλλογίζονται οὐ μόνον οἱ λογικὰς ἐπιτηδεύοντες τέχνας ἀλλὰ καὶ οἱ τὰς βαναύσους, ὡς εἴπομεν ἄλλοτε, καὶ ἁπλῶς πάντες ἐκ κοινῶν ἐννοιῶν συλλογίζεσθαι πεφύκασιν, εἰ καὶ τὴν μέθοδον ἀγνοοῦσιν, εἰπὼν οὖν περὶ φιλοσοφίαν ἐσήμανε τοὺς ὄντως συλλογιζομένους καὶ ἐπιστημονικῶς· φιλοσοφίας γὰρ ἴδιον ὄργανον ἡ λογική. διὰ δὲ τοῦ εἰπεῖν καὶ τέχνην ὁποιανοῦν τὰς λοιπὰς ἐδήλωσεν, εἴτε λογικὰς εἴτε καὶ βαναύσους. τὸ δὲ καὶ μάθημα ἴσως καθολικώτερόν ἐστι τῶν ἄλλων· εἰπὼν γὰρ περὶ φιλοσοφίαν καὶ τέχνην ὁποιανοῦν ἐπὶ τὸ καθόλου ἀνήγαγε τὸν λόγον λέγων ἁπλῶς 'καὶ περὶ πᾶν μάθημα χρησιμεύσει ἡμῖν συλλογιζομένοις ἡ παραδεδομένη μέθοδος'.

p. 46a12 Ὅπως μὴ ἐπιβλέπωμεν εἰς πάντα τὰ λεγόμενα. | LXXVI r

Ἵνα μὴ εἰς πάντα, φησίν, ἅπερ ἀπεγραψάμεθα ἀορίστως βλέπωμεν ἀλλ' εἰδείημεν εἰς τίνα χρὴ βλέπειν, καταφατικὸν μὲν βουλόμενοι συνάγειν, ὅτι εἰς τὰ κατηγορούμενα καὶ τὰ ὑποκείμενα, ἀποφατικὸν δὲ καὶ εἰς τὰ ἀλλότρια, καὶ τὸ μὲν καθόλου καταφατικὸν βουλόμενοι κατασκευάσαι, εἴ τι τῶν Γ καὶ Ζ ταὐτόν, τὸ δὲ ἀποφατικόν, εἴ τι τῶν Δ καὶ Ζ, καὶ ἐπὶ τῶν ἄλλων ὡς εἴρηται. ἀρχὰς δὲ τῶν συλλογισμῶν φησι τὰς προτάσεις ὧν περὶ τῆς εὐπορίας ἐδίδαξεν.

---

3 δι' om. U 4 μετ' ὀλίγον] c. 31 p. 46a31 sq. 8 post μέθοδον add. εἰσιν Ut
9 ταῦτα MU 10 καὶ om. MU παρὰ B 11 post καὶ prius add. περὶ t Arist.
12 οἱ] οἷον M ἐπιτηδεύονται U 13 οἱ om. Bt ἄλλοτε] p. 8,16 sq.
17 τέχνης ὁποιασοῦν MU ἀτελογικὰς sic B: ἥ τε λογικὰς t καὶ om. M
20 χρησιμεύσειν B: χρησιμεύειν U 21 παραδιδομένη BUt 22 ἐπιβλέπομεν M: βλέπωμεν t Arist. πάντα BMU(C): ἅπαντα t Arist. τὰ—23 πάντα om. M
24 χρὴ βλέπειν Bt: βλέπεται M: βλεπτέον U μὲν post τίνα transponunt MU
25 συναγαγεῖν t ὅτι om. U 26 τὸ ἀλλότριον B καθόλου om. B 27 εἰς τί (ante τῶν γ̄) MU τῶν δὲ ἀποφατικῶν (ἀποφατικὸν M), sed τὸ δὲ ἀποφατικὸν mrg. MU ἐστὶ (ἐπὶ U) τὸ δ̄ καὶ τὸ ζ̄, sed εἰς τὸ δ̄ καὶ τὸ ζ̄ mrg. MU 28 ἄλλως, ut videtur, pr. B

p. 46a16 Καθ' ἕκαστον δὲ ἐκλέγειν τῶν ὄντων, οἷον περὶ LXXVI r
ἀγαθοῦ ἢ ἐπιστήμης. ἴδιαι δὲ καθ' ἑκάστην εἰσὶν αἱ πλεῖσται.

Δεῖ, φησί, τὰς ἐκλογὰς ποιεῖσθαι ἑκάστου πράγματος ἰδίᾳ καὶ μὴ κοι- 15
νῶς, οἷον τοῦ ἀγαθοῦ ἀνὰ μέρος καὶ ἰδιαζόντως· περὶ ἡδονῆς ὁμοίως. αἱ
5 γὰρ πλεῖσται, φησί, τῶν προτιθεμένων ἡμῖν εἰς ἐπίσκεψιν πραγμάτων
ἐκλογαὶ τῶν τε ὑπαρχόντων καὶ οἷς ὑπάρχει καὶ τῶν ἀλλοτρίων ἰδιάζουσαί
εἰσι καθ' ἑκάστην ἐπιστήμην· οἷον ὅταν ἀστρονομούμενον ᾖ τὸ θεώρημα
περὶ οὗ δεῖ ἀποδεῖξαι, ἀστρονομίας ἴδιον τὸ ἐκλέξαι τὰ τοῖς προκειμένοις
ὑπάρχοντα καὶ οἷς ὑπάρχει, ὅταν γεωμετρικόν, γεωμετρίας, ὅταν φυσικόν,
10 φυσικῆς, καὶ ἐπὶ τῶν ἄλλων ⟨ὁμοίως⟩. διό, φησί, δεῖ τὸν ἀποδεικτικόν, 20
ὅταν αὐτῷ τι προτεθῇ εἰς ἀπόδειξιν, αἰτεῖν παρὰ τῶν κατὰ μέρος τεχνῶν
ἢ ἐπιστημῶν τὰ τοῖς προτεθεῖσιν ἑπόμενα καὶ οἷς ἕπεται. εἰ γὰρ ἐκεῖνοι,
φησίν, ἐκ τῆς πείρας εἰδότες ταῦτα ἡμῖν παραδώσουσι μηδὲν παραλείποντες,
ἡμῶν λοιπὸν τὸ προκείμενον ἢ συλλογίσασθαι ἢ ἀσυλλόγιστον δεῖξαι. πολλὰ
15 γάρ ἐστιν ἅπερ ἀποδεῖξαι ἀδύνατον· οὔτε γὰρ τῶν ὁρισμῶν ἐστιν ἀπόδειξις,
ὡς δέδεικται ἐν τοῖς Ἀποδεικτικοῖς, οὔτε τῶν καθολικωτάτων γενῶν· οὐδὲν
γὰρ ἔστιν αὐτῶν κατηγορῆσαι· οὔτε δὲ τῶν καθ' ἕκαστα· κατ' οὐδενὸς γὰρ 25
ταῦτα κατηγορεῖται. εἶπε δὲ αἱ πλεῖσται, ὅτι εἰσὶν ἐκλογαὶ πάσαις ἐπι-
στήμαις, λέγω δὴ τὰ ἀξιώματα καὶ ⟨αἱ⟩ κοιναὶ ἔννοιαι, οἷον ὅτι ἐπὶ παντὸς
20 ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις, ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα, ὅτι
ἐὰν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, τὰ καταλειπόμενα ἴσα γίνεται· καὶ ὅσα τοιαῦτα.

p. 46a28 Καθόλου μὲν οὖν, ὃν δεῖ τρόπον τὰς προτάσεις ἐκλέ-
γειν, εἴρηται σχεδόν· δι' ἀκριβείας δὲ διεληλύθαμεν ἐν τῇ πράγ- 30
ματείᾳ τῇ περὶ τὴν διαλεκτικήν.

25 Ἐνταῦθα μὲν ὁλοσχερέστερον, φησί, παραδεδώκαμεν τὴν μέθοδον τῆς
εὐπορίας τῶν προτάσεων· μερικώτερον δὲ καὶ ἀκριβέστερον ἐν τοῖς Τόποις
περὶ τούτων διειλήφαμεν. ταύτην γάρ φησι διαλεκτικὴν πραγματείαν·
ἐκεῖ γὰρ παραδέδωκε τόπους τοὺς εἰς ἕκαστον ἡμῖν χρησιμεύοντας πρόβλημα.

p. 46a31 Ὅτι δὲ ἡ διὰ τῶν γενῶν διαίρεσις μικρόν τι μόριόν ἐστι
30 τῆς εἰρημένης μεθόδου, ῥᾴδιον ἰδεῖν.

Βούλεται διὰ τούτων ἐξυμνῆσαι τὴν παρ' αὐτοῦ παραδεδομένην μέθοδον·

2 ἰδία B γὰρ supra δὲ scr. M² ἑκάστην t Arist.: ἕκαστόν MU: compend. B
3 ἑκάστου Bt: ἐκ τοῦ MU 4 ⟨καὶ⟩ περὶ conicio 5 σκέψιν MU 6 ἐκλογῆς MU
ὑπαρχουσῶν MU 8 δεῖ om. MU 10 ὁμοίως addidi 11 προτεθῇ scripsi: προστεθῇ
libri παρὰ corr. U: περὶ BMt, pr. U 12 προτιθεῖσιν U ἐκεῖνα Bt 13 παρα-
διδόασι MU 16 ἐν τοῖς Ἀποδεικτικοῖς] II 3 p. 90b28 sq. post γενῶν IV litt. eras. U
17 κατηγορεῖν B supra καθ' ἕκαστα scr. εἴτε διὰ τομέων (?) M γὰρ alt. Bt: δὲ MU
18 post ἐκλογαὶ addiderim κοιναὶ 19 αἱ addidi οἷον om. MU 21 λειπό-
μενα M 25 post μὲν add. οὖν U 28 παραδεδώκαμεν Bt

οὐδεὶς γάρ, φησί, τῶν πρὸ ἡμῶν ταύτην ἠπίστατο, ἀλλ' ἐκέχρηντο LXXVI r
πάντες τῇ διαιρετικῇ μεθόδῳ, καὶ διὰ ταύτης ἐνόμιζον δύνασθαι ἀποδεικνύναι.
αἰνίττεσθαι δέ φασιν αὐτὸν εἰς Πλάτωνα. φαίνεται δὲ ὁ Πλάτων ἐξυμνῶν
μὲν τὴν διαιρετικὴν μέθοδον καὶ μάλιστα τὴν κατὰ ἀντίφασιν γινομένην
5 ὡς ἀφυκτοτάτην οὖσαν, οὐ μέντοι γε ταύτην ἀποδεικτικὴν λέγει εἶναι. σαφῶς 10
γὰρ οἶδε διαφορὰν διαιρετικῆς καὶ ἀποδεικτικῆς· τέσσαρας γάρ φησι μεθόδους
εἶναι κατὰ φιλοσοφίαν ὄργανα τῆς διαλεκτικῆς, διαιρετικήν, ὁριστικήν, ἀποδει-
κτικὴν καὶ ἀναλυτικήν. ἴσως οὖν εἴς τινας ἄλλους αἰνίττεται τὴν διαιρετικὴν
ἀποδεικτικὴν νομίζοντας. τί οὖν φησιν; ὅτι μάλιστα μὲν οὐδὲν ἔστιν ἀποδεῖξαι
10 διὰ τῆς διαιρετικῆς μεθόδου, ἔπειτα εἰ καὶ ἀποδείκνυσιν, αὐτὴ μὲν καθ'
αὐτὴν οὐκ ἀποδείκνυσι, βοηθουμένη δὲ ὑπὸ τῆς παρ' ἡμῶν παραδεδομένης
μεθόδου. διὸ ἀσθενῆ συλλογισμὸν αὐτὴν ἐκάλεσεν, ὅτι τε δεῖται πάντως 15
τῆς μεθόδου ταύτης, καὶ ὅτι, ὡς αὐτός φησιν, ὃ μὲν προτίθεται δεῖξαι
οὐκ ἀποδείκνυσιν ἀλλὰ ἄλλο παρὰ τοῦτο, αὐτὸ δὲ ἐκεῖνο ἀσυλλογίστως
15 αἰτεῖται. οἷον βούλεται δεῖξαι ὅτι ὁ ἄνθρωπος λογικός ἐστι· πρῶτον μὲν
λαμβάνει τὸ γένος ὡμολογημένον· ἀναποδείκτως γὰρ τὸ γένος λαμβάνει·
εἶτα διαιρεῖ εἰς τὰς οἰκείας διαφοράς, εἴς τε τὸ λογικὸν καὶ τὸ ἄλογον, καὶ
συλλογίζεται οὕτως· ἐπειδὴ ὁ ἄνθρωπος ζῷον, πᾶν δὲ ζῷον ἢ λογικὸν ἢ
ἄλογον, καὶ ὁ ἄνθρωπος ἄρα ἢ λογικὸς ἢ ἄλογος· ἀλλὰ μὴν οὐκ ἄλογος· 50
20 λογικὸς ἄρα. ἐνταῦθα τοίνυν τὸ μὲν ἢ λογικὸν εἶναι ἢ ἄλογον τὸν ἄνθρω-
πον, ὅπερ οὐ προέκειτο δεῖξαι, τοῦτο συνελογίσατο καὶ ταῦτα οὐ δι' ἑαυτὴν
καθ' αὑτὴν ἡ διαιρετικὴ ἀλλὰ τὸ πρῶτον παραλαμβάνουσα σχῆμα· ὃ δὲ
προὔθετο δεῖξαι, λέγω δὴ ὅτι λογικός, τοῦτο οὐ συνελογίσατο ἀλλ' ὡς
ἀξίωμα ἔλαβεν· ἔλαβε γὰρ ὡς ὁμολογούμενον ὅτι οὐκ ἄλογος, καὶ συλλογί-
25 σασθαι τοῦτο ἡ διαιρετικὴ οὐ δύναται. καὶ ὅτι, φησίν, ὡς ἀξίωμα λαμβάνει
τοῦτο, δῆλον ἐπὶ τῶν ἀμφιβόλων. ζητείσθω | γὰρ περὶ τῆς δια- LXXVI v
μέτρου, πότερον σύμμετρος τῇ πλευρᾷ ἢ ἀσύμμετρος· τὸ μὲν σύμμετρον ἢ
ἀσύμμετρον εἶναι, τοῦτο συλλογιεῖται, καὶ τοῦτο οὐκ αὐτὴ καθ' αὑτήν, τὸ μέν-
τοι εἶναι ἀσύμμετρον αἰτήσει. ἐρεῖ γὰρ οὕτως 'ἡ διάμετρος καὶ ἡ πλευρὰ
30 μεγέθη· πᾶν μέγεθος ἢ σύμμετρον μεγέθει τινὶ ἢ ἀσύμμετρον· ἡ διάμετρος
ἄρα τῇ πλευρᾷ ἢ σύμμετρος ἢ ἀσύμμετρος· ἀλλὰ μὴν οὐ σύμμετρος', ἵνα
συναγάγῃ τὸ ἀντικείμενον. μικρὸν δέ φησι μόριον εἶναι τῆς μεθόδου τῆς 5
συλλογιστικῆς τὴν διαιρετικήν, ὅτι κυρίως ἀπόδειξις γίνεται διὰ τῶν ὁρισμῶν,
οἱ δὲ ὁρισμοὶ γίνονται οὐκ ἄνευ τῆς διαιρετικῆς. ὥστε μόριον βραχὺ τῆς
35 ἀποδεικτικῆς ἐστιν ἡ διαιρετική. καὶ ἄλλως μικρὸν μόριόν φησιν αὐτὴν
εἶναι τῆς παραδεδομένης μεθόδου, ὅτι εἰ καὶ συγχωρήσομεν δι' αὐτῆς

---

2 δύνασθαι BMU: δεῖν t 3 φησιν U 3. 4 φαίνεται μὲν (μὲν om. M) γὰρ ἐξυμνῶν ὁ Πλάτων MU 5 εἶναι λέγει t 6 διαλεκτικῆς U καὶ ἀποδεικτικῆς om. M 8 καὶ om. B 9 ἐστιν οὐδὲν M 10 καὶ εἰ Bt ἀποδεικνύουσιν Mt 13 δεῖξαι om. B 14 περὶ t 15 λογικόν U 16 ⟨ἀν ὡς⟩ ὡ. ? cf. p. 311,19 313,16 314,15 18 δὲ om. Bt 20 τὸ μὲν om. MU 21 οὐ prius om. MU πρόσκειται B an καὶ τοῦτο ? cf. vs. 28 22 περιλαμβάνουσα MU 23 ante λογικὸς add. ὁ BUt 26 δῆλον δὲ τοῦτο U, om. δὲ M 27 πότερον e πρότερον corr. post 26 γὰρ transponit M 29 αἱρεῖ pr. U 32 συναγάγοι t 36 post εἰ add. τι M συγχωρήσωμεν t

ἀποδείκνυσθαί τι, ἕν τι μόνον τῶν προβλημάτων δι' αὐτῆς ἀποδείκνυ- LXXVIv
ται, τὸ καθόλου καταφατικόν, οὐδὲν δὲ τῶν λοιπῶν δειχθήσεται, καὶ ὅτι
οὐδὲ τῶν συμβεβηκότων τι οὐδὲ τῶν ἰδίων, ὡς δείξει, ἀλλὰ μόνον τὰ κατ'
οὐσίαν ὑπάρχοντα.

5 p. 46a33 Ὃ μὲν γὰρ ἔδει δεῖξαι, αἰτεῖται. 10

Ἔδει γὰρ δεῖξαι ὅτι λογικὸς ὁ ἄνθρωπος. τοῦτο οὖν αἰτεῖται λέγουσα
'ἀλλὰ μὴν οὐκ ἄλογος'· πόθεν γὰρ δῆλον ἐπὶ τῶν ἀμφιβόλων τὸ 'ἀλλὰ
μὴν τόδε τι';

p. 46a34 Συλλογίζεται δὲ ἀεί τι τῶν ἄνωθεν.

10 Ἀεί, φησί, τὸ συμπέρασμα τὸ ἐν τούτοις καθολικώτερόν ἐστι τοῦ προ-
κειμένου· τὸ γὰρ ἄνωθεν ἀντὶ τοῦ 'καθολικώτερον'. οἷον πρόκειται δεῖξαι 15
ὅτι λογικός· καὶ τοῦτο μὲν αἰτεῖται, δείκνυσι δὲ τὸ τούτου καθολικώτερον,
ὅτι ἢ λογικὸς ἢ ἄλογος.

p. 46a34 Πρῶτον δὲ αὐτὸ τοῦτο ἐλελήθει τοὺς χρωμένους αὐτῇ
15 πάντας, καὶ πείθειν ἐπεχείρουν ὡς ὄντος δυνατοῦ περὶ οὐσίας
ἀπόδειξιν γενέσθαι καὶ τοῦ τί ἐστιν.

Ἐν οἷς, φησί, μέγα ἐφρόνουν ὡς δυνάμενοι διὰ τῆς διαιρετικῆς μεθόδου
τοὺς ὁρισμοὺς ἀποδεικνύναι, ἐν τούτοις μάλιστα ἐλέγχονται ἀγνοοῦντες αὐτὸ 20
τοῦτο, ὅτι ἀδύνατόν ἐστιν ἀπόδειξιν γενέσθαι ὁρισμῶν καὶ γενῶν. δείκνυσι
20 γὰρ αὐτὸς ἐν τῇ Ἀποδεικτικῇ ὅτι ἀδύνατόν ἐστιν ὁρισμοῦ καὶ γένους ἀπό-
δειξιν γενέσθαι, ὅπερ αὐτοὶ ὡς δυνατὸν πείθειν τοὺς ἄλλους ἐπεχείρουν.
ἐπεὶ γὰρ ἡ τοῦ γένους διαίρεσις κατὰ τὰς οἰκείας γίνεται διαφοράς, πᾶς δὲ
ὁρισμὸς ἐκ γένους ἐστὶ καὶ διαφορῶν, ἐνόμιζον, ἐπειδὰν ἑκάστην τῶν δια-
φορῶν δείξωσιν ὑπάρχουσαν τῷ εἴδει, καὶ συμπλέξαντες ταύτας μετὰ τοῦ
25 γένους δύνασθαι κατηγορεῖν αὐτοῦ. ἔλεγον γὰρ 'εἰ ὁ ἄνθρωπος ζῷον, τὸ 25
δὲ ζῷον ἢ λογικὸν ἢ ἄλογον, καὶ ὁ ἄνθρωπος ἄρα ἢ λογικὸς ἢ ἄλογος·
ἀλλὰ μὴν οὐκ ἄλογος· λογικὸς ἄρα· πάλιν ἐπειδὴ τὸ ζῷον ἢ θνητὸν ἢ
ἀθάνατον, ⟨καὶ ὁ ἄνθρωπος ἄρα ἢ θνητὸς ἢ ἀθάνατος·⟩ οὐκ ἀθάνατος δὲ ὁ
ἄνθρωπος· θνητὸς ἄρα· εἶτα ἃ κατὰ μέρος ἐδόκουν ἀποδεικνύναι, ταῦτα
30 καὶ συμπλέξαντες μετὰ τοῦ γένους ἐνόμιζον δύνασθαι κατηγορεῖν καὶ οὕτως

1 ἀποδείκνυσθαί—αὐτῆς om. t τι—ἀποδείκνυται om. B 1. 2 ἀποδείκνυσθαι U
2 γὰρ t 3 δείξει] p. 46b26 sq. 11 an καθολικωτέρων ? οἷον om. M
12 τὸ om. B: τὰ Ut καθολικώτερα Ut: compend. BM 15 ἐνεχείρουν M
ἀδυνάτου MU 16 γενέσθαι BMUt (n): γίνεσθαι Arist. 19 ἐστιν om. MU γενέσθαι
ἀπόδειξιν U ὁρισμῶν—21 γενέσθαι om. M 20 ἐν τῇ Ἀποδεικτ.] cf. p. 306,16
καὶ Bt: ἢ U 21 an οὗτοι ? ἀδύνατον MU ἐνεχείρουν MU 22 διαφορὰς
γίνεται t 25. 26 τὸ δὲ ζῶον om. U: τὸ ζῶον superscr. M² 27 οὐκ ἄλογος mrg. M¹
θνητὸν ἢ om. B 28 καὶ—ἢ ἀθάνατος addidi 30 καὶ prius om. BMt post
μετὰ add. καὶ MUt

ἀποδεικνύναι τοὺς ὁρισμούς. δέδεικται δὲ ἐν τῷ περὶ Ἑρμηνείας LXXVI^{v} ὅτι οὐ τὰ κατηγορούμενα κατὰ μέρος πάντως δύναται καὶ ἅμα κατηγορεῖσθαι.

p. 46ᵃ37 Ὥστε οὔτε ὅ τι ἐνεδέχετο συλλογίσασθαι διαιρουμένους ξυνίεσαν, οὔτε ὅτι οὕτως ἐνεδέχετο ὥσπερ εἰρήκαμεν.

Οὔτε, φησί, τὴν παρ' ἡμῶν παραδεδομένην μέθοδον ἠπίσταντο οὔτε ὅπερ ἐνεχώρει συλλογίσασθαι διὰ τῆς διαιρετικῆς μεθόδου· τί γὰρ ἦν συλλογίσασθαι, τὸ ὅτι ὁ ἄνθρωπος ἢ λογικὸς ἢ ἄλογος, αὐτὸ μὲν τοῦτο ἠγνόουν, ἐνόμιζον δὲ ὅτι τὸ λογικὸν εἶναι συνελογίζοντο.

p. 46ᵃ39 Ἐν μὲν οὖν ταῖς ἀποδείξεσιν, ὅταν δέῃ τι συλλογίσασθαι ὑπάρχειν, δεῖ τὸν μέσον, δι' οὗ γίνεται ὁ συλλογισμός, καὶ ἧττον ἀεὶ εἶναι καὶ μὴ καθόλου τοῦ πρώτου τῶν ἄκρων· ἡ δὲ διαίρεσις τοὐναντίον βούλεται· τὸ γὰρ καθόλου λαμβάνει μέσον.

Δείξας ὅτι ἡ διαιρετικὴ μέθοδος ἄχρηστος εἰς συλλογιστικὴν καὶ ὅτι, εἰ ὅλως καὶ συλλογίζεται, ἀσθενής ἐστι συλλογισμός, διότι ὃ μὲν προτίθεται οὐκ ἀποδείκνυσιν ἀλλ' αἰτεῖται, ἄλλο δέ τι κατασκευάζει, νῦν πάλιν βούλεται δεῖξαι ὅτι καὶ ἀμέθοδος ἡ ἀγωγὴ τῶν διὰ τῆς διαιρετικῆς συλλογιζομένων καὶ ἐναντίως ἔχουσα τῇ κατὰ ἀλήθειαν συλλογιστικῇ μεθόδῳ. ἐν μὲν γὰρ τοῖς κυρίοις συλλογισμοῖς ὁ μέσος ὅρος, δι' οὗ συνάπτονται οἱ ἄκροι, μερικώτερός ἐστι τοῦ μείζονος ὅρου, καὶ τοῦτο εἰκότως· εἰ γὰρ τὸν μείζονα τοῦ ἐλάττονος δεῖξαι βουλόμεθα κατηγορούμενον καταφατικῶς ἢ ἀποφατικῶς, τοῦτο δὲ δείκνυμεν διὰ τοῦ μέσου δι' ἑαυτοῦ συνάπτοντος τοὺς ἄκρους, δεῖ δῆλον ὅτι τὸν μὲν μέσον τοῦ ἐλάττονος ἐπὶ πλέον εἶναι, ἵνα κατηγορῆται αὐτοῦ, τὸν δὲ μείζονα τοῦ μέσου. εἰ δὲ λέγοι τις ὅτι ἀλλ' ἐν δευτέρῳ σχήματι ὁ μέσος ἀμφοτέρων ἐστὶ μείζων, ἐν δὲ τῷ τρίτῳ ἐλάττων, ἴστω ὅτι διὰ τοῦτο καὶ ἀτελεῖς φαμεν τοὺς ἐν δευτέρῳ καὶ τρίτῳ συλλογισμούς, διότι οὕτως ἐχόντων τῶν μέσων οὐ φαίνεται ἐν αὐτοῖς τὸ ἀναγκαῖον τοῦ συμπεράσματος· διὸ δεόμεθα τῆς ἀντιστροφῆς, ἵνα διὰ ταύτης ἀναχθῶσιν εἰς τὸ πρῶτον σχῆμα καὶ πάλιν ὁ μέσος τὴν ἑαυτοῦ τάξιν ἀπολάβῃ. διὸ ἐν μὲν δευτέρῳ σχήματι καταφατικὸν οὐδέποτε συνήγετο συμπέρασμα· ἵνα μὲν (γὰρ) γένηται καταφατικὸν συμπέρασμα, ἔδει ἀμφοτέρας λαβεῖν κατα-

---

1 ἐν τῷ Περὶ ἑρμ.] c. 11 p. 20ᵇ31 sq. 2 πάντα pr. B δύνανται MU κατηγορεῖται B 3 ἐνεδέχετο BM: ἐνδέχεται Ut Arist. διαιρουμένοις MU: διαιρούμενον t 4 ἐνδέχεται t 5 τὴν παραδεδομένην μέθοδον παρ' ἡμῶν t 7 τοῦτο μὲν MU 9 δέῃ τι BMt Arist.: δέηται U (A B C d u, pr. m) 10 τὸ Arist. ὁ t Arist.: om. BMU 10. 11 καὶ ἧττον (δὲ add. in ras. M) ἀεὶ εἶναι καὶ BMt: θᾶττον δὲ ἀεὶ U, sed καὶ ἧττον εἶναι καὶ μὴ καθόλου mrg. U 11 an ἥττονα sive ἥττον'? 22 ἐπιπλεῖον t post ἵνα add. καὶ MUt κατηγορεῖται Bt 24 ἴστω scripsi cf. p. 314,12: ἴσως BMUt 28 ἀπολάβοι M 29 μὲν om. U post μὲν add. τῷ t 30 μὲν MU: δὲ Bt γὰρ addidi

φατικάς· ἵνα δὲ ἀναγάγωμεν εἰς τὸ πρῶτον σχῆμα, ἔδει τὴν μείζονα ἀντιστρέψαι· ἀντιστρεφομένη δὲ ἡ μείζων μερικὴ ἐγίνετο καὶ διὰ τοῦτο ἀσυλλόγιστον ἐποίει τὸ σχῆμα, ἐπειδὴ δεῖ, ὡς καὶ ἐνταῦθά φησι, τὴν μείζονα ἐπὶ πλεῖον εἶναι τῆς ἐλάττονος. ἐν δὲ τῷ τρίτῳ σχήματι οὐδέποτε καθόλου, ἐπειδή, ἵνα τὸ καθόλου συναχθῇ, δεῖ τὰς | δύο λαβεῖν καθόλου, LXXVII[r] ἵνα δὲ ἀναχθῇ εἰς τὸ πρῶτον σχῆμα, ἔδει τὴν ἐλάττονα ἀντιστρέψαι καταφατικὴν οὖσαν· ἀντιστρεφομένη δὲ μερικὴ ἐγίνετο. καὶ οὕτω πάλιν ὁ μὲν μέσος τὴν ἑαυτοῦ τάξιν ἀπελάμβανεν, ἡ δὲ ἐλάττων μερικὴ γινομένη μερικὸν ἐποίει καὶ τὸ συμπέρασμα. ἐν μὲν οὖν ταῖς συλλογιστικαῖς, φησί, μεθόδοις, ὡς ἤδη εἴρηται, ἐπὶ πλέον ἐστὶν ὁ μείζων ὅρος τοῦ μέσου· ἐν δὲ τῇ διαιρετικῇ μεθόδῳ ἀνάπαλιν τὸν μέσον ὅρον ἐπὶ πλέον λαμβάνουσι τοῦ μείζονος. βουλόμενοι γὰρ δεῖξαι ὅτι ὁ ἄνθρωπος λογικός ἐστι, λαμβάνουσι μέσον ὅρον τὸ ζῷον, δηλονότι τοῦ μὲν ἀνθρώπου ἐλάττονος ὄντος τοῦ δὲ λογικοῦ μείζονος· ἐπὶ πλέον δὲ τὸ ζῷον τοῦ λογικοῦ. ἀλλὰ τοῦτο μὲν τὸ συμπέρασμα ὃ καὶ προτίθενται, ὡς αὐτὸς εἶπεν, οὐκ ἀποδεικνύουσιν ἀλλ' αἰτοῦσιν. ὃ δὲ κατασκευάζουσι, τὸ 'ὁ ἄνθρωπος ἄρα ἢ λογικὸς ἢ ἄλογος', οὐκ ἔστιν ἐπὶ πλέον τοῦ μέσου ὅρου, τοῦ ζῴου, ἀλλ' ἐπ' ἴσης· τὸ γὰρ ζῷον ἢ λογικὸν ἢ ἄλογον, καὶ ἀνάπαλιν τὸ λογικὸν ἢ ἄλογον ζῷον. ἀλλ' ἐπειδὴ οὐ τοῦτο προτίθενται ⟨ἀλλ'⟩ ἄλλο τι, εἰ ὁ ἄνθρωπος λογικός, διὰ τοῦτο εἶπεν ἐπὶ πλέον λαμβάνειν αὐτοὺς τὸν μέσον τοῦ μείζονος, ὡς πρὸς τὸν σκοπὸν ὃν προέθεντο, οὐ πρὸς τὴν συμπλοκὴν αὐτὴν τοῦ συλλογισμοῦ· ἐν γὰρ τῷ συλλογισμῷ ἐξισάζοντα ἀεὶ λαμβάνουσι τὸν μείζονα τῷ μέσῳ, εἴγε διαιροῦσιν αὐτὸν εἰς τὰς οὐσιώδεις αὐτοῦ διαφορὰς καὶ ταύταις πάσαις ὡς ἑνὶ μείζονι ὅρῳ χρῶνται. ἀλλ' ἐπεὶ πρόκειται μίαν τῶν διαφορῶν δεῖξαι τῷ ὑποκειμένῳ ὅρῳ ὑπάρχουσαν, μείζων δέ ἐστιν ὅρος ὁ ἐν τῷ συμπεράσματι κατηγορούμενος, διὰ τοῦτό φησιν ἐπὶ πλέον αὐτοὺς λαμβάνειν τὸν μέσον τοῦ μείζονος.

p. 46ᵇ3 Ἔστω γὰρ τὸ ζῷον μὲν ἐφ' οὗ Α.

Τὰ παραδείγματα τῶν εἰρημένων λαμβάνει, λέγω ὅτι τε οἱ διὰ τῆς διαιρετικῆς συλλογιζόμενοι ὃ μὲν προτίθενται οὐ δεικνύουσιν ἀλλ' αἰτοῦσιν, ἄλλο δέ τι συμπεραίνουσι, καὶ ὅτι τὸν μέσον ὅρον ἐπὶ πλέον λαμβάνουσι τοῦ μείζονος. τὸ Δ, ὅπερ ἐστὶν ἄνθρωπος, Α ἐστίν, ὅπερ ἐστὶ ζῷον· τὸ Α ἢ Β ἐστὶν ἢ Γ, τουτέστιν ἢ θνητὸν ἢ ἀθάνατον· τὸ Δ ἄρα ἢ Β ἐστὶν ἢ Γ, τουτέστιν ὁ ἄνθρωπος ἢ θνητὸν ἢ ἀθάνατον. ὥστε μέσον μὲν τὸ

---

1 ἀνάγωμεν MU 2 γίνεται Bt 3 ἐπειδὴ δεῖ ex ἐπειδὴ corr. B 4 πλέον U 9 φησί om. U 11 τὸ B 13 μέσον corr. nescio unde U 15 εἶπεν] p. 46ᵃ33 15. 16 ἀποδεικνύοντες ἀλλ' αἰτοῦντες B 17 τοῦ ζῴου om. B 18 καὶ—ζῷον om. MUt 19 ⟨ἀλλ'⟩ ἄλλο τι scripsi cf. p. 311,2: ἀλλ' ὅτι libri 21 προέθετο Bt οὐ om. MU τὴν om. t 23 πάσαις ταύταις M 28 μὲν MUt (f n m): om. B Arist. ante α add. τὸ M 29 λέγων BUt 30 ἀλλ' αἰτοῦσιν om. B 32 ante ἄνθρ. add. ὁ Bt 33 τὸ δ̄—34 ἀθάνατον om. B 33. 34 β̄—γ̄ transposui: γ̄—β̄ MUt 34 ἢ (post ἄνθρ.) t: om. M, eras. U θνητὸς ἢ ἀθάνατος conicio cf. p. 311,15. 16

ζῷον, μείζων δὲ ὅρος τὸ θνητόν, ὃ βούλονται ὑπάρχον δεῖξαι τῷ ἀν- LXXVII[r]
θρώπῳ. καὶ δῆλον ὅτι τοῦτο μὲν οὐκ ἔδειξαν ἀλλ' ἄλλο τι, ἢ γὰρ θνητὸν
εἶναι τὸν ἄνθρωπον ἢ ἀθάνατον.

p. 46b4 Ὁ δὲ ἄνθρωπος, οὗ τὸν λόγον δεῖ λαβεῖν.

Τουτέστι τὸν ὁρισμόν· εἶπε γὰρ ἤδη ὅτι ἐνόμιζον οἱ τῇ διαιρετικῇ χρησάμενοι μάλιστα τοὺς ὁρισμοὺς δι' αὐτῆς δύνασθαι ἀποδεικνύναι. διαιροῦντες γὰρ ἀεὶ τὸ γένος εἰς τὰς οἰκείας διαφορὰς καὶ ἀφοριζόμενοι καθ' ἑκάστην διαίρεσιν τὴν συστατικὴν τοῦ ἀνθρώπου διαφορὰν οὕτω ταύτας μετὰ τοῦ γένους συμπλέξαντες ἀποδεικνύναι τὸν ὁρισμὸν ᾤοντο.

p. 46b7 Πάλιν τὸν ἄνθρωπον ἀεὶ διαιρούμενος τίθεται εἶναι ζῷον.

Ἀεί, φησίν, προϊὼν κατὰ τὴν διαίρεσιν τὸν ἄνθρωπον ζῷον εἶναι λαμβάνει, καὶ συλλογίζεταί τι τῶν ἀπὸ τῆς διαιρέσεως αὐτοῦ εἶναι. οἷον ὁ ἄνθρωπος ζῷον, πᾶν ζῷον ἢ λογικὸν ἢ ἄλογον, ὁ ἄνθρωπος ἄρα ἢ λογικὸς ἢ ἄλογος· ἀλλὰ μὴν οὐκ ἄλογος· λογικὸς ἄρα. πάλιν ὁ ἄνθρωπος ζῷον, πᾶν ζῷον ἢ θνητὸν ἢ ἀθάνατον, ὁ ἄνθρωπος ἄρα ἢ θνητὸς ἢ ἀθάνατος· ἀλλὰ μὴν οὐκ ἀθάνατος· θνητὸς ἄρα. καὶ οὕτως ἐπὶ πασῶν τῶν τοῦ ζῴου διαφορῶν ποιεῖται. ὥστε ὃ μὲν οὐ προτίθεται συλλογίζεται, τὸ 'ἢ τόδε ἢ τόδε ἐστίν', ὃ δὲ προτίθεται αἰτεῖται, τὸ λογικὸν εἶναι ἢ θνητόν· οὐ γὰρ δείκνυσιν ἀλλ' ὡς ὁμολογούμενον λαμβάνει.

p. 46b21 Καθ' οὗ δὲ ἔδει δεῖξαι,

τουτέστι τὸν ἄνθρωπον, καὶ τὰς διαφορὰς ἄκρα· λαμβάνει γὰρ τὸν μὲν ἄνθρωπον ἐλάττονα ὅρον, τὸ δὲ θνητὸν καὶ ἀθάνατον ἢ ὑπόπουν καὶ ἄπουν μείζονα.

p. 46b22 Τέλος δέ, ὅτι τοῦτό ἐστιν ἄνθρωπος ἢ ὅ τι ποτ' ἂν ᾖ τὸ ζητούμενον, οὐδὲν λέγουσι σαφές, ὥστε ἀναγκαῖον εἶναι.

Οὕτω, φησίν, ἑκάστην τῶν διαφορῶν οὐ δείξαντες ἀλλ' αἰτήσαντες τέλος οὐδὲν ὧν προέθεντο δεῖξαι ἀποδεικνύουσιν· προτίθενται μὲν γὰρ τοὺς ὁρισμοὺς τῶν πραγμάτων ἀποδεῖξαι, καὶ οἴονται, ἐὰν ἑκάστην τῶν ἐν

1 τὸ ἀθάνατον MU βούλεται B 4 λόγον U Arist.: ὅρον BMt (n) 5 εἶπε] p. 46a36 6. 7 διαιροῦνται t 7 ἀεὶ post διαφορὰς collocat B 8 ταύτην[ασ] U 10 ζῶον εἶναι t Arist. 11 τὴν superscr. B 12 αὐτὸν MU 13 ὁ prius om. MU 13. 14 λογικὸς ἢ ἄλογος t: λογικὸν ἢ ἄλογον BMU 14 ἄλογον. λογικὸν B 15 ἢ tert. om. U 16. 17 τοῦ ζῴου τῶν διαφορῶν B 17 ποιεῖσθαι U συλλογίζεσθαι MU 19 δεικνύουσιν B 20 δέοι t (n, corr. m) 22 μὲν om. Bt τὸ θνητὸν δὲ B 24 ὅτι om. pr., ut videtur, B 27 προτίθεται pr. B

τῷ ὁρισμῷ διαφορῶν δείξωσιν ὑπάρχουσαν, ὅτι καὶ οὗτός ἐστιν ὁρισμὸς LXXVII[r]
ἀνθρώπου δεδειχέναι. τοῦτο δὲ οὐκ ἀναγκαῖον· δέδεικται γάρ, ὡς εἴπομεν,
ὅτι οὐ τὰ κατηγορούμενά τινος ἰδίᾳ, ταῦτα καὶ ἅμα κατηγορεῖσθαι δύναται·
ὥστε εἰ καὶ τῶν διαφορῶν ἑκάστην ἦσαν δεδειχότες, οὐ δήπου καὶ τὸν
5 ὁρισμὸν ἀπέδειξαν. |

p. 46b24 Καὶ γὰρ τὴν ἄλλην ὁδὸν ποιοῦνται πᾶσαν οὐδὲ LXXVII[v]
τὰς ἐνδεχομένας εὐπορίας ὑπολαμβάνοντες ὑπάρχειν.

Τὴν ἄλλην ὁδόν, τουτέστι τὴν λοιπήν, λέγω δὴ τὴν μέχρι τῶν
ἀτόμων διαίρεσιν· διαιροῦσι γὰρ τὸ ζῷον εἰς τὸ λογικὸν καὶ ἄλογον, τὸ
10 λογικὸν εἰς θνητὸν καὶ ἀθάνατον, τὸ θνητὸν εἰς ὑπόπουν καὶ ἄπουν, τὸ
ὑπόπουν εἰς δίπουν καὶ πολύπουν, μέχρις οὗ καταντήσουσιν εἰς ἄτομον· 5
κείσθω γὰρ τὸ δίπουν ἀδιαίρετον. πᾶσαν οὖν ταύτην τὴν ὁδὸν ποιοῦνται
μὴ συνορῶντες μηδὲ ἐκ ποίων εὐπορῆσαι δυνατὸν εἰς ἀπόδειξιν τῶν δια-
φορῶν. ὧν τῇ συμπλοκῇ τὸν ὁρισμὸν ποιῆσαι βούλονται, οἷον ὅτι ὁ ἄνθρω-
15 πος λογικός, εἰ λάβοιεν μέσον ὅρον τὸ βουλευτικόν· ὁ ἄνθρωπος βουλευτι-
κός, τὸ βουλευτικὸν λογικόν, ὁ ἄνθρωπος ἄρα λογικός. οὐδὲ τοσοῦτον
οὖν συνιδεῖν δύνανται, τίς ἂν εἴη μέσος ὅρος ὁ συνάψαι τοὺς ἄκρους
δυνάμενος.

p. 46b26 Φανερὸν δὲ ὅτι οὔτ' ἀνασκευάσαι ταύτῃ τῇ μεθόδῳ 10
20 ἔστιν οὔτε περὶ συμβεβηκότος ἢ ἰδίου συλλογίσασθαι οὔτε περὶ
γένους.

Ὅτι μὲν οὖν ἄχρηστος εἰς τὸ συλλογίσασθαι ἡ διαιρετικὴ μέθοδος,
εἴρηται. εἰ δὲ ὅλως καὶ ἦν δυνατὸν συλλογίσασθαι δι' αὐτῆς, δῆλον ὅτι, 20
φησί, μόνα τὰ καταφατικὰ δυνατὸν ἦν διὰ ταύτης δεικνύναι, καὶ οὐδὲ
25 πάντα ἀλλὰ μόνον τὸ καθόλου, ἀποφατικὸν δὲ οὐδέν. εἰ γὰρ ἡ διαίρεσις
γίνεται τῶν γενῶν κατὰ τὰς ἰδίας αὐτῶν διαφοράς, αὗται δὲ αἱ διαφοραὶ
τοιῶσδε συμπλεκόμεναι ἀποτελοῦσι τὰ εἴδη, δῆλον ὅτι περὶ μόνων τῶν
ὑπαρχόντων τοῖς πράγμασιν. εἰ δέ τις εἴποι 'ἀλλὰ δύναμαι καὶ ἀποφατικὸν
ποιῆσαι συμπέρασμα λέγων οὕτως· ὁ ἄνθρωπος ζῷον, πᾶν ζῷον ἢ λογικὸν
30 ἢ ἄλογον, ὁ ἄνθρωπος ἄρα ἢ λογικὸς ἢ ἄλογος· ἀλλὰ μὴν λογικός ἐστιν· 25
οὐκ ἄλογος ἄρα', τὰ αὐτὰ πάλιν καὶ πρὸς τοῦτον ἐροῦμεν, ὅτι τοῦτο
οὐ κατασκευή ἐστιν ἀλλ' αἴτημα. τὸ γὰρ ὅλως ἔμφασιν ἔχον ἀποδείξεως
τὸ 'ἢ λογικὸς ἢ ἄλογος' ἐστί· τοῦτο δὲ καταφατικόν ἐστι τὸ συμπέρασμα.

2 εἴπομεν] p. 308,30 sq. 3 post κατηγορεῖσθαι add. οὐ B δύνανται Bt
9 καὶ t: ἢ BMU 11 καταντήσωσιν BMt cf. p. 316,21 15 λογικὸν B
15. 16 βουλευτικὸν B 17 δύναται M 20 post συμβεβηκότος add. τι Bt
ἴδιον pr. U 22 συλλογίζεσθαι pr. B 27 post δῆλον add. δὲ t 30 ἢ (post
ἄρα) om. M λογικὸς ἢ ἄλογος t cf. vs. 33: λογικὸν ἢ ἄλογον BMU 30. 31 λογικόν
ἐστιν· οὐκ ἄρα ἄλογον B

ὅτι δὲ οὐδὲ τὸ μερικὸν καταφατικὸν δυνατὸν διὰ τῆς μεθόδου ταύτης LXXVII[v]
συναχθῆναι, δῆλον ἐντεῦθεν· διαιροῦσι γὰρ τὸν μέσον ὅρον εἰς πάσας τὰς
διαφοράς, ὥστε πάντα ἄνθρωπον ἀνάγκη ἢ λογικὸν εἶναι ἢ ἄλογον ἢ θνητὸν
ἢ ἀθάνατον. ἀεὶ οὖν τὸ καθόλου συνάγουσιν. καὶ ὅτι ὁ σκοπὸς τὰ ἐν τῷ 30
5 ὅρῳ παραλαμβανόμενα ἀποδεῖξαι, ταῦτα δὲ παντὶ τῷ ὁριστῷ ὑπάρχειν ἀνάγκη.

Οὔτε περὶ συμβεβηκότος, φησίν, ἢ ἰδίου. εἰκότως· ταῦτα μὲν γὰρ ἐπουσιώδη εἰσὶ καὶ κατὰ συμβεβηκὸς ὑπάρχοντα· ἡ δὲ διαίρεσις εἰς τὰ κατ' οὐσίαν ὑπάρχοντα γίνεται. ἴσως ἀπορήσειεν ἄν τις ὅτι καὶ συμβεβηκότων ἀπόδειξιν δυνατὸν διὰ τῆς διαιρετικῆς γενέσθαι· φήσειε γὰρ 'ὁ ἄνθρω-
10 πος κέχρωσται· πᾶν δὲ χρῶμα ἢ λευκὸν ἢ μέλαν ἤ τι τῶν μεταξύ'. φημὶ δὲ πρὸς τοῦτο ὅτι ἡ διαιρετικὴ ἑκάστην τῶν δέκα κατηγοριῶν ἀπὸ τῶν 35 γενικωτάτων ἀρξαμένη διαιρεῖ μέχρι τῶν εἰδικωτάτων, οὐ μὴν ἔργον αὐτῆς ὁρᾶν τί τῶν συμβεβηκότων τινὶ οὐσίᾳ ὑπάρχει, ὥστε τὸ λαβεῖν ὅτι ὁ ἄνθρωπος κέχρωσται οὐ διαιρετικῆς ἔργον· ὅτε γὰρ ἐλάμβανεν ὅτι ὁ ἄνθρωπος
15 ζῷον, τοῦτο ἐκ τῆς διαιρέσεως εἶχε τοῦ ζῴου εἰς τὰ εἰδικώτατα εἴδη.

Οὔτε περὶ γένους φησίν· ἀεὶ γὰρ τὸ γένος ἡ διαίρεσις ὁμολογούμενον λαμβάνει. δείκνυσι δέ, ὡς καὶ ἤδη εἴπομεν, ἐν τοῖς Ἀποδεικτικοῖς ὁ Ἀριστοτέλης, ὅτι ἀδύνατον γένους ἀπόδειξιν γενέσθαι, λέγω δὲ ὅτι τόδε 40
τοῦδε γένος.

20 p. 46ᵇ28 Οὔτε ἐν οἷς ἀγνοεῖται πότερον ὧδε ἢ ὧδε ἔχει.

Ἐν τούτοις δοκεῖ δεικνύναι, φησίν, ἐν οἷς ὁμολογεῖται τὸ συμπέρασμα· ἐπειδὴ γὰρ ὁμολογεῖται ὅτι ὁ ἄνθρωπος λογικός, διὰ τοῦτο προβαίνει αὐτοῖς ὁ λόγος λέγουσιν 'ἀλλὰ μὴν οὐκ ἄλογος· λογικὸς ἄρα'· ἐπεὶ ἐν οἷς ἀμφίβολον ποῖόν ποτε δεῖ τῶν ἀντιδιῃρημένων κατηγορῆσαι τοῦ προκειμένου, ἐλέγχεται
25 ἡ διαιρετικὴ ἀποδεῖξαι μὴ δυναμένη. ὡς ἐπὶ τῆς διαμέτρου καὶ τῆς πλευρᾶς ἔχει· ὅτι μὲν γὰρ ἀνάγκη ἢ σύμμετρον ἢ ἀσύμμετρον εἶναι δείκνυσιν· εἰ γὰρ 45 ἡ διάμετρος καὶ ἡ πλευρὰ μεγέθη, πᾶν δὲ μέγεθος ἢ σύμμετρόν τινι μεγέθει ἐστὶν ἢ ἀσύμμετρον, καὶ ἡ διάμετρος ἄρα τῇ πλευρᾷ ἢ σύμμετρος ἔσται ἢ ἀσύμμετρος· πότερον δὲ σύμμετρός ἐστιν ἢ ἀσύμμετρος, οὐκέτι ἕξει δει-
30 κνύναι· ἀμφίβολον γὰρ τοῦτο. ὥστε ὅσον ἐπὶ τῇ διαιρετικῇ μεθόδῳ οὐ δυνατὸν δεῖξαι εἴτε σύμμετρος ἡ διάμετρος εἴτε ἀσύμμετρος.

p. 46ᵇ33 Ἡ μὲν γὰρ ὁδὸς αὕτη· διὰ ταύτης δὲ οὐκ ἔστιν.

Ἡ μέθοδος, φησίν, ἡ διαιρετικὴ αὕτη ἐστί, τὸ λαμβάνειν τὸ προκεί-

1 post δυνατόν add. ἐστι B 3 ἄλογον ἢ om. M 5 post παραλαμβανόμενα add. ἀνθρώπῳ t δὲ om. MU 7 γὰρ om. BMt ἐπεισοδιώδη Mt ἡ διαίρεσις δὲ B 9 φήσεις B 11 ἑκάστη M 14 ἐλαμβάνομεν t 15 εἰς τὸ M εἰδηκώτατα pr. U 17 εἴπομεν] p. 308,20 21 ὡμολόγηται MU 22 ὡμολόγηται U 24 ὑποκειμένου MUt 26 ἢ prius om. BUt δεικνύουσιν B εἰ γὰρ scripsi: εἴ γε BMUt 28 ἢ alt. om. MU ἔσται Bt: ἐστιν MU 29 οὐκέτι — 31 ἀσύμμετρος iterat M

μενον ἢ τόδε εἶναι ἢ τόδε· διὰ ταύτης δὲ τῆς ὁδοῦ ἀδύνατον δεῖξαι LXXVII[v]
ὅτι τόδε τί ἐστιν.

p. 46ᵇ35 Φανερὸν οὖν ὅτι οὔτε πρὸς πᾶσαν σκέψιν ἁρμόζει τῆς ζητήσεως ὁ τρόπος, οὔτε ἐν οἷς μάλιστα δοκεῖ πρέπειν, ἐν τούτοις ἐστὶ χρήσιμος.

Δέδεικται γὰρ ὅτι οὔτε πρὸς τὸ δεῖξαι τὰ κατὰ συμβεβηκὸς ὑπάρχοντα ἢ τὰ ἴδια χρησιμεύσει, καὶ ὅτι τῶν προβλημάτων μόνον τὸ καθόλου καταφατικὸν δοκεῖ δεικνύναι, καὶ ὅτι τοὺς ὁρισμοὺς ἐπαγγελλομένη δεικνύναι τούτους μὲν οὐ δείκνυσιν ἀλλ' αἰτεῖται, ἄλλο δέ τι δείκνυσιν ὃ μὴ βούλεται. καὶ ὅτι οὐδὲ περὶ γενῶν ὅτι τόδε τόδε γένος | ἐνδέ- LXXVIII[r]
χεται διὰ τῆς διαιρετικῆς μεθόδου ἀποδεῖξαι. εἰ δέ τις λέγοι ὅτι οὐδὲ διὰ τῆς τοῦ Ἀριστοτέλους μεθόδου ἔστι τὰ γένη ἀποδεῖξαι, ἴστω ὅτι, καὶ εἰ μὴ ἀποδεικτικῶς ἔστιν αὐτὰ ἀποδεῖξαι, ἀλλ' οὖν γε παρέδωκεν ἐν τοῖς Τοπικοῖς τόπους τινὰς δι' ὧν δυνατὸν διαλεκτικῶς τὴν περὶ τῶν γενῶν πίστιν ποιήσασθαι. οὐδὲν δὲ θαυμαστὸν οὐδὲ εἰ ἡ διαιρετικὴ λαμβάνει ὡς ὁμολογούμενα τὰ γένη, ὅταν ὑπὸ τῆς ἐναργείας μαρτυρούμενα ᾖ· οὐδὲ γὰρ αἱ ἀποδεικτικαὶ μέθοδοι ἀποδεῖξαί τι δύνανται μὴ λαβοῦσαί τινα ἐκ τῶν φαινομένων ἀναποδείκτως· ἀρχὴ γὰρ πάσης ἀποδείξεως αἱ κοιναὶ ἔννοιαι καὶ τὰ ὑπὸ τῆς ἐναργείας μαρτυρούμενα. εἰ γὰρ μὴ ληφθείη τι ὡμολογημένον ἀλλ' ἀεὶ τὸ ληφθὲν δέοι ἀποδεικνύναι, ἀναιρεθήσεται ἀπόδειξις τῆς πρόοδου ἐπ' ἄπειρον γινομένης· δεήσει γὰρ ἀεὶ τὸ ληφθὲν εἰς ἄλλου ἀπόδειξιν ἀποδεικνύναι. δέδεικται δὲ ἐν τοῖς Ἀποδεικτικοῖς αὐτὸ τοῦτο, ὅτι οὐ προΐασιν ἐπ' ἄπειρον αἱ ἀποδείξεις ἀλλ' ἀρχὰς ἔχουσιν ἀναποδείκτους τὰς κοινὰς ἐννοίας καὶ τὰ ὑπὸ τῆς ἐναργείας μαρτυρούμενα.

3 ἁρμόσει B: ἁρμόττει M 11 λέγει B 12 τὸ γένος M: τῷ γένει U
ὅτι om. MU εἰ καὶ M 13 γε om. U ἐν τοῖς Τοπικοῖς] IV 15 οὐδὲ BM:
οὐδὲν Ut 16 ἀπὸ MUt 19 τὰ BMt: ταῦτα U ἐνεργείας BU 20 δέοιτο Bt
21 δὲ B 22 ἐν τοῖς Ἀποδεικτ.] I 3 p. 72ᵇ18 sq. 24 ἐνεργείας BU
τέλος τοῦ περὶ εὐπορίας προτάσεων subscr. B: πεπλήρωται τὸ δεύτερον τμῆμα M

ΑΡΧΗ ΤΟΥ ΤΡΙΤΟΥ ΤΜΗΜΑΤΟΣ ΠΕΡΙ ΑΝΑΛΥΣΕΩΣ ΣΥΛΛΟΓΙΣΜΩΝ.

p. 46b40 Πῶς δ' ἀνάξομεν τοὺς συλλογισμοὺς εἰς τὰ προει- LXXVIII r
ρημένα σχήματα, λεκτέον ἂν εἴη μετὰ ταῦτα· λοιπὸν γὰρ ἔτι
5 τοῦτο τῆς σκέψεως.

Πέρας ἀπείληφε τὸ δεύτερον τοῦ βιβλίου τμῆμα· τοῦτο δέ ἐστι τὸ περὶ τῆς εὐπορίας τῶν προτάσεων. ἐντεῦθεν λοιπὸν ἐπὶ τὸ τρίτον μεταβέβηκε· τοῦτο δέ ἐστι πῶς ἂν δυνηθείημεν τοὺς ἢ παρὰ τοῖς παλαιοτέροις 20 συλλογισμοὺς ἢ ὅσους ἡμῖν οἱ προσδιαλεγόμενοι πλέκουσιν ἀνάγειν εἰς τὰ
10 προειρημένα τρία σχήματα. τούτου γὰρ δειχθέντος, φησί, τέλος ἂν ἡμῖν ἔχοι ἡ προκειμένη πραγματεία· εἰ γὰρ τήν τε γένεσιν τῶν συλλογισμῶν μεμαθήκαμεν, ἔτι τε πῶς ἀναγαγεῖν δυνάμεθα εἰς τὰ προειρημένα σχήματα τοὺς προτιθεμένους συλλογισμούς, τελειοτάτην ἂν ἔχοιμεν τὴν συλλογιστικὴν ἕξιν. δεῖ οὖν, φησίν, εἰς τὰς προσεχεῖς δύο προτάσεις ἀναγαγεῖν
15 τὸν συλλογισμόν (αὗται γάρ εἰσιν αἱ προσεχῶς τοῦ συμπεράσματος συνακτικαί), 25 ἔπειτα τοὺς ὅρους ἐπισκοπεῖν ἐξ ὧν αὗται συνεστήκασι. πολλάκις δέ, φησίν, οὔτε οἱ γράφοντες οὔτε οἱ προσδιαλεγόμενοι τὰς δύο προτείνουσι προτάσεις, ἀλλ' ἔστιν ὅτε τὴν μίαν παραλιμπάνουσι, καὶ ἤτοι τὴν μείζονα ἢ τὴν ἐλάττονα. καὶ τὴν ἐλάττονα μέν, ὡς ὅταν εἴπω οὕτως· πᾶν οἰκεῖον
20 ἀγαθόν, ἡ ὑγίεια ἄρα ἀγαθόν· ἢ πᾶν κατὰ φύσιν ἀγαθόν, ἡ ἡδονὴ ἄρα ἀγαθόν· ἐνταῦθα γὰρ δῆλον ὅτι ἡ ἐλάττων πρότασις παραλέλειπται ἡ λέγουσα ἐν μὲν τῷ πρώτῳ συλλογισμῷ ὅτι ἡ ὑγίεια οἰκεῖον, ἐν δὲ τῷ δευτέρῳ ὅτι 30 ἡ ἡδονὴ κατὰ φύσιν. δῆλον δὲ γίνεται ἐν τούτοις τὸ παραλελειμμένον ἐκ

1. 2 Inscripsi ex B (qui σχήματος praebet, quod correxi): ἀρχὴ τοῦ τρίτου M: ἐξήγησις ἰωάννου γραμματικοῦ καὶ ἀλεξανδρέως τοῦ φιλοπόνου, εἰς τὸ περὶ ἀναλύσεως συλλογισμῶν, τρίτον τμῆμα Y: tit. om. t 4 μετὰ κτλ. om. Y 5 post τοῦτο delevit μετὰ B ἐπισκέψεως M 7 τῆς om. Y 12 ἀγαγεῖν M: ἂν ἀγαγεῖν t δυνάμεθα, sed post 13 σχήματα Escor. Φ. III. 10: δυνόμεθα BMY: δυνώμεθα t 13 τελειότητα B 16 αὗται Bt: αὐτοὶ MY 18 ἔσται M 20 ὑγεία BY 21 ἐντεῦθεν B δῆλον ὅτι] ἤδη B 22 ὑγεία BY δευτέρῳ BMt: ἑτέρῳ Y ὅτι alt. om. Y 23 τὸ παραλελειμμένην Y

τοῦ συμπεράσματος· ἐὰν γὰρ εὕρωμεν ὅρον ἐν τῷ συμπεράσματι ὂν ἐν LXXVIIIr
ταῖς προτάσεσιν οὐκ εἴχομεν, ὥσπερ ἐν τούτοις τὴν ὑγίειαν ἢ τὴν ἡδονήν,
δῆλον ὅτι ἀπό τινος παραλελειμμένης προτάσεώς ἐστιν οὗτος ὁ ὅρος ἐν τῷ
συμπεράσματι. γινώσκομεν δὲ ποία ἐστὶν ἡ παραλελειμμένη, πότερον μείζων
5 ἢ ἐλάττων, ἐκ τῆς τάξεως τοῦ ἐν τῷ συμπεράσματι καινοτέρου ὅρου· ἐὰν
μὲν γὰρ ὁ ὑποκείμενος ᾖ, ἐλάττων, ἐὰν δὲ ὁ κατηγορούμενος ᾖ, μείζων, 35
ὥσπερ ἐν τούτοις ἐστὶν ἡ ἡδονὴ καὶ ἡ ὑγίεια. ἔχει οὖν οὗτος τὴν τοῦ ὑπο-
κειμένου τάξιν ἐν τῷ συμπεράσματι· ὁ δὲ ὑποκείμενος ἐν τῷ συμπεράσματι
τῆς ἐλάττονός ἐστι προτάσεως, ὥσπερ ὁ κατηγορούμενος τῆς μείζονος· δῆλον
10 οὖν ἄρα ὅτι ἡ ἐλάττων ἐστὶν ἡ παραλελειμμένη. ἐνίοτε δέ, ὡς εἶπον, τὴν
μὲν μείζονα παραλιμπάνουσι, λέγουσι δὲ τὴν ἐλάττονα, οἷοί εἰσι πάντες οἱ
ῥητορικοί· ὁ δεῖνα νύκτωρ πλανᾶται, κλέπτης ἄρα ἐστίν· ὁ δεῖνα καλλωπιστής,
οὐκοῦν καὶ μοιχός. ἔχει γὰρ τὸ συμπέρασμα πῇ μὲν τὸν κλέπτην πῇ δὲ 40
τὸν μοιχόν· κατηγοροῦνται δὲ οὗτοι ἐν τῷ συμπεράσματι. οὐκοῦν ἡ μεί-
15 ζων ἐστὶν ἡ παραλελειμμένη· ὁ δεῖνα νύκτωρ πλανᾶται, πᾶς νύκτωρ πλανώ-
μενος κλέπτης ἐστίν, ὁ δεῖνα ἄρα κλέπτης ἐστίν· ὁ δεῖνα καλλωπιστής, πᾶς
καλλωπιστὴς μοιχός, ὁ δεῖνα ἄρα μοιχός. ἐνίοτε δέ, φησίν, οὐ παραλιμ-
πάνουσι πρότασιν, περιττὰ δὲ τιθέασιν, ἢ καὶ παραλιμπάνουσι μέν τινα,
καὶ ἄλλα δὲ τιθέασι περιττά· καὶ δεῖ συνορᾶν τί μὲν παραλέλειπται, καὶ
20 τοῦτο προστιθέναι, τί δὲ περιττὸν εἴρηται, καὶ τοῦτο ἀφαιρεῖσθαι, ἕως οὗ 45
καταντήσομεν εἰς τὰς δύο προτάσεις. καὶ ὅπως μὲν παραλιμπάνουσιν ἐνίοτε
μίαν τῶν προτάσεων, εἴπομεν ἤδη. προστιθέασι δὲ περιττά, ὡς ἐὰν εἴπω·
ἡ ἡδονὴ κατὰ φύσιν, ἡ ἡδονὴ λεία ἐνέργεια, ἡ ἡδονὴ ἀνενόχλητος ζωή,
πᾶν τὸ κατὰ φύσιν ἀγαθόν· ἐν τούτοις γὰρ μόνον χρειῶδες πρὸς τὸ συμ-
25 πέρασμα τὸ 'ἡ ἡδονὴ κατὰ φύσιν', τὰ δὲ ἄλλα περιττὰ καὶ μάτην παρεί-
ληπται, εἰ μὴ δι' ἄλλην τινὰ αἰτίαν τῶν προειρημένων τι παραληφθείη, ἢ
δι' ἐπίκρυψιν ἢ δι' ἄλλο τι. συμβαίνει οὖν ὅτε καὶ προστιθέασι περιττὰ 50
καὶ τῶν ἀναγκαίων τι παραλιμπάνουσιν, οἷον, ὡς εἴπομεν ἤδη, ἤτοι τὴν
μείζονα πρότασιν ἢ τὴν ἐλάττονα. τινὲς μὲν οὖν, φησί, τῶν προτεινομένων
30 συλλογισμῶν ἐλλειπτικῶς εἰρημένοι ῥᾳδίαν ἔχουσι τὴν εἰς τὰ σχήματα ἀνά-
λυσιν, τινὲς δὲ δυσχερεστέραν. ὅσοι μὲν γάρ, φησίν, ὅρον τινὰ ἔχουσιν ἐν
τῷ συμπεράσματι ὂν ἐν ταῖς προτάσεσιν οὐ παρειλήφασιν, εὐχερέστερον
ἀνάγονται ὑπὸ τὰ σχήματα· δυνατὸν γὰρ ἐκ τοῦ ὅρου τούτου ῥᾷστα ἰδεῖν

1 ὂν—4 συμπεράσματι om. M 2 ἔχομεν Y ὑγείαν Y 4 ὁποῖα Y
post μείζων add. ἐστιν Y 6 μὲν om. MY ἢ prius M: ἡ BYt ἢν (ante
δὲ) Y ἢ alt. MY: ἡ Bt 7 ὑγεία Y 11 μὲν om. Bt λέγουσι
δὲ MY: καὶ λέγουσι Bt πάντες om. Y 12 καλωπιστὴς B itemque vs. 17
13 καὶ om. Y ποῖ utroque loco Y 14 post οὗτοι add. οἱ ὅροι Y
19 δὴ M ὅτι Bt παραλείπεται Y 20 προτιθέναι pr. B, corr. B²
21 καταντήσωμεν Mt cf. p. 312,11 22 post προτάσεων add. ὡς Bt ἤδη εἴπομεν B
24 χρειῶδες μόνον B 26 προσρημένων t 28 τινὰ Y ἤτοι scripsi:
ὅτι M: ὅτι ἢ Y: om. Bt 29 ἢ Y: ἤτοι BMt φασὶν Y 30 εἰρηκέναι Y
31 ὅσοι] ὅτε Y φῆσιν Y 32 παρειλήφαμεν MY; huc usque M 33 ὑπὲρ t

τὸ παραλελειμμένον, ὥσπερ ἐν | οἷς παρεθήκαμεν παραδείγμασιν. LXXVIIIv
ὅσοι δὲ τῶν συλλογισμῶν ἐλλειπτικῶς εἴρηνται, τοὺς δὲ αὐτοὺς ὅρους ἔχουσιν
ἐν τῷ συμπεράσματι οὓς καὶ ἐν ταῖς προτάσεσι παρειλήφασι, τούτους,
φησί, δυσχερὲς ἀναλῦσαι εἰς τὰ σχήματα· οὐ γὰρ εὐσύνοπτον τὸ παραλελειμ-
5 μένον. οἷον αὐτὸς παρατίθεται συλλογισμόν· ἔχει δὲ οὕτως· ἀναιρουμένης
τῆς μὴ οὐσίας οὐκ ἀνῄρηται ἡ οὐσία· τῶν μερῶν δὲ ἀναιρουμένων ἀνῄρηται
τὸ ὅλον· τὰ μέρη ἄρα τῆς οὐσίας οὐκ εἰσὶν οὐκ οὐσίαι· ἐν γὰρ τῷ συμ- 5
περάσματι τοῦ συλλογισμοῦ τούτου οὐδείς ἐστιν ὅρος μὴ ὢν ἐν ταῖς προ-
τάσεσιν, ἀλλ' ἔστιν ἡ μὲν μὴ οὐσία ἐν τῇ μιᾷ, τὰ δὲ μέρη ἐν τῇ ἑτέρᾳ.
10 δυσχερὴς οὖν ἐν τοῖς τοιούτοις ἡ ἀνάλυσις, ἐπειδὴ οὐδὲ τὸ παραλειφθὲν
ῥᾴδιον συνιδεῖν· δύο γὰρ οὐσῶν ἐν τούτῳ προτάσεων ἀσυνάπτων ἀλλήλαις
οἱ ἐν τῷ συμπεράσματι δύο ὅροι ἑκάτερος ἐν ἑκατέρᾳ ἐστὶ τῶν προτάσεων.
ἔστιν οὖν τὸ παραλελειμμένον ἐν τούτῳ οὐχ ὅρος ἀλλὰ πρότασις. σκοπὸς
δὲ δεῖξαι διὰ τούτων ὅτι τὰ μέρη τῶν οὐσιῶν οὐσίαι εἰσί. καὶ δείκνυσι 10
15 τοῦτο οὗτος ὁ συλλογισμὸς ἐν δευτέρῳ σχήματι λαμβάνων μέσον ὅρον τὴν
οὐσίαν, μείζονα τὴν μὴ οὐσίαν καὶ ἐλαττονα τὰ μέρη τῆς οὐσίας, καὶ λέγει
τρόπον τινὰ οὕτως· τῆς μὴ οὐσίας ἀναιρουμένης οὐκ ἀνῄρηται ἡ οὐσία, τῶν
μερῶν δὲ ἀναιρουμένων ἀνῄρηται ⟨ἡ οὐσία⟩, τὰ μέρη ἄρα τῆς οὐσίας οὐκ
εἰσὶν οὐκ οὐσίαι ἀλλ' οὐσίαι δῆλον ὅτι· ὃ γὰρ μή ἐστιν οὐκ οὐσία, οὐσία
20 ἐστὶν ἐξ ἀνάγκης. ἀλλ' ἐν τῷ προκειμένῳ οὐκ ἐχρήσατο τῷ αὐτῷ μέσῳ 15
ὅρῳ ἐν τῇ ἐλάττονι προτάσει, ἀλλ' ἔλαβεν ἀντὶ τῆς οὐσίας τὸ ὅλον· εἰπὼν
γὰρ 'τῆς μὴ οὐσίας ἀναιρουμένης οὐκ ἀνῄρηται ἡ οὐσία' καὶ δέον εἰπεῖν
'τῶν μερῶν δὲ ἀναιρουμένων ἀνῄρηται ἡ οὐσία' οὕτω μὲν οὐκ εἶπεν, ἀλλ'
ὅτι τῶν μερῶν δὲ ἀναιρουμένων ἀνῄρηται τὸ ὅλον. καὶ ἐχρήσατο ἀντὶ
25 μέσου ὅρου τῆς οὐσίας τῷ ὅλῳ ὥστε ἐν τῷ αὐτῷ συλλογισμῷ δύο μέσους
παραλαμβάνεσθαι, τὴν οὐσίαν καὶ τὸ ὅλον· ὅπερ τὴν πλάνην ἐποίησε. διὰ 20
τί δὲ οὕτως ἐχρήσατο; λέγομεν ὅτι δύο συλλογισμῶν ὄντων, προσυλλογισμοῦ
τε καὶ αὐτοῦ τοῦ συλλογισμοῦ, ἐξ ἑκατέρου μία πρότασις εἴληπται, παρα-
λελειμμέναι δέ εἰσιν αἱ λοιπαὶ δύο. τοῦ γὰρ συλλογισμοῦ τὴν ἐλάττονα
30 πρότασιν βουλόμενος κατασκευάσαι, πόθεν ὅτι τῶν μερῶν ἀναιρουμένων ἀνῄ-
ρηται ἡ οὐσία, δείκνυσιν αὐτὴν διὰ προσυλλογισμοῦ κεχρημένος μέσῳ ὅρῳ
τῷ ὅλῳ, ὥστε εἶναι τὸν προσυλλογισμὸν οὕτως· τῶν μερῶν τῆς οὐσίας
ἀναιρουμένων ἀνῄρηται τὸ ὅλον, τοῦ ὅλου ἀναιρουμένου ἀνῄρηται ἡ οὐσία, 25
† τὰ μέρη ἄρα τῆς οὐσίας οὐσίαι εἰσίν· τὸ σχῆμα πρῶτον. ἐπικρύψεως οὖν
35 ἕνεκεν ἢ συντομίας λαβὼν τοῦ προσυλλογισμοῦ τὴν ἐλάττονα πρότασιν τὴν
λέγουσαν 'τῶν μερῶν ἀναιρουμένων ἀνῄρηται τὸ ὅλον' καὶ τοῦ συλλογισμοῦ
τὴν μείζονα τὴν λέγουσαν 'τῆς μὴ οὐσίας ἀναιρουμένης οὐκ ἀνῄρηται ἡ

1 προσέθηκε Y 3 καὶ om. Y post τούτους add. δὲ Y 4 φῆσί Y
4. 5 παραλελημμένον Yt 9 τῷ ἑτέρῳ B 10 παραληφθὲν Yt 14 an γὰρ ?
15 οὕτως Y λαμβάνω B 16 λέγω B 17 ἀνηρημένης B τῶν—18 ἀνῄρηται
om. Bt 18 ἡ οὐσία addidi cf. vs. 23 τῆς οὐσίας om. Y 22 ἀνηρημένης B
23 ἡ—24 ἀνῄρηται om. Y 24 post ἀντὶ add. τοῦ Y 27 δὲ om. Y προσυλλο-
γισμοῦ] post προ delevit ει Y 30 ἀνηρημένων B 34 immo τῶν μερῶν ἄρα τῆς
οὐσίας ἀναιρουμένων ἀνῄρηται ἡ οὐσία 35 συντόμως t 37 ἀνηρημένης B

οὐσία· οὕτως ἐπήγαγε τὸ συμπέρασμα, ὅτι τὰ μέρη οὐκ εἰσὶν οὐκ LXXVIII[v]
οὐσίαι. ἐχρήσατο οὖν ἐν τῷ συλλογισμῷ ὅρῳ μέσῳ οὐ τῷ αὐτῷ, ἀλλ' ἐν τῇ
μείζονι μὲν τῷ ὄντως μέσῳ, λέγω δὴ τῇ οὐσίᾳ, ἐν δὲ τῇ ἐλάττονι ἀντὶ τῆς 30
οὐσίας τῷ ὅλῳ. ὥστε δυσχερὴς τοῦ τοιούτου τῶν συλλογισμῶν εἴδους ἡ
5 ἀνάλυσις μὴ δυναμένων ἡμῶν ἐκ τοῦ συμπεράσματος στοχάσασθαι τὸ παρα-
λελειμμένον τῶν αὐτῶν ὅρων ὑπαρχόντων ἐν τῷ συμπεράσματι οἵπερ ἦσαν
καὶ ἐν ταῖς προτάσεσιν. τίθησι μὲν οὖν καὶ ἕτερα εἴδη τῆς τῶν συλλο-
γισμῶν ἀσαφείας, ἀλλ' ἵνα μὴ πάντα ἅμα λέγωμεν, ἕκαστον ἐν τῷ ἰδίῳ
τόπῳ θεωρήσομεν.

10 p. 47ᵃ5 Συμβήσεται δὲ ἅμα καὶ τὰ πρότερον εἰρημένα ἐπιβε-
βαιοῦσθαι καὶ φανερώτερα εἶναι, ὅτι οὕτως ἔχει, διὰ τῶν νῦν 35
λεχθησομένων· δεῖ γὰρ πᾶν τὸ ἀληθὲς αὐτὸ ἑαυτῷ ὁμολογού-
μενον εἶναι πάντῃ.

Ἐάν, φησί, δείξωμεν ὅτι οἱ ὁπωσοῦν προφερόμενοι συλλογισμοὶ πάντες
15 εἰς τὰ τρία ἀναλύονται σχήματα μόνον, πιστωσόμεθα μᾶλλον τὰ προειρη-
μένα, ὅτι ἀνάγκη τρία μόνα εἶναι σχήματα. εἰ γὰρ τήν τε γένεσιν αὐτῶν
παραδιδόντες δείκνυμεν μόνα εἶναι ταῦτα καὶ τὴν μέθοδον τῆς τῶν συλλο-
γισμῶν εὐπορίας, ἔτι δὲ καὶ τοὺς γεγενημένους συλλογισμοὺς ἀναλύοντες
εὕροιμεν εἰς ταῦτα μόνα ἀναλυομένους, αὐτὴν ἑαυτῇ σύμφωνον εὑρήσομεν 40
20 τὴν ἀλήθειαν. οὐ μόνον δὲ τὸν περὶ τῶν τριῶν σχημάτων λόγον εὑρήσομεν
διὰ τούτων βεβαιούμενον ἀλλὰ καὶ τὸν περὶ τῶν συλλογιστικῶν συζυγιῶν
καὶ τῶν ἀσυλλογίστων· δείξει γὰρ ἐν τούτοις ὅτι ὅσοι ἐξ ἀορίστων προτάσεων
κατασκευάζουσί τι, κατὰ τὴν ἰδίαν φύσιν ἀσυλλόγιστοί εἰσιν, ἑτέρωθεν δὲ
ἔχουσι τὸ ἀναγκαῖον. καὶ περὶ τῶν λοιπῶν δὲ καὶ ἐντεῦθεν σχήσομεν
25 τὴν πίστιν.

p. 47ᵃ11 Ῥᾷον γὰρ εἰς τὰ μείζω διελεῖν ἢ εἰς τὰ ἐλάττω· μείζω
δὲ τὰ συγκείμενα ἢ τὰ ἐξ ὧν.

Εὐχερέστερον γὰρ τὸ διελεῖν εἰς μεγάλα μόρια ἢ τὸ εἰς μικρότερα· 45
διό, φησί, δεῖ ἡμᾶς εἰς τὰ δύο μεγάλα μόρια τοῦ συλλογισμοῦ, λέγω δὴ
30 τὰς συνεκτικὰς αὐτοῦ δύο προτάσεις, τὴν διαίρεσιν ποιεῖσθαι. ἀντικειμένως
δὲ ἔχει τῷ πλήθει τὸ μέγεθος· ὅταν γὰρ ἡ διαίρεσις εἰς μεγάλα τῷ μεγέθει
γένηται, εἰς ἐλάττονα γίνεται τῷ πλήθει, ὅταν δὲ εἰς πλείονα τῷ πλήθει,
εἰς ἐλάττονα τῷ μεγέθει. ἐὰν γὰρ εἰς δύο διέλω τὸ πηχυαῖον ξύλον καὶ

2 μέσω ὅρω Y 3 μὲν τῷ ὄντως μέσῳ Bt: τῶ συμπεράσματι Y 5. 6 an τοῦ παρα-
λελειμμένου? 8 ἅμα om. Y λέγομεν t 10 ἅμα om. Bt τὰ om. Y
10. 11 βεβαιοῦσθαι Bt 11 ἔχοι Y διὰ τῶν κτλ. om. Y 14 φησί om. Y
πάντως Bt 16 τε om. Y 17 immo ἐδείκνυμεν 18 δὲ Bt: τε Y 19 εὕρη
μὲν pr. Y ἑαυτὴν Y 20 λόγον bis Y 22 δείξει] c. 33 p. 47ᵇ18 sq.
ὅτι om. Y 23 οἰκείαν Y 24 σχῶμεν Y 26 ῥᾶον BYt (n m, corr. C): ῥᾴω
Arist. εἰς alt. Bt (m): om. Y Arist. ἐλάσσω B μείζω κτλ. om. Y
μείζονα t 27 τὰ alt. Bt (n m): om. Arist. post ὧν add. σύγκειται t (corr. A)
cf. p. 319,10 33 διέλωμεν t

πάλιν ἄλλο πηχυαῖον εἰς τέσσαρα διέλω. δῆλον ὅτι ἐκείνου τὰ μόρια LXXVIII
μεγέθει μὲν μείζονά εἰσιν ἢ τὰ τούτου, πλήθει δὲ ὀλιγώτερα· ῥᾴων δὲ ἐκείνη
ἡ διαίρεσις ταύτης· διὰ τοῦτό φησιν εἰς τὰς δύο προτάσεις τὰς συνεκτικω-
τάτας διελεῖν χρῆναι πρότερον, ἅτινά ἐστι τὰ μεγάλα μόρια τοῦ συλλογισμοῦ,
καὶ μὴ ἐξ ὧν αὗται σύγκεινται, λέγω δὲ εἰς τὰς τῶν προσυλλογισμῶν προ-
τάσεις. καὶ γὰρ δυσχερέστερον τοῦτο καὶ οὐδὲν ἡμᾶς ὀνίνησιν εἰς τὸ προ-
κείμενον. τουτέστιν εἰς τὸ ἀναγαγεῖν ὑπὸ τὰ σχήματα τοὺς συλλογισμούς·
οὐδὲν γὰρ εἰς τοῦτο δεησόμεθα τῶν προσυλλογισμῶν. συγκείμενα οὖν
φησιν αὐτὰς τὰς δύο προτάσεις· | σύγκεινται γὰρ ἐκ τῶν προσυλλο- LXXIX r
γισμῶν· ἐξ ὧν δὲ αὐτοὺς τοὺς προσυλλογισμούς. μήποτε δὲ τὰ ἐξ ὧν
ἀκουστέον τοὺς τρεῖς ὅρους ἐξ ὧν αἱ δύο προτάσεις, ὅτι πρότερον τὰς προ-
τάσεις ζητητέον τοῦ συλλογισμοῦ καὶ μὴ τοὺς ὅρους· εὐχερέστερόν τε γὰρ
τὰς προτάσεις εὑρήσομεν ἢ τοὺς ὅρους, καὶ τῇ εὑρέσει τῶν προτάσεων
συναναφαίνονται καὶ οἱ τρεῖς ὅροι ἐξ ὧν αἱ προτάσεις σύγκεινται.

p. 47a13 Εἶτα σκοπεῖν ποτέρα ἐν ὅλῳ καὶ ποτέρα ἐν μέρει.

Οὐ λέγει 'ποία ἐστὶ καθόλου καὶ ποία μερική', ἀλλὰ 'ποία μείζων καὶ
ποία ἐλάττων'. εἶπεν δὲ καθόλου μὲν τὴν μείζονα, ἐν μέρει δὲ τὴν ἐλάτ-
τονα, διότι ἀεὶ ἐπὶ πλέον ἐστὶν ἡ μείζων τῆς ἐλάττονος καὶ περιέχεται ἐν
τῇ μείζονι ἡ ἐλάττων. ὅταν γὰρ εἴπω 'πᾶς ἄνθρωπος ζῷον, πᾶν ζῷον
οὐσία', δῆλον ὅτι ἡ λέγουσα 'πᾶν ζῷον οὐσία' ἐπὶ πλέον ἐστὶ τῆς λεγούσης
'πᾶς ἄνθρωπος ζῷον'· ὅ τε γὰρ ὑποκείμενος τῆς μείζονος ἐπὶ πλέον ἐστὶ
⟨τοῦ⟩ τῆς ἐλάττονος, λέγω δὴ τὸ ζῷον τοῦ ἀνθρώπου, καὶ ὁ κατηγορούμενος
τοῦ κατηγορουμένου· ἐπὶ πλέον γὰρ ἡ οὐσία τοῦ ζῴου· ἀλλὰ καὶ ἐν τῷ
εἰπεῖν 'πᾶν ζῷον οὐσία' ἐμπεριείληπται τῷ ζῴῳ καὶ ὁ ἄνθρωπος. καὶ ἐπὶ
τῶν ἀποφατικῶν ὁμοίως ἔχει· οἷον πᾶς ἄνθρωπος ζῷον. οὐδὲν ζῷον ἄψυχον·
ἐπὶ πλέον γὰρ τὸ μὲν ἄψυχον τοῦ ζῴου· τοῦ γὰρ ἀψύχου καὶ τοῦ ἐμψύχου
προσεχῶς διαιρουμένου ἐκ τοῦ σώματος, ἐκ τοῦ ἐμψύχου ἔχει τὴν ὑπο-
διαίρεσιν τὸ ζῷον, ὥστε οὐ τῆς αὐτῆς συστοιχίας τὸ ζῷον καὶ τὸ ἄψυχον,
ἀλλὰ ἀνωτέρω τὸ ἄψυχον. ἐπὶ πλέον οὖν τὸ μὲν ἄψυχον τοῦ ζῴου, τὸ
δὲ ζῷον τοῦ ἀνθρώπου. ὁμοίως δὲ καὶ ἐν τῷ 'οὐδὲν ζῷον ἄψυχον' περιέ-
χεται καὶ ὁ ἄνθρωπος.

p. 47a14 Ἐνίοτε γὰρ τὴν καθόλου προτείναντες τὴν ἐν αὐτῇ οὐ
λαμβάνουσιν.

Ἐν αὐτῇ λέγει τὴν ἐλάττονα, διότι, ὡς εἶπον, περιέχεται ἡ ἐλάττων

1 ἄλλο πάλιν Y διέλωμεν t 2 μεγέθη B ἢ τὰ BY: εἶτα t πλήθη Yt
βᾶον Yt γὰρ Y 2. 3 ἐκείνη ἡ B: η ἡ ἐκείνη Y: ἡ ἐν ἐκείνῃ t 3 τὰς alt.
om. Y 4 χρὴ Y 5 λέγει t 6 post τοῦτο add. τούτου t 8 συγκείμενα
9. 10 προσυλλογισμῶν om. B συγκείμενα t: συγκειμένας Y 10 δὲ prius Bt: γὰρ Y
14 καὶ om. Y οἱ om. t 16 post λέγει add. ὅτι Bt 20 λεγούσης—22 τῆς
om. Yt 22 τοῦ addidi 23 κατηγορουμένου scripsi: ὑποκειμένου BYt
24 ὁ om. Yt 25 τῶν ἀποφατικῶν scripsi: τὰ ἀποφατικὰ BYt 26 ἐμψύχου—
ἀψύχου Y 30 ἄψυχος Bt 32 αὐτῇ BY (corr. B): ταύτῃ t Arist.

ὑπὸ τῆς μείζονος ὁμοίως καὶ ἐπὶ τῶν καταφατικῶν καὶ τῶν ἀποφατικῶν. περιέχει γὰρ ἡ λέγουσα 'πᾶν ζῷον οὐσία' τὴν λέγουσαν 'πᾶς ἄνθρωπος ζῷον'· καὶ γὰρ ἡ οὐσία τοῦ ζῴου περιεκτικὴ καὶ τὸ ζῷον τοῦ ἀνθρώπου. ὁμοίως καὶ ἐπὶ τῆς ἀποφάσεως· περιέχει γὰρ ἡ λέγουσα 'οὐδὲν ζῷον ἄψυχον' τὴν λέγουσαν 'πᾶς ἄνθρωπος ζῷον'· εἰ γὰρ οὐδὲν ζῷον ἄψυχον, οὐδὲ ἄνθρωπος δῆλον ὅτι. LXXIXr

p. 47a16 Ἢ ταύτας μὲν προτείνουσι.

Τὰς μερικὰς δηλονότι, ταὐτὸν δὲ εἰπεῖν τὰς ἐλάττους· περὶ τούτων γὰρ προσεχῶς εἶπε.

Δι' ὧν δὲ αὗται, τουτέστι τὰς καθόλου, ταὐτὸν δὲ εἰπεῖν τὰς μείζους· περαίνονται γὰρ αἱ ἐλάττους διὰ τῶν μειζόνων· ἐπεὶ γὰρ πᾶν ζῷον οὐσία, διὰ τοῦτο καὶ πᾶς ἄνθρωπος οὐσία· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀποφατικῶν, ἐπεὶ οὐδὲν ζῷον ἄψυχον, οὐδὲ ἄνθρωπος δῆλον ὅτι.

p. 47a22 Ἔνιοι δὲ λανθάνουσι καὶ δοκοῦσι συλλογίζεσθαι διὰ τὸ ἀναγκαῖόν τι συμβαίνειν ἐκ τῶν κειμένων.

Ζητήσειε δ' ἄν τις καί, εἰ ἐκ τῶν κειμένων ἀναγκαῖόν τι συμβαίνει, πῶς φησιν ὅτι δοκοῦσι συλλογίζεσθαι καὶ λανθάνουσιν ὡς συλλογιζόμενοι, οὐ συλλογίζονται δέ· καὶ μὴν αὐτὸς ὁριζόμενος τὸν συλλογισμὸν ἔλεγεν ὅτι "συλλογισμός ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι". εἰ οὖν ὁ συλλογισμὸς διὰ τὸ τὰ κείμενα εἶναι ἀναγκαῖόν τι συνάγει, πῶς ἐνταῦθά φησιν ὅτι ἀναγκαῖον μέν τι συμβαίνει ἐκ τῶν κειμένων, οὐ μὴν συλλογιστικῶς; λανθάνουσι γάρ, φησί, καὶ δοκοῦσι συλλογίζεσθαι, δηλονότι μὴ συλλογιζόμενοι. λέγω οὖν ὅτι διὰ τοῦτο οὐκ ἠρκέσθη ἐν τῷ ὁρισμῷ τῷ εἰπεῖν "ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι", ἀλλ' ἑρμηνεύεται αὐτῷ τί σημαίνει τὸ "τῷ ταῦτα εἶναι"· ἐπήγαγε γὰρ "λέγω δὲ τῷ ταῦτα εἶναι τὸ διὰ ταῦτα συμβαίνειν, τὸ δὲ διὰ ταῦτα συμβαίνειν τὸ μηδενὸς ἔξωθεν ὅρου προσδεῖν πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον". ἐνταῦθα οὖν ἐνδεῖ ὅπου μὲν ὅρος ὅπου δὲ πρότασις. διὰ τοῦτο δὲ ὅλως, φησίν, ἐν τούτοις συμβαίνει τὸ ἀναγκαῖον, ὅτι ἐπὶ πλέον ἐστὶ τὸ ἀναγκαῖον τοῦ συλλογισμοῦ· εἴ τι μὲν γὰρ συλλογισμός, τοῦτο καὶ ἀναγκαῖον, οὐκ

1 καὶ prius Y: δὲ καὶ B: om. t τῶν alt. om. t 3 καὶ γὰρ—5 ἄνθρωπος ζῷον om. Y 7 ἡ ταύτας—13 δῆλον ὅτι om. B 9 εἶπε t: εἰπεῖν supra ποιεῖν scriptum Y 10 δι' ὧν—μείζους t: om. Y 11 περαίνονται—13 δῆλον ὅτι mrg. Y 12 ὁμοίως—ἀποφατικῶν Y: καὶ t 14 post δοκοῦσι add. τὶ Y (n) συλλογίσασθαι Y 15 τι] ὄντι t 16. 17 σημαίνει t 18 οὐ om. B 19 ἔλεγεν] c. 1 p. 24b18—20 22 σημαίνει t 24 ὅτι om. Y 25 τῷ prius om. B 26 ἑρμηνεύεται Y: ἑρμηνεῦσαί τι Bt συμβαίνει, omisso τί t τὸ Bt: λέγω δὴ Y ἐπήγαγε] p. 24b20—22 γὰρ—27 εἶναι om. Y 27 τὸ δὲ—συμβαίνειν t Arist.: ἤγουν Y: om. B 29 ἐνδεῖ Y: ἔδει Bt

εἴ τι δὲ ἀναγκαῖον, τοῦτο καὶ συλλογισμός. ἀμέλει ἐν ταῖς ἀσυλλογίστοις LXXIX[r]
συζυγίαις ἐδείκνυμεν πολλάκις ἀναγκαῖόν τι συμβαῖνον, ὅπερ συνέβαινεν οὐ
διὰ τὸ συλλογιστικῶς συμπλακῆναι τὰς προτάσεις ἀλλὰ διὰ τὸ τὴν ὅλην
τὴν παραληφθεῖσαν τὸ ἀναγκαῖον ἔχειν, λέγω δὴ διὰ τὸ τὴν καθόλου πρό-
5 τασιν ἀληθῆ εἶναι τὴν λέγουσαν ὅτι παντὸς οὑτινοσοῦν πάντα τὰ μόρια ἂν
ἀναιρεθῇ, συναναιρεῖται τούτοις καὶ ἡ οὐσία. καὶ ὅπως τοῦτο συμβαίνει, 45
ἔφθημεν εἰπόντες. ὅτι γὰρ διά τινα καθόλου πρότασιν παραλελειμμένην
ἕπεται τὸ ἀναγκαῖον ἐν τοῖς τοιούτοις, ὡς καὶ τῷ Ἀλεξάνδρῳ δοκεῖ, καὶ
οὐ διὰ τὸ συλλογιστικὴν εἶναι τὴν ἀγωγήν, δῆλον ἐκ τῶν ὑποδειγμάτων·
10 τίθησι γοῦν πλείονας τοὺς τοιούτους λόγους. οἷον εἰ τῷ Α τὸ Β ἴσον, καὶ
τῷ Γ τὸ Β ἴσον, καὶ τὸ Α ἄρα τῷ Γ ἴσον· ἐνταῦθα γὰρ ἀληθὲς μὲν τὸ
συμπέρασμα καὶ τοῖς κειμένοις ἠκολούθησεν, ἀλλ' οὐ συλλογιστικῶς. ὅτι
γὰρ οὐ συλλογιστικῶς, δῆλον ἐξ ὧν ἀμφότεραί τε αἱ προτάσεις εἰσὶ μερικαὶ 50
⟨καὶ⟩ ἐν δευτέρῳ σχήματι καταφατικαί· οὕτω δὲ ἐχουσῶν τῶν προτάσεων
15 συλλογισμὸς οὐκ ἐγίνετο. πόθεν οὖν τὸ ἀναγκαῖον συνῆκται; φημὶ ὅτι ἀπό
τινος καθόλου προτάσεως παραλελειμμένης τῆς λεγούσης 'πάντα τὰ τῷ
αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα', ὥστε γίνεσθαι ἐκ συλλογισμοῦ τὸ
ἀναγκαῖον τοῦτον τὸν τρόπον· τὸ Α καὶ τὸ Γ τῷ Β ἐστὶν ἴσα· πάντα τὰ
τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα· τὸ Α ἄρα καὶ τὸ Γ ἀλλήλοις ἐστὶν
20 ἴσα. ὅτι δὲ ἡ καθόλου πρότασις ἡ παραλελειμμένη αἰτία ἐστὶν ἐν |
τοῖς οὕτω προφερομένοις λόγοις τοῦ συνάγειν τι ἀναγκαῖον, δῆλον ἐφ' LXXIX[v]
ὧν μὴ οὕτως ἔχει. φημὶ γὰρ οὕτω· τὸ Α τοῦ Β ἐστὶν ἀδελφός· ἀλλὰ
καὶ τὸ Γ τοῦ αὐτοῦ Β ἐστὶν ἀδελφός· καὶ οὐκέτι ἐξ ἀνάγκης ἕπεται 'καὶ
τὸ Α ἄρα τοῦ Γ ἐστὶν ἀδελφός'. τοῦτο δὲ διὰ τὸ τὴν καθόλου πρότασιν
25 ψευδῆ εἶναι τὴν λέγουσαν 'πάντες οἱ τοῦ αὐτοῦ ἀδελφοὶ καὶ ἀλλήλων εἰσὶν
ἀδελφοί'. ἐπεὶ οὖν ψευδὴς ἡ καθόλου πρότασις, διὰ τοῦτο οὐδὲ τὸ ἀναγ- 5
καῖον συνῆκται. ὅτι δὲ ψευδής, δῆλον ἐξ ὑποδείγματος. ὑποκείσθω γὰρ
γυναῖκά τινα ἐξ ἀνδρὸς παῖδα ἔχειν καὶ ἄνδρα τινὰ ἐκ γυναικός τινος παῖδα
ἔχειν, καὶ στερείσθω ἡ μὲν γυνὴ τὸν ἄνδρα ὁ δὲ ἀνὴρ τὴν γυναῖκα, καὶ
30 συνερχέσθωσαν οἱ καταλειφθέντες εἰς γάμον καὶ τικτέτωσαν υἱόν. δῆλον
οὖν ὅτι τῷ ἐξ ἀμφοῖν τεχθέντι ἑκάτερος τῶν προγεγεννημένων ἀδελφός
ἐστιν, ὁ μὲν ἐκ μητρός, ὁ δὲ ἐκ πατρός, καὶ ὅμως ἀλλήλων οὐκ εἰσὶν
ἀδελφοί· οὔτε γὰρ κατὰ μητέρα κοινωνοῦσιν (ἄλλη γὰρ ἑκατέρου μήτηρ,
τοῦ μὲν ἡ ζῶσα γυνή, τοῦ δὲ ἡ τελευτήσασα) οὔτε κατὰ πατέρα· καὶ γὰρ 10
35 οἱ πατέρες διάφοροι· τοῦ μὲν γὰρ ὁ ζῶν δεύτερος τῆς γυναικὸς ἀνήρ, τοῦ
δὲ ὁ τελευτήσας πρότερος τῆς αὐτῆς ἀνήρ. γίνεται οὖν ὁ πᾶς συλλογισμὸς

1 μέλει Y 4 ἔχειν] ειν corr. nescio unde B δὲ B: δεῖ t 5 ὁτινοσοῦν B: οὔ τινος οὖν Yt ἂν ante πάντα collocat t: εἰ Y 6 ἀναιρεθείη Y 7 ἔφθημεν εἰπόντες] p. 316,10 sq. τινων t 8 τῷ Ἀλεξάνδρῳ] p. 344,34 sq. 10 τίθησι (scil. Alex.)] p. 344,14 sq. οἷον om. B 13 τε om. Y εἰσὶ om. Y 14 καὶ addidi 15 ἐγένετο t 16 τῷ om. Y 17 ἴσα εἰσὶν B τὸ scripsi: τὸν BYt 19 ἐστὶν prius Y: εἰσὶν Bt ἐστὶν alt. Yt: εἰσὶν B 20 ὅτε Y 21 προσφερομένοις B 29 στερήσθω B 31 τὸ B τεθέντι pr. B προγεγενημένων pr. B, alt. ν superscr. B[1] 36 πρότερον B

ψευδῆ ἔχων τὴν μείζονα πρότασιν τοῦτον τὸν τρόπον· τὸ Α καὶ τὸ Γ LXXIXv
τοῦ αὐτοῦ Β ἀδελφοί εἰσι· πάντες οἱ τοῦ αὐτοῦ ἀδελφοὶ καὶ ἀλλήλων εἰσὶν
ἀδελφοί· τὸ ἄρα Α καὶ Γ ἀλλήλων εἰσὶν ἀδελφοί. ψευδοῦς οὖν οὔσης τῆς
καθόλου ψευδὲς καὶ τὸ συμπέρασμα καίτοι τοῦ σχήματος συλλογιστικοῦ
5 ὄντος. ἐν οἷς ἄρα συνάγεταί τι ἀναγκαῖον μὴ συλλογιστικῶς πεπλεγμένων 15
τῶν προτάσεων, δι' αὐτὴν τὴν τῶν κειμένων φύσιν συνάγεται, οὐ μὴν ἐκ
συλλογισμοῦ, διότι, ὡς εἶπεν, ἐπὶ πλέον ἐστὶν τοῦ συλλογισμοῦ τὸ ἀναγκαῖον,
καὶ εἴ τι μὲν συλλογισμός, τοῦτο καὶ ἀναγκαῖον, οὐκ εἴ τι δὲ ἀναγκαῖον, εὐθὺς
ἤδη τοῦτο καὶ συλλογισμός. πλείοσι δὲ καὶ ἄλλοις ὑποδείγμασι κέχρηται.
10 οἷον Δίων λέγει ἡμέραν εἶναι· ἀλλὰ καὶ ἡμέρα ἐστί· Δίων ἄρα ἀληθεύει·
κἀνταῦθα γὰρ ἀληθὲς μέν τι συνῆκται ἐξ ἀνάγκης διὰ τὰ κείμενα, οὐ μὴν 20
ἐκ συλλογισμοῦ. τὸ γὰρ 'ἀληθεύει' μείζων ὑπάρχων ὅρος οὐκ εἴληπται ἐν
οὐδενὶ τῶν προκειμένων· ἔδει δὲ πάντως, ὡς μεμαθήκαμεν, τὸν μείζονα
ὅρον ἐν τῇ μείζονι εἶναι τῶν προτάσεων. κἀνταῦθα οὖν ἀναγκαῖον μὲν τὸ
15 συναχθέν, οὐ μὴν συλλογισμός. ἡ δὲ ἀνάγκη διὰ τὴν καθόλου πρότασιν
τὴν παραλελειμμένην· ἔστι δὲ αὕτη 'πᾶς ὁ τὸ ὂν εἶναι λέγων ἀληθεύει'·
ὡς εἶναι τὸν πάντα συλλογισμὸν τοιοῦτον· Δίων λέγει ἡμέραν εἶναι ἡμέρας
οὔσης· πᾶς ὁ τὸ ὂν εἶναι λέγων ἀληθεύει· Δίων ἄρα ἀληθεύει.

p. 47a25 Ἐξ ὧν δέ ἐστιν ἡ οὐσία ἀναιρουμένων καὶ τὸ ἐκ τούτων 25
20 φθείρεσθαι.

Ἀντὶ τοῦ εἰπεῖν 'τῶν μερῶν δὲ ἀναιρουμένων', ὡς ἡμεῖς εἴπομεν,
εἶπεν ἐξ ὧν δέ ἐστιν ἡ οὐσία ἀναιρουμένων· ἐκ γὰρ τῶν μερῶν τὸ
ὅλον· ἡ δὲ ὁλότης ἑκάστου οὐσία ἐστὶν ἑκάστου. πάλιν ἀντὶ τοῦ εἰπεῖν
'ἀναιρεῖται τὸ ὅλον' εἶπε τὸ ἐκ τούτων· ἐκ γὰρ τῶν μερῶν τὸ ὅλον, ὡς
25 εἴπομεν.

p. 47a26 Τούτων γὰρ τεθέντων ἀναγκαῖον μὲν τὸ οὐσίας μέρος
εἶναι οὐσίαν.

Τὸ συμπέρασμα, ὅπερ ἡμεῖς ἐλέγομεν 'τὰ ἄρα μέρη τῆς οὐσίας οὐκ
εἰσὶν οὐκ οὐσίαι', αὐτός φησιν ἀνάγκη ἄρα τὸ μέρος τῆς οὐσίας
30 οὐσίαν εἶναι· τὸ γὰρ μὴ ὂν οὐκ οὐσία οὐσία δήπου ἐστίν· ἐπὶ παντὸς γὰρ
ἡ κατάφασις ἢ ἡ ἀπόφασις.

p. 47a28 Πάλιν εἰ ἀνθρώπου ὄντος ἀνάγκη ζῷον εἶναι.

Καὶ ἕτερον ὑπόδειγμα τίθησι δι' οὗ δείκνυσιν ὅτι οὐ πάντως, εἰ 35

---

1 τὸν τρόπον τοῦτον. καὶ τὸ α' Y 3 τὸ ἄρα—ἀδελφοί om. Y 6 διὰ τὴν τῶν t
προκειμένων, προ superscr. Y 13 γὰρ Y μεμαθήκαμεν] p. 316,4 sq.
14 κἀνταῦθεν Y οὖν Bt: μὲν Y ἀναγκαίω B μὲν t: εἶναι Y: om. B
16 ὂν Y: om. Bt itemque vs. 18 20 φθείρεσθαι om. B 21 δὲ om. Bt
εἴπομεν] p. 317,17 sq. 22 ἐκ] εἶπε, ut videtur, Y 28 λέγομεν Bt

"τεθέντων τινῶν" ἕπεταί τι ἐξ ἀνάγκης, ἤδη τοῦτο συλλογισμός· δέδεικ- LXXIX
ται γὰρ ἐν τοῖς περὶ τῶν τριῶν σχημάτων ὅτι ἀδύνατον ἐκ δύο μερικῶν συλλο-
γισμὸν γενέσθαι· δέδεικται δὲ ὅτι αἱ ἀπροσδιόριστοι ἰσοδυναμοῦσι ταῖς μερι-
καῖς. ἐν οὖν ταῖς ἐκκειμέναις προτάσεσιν ἀπροσδιόριστοις οὔσαις τὸ ἀναγκαῖον
5 οὐ συλλογιστικῶς συνῆκται ἀλλὰ διὰ τὴν ὕλην αὐτήν· ἀληθὴς γάρ ἐστιν
ἡ καθόλου πρότασις ἐκείνη ἡ λέγουσα 'ἐάν τινι ἕπηταί τι ἐξ ἀνάγκης, καὶ
ὅσα τῷ ἑπομένῳ ἕπεται, ταῦτα κἀκείνῳ ἐξ ἀνάγκης ἕπεται ᾧ τὸ ἑπόμενον 40
εἵπετο· τοῦτο γὰρ ἐκεῖνό ἐστι τὸ ἐν ταῖς Κατηγορίαις εἰρημένον, ὅτι "ὅσα
κατὰ τοῦ κατηγορουμένου λέγεται ὡς καθ' ὑποκειμένου, ταῦτα καὶ κατὰ
10 τοῦ ὑποκειμένου τούτῳ ῥηθήσεται". ἐλλείπει οὖν καὶ τούτῳ τῷ λόγῳ
ἡ καθόλου πρότασις, καὶ ἔστιν ὁ ὑγιὴς συλλογισμὸς τοιοῦτος· εἰ τῷ ἀν-
θρώπῳ ἕπεται τὸ ζῷον καὶ τῷ ζῴῳ ἡ οὐσία, πᾶν δὲ τὸ ἐξ ἀνάγκης ἑπό-
μενόν τινι κἀκείνῳ πάντως ἕπεται ᾧ τὸ μέσον εἵπετο, ἀνθρώπου ἄρα ὄντος
ἀνάγκη οὐσίαν εἶναι.

15 p. 47a31 Ἀπατώμεθα δὲ ἐν τοῖς τοιούτοις διὰ τὸ ἀναγκαῖόν τι 45
συμβαίνειν ἐκ τῶν κειμένων, ὅτι καὶ ὁ συλλογισμὸς ἀναγκαῖός
ἐστιν. ἐπὶ πλέον δὲ τὸ ἀναγκαῖον ἢ ὁ συλλογισμός.

Τὴν αἰτίαν λέγει δι' ἣν ἐν τοῖς οὕτω προφερομένοις λόγοις ἀπατώ-
μεθα καὶ οἰόμεθα συλλογίζεσθαι μὴ | συλλογιζόμενοι, ὅτι, ὡς εἴπομεν, LXXX r
20 ἀναγκαῖον μέν τι συμβαίνει ἐκ τῶν τεθέντων ὅρων, καὶ ὁ συλλογισμὸς
δὲ ἀναγκαῖος. οἰόμεθα οὖν ὅτι, εἴ τι ἀναγκαῖόν ἐστιν, ἤδη καὶ συλλογισμός
ἐστι. τὸ δὲ οὐχ οὕτως ἔχει· ἐπὶ πλέον γὰρ τὸ ἀναγκαῖον, ὡς δέδεικται,
καὶ εἴ τι μὲν συλλογισμός, πάντως καὶ ἀναγκαῖον, οὐκ εἴ τι δὲ ἀναγκαῖον,
τοῦτο ἤδη καὶ συλλογισμός. εἰ δὲ τοῦτο οὕτως ἔχει, φησίν, οὐκ ἐὰν
25 τεθέντων τινῶν ἐξ ἀνάγκης ἕπηταί τι, εὐθὺς πειρατέον καὶ ὑπὸ 5
συλλογιστικὸν σχῆμα τὸ τοιοῦτον ἀνάγειν· οὐ γὰρ πάντως συλλελόγισται·
ἀλλὰ ποιητέον ταῦτα πρότερον ἅπερ αὐτὸς σαφῶς ἐκτίθεται.

p. 47b6 Ὁμοίως δὲ καὶ ἐὰν μὴ καθόλου ὦσιν αἱ προτάσεις.

Ἐπειδὴ ὡς ἐξ ἀμφοτέρων καθολικῶν προτάσεων ὄντων τῶν συλλο-
30 γισμῶν ἐποιεῖτο τὸν λόγον, ὁ αὐτός, φησί, λόγος καὶ εἰ μερικαὶ εἶεν αἱ 10
προτάσεις, δῆλον δήπου ὅτι οὐκ ἀμφότεραι ἀλλὰ καθ' ἑκάτερα, εἴτε ἡ κατα-

1 δέδεικται] c. 4 p. 26b21 sq., c. 5 p. 27b36 sq., c. 6 p. 29a6 sq. 2 γὰρ om. Y μερῶν pr. Y 3 δέδεικται] c. 7 p. 29a27 sq. post ὅτι add. καὶ Y 4 ταῖς οὖν Y ἐγκειμέναις libri οὔσαις scripsi: οὖσι BYt 6 ἕπεται B 8 ταῖς om. B ἐν ταῖς Κατηγ.] c. 3 p. 1b11 memoriter citat 10 τούτῳ prius om. Yt ἐλλείπει BY: ἀλλ' ἐπεὶ t 11 καὶ BY: αἰτία t 13 κἀκεῖνο Y 16 ante ὅτι add. καὶ B ὅτι κτλ. om. Y ἀναγκαῖός B (C d): ἀναγκαῖόν t Arist. cf. vs. 21 19 συλλελογίσθαι t συλλογιζόμενοι Bt: συλλελογισμένον ὂν Y 20 ante ἀν. add. εἰ BYt: om. Φ. III. 10 ἀνάγκη Y μέν om. B 23 τι prius om. Yt 24 οὐχὶ Y 26 ἀναγαγεῖν B 27 σαφῶς ante αὐτὸς collocat Y: ἀσαφῶς B 29 post καθολικῶν add. τῶν B 30 ἐποίει t αἱ om. Y

φατικὴ εἴτε ἡ ἀποφατική, εἴτε ἡ μείζων εἴτε ἡ ἐλάττων, ὡς ἐπὶ τοῦ LXXXr δευτέρου σχήματος καὶ τοῦ τρίτου· τῇ γὰρ αὐτῇ μεθόδῳ τὸν μέσον εὑρήσομεν.

p. 47b9 Ἐπεὶ δ' ἔχομεν ὁποῖον ἐν ἑκάστῳ σχήματι περαίνεται τῶν προβλημάτων, καὶ ἐν τίνι τὸ καθόλου καὶ ἐν ποίῳ τὸ ἐν μέρει, φανερὸν ὡς οὐκ εἰς ἅπαντα τὰ σχήματα βλεπτέον.

Ῥᾳδίαν τὴν εἰς τὰ σχήματα ἀνάλυσιν ποιήσασθαι βουλόμενος ταῦτα προστίθησιν, ἵνα ἀναγαγεῖν ἐπὶ τὰ σχήματα τοὺς συλλογισμοὺς βουλόμενοι εἰς ὡρισμένα βλέπωμεν. ἐπεὶ οὖν δέδεικται, φησίν, ἕκαστον πρόβλημα ἐν ποίοις σχήμασι περαίνεται, ὅτι τὸ μὲν καθόλου καταφατικὸν μόνως ἐν τῷ πρώτῳ, τὸ δὲ καθόλου ἀποφατικὸν καὶ ἐν πρώτῳ καὶ ἐν δευτέρῳ, τὸ δὲ μερικὸν ⟨καταφατικὸν καὶ ἐν πρώτῳ καὶ ἐν τρίτῳ, τὸ δὲ μερικὸν⟩ ἀποφατικὸν ἐν πρώτῳ καὶ δευτέρῳ καὶ τρίτῳ, ἐπεὶ οὖν δῆλον ἐν ποίῳ σχήματι ἕκαστον τῶν προβλημάτων περαίνεται, ὅταν βουλώμεθα τὸν προτεθέντα λόγον εἰς σχῆμα συλλογιστικὸν ἀναγαγεῖν, σκοπητέον ποῖόν ἐστι τῶν προβλημάτων τὸ δι' αὐτοῦ δεικνύμενον, καὶ οὕτως εἰς τὸ οἰκεῖον ἀνακτέον σχῆμα. ἐπεὶ δὲ ἔστιν ἃ διὰ πλειόνων δείκνυται σχημάτων, τῇ τοῦ μέσου θέσει κριτέον τὸ σχῆμα.

p. 47b13 Πολλάκις μὲν οὖν ἀπατᾶσθαι συμβαίνει περὶ τοὺς συλλογισμοὺς διὰ τὸ ἀναγκαῖον, ὥσπερ εἴρηται πρότερον, ἐνίοτε δὲ παρὰ τὴν ὁμοιότητα τῆς τῶν ὅρων θέσεως.

Εἰπὼν πῶς δεῖ τοὺς συλλογισμοὺς ἀναγαγεῖν εἰς τὰ σχήματα, ὅτι πρότερον εἰς τὰς προτάσεις ἐπιβλέποντα, εἶτα εἰς τοὺς ὅρους καὶ ἐκ τῆς τοῦ μέσου σχέσεως τὸ σχῆμα εὑρίσκοντα, οὐ μόνον δὲ ἀλλὰ καὶ ἐκ τοῦ προβλήματος ἐνίοτε (εἰ γὰρ ᾗ καθόλου καταφατικόν, καὶ πρὸ τῆς εὑρέσεως τοῦ μέσου πρόδηλον ὡς ἐπὶ τὸ πρῶτον ἀνάγεται σχῆμα, καὶ ἐπὶ τῶν λοιπῶν ὡς εἴπομεν), νῦν διδάξαι ἡμᾶς βούλεται καὶ εἰς ποῖα ἄλλα ἀποβλέπειν ⟨δεῖ⟩ μέλλοντας ἀναλύειν τοὺς συλλογισμούς. πολλὰ γάρ ἐστι δι' ὧν συμβαίνει ἀπατᾶσθαι ἡμᾶς καὶ νομίζειν συλλογίζεσθαι ἀληθοῦς ὄντος τοῦ συναχθέντος, οὐ μὴν κατὰ συλλογισμὸν συναχθέντος. λέγει οὖν τοὺς τρόπους τῆς ἀπάτης, ἵνα, ὅταν ἐν λόγῳ τινὶ εὕρωμέν τινα τούτων τῶν τρόπων, ἐπιστήσαντες ὡς οὐ συλλογιστικὸς ὁ λόγος μὴ ἐπιχειρῶμεν ἀνάγειν αὐτὸν ἐπὶ τὰ σχήματα

1 εἴτε tertium om. B 1. 2 ἡ ἐλάττων—τρίτου post p. 323,31 εἴτε transposuit B 3 ποῖον t Arist. 4 καὶ ἐν τίνι κτλ. om. Y 5 ὅτι t 7 ἀναγαγεῖν Bt: οἱ ἀγαγεῖν Y 8 βλέπομεν Yt φησι δέδεικται Y 9 post μὲν del. ἀγαθ Y¹ 10 καὶ prius om. t 10 post ἐν utrumque add. τῷ Y ἐν alt. om. t δευτέρῳ Bt: τρίτῳ Y 11 καταφατικὸν—μερικὸν addidi 12 ante ἐν prius add. καὶ Y ante πρ., δευτ., τρ. add. τῷ Y 14 ἀγαγεῖν t 15 προβλημάτων—p. 331,14 τοῦ ἐ(λάττονος) exhibet L 16 ἐστιν ἃ B: τινα LY et post πλειόνων t 19 ἐνίοτε κτλ. om. Y 20 παρὰ t Arist.: περὶ compend. BL τῆς om. L θέσεως om. BL 23 εὑρίσκοντα scripsi: εὑρίσκειν BLYt 24 ᾗ L: ἢ BYt 25 σχῆμα ἀνάγεται t 26 δεῖ addidi 28 συλλογίσασθαι Bt 30 τούτων τῶν τρόπων scripsi: τοῦτον τὸν τρόπον BLYt 31 ὁ λόγος iterat L

ἀλλ' ἐλέγχωμεν ὡς ἀσυλλόγιστον. ὅτι μὲν οὖν συμβαίνει ἀπατᾶσθαι καὶ LXXXr
δοκεῖν συλλογισμὸν εἶναι μὴ ὄντα παρὰ τὸ ἀναγκαῖον, ἔφθημεν εἰπόντες καὶ 10
τὴν αἰτίαν προσθέντες, διὰ τὸ ἐπὶ πλέον εἶναι τὸ ἀναγκαῖον ἢ τὸν συλλογισμόν. νῦν δὲ καὶ ἄλλο τι διδάσκει, ὅτι γίνεται ἀπάτη παρὰ τὴν ὁμοιότητα
5 τῆς τῶν ὅρων θέσεως· πολλάκις γὰρ τῶν ὅρων συλλογιστικῶς κειμένων ἀρκεῖν οἰόμεθα τοῦτο εἰς συλλογισμοῦ γένεσιν. πρότερον γὰρ ἐπὶ τοῦ ἀναγκαίου καὶ τῶν ὅρων μὴ συλλογιστικῶς κειμένων ἐδόκει συλλογισμὸς γίνεσθαι διὰ τὸ ἀναγκαῖον, ὡς ἐφ' ὧν παρέθετο ὑποδειγμάτων. πολλάκις δὲ οἱ ὅροι 15
συλλογιστικῶς κεῖνται, παραλέλειπται δέ τι τῶν παραπεφυλαγμένων εἰς τὴν
10 τῶν συλλογισμῶν γένεσιν· εἶτα ἀληθοῦς ὄντος τοῦ συμπεράσματος, εἰ οὕτω τύχοι, οἰόμεθα καὶ συλλογιστικῶς αὐτὸ συνῆχθαι διὰ τὸ ὡς εἶπον συλλογιστικῶς κεῖσθαι τοὺς ὅρους. οἷον οἰόμεθα, εἰ τὸ Α ἕπεται τῷ Β, καὶ τὸ Β τῷ Γ, ἤδη καὶ τὸ Α τῷ Γ ἕπεσθαι διὰ τὴν τῶν ὅρων θέσιν. τὸ δὲ οὐχ οὕτως ἔχει· ἐπὶ πλείστων γὰρ ἐλέγχεται ψευδὴς ὁ λόγος. λέγω δὲ
15 οὕτως, φησίν· ὁ Ἀριστομένης διανοητός ἐστιν Ἀριστομένης· ἔστι γὰρ τοῦ Ἀριστομένους διάνοια· ὁ διανοητὸς Ἀριστομένης ἀεί ἐστιν· ἀεὶ γάρ 30
ἐστιν ἡ τοῦ Ἀριστομένους διάνοια, εἰ καὶ ἄλλοτε ἐν ἄλλῳ· καὶ συνάγεται ψεῦδος 'ὁ ἄρα Ἀριστομένης ἀεί ἐστι'· καίτοι οἱ ὅροι συλλογιστικῶς κεῖνται καὶ αἱ προτάσεις ἀληθεῖς εἰσιν. ἡ μὲν οὖν δόκησις τοῦ εἶναι συλλογισμὸν
20 παρὰ τὴν θέσιν τῶν ὅρων. ἀλλ' οὐκ ἤρκει τοῦτο μόνον, ἀλλὰ καὶ τὸ δεῖν πάντως καθολικὴν εἶναι πρότασιν· ἐνταῦθα δὲ ἄμφω μερικαί εἰσιν· ἀπροσδιόριστοι γάρ. ἐπεὶ οὖν ψευδὴς ἡ καθόλου πρότασις, διὰ τοῦτο ψευδὲς καὶ τὸ συμπέρασμα. ἐὰν γὰρ οὕτως εἴπω 'ὁ | Ἀριστομένης διανοητός LXXXv
ἐστιν Ἀριστομένης, πᾶς διανοητὸς Ἀριστομένης ἀεί ἐστι', ψευδῆ ἔλαβον
25 τὴν καθόλου πρότασιν καίτοι τῆς λεγούσης 'ὁ διανοητὸς Ἀριστομένης ἀεί ἐστιν' ἀληθοῦς οὔσης· οὐ γὰρ ταὐτὸν δύναται ἐν ταῖς προτάσεσι τό τε ἄρθρον καὶ ὁ καθόλου προσδιορισμός. ὅταν μὲν γὰρ εἴπω 'Σωκράτης ἄνθρωπος, ὁ ἄνθρωπος ζῷον', τὸ 'ὁ ἄνθρωπος' τὸ ἑνοειδὲς τοῦ ἀνθρώπου εἶδος σημαίνει, καθ' ὃ πάντες οἱ κατὰ μέρος ἄνθρωποι λέγονται· ὅταν δὲ εἴπω 5
30 'πᾶς ἄνθρωπος ζῷον', οὐκέτι τὸ εἶδος λαμβάνω τὸ ἑνοειδὲς ἀλλὰ τοὺς καθ' ἕκαστα πάντας οἷς ὑπάρχει τὸ εἶδος. καὶ ὅτι τοῦτο ἀληθές ἐστι, δῆλον ἐξ ὧν δυνατὸν εἰπεῖν 'ὁ ἄνθρωπος εἶδός ἐστιν', οὐ μέντοι 'πᾶς ἄνθρωπος'. ἔνθεν καὶ οἱ παραλογισμοὶ ἐκεῖνοι· ὁ κύκνος λευκός, τὸ λευκὸν χρῶμα, ὁ κύκνος ἄρα χρῶμα. οὐκέτι γὰρ ἀληθὲς εἰπεῖν πᾶν λευκὸν χρῶμα·

4 ἄλλο τι LYt: ἄλλον τρόπον B παρὰ t: περὶ BLY cf. p. 324,20 6 συλλογισμῶν t 7 post ἐδόκει add. γὰρ Y συλλογισμὸν t 8 δὲ BYt: γὰρ L 9 παραλείπεται Bt 10 ἀληθοῦς ὄντος L: ἀληθεύοντος B: ἀληθῶς ὄντος Yt 11 post εἶπον add. οἴεσθαι Y 12 οἷον om. L οἰόμεθα Y et ante ras. L: om. Bt 14 ἐπὶ πλέον Y δὴ (post λέγω) L 15 ἀριστοτέλης διανοτός pr. B 17 ἐν ἄλλω ἄλλοτε Y καὶ alt. om. Y 22 ψευδὲς BLt: δὲ Y 24 post ἐστιν add. ὁ L ἀριστομένης prius om. B διανοτὸς L 29 σημαίνω LYt 31 καθέκαστον B 32 οὐ—33 ἄνθρωπος om. LY 33 post ἄνθρωπος addiderim εἶδός ἐστιν

τὸ γὰρ 'πᾶν' τὰ καθ' ἕκαστα σημαίνει τὰ τοῦ λευκοῦ μετέχοντα· οὐκ ἔστι LXXXv
δὲ ἀληθὲς εἰπεῖν περὶ τούτων ὅτι χρῶμά εἰσιν. ὅταν δὲ τὸ λευκὸν εἴπω, 10
ἐπειδὴ τὸ εἶδος τοῦ λευκοῦ λαμβάνω, ἀληθὲς εἰπεῖν ὅτι χρῶμά ἐστιν.
ὥστε ἐπειδὴ ἡ καθόλου πρότασις ψευδής, καὶ τὸ συμπέρασμα ψευδές.
5 ὥσπερ οὖν ἐπὶ τούτων ἔχει, οὕτως καὶ ἐπὶ τοῦ προκειμένου· ὅταν μὲν γὰρ
εἴπω 'ὁ διανοητὸς Ἀριστομένης', αὐτὸ τὸ διανοητὸν εἶδος τοῦ Ἀριστο-
μένους δηλῶ· ἐὰν δὲ εἴπω 'πᾶς διανοητὸς Ἀριστομένης', οὐδὲν ἕτερον λέγω
ἢ 'πάντες οἱ καθ' ἕκαστα Ἀριστομένεις οἷς συμβέβηκε τὸ διανοητοῖς εἶναι'.
διὸ οὐκ ἀληθὲς ἐπὶ τούτων εἰπεῖν ὅτι ἀεί εἰσιν· ἔνθεν οὖν καὶ ψευδὲς τὸ
10 συμπέρασμα. ὥστε ὁσάκις ἂν οὕτω κειμένους εὕρωμεν λόγους, οὐδὲ ἀνα- 15
γαγεῖν πειρασόμεθα, ἀλλ' ἐλέγξομεν αὐτῶν τὸ ἀσυλλόγιστον ὡς μὴ ἐχόντων
καθολικὴν πρότασιν, ἧς ἄνευ συλλογισμὸς οὐκ ἐγίνετο. τὰ δὲ τῆς λέξεως δῆλα.

p. 47b29 Πάλιν ἔστω τὸ μὲν ἐφ' ᾧ Γ Μίκκαλος, τὸ δ' ἐφ' ᾧ Β μουσικὸς Μίκκαλος, ἐφ' ᾧ δὲ τὸ Α τὸ φθείρεσθαι αὔριον.

15 Ἄλλο ὑπόδειγμα τοῦ αὐτοῦ τίθησιν. ἐν ὑποθέσει δὲ ὁ λόγος· ὑπό-
κειται γὰρ ὁ μὲν Μίκκαλος μουσικὸς ὢν αὔριον μὲν ἀποβάλλειν τὴν μουσι-
κὴν μὴ φθείρεσθαι δὲ αὐτός. τούτων ὑποκειμένων γίνεται συλλογισμὸς 25
τοιοῦτος· ὁ Μίκκαλος μουσικός ἐστι Μίκκαλος, ὁ μουσικὸς Μίκκαλος φθείρεται
αὔριον, καὶ δόξει συνάγεσθαι 'ὁ ἄρα Μίκκαλος φθείρεται αὔριον', ὅπερ ἐστὶ
20 ψεῦδος· ὑπόκειται γὰρ μὴ φθείρεσθαι. τὸ αὐτὸ οὖν πάλιν αἴτιον ⟨τοῦ⟩ καίτοι
τῶν προτάσεων ἀληθῶν οὐσῶν ψευδὲς συναχθῆναι συμπέρασμα, τὸ τὴν
καθόλου μήτε ληφθῆναι μήτε ἀληθεύειν, λέγω δὴ τὴν λέγουσαν 'πᾶς
μουσικὸς Μίκκαλος φθείρεται αὔριον'. ψεῦδος γὰρ τοῦτο ὑποκειμένου τοῦ
μὴ φθείρεσθαι τὸν Μίκκαλον αὔριον· τὸ γὰρ '⟨ὁ⟩ μουσικὸς Μίκκαλος φθείρεται 30
25 αὔριον' ἐπ' αὐτὸ τὸ εἶδος τοῦ μουσικοῦ Μικκάλου φερόμενον ὡς μουσικοῦ
ἀληθεύει· τὸ δὲ 'πᾶς μουσικὸς Μίκκαλος' πάντα φησὶ τὸν καθ' ἕκαστα ᾧ
συμβέβηκε μουσικῷ εἶναι. ψεῦδος οὖν τὸ τοῦτον φθείρεσθαι αὔριον.
ὅμοιον γάρ ἐστι τῷ 'ἡ ἔβενος μέλαινα, τὸ μέλαν χρῶμά ἐστιν, ἡ ἔβενος
ἄρα χρῶμά ἐστι'· ψευδὴς γὰρ ἡ καθόλου 'πᾶν μέλαν χρῶμά ἐστιν'· οὐδὲ
30 γὰρ ἀληθὲς τὸ πάντα οἷς συμβέβηκε μέλασιν εἶναι, ταῦτα χρώματα εἶναι.

---

1 καθέκαστον B 2 ἐστιν LY 6 αὐτὸ — 7 ἀριστομένης in mrg. B¹: om. L, sed ad προκειμένου notavit ὅταν γὰρ εἴπω ὁ διανοητὸς ἀριστομένης αὐ(τὸ) τὸ δια..... εἶδος τοῦ ἀριστομένους δηλῶ in mrg. L¹ διανοητὸν scripsi: διανοητικὸν BYt 8 ἕκαστον B διανοητοῖς scripsi: διανοητὸν pr. B: διανοητικὸν corr. B, Yt: διανοητικοῖς L 10 εὕρωμεν οὕτω κειμένους Y οὐδὲ L: οὐδένα BYt 11 πειρασόμεθα — 12 ἧς resecta in L ἐλέγχομεν Y: ἐλέγξωμεν t 13 μίκαλος semper t 14 τὸ alt. om. L φθείρεται B 16 ἀποβαλεῖν Bt 19. 20 ψεῦδος ἐστὶν B 20 τοῦ addidi 21 συναχθῆναι scripsi: συναναχθῆναι B: ἀναχθῆναι LYt 22 post μήτε alt. add. δὲ L 24 ὁ addidi cf. vs. 18 p. 325,26. 27 φθείρεσθαι (post μίκ.) Y 25 μικάλλου L 26. 27 οἷς (?) — μουσικοῖς Y 28 τῷ om. Y 30 πᾶν τὰ (sic) LY: πᾶσιν Bt ante οἷς add. ἐν Y μέλασιν] μέλαν ἂν Y

p. 47b38 Αὕτη μὲν οὖν ἡ ἀπάτη γίνεται ἐν τῷ παρὰ μικρόν. LXXXV

Ἡ ἐν τοῖς εἰρημένοις λόγοις ἀπάτη, δι' ἧς οἰόμεθα συλλογισμὸν εἶναι μὴ ὄντα, γέγονε διὰ τὸ δοκεῖν, εἰ ὀλίγον τι παροραθῇ, μηδὲν τοῦτο παραβλάψειν· δόξει γὰρ μηδὲν διαφέρειν ἀπροσδιορίστῳ προτάσει ἀντὶ καθολικῆς χρήσασθαι, λέγω δὴ ἀντὶ τοῦ εἰπεῖν 'πᾶς ἄνθρωπος ζῷον' ὅτι ὁ ἄνθρωπος ζῷον. τοῦτο δὲ οὐκ ἔστι τὸ τυχὸν οὐδὲ μικρόν τι τὸ παρεωραμένον· πολλὴ γὰρ ἡ διαφορὰ τούτων, ὡς ἐδείξαμεν.

p. 47b40 Πολλάκις δὲ διαψεύδεσθαι συμπεσεῖται παρὰ τὸ μὴ καλῶς ἐκτίθεσθαι τοὺς κατὰ τὴν πρότασιν ὅρους.

Ἐπ' ἄλλο μεταβαίνει ἁμάρτημα· πολλάκις γὰρ καὶ συλλογιστικῶς ἔκκεινται οἱ ὅροι κατὰ τὴν θέσιν καὶ ἀληθεῖς εἰσιν αἱ προτάσεις καὶ μείζων πρότασις πρώτη ἢ δευτέρα παρείληπται, παρὰ δὲ τὴν λέξιν ἡ ἁμαρτία γίνεται. πολλάκις γάρ, φησί, τὰς ἕξεις ἀντὶ τῶν μετειληφότων παραλαμβάνομεν, καὶ ἐντεῦθεν ψεῦδος γίνεται. οἷον ὑγίεια νόσῳ οὐδεμιᾷ ὑπάρχει ἐξ ἀνάγκης, νόσος παντὶ ἀνθρώπῳ ἐνδεχομένως, καὶ συνάγεται κατὰ τὸν Ἀριστοτέλην ὑγίεια οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, ὅπερ ἐστὶ ψεῦδος· ἐνδέχεται γὰρ παντὶ ὑπάρχειν, καὶ ἐνδεχομένως οὐχ ὑπάρχει. τοῦτο δὲ γέγονε παρὰ τὴν λέξιν· ἐπεί, φησίν, ἐὰν ἀντὶ τῶν ἕξεων τὰ μετέχοντα τῶν ἕξεων λάβωμεν, ψευδὴς ἡ μείζων γίνεται πρότασις, ⟨οἷον⟩ ἐὰν οὕτως εἴπω· τὸ ὑγιαῖνον οὐδενὶ νοσοῦντι ἐνδέχεται ὑπάρχειν, τουτέστιν ἐξ ἀνάγκης LXXXVI οὐχ ὑπάρχει (τοῦτο δέ ἐστι ψεῦδος), τὸ νοσοῦν παντὶ ἀνθρώπῳ ὑπάρχει· ὥστε ψευδοῦς οὔσης τῆς μείζονος ψευδὲς εἰκότως καὶ τὸ συμπέρασμα· συνάγεται γὰρ τὸ ὑγιαῖνον οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. τὸ αὐτό, φησί, καὶ ἐπὶ τοῦ δευτέρου σχήματος. λέγω γὰρ οὕτως· ὑγίεια οὐδεμιᾷ νόσῳ ἐξ ἀνάγκης, παντὶ δὲ ἀνθρώπῳ ἐνδεχομένως, καὶ συνάγεται νόσος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, ὅπερ ἐστὶ ψεῦδος· ἐνδέχεται γὰρ ὑπάρχειν παντί. πάλιν δὲ εἰ ἀντὶ τῶν ἕξεων μεταλάβοις τὰ μετειληφότα, ψευδοῦς οὔσης τῆς ἀποφατικῆς ψευδὲς εἰκότως καὶ τὸ συμπέρασμα· τὸ γὰρ ὑγιαῖνον οὐκ ἀληθὲς εἰπεῖν [ἢ] οὐδενὶ νοσοῦντι ἐξ ἀνάγκης· ἐνδέχεται ⟨γὰρ⟩ ὑπάρχειν [ἢ] παντί. ὥστε τὸ ψευδὲς συμπέρασμα διὰ ταύτης συνέβη. ἡ δὲ ἀπάτη γίνεται τοῦ εἶναι συλλογισμὸν διὰ τὸ τὰς ἕξεις ἐν τοῖς ὅροις θεῖναι ἀντὶ τῶν μετειληφότων.

1 ἐν τῷ] τὸ L 2. 3 συλλογισμοὺς—ὄντας Bt 3 παρωράθη L: παροραθῆναι Y 3. 4 παραβλάψει B: παραβλάπτειν t 4 δόξη t 5 ὅτι om. Y ὁ om. B 7 post γὰρ add. ἐστιν Y ἐδείξαμεν] p. 325,26 sq. 9 ἐκτίθεσθαι κτλ. om. Y κατὰ] παρὰ L 12 πρώτη ἢ δευτέρα scripsi: μία ἢ δύο libri 14 οἷον ἡ ὑγεία Y οὐδεμιᾷ (οὐδεμία t) νόσῳ Bt 15 ante νόσος add. ἡ Y 16 ὑγεία BY 17 post παντὶ add. ἀνθρώπῳ B οὐχ ὑπάρχειν BY 18 περὶ t ἐπειδή Y 19 οἷον addidi 20 ὑπάρχειν ἐνδέχεται Y 21 νοσεῖν Y ὑπάρχειν (post ἀνθρ.) t 24 ὑγεία Y 27 δὲ om. LY 28 καταφατικῆς LY 29 ἢ utrumque delevi γὰρ addidi

ἐν μὲν οὖν τῷ πρώτῳ καὶ τῷ δευτέρῳ σχήματι τῶν ἕξεων ἐν τοῖς ὅροις LXXXIr
κειμένων κατὰ Ἀριστοτέλην συνήγετο τὸ ψεῦδος· αὐτῷ γὰρ δοκεῖ τῇ 10
μείζονι ἀναγκαίᾳ οὔσῃ ἕπεσθαι τὸ συμπέρασμα, τῶν περὶ Θεόφραστον οὐχ
οὕτως οἰομένων ἀλλὰ τῇ ἐνδεχομένῃ, ὡς εἴρηται. ἐν μέντοι τῷ τρίτῳ
5 σχήματι κατὰ τὰ πᾶσι δοκοῦντα παρὰ τὴν εἰρημένην αἰτίαν τὸ ψεῦδος συν-
άγεται, λέγω δὴ τὸ τὰς ἕξεις εἶναι ἐν τοῖς ὅροις. πᾶσι γὰρ δοκεῖ καὶ
ἔστιν ἀναγκαῖον τῶν δύο προτάσεων ἐνδεχομένων οὐσῶν ἐνδεχόμενον εἶναι
καὶ τὸ συμπέρασμα καὶ ἀναγκαίων ἀναγκαῖον καὶ ὑπαρχουσῶν ὑπάρχον 15
εἶναι καὶ τὸ συμπέρασμα· ἀνάγκη γὰρ πάντῃ τε καὶ πάντως μιᾷ τῶν προ-
10 τάσεων ἀκολουθεῖν· οὐ γὰρ ἔξωθεν δεῖ αὐτὸ εἶναι καὶ ἕτερον παντελῶς
τῶν προτάσεων μηδεμίαν πρὸς αὐτὰς κοινωνίαν ἔχον. τούτου οὖν ὄντος
ἀληθοῦς ὅρα, πῶς ἐν τῷ τρίτῳ σχήματι τῶν μὲν ἕξεων ἐν τοῖς ὅροις κει-
μένων καὶ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων οὐσῶν συμπέρασμα
οὐκ ἐνδεχόμενον ἀλλ' ἀναγκαῖον συνάγεται, εἰ μέντοι ἀντὶ τῶν ἕξεων μετα-
15 ληφθῇ τὰ μετέχοντα, καὶ τὸ συμπέρασμα γίνεται ἐνδεχόμενον, ὡς δῆλον 20
εἶναι τῆς ἀπάτης τὸ αἴτιον ὅτι παρὰ τὴν λέξιν γέγονε, λέγω δὴ τὸ τὰς
ἕξεις ἀντὶ τῶν μετεχόντων ἐν τοῖς ὅροις κεῖσθαι. λέγω γὰρ οὕτως· ὑγίειαν
παντὶ ἀνθρώπῳ ἐνδέχεται μὴ ὑπάρχειν, νόσον παντὶ ἀνθρώπῳ ἐνδέχεται
ὑπάρχειν, καὶ ὅσον ἐπὶ ταῖς προτάσεσι συνάγεται ὅτι ὑγίειαν οὐδεμιᾷ νόσῳ
20 ἐνδέχεται ὑπάρχειν. τοῦτο δέ ἐστι ψεῦδος· ἐξ ἀνάγκης γὰρ οὐχ ὑπάρχει.
τὰ μὲν οὖν ἐν τούτοις λεγόμενα ταῦτά ἐστιν.

Ἀπορήσειε δ' ἄν τις μήποτε καὶ τῶν κατὰ τὰς ἕξεις μετειλημμένων καὶ
οὕτω γίνεταί τις ἀπάτη· ὅταν γὰρ εἴπω 'τὸ ὑγιαῖνον οὐδενὶ νοσοῦντι ὑπάρχει 25
ἐνδεχομένως', πῶς λαμβάνω τὸ νοσοῦν; εἰ γὰρ τὸ συγκείμενον ἐκ τοῦ νοσοῦν-
25 τος καὶ τῆς νόσου, οὐκ ἀληθὴς ὁ λόγος· οὐδέποτε γὰρ τῷ νοσοῦντι ὡς νοσοῦντι
ὑπάρξει τὸ ὑγιαῖνον· ἀσυνύπαρκτα γὰρ τὰ ἐναντία. οὐκ ἄρα ὡς νοσοῦντι ἀλλ'
ὡς ζῴῳ ἢ ὅ τι ἂν εἴη τὸ δεκτικὸν νόσου καὶ ὑγιείας. πάλιν ὅταν εἴπω 'τὸ
νοσοῦν παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν', πότερον ᾗ σύνθετόν ἐστι τὸ νοσοῦν
λέγω αὐτὸ ὑπάρχειν τῷ ἀνθρώπῳ ἢ καθὸ ἁπλοῦν, λέγω δὴ ᾗ νοσεῖ; πρό- 30
30 δηλον ὅτι ᾗ νοσεῖ· τὸ γὰρ νοσοῦν τῶν καθ' ἕκαστά ἐστιν, οὐδὲν δὲ τῶν
καθ' ἕκαστα ὑπάρχειν τινὶ δύναται. δῆλον δὲ ἔσται, εἰ καθ' ἕκαστα
ληφθῶσιν. οἷον ὁ Μίκκαλος διανοητός ἐστι Μίκκαλος· δῆλον γὰρ ὅτι τὸν
διανοητὸν Μίκκαλον, ᾗ διανοητός ἐστι, κατηγορῶ τοῦ ὑποκειμένου, οὐχ ᾗ
διανοητός ἐστι Μίκκαλος· αὐτὸς γὰρ ἑαυτοῦ κατηγοροῖτο ἄν. ὁμοίως ἐὰν

1 τῷ alt. om. Y 2 αὐτὸ t 3 post τῶν add. δὲ Y 4 εἴρηται] p. 123,12 sq.
5 διὰ τὴν Y 6 τὸ LY: τῷ Bt 9 καὶ τὸ συμπέρασμα om. Y ἀνάγκη—
12 ἀληθοῦς resecta in L 10 ἀκολουθεῖν Y: ἀκολουθῆσαι B: ἀκολουθήσει t
11 ταύτας B 12 τῷ om. LY 16 περὶ LYt ἕξιν B τῷ (ante
τὰς) Bt 17 ὑγείαν Y 18 μὴ om. B 19 καὶ ὅσον—20 ὑπάρχειν om. L
ὑγίειαν t: ὑγείαν B: ὑγεία Y 22 ἀπορήσει L 26 ἀσυνάπαρκτα Yt
post νοσοῦντι add. ὑπάρξει Bt 27 ὅταν Y ὑγείας Y 29 ὑπάρχει Y
καθὸ e καθόλου corr. B 30 τῶν prius] τὸν L ante ἐστιν add. τί Bt
δὲ BLt: γὰρ Y

εἴπω 'ὁ Σωκράτης νοσῶν ἐστι Σωκράτης', οὐχ ᾗ νοσῶν ἐστι Σωκράτης LXXXI r
ὁ κατηγορούμενος ὅρος ὅλος ὡς ὅλος κατηγορεῖται Σωκράτους, ἀλλ' ᾗ νοσεῖ·
ταὐτὸν γάρ ἐστι τῷ εἰπεῖν 'ὁ Σωκράτης νοσεῖ' ἢ 'νοσῶν ἐστιν'. εἰ τοίνυν
τοῦτο οὕτως ἔχει, δῆλον ὅτι ὁ μέσος κατ' ἄλλο μὲν ἑαυτοῦ μόριον ὑπό-
κειται τῷ μείζονι, κατ' ἄλλο δὲ κατηγορεῖται τοῦ ἐλάττονος. ὅταν γὰρ
εἴπω 'τὸ ὑγιαῖνον οὐδενὶ νοσοῦντι ἐνδέχεται ὑπάρχειν', οὐχ ᾗ νοσεῖ τοῦτό
φημι (οὕτω γὰρ ἂν ἐξ ἀνάγκης οὐχ ὑπῆρχεν· οὐδέποτε γὰρ τὸ νοσοῦν ᾗ
νοσεῖ ὑγιαίνει), ἀλλ' ᾗ ἄνθρωπός ἐστι τὸ νοσοῦν ἢ ἄλλο τι ζῷον· ὅταν δὲ
λέγω πάλιν 'τὸ νοσοῦν παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν', δῆλον ὅτι ᾗ
νοσεῖ, οὐχ ᾗ ἕτερόν τί ἐστι τῇ νόσῳ ὑποκείμενον. ὥστε ὁ μέσος οὐχ ὁ
αὐτὸς εἴληπται. εἰ δὲ μὴ μόνον ὁ μέσος εἰς τὸ σύνθετον λαμβάνοιτο ἀλλὰ
καὶ ὁ μείζων, ἔτι πλεῖον ἐπιτείνεται ἡ ἀπορία. ἔοικεν οὖν, κἂν ἐκ τῶν
ἕξεων τὰ μετέχοντα μεταληφθῇ, καὶ τοῦτο ἀπάτης αἴτιον γίνεσθαι, εἴγε
ἄλλους ἐξ ἄλλων ὅρους μεταλαμβάνειν ἀνάγκη καὶ μὴ ὁ αὐτὸς φυλάττεται
μέσος, ὥστε οὐδὲ συμπλοκὴ γίνεται.

Πρὸς ταῦτα ἀπολογούμενος ὁ φιλόσοφος ἔλεγεν, ὡς δεδειγμένον εἴη
ἐν τῷ Περὶ ἑρμηνείας, ὡς ὅτι αἱ μετοχαὶ ἰσοδυναμοῦσι τοῖς ῥήμασι· τὸ
γὰρ εἰπεῖν 'Σωκράτης περιπατεῖ' ἴσον ἐστὶ τῷ εἰπεῖν 'Σωκράτης περιπατῶν
ἐστι', καὶ ἐπὶ πάντων τὸ αὐτό. εἰ οὖν τοῦτο οὕτως ἔχει, δῆλον ὅτι, κἂν
λαμβάνω ἐν τῷ μέσῳ τὸ νοσοῦν μετοχὴν ὄν, ἰσοδυναμήσει τοῦτο τῷ νοσεῖν
ῥήματι. ὥστε ἐὰν ἀντιμεταληφθῇ ἀντὶ μετοχῆς τὸ ῥῆμα, οὐδὲν ἀδύνατον
συμβαίνει διὰ τὸ ἰσοδυναμεῖν ταῦτα ἀλλήλοις, ὡς εἴρηται. ὅταν οὖν εἴπω
'τὸ ὑγιαῖνον οὐδενὶ νοσοῦντι', ἐὰν ἀντιμεταλάβω τὸ νοσοῦν εἰς τὸ νοσεῖν
καὶ εἴπω 'τὸ νοσεῖν παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν', οὐχ ἕτερον ἀνθ'
ἑτέρου ἔλαβον, εἴγε ἰσοδυναμεῖ ἡ μετοχὴ τῷ ῥήματι. πρὸς δὲ τοῦτο ἐκεῖνο
ἔστιν εἰπεῖν, ὅτι οὐ παντὶ ῥήματι ἰσοδυναμεῖ ἡ μετοχὴ ἀλλὰ μόνοις τοῖς
ὁριστικοῖς, ἐξ ὧν καὶ τὴν γένεσιν ἔχει, ἥκιστα δὲ τοῖς ἀπαρεμφάτοις, εἴγε
τὰ μὲν ἄλλα ῥήματα σημαντικά ἐστιν ἐνεργείας ἢ πάθους μετὰ τοῦ ἐνερ-
γοῦντος ἢ πάσχοντος, ὡς τὸ γράφω, τὸ περιπατῶ, τὰ αὐτὰ δὲ ταῦτα καὶ
αἱ μετοχαὶ σημαίνουσι, τὰ μέντοι ἀπαρέμφατα μόνης ἐστὶ τῆς ἐνεργείας ἢ
τοῦ πάθους σημαντικά, οὐ μὴν τοῦ μετειληφότος τούτων. | ὥστε οὐδὲ LXXXI v
ἰσοδυναμοῦσι ταῖς μετοχαῖς· οὐ γὰρ ταὐτὸν δύναται τὸ τύπτειν τῷ 'τύπτων
ἐστίν'. ὥστε οὐ δυνατὸν ἀντὶ τῶν μετοχῶν παραλαμβάνειν τὰ ἀπαρέμφατα,
εἰ μὴ ἄρα ὅτε δυνατὸν αὐτοῖς τὸ 'δεῖ' ῥῆμα συνάπτειν, οἷον Σωκράτην περι-

1 οὐχ—σωκράτης om. B νοσῶν ἐστι σωκράτης (post ᾗ) bis L 2 ὅλως ὡς ὅλως L 3 τὸ LY 4 αὐτοῦ Lt 5 τῇ μείζονι L 6 ὑγιαίνειν L 9 πάλιν λέγω Y 10 post νόσῳ add. τὸ Y 12 πλείων ἀποτείνεται Yt καὶ ἐκ L 13 εἴτε B 14 ὅρους om. B 16 ὁ om. L 17 ἐν τῷ Περὶ ἑρμ.] c. 12 p. 21b9 18 περιπατεῖ—σωκράτης om. L 20 λάβω Y μετοχὴ L τούτω e τοῦτο corr. L¹ 21 ἐὰν ἀντιμεταληφθῇ scripsi cf. vs. 23: ἐὰν μεταληφθῇ Y: εἰ ἀντιμεταληφθῇ BLt 23 ὑγιαῖνον t: ὑγιαῖον B: ὑγιαίνειν LY εἰ Y 24 ἐνδέχεται ὑπάρχειν B: ὑπάρχει LYt 27 γένεσιν t: γέννησιν B: γενικὴν LY ἡνίκα Y 29 τὸ alt. om. Bt 31 τοῦ prius om. Y 33 οὐδὲ Y ἀπαρέμφατα in mrg. Y²: ἀμφότερα del. Y¹ 34 αὐτοὺς Y σωκράτην Y: σωκράτης Lt: compend. B

πατεῖν δεῖ, Σωκράτην περιπατοῦντα δεῖ εἶναι· οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ LXXXIv
λεγόμενον ἢ 'Σωκράτει λείπει τὸ περιπατεῖν' καὶ 'Σωκράτει λείπει τὸ εἶναι
αὐτὸν περιπατοῦντα'· ἐπὶ οὐδεμιᾶς δὲ ἄλλης συντάξεως διὰ τὴν εἰρημένην 5
αἰτίαν. ἔλεγε δὲ εἰς τὸ προκείμενον κἀκεῖνο, ὅτι ὅταν εἴπω ὅτι τὸ ὑγιαίνειν
5 τῷ νοσοῦντι ὑπάρξαι ἐνδέχεται ἢ ἐνδεχομένως οὐχ ὑπάρχει, οὐχ ᾗ ἄνθρωπός
ἐστι τὸ νοσοῦν ἢ ὁτιοῦν ἄλλο, ταύτῃ φημὶ αὐτῷ ἐνδέχεσθαι τὴν ὑγίειαν
ὑπάρξαι ἢ μὴ ὑπάρξαι, ἀλλ' ᾗ νοσεῖ· καθὸ γὰρ νοσεῖ, ταύτῃ ἐνδέχεται
αὐτῷ ὑγιαίνειν καὶ ταύτῃ ἐνδεχομένως οὐχ ὑπάρχει αὐτῷ ἡ ὑγίεια. εἰ
γὰρ μὴ ᾗ νοσεῖ ἀλλ' ᾗ ἄνθρωπος τυχόν ἐστιν ἢ ἄλλο ὁτιοῦν τῶν τῆς
10 νόσου δεκτικῶν, οὐκέτι ἂν ἀληθὲς ἦν τὸ λέγειν ἐνδέχεσθαι αὐτὸ ὑγιασθῆναι 10
ἢ μὴ ὑγιασθῆναι, ἀλλ' ὑπαρχόντως ὑγιαῖνον ἦν, καὶ τότε ἂν τὸ ἐναντίον,
τὴν νόσον, ἐνδέχεσθαι αὐτῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν ἐλέγομεν. ᾧ γὰρ
ἑκάτερον τῶν ἀντικειμένων ἐνδέχεται ὑπάρχειν ἢ μὴ ὑπάρχειν, εἰ θάτερον
κατ' ἐνέργειαν ὑπάρχοι, ᾗ τοῦτο ὑπάρχει, ταύτῃ καὶ τὸ λοιπὸν ἐνδέχεται
15 ὑπάρχειν ἢ μὴ ὑπάρχειν, ἐφ' ὧν ἄμεσος ἡ ἐναντιότης. ἐν δὲ τοῖς ἐμμέσοις
τῶν ἐναντίων, εἰ ἐν τῷ μεταξὺ εἴη πρὸς ἑκάτερον τῶν ἄκρων, ὁμοίως ἔχει
καὶ τοῦτο πάλιν, ᾗ τοῦ μεταξὺ μετέχει· οἷον τῷ φαιῷ ἐνδέχεται τὸ λευκὸν 15
ὑπάρχειν, ἐνδέχεται δὲ καὶ τὸ μέλαν, καὶ δῆλον ὅτι οὐχ ᾗ ἱμάτιόν ἐστι
τὸ φαιόν· εἰ γὰρ ᾗ ἱμάτιόν ἐστι, ταύτῃ καὶ ὑπάρχειν ἤδη τὸ λευκὸν ἢ τὸ
20 μέλαν ἐδύνατο, οὐ μὴν ἐνδέχεσθαι ὑπάρχειν. ᾗ μέντοι τοῦ φαιοῦ μετέχει,
ἐπεὶ τῶν ἄκρων οὐ μετέχει μὲν δύναται δὲ μετέχειν, ταύτῃ λέγεται ἐνδέ-
χεσθαι αὐτῷ ὑπάρξαι τὸ λευκὸν ἢ τὸ μέλαν ἢ μὴ ἐνδέχεσθαι. εἰ γὰρ μὴ
καθὸ τοῦ φαιοῦ μετέχει, ὑποκείσθω μὴ ὂν φαιόν, καὶ οὐκέτι ἀληθὲς εἰπεῖν
ἐνδέχεσθαι αὐτὸ λευκὸν εἶναι ἢ μέλαν· ἀνάγκη γὰρ πάντως τὸ πεφυκὸς 20
25 τῶν ἐναντίων μετέχειν ⟨μετέχειν⟩ θατέρου κατ' ἐνέργειαν ἢ τῶν μεταξύ τινος,
εἰ ἔμμεσα εἴη, ὥστε ὑπαρχόντως ἢ μέλαν ἦν ἢ λευκόν. ὥστε καὶ ὅταν λέγῃ
ὁ Ἀριστοτέλης τὸ ὑγιαίνειν τῷ νοσοῦντι ὑπάρχειν, οὐχ ᾗ ἄνθρωπός ἐστι
τὸ νοσοῦν, ἀλλ' ᾗ νοσοῦν ἦν, ἐνδέχεσθαι αὐτῷ φαμεν ὑπάρξαι τὸ ὑγιαίνειν
ἢ ἐνδεχομένως μὴ ὑπάρχειν. ὥστε ἐπεὶ τὸ νοσοῦν ᾗ νοσεῖ εἴληπται, ἐὰν
30 ἀντὶ τοῦ νοσοῦντος μεταλάβω τὸ νοσεῖν, οὐχ ἕτερόν τι λαμβάνω· κατὰ γὰρ
τὸ νοσεῖν ὑπέκειτο τῷ μείζονι. κατ' αὐτὸ οὖν τοῦτο καὶ τοῦ ἐλάττονος
κατηγορηθήσεται. ὥστε εἰ καὶ σύνθετον τὸν ὑποκείμενον ἐν τῇ μείζονι 25
ἔλαβον, ἐπειδὴ κατὰ τὸ ἁπλοῦν τὸ νοσοῦν ἐχαρακτηρίζετο καὶ ταύτῃ αὐτοῦ

1 σωκράτην Y: σωκράτη Lt: compend. B οὐδὲ Y 4 δὲ] δεῖ L ὅτι BLt: ὡς Y
6 αὐτὸ Y ὑγείαν LY 8 ὑγεία Y 9. 10 τὸ—δεκτικὸν BLt 12 αὐτῷ
ἐνδέχεσθαι B ᾧ γὰρ scripsi: ὦ γε BLt: ὥστε Y 13 εἰ θάτερον—15 μὴ ὑπάρχειν
bis L 14 ὑπάρχοι, ᾗ τοῦτο om. Y ἢ BLt post ὑπάρχει add. τούτῳ Y
17 ἢ L: εἰ Bt 18 δὲ om. Y 20 ἠδύνατο Y ἐνδέχεται Y 21 μὲν om. Y
24 αὐτῷ L πάντα t 25 μετέχειν alt. addidi 26 λέγει t 27 ὑγιαῖνον
pr. Y ὑπάρχει Y 28 νοσοῦν ἦν Bt: νοσεῖν LY 29 ἐνδεχομένως scripsi cf.
vs. 5: ἐνδεχόμενον BLYt ὑπάρχει LY, post quod delevit ὥστε ἐπεὶ τὸ νοσοῦν ἀλλ'
ᾗ νοσοῦν (νοσεῖν corr. L¹) ἐνδέχεσθαι αὐτῷ φαμὲν ὑπάρξαι τὸ ὑγιαίνειν ἢ ἐνδεχόμενον μὴ
ὑπάρχει L ἐπὶ B 31 νοσοῦν Y τῇ LY 32 καὶ εἰ Y τὸ Y
32. 33 ὑποκείμενον ἔλαβον ἐν τῷ μείζονι Y 33 νοσοῦν pr. Y: νοσεῖν BLt, corr. Y

ὁ μείζων κατηγορεῖτο, εὔλογον κατὰ τοῦτο αὐτὸν τοῦ ἐλάττονος κατηγο- LXXXI
ρεῖσθαι. ὥστε κἄντε οὕτως εἴπω ὅτι τὸ νοσοῦν παντὶ ἀνθρώπῳ ὑπάρχει,
οὐ κατὰ τὸ σύνθετον κατηγορῶ αὐτὸν τοῦ ἐλάττονος ἀλλὰ κατὰ τὸ νοσεῖν.
καθ' ὃ καὶ ὑπέκειτο τῷ μείζονι, κἄντε αὐτὸ τὸ ἁπλοῦν μεταλάβω, οὐχ ἕτερόν
5 τινα λαμβάνω ὅρον ἀλλὰ τὸν αὐτόν. μήποτε δὲ οὐκ ἀληθές ἐστι τὸ λέγειν 30
ὅτι, ὅταν εἴπω τὸ ὑγιαίνειν ἐνδέχεσθαι τῷ νοσοῦντι ὑπάρξαι ἢ μὴ ὑπάρξαι,
καθὸ νοσεῖ κατηγορῶ αὐτοῦ τὸ ὑγιαίνειν· ὥσπερ γὰρ δέδεικται, οὐχ ᾗ ἄνθρω-
πος ἁπλῶς ἐστι κατηγορεῖτο, ἀλλ' οὐδὲ ᾗ νοσεῖ ἁπλῶς, οὐδὲ τοῦ συνθέτου
κατὰ τὸ νοσεῖν, ἀλλὰ τοῦ συνθέτου ὡς συνθέτου. τὸ γὰρ νοσοῦν ᾗ νοσοῦν
10 ἐστι τὸ ὅλον τοῦτο πέφυκέ ποτε ὑγιαίνειν· οὐδὲν γὰρ ἄλλο ἐστὶ τοῦτο ἢ
ὅτι ἐνδέχεται μετὰ τὸ τὴν νόσον ἀποβαλεῖν ὑγίειαν δέξασθαι. εἰ γὰρ μὴ
κατὰ ἄμφω, δῆλον ὅτι κατὰ τὸ ἁπλοῦν· ἀλλὰ ἀδύνατον τὸ νοσεῖν ὑγίειαν 35
δέξασθαι. ὥστε εἰ τοῦ συνθέτου ὡς συνθέτου κατηγορεῖται, αὐτὸν δεῖ κατὰ
τοῦτο καὶ τοῦ ἐλάττονος ὅρου κατηγορεῖσθαι· τοῦτο δὲ ἀδύνατον. ταῦτα μὲν
15 οὖν ἐπὶ τοσοῦτον. ἐπισκεψόμεθα δὲ περὶ τούτου καὶ αὖθις.

p. 48ᵃ13 Τούτου δὲ μὴ ληφθέντος οὐ γίνεται συλλογισμός, εἰ μὴ τοῦ ἐνδέχεσθαι.

Ἀμφοτέρων γὰρ τῶν προτάσεων ἐνδεχομένων οὐσῶν ἐνδεχόμενον 40
γίνεται τὸ συμπέρασμα καὶ ἀληθὲς καὶ οὐκ ἀναγκαῖον καὶ ψευδὲς ὥσπερ
20 πρότερον.

p. 48ᵃ18 Ἐν δὲ τῷ τρίτῳ σχήματι κατὰ τὸ ἐνδέχεσθαι συμβαίνει τὸ ψεῦδος.

Ἐὰν τὰς ἕξεις λαβὼν συμπλέξω ἐν τρίτῳ σχήματι τὸν συλλογισμόν, 45
συνάγεται ψευδὲς συμπέρασμα, οὐ † καθόλου αὐτὸ ἀλλὰ κατὰ τὸ ἐνδεχόμενον·
25 οἷον ὑγίειαν ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ὑπάρχειν, νόσος παντὶ ἀνθρώπῳ
ἐνδέχεται ὑπάρχειν, καὶ ὅσον ἐπὶ ταῖς προτάσεσιν ὑγίειαν ἐνδέχεται μηδε-
μιᾷ νόσῳ ὑπάρχειν· ἀλλ' οὐκ ἐνδέχεται, ἀλλ' ἀνάγκη μὴ ὑπάρχειν. κατὰ
τὸ ἐνδεχόμενον οὖν τὸ ψεῦδος.

1 κατὰ om. Y 3 νοσοῦν pr. Y 4 καὶ om. Y 6 ὑγιαῖνον corr. Y²
8 ἀλλ' scripsi: ἀλλ' ὅτι Y: δηλονότι BLt 9 κατὰ τὸ νοσεῖν] κατηγορήσειν Y
ὡς σύνθετον post quod delevit ἀλλὰ τοῦ συνθέτου ὡς σύνθετον L 10 οὐδὲν B-L:
οὐδὲ B¹Yt 11 ὑγείαν LY ante δέξασθαι del. δὲ L μὴ om. Y
12 ante ἄμφω add. τὰ Y post ὅτι add. καὶ Y δυνατὸν LY νοσοῦν
pr. Y ὑγείαν Y 13 εἰ] ἡ L 13. 14 κατὰ τοῦτο καὶ scripsi: κατὰ B: καὶ LYt
14 τοῦ ἐ(λάττονος)] huc usque L 15 post τοσοῦτον add. καὶ Y ἐπισκεψώμεθα Y
δὲ B: om. Yt 19 post γίν. add. καὶ Y καὶ tert. om. Bt ὡς t
24 ⟨καθὸ⟩ καθόλου [αὐτὸ] conicio 25 ὑγείαν μὲν ἐνδέχεσθαι Y νόσος Bt: νόσῳ
δὲ Y: νόσον scripserim 26 ἐνδέχεσθαι utrobique Y ὑγείαν BY 26. 27 μηδε-
μιᾷ om. B 27 ἀλλ' prius Y: ἀλλ' ἢ B: ἀλλὰ ἢ t 28 τὸ alt. om. Bt

p. 48a21 Τοῦτο δὲ ἀνομολογούμενον τοῖς προειρημένοις.

Τὸ τὴν ὑγίειαν ἀδύνατον ὑπάρξαι τῇ νόσῳ ἀληθὲς μὲν ἐναντίον δὲ τοῖς ἤδη διατεταγμένοις· εἴρηται | γὰρ ὅτι, εἰ ἄμφω ἐνδεχόμεναι ὦσι, LXXXIIr πάντως ἐνδεχόμενον τὸ συμπέρασμα, ὥσπερ καὶ εἰ ἀναγκαῖαι, ἀναγκαῖον. νῦν οὖν ἐνδεχομένων οὐσῶν ἀμφοτέρων ἀναγκαῖον συνῆκται ἢ ἀδύνατον· τοῦτο δὲ συνέβη διὰ τὸ τὰς ἕξεις ἀντὶ τῶν μετειληφότων παραληφθῆναι.

p. 48a29 Οὐ δεῖ δὲ τοὺς ὅρους ἀεὶ ζητεῖν ὀνόματι ἐκτίθεσθαι· πολλάκις γὰρ ἔσονται λόγοι οἷς οὐ κεῖται ὄνομα.

Ἐπ' ἄλλο τι μεταβαίνει, ὃ καὶ αὐτὸ δεῖ παρατηρεῖν ἐν τῷ ἀνάγειν τοὺς συλλογισμοὺς ἐπὶ τὰ σχήματα. τῶν γὰρ πραγμάτων τὰ μὲν ὀνόματι δηλοῦται, ὡς ἄνθρωπος, ἵππος, περιπατῶ, γράφω καὶ τὰ ἄλλα πάντα ὅσα διὰ μιᾶς λέξεως σημαίνεται, τὰ δὲ οὐ δι' ὀνόματος σημαίνεται ἀλλὰ διὰ λόγου· τινὰς γὰρ τῶν φυσικῶν ἰδιοτήτων ἢ οὐκ ἐδυνήθησαν ἢ οὐκ ἐσπούδασαν οἱ ὀνοματοθετήσαντες δι' ὀνόματος σημᾶναι, ἀλλὰ λόγῳ τὴν τούτων ἑρμηνεύομεν φύσιν. οὐ δεῖ οὖν, φησί, νομίζειν ὅτι πάντῃ τε καὶ πάντως ὀνόματι δεῖ τοὺς τρεῖς ὅρους τοῦ συλλογισμοῦ σημαίνεσθαι· ἔστι γὰρ ὅτε ὀνόματος μὴ εὐποροῦντες λόγῳ σημαίνομεν τινὰ ἢ τινὰς τῶν ὅρων, οἷον εἰ βουληθείημεν δεῖξαι ὅτι τοῦ ἰσοσκελοῦς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί. πρῶτον μὲν οὖν αὐτὸ τοῦτο τὸ κατηγορούμενον ὅρα, πῶς οὐχ ἓν ὄνομά ἐστιν ἀλλὰ λόγος. ζητοῦντες δὲ τὸν μέσον, δι' οὗ δεῖ συμπεραῖναι τὸ πρόβλημα, ἐνταῦθα μὲν εὐποροῦμεν ὀνόματι αὐτὸν ἐκθέσθαι λέγοντες οὕτως· τὸ ἰσοσκελὲς τρίγωνον τρίγωνόν ἐστι, παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί, τοῦ ἰσοσκελοῦς ἄρα τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἐὰν δὲ τὴν μείζονα θελήσωμεν κατασκευάσαι πρότασιν, πόθεν ὅτι παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, οὐκέτι δυνάμεθα ὀνόματι τὸν μέσον ἐκθέσθαι δι' οὗ συνάγεται τὸ συμπέρασμα, ἀλλὰ δεῖ λόγῳ αὐτὸν ἑρμηνεύειν, οἷον ὅτι παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δύο ταῖς ἐφεξῆς ἴσαι εἰσίν, δύο δὲ αἱ ἐφεξῆς δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, παντὸς ἄρα τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἐὰν οὖν, φησί, πειρῶμαι πάντῃ τε καὶ πάντως ὀνόματι ἐκτίθεσθαι τοὺς

2 ὑγείαν BY 3 εἴρηται] c. 20 p. 39a5 sq. ἐνδεχόμενα Y 4 εἰ om. Yt ἀναγκαῖαι Bt: ἀναγκαίων Y 6 ἀντὶ] ἅπαντας t 7 δὲ om. Yt ζητεῖν ἀεὶ τοὺς ὅρους Y 8 ὅροι Y ὄνομα B Arist.: ὀνόματα Yt 13 ἠδυνήθησαν Y 14 οἱ] ἢ t ὀνοματοθετηθέντες B 15 παντὶ τε Y 19 εἰσί om. S αὐτὸ τοῦτο iterat B: αὐτὸ t ὁρᾶς S 20 οὐχ ἑνός t: οὐκ Y τὸ B 21 post μὲν add. οὖν Y 22 λέγοντες BSt: λέγομεν δὲ Y 23 εἰσί om. S τοῦ ἰσοσκελοῦς— 24 εἰσίν om. Y 24 ἐὰν—26 εἰσίν om. S 25 παντὸς Y: παντὶ Bt τριγώνω B 26 δύναμαι S τὸν μέσον ὀνόματι Y 28 δυσὶ ταῖς B δύο δὲ αἱ Y et om. αἱ S: πᾶσαι αἱ δυσὶ (δύο t) ταῖς Bt post ἐφεξῆς alt. add. ἴσαι οὖσαι Bt 29 δυσὶν BS: δύο Yt 30 πειρῶμεν παντί Y

ὅρους, ἀπάτης ἡμῖν τὸ τοιοῦτον αἴτιον γίνεται· οἰησόμεθα γὰρ ὅτι ἐνδέ- LXXXIIᵇ
χεται τῶν ἀμέσων εἶναι τὸν συλλογισμόν, ὅπερ δέδεικται ἐν τοῖς Ἀπο-
δεικτικοῖς ἀδύνατον· πᾶσα γὰρ ἀπόδειξις διά τινος μέσου ὅρου γίνεται. ὅτι γὰρ
τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δύο ὀρθαῖς ἴσαι εἰσίν, ἀποδεικτὸν μέν ἐστιν, ὡς
5 αὐτὴ ἡ περὶ αὐτοῦ δείκνυσιν ἀπόδειξις· ἐὰν οὖν τις οἴοιτο ὅτι δεῖ πάντως
ὀνόματι ἐκκεῖσθαι τοὺς ὅρους, μὴ εὑρίσκων ὀνόματι σημαίνει τὸν μέσον
ὅρον, δι' οὗ ἡ ἀπόδειξις αὐτοῦ γίνεται, οἰήσεται ἀμέσως ὑπάρχειν τῷ ὑπο- 30
κειμένῳ τὸν κατηγορούμενον καὶ ἀμέσου ὄντος τοῦ προβλήματος ἀπόδειξιν
αὐτοῦ εἶναι, ὅπερ ἐστὶν ἀδύνατον. ὥστε, φησίν, οὐ πάντως οἰητέον ὡς δεῖ
10 ὀνόματι ἐκκεῖσθαι τοὺς ὅρους, ἀλλ' ἔστιν ὅτε καὶ διὰ λόγου αὐτοὺς σημαίνειν.
διό, φησί, τοὺς τοιούτους συλλογισμοὺς χαλεπὸν ἀνάγειν ὑπὸ τὰ σχήματα·
ἐπειδὴ γὰρ οὐ κεῖται ἐν τῇ συνηθείᾳ τῷ μέσῳ ὄνομα, οὐ παντὸς δέ ἐστιν
εὑρίσκειν λόγον ἑρμηνευτικὸν τῆς φύσεως τῶν πραγμάτων, δυσχερὴς ἡ ἀνά-
λυσις γίνεται. τὰ μὲν οὖν λεγόμενα ἐν τούτοις ταῦτά ἐστι. τὰ δὲ τῆς 35
15 λέξεως λοιπὸν δῆλα. τὸ δὲ ὡς τόδε τι ἀντὶ τοῦ 'ὡς ὄνομα'. οἷον ἄνθρωπος,
ἵππος, βαδίζει, φιλοσοφεῖ.

p. 48ᵃ40 Τὸ δὲ ὑπάρχειν τὸ πρῶτον τῷ μέσῳ καὶ τοῦτο τῷ ἄκρῳ οὐ δεῖ λαμβάνειν ὡς ἀεὶ κατηγορηθησομένων ἀλλήλων.

Ἕτερον πάλιν θεώρημα παραδίδωσιν. οὐ δεῖ, φησί, νομίζειν ὅτι
20 πάντως δεῖ κατ' εὐθεῖαν πτῶσιν τοὺς ὅρους ἐκτίθεσθαι· οἷον ὁ ἄνθρωπος 40
ζῷον, τὸ ζῷον οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία· πάντες γὰρ ἐν τούτῳ οἱ
ὅροι κατ' εὐθεῖαν πτῶσιν κεῖνται. ἐπειδὴ γὰρ οὐ τῆς φύσεως μόνης τῶν
πραγμάτων φροντίζομεν ἀλλὰ καὶ τῆς περὶ τὴν λέξιν εὐκοσμίας ὥστε
Ἑλληνικῶς τὰς συντάξεις τοῦ λόγου ἀποδιδόναι καὶ μὴ σολοικισμοῖς ὑπο-
25 φέρεσθαι, δεῖ καὶ τῆς κατὰ τὰς προτάσεις τῶν ὀνομάτων ὀρθῆς χρήσεως
φροντίδα ποιεῖσθαι καὶ μὴ ἀρκεῖσθαι μόνον τῷ δηλοῦν ὅτι τόδε τι νοοῦντες
τῇδε τῇ λέξει ἐχρησάμεθα. ἐπεὶ οὖν σημαίνονται τὰ πράγματα οὐ μόνον 45
ταῖς εὐθείαις ἀλλὰ καὶ ταῖς πλαγίαις πτώσεσιν (ἄλλης γὰρ σχέσεως τοῦ
ὑποκειμένου ἄλλη πτῶσίς ἐστι σημαντική), διὰ τοῦτο πᾶσα ἀνάγκη μὴ
30 μόνον κατ' εὐθεῖαν πτῶσιν ἀλλὰ καὶ κατὰ τὰς πλαγίας τοὺς ὅρους ἐκτίθε-
σθαι. πολλάκις μὲν οὖν πάντες οἱ ὅροι κατ' εὐθεῖαν πτῶσιν ἔκκεινται·
οἷον ὁ Σωκράτης φιλόσοφός ἐστι, πᾶς φιλόσοφος ἀγαθός ἐστιν, ὁ Σωκράτης

1 γίνεται αἴτιον B 2 ἐν τοῖς Ἀποδεικτ.] I 3 p. 72ᵇ19 sq. 3 ἀδύνατον om. Y γὰρ alt. om. Y 4 ἀποδεικτὸν scripsi: ἀποδεικτικὸν BYt 6 ὀνόματος t ὀνόματι alt. scripsi: ὀνόματα BSYt 7 δι'—γίνεται om. S 8 τὸν SYt: τὸ B καὶ om. S ἀπόδειξις Y 10 ⟨ἔστιν⟩ ἔστιν ὅτε sive ἔστιν ἐνίοτε conicio 12 πάντως Bt δέ ἐστιν] τι t 13 post πραγμάτων add. διὸ Y 16 φιλοσοφεῖ· βαδίζει t 18 post ἀεὶ add. ἢ Y 20 δεῖ om. S 21. 22 οἱ ὅροι ἐν τούτῳ S 23 νομίζωμεν t τῆς περὶ Yt: inv. ord. B τὴν om. Y 25 τῆς om. pr. B 26 μόνω Y δηλοῦντι Y 27 τῇ δὲ t: τῇ B χρησόμεθα B 29 οὐ Y 30 καὶ om. B 32 ὁ prius om. B

ἄρα ἀγαθός ἐστι· πάντες γὰρ οἱ ὅροι κατ' εὐθεῖαν πτῶσιν ἔκκεινται. LXXXIIr
ἐνίοτε δέ, φησί, καὶ ἀμφότεραι αἱ προτάσεις κατὰ πλαγίαν ἔκκεινται πτῶσιν, 50
ἢ ἡ μὲν κατὰ πλαγίαν ἡ δὲ κατ' εὐθεῖαν. καὶ τὸ συμπέρασμα δὲ ὁμοίως
πολλάκις μὲν κατ' εὐθεῖαν πτῶσιν συνάγεται, πολλάκις δὲ κατὰ πλαγίαν.
5 ἰστέον δὲ ὅτι, ὅταν λέγῃ ἢ κατ' εὐθεῖαν ἢ κατά τινα τῶν πλαγίων τοὺς
ὅρους ἐκτίθεσθαι, περὶ τῶν ἐν ταῖς προτάσεσιν ὑποκειμένων λέγει· οἱ γὰρ
κατηγορούμενοι ἀεὶ κατ' εὐθεῖαν τίθενται πτῶσιν, κἂν ποτε πλαγία πτῶσις
εὑρεθῇ ἐν κατηγορουμένῳ, πάντως καὶ εὐθεῖα νοεῖται ἔξωθεν ἢ πάντως διὰ
τοῦ ῥήματος, εἴγε πᾶν ῥῆμα εὐθείας ἐστὶ πτώσεως πλὴν τοῦ μέλει καὶ
10 μεταμέλει. οἷον Σωκράτους | φιλοσοφοῦντος ἡμᾶς ἀκροᾶσθαι δεῖ· ἔν- LXXXIIv
εστι γὰρ ἐν τῷ 'δεῖ' ἡ εὐθεῖα· οὐδὲν γὰρ ἕτερον ἢ 'ἡμᾶς δέον ἐστίν', ὅπερ
ἐστὶν εὐθείας πτώσεως καὶ ῥήματος. ἐν ᾧ δ' εὐθεῖα μὴ ἐνθεωρεῖται,
οὐκ ἀπαρτίζεται λόγος. αἱ μὲν οὖν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου
πάντως κατ' εὐθεῖαν προφέρονται πτῶσιν· αἱ δὲ ἐκ τρίτου προσκατηγορου-
15 μένου καὶ αἱ μετὰ τρόπου ποτὲ μὲν κατ' εὐθεῖαν ποτὲ δὲ κατὰ πλαγίαν,
κατ' εὐθεῖαν μὲν Σωκράτης ἀγαθός ἐστι, κατὰ δὲ τὰς πλαγίας Σωκράτους 5
ἠκροάσατο Πλάτων ἢ μαθητής ἐστι Πλάτων, Σωκράτει ἐπεβούλευσεν Ἄνυτος
ἢ ἐπίβουλός ἐστι, Σωκράτην ἀπέκτειναν Ἀθηναῖοι, Σωκράτης δύναται βαδί-
ζειν, Σωκράτους ἐνδέχεται ἀκροᾶσθαι, Σωκράτει ἐνδέχεται διαλέγεσθαι,
20 Σωκράτην τύπτειν ἐνδέχεται. ἡ μὲν οὖν διάνοια τῶν ἐνταῦθα παραδιδο-
μένων ἐστὶ τοιαύτη. ὅπως δὲ τοῖς ὑποδείγμασι καθ' ἕκαστον χρῆται, τὴν
λέξιν ἐξετάζοντες εἰσόμεθα.

Πρῶτον μέν φησι τὸν μείζονα ὅρον, ἄκρον δὲ τὸν ἐλάττονα. κατη-
γορηθησομένων δέ φησιν ἀντὶ τοῦ 'κατ' εὐθεῖαν πτῶσιν'· ἐν ταύταις γάρ
25 εἰσιν αἱ κυρίως κατηγορίαι, λέγω δὴ τὸ ὑπάρχειν τόδε τῷδε, οἷον ὁ ἄνθρωπος
ζῷόν ἐστι. καὶ οὕτω μὲν ὁ διδάσκαλος. οἶμαι δὲ ἁπλούστερον πᾶσαν
κατηγορίαν λέγειν αὐτόν· εἰπὼν γὰρ ὡς ἀεὶ κατηγορηθησομένων 15
ἀλλήλων ἐπήγαγεν ὁμοίως τό ⟨τε⟩ πρῶτον τοῦ μέσου καὶ τοῦτο
τοῦ ἐσχάτου. εἰ δὲ τὸ κατηγορηθησομένων τὸ κατ' εὐθεῖαν ἐκκεῖ-
30 σθαι αὐτῷ ἐσήμαινε, παρέλκον ἦν τὸ ἐπάγειν ὁμοίως τό τε πρῶτον τοῦ
μέσου καὶ τοῦτο τοῦ ἐσχάτου.

p. 48ᵇ2 Καὶ ἐπὶ τοῦ μὴ ὑπάρχειν δὲ ὡσαύτως.

Τουτέστιν ἐπὶ τῶν ἀποφατικῶν προτάσεων· καὶ γὰρ ταύτας ποτὲ μὲν

---

1 κεῖνται Bt 2 post κατὰ add. τὴν Y itemque vs. sq. 5 λέγει t
7 πτῶσιν τίθενται B 8 post νοεῖται add. ἢ Y ἢ πάντως iterat Y
11 ἢ om. Y 12 δ' om. Y μὴ om. Y 16 τὰς om. Y 17 σωκράτης B
ἄνυτος BY: αὐτὸς t 18. 19 σωκράτης—βαδίζειν ante 16 σωκράτης transposuerim
19 ἀκροάσασθαι Y σωκράτει Y: σωκράτη t: compend. B 20 σωκράτη t
20. 21 παραδεδομένων Y 22 post εἰσόμεθα repetunt lemma (p. 333,17. 18) Bt
25 ὑπάρχει t οἷον om. Yt 26 οἶμαι Bt: ἅμα Y 27 καταλέγειν B
28 τε addidi cf. vs. 30 29 κατηγορηθησόμενον t τὸ alt. om. Y
33 post τῶν add. αὐτῶν t ταὐτά t

κατ' εὐθεῖαν πτῶσιν προφερόμεθα, ποτὲ δὲ κατά τινα τῶν πλαγίων· LXXXIIv
οἷον ὁ ἄνθρωπος οὐκ ἔστιν ἄψυχον, τῶν ἀτόμων οὐκ ἔστι γένος τὸ εἶδος, 20
τῇ οὐσίᾳ οὐδέν ἐστιν ἐναντίον, τὸν ἀγαθὸν ἄνδρα οὐδὲν βλάψαι δύναται.

p. 48b2 Ἀλλ' ὁσαχῶς τὸ εἶναι λέγεται καὶ τὸ ἀληθὲς εἰπεῖν αὐτὸ
5 τοῦτο, τοσαυταχῶς οἴεσθαι χρὴ σημαίνειν καὶ τὸ ὑπάρχειν.

Ὁσαχῶς, φησίν, ἕκαστον τῶν ὄντων εἶναι λέγεται, τοσαυταχῶς κατηγορεῖν ἄλλο ἄλλου ἐνδέχεται. λέγει δὲ ἕκαστον εἶναι κατὰ τὰς τῶν 25 ὀνομάτων πτώσεις· λέγεται γὰρ Σωκράτης ἐστί, Σωκράτους ὄντος, Σωκράτει εἶναι, Σωκράτην εἶναι. ὁσάκις οὖν ἕκαστον εἶναι λέγεσθαι δύναται καὶ
10 ἀληθῶς εἶναι, τοσαυταχῶς καὶ τὰς προτάσεις συμπλέξαι δυνατόν, ἢ ἀμφοτέρας ὡσαύτως ἢ τὴν μὲν οὕτως τὴν δὲ οὕτως.

p. 48b4 Οἷον ὅτι τῶν ἐναντίων ἐστὶ μία ἐπιστήμη.

Λοιπὸν ἐπὶ ὑποδειγμάτων τὰ εἰρημένα παραδίδωσι, καὶ τέως ὅτι ἐνδέ- 30 χεται κατὰ γενικὴν πτῶσιν συμπλέκεσθαι τὰς προτάσεις, ὡς ὅταν εἴπω
15 τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη.

p. 48b6 Τὸ δὴ Α τῷ Β ὑπάρχει οὐχ ὡς τὰ ἐναντία τὸ μίαν εἶναι αὐτῶν ἐπιστήμην.

Τουτέστιν οὐ κατ' εὐθεῖαν ὑπάρχει τῷ Β τὸ Α (τοῦτο γὰρ σημαίνει αὐτῷ τὸ οὐχ ὡς τὰ ἐναντία, ὡς εἴ τις ἔλεγε τὰ ἐναντία πολέμιά ἐστιν), 35
20 ἀλλὰ κατὰ γενικήν, τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη. εἰπὼν δὲ οὐχ ὡς τὰ ἐναντία προσέθηκε τὸ μίαν εἶναι αὐτῶν ἐπιστήμην. τί οὖν βούλεται; ἤτοι οὖν τοῦτό φησιν, ὅτι τὸ λέγειν μίαν εἶναι αὐτῶν ἐπιστήμην οὐκ ἔστιν ὡς τὰ ἐναντία, τουτέστι κατ' εὐθεῖαν, ἀλλ' ὅτι ἀληθὲς εἰπεῖν κατ' αὐτῶν τὸ μίαν εἶναι αὐτῶν ἐπιστήμην, τουτέστι κατὰ γενικήν,
25 ἢ ὅτι οὐκ ἔστι τοῖς ἐναντίοις ἐν τούτῳ τὸ εἶναι, ἐν τῷ μίαν εἶναι αὐτῶν ἐπιστήμην· διὸ οὐδὲ κατ' εὐθεῖαν δυνατὸν κεῖσθαι, ὥσπερ Σωκράτει τὸ 40 εἶναί ἐστιν ἐν τῷ ἄνθρωπον εἶναι, διό φαμεν 'Σωκράτης ἄνθρωπός ἐστιν'. οὐχ οὕτω δὲ καὶ τὸ μίαν εἶναι τῶν ἐναντίων ἐπιστήμην· διὸ οὔ φαμεν 'τὰ ἐναντία ἐστὶν ἐπιστήμη' ἀλλὰ 'τῶν ἐναντίων'.

---

2 ὁ om. Bt ἄψυχον] ἄ e corr. Y τὸ εἶδος om. Bt 4 αὐτὸ κτλ. om. Y αὐτὸ t Arist.: om. B 5 συμβαίνειν t 9 σωκράτην εἶναι om. t λέγεται B 10 δυνατόν corr. Y: δύναται Bt, pr. Y 11 ὡσαύτω Yt 12 οἷον—15 ἐπιστήμη om. Y ἐστὶ μία t Arist.: inv. ord. B 13 ἐπὶ Φ. III. 10 t: ἐπὶ τῶν B 16 post δὴ add. τὸ B ὑπάρχει Y Arist.: ὑπάρχειν Bt τὸ alt. Y Arist.: τῷ Bt cf. vs. 21 18 ὑπάρχειν t τῷ α τὸ β pr. B 21 εἶναι μίαν Y τί—22 ἐπιστήμην om. Y 27 τῷ ἀνθρώπω Y σωκράτης scripsi: σωκράτους Yt: compend. B 29 εἶναι ἐπιστήμην Y

p. 48b10 Συμβαίνει δ' ὁτὲ μὲν ἐπὶ τοῦ μέσου τὸ πρῶτον λέγεσθαι, τὸ δὲ μέσον ἐπὶ τοῦ τρίτου μὴ λέγεσθαι. LXXXIIv

Ἐπειδὴ ὡς ἐπὶ μιᾶς προτάσεως ἐξέθετο ὑπόδειγμα οὐ κατ' εὐθεῖαν πτῶσιν ἀλλὰ κατὰ γενικὴν συμπεπλεγμένης, διὰ τοῦτο νῦν ἐπ' ἀμφοτέρων τὰ ὑποδείγματα τίθησι. τὸ δὲ λέγεσθαί φησιν ἀντὶ τοῦ κατ' εὐθεῖαν πτῶσιν· αὕτη γάρ ἐστιν ἡ ὀνομαστικὴ πτῶσις καθ' ἣν ἕκαστον εἶναι λέγεται. συμβαίνει οὖν, φησί, ποτὲ μὲν τὴν μείζονα πρότασιν κατ' εὐθεῖαν τίθεσθαι τὴν δ' ἐλάττονα κατά τινα τῶν πλαγίων. ἔστι δὲ τὸ ὑπόδειγμα τοιοῦτον· τοῦ ἀγαθοῦ σοφία ἐστίν, ἡ σοφία ἐπιστήμη ἐστί, τοῦ ἀγαθοῦ ἄρα ἐπιστήμη ἐστίν· ἐν τούτῳ γὰρ ἡ μὲν ἐλάττων κατὰ γενικὴν προενήνεκται πτῶσιν, ἡ δὲ μείζων κατ' εὐθεῖαν, καὶ τὸ συμπέρασμα ὅμοιον τῇ ἐλάττονι.

p. 48b12 Τοῦ δ' ἀγαθοῦ ἐστιν ἡ σοφία ἐπιστήμη, συμπέρασμα ὅτι τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστί.

Τὴν ἐλάττονα πρότασιν θέσθαι βουλόμενος (ἤδη γὰρ ἐξέθετο τὴν μείζονα εἰπὼν ἡ σοφία ἐστὶν ἐπιστήμη) συνέπλεξε τοὺς τρεῖς ὅρους εἰπὼν τοῦ ἀγαθοῦ ἡ σοφία ἐπιστήμη ἐστίν. ἐπειδὴ γὰρ τὸ λέγειν 'τοῦ ἀγαθοῦ σοφία ἐστίν' ἀσαφές πως ἐδόκει εἶναι, τί σημαίνει τὸ σοφίαν εἶναι τοῦ ἀγαθοῦ βουλόμενος δεῖξαι εἶπεν ὅτι | ἡ τοῦ ἀγαθοῦ ἐπιστήμη LXXXIIIr ἡ σοφία ἐστίν, ὥστε ἐπὶ πλέον εἶναι τὴν ἐπιστήμην τῆς σοφίας, ὡς εἴ τις ἔλεγε 'τῶν ἐπιπέδων ἐπιστήμη ἡ γεωμετρία ἐστίν', ἵνα οὕτω τις εἴπῃ· τῶν ἐπιπέδων γεωμετρία ἐστὶν ἢ τὰ ἐπίπεδα γεωμετρεῖν ἔστι, γεωμετρία ἐπιστήμη ἐστί, τῶν ἐπιπέδων ἄρα ἐπιστήμη ἐστί.

p. 48b13 Τὸ μὲν δὴ ἀγαθὸν οὐκ ἔστιν ἐπιστήμη, ἡ δὲ σοφία ἐστὶν ἐπιστήμη.

Ὃ βούλεται λέγειν τοῦτό ἐστιν, ὅτι τὸ μὲν συμπέρασμα κατὰ γενικὴν προενήνεκται, οὐ κατ' εὐθεῖαν, ὥσπερ καὶ ἡ ἐλάττων πρότασις· οὐ γὰρ συνῆκται ὅτι τὸ ἀγαθὸν ἄρα ἐπιστήμη ἐστίν, ἀλλὰ τοῦ ἀγαθοῦ ἐστιν ἐπιστήμη· ἡ μέντοι μείζων πρότασις κατ' εὐθεῖαν προενήνεκται· ἡ σοφία γάρ, ἔφαμεν, ἐπιστήμη ἐστίν.

2 τὸ δὲ κτλ. om. Y 4 συμπεπλεγμένης t: συμπεπλεγμένην BY 6 ὀνοματικὴ t 7 κατ' εὐθείαν τὴν μείζονα πρότασιν t 10 ἐξενήνεκται Y: προσενήνεκται t 12 σοφὴ B ἐπιστήμη κτλ. om. Y 16 ἐστὶν ἐπιστήμη, post quae del. συνέπλεξε τοὺς τρεῖς ὅρους εἰπὼν B 18 ἡ deleverim 20 ἡ post ἔλεγεν collocat Y ἡ γεωμετρία ἐστὶν ἐπιστήμη t εἴποι t 23 ἡ δὲ κτλ. om. Y 23. 24 ἐστὶν ἐπιστήμη t Arist.: inv. ord. B

p. 48b14 Ὅτὲ δὲ τὸ μὲν μέσον ἐπὶ τοῦ τρίτου λέγεται, τὸ δὲ LXXXIIIr πρῶτον ἐπὶ τοῦ μέσου οὐ λέγεται· οἷον εἰ τοῦ ποιοῦ παντός ἐστιν ἐπιστήμη ἢ ἐναντίου, τὸ δ' ἀγαθὸν καὶ ἐναντίον καὶ ποιόν, συμπέρασμα μὲν ὅτι τοῦ ἀγαθοῦ ἐστιν ἐπιστήμη.

Ἀντιστρέφει τὰς προτάσεις, καὶ τὴν μὲν ἐλάττονα κατ' εὐθεῖαν συμπλέκει, τὴν δὲ μείζονα κατὰ γενικήν, καὶ τὸ συμπέρασμα πάλιν κατὰ γενικὴν συνάγει· οἷον τὸ ἀγαθὸν ποιόν ἐστι, τοῦ ποιοῦ ἐπιστήμη ἐστί, τοῦ ἀγαθοῦ ἄρα ἐπιστήμη ἐστίν· ἢ οὕτως· τὸ ἀγαθὸν ἐναντίον ἐστί (τῷ κακῷ γὰρ ἐναντίον δῆλον ὅτι), τοῦ ἐναντίου ἐπιστήμη ἐστί, τοῦ ἀγαθοῦ ἄρα ἐπιστήμη ἐστίν.

p. 48b18 Οὐκ ἔστι δὲ τὸ ἀγαθὸν ἐπιστήμη οὐδὲ τὸ ποιὸν οὐδὲ τὸ ἐναντίον, ἀλλὰ τὸ ἀγαθὸν ταῦτα.

Τουτέστιν οὐδὲ τὸ συμπέρασμα κατ' εὐθεῖαν προενήνεκται· οὐ γὰρ εἴπομεν ὅτι τὸ ἀγαθὸν ἄρα ἐπιστήμη ἐστίν, ἀλλὰ τοῦ ἀγαθοῦ. ἀλλ' οὐδὲ ἡ μείζων· οὐ γὰρ εἴπομεν ὅτι τὸ ποιὸν ἐπιστήμη ἐστὶν ἢ τὰ ἐναντία ἐπιστήμη ἐστίν, ἀλλὰ τοῦ ποιοῦ καὶ τῶν ἐναντίων ἐπιστήμη ἐστίν. ἡ μέντοι ἐλάττων κατ' εὐθεῖαν προενήνεκται· τοῦτο γὰρ ἐσήμανεν εἰπὼν ἀλλὰ τὸ ἀγαθὸν ταῦτα· οὕτω γὰρ ἐλέγομεν 'τὸ ἀγαθὸν ποιόν ἐστιν ἢ ἐναντίον'.

p. 48b20 Ἔστι δὲ ὅτε μήτε τὸ πρῶτον κατὰ τοῦ μέσου μήτε τοῦτο κατὰ τοῦ τρίτου, τοῦ πρώτου κατὰ τοῦ τρίτου ὁτὲ μὲν λεγομένου ὁτὲ δὲ μὴ λεγομένου· οἷον εἰ οὗ ἐπιστήμη ἐστίν, ἔστι τούτου γένος, τοῦ δ' ἀγαθοῦ ἐστιν ἐπιστήμη, συμπέρασμα ὅτι τοῦ ἀγαθοῦ ἐστι γένος.

Ἐπειδὴ ἐν τοῖς προλαβοῦσι μίαν μὲν πρότασιν ἐλάμβανε κατὰ γενικὴν πτῶσιν μίαν δὲ κατ' εὐθεῖαν καὶ συνῆγε κατὰ γενικὴν τὸ συμπέρασμα, νῦν ἀμφοτέρας κατὰ γενικὴν συμπλέκει, καὶ συνάγει συμπέρασμα ποτὲ μὲν κατ' εὐθεῖαν ποτὲ δὲ κατὰ γενικήν. τὸ γὰρ τοῦ πρώτου κατὰ τοῦ τρίτου ὁτὲ μὲν λεγομένου ὁτὲ δὲ μὴ λεγομένου τοῦτο σημαίνει, τουτέστιν τοῦ μείζονος κατὰ τοῦ ἐλάττονος· εἴπομεν γὰρ ὅτι τὸ λεγομένου σημαίνει αὐτῷ τὸ κατ' εὐθεῖαν πτῶσιν ὑπάρχοντος τοῦ ἐλάττονος κατηγορεῖσθαι αὐτοῦ τὸν μείζονα. τότε γὰρ λέγεται ὅτι τόδε ἐστὶν ὅπερ τόδε, οἷον ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστιν· λέγεται γὰρ ζῷον εἶναι. οὐ μὴν ὅταν εἴπω 'τῶν ἐναντίων ἐπιστήμη ἐστίν'· οὐ γὰρ λέγεται κατὰ τοῦ ὑποκειμένου ὁ κατηγορούμενος· οὐ γὰρ λέγεται ὅτι ἐπιστήμη ἐστὶ τὰ ἐναντία,

1 τὸ δὲ κτλ. om. Y 3 δ' t Arist.: om. B καὶ prius t Arist.: om. B 4 μὲν t Arist.: om. B 9 τὸ ἐναντίον Y 17 τὸ om. t 20 τοῦ πρώτου κτλ. om. Y 22 ἔστι τούτου t Arist.: inv. ord. B 24 post κατὰ add. τὴν Y 25 συνήγετο Y τὸ om. Y 29 κατὰ Bt: καὶ Y εἴπομεν] p. 336,5 γὰρ scripsi: τὸ BYt τὸ Bt: ὁτὲ μὲν Y immo λέγεσθαι

ἀλλ' ὅτι ὑπάρχει περὶ αὐτῶν ἐπιστήμη. τὸ δὲ ὑπόδειγμα τοιοῦτόν LXXXIIIr
ἐστι· τοῦ ἀγαθοῦ ἐστιν ἐπιστήμη, οὗ ἐπιστήμη ἐστί, τούτου ἐστὶ γένος· συμ-
πέρασμα τοῦ ἀγαθοῦ ἄρα ἐστὶ γένος. καὶ ἄλλως· Σωκράτους πατήρ ἐστιν,
οὗ πατήρ ἐστι, τούτου αἴτιόν ἐστι, Σωκράτους ἄρα αἴτιόν ἐστιν. καὶ αἱ
5 προτάσεις οὖν καὶ τὸ συμπέρασμα κατὰ γενικὴν συμπεπλεγμέναι εἰσίν.

p. 48b24 Κατηγορεῖται δὲ οὐδὲν κατ' οὐδενός.

Τουτέστιν οὐδὲν κατ' εὐθεῖαν πτῶσιν προενήνεκται. καὶ ὅρα πῶς τὸ 35
κατηγορεῖσθαι τὸ κατ' εὐθεῖαν πτῶσιν κατηγορεῖσθαί φησι· διὸ καὶ ἀνω-
τέρω ἔλεγε τὸ "ὡς ἀεὶ κατηγορηθησομένων" ἀντὶ τοῦ 'κατ' εὐθεῖαν πτῶσιν
10 προενεχθησομένων'.

p. 48b24 Εἰ δὲ οὗ ἐστιν ἐπιστήμη, γένος ἐστὶ τοῦτο, τοῦ δ' ἀγαθοῦ ἐστιν ἐπιστήμη, συμπέρασμα ὅτι τὸ ἀγαθόν ἐστι γένος.

Εἰπὼν ὅτι ἀμφοτέρων τῶν προτάσεων κατὰ γενικὴν συμπλεκομένων 40
τὸ συμπέρασμα ποτὲ μὲν κατὰ γενικὴν ποτὲ δὲ κατ' εὐθεῖαν συνάγεται,
15 δείξας πῶς κατὰ γενικήν, δείκνυσι νῦν ὅτι καὶ κατ' εὐθεῖαν οὕτως· τοῦ
ἀγαθοῦ ἐπιστήμη ἐστίν, οὗ ἐπιστήμη ἐστί, τοῦτό ἐστι γένος, τὸ
ἄρα ἀγαθὸν γένος ἐστίν. γένος δὲ εἰλήφθω ἁπλῶς τὸ καθολικώτερον καὶ
πλειόνων περιεκτικόν· τῶν γὰρ καθόλου ἡ ἐπιστήμη, κἄντε γένη εἴη κἄντε εἴδη
κἂν ἄλλως συμβεβηκότα. οἷόν ἐστι καὶ τὸ ἀγαθόν· ἐν πᾶσι γὰρ ἐνθεωρεῖται
20 τοῖς οὖσιν, οὐχ ὡς γένος αὐτῶν ἀλλ' ὥσπερ καὶ τὸ ὂν ὁμωνύμως αὐτοῖς 45
ἐνυπάρχον κατὰ τὸ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἐπιστῆσαι δὲ ἄξιον τοῖς ὑπο-
δείγμασι, μήποτε, ὥσπερ κἀπὶ τῶν προτέρων ἐλέγομεν, οὐ τοὺς αὐτοὺς
φυλάσσουσι μέσους. ἔχει δὲ οὕτως· τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστίν, οὗ
ἐπιστήμη ἐστί, τούτου ἐστὶ γένος. ἐν μὲν γὰρ τῇ ἐλάττονι προ-
25 τάσει τὴν ἐπιστήμην ἐλάβομεν τὸν κατηγορούμενον ὅρον· ἐν δὲ τῇ μείζονι
οὐκέτι τὸν αὐτὸν ἐφυλάξαμεν, λέγω τὴν ἐπιστήμην, ἀλλά φαμεν οὗ ἐπι-
στήμη ἐστίν. εἰ δὲ ἄλλο μέν τί ἐστι τὸ ἐπιστητόν, ἄλλο δὲ ἡ περὶ αὐτοῦ 50
ἐπιστήμη, οὐκ ἄρα τὸν αὐτὸν ἐφυλάξαμεν μέσον· τοῦ μὲν γὰρ ἐλάττονος
ὅρου τὴν ἐπιστήμην κατηγορήσαμεν, τῷ δὲ μείζονι οὐ τὴν ἐπιστήμην ἀλλὰ
30 τὸ οὗ ἐστιν ἐπιστήμη ὑπετάξαμεν, τοῦτο δέ ἐστι τὸ ἐπιστητόν. ὁμοίως
καὶ ἐπὶ πάντων τῶν παραπλησίων. καὶ εἰ τὸ ἐπιστητόν ἐστι τὸ ἀγαθόν, του-
τέστιν ὁ ἐλάττων ὅρος, τὸ ἐπιστητὸν δὲ παρείληπται ὑποκείμενον τῷ μεί-
ζονι ὅρῳ, ὁ ἄρα ἐλάττων ὅρος ἐν τῇ μείζονι προτάσει ὑπόκειται τῷ μεί-
ζονι, ὅπερ ἐστὶν ἀδύνατον. φαμὲν οὖν πρὸς τὴν | ἀπορίαν ἐκεῖνο, LXXXIIIv
35 ὅτι εἰ οἱ κατηγορούμενοι ὅροι ἐπὶ πλέον εἶναι θέλουσι τῶν ὑποκειμένων

2 ἐστι om. t 4 αἱ om. B 8. 9 ἀνωτέρω] p. 48a41 9 ἐλέγετο τὸ Y
10 προφερομένων B: προοισθησομένων t 12 τὸ corr. e τοῦ, ut videtur, B
15 δείκνυσι νῦν Y: δείκνυσιν Bt 16 ἐστι corr. Y 21 τὸ ἀφ' scripsi cf. Categ.
p. 17,12: τὰ ἐφ' BYt 23 μέσους Yt: νόμους B 26 post λέγω add. δὴ Y
30 ἐπετάξαμεν t 33 ἐλάσσων B 35 εἰ om. Yt

χωρὶς τῶν ἀντιστρεφόντων, οἱ δὲ καθολικώτεροι περιέχουσιν ἐν LXXXIII[v]
ἑαυτοῖς τοὺς μερικωτέρους, ἀνάγκη δήπου πᾶσα ἐν τῷ πρώτῳ σχήματι ἐν
τῷ μέσῳ μὲν ὅρῳ περιέχεσθαι τὸν ἐλάττονα, ἐν τῷ μείζονι δὲ ἀμφοτέρους·
οἷον ὅταν εἴπω 'ὁ ἄνθρωπος ζῷον', ἐν τῷ ζῴῳ δῆλον ὅτι καὶ ὁ ἄνθρωπος
5 ἐμπεριέχεται· καὶ ὅταν εἴπω 'πᾶν ζῷον ἔμψυχον', ἐν τῷ εἰπεῖν πᾶν ζῷον
καὶ τὸν ἄνθρωπον δῆλον ὅτι ἐμπεριείληφα καὶ ἐν τῷ ἐμψύχῳ πᾶν ζῷον, 5
ὥστε καὶ πάντα ἄνθρωπον. καὶ τοῦτό ἐστιν αἴτιον τοῦ συνάγεσθαι τὰ
ἄκρα· εἰ γὰρ μὴ τοῦτο ἦν, οὐδέποτε ἂν συνάγειν ἐδυνάμεθα τὰ ἄκρα.
ἐπεὶ οὖν τοῦτο οὕτως ἔχει, ὅταν εἴπω τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστίν,
10 εἶτα λάβω 'πάντων ὧν ἐπιστήμη ἐστί', δῆλον ὅτι ἐμπεριλαμβάνω καὶ τὸ
ἀγαθόν· οὐ γὰρ αὐτὸ μόνον ἁπλῶς τὸ ἀγαθὸν ὅπερ τὸ ἐπιστητὸν ἦν, ἀλλὰ
μετὰ τῶν ἄλλων πάντων ἅπερ ἐστὶν ἐπιστητά, ταὐτὸν δέ ἐστιν ὧν ἐστιν
ἐπιστήμη. ὥστε εἰ μὲν αὐτὸν καθ' αὑτὸν τὸν ἐλάττονα ὅρον ὑπετίθεμεν 10
τῇ μείζονι ἐν τῷ λέγειν οὗ ἐπιστήμη ἐστί, τῷ ὄντι ἄτοπος ἦν ὁ λόγος.
15 εἰ δὲ καθολικὸν λαβόντες τὸν ὑποκείμενον ὅρον τῇ μείζονι προτάσει συμ-
περιλαμβάνομεν καὶ τὸν ἐλάττονα ὡς περιεχόμενον ἐν αὐτῷ, οὐ μόνον οὐκ
ἄτοπον ἀλλὰ καὶ ἀναγκαῖον τὸ γινόμενον. τὸ γὰρ ὑποκείμενον ἐμπεριέχε-
σθαι δεῖ τῷ κατηγορουμένῳ ἐν καταφάσει ἢ ἐν ἀποφάσει· ὅταν γὰρ εἴπω
'οὐδεὶς ἄνθρωπος ἀθάνατος', ἐν τοῖς μὴ ἀθανάτοις ἐμπεριέχεται καὶ ὁ
20 ἄνθρωπος. ὅτι μὲν οὖν οὐ τὸν ἐλάττονα μέσον ποιοῦμεν, δῆλον γέγονεν. 15
ὅτι δὲ οὐδὲ ἄλλον ἐξ ἄλλου λαμβάνομεν μέσον, φανερὸν ἐντεῦθεν· οὐδὲ
γὰρ ἁπλῶς ἡ ἐπιστήμη μόνον μέσος ἐστὶν ὅρος, ὡς ἂν εἰ ἐλέγομεν 'ἡ γεω-
μετρία ἐπιστήμη ἐστίν', ἀλλὰ τὸ εἶναί τινος ἐπιστήμην· τοῦ ἀγαθοῦ γάρ,
ἔφαμεν, ἐπιστήμη ἐστίν, τουτέστιν ἔστι περὶ τοῦ ἀγαθοῦ ἐπιστήμη. τὸ
25 οὖν εἶναί τινος ἐπιστήμην τοῦτό ἐστιν ὁ κατηγορούμενος· τοῦτο δὲ οὐδὲν
ἕτερόν ἐστιν εἰπεῖν ἢ 'τὸ ἀγαθὸν ἐπιστητόν ἐστι'. τί γὰρ διαφέρει εἰπεῖν
'τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστίν' ἢ ὅτι τὸ ἀγαθὸν ἐπιστητόν ἐστι; διδάξει γοῦν 20
μετ' ὀλίγον ὅτι, ὅταν ἰσοδυναμῶσιν οἱ ὅροι, δεῖ τῶν ἰσοδυναμούντων τὸν
σαφέστερον λεγόμενον ἀντιμεταλαμβάνειν. ὥστε εἰ ⟨τῷ⟩ 'τοῦ ἀγαθοῦ ἐπι-
30 στήμη ἐστίν' ἴσον ἐστὶ τὸ λέγειν 'τὸ ἀγαθὸν ἐπιστητόν ἐστιν', ἐπὰν λέγωμεν
'οὗ ἐπιστήμη ἐστίν', οὐχ ἕτερον ἐξ ἑτέρου μέσον μεταλαμβάνομεν ἀλλὰ τὸν
αὐτόν· τὸ γὰρ οὗ ἐπιστήμη ἐστί τὸ ἐπιστητόν ἐστιν· εἷς ἄρα καὶ ὁ
αὐτὸς μέσος ἐν ἀμφοτέραις παρείληπται ταῖς προτάσεσιν.

p. 48b26 Κατὰ μὲν δὴ τοῦ ἄκρου κατηγορεῖται τὸ πρῶτον, κατ'
35 ἀλλήλων δὲ οὐ λέγεται.

Τουτέστι τὸ μὲν συμπέρασμα κατ' εὐθεῖαν προάγεται, αἱ δὲ προτάσεις 25

4 ὅτι om. Bt 6 an ἔμψυχον? 8 ἠδυνάμεθα Y: δυνάμεθα t 9 post ὅταν add. ἂν t 11 τὸ alt. om. Bt 15 λαμβάνοντες Y 15. 16 συμπέρασμα λαμβάνομεν B 16 τὴν pr. Y ἐλάσσονα B ἐμπεριεχόμενον Y 18 ἐν alt. om. Y καὶ γὰρ ὅταν Y 20 ἄνθρωπος Bt: σωκράτης Y 22 γὰρ] γ superscr. Y μόνον om. Y ἐστὶ μέσος Y 26 ἢ εἰπεῖν Y 28 μετ' ὀλίγον] c. 39 p. 49b3.4 ὅτι Bt: ὡς Y 29 λόγον ἀντιλαμβάνειν Y τῷ addidi 30 ἐστιν ἐπιστητόν B 31 μέσον om. Y λαμβάνομεν Y 33 ἀμφοτέροις B

οὐ κατ' εὐθεῖαν. ὁ μὲν οὖν Ἀριστοτέλης εὐθείας μόνης καὶ γενικῆς LXXXIIIv παραδείγματα παρέθετο. δυνατὸν δὲ τῇ αὐτῇ μεθόδῳ καὶ ἐπὶ τῶν λοιπῶν πτώσεων γυμνάσαι τὸν λόγον. οἷον τὸν ἀγαθὸν ἀνάγκη εἶναι δίκαιον, πᾶς δίκαιος ἐπιστήμων ἐστὶ τῶν δικαίων, ὁ ἄρα ἀγαθὸς ἐπιστήμων ἐστὶ τῶν δικαίων. ἢ οὕτως· ὁ ἀγαθὸς δίκαιος, πάντα δίκαιον ἀνάγκη ἐπιστήμονα εἶναι τῶν δικαίων, τὸν ἄρα ἀγαθὸν ἀνάγκη ἐπιστήμονα εἶναι τῶν δικαίων. τῶν γὰρ προτάσεων ἡ μὲν κατ' εὐθεῖαν ἔκκειται, ἡ δὲ κατ' αἰτιατικήν· καὶ τὰ συμπεράσματα δὲ οὕτως ἔχει, τὸ μὲν οὕτως, τὸ δὲ οὕτως. ἀλλὰ καὶ ἀμφότεραι κατ' αἰτιατικήν· τὸν ἀγαθὸν ἀνάγκη εἶναι δίκαιον, τὸν δίκαιον ἐπιστήμονα δεῖ εἶναι τῶν δικαίων, τὸν ἄρα ἀγαθὸν ἐπιστήμονα δεῖ εἶναι τῶν δικαίων, ἢ ὁ ἀγαθὸς ἐπιστήμων ἐστὶ τῶν δικαίων. ὁμοίως καὶ ἐπὶ δοτικῆς· ταῖς ποιότησιν ὑπάρχει ἐναντιότης, ταῖς ἐναντιότησιν ὑπάρχει τὸ φθείρειν ἀλλήλας, ταῖς ποιότησιν ἄρα ὑπάρχει τὸ φθείρειν ἀλλήλας, ἢ αἱ ποιότητες ἄρα φθαρτικαὶ ἀλλήλων. δῆλον δὲ ὅτι μερικὴ ἡ ἐλάττων· οὐ γὰρ ἐν πάσαις ταῖς ποιότησιν ἡ ἐναντιότης. πάλιν ἡ δικαιοσύνη συμβεβηκός ἐστιν ἀγαθόν, τῷ συμβεβηκότι ἀγαθῷ ἐναντίον τί ἐστιν, τῇ ἄρα δικαιοσύνῃ ἐστί τι ἐναντίον. οὐ μόνον δὲ τῇ εὐθείᾳ συμπλέκειν τινὰ τῶν πλαγίων δυνατὸν ἀλλὰ καὶ πλαγίαν ἄλλῃ πλαγίᾳ· οἷον τῷ σπουδαίῳ τὸ εὐδαιμονεῖν ἕπεται, τὸν εὐδαίμονα οὐδεὶς βλάψαι δύναται, τὸν σπουδαῖον ἄρα οὐδεὶς βλάψαι δύναται. ἀλλὰ καὶ τὴν γενικὴν ἑκατέρᾳ τούτων δυνατὸν συμπλέκειν.

p. 48b27 Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τοῦ μὴ ὑπάρχειν ληπτέον.

Τουτέστιν ἐπὶ τῶν ἀποφατικῶν συλλογισμῶν· καὶ γὰρ ἐπὶ τούτων ἀνάγκη τὸν εἰρημένον τρόπον ποικίλλεσθαι τὰς προτάσεις.

p. 48b28 Οὐ γὰρ ἀεὶ σημαίνει τὸ μὴ ὑπάρχειν τόδε τῷδε μὴ εἶναι τόδε τόδε, ἀλλ' ἐνίοτε τὸ μὴ εἶναι τόδε τοῦδε ἢ τόδε τῷδε.

Τουτέστιν οὐκ ἀεὶ ἐπὶ τῶν ἀποφατικῶν προτάσεων, ὥσπερ οὐδὲ ἐπὶ τῶν καταφατικῶν, κατ' εὐθεῖαν συμπλέκονται οἱ ὅροι (τοῦτο γὰρ δηλοῖ εἰπὼν μὴ εἶναι τόδε τόδε, τουτέστιν μὴ εἶναι τὸν ἄνθρωπον ἀθάνατον), ἀλλ' ἐνίοτε καὶ κατὰ ἄλλην πτῶσιν, ἢ γενικὴν ἢ δοτικὴν ἢ αἰτιατικήν·

2 τέθεικε, ει supra η scr. Y 3 ante λόγον add. αὐτὸν Bt 4 et 5 τοῦ δικαίου Y 4 ὁ superscr. Y ἀγαθὸς Bt: δίκαιος Y 5 post δίκαιος add. ἐστὶ Y 6. 7 τὸν ἄρα—δικαίων om. B 6. 7 τοῦ δικαίου pr. Y 8. 9 τὸ μὲν—οὕτως om. Y 9 τὸ B 10 τὸ (ante δίκ.) B δὴ t τοῦ δικαίου Y 10. 11 τὸν ἄρα—δικαίων om. B 11 τοῦ δικαίου pr. Y 17 τί om. Bt ἔστι τὶ Y: ἐστὶν t et post ἐναντίον B γὰρ Y 18 πλαγίαν ἄλλῃ πλαγίᾳ Bt, pr. Y: πλαγίουν (sic) ἄλλω πλαγίω corr. Y² 19 τὸ εὐδαιμον εἶναι B 20 ἑκατέραν Yt 22—24 om. Y 25 συμβαίνει Y τόδε τόδε B ante μὴ alt. add. τὸ Y 26 τόδε τῶδε Y itemque vs. 29 ἀλλ' κτλ. om. Y τὸ om. t 28 γὰρ om. Bt 30 ἢ primum om. Bt ἢ tertium Y: καὶ Bt

οἷον τῶν ὁρισμῶν οὐκ ἔστιν ἀπόδειξις, τῆς ἀντιφάσεως οὐδέν ἐστι LXXXIII
μεταξύ, τῇ οὐσίᾳ οὐδέν ἐστιν ἐναντίον, τὸν ἀγαθὸν οὐδεὶς ἀδικῆσαι δύναται, 50
καὶ ἐπὶ πάντων ὁμοίως.

p. 48b30 Οἷον ὅτι οὐκ ἔστι κινήσεως κίνησις ἢ γενέσεως γένεσις,
5 ἡδονῆς δὲ ἔστιν· οὐκ ἄρα ἡ ἡδονὴ γένεσις.

Πάλιν τοῖς ὑποδείγμασι σαφῆ ποιεῖ τὸν λόγον. ἔστιν οὖν ὁ συλλογισμὸς ἐν δευτέρῳ σχήματι τοιοῦτος· κινήσεως οὐκ ἔστι κίνησις, ἡδονῆς δὲ ἔστι κίνησις, ἡ ἄρα ἡδονὴ οὐκ ἔστι κίνησις· ὁμοίως γενέσεως οὐκ ἔστι γένεσις, ἡδονῆς δὲ | ἔστι γένεσις, ἡ ἄρα ἡδονὴ οὐκ ἔστι γένεσις. LXXXIVr
10 ἐν τούτοις γὰρ αἱ μὲν προτάσεις κατὰ γενικὴν πτῶσιν προῆλθον, τὸ δὲ συμπέρασμα κατ' εὐθεῖαν.

p. 48b32 Ἢ πάλιν ὅτι γέλωτος μὲν ἔστι σημεῖον, σημείου δὲ οὐκ ἔστι σημεῖον, ὥστε οὐ σημεῖον ὁ γέλως.

Ὑποδείγματος ἕνεκεν ἐκτίθεται τοὺς ὅρους, οὐ μὴν τὰ πράγματα
15 ἐξετάζων· διὸ οὐκ ἀκριβολογητέον περὶ τὰ πράγματα. ἔστι γὰρ ὁ γέλως σημεῖον ποιᾶς διαθέσεως τῆς ψυχῆς, οἷον ἡδονῆς καὶ διαχύσεως. ἔστιν 5
δὲ καὶ σημείου σημεῖον, ὡς τοῦ πυρσοῦ ὁ καπνός· ὁ μὲν γὰρ πυρσὸς σημεῖον τοῦ πολέμου, ὁ δὲ καπνὸς τοῦ πυρσοῦ· καὶ ἡ ἐν τῷ τοίχῳ δὲ ἢ τῷ τέγει γινομένη αἰθάλη προσεχῶς τοῦ καπνοῦ ἐστι σημεῖον. ἀλλ'
20 οὐδὲ σημεῖον εἴη ἄν τι γέλωτος· εἰ γὰρ λέγοι τις ὅτι τὸ σεσηρέναι τὰ χείλη ἢ ποιὸν ἀποτελεῖν ψόφον, οὐ σημεῖά ἐστι γέλωτος ταῦτα ἀλλ' ὕλη γέλωτος· ἐκ τούτων γὰρ συνέστηκεν. ὥστε οὐκ ἐξεταστέον ἐν τούτοις τὰ πράγματα.

---

1 τοῦ ὁρισμοῦ Y 2 τὸ B 4 κίνησις κινήσεως Y 5 οὐκ κτλ. om. Y 6 σαφὲς t ποιεῖται B 7 ἐν δευτέρῳ σχήματι om. Bt 9 δὲ om. B 12 ὅτι Bt Arist.: ὡς Y ἔστι μὲν Y 14 μὲν Yt 15 παραδείγματα B 16 τῆς om. Y 18 τῷ om. Y 19 ἡ libri τῷ τέγει B: τότε Yt post γινομένη add. μελανία καὶ ἡ ἐκ τῶν καυθέντων ξύλων Y post καπνοῦ add. ἡ μελανία τῷ τοίχῳ Y σημεῖον ἐστὶν B post ἀλλ' add. οὐ τοῦ πυρὸς ἢ τῆς τέφρας ἀλλ' Y 20 ἄν τι t: ἀντὶ B: τοῦ Y 21 post οὐ add. γὰρ δὴ Y σημεῖον, ον superscr. Y ταῦτα γέλωτος t 22 ἐκ τούτων Bt: ἐκ γὰρ τῆς ἐναντίας διαθέσεως πλέον τοῦ συνήθους εὐρυομένων τῶν πόρων, εἰσέλκει καί τι πνεῦμα δι' αὐτῶν ἐπὶ τὸ βάθος. κἀκεῖθεν ἐξωθεῖται πάλιν παρὰ τῆς φύσεως διὰ τοῦ κατὰ τὸ στόμα πόρου. πάντων τῶν σπλάγχνων. μάλιστα δὲ τοῦ ἥπατος ὡς φασὶ διά τινος κλόνου [illegible] βρασματώδους κινήσεως, τὸ τοιοῦτον πνεῦμα συνεξωθοῦντων· ὅθεν εὐκολίαν τινὰ τῇ διεξόδῳ τοῦ πνεύματος μηχανωμένη φύσις, ἀνευρύνει τὸν παρὰ τὸ στόμα πόρον. [illegible] παρὰ τὸ ἄσθμα, τὰς παρειὰς διαστέλλουσα· ὄνομα δὲ τὸ γενόμενον γέλως παρὰ τὸ τὰ γυῖα λύειν· τουτέστι τὰ μὲν χαῦνα καὶ ἐξίτηλα ποιεῖν. (περὶ γέλωτος φυσιολογίαν rubr. in marg.) οὕτως Y 22 post ὥστε add. καὶ Y post τούτοις add. τοῖς παραδείγμασι Y τὰ] τ e κ corr. Y 23 παραδείγματα B

p. 48b33 Ὁμοίως δὲ κἀν τοῖς ἄλλοις, ἐν ὅσοις ἀναιρεῖται τὸ πρόβλημα τῷ λέγεσθαί πως πρὸς αὐτὸ τὸ γένος. LXXXIVr

Τουτέστι καὶ ἐν τοῖς ἄλλοις σχήμασιν ἐν οἷς ἀποφατικὰ συνάγεται συμπεράσματα. γένος δὲ τὸν ἐν δευτέρῳ σχήματι μέσον ὅρον ἐκάλεσε, διότι καθολικώτερός ἐστιν ἀμφοτέρων τῶν ἄκρων· οἷον γένεσις οὐδεμιᾷ γενέσει, γένεσις πάσῃ ἡδονῇ, οὐδεμία ἄρα ἡδονὴ γένεσίς ἐστιν.

p. 48b35 Πάλιν ὅτι ὁ καιρὸς οὐκ ἔστι χρόνος δέων.

Τινὲς γὰρ οὕτως ὁρίζονται τὸν καιρόν, ὅτι ἔστι χρόνος δέων. ἀναιρεῖται δὲ τὸν τρόπον τοῦτον ἐν τρίτῳ σχήματι· θεῷ καιρός ἐστι· πάντα γὰρ κατὰ καιρὸν ποιεῖ· θεῷ χρόνος δέων οὐκ ἔστιν· ὁ μὲν γὰρ δέων χρόνος ἐστὶ καθ' ὃν ὠφελεῖται ὁ τούτου μετέχων, οὐδὲν δὲ θεῷ ὠφέλιμον· ὁ ἄρα καιρὸς οὐκ ἔστι χρόνος δέων. τὸ σχῆμα τρίτον, καὶ αἱ μὲν προτάσεις κατὰ δοτικήν, τὸ δὲ συμπέρασμα κατ' εὐθεῖαν. δῆλον δὲ καὶ ἐντεῦθεν ὅτι οὐ τῆς ἀκριβείας τῶν πραγμάτων καταγίνεται ἀλλὰ τοῦ ὑπόδειγμά τι θεῖναι· δῆλον γὰρ ⟨ὡς⟩ ὥσπερ ἐστὶ θεῷ καιρὸς οὐ πρὸς αὐτὸν ἀλλὰ πρὸς τὰ ὑπ' αὐτοῦ γινόμενα, οὕτω καὶ δέων χρόνος ἐστὶ πρὸς ἐκεῖνα.

p. 48b39 Ἁπλῶς γὰρ τοῦτο λέγομεν κατὰ πάντων, ὅτι τοὺς μὲν ὅρους ἀεὶ θετέον κατὰ τὰς κλήσεις τῶν ὀνομάτων, οἷον ἄνθρωπος ἢ ἀγαθὸς ἢ τἀναντία.

Ὃ βούλεται ἐν τούτοις εἰπεῖν, τοῦτό ἐστιν, ὅτι ἐν μὲν τῇ ἐκθέσει τῶν ὅρων, ἐν οἷς ζητοῦμεν τὰ ὑπάρχοντα καὶ τὰ ἑπόμενα, κατ' εὐθεῖαν δεῖ πτῶσιν ἐκτίθεσθαι τοὺς ὅρους, ἐπειδὰν μέντοι συμπλέκωμεν αὐτοὺς ἀλλήλοις, ἵνα τὰς τοῦ συλλογισμοῦ προτάσεις ποιήσωμεν, κατά τινα τῶν τοῦ ὀνόματος πτώσεων καὶ οὐ μόνον κατὰ τὴν εὐθεῖαν. τὸ γὰρ κατὰ τὰς κλήσεις τῶν ὀνομάτων ἀντὶ τοῦ 'κατὰ τὰς εὐθείας'· αὗται γάρ εἰσι καθ' ἃς ἕκαστος κέκληται.

p. 49a2 Ἢ γὰρ ὅτι τούτῳ, οἷον τὸ ἴσον.

Ὑπόδειγμα τῶν πτώσεων, γενικῆς μὲν 'τὸ διπλάσιον ἡμίσεός ἐστι

---

1 καὶ ἐν B 2 τῷ Y Arist.: τὸ Bt τὸ om. B 3 καὶ om. Y ἀποφατικὸν t 4 τὸν ἐν Bt: ἐν τῷ Y ante μέσον add. τὸν Y 7 ὁ καιρὸς οὐκ ἔστι Y Arist.: οὐκ ἔστιν ὁ καιρὸς Bt post δέων add. θεῷ γὰρ καιρὸς μέν ἐστι Y 8 δὲ Y post ὅτι add. οὐκ Y 9 δὲ scripsi: γὰρ BYt τῷ τρόπῳ τούτῳ Y 10 post κατὰ add. τὸν t καιρὸν Yt: χρόνον B 11 δὲ om. B ὁ post ἄρα colloc. B: om. t 14 γίνονται Y: fort. γίνεται cf. Cat. p. 6,19 ὑπόδειγμά τι scripsi: ὑποδείγματος BYt θεῖναι Bt: χάριν εἶναι Y 15 ὡς addidi 17 ὅτι κτλ. om. Y 19 ἀγαθὸν Arist. τἀναντία Bt (n): ἐναντία Arist. 22 συμπλέκομεν Y αὐτοὺς om. t 25 κλίσεις Y (A B u) γάρ om. Y 26 an ἕκαστον? compend. B κλίνεται Y 27 τῷ ἴσῳ Y 28 προτάσεων t ἡμίσεως t

διπλάσιον', δοτικῆς δὲ 'τὸ ἴσον ἴσῳ ἴσον', αἰτιατικῆς δὲ 'τὸ τύπτον LXXXIVr τυπτόμενον τύπτει, τὸ ὁρῶν ὁρώμενον ὁρᾷ'. ἀλλὰ καὶ κατ' εὐθεῖαν, φησίν, ὁ ἄνθρωπος ζῷον.

p. 49a4 Ἢ εἴ πως ἄλλως πίπτει τοὔνομα.

Καίτοι τὰς πέντε ἐξέθετο πτώσεις χωρὶς τῆς κλητικῆς· οὐ γὰρ πρόσφορος τῷ ἀποφαντικῷ λόγῳ. πῶς οὖν φησιν ἢ εἴ πως ἄλλως πίπτει τοὔνομα; μήποτε οὖν, ἐπειδὴ πολλάκις καὶ ῥήμασι χρώμεθα ἐν τοῖς ὑποκειμένοις ὅροις, οἷον τὸ φιλοσοφεῖν ἀγαθόν ἐστιν, διὰ τοῦτο εἶπε τὸ ἢ εἴ πως ἄλλως πίπτει τοὔνομα· καὶ γὰρ ταῦτα ὀνόματά εἰσι τῶν ῥημάτων, διὸ καὶ μετὰ ἄρθρων λέγεται.

p. 49a6 Τὸ δὲ ὑπάρχειν τόδε τῷδε καὶ τὸ ἀληθεύεσθαι τόδε κατὰ τοῦδε τοσαυταχῶς ληπτέον ὁσαχῶς αἱ κατηγορίαι διήρηνται.

Εἰπὼν περὶ τῆς κατὰ τὰς πτώσεις τῶν ὅρων συμπλοκῆς λέγει νῦν περὶ τῆς ἰδέας αὐτῶν, ὅτι οὐκ ἀεὶ ἐκ τῆς οὐσίας λαμβάνονται ἀλλὰ καὶ ἐκ τῶν ἄλλων κατηγοριῶν, ἐκ μὲν τῆς οὐσίας 'ὁ ἄνθρωπος ζῷον', ἐκ δὲ τοῦ ποιοῦ 'ὁ Αἰθίοψ μέλας ἐστίν' ἢ 'τὸ λευκὸν χρῶμά ἐστι' (δυνατὸν γὰρ καὶ θάτερον τῶν ὅρων καὶ ἀμφοτέρους ἐκ τῆς αὐτῆς λαμβάνειν κατηγορίας), ἐκ δὲ τοῦ ποσοῦ 'ὁ ἀριθμὸς διωρισμένον ποσόν ἐστιν' ἢ 'ὁ ἄνθρωπος τρίπηχύς ἐστι', καὶ ἐκ τοῦ πρός τι 'Σωκράτης πατήρ ἐστιν' ἢ 'ὁ πατὴρ αἴτιόν ἐστιν', καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

p. 49a8 Καὶ ταύτας ἢ πῇ ἢ ἁπλῶς, ἔτι ἢ ἁπλᾶς ἢ συμπεπλεγμένας.

Τουτέστιν ἢ κατά τι τῶν εἰδῶν, οἷον Σωκράτης λευκός, ἢ κατὰ γένη, οἷον Σωκράτης κέχρωσται ἢ πεποίωται, πᾶσα οὐσία μετὰ ποιότητος, καὶ ἀποφατικῶς οὐδεμία οὐσία ποιότητός ἐστι. καὶ αὗται μὲν ἁπλαῖ ἐκ τῶν συμβεβηκότων κατηγορίαι ἢ πῇ ἢ ἁπλῶς. συμπεπλεγμέναι δέ, ὡς ὅταν εἴπω 'Σωκράτης βαδίζων μανθάνει'· συνέπλεξα γὰρ τῷ ποσῷ τὸ ποιόν. ἢ οὖν τοῦτό φησι τὸ συμπεπλεγμένας, ὅτι ἐν | ἑνὶ ὅρῳ τῷ κατη- LXXXIVv γορουμένῳ δύο κατηγορίας συμπλέκειν, ἢ καὶ ἐν τῇ ὅλῃ προτάσει συμπλέκειν, ἵνα τὸν μὲν τῶν ὅρων ἐξ ἄλλης κατηγορίας λάβωμεν τὸν δὲ ἐξ ἄλλης, οἷον ὁ βαδίζων ὑγιαίνει. οὐκ ἀεὶ δὲ δύνανται συμπλέκεσθαι· αἱ

1 δὲ utrumque om. Bt 2 ὁρᾶ BY: ὁρᾷν t 6 ἀποφαντικῷ scripsi: ἀποφατικῶ BYt 7 τὸ ὄνομα B 8 τὸ alt. om. Y 9 τὸ ὄνομα Y 14 τῆς περὶ Y 19 ἐκ δὲ Y: καὶ ἐπὶ Bt 21 ὡσαύτως t 22 ἁπλῶς—πῇ B post ἔτι add. δὲ t ἢ tert. BYt (n): om. Arist. 27 τῷ ποιῷ τὸ ποιεῖν conicio 28 συμπεπλεγμένα Bt ante ὅτι add. ἢ t an ⟨ἔνεστιν⟩ sive ⟨ἔνι⟩ ἐν? 31 δύνασθαι Bt

γὰρ κατηγορίαι πολλάκις ἑκάστη μὲν ἰδίᾳ κατηγορεῖσθαί τινος LXXXIV^{v} δύναται, συμπεπλεγμέναι δὲ οὐκέτι. φημὶ γὰρ οὕτω· Σωκράτης ἀγαθός ἐστι, Σωκράτης ἰατρός ἐστιν· οὐ πάντως δὲ καὶ συμπλέξαντι ἀληθὲς εἰπεῖν 5 'ἰατρὸς ἀγαθός ἐστιν'· ἐνδέχεται γὰρ ὡς μὲν ἄνθρωπον ἀγαθόν, ὡς δὲ 5 ἰατρὸν κακὸν εἶναι. ἀλλ' οὐδὲ τὰ συμπεπλεγμένως κατηγορούμενα πάντως καὶ ἰδίᾳ· ἐνδέχεται γὰρ εἰπεῖν τινα ὅτι ἀγαθὸς ἰατρός, οὐ μὴν ὅτι καὶ ἁπλῶς ἀγαθός.

p. 49a9 Ὁμοίως δὲ καὶ τὸ μὴ ὑπάρχειν.

Τουτέστιν ἐπὶ τῶν ἀποφατικῶν προτάσεων.

10 p. 49a9 Ἐπισκεπτέον δὲ ταῦτα καὶ διοριστέον βέλτιον. 10

Ἢ ὡς μέλλων περὶ τούτων διορίζεσθαι ταῦτά φησι, ποῖαι μὲν τῶν κατηγοριῶν ἰδίᾳ κατηγορεῖσθαι δύνανται, οὐ μὴν συμπεπλεγμένως, ποῖαι δὲ καὶ συμπλέκεσθαι δύνανται, ἢ ἡμῖν τοῦτο ποιεῖν παρακελεύεται, ἵν' ὦμεν προπαρεσκευασμένοι καὶ τούτῳ.

15 p. 49a11 Τὸ δ' ἐπαναδιπλούμενον ἐν ταῖς προτάσεσι πρὸς τῷ πρώτῳ ἄκρῳ θετέον, οὐ πρὸς τῷ μέσῳ.

Ἄλλο τι πάλιν παραδίδωσι θεώρημα· ἐπειδὴ γὰρ εὑρίσκομεν πολλάκις ἐν τοῖς παρὰ τοῖς ἀρχαιοτέροις κειμένοις λόγοις ὅρους τινὰς δὶς παραλαμβανομένους ἐν τῇ αὐτῇ προτάσει καὶ ἐν τῷ συμπεράσματι τὸν μέσον ὅρον 20 κείμενον, διδάσκει ἡμᾶς ἐν τούτοις πῶς δεῖ καὶ τοὺς τοιούτους ἀναλύειν συλλογισμούς, καὶ ποίᾳ τῶν προτάσεων συντακτέον τὸν ἐπαναδιπλούμενον ὅρον. ἐπαναδίπλωσις δέ ἐστιν, ὅπερ εἶπον, ἡ τοῦ αὐτοῦ ὅρου δὶς ἐν τῇ 25 αὐτῇ προτάσει παράληψις, ὃς καὶ ἐν τῷ συμπεράσματι πάντως εὑρίσκεται. οἷον τί λέγω; ἔστω δεδειγμένον ὅτι τῆς δικαιοσύνης ἐπιστήμη ἐστὶν 25 ὅτι ἀγαθόν· ἔστι μὲν γὰρ ἁπλῶς δικαιοσύνης ἐπιστήμην εἶναι ὅτι ἐστὶ τοῦ κατ' ἀξίαν ἑκάστῳ ἀπονεμητική· ἔστι δὲ καὶ ἐπιστήμην περὶ αὐτῆς ἔχειν ὅτι ὠφέλιμος ἢ αἱρετὴ ἤ τι τοιοῦτον ἄλλο, ὡς ἔχει καὶ ὁ νῦν λόγος. τὸ οὖν 'ὅτι ἀγαθόν' οὐ τῇ ἐλάττονι, φησί, προτάσει συντακτέον ἀλλὰ τῇ μείζονι κατὰ τὸν κατηγορούμενον ὅρον, τουτέστι τὸν μείζονα. καὶ τοῦτο 30 30 εἰκότως, ὅτι καὶ ἐν τῷ συμπεράσματι πρὸς τῷ κατηγορουμένῳ ὅρῳ κεῖται· οἷον ἡ δικαιοσύνη ἀγαθόν ἐστι, τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστὶν ὅτι ἀγαθόν,

1 γὰρ om. Y ἑκάστην t 2 συμπεπλεγμένη Y ἀγαθόν t 3 συμπλέξαντες Y 4 ἄνθρωπος, ut videtur, pr. B 5 συμπεπλεγμένα ὡς Bt 6 ἰατρὸς ἀγαθός ἐστιν, οὐ B 10—14 om. Y 16 post ἄκρῳ add. δὲ t τὸ μέσον t 17 πάλιν mrg. , ut videtur, Y² 18 περὶ pr. B 18. 19 παραλαμβανομένους BSt: λαμβανομένους Y 19 μέσον om. t 21 ποῖον, om. καὶ Y 22 ὅπερ εἶπον BSt: ὥσπερ εἴπομεν Y 24. 25 ἐστὶ τὸ Y 25 ἐπιστήμων Y 26 ἀπονεμητική BSt: διανεμητική Y 27 ἢ αἱρετὴ S: ἡ ἀρετὴ BYt τι om. Bt ἄλλο τοιοῦτον B καὶ om. B 28 φησιν post ἀγαθόν colloc. Y συνακτέον B 30 καὶ om. Y

τῆς δικαιοσύνης ἄρα ἐπιστήμη ἐστί, τουτέστι καθὸ ἀγαθόν. εἰ γὰρ LXXXIV v
μὴ οὕτω τεθείη, φησίν, ὁ ἐπαναδιπλούμενος ὅρος ἀλλὰ πρὸς τῇ ἐλάττονι,
οἷον ἡ δικαιοσύνη ἀγαθὸν ⟨ὅτι ἀγαθόν⟩, καὶ ἀσύνετον ἔσται τὸ λεγόμενον
καὶ ψεῦδος. ὅταν γὰρ εἴπωμεν 'ἡ δικαιοσύνη ἀγαθὸν ὅτι ἀγαθόν', εἰ μὲν
5 οὖν τοῦτο λέγομεν, ὅτι ἀγαθόν ἐστι διότι ἀγαθόν ἐστι, γελοῖον καὶ ἀσύ-
νετον τὸ λεγόμενον, ὡς ἂν εἰ ἐλέγομεν 'Σωκράτης ἄνθρωπός ἐστιν ὅτι 35
ἄνθρωπός ἐστιν'. εἰ δὲ μὴ οὕτω φαμὲν τὸ 'ὅτι ἀγαθόν' ἀλλ' ἀντὶ τοῦ 'ὅπερ
τὸ ἀγαθόν', ὅτι ἀγαθόν ἐστιν ἡ δικαιοσύνη οὐ τὸ τυχὸν ἀλλὰ ὅπερ τὸ
ἀγαθόν, ψευδὴς ὁ λόγος· οὐ γάρ ἐστι τὸ γενικὸν ἀγαθὸν ἡ δικαιοσύνη· ἔστι
10 γὰρ καὶ ἄλλα ἀγαθά, σωφροσύνη, ὑγίεια, φρόνησις. μόνως οὖν ἐν τῷ
μείζονι ὅρῳ θετέον τὸν ἐπαναδιπλούμενον ὅρον.

p. 49a 22 Ὁμοίως δὲ καὶ εἰ τὸ ὑγιεινὸν δειχθείη ὅτι ἐπιστητόν ἐστιν ᾗ ἀγαθόν.

Ἕτερον ὑπόδειγμα· τὸ ὑγιαίνειν ἀγαθόν, τὸ ἀγαθὸν ἐπιστητόν ἐστιν 40
15 ὅτι ἀγαθόν, τὸ ὑγιαίνειν ἄρα ἐπιστητόν ἐστιν ὅτι ἀγαθόν.

p. 49a 23 Ἢ τραγέλαφος ᾗ μὴ ὄν.

Τρίτον ὑπόδειγμα· ὁ τραγέλαφος μὴ ὄν, τὸ μὴ ὂν δοξαστὸν ᾗ μὴ ὄν, ὁ τραγέλαφος ἄρα δοξαστόν ἐστιν ᾗ μὴ ὄν. παραλέλειπται τὸ δοξαστόν.

p. 49a 24 Ἢ ὁ ἄνθρωπος φθαρτὸν ᾗ αἰσθητόν. 45

20 Ὁ ἄνθρωπος αἰσθητόν, τὸ αἰσθητὸν φθαρτὸν ᾗ αἰσθητόν, ὁ ἄνθρωπος ἄρα φθαρτὸς ᾗ αἰσθητός. καὶ ἐπὶ πάντων ὁ αὐτὸς τρόπος.

p. 49a 27 Οὐχ ἡ αὐτὴ δὲ θέσις τῶν ὅρων, ὅταν ἁπλῶς τι συλλογισθῇ καὶ ὅταν τόδε τι ἢ πῇ ἢ πῶς.

Πάλιν ἐπὶ ἕτερον μεταβαίνει θεώρημα. πολλάκις, φησί, βουλόμεθα
25 δεῖξαι ὅτι τόδε τῷδε ὑπάρχει, οἷον ὅτι ὁ ἄνθρωπος ἐπιστητός ἐστιν· πολ-
λάκις δὲ οὐχ ἁπλῶς ὅτι τὸ ἐπιστητὸν αὐτῷ ὑπάρχει δεῖξαι βουλόμεθα.
ἀλλὰ καθὸ λευκός ἐστιν ἢ καθὸ φιλόσοφος. οὐ τὸν αὐτὸν ⟨οὖν⟩, φησί, δεῖ

---

3 post ἀγαθὸν add. ἐστι Y ὅτι ἀγαθόν ex Arist. addidi καὶ om. t ἀσύνετον scripsi cf. vs. 5. 6: ἀσύστατον BYt ante ἔσται add. φησὶν V ἔσται ante καὶ collocat B 4 εἴπομεν t 5 οὖν deleverim 5. 6 σύνετον B 7 οὕτω Bt: τοῦτο Y 8 ὅπερ τὸ S: inv. ord. BYt 9 ἡ om. St post δικαιοσύνη add. ἀλλ' ἡ ἀρετή Y 10 ὑγίεια om. Y post φρόνησις add. ἀνδρεία, ὑγεία Y 11 τὸν om. Y 12—21 om. Y 18 δοξαστόν prius B: δοξαστός t 19 ὁ t Arist.: om. B (n f) 24 θεώρημα om. Bt 27 καθὸ alt. om. B post φιλόσοφος add. ἐστιν B οὖν addidi

τιθέναι μέσον ὅρον, ὅταν ἁπλῶς τε ὑ|πάρχειν [ἢ] τινί τι δεῖξαι βου- LXXXV r
λώμεθα, καὶ ὅταν πῇ ὑπάρχειν, ἀλλ' εἰ μὲν ἁπλῶς ὑπάρχει τὸ κατηγορούμενον, καθολικὸν δεῖ τιθέναι καὶ τὸν μέσον ὅρον, εἰ δὲ πῇ, καὶ ὁ μέσος ὅρος μερικώτερος ἔσται. οἷον, φησίν, εἰ τὸ ἀγαθὸν ἐπιστητὸν ἁπλῶς δεῖξαι θελήσομεν, καὶ πάλιν εἰ μὴ ἁπλῶς ὅτι ἐπιστητόν, ἀλλ' ὅτι ἀγαθὸν ἐπιστητόν· ἔστω γὰρ μέσος ὅρος δι' οὗ δείκνυται τὸ πρόβλημα τὸ ὄν· δῆλον οὖν ὅτι ἐπὶ μὲν τοῦ προτέρου συλλογισμοῦ τὸ ἁπλῶς ὂν μέσον τεθήσεται, ἐπὶ δὲ τοῦ δευτέρου τὸ τὶ ὄν. οἷον τὸ ἀγαθὸν ὄν ἐστι, τὸ ὂν ἐπιστητόν ἐστιν ὅτι ὄν, τὸ ἀγαθὸν ἄρα ἐπιστητόν ἐστιν ὅτι ὄν. ἐπὶ δὲ τοῦ δευτέρου ἔστω μέσον τὸ τὶ ὄν, οἷον τὸ ὠφέλιμον ἢ αἱρετὸν ἢ ἐφετὸν ἤ τι τοιοῦτον ἕτερον· τὸ ἀγαθὸν ὠφέλιμον, τὸ ὠφέλιμον ἐπιστητὸν ὅτι ἀγαθόν, τὸ ἀγαθὸν ἄρα ἐπιστητὸν ὅτι ἀγαθόν· τὸ γὰρ αἱρετὸν καὶ ὠφέλιμον οὐχ ἁπλῶς ὄντα ἀλλὰ τινὰ ὄντα. ἴδωμεν δὲ καὶ τὴν λέξιν.

p. 49a31 Ἔστω γὰρ τὸ μὲν Α ἐπιστήμη ὅτι τὶ ὄν, ἐφ' ᾧ δὲ Β ὄν τι, τὸ δὲ ἐφ' ᾧ Γ ἀγαθόν.

Πρῶτον τοῦ πῇ, οὐ τοῦ ἁπλῶς ὑπόδειγμα τίθησιν· οἷον τὸ ἀγαθὸν τὶ ὄν, τοῦ τινὸς ὄντος ἐπιστήμη ἐστὶν ὅτι τι ὄν, τοῦ ἀγαθοῦ ἄρα ἐπιστήμη ἐστὶν ὅτι τι ὄν. ἐθήκαμεν δὲ ἤδη ἐπὶ ὅρων τὰς προτάσεις.

p. 49a36 Ἦν γὰρ τὸ τὶ ὂν τῆς ἰδίας σημεῖον οὐσίας.

Οἷον τὸ ὠφέλιμον ἢ τὸ αἱρετὸν τῆς ἰδιαζούσης τοῦ ἀγαθοῦ οὐσίας δηλωτικά ἐστι· τὸ δὲ ὂν ἁπλῶς οὐ τῆς ἰδίας οὐσίας κατηγορεῖται ἀλλὰ τῆς κοινῆς.

p. 49a36 Εἰ δὲ τὸ ὂν μέσον ἐτέθη καὶ πρὸς τῷ ἄκρῳ τὸ ὂν ἁπλῶς καὶ μὴ τὸ τὶ ὂν ἐλέχθη, οὐκ ἂν ἦν συλλογισμὸς ὅτι ἐστὶν ἐπιστήμη τοῦ ἀγαθοῦ ὅτι ἀγαθὸν ἀλλ' ὅτι ὄν.

Εἰ ἐν τῷ μέσῳ ὅρῳ, φησί, μὴ τὸ τὶ ὂν τεθῇ ἀλλ' ἁπλῶς τὸ ὂν καὶ πρὸς τῷ μείζονι ὅρῳ μὴ τὸ κατά τι ἐπιστητὸν ἀλλὰ τὸ ἁπλῶς ἐπιστητὸν ἢ ὄν ἐστι, καὶ τὸ συμπέρασμα τοιοῦτον ἔσται, ἁπλῶς καὶ οὐ πῇ, οἷον ὅτι τὸ ἀγαθὸν ἐπιστητὸν οὐχ ἢ ἀγαθὸν ἀλλ' ἁπλῶς ἢ ὄν.

---

1 ὑπάρχῃ Y ἢ delevi: εἰ Y 1. 2 βουλώμεθα BY¹: βουλόμεθα Y²t 2 πῇ scripsi: μὴ BYt ὑπάρχειν Bt: ὑπάρχῃ Y ὑπάρχοι t 3 post καὶ prius del. τιθέναι Y¹ ὅρος om. Y 4 post οἷόν add. τι Y 5 θελήσωμεν t 7 συλλογισμοῦ om. Bt 8 ἐστι om. Y 8. 9 ἐστιν ὅτι ὄν utrobique om. Y 13 καὶ om. t 14 γὰρ om. Y 19 ἰδίας Bt (d u): ἰδιαζούσης Y: ἰδίου Arist. οὐσίας: σημεῖον t 21 εἰσι B κατηγορεῖ Yt 23 τίθησι Y 24 οὐκ ἂν κτλ. om. Y 26 ἀλλὰ τὸ ἁπλῶς ὂν Y

p. 49b3 Δεῖ δὲ καὶ μεταλαμβάνειν ἃ τὸ αὐτὸ δύναται, ὀνό- LXXXVr
ματα ἀντ' ὀνομάτων καὶ λόγους ἀντὶ λόγων καὶ ὄνομα καὶ λόγον.

Ἐπὶ ἄλλο τι παράγγελμα μεταβαίνει. ἐπειδὴ γὰρ πρὸς τοῖς ἄλλοις καὶ τῆς τῶν λεγομένων σαφηνείας ἀντιποιούμεθα, ἐν ὅσοις εὑρίσκονται πλείονες ὅροι τὸ αὐτὸ δηλοῦντες, δεῖ ἀντιμεταλαμβάνειν ἐκ τῶν ἀσαφεστέρων τοὺς σαφεστέρους. καὶ ἀντὶ ὀνόματος δέ, ἔνθα ἂν δέῃ, ἀντιμεταληπτέον λόγον καὶ ἀντὶ λόγου λόγον καὶ ἀντὶ λόγου ὄνομα· πολλάκις γὰρ ἡ μετάληψις σαφέστερον ὃ βουλόμεθα δεῖξαι παρίστησιν. οἷον εἰ τὴν ἀρετὴν αὐτοπραγίαν τις εἴποι εἶναι τῶν μορίων τῆς ψυχῆς, δυνατὸν σαφέστερόν τινα λόγον μεταλαβόντας εἰπεῖν προσήκουσαν ἐνέργειαν ἑκάστου τῶν τῆς ψυχῆς μορίων· λόγος γὰρ ἀντὶ λόγου μετείληπται. πάλιν ἀντὶ τοῦ εἰπεῖν ὅτι ὁ ἄνθρωπος οὐκ ἔστιν ὅπερ ζῷον ἀντὶ τοῦ 'ὅπερ ζῷον' λόγου ὄντος μεταληπτέον [εἰς] ὄνομα σαφέστερον, ὅτι ὁ ἄνθρωπος οὐκ ἔστι γένος· τὸ γὰρ 'ὅπερ ζῷον' τὸ γενικὸν ζῷον σημαίνει. ἢ ἀντὶ τοῦ εἰπεῖν 'Σωκράτης ζῷον πεζὸν δίπουν ὀρθοπεριπατητικὸν πλατυώνυχον' λεκτέον ὄνομα, 'Σωκράτης ἄνθρωπός ἐστιν'. ἢ ἔμπαλιν ἀντὶ τοῦ ὀνόματος τὸν λόγον, εἰ σαφέστερόν ἐστι πρὸς τὸ προκείμενον πρόβλημα. ἀλλὰ καὶ ἀντὶ ὀνόματος ὄνομα, οἷον ἀντὶ τοῦ εἰπεῖν 'ἡ δικαιοσύνη λυσιτελές' λέγειν ὅτι ἡ δικαιοσύνη συμφέρον ἢ ἀγαθὸν ἢ ὠφέλιμον.

p. 49b5 Καὶ ἀεὶ ἀντὶ τοῦ λόγου τοὔνομα λαμβάνειν· ῥᾷων γὰρ ἡ τῶν ὅρων ἔκθεσις. οἷον εἰ μηδὲν διαφέρει εἰπεῖν τὸ ὑπολῆπτὸν τοῦ δοξαστοῦ μὴ εἶναι γένος ἢ μὴ εἶναι ὅπερ ὑπολῆπτόν τι τὸ δοξαστόν (ταὐτὸν γὰρ τὸ σημαινόμενον), ἀντὶ τοῦ λόγου τοῦ λεχθέντος τὸ ὑπολῆπτὸν καὶ τὸ δοξαστὸν ὅρους θετέον.

Πειρᾶσθαι, φησί, χρὴ μάλιστα ὀνόματα ἀντὶ λόγων λαμβάνειν· ῥᾴδια γὰρ ἡμῖν ἔσται, φησίν, ἡ τῶν ὅρων ἔκθεσις μάλιστα εἰς τὸ περὶ τῆς εὐπορίας τῶν προτάσεων πρόβλημα, ῥᾷον ⟨ὂν⟩ εὑρίσκειν τὰ τοῖς ὅροις παρακολουθοῦντα ἢ τὰ ὅλοις λόγοις. καὶ ὅλως, εἰ ταὐτὸν δύναται τὸ ὄνομα τῷ λόγῳ, ἐν μὲν τῇ ἐκθέσει τοῖς ὅροις χρησόμεθα, ἐν δὲ τῇ συμπλοκῇ τῶν προτάσεων τοῖς λόγοις· εἰς τοῦτο γὰρ ἡμῖν συνοίσει. ὥσπερ ἐφ' οὗ ἐτέθετο παραδείγματος, οἷον ὅτι τὸ δοξαστὸν ὅπερ ὑπολῆπτόν οὐκ ἔστιν ἢ τοῦ δοξαστοῦ τὸ ὑπολῆπτὸν οὐκ ἔστι γένος· ἀμφότεροι μὲν γὰρ οἱ λόγοι τὸ αὐτὸ δύνανται· ἐν δὲ τῇ ἐκθέσει οὐ δεῖ τοὺς λόγους ἐκτίθεσθαι ἀλλὰ τοὺς ὅρους μόνους, τὸ δοξαστόν φημι καὶ τὸ ὑπολῆπτόν.

---

5 ἀντιλαμβάνειν Bt 6 δὲ Yt: δέον B δέοι B 13 εἰς delevi
14 τὸ om. Bt 15 δίπουν om. Y πλατυώνυχον t cf. Ind.: πλατυόνυχον BY
post λεκτέον add. ὅτι Y 20 τοῦ om. Y τοὔνομα t Arist.: ὄνομα BY
ῥάων κτλ. om. Y 21 τῶν ὅρων ἔκθεσις t Arist.: μετάληψις B 25 post ἀντὶ
add. τῶν Bt 27 ὂν addidi εὑρίσκονται B 31 οὐκ om. Y
34 μόνον B

p. 49b10 Ἐπεὶ δὲ οὐ ταὐτόν ἐστι τὸ εἶναι τὴν ἡδονὴν ἀγαθὸν καὶ τὸ εἶναι τὴν ἡδονὴν τὸ ἀγαθόν, οὐχ ὁμοίως θετέον τοὺς ὅρους.

Ἄλλο πάλιν θεώρημα παραδίδωσιν, ὅτι οὐ δεῖ μηδὲν οἴεσθαι τὸ παρὰ μικρὸν ἐκκεῖσθαι τοὺς ὅρους, ὅπερ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγεν, οἷον μετὰ ἄρθρου καὶ ἐκτὸς ἄρθρου· ὅλῳ γὰρ καὶ παντὶ διαλλάττειν ποιεῖ τοὺς ὅρους προσκείμενον τὸ ἄρθρον ἢ μὴ προσκείμενον. οἷον εἴ τις εἴποι ὅτι ἡ ἡδονὴ τὸ ἀγαθόν ἐστι· τὸ μὲν γὰρ λέγειν ὅτι ἡ ἡδονὴ ἀγαθόν ἐστι τοῦτο σημαίνει, ὅτι ⟨τι⟩ ἀγαθόν ἐστιν ἡ ἡδονή· τὸ δὲ λέγειν ὅτι ἡ ἡδονὴ τὰ|γα- LXXXV v
θὸν τοῦτ' ἔστιν, ὅτι πᾶν ἀγαθόν ἐστιν ἡ ἡδονὴ ἢ ὅτι γένος τῶν ἀγαθῶν. ὥστε, φησίν, ἐπισκοπεῖν δεῖ τί βουλόμεθα συμπεραῖναι. εἰ μὲν γὰρ ὅτι ἡ ἡδονή τι ἀγαθόν ἐστιν, ἐν τῷ μείζονι ἄκρῳ [τὸ] ἀγαθὸν θετέον· οἷον ἡ ἡδονὴ φυσική ἐστιν ἐνέργεια, πᾶσα φυσικὴ ἐνέργεια ἀγαθόν. ἡ ἡδονὴ ἄρα ἀγαθόν· εἰ δὲ ὅτι ἁπλῶς ἀγαθόν ἐστιν ἡ ἡδονή, τουτέστιν ὅπερ τὸ ἀγαθόν, μετὰ τοῦ ἄρθρου θετέον τὸν μείζονα. παρατίθεται δὲ ὁ Ἀλέξανδρος χαριέστατόν τι παράδειγμα δεικνὺς ὅτι ὅλῳ καὶ παντὶ ἐξαλλαγὴν ποιεῖ ἡ παρὰ μικρὸν τῶν ὅρων θέσις. λέγει γὰρ οὕτως· "εἰ οὐδέν ἐστιν, οὐδὲ νύξ ἐστιν· εἰ μὴ νύξ ἐστιν, ἡμέρα ἐστίν· εἰ ἄρα οὐδέν ἐστιν, ἡμέρα ἐστί". καὶ ὅρα πῶς βραχεῖα ἐναλλαγὴ τοσαύτην ἐναλλαγὴν ἐποίησε· τὸ γὰρ 'οὐδὲ νύξ ἐστιν' δέον οὕτω λαβεῖν καὶ ἐν τῇ μείζονι προτάσει. οὕτω γὰρ ἂν ψευδὴς ἐγίνετο ἡ μείζων πρότασις 'εἰ οὐδὲ νύξ ἐστιν, ἡμέρα ἐστίν'· τοῦτο γὰρ ψεῦδος· ἀληθὲς δὲ τὸ 'εἰ οὐδὲ νύξ ἐστιν, οὐδὲ ἡμέρα ἐστίν'· καὶ συνήγετο 'εἰ οὐδέν ἐστιν, οὐδὲ ἡμέρα ἐστίν'. ἀντὶ οὖν τοῦ εἰπεῖν 'εἰ οὐδὲ νύξ ἐστιν' εἶπεν 'εἰ μὴ νύξ ἐστιν', καὶ οὕτω λοιπὸν ἔσχε χώραν τὸ ἐπάγειν 'ἡμέρα ἐστίν'.

p. 49b14 Οὐκ ἔστι δὲ ταὐτὸν οὔτ' εἶναι οὔτ' εἰπεῖν, ὅτι ᾧ τὸ B ὑπάρχει, τούτῳ παντὶ τὸ A ὑπάρχει, καὶ τὸ εἰπεῖν ᾧ παντὶ τὸ B ὑπάρχει, καὶ τὸ A παντὶ ὑπάρχει.

Ἐπειδὴ πολλάκις τῶν ἀρχαιοτέρων τινὲς ἢ καὶ οἱ προσδιαλεγόμενοι οὐ τὰς δύο προτάσεις τοῦ συλλογισμοῦ λέγουσιν, ὡς καὶ ἔμπροσθεν εἴρηται, ἀλλ' ἔστιν ὅτε τὴν ἐλάττονα μόνην εἰπόντες εὐθὺς ἐπάγουσι τὸ συμπέρασμα, διδάσκει ἡμᾶς πῶς καὶ τούτους ἀναλύσομεν τοὺς συλλογισμούς, καὶ πῶς μὲν ἔχοντες ὀρθῶς ἔχουσι, πῶς δὲ οὐκ ὀρθῶς. ἔστωσαν δὲ οἱ τρεῖς ὅροι

---

2 οὐχ κτλ. om. Y 5 ἐν τοῖς ἔμπρ.] c. 33 p. 47b38 6 καὶ alt. om., ut videtur, pr. B
7 post ἡ ἡδονὴ addiderim ⟨ἀγαθὸν ἢ ὅτι ἡ ἡδονὴ⟩ 9 τι addidi cf. vs. 12 τὸ δὲ—
10 ἡδονὴ om. Y δὲ t: om. B ἡ alt.. om. t 10 ἢ Y: om. Bt
11 βουλόμεθα—p. 355,12 οὐ παντὶ ἐμψύχῳ exhibet L ἡ om. L 12 τὸ delevi
15 ὁ Ἀλέξανδρος] p. 374,24. 25 16 ante ὅλῳ add. τῷ L 17 μηδέν Al.
18 μηδὲν ἄρα Al. 19 διαλλαγὴν L 20 post λαβεῖν add. ὡς B 21 ἐγένετο LY
ἡμέρα—23 οὐδέν ἐστιν om. L 24 ἐπαγαγεῖν Bt 27 καὶ κτλ. om. Y 28 ὑπάρχει
παντί t 30 ἔμπροσθεν] p. 315,16 sq. 32 πῶς prius Bt: ὅπως LY ἀναλύσωμεν L

τοῦ συλλογισμοῦ οἱ Α Β Γ, μείζων μὲν ὁ Α, ἐλάττων δὲ ὁ Γ, μέσος LXXXV^v
δὲ ὁ Β. ἐὰν οὖν, φησίν, οὕτω τις εἴπῃ, ὅτι ᾧ τὸ Β ὑπάρχει παντί, τούτῳ
καὶ τὸ Α ὑπάρχει παντί, οἷον τῷ Γ, συλλογιστικὸς οὗτος ὁ λόγος.
ἔστι δὲ ἐλάττων μὲν πρότασις ἡ Β Γ, συμπέρασμα δὲ ἡ Α Γ, ἡ δὲ μείζων,
ἥτις καὶ παραλέλειπται, ἡ Α Β, ἐὰν δὲ οὕτω τις εἴπῃ, φησίν, ὅτι ᾧ τὸ
Β ὑπάρχει, τούτῳ παντὶ τὸ Α ὑπάρχει, παραλογίζεται· καὶ τὸ Β
γὰρ εἰ ὑπάρχει τῷ Γ, ἐνδέχεται τὸ Α οὐ μόνον παντὶ τῷ Γ ὑπάρχειν
ἀλλ' ἔστιν ὅτε καὶ οὐδενί. τοῦτο δὲ συμβαίνει διὰ τὸ ἀπροσδιόριστον εἰλῆφθαι τὴν Β Γ πρότασιν, λέγω δὴ τὴν ἐλάττονα, τὰς δὲ ἀπροσδιορίστους
ταῖς μερικαῖς ἰσοδυναμεῖν. ἔστω γὰρ τὸ μὲν Α λευκόν, τὸ δὲ Β πτηνόν,
τὸ δὲ Γ ζῷον. ἀληθὲς δὴ εἰπεῖν ὅτι τὸ πτηνὸν ὑπάρχει τῷ ζῴῳ· τινὶ
γὰρ ζῴῳ ὑπάρχει· αἱ γὰρ ἀπροσδιόριστοι ἰσοδυναμοῦσι ταῖς μερικαῖς. οὐκέτι
δὲ ἀληθὲς εἰπεῖν ὅτι τὸ λευκὸν παντὶ ζῴῳ ὑπάρχει· τινὶ γὰρ ὑπάρχει,
οἷον τῷ κύκνῳ. εἰ δὲ ληφθείη μέρος τοῦ ζῴου ᾧ μὴ ὑπάρχει τὸ λευκόν,
οἷον τῷ κόρακι, τούτῳ τὸ πτηνὸν μὲν ὑπάρξει, τὸ λευκὸν δὲ οὐχ ὑπάρξει.
τὰ μὲν οὖν λεγόμενα ταῦτά ἐστιν. οὐ μόνον δὲ ὅτε οὕτω φαμέν, ὅτι ᾧ
τὸ Β ὑπάρχει, τούτῳ παντὶ τὸ Α ὑπάρχει, ἐνδέχεται τὸ Α ποτὲ
μὲν παντὶ τῷ Γ ποτὲ δὲ μηδενί, ἀλλὰ κἂν οὕτως εἴπωμεν, ὅτι ᾧ τὸ
Β παντί, τούτῳ καὶ τὸ Α παντί. οὐδὲ γὰρ οὕτως ἀεὶ ἀληθὲς τὸ ᾧ τὸ Β
παντί, τούτῳ καὶ τὸ Α παντί· ἐνδέχεται γὰρ καὶ μηδενί. εἰ γὰρ ἡ Α Β
ἀποφατικὴ ληφθείη, τὸ μὲν Β παντὶ τῷ Γ ὑπάρξει, τὸ δὲ Α οὐδενί.
ἔστω γὰρ τὸ μὲν Α ἄψυχον, τὸ δὲ Β ζῷον, τὸ δὲ Γ πτηνόν· τὸ μὲν οὖν
Β παντὶ τῷ Γ ὑπάρξει, τὸ δὲ Α οὐδενί. εἰ δὲ ποτὲ ἐνδέχεται, οἷον εἰ ἀντὶ
τοῦ ἀψύχου τὸ ἔμψυχον λάβω, καὶ ἐπὶ τῆς ἑτέρας συμπλοκῆς τὸ αὐτὸ
ἐνδέχεται, εἰ λάβω λευκόν, ἄλογον, κύκνον· ᾧ γὰρ ὑπάρχει τὸ ἄλογον,
οἷον κύκνῳ, τούτῳ παντὶ ὑπάρχει τὸ λευκόν. ἀλλ' αἱ συλλογιστικαὶ συζυγίαι
οὐκ ἐπὶ τινὸς μὲν ὅλης ἀληθεῖς ἦσαν ἐπὶ τινὸς δὲ οὔ, ἀλλ' ἐπὶ πάσης
(τοῦτο γὰρ ταῖς ἀσυλλογίστοις ὑπῆρχε τὸ ἐπὶ τινὸς μὲν ὅλης ἀληθεύειν
ἐπὶ τινὸς δὲ ψεύδεσθαι), ὡς εἶναι δῆλον ὅτι, καὶ ὅτε ἠλήθευον, οὐ διὰ τὴν
συμπλοκὴν τῶν προτάσεων ἀλλὰ διὰ τὴν ὅλην ἠλήθευον, ἐπεὶ καὶ ἐκ ψευδῶν προτάσεων δυνατὸν ἦν ἀληθές τι συναγαγεῖν διὰ τὴν παραλαμβανομένην
ὅλην. ἐπὶ τούτοις ἔλεγεν ὁ φιλόσοφος ὅτι μήποτε ὁ Ἀριστοτέλης οὐδὲν ἕτερον

1 ὁ prius om. L 2 ὁ om. Yt φησί τις οὕτως LY εἴποι Y 3 ὑπάρξει Y
4 ἡ ᾱβ̄ (post πρ.) B post μείζων add. ἐστιν Y 5 εἴποι LYt 6 παντὶ τὸ (τῷ BS)
α ὑπάρχει BSt Arist.: τὸ α παντὶ ὑπάρχει L: τὸ α ὑπάρξει παντί Y 7 γὰρ εἰ S: δὲ BL:
om. Yt ὑπάρχει BSt: ὑπάρχειν L: ὑπάρξειν Y τὸ LS: γὰρ τὸ Bt: τὸ δὲ Y
8 οὔτε t μηδενί B γὰρ Y 11 δὴ corr. L¹, SY: δὲ Bt, pr. L ὑπαρχέτω
ζῴῳ t 12 γὰρ alt. SY: δὲ BLt ταῖς om. t 13 τινὶ γὰρ ὑπάρχει mrg. L
15 τοῦτο Lt τὸ utrumque SY: om. BLt μὲν ὑπάρχει St 16 ὅτι ὅτε Y 17 τῷ α
(post παντὶ) pr. L, corr. L¹ post ἐνδ. add. γὰρ Bt, δὲ LY: om. S 18 post μὲν add.
μὴ BLY, τινι ποτὲ δὲ μὴ t: om. S εἴπομεν t 19. 20 οὐδὲ—παντί om. Y 20 ἡ om. t
21 post οὐδενὶ add. τῷ γ Y 22. 23 ἔστω—οὐδενί om. B 23 post οὐδενὶ add. τῷ γ Y
οὐδέποτε t 24 post ἑτέρας add. δὲ Y 25 post εἰ add. γὰρ t 27 ἀληθεῖς εἰσὶν B:
ἀληθεύουσιν S 28 ὑπάρχει S post τὸ add. δὲ Yt 29 ὅτε] ὅτι B οὐ διὰ—
30 ἠλήθευον om. t τὴν om. L 31 συνάγειν Bt 32 ὁ ἀλέξανδρος Y

διὰ τῶν νῦν παραδιδομένων θέλει διδάξαι ἢ ὅπερ φθάσας ἐδίδαξεν, LXXXV^{v} ὅτι ἀδύνατόν ἐστιν ἐν πρώτῳ σχήματι καθολικόν τι συναχθῆναι συμπέρασμα καταφατικόν, εἰ μὴ πάντως καθολικὴ εἴη ἡ ἐλάττων· τὴν γὰρ μείζονα πρόδηλον ὡς ἀνάγκη ἀεὶ καθολικὴν εἶναι. τούτου οὖν ὑποκειμένου, λέγω δὴ τοῦ καθολικὴν εἶναι τὴν μείζονα, εἰ μὲν καὶ ἡ ἐλάττων καθολικὴ ληφθῇ, πάντως καθολικὸν ἔσται καὶ τὸ συμπέρασμα, εἰ δὲ ἀπροσδιόριστος, οὐ πάντως. ἀλλ' εἰ τοῦτο ἔλεγε, πρῶτον μὲν περιττὸν περὶ τούτου νῦν λέγειν, περὶ οὗ ἱκανῶς ἐν τῷ περὶ γενέσεως τῶν συλλογισμῶν ἐδίδαξε· νῦν γὰρ περὶ ἀναλύσεως, οὐ περὶ γενέσεως συλλογισμῶν διδάξαι βούλεται. ἔπειτα εἰ δεῖ τὴν μείζονα ὡς ὁμολογουμένην καθόλου καταφατικὴν λαμβάνειν, οὐκέτι ἀληθεύει ἐπὶ τῆς ἀπροσδιορίστου λέγων ὅτι ἐνδέχεται ᾧ τὸ Β ὑπάρχει, τούτῳ μηδενὶ ὑπάρχειν τὸ Α. εἰ γὰρ τὸ μὲν Α παντὶ τῷ Β, τὸ δὲ Β ὑπάρχει τῷ Γ, τουτέστι τινί, πάντως καὶ τὸ Α τινὶ τῷ Γ ὑπάρξει, οὐδέποτε δὲ οὐδενί· ἀδύνατον γὰρ ἐκ δύο καταφατικῶν ἀποφατικὸν συναχθῆναι συμπέρασμα. ὅσον οὖν ἐμὲ εἰδέναι οὐ φαίνεται ὑγιῶς ἔχειν τὸ προκείμενον χωρίον. τὴν λέξιν δὲ ὅμως ἐπισκεψώμεθα.

Οὐκ ἔστι δὲ ταὐτὸν οὔτε εἶναι οὔτε εἰπεῖν, ὅτι ᾧ τὸ Β ὑπάρχει, τούτῳ παντὶ τὸ Α ὑπάρχει, τουτέστιν οὔτε κατὰ τὴν τῶν πραγμάτων ὑπόστασιν οὔτε κατὰ τὴν τῶν λόγων προφορὰν ταὐτόν ἐστι τὸ ὑπάρχειν τε ἁπλῶς καὶ ἀπροσδιορίστως καὶ παντὶ ὑπάρχειν· κἂν γὰρ μὴ παντὶ ὑπάρχῃ, λέγοι|το ἂν ἁπλῶς ὑπάρχειν, ὥς φαμεν τὸ φιλοσοφεῖν LXXXVI^{r} ἀνθρώπῳ ὑπάρχειν, καίτοι οὐ πᾶς ἄνθρωπος φιλοσοφεῖ, ἀλλ' ὅτι τινὶ ὑπάρχει.

p. 49b20 Εἰ μὲν οὖν τὸ Α τῷ Β ὑπάρχει, μὴ παντὶ δὲ καθ' οὗ τὸ Β.

Τουτέστιν ἐὰν ἡ μείζων πρότασις ἡ Α Β μερικὴ εἴη, κἄν τε καθόλου εἴη ἡ ἐλάττων ἡ Β Γ κἄν τε μερική, ἐνδέχεται τὸ Α μηδενὶ ὑπάρχειν τῷ Γ, ὡς ἐφ' ὧν ἐθήκαμεν παραδειγμάτων. ὅσον οὖν ἀπὸ τούτων δόξει, ὅπερ ἤδη εἰρήκαμεν, τὴν μείζονα πρότασιν ὁμολογουμένως καθόλου καταφατικὴν λαμβάνειν. ἀλλὰ προϊὼν ἐπὶ τῆς ἀσυλλογίστου συζυγίας οὐκέτι τοῦτο λαμβάνει, ὡς ἤδη εἰρήκαμεν.

p. 49b22 Εἰ δὲ καθ' οὗ ἂν τὸ Β λέγηται ἀληθῶς, τούτῳ παντὶ τὸ Α ὑπάρχει, συμβήσεται τὸ Α, καθ' οὗ παντὸς τὸ Β λέγεται, κατὰ τούτου παντὸς λέγεσθαι.

Τὴν συλλογιστικὴν ἐκτίθεται συζυγίαν, ὅτι εἰ τὸ Β παντὶ τῷ Γ ὑπάρχει,

1 παραδεδομένων LY φθάσας] c. 4 p. 25b37 sq. cf. c. 24 p. 41b23 5 ληφθείη B 6 οὐ om. Y 7 μὲν Bt: οὖν LY 8 τῶν om. Y γὰρ scripsi: δὲ BYt 15 εἰδέναι ἐμὲ Y 16 δὲ οὖν ὁμοίως ἐπισκεψόμεθα LY 17 ὅτι κτλ. om. Y 18 τῷ ᾱ B 20 τῷ L τε BLSY: καὶ t 21 ὑπάρχει (post παντὶ) t ante λέγοιτο add. οὐ B 21. 22 ὑπάρχοι—ἔφαμεν—ὑπάρχει Y 22 ὑπάρχειν (post τινὶ) t 26 post δόξει add. αὕτη ἡ λέξις ὡς οἶμαι τῷ κάτω ῥητῷ ἁρμόζει. ἐπὶ γὰρ τῷ ἀνθρώπῳ τὴν μείζονα ἀδιόριστον λαμβάνει Y 27 ὡμολογημένως L cf. p. 351,12 καταφατικὸν Yt 28 λαμβάνει Y προϊὼν] p. 49b25 30 ὅτου Y λέγοιτο Y 30. 31 τὸ ᾱ BLt (u, pr. B): om. Y Arist. 31 συμβήσεται κτλ. om. Y πάντως L

προϋποκειμένου τοῦ καὶ τὸ Α παντὶ τῷ Β ὑπάρχειν, συνάγεται ὅτι τὸ LXXXVI r
Α παντὶ τῷ Γ ὑπάρξει. τὸ οὖν καθ' οὗ ἂν τὸ Β λέγηται ἀληθῶς
ἀντὶ τοῦ κατὰ παντὸς ἀκουστέον· ἑξῆς γοῦν φησι συμβήσεται τὸ Α, καθ'
οὗ παντὸς τὸ Β λέγεται.

5 p. 49b25 Εἰ μέντοι τὸ Α λέγεται καθ' οὗ ἂν τὸ Β λέγηται κατὰ
παντός, οὐδὲν κωλύει τῷ Γ ὑπάρχειν τὸ Β, μὴ παντὶ δὲ τὸ Α ἢ 15
ὅλως μὴ ὑπάρχειν.

Τὴν ἀσυλλόγιστον ἀναλαμβάνει συζυγίαν. ὑπερβατῶς δέ ἐστιν ἡ λέξις
εἰ μέντοι τὸ Α λέγεται κατὰ παντὸς καθ' οὗ τὸ Β λέγεται.
10 εἰ οὖν οὕτως ἔχοιεν, φησίν, ὥστε τὴν ἐλάττονα ἀπροσδιόριστον εἶναι, ἐνδέ-
χεται, φησί, τὸ Α ποτὲ μὲν οὐ παντὶ τῷ Γ, ποτὲ δὲ οὐδενὶ ὅλως ὑπάρχειν.
καὶ σκόπει ἐκ τούτων ὅτι, εἰ ὁμολογουμένως τὴν μείζονα καθολικὴν κατα-
φατικὴν ἐλάμβανεν, οὐκ εἶχε χώραν λέγειν ὅτι ἐνδέχεται τὸ Α μηδενὶ τῷ 20
Γ ὑπάρχειν· τῆς γὰρ μείζονος καθόλου καταφατικῆς οὔσης τῆς δὲ ἐλάτ-
15 τονος ἀπροσδιορίστου καταφατικῆς ἀνάγκη πᾶσα καὶ τὸ συμπέρασμα μερικὸν
καταφατικὸν εἶναι. πῶς οὖν φησιν ὅτι ἐνδέχεται τὸ Α τῷ Γ ὅλως μὴ
ὑπάρχειν;

p. 49b27 Ἐν δὴ τοῖς τρισὶν ὅροις δῆλον ὅτι τὸ καθ' οὗ τὸ Β
παντὸς τὸ Α λέγεσθαι τοῦτ' ἔστι, καθ' ὅσων τὸ Β λέγεται, κατὰ
20 πάντων λέγεσθαι καὶ τὸ Α.

Τὸ λέγειν, φησί, καθ' οὗ ⟨τὸ Β⟩ παντὸς τὸ Α λέγεται τοῦτο 25
σημαίνει, ὅτι καθ' ὅσων τὸ Β λέγεται, κατὰ πάντων τούτων καὶ
τὸ Α λέγεται. τοῦτο δὲ οὐκ ἄλλως συμβαίνει, εἰ μὴ καὶ τὸ Α παντὶ
τῷ Β ὑπάρχει.

25 p. 49b30 Καὶ εἰ μὲν κατὰ παντὸς τὸ Β, καὶ τὸ Α οὕτως.

Τουτέστιν εἰ ἡ ἐλάττων καθόλου καταφατικὴ εἴη, καὶ τὸ συμπέρασμα
τοιοῦτον· οἷον εἰ τὸ Β παντὶ τῷ Γ, καὶ τὸ Α παντὶ τῷ Γ· εἰ δὲ τὸ Β 30
μὴ κατὰ παντὸς ὑπάρχει τοῦ Γ, οὐκ ἀνάγκη τὸ Α παντὶ τῷ Γ
ὑπάρχειν, ἀλλ' ἐνδέχεται καὶ μὴ ὑπάρχειν.

---

1 προκειμένου BYt ὑπάρχει L 2 καθὸ L λέγεται libri 4 παντὶ τῷ β′ t λέγεσθαι Yt post λέγεται eras. quae ex antecedentibus iterasse videtur L 5 ἂν om. B, superscr. L[1] λέγεται alt. l. B, pr. L κατὰ om. BY: κατὰ παντὸς superscr. L[2] 6 οὐδὲν κτλ. om. Y 8 ὑπερβατος L 10 φησίν om. Bt post ἐλάττονα add. πρότασιν Bt 12 ὡμολογουμένως sic B: ὡμολογημένος L: ὁμολογημένως Yt cf. p. 350,10. 27 καθόλου Y 13 χώρα Y 15 τὸ μερικὸν συμπέρασμα pr. Y 18 δὲ Y (C) τὸ prius om. BL (A) 19 παντὶ B τὸ α om. L καθ' κτλ. om. Y ὅσον L itemque vs. 22 21 τὸ β̄ παντὸς τὸ α Arist.: παντὸς (παντὶ t) τὸ β̄ BLYt τοῦτο—22 λέγεται om. L 22 τούτων πάντων Y 23 τοῦτο—24 ὑπάρχει om. t καὶ BY: ὡς L 25 τοῦ β̄ Y 26 εἰ B: ἐὰν Y: om. Lt εἴη om. Y 27 οἷον Bt: τουτέστιν LY 29 ὑπάρχει (ante ἀλλ' L)

p. 49b33 Οὐ δεῖ δὲ οἴεσθαι παρὰ τὸ ἐκτίθεσθαί τι συμβαίνειν ἄτοπον· οὐδὲν γὰρ προσχρώμεθα τῷ τόδε τι εἶναι. LXXXVI r

Ἐπειδὴ διὰ παντὸς τοῦ βιβλίου διὰ τῆς τῶν στοιχείων ἐκθέσεως τὴν διδασκαλίαν ἐποιήσατο, ἵνα μή τις ὑπονοήσῃ ὅτι ἡ τῶν στοιχείων ἔκθεσις αἰτία ἐστὶ τοῦ ἢ συλλογιστικὰς εἶναί τινας τῶν συμπλοκῶν ἢ ἀσυλλογίστους, αὐτὸ τοῦτο διδάσκει, ὅτι οὐ παρὰ τὴν ἔκθεσιν τῶν στοιχείων τὰ συμβάντα συμβέβηκε. καὶ τί λέγω τῶν στοιχείων, ὅπου γε οὐδὲ παρὰ τὴν τῶν παραληφθέντων ὅρων φύσιν οὐδὲν τῶν συμβάντων συμβέβηκεν; ἀλλ' ὥσπερ ὁ γεωμέτρης σαφηνείας ἕνεκεν τοῦ μανθάνοντος ἐκτίθεται εὐθεῖάν τινα καὶ ταύτην ἀξιοῖ ἀπλατῆ εἶναι οὐκ οὖσαν ἀπλατῆ ἢ ἄπειρον εἶναι οὐκ οὖσαν ἄπειρον, ὁμοίως καὶ κύκλον γράφει οὐκ ὄντα κύκλον καὶ διάμετρον ὁμοίως καὶ κέντρον καὶ τὰ λοιπὰ ἃ λαμβάνει, καὶ οὐ παρὰ τὰ ἐκτεθέντα συμβαίνει τὰ ἀποδεικνύμενα ἀλλὰ παρὰ τὰ νοούμενα, οἷον τὸ ἀπλατῆ εἶναι τὴν εὐθεῖαν, κἂν ἡ ἐκκειμένη μή ἐστιν ἀπλατής, καὶ παρὰ τὸ τοῦ κύκλου κέντρον ἢ τὴν διάμετρον, κἂν τὰ ἐκκείμενα μὴ οὕτως ἔχῃ, τῆς δὲ διδασκαλίας ἕνεκεν μόνης ἐκτίθεται τὰ τοιαῦτα, διότι οἱ εἰσαγόμενοι δέονται τῆς δι' αἰσθήσεως ὁδηγίας μήπω τοῖς νοητοῖς αὐτοῖς καθ' αὑτὰ ἐπιβάλλειν δυνάμενοι, οὕτω, φησί, καὶ ἡμεῖς τοῖς στοιχείοις ἐχρησάμεθα καὶ τοῖς ὅροις εἰς σαφήνειαν τῆς διδασκαλίας, οὐ παρὰ ταῦτα ἀποδείξαντες τὰ ἀποδεδειγμένα ἀλλὰ παρὰ τὴν συμπλοκὴν τοῦ καθολικοῦ τε καὶ μερικοῦ καταφατικοῦ τε καὶ ἀποφατικοῦ· ἄνευ γὰρ τῆς τούτων τοίας ἢ τοίας συνθέσεως οὐδὲν ἐδείκνυτο. οὕτω γοῦν ἐλέγομεν ὅτι, εἰ τὸ Α παντὶ τῷ Β ὑπάρχει, πᾶσι τοῖς μέρεσιν αὐτοῦ ὑπάρχει, καὶ εἰ τὸ Β τῷ Γ ὑπάρχει ἢ παντὶ ἢ τινί, μέρος ἂν εἴη τὸ Γ τοῦ Β, ὥστε καὶ τὸ Α παντὶ ἢ τινὶ τῷ Γ ὑπάρξει. καὶ οὕτως ἐπὶ πάντων ἐκ τούτων ἐγίνετο ἡ ἀπόδειξις, οὐκ ἐκ τῶν ἐκκειμένων.

p. 49b36 Ἀλλ' οὐχ οὕτως χρῆται ὡς ἐκ τούτων συλλογιζόμενος.

Οὐχ οὕτως χρῆται, φησί, τοῖς ἐκκειμένοις ὡς ἔχει φύσεως· οὐδὲ γὰρ ἀπλατὴς ἡ ἐκτεθεῖσα οὐδὲ ποδιαία. οὕτως οὖν οὐδὲ ἡμεῖς ἐκ τῆς

1 συμβαίνειν τὶ t 2 οὐδὲν κτλ. om. Y γὰρ om. t 4 ἔκθεσις S: θέσις BLYt 5 ἢ prius LSY: om. Bt 6 et 7 περὶ t 6 τὰ συμβαίνοντα S: ταῦτα L 7 post οὐδὲ add. τῶν L: διὰ τῶν Y 8 ὅρων παραληφθέντων SY παραληφθέντων — 9 εὐθεῖάν perierunt in L οὐδὲν BS: οὐ διὰ t: om. Y τὰ συμβάντα Y 9 post γεωμέτρης add. φησὶ Y 10 ἀπλατῆ εἶναι οὐκ οὖσαν iterat Y εἶναι alt. om. S 11. 12 ὁμοίως καὶ κέντρον S: καὶ κέντρον t: κέντρον B: ὁμοίως οὐκ οὖσαν (ὄντα L) LY 12 ἃ deleverim μεταλαμβάνει t περὶ St itemque vs. 13. 14 ἐκτιθέντα Lt 13 ὑποδεικνύμενα Lt 14 ἢ BLS: ἢν t: om Y 15 post διάμετρον add. μὴ εἶναι Y 17 καθ' B² αὐτὰ ex αὐτὸ corr. B: αὐτοῖς Y πιβάλειν sic B 18 φησι post ἡμεῖς colloc. B: om. Y 19 supra παρὰ prius scr. διὰ Y: περὶ utrobique St 20 καθόλου καὶ St ante μερικοῦ add. τοῦ Lt τε alt. om. LSt 22 γὰρ S πᾶσι LSY: παντάπασι Bt 23 μέρος — 24 ἢ τινὶ om. L τὸ γ̄ τοῦ β̄ S: τοῦ γ̄ τὸ β̄ BY: τοῦ β' τὸ γ' t 25 ἐγίνετο ἐκ τούτων B post τῶν add. εἰρημένων τῶν Y κειμένων BSt 26 ὡς κτλ. om. Y 28 οὖν om. B

φύσεως τῶν ἐκτεθέντων στοιχείων ἢ τῶν ὅρων ἀπεδείξαμεν. ἀλλὰ πόθεν ἐπήγαγεν. | ὅλως γάρ, φησίν, ὃ μή ἐστιν ὡς ὅλον πρὸς LXXXVIv μέρος καὶ ἄλλο πρὸς τοῦτο ὡς μέρος πρὸς ὅλον, ἐξ οὐδενὸς τῶν τοιούτων δείκνυσιν ὁ δεικνύων, τουτέστιν εἰ μὴ οὕτως ἔχοιεν οἱ ὅροι ὥστε τὸν μὲν μείζονα περιέχειν τὸν μέσον τὸν δὲ μέσον τὸν ἐλάττονα, ἐξ οὐδενὸς τῶν ἐκκειμένων εἴτε ὅρων εἴτε στοιχείων ἡ ἀπόδειξις ἐγίνετο.

p. 50a1 Τῷ δ' ἐκτίθεσθαι προσχρώμεθα ὥσπερ καὶ τῷ αἰσθάνεσθαι, τὸν μανθάνοντα λέγοντες.

Τουτέστιν ὥσπερ ἐπὶ τῶν μαθημάτων τῇ αἰσθήσει τοῦ μανθάνοντος χρώμεθα, καταγράφοντες ποδιαίαν τὴν μὴ οὖσαν ποδιαίαν καὶ ἀπλατῆ ὁμοίως, διὰ τὸ μὴ δύνασθαι μόνῃ τῇ φαντασίᾳ τοῖς ἐξ ὧν ἡ ἀπόδειξις ἐπιβάλλειν, οὕτω καὶ ἡμεῖς τοῦ σαφοῦς ἕνεκεν τῆς διδασκαλίας τοῖς ὅροις καὶ τοῖς στοιχείοις ἐχρησάμεθα. οὐ γὰρ οὕτω, φησίν, αὐτοῖς ἐχρησάμεθα ὡς χωρὶς αὐτῶν μὴ δυνάμενοι ἀποδεῖξαι, ὥσπερ ἀδύνατον ἀποδεῖξαι χωρὶς τῶν ἐξ ὧν ὁ συλλογισμός, λέγω δὴ τοῦ καθόλου, τοῦ μερικοῦ, τοῦ καταφατικοῦ, τοῦ ἀποφατικοῦ· ἄνευ γὰρ τούτων ἀδύνατον ἀποδεῖξαι.

p. 50a5 Μὴ λανθανέτω δὲ ἡμᾶς ὅτι ἐν τῷ αὐτῷ συλλογισμῷ οὐχ ἅπαντα τὰ συμπεράσματα δι' ἑνὸς σχήματός εἰσιν.

Ὃ βούλεται διὰ τούτων δεῖξαι, ἐκεῖνό ἐστιν, ὅτι ἐπειδὴ τῶν συλλογισμῶν οἱ μὲν ἁπλοῖ εἰσιν, οἱ δὲ σύνθετοι, καὶ καθόλου οἱ μὲν ἐκ προσυλλογισμῶν δείκνυνται, ὧν αἱ προτάσεις οὐκ ἄμεσοι οὐδὲ αὐτόπιστοι, οἱ δὲ οὐδὲν δέονται προσυλλογισμῶν διὰ τὸ ἀμέσους τε εἶναι καὶ αὐτοπίστους τὰς προτάσεις, οὐ δεῖ, φησίν, ἀγνοεῖν ὅτι, ὅταν ἐκ προσυλλογισμῶν περαίνηταί τις συλλογισμός, οὐ πάντως καθ' ἓν καὶ τὸ αὐτὸ σχῆμα πάντα συνάγεται τὰ συμπεράσματα, ἀλλ' ἔστιν ὅτε ἐν [τοῖς] δύο ἢ καὶ τοῖς τρισίν. ἐὰν μὲν γὰρ θελήσας δεῖξαι, ὅτι Σωκράτης οὐσία ἐστί, χρήσωμαι μεταξὺ τῷ ζῴῳ, ὅτι Σωκράτης ζῷον, ἐπεὶ μὴ ἄμεσοι αἱ προτάσεις καὶ δεῖ τῆς ἑκατέρας κατασκευῆς, τίθημι μεταξὺ μὲν Σωκράτους καὶ τοῦ ζῴου τὸν ἄνθρωπον, μεταξὺ δὲ τοῦ ζῴου καὶ τῆς οὐσίας τὸ ἔμψυχον, καὶ πάλιν

2 φησίν om. Yt ὡς om. L 3 καὶ ἄλλο — 4 δεικνύων om. Y 3. 4 τῶν τοιούτων Bt Arist.: τούτων L 4 post δεικνύων add. ex Arist. οὐδὲ γὰρ γίνεται συλλογισμός t 5 μὲν om. B 7 τὸ δ' BLt post ἐκτίθεσθαι add. οὕτω t Arist. 12 εἵνεκεν L 13 οὐ — ἐχρησάμεθα om. B 14 ὥσπερ — 15 τῶν om. L ἀποδεῖξαι alt. t: ante 15 ἐξ collocant BY 15 τῶν scripsi: τοῦ BYt 16 τοῦ ἀποφατικοῦ om. L 17 ante συλλογισμῷ add. τῷ t 18 τὰ κτλ. om. Y τὰ om. L post ἑνὸς add. τοῦ αὐτοῦ t ἐστιν t (n) 19 διδάξαι Y τοῦτο ἐστὶν B 20. 21 προσυλλογισμοῦ St itemque vs. 23 22 οὐδὲ St τε om. SY 24 συλλογισμὸν t σχῆμα mrg. L¹ 25 τοῖς prius delevi δυσὶν Y καὶ om. Y 26 εἰ γὰρ Y χρήσωμαι BS: χρήσομαι LYt 27 ἐπειδὴ, om. μὴ L 27. 28 an δεῖται ἑκατέρα? 28 ἑκατέρων Y: compend. B

μεταξὺ τοῦ ἐμψύχου καὶ τῆς οὐσίας τὸ σῶμα. καὶ δῆλον ὅτι πάντα LXXXVIv
τὰ συμπεράσματα ἐν τούτῳ κατὰ πρῶτον γίνεται σχῆμα οὕτως· Σωκράτης
ἄνθρωπος, ὁ ἄνθρωπος ζῷον, Σωκράτης ἄρα ζῷον· καὶ πάλιν Σωκράτης
ζῷον, τὸ ζῷον ἔμψυχον, Σωκράτης ἄρα ἔμψυχον· καὶ οὕτως μέχρι τῆς 30
5 οὐσίας. καὶ συντιθέμεναι πᾶσαι αἱ προτάσεις ἕνα σύνθετον ἐν πρώτῳ
σχήματι ποιοῦσι συλλογισμόν· Σωκράτης ἄνθρωπος, ὁ ἄνθρωπος ζῷον,
τὸ ζῷον ἔμψυχον, τὸ ἔμψυχον σῶμα, τὸ σῶμα οὐσία, Σωκράτης ἄρα
οὐσία ἐστίν. ὁμοίως καὶ ἐν δευτέρῳ μόνῳ δυνατὸν πάντα τὰ συμπεράσματα
συναγαγεῖν. οἷον εἰ θελήσω δεῖξαι ὅτι τὰ φυτὰ οὐκ ἔστι ζῷα, δείκνυμι
10 τοῦτο ἐν δευτέρῳ σχήματι μέσον ὅρον θεὶς τὴν αἴσθησιν· πᾶν ζῷον
αἴσθησιν ἔχει, οὐδὲν φυτὸν αἴσθησιν ἔχει, οὐδὲν ἄρα φυτὸν ζῷον. εἰ μὲν
οὖν ἡ καταφατικὴ πρότασις δέοιτο κατασκευῆς, λέγω δὴ ἡ ὅτι πᾶν ζῷον 35
αἴσθησιν ἔχει, πάντως διὰ τοῦ πρώτου δείκνυται σχήματος καθολικὴ οὖσα.
εἰ δὲ μερικὴ εἴη, καὶ διὰ τοῦ πρώτου καὶ διὰ τοῦ τρίτου. εἰ δὲ ἡ ἀπο-
15 φατικὴ δέοιτο κατασκευῆς καθολικὴ οὖσα, ἔστι μὲν ὅτε καὶ αὐτὴ διὰ τοῦ
πρώτου δειχθήσεται, ἔστι δὲ ὅτε καὶ διὰ τοῦ δευτέρου· οἷον οὐδὲν φυτὸν
δύναμιν ἔχει γνωστικήν τε καὶ διακριτικὴν τῶν προσπιπτόντων ἢ θιγγα-
νόντων· πᾶσα δὲ αἴσθησις δύναμίς ἐστι γνωστική τε καὶ διακριτικὴ τῶν
θιγγανόντων ἢ προσπιπτόντων· οὐδὲν ἄρα φυτὸν αἴσθησιν ἔχει. καὶ ἔστι 40
20 συνθεῖναι τὸν συλλογισμὸν οὕτω· πᾶν ζῷον αἴσθησιν ἔχει, πᾶσα αἴσθησις
δύναμίς ἐστι γνωστική τε καὶ διακριτική τινων, οὐδὲν φυτὸν δύναμιν γνω-
στικὴν ἢ διακριτικὴν ἔχει, οὐδὲν ἄρα φυτὸν ζῷον. τὴν γὰρ ἀποφατικὴν
πρότασιν τὴν ἐν τῷ πρώτῳ συλλογισμῷ συμπέρασμα οὖσαν τοῦ προσυλλο-
γισμοῦ οὐ παραληψόμεθα ἐν τῷ συνθέτῳ συλλογισμῷ· συντιθέντες γὰρ
25 τοὺς συλλογισμοὺς τῶν προσυλλογισμῶν τὰ συμπεράσματα παραλιμπάνομεν,
ὡς ἐπὶ τοῦ 'Σωκράτης ζῷον, τὸ ζῷον ἔμψυχον, τὸ ἔμψυχον σῶμα, τὸ σῶμα 45
οὐσία. Σωκράτης ἄρα οὐσία'. δυνατὸν δὲ καὶ διὰ τοῦ δευτέρου καὶ τοῦ τρίτου,
εἰ μερικὸν εἴη τὸ ὀφεῖλον διὰ τοῦ προσυλλογισμοῦ ἀποδείκνυσθαι. ἔστω
γὰρ πάλιν προκείμενον δεῖξαι ὅτι | οὐ πᾶν ἔμψυχον αἰσθητικόν ἐστι, LXXXVIIr
30 καὶ εἰλήφθω μέσον τὸ ζῷον· τὸ οὖν ζῷον αἰσθητικῷ μὲν παντὶ ἐμψύχῳ
δὲ οὐ παντί· οὐ πᾶν ἄρα ἔμψυχον αἰσθητικόν, ἢ τὸ αἰσθητικὸν οὐ παντὶ
ἐμψύχῳ. εἰ οὖν τις ζητοίη πόθεν ὅτι τὸ ζῷον οὐ παντὶ ἐμψύχῳ, δείξομεν
τοῦτο ἐν τρίτῳ σχήματι μέσον λαβόντες τὸ φυτὸν οὕτως· ζῷον οὐδενὶ
φυτῷ, τὸ ἔμψυχον παντὶ φυτῷ, τὸ ἄρα ζῷον οὐ παντὶ ἐμψύχῳ. καὶ πάλιν
35 συνθεὶς τὸν συλλογισμόν φημι· ζῷον παντὶ αἰσθητικῷ, ζῷον οὐδενὶ φυτῷ, 5
ἔμψυχον παντὶ φυτῷ, καὶ συνάγεται αἰσθητικὸν οὐ παντὶ ἐμψύχῳ. τὸν

2 post κατὰ add. τὸ Bt: om. LSY 3. 4 καὶ π. σ. ζῷον om. t 4 ἔμψυχος (post ἄρα) B 8 post ὁμοίως add. δὲ B μόνον B 9 θελήσας Y 10 θεὶς BSY: τιθεὶς Lt 15 καὶ om. Y 16 καὶ om. BSt οἷον BSt: om. LY 17 τε om. Y τῶν—18 διακριτικὴ om. B 18 τε om. Y 21 post οὐδὲν add. δὲ Bt 21. 22 post γνωστικὴν add. τε B 23 πρότασιν om. t 26 σωκράτης S: σωκράτους LYt: compend. B 27 σωκράτης ἄρα οὐσία om. L διὰ—τρίτου S: ἐν τρίτῳ καὶ δευτέρῳ B: ἐκ τρίτου καὶ δευτέρου LYt 28 τοῦ om. SY 32 δείξωμεν Lt 33 τούτῳ L 36 ante ἔμψ. add. τὸ Y ἔμψυχον—φυτῷ om. t

αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ τρίτου σχήματος ἐνδέχεται ποτὲ μὲν LXXXVIIr
πάντα τὰ συμπεράσματα δι' αὐτοῦ περαίνεσθαι, ἐνδέχεται δὲ καὶ διὰ τοῦ
δευτέρου καὶ διὰ τοῦ ⟨πρώτου. καὶ διὰ τοῦ⟩ τρίτου ὅτι τὸ ζῷον οὐ παντὶ
ἐμψύχῳ δέδεικται διὰ μέσου τοῦ φυτοῦ· τὸ ζῷον οὐδενὶ φυτῷ, τὸ ἔμψυχον
5 παντὶ φυτῷ, τὸ ζῷον ἄρα οὐ παντὶ ἐμψύχῳ. πόθεν ὅτι τὸ ζῷον οὐδενὶ φυτῷ;
δείξομεν διὰ τοῦ μέσου σχήματος μέσον λαβόντες τὸ αἰσθητικόν· τὸ γὰρ αἰσθη- 10
τικὸν ζῴῳ μὲν παντὶ φυτῷ δὲ οὐδενί· τὸ ἄρα ζῷον οὐδενὶ φυτῷ. συνθεὶς
οὖν τὸν συλλογισμόν φημι· τὸ αἰσθητικὸν παντὶ ζῴῳ φυτῷ δὲ οὐδενί, τὸ
ἔμψυχον παντὶ φυτῷ, τὸ ἄρα ζῷον οὐ παντὶ ἐμψύχῳ. ἐπεὶ γὰρ τὸ αἰσθη-
10 τικὸν οὐδενὶ φυτῷ, οὐδὲ τὸ φυτὸν οὐδενὶ αἰσθητικῷ· αἰσθητικὸν δὲ παντὶ
ζῴῳ· φυτὸν ἄρα οὐδενὶ ζῴῳ· ὥστε καὶ ζῷον οὐδενὶ φυτῷ, ἔμψυχον δὲ
παντὶ φυτῷ· ζῷον ἄρα οὐ παντὶ ἐμψύχῳ. εἰ δὲ τὴν καταφατικὴν θελή-
σομεν διὰ προσυλλογισμοῦ κατασκευάσαι, κατασκευάσομεν ἐν πρώτῳ μέσον 15
λαβόντες τὸ τρεφόμενον· πᾶν φυτὸν τρέφεται, πᾶν τρεφόμενον ἔμψυχον,
15 πᾶν ἄρα φυτὸν ἔμψυχον. καὶ συνθεὶς· τὸ ζῷον οὐδενὶ φυτῷ, πᾶν φυτὸν
τρέφεται, πᾶν τρεφόμενον ἔμψυχον. καὶ συνάγεται ζῷον οὐ παντὶ ἐμψύχῳ.
ἐπειδὴ γὰρ πᾶν φυτὸν τρέφεται, πᾶν δὲ τρεφόμενον ἔμψυχον, πᾶν ἄρα
φυτὸν ἔμψυχον· οὐδὲν δὲ φυτὸν ζῷόν ἐστιν· οὐ πᾶν ἄρα ἔμψυχον
ζῷόν ἐστιν. οὕτω μὲν οὖν ἐν πρώτῳ καὶ δευτέρῳ οἱ προσυλλογισμοί.
20 δυνατὸν δὲ καὶ διὰ τοῦ αὐτοῦ, λέγω δὴ τοῦ τρίτου, πάντα τὰ συμπερά- 20
σματα συνάγεσθαι. κείσθω γὰρ ὥστε δεῖξαι ὅτι τὶ τρεφόμενον αἴσθησιν
ἔχει, καὶ δεικνύσθω ἐν τρίτῳ σχήματι μέσον λαμβανόντων τὸ ἔμψυχον·
τὸ μὲν γὰρ τρεφόμενον παντὶ ἐμψύχῳ, αἴσθησις δὲ τινὶ ἐμψύχῳ, αἴσθησις
ἄρα τινὶ τρεφομένῳ. εἰ οὖν δέοι δεῖξαι πόθεν ὅτι αἴσθησις τινὶ ἐμψύχῳ,
25 δείξομεν πάλιν ἐν τρίτῳ διὰ μέσου τοῦ ζῴου· αἴσθησις παντὶ ζῴῳ· ἀλλὰ
καὶ ἔμψυχον παντὶ ζῴῳ· καὶ συνάξεις 'αἴσθησις τινὶ ἐμψύχῳ'. καὶ συν-
θεὶς· τὸ τρεφόμενον παντὶ ἐμψύχῳ, τὸ ἔμψυχον παντὶ ζῴῳ· καὶ τὸ αἰσθη- 25
τικὸν δὲ παντὶ ζῴῳ· τὸ ἄρα αἰσθητικὸν τινὶ τρεφομένῳ. ἐπεὶ γὰρ τὸ
τρεφόμενον παντὶ ἐμψύχῳ, τὸ δὲ ἔμψυχον παντὶ ζῴῳ, καὶ τὸ τρεφόμενον
30 παντὶ ζῴῳ· πᾶν γὰρ ζῷον τρέφεται· ἀλλὰ καὶ τὸ αἰσθητικὸν παντὶ ζῴῳ·
τὶ ἄρα τρεφόμενον αἰσθητικόν ἐστιν. ἐν τούτοις δὲ πᾶσιν ἐκεῖνο δεῖ εἰδέναι,
ὅτι ὅταν μὲν ἐν διαφόροις σχήμασι τὰ συμπεράσματα συνάγηται, συντιθέ-
μεναι αἱ προτάσεις φυλάττουσι τῶν σχημάτων τὴν ἰδιότητα· ὅταν δὲ ἐν

1 post αὐτὸν add. δὲ S post ἐνδέχεται add. γὰρ S 2 δι' αὐτοῦ LSY: δι' ἑαυτοῦ Bt: fort. διὰ τοῦ αὐτοῦ cf. vs. 20 3 διὰ om. BLSt τοῦ om. L πρώτου. καὶ διὰ τοῦ addidi 4 post δέδεικται add. δὲ BYt: om. LS τὸ alt. om. BLt 5 οὐ παντὶ ἐμψύχῳ BL²t: οὐδενὶ φυτῷ L¹Y 6 δείξωμεν Y 7 ζῶον μὲν L 8 τοὺς (sed συλλογισμόν) Y 9 ἐμψύχῳ BYt: φυτῷ L idemque, sed οὐδενὶ S 10 τὸ om. t 11 post καὶ add. τὸ B 12 ἐμψύχῳ] huc usque L 12. 13 θελήσωμεν t 13 κατασκευάσωμεν t 15 πᾶν ἄρα — 16 ἔμψυχον om. B πᾶν alt. St: πᾶν δὲ Y 17 ἐπειδὴ SY: ἐπεὶ Bt γὰρ S: δὲ Bt: om. Y φυτὸν t: φυτὸν ἔμψυχον B: ἔμψυχον SY 18 δὲ om. t 19 συλλογισμοί Yt 20 δι' αὐτοῦ Y 21 τι BSt: τὸ Y 24 ὅτι πόθεν Y 25 δείξωμεν Y 28 δὲ om. Y 31 δεῖ εἰδέναι — p. 357,9 ποιήσωμεν exhibet P 32 ἐν PS: om. BYt συνάγονται P

τῷ αὐτῷ πάντα περαίνηται, ἐν τῇ συνθέσει τῶν προτάσεων οὐ διὰ LXXXVII[r]
πασῶν τὸ αὐτὸ ἐμφαίνεται σχῆμα, ἀλλὰ δύο μὲν συμπλοκαὶ φυλάττουσι τὴν
τοῦ σχήματος ἰδιότητα, αἱ δὲ ἄλλαι οὐκέτι. παραλαμβάνεται γάρ, ὡς εἴπομεν,
ἡ κατασκευαζομένη πρότασις διὰ τὸ συμπέρασμα γίνεσθαι τοῦ προσυλλο-
γισμοῦ, τὰ δὲ τῶν προσυλλογισμῶν συμπεράσματα μὴ παραλαμβάνεσθαι ἐν
τῇ συνθέσει τῶν προτάσεων· τούτου δὲ γινομένου λύεται τὸ σχῆμα καὶ εἰς
τὸ πρῶτον ἀνάγεται. ἔστω γὰρ δεῖξαι ἐν τῷ δευτέρῳ σχήματι ὅτι οὐδενὶ
τῷ Γ τὸ Β διὰ μέσου τοῦ Α. τὸ οὖν Α οὐδενὶ μὲν τῶν Β παντὶ δὲ τῷ
Γ. δεικνυμένης οὖν πάλιν τῆς ΑΒ προτάσεως τῆς ἀποφατικῆς διὰ μέσου
τοῦ Δ (τὸ γὰρ Δ οὐδενὶ μὲν τῶν Α παντὶ δὲ τῷ Β) οὐκέτι ἡ ΑΒ LXXXVII[v]
παραλαμβάνεται πρότασις ἀλλ' αἱ ΔΒ, ΔΑ, ΑΓ, ὧν αἱ μὲν ΔΑ, ΑΓ τὸ
πρῶτον ποιοῦσι σχῆμα, αἱ δὲ ΔΒ, ΔΑ τὸ δεύτερον· τὸ γὰρ Δ παντὶ μὲν
τῷ Β, οὐδενὶ δὲ τῶν Α, τὸ δὲ Α παντὶ τῷ Γ, ὥστε αἱ μὲν ΔΒ, ΔΑ τὸ
δεύτερον ἐποίησαν σχῆμα, αἱ δὲ ΔΑ, ΑΓ τὸ πρῶτον. τὸ αὐτὸ καὶ ἐπὶ πάντων.
ἐπειδὴ δὲ τῶν προσυλλογισμῶν τὸ συμπέρασμα λαμβάνοντες καὶ ἐπισυνά- 5
πτοντες ἑτέραν πρότασιν οὕτω τὸν συλλογισμὸν πλέκομεν, ἐκεῖνο ἐπιστῆσαι
χρή, ὡς καὶ ὁ Ἀλέξανδρός φησιν, ὅτι εἰ μὲν ἐν τῷ τρίτῳ σχήματι εἴη ὁ προ-
συλλογισμός, ἐξ αὐτοῦ δὲ ἐπὶ τὸ πρῶτον ἢ τὸ δευτερον μεταβαίνομεν, ἄνωθεν
δεῖ τὴν πρότασιν προστιθέναι· μερικῶν γὰρ ὄντων τῶν συμπερασμάτων ἐν τῷ
τρίτῳ σχήματι, εἰ μὴ ἄνωθεν προστεθείη ἡ πρότασις, ἀσυλλόγιστον γίνεται τὸ
σχῆμα, ἐν πρώτῳ ἢ δευτέρῳ τῆς μείζονος μερικῆς οὔσης. καὶ δῆλον ὅτι, εἰ
ἀποφατικὸν εἴη τὸ ἐν τῷ τρίτῳ συνηγμένον, οὐδ' ἐνδέχεται ἐπὶ τὸ πρῶτον
μεταβῆναι σχῆμα· ὅθεν γὰρ ἂν ἡ προσθήκη γένηται, ἀσυλλόγιστος ἡ συμ- 10
πλοκὴ γίνεται. ὁμοίως κἂν ἐκ δευτέρου εἰς πρῶτον ἡ μετάβασις γίνηται,
κάτωθεν δεῖ τὴν προσθήκην ποιεῖσθαι, ἐπειδὴ ἡ ἐλάττων ἀποφατικὴ γίνεται,
ὅπερ ἀσυλλόγιστον· ἀποφατικὰ γὰρ τοῦ δευτέρου τὰ συμπεράσματα. ὁμοίως κἂν
ἐκ πρώτου εἰς πρῶτον ἡ μετάβασις γίνηται, καταφατικοῦ μὲν ὄντος καθόλου τοῦ
συμπεράσματος ἀδιάφορον ὅθεν δήποτε τὴν προσθήκην ποιήσασθαι, εἰ ἡ προσ-
τιθεμένη πρότασις καθόλου εἴη καταφατική· εἰ δὲ μερική, πάντως κάτωθεν. 15

1 πάντα post περαίνηται collocat Y περαίνονται P 2 φαίνεται Y
3 ὡς εἴπομεν om. P 6 προσυνθέσει P 8 τὸ γ̄ τῶι β̄ P γοῦν Y
τῶ (post μὲν) B 10 τῶν—τῶ P: τῶ—τῶ Y: om. Bt 11. 12 αἱ ubique P: ἡ BYt
itemque vs. 13. 14 12 ποιοῦσι P: ποιεῖ Yt, post σχῆμα BS δ̄β̄ δ̄α PS: δ̄α δ̄β̄ BYt
13 τῶν BPSt: τῶ Y 14 ἐποίησαν P: ἐποίη Bt: ἐποίησε S: ἐποίει Y 16 ἐκείνω P
17 ὁ Ἀλέξανδρος] p. 38S.13sq. τῶ om. Yt 18 ἡ τὸ β̄ PS: om. BYt μεταβαίνωμεν t
ἄνωθεν P: ἀεὶ κάτωθεν BYt, om. ἀεὶ S 19. 20 ἐν τῶ (τῶ om. S) Γ
σχήματι PS: om. BYt 20 μὴ SYt: μὲν BP ἄνωθεν scripsi: κάτωθεν BPSYt
ἡ om. P 21 ἢ β̄ PS: om. BYt 22 τῶ PY: om. BSt συναγόμενον BS
οὐδ' PS: οὐδὲν BYt 23 μεταβῆναι PSY: μεταβαίνειν Bt ἔνθεν Y ἂν om. B
γίνεται P 24 κἂν om. P ἐν δευτέρω B post πρῶτον add. ἢ εἰς γ̄ P
γένηται Y 25 κάτωθεν P: εἰ καθόλου. ἄνωθεν BYt, om. εἰ κ. S ἐπειδὴ PS:
ἐπεὶ BYt ἐπειδή, ⟨εἰ ἄνωθεν,⟩ conicio 26 ὅπερ ἀσυλλόγιστον PS: om. BYt
post δευτέρου add. σχήματος Y 27 εἰς πρῶτον t: ante καταφ. colloc. PS: om. BY
γένηται PSY 28 ἂν ἡ Y 29 πρότασις om. P καταφατική P, ante εἴη S:
om. BYt

εἰ δὲ ἀποφατικὸν εἴη τὸ συμπέρασμα καθόλου, κάτωθεν. εἰ δὲ μερικόν, LXXXVII[v]
οὐκέτι ἐνδέχεται πρότασιν προσθέντας πάλιν τὸ πρῶτον ποιῆσαι· εἴτε γὰρ
ἄνωθεν προστεθείη, ἀποφατικὴν ποιήσει τὴν ἐλάττονα, εἴτε κάτωθεν, μερικὴν
τὴν μείζονα. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐν δευτέρῳ καὶ τρίτῳ μερικῶν ἀπο-
5 φατικῶν, ὡς ἤδη εἶπον· ἀδύνατον γὰρ ἐκ τούτων εἰς τὸ πρῶτον μεταβῆναι.
εἰ δὲ ἀπὸ δευτέρου εἰς δεύτερον ἡ μετάβασις γίνεται, καθόλου μὲν ὄντος
τοῦ συμπεράσματος, εἰ μὲν ἡ προστιθεμένη καὶ αὐτὴ καθόλου εἴη, ἀδιά- 20
φορον· εἰ δὲ μερική, πάντως κάτωθεν, τουτέστι πρὸς τῇ ἐλάττονι, ἵνα μὴ
τὴν μείζονα μερικὴν ποιήσωμεν. καὶ καθόλου εἰπεῖν ἐπιβλέπειν δεῖ, μή τι
10 παραφθείρηται διὰ τῆς προσθήκης τῶν ἐν ἑκάστῳ σχήματι παραπεφυλαγ-
μένων, καὶ εἰ μὲν διὰ τῆς προσθήκης σώζεται τὰ τοῦ σχήματος ἴδια,
προσθετέον, εἰ δὲ μή, δι' ἄλλου δεικτέον σχήματος.

p. 50ᵃ11 Τούς τε πρὸς ὁρισμὸν τῶν λόγων, ὅσοι πρὸς ἕν τι τυγ-
χάνουσι διειλεγμένοι τῶν ἐν τῷ ὅρῳ, πρὸς ὃ διείλεκται,
15 θετέον ὅρον.

Ἄλλο πάλιν ἡμᾶς διὰ τούτων διδάσκει. πολλάκις, φησί, συλλογιζό- 25
μενοι δεῖξαι βουλόμεθα ὅτι ὅδε τοῦδε οὐκ ἔστιν ὁρισμός, οὐ πάντως ὅλον
τὸν ὁρισμὸν ἀνασκευάσαι βουλόμενοι ἀλλὰ μόριόν τι τῶν ἐν τῷ ὁρισμῷ.
ἐν οὖν τῷ ἀνασκευάζειν, ὅτι ὅδε τοῦδε οὐκ ἔστιν ὁρισμός, οὐ θετέον,
20 φησίν, ὅλον τὸν ὁρισμὸν ὅρον (δυσχερῶς γὰρ οὕτως εὑρίσκομεν μέσον δι'
οὗ δείξομεν τὸν ὁρισμὸν ὅλον τῷ ὁριστῷ μὴ ὑπάρχοντα). ἀλλ' ὅτιπερ ἂν
εἴη τῷ ὁρισμῷ κακῶς εἰλημμένον, τοῦτο θετέον ὅρον· δειχθέντος γὰρ
ὅτι τοῦτο οὐχ ὑπάρχει τῷ ὑποκειμένῳ. διὰ τούτου καὶ ὁ ὁρισμὸς συνελ-
λεγκται, εἴγε παρείληφέ τι τῶν μὴ ὑπαρχόντων. οἷον τί φησιν; εἴ τις ὁρί- 30
25 σαιτο τὸ ὕδωρ ὑγρὸν ποτὸν εἶναι, οὐ θετέον τὸ ὑγρὸν ποτὸν ὅρον
(ὑπάρχει γὰρ ὁμολογουμένως τῷ ὕδατι τὸ ὑγρόν), ἀλλὰ τὸ ποτὸν θετέον,
μέσον δὲ τὴν θάλασσαν. ἐπεὶ οὖν πᾶσα θάλασσα ὕδωρ, οὐδεμία δὲ
θάλασσα ποτόν, οὐ πᾶν ἄρα ὕδωρ ποτόν. κακῶς ἄρα ἐν τῷ ὁρισμῷ
παρείληπται τὸ [ὑγρὸν] ποτόν, ὃ μὴ παντὶ ὕδατι ὑπάρχει.

30 p. 50ᵃ16 Ἔτι δὲ καὶ τοὺς ἐξ ὑποθέσεως συλλογισμοὺς οὐ πειρα-
τέον ἀνάγειν· οὐ γὰρ ἔστιν ἐκ τῶν κειμένων ἀνάγειν.

Οὐ δεῖ, φησίν, ἅπαντας τοὺς ὑποθετικοὺς συλλογισμοὺς πειρᾶσθαι

---

1 κάτωθεν PY: ἄνωθεν BSt 2 οὐκέτι P: οὔτέ τι S: οὐκ BYt προστιθέντας PS
3 προστεθείη PS: προσθήσεις Bt: γίνεται πρόσθεσις Y ποιήσει PSY: ποιήσεις Bt
4 post δευτ. add. σχήματι S, post τρίτῳ P 5 ὡς PSY: ὧν Bt εἴπομεν PS
7. 8 post ἀδιάφορον add. τὴν προσθήκην ποιήσασθαι Y 13 ὁρισμοὺς Y (n, pr. C f)
14 τῶν κτλ. om. Y 16 φησὶ Y: om. Bt 19 γοῦν Y 22 τοῦτο θετέον ὅρον
om. B 23 ὅρος Bt 23. 24 συνελήλεκται B cf. p. 378,13 24 τί om. Bt
25 τὸ prius om. t 27 δὲ alt. om. B 29 τὸ ὑγρὸν Y: τοῦ ὑγροῦ τὸ Bt: ὑγρὸν
delevi 30 καὶ om. t Arist. 31 οὐ γὰρ κτλ. om. Y ἀναγαγεῖν t

ἀναλύειν εἰς τὰ σχήματα ἀλλὰ μόνην αὐτῶν τὴν πρόσληψιν, τὸ δὲ LXXXVIIIv
συνημμένον οὐκέτι διὰ τὸ μὴ διὰ συλλογισμοῦ δείκνυσθαι ἀλλ' ἐξ ὁμολογίας
λαμβάνεσθαι. ὑποθετικοὺς δέ φησιν ἐν τούτοις οὐ πάντας ἀλλὰ τοὺς ἐξ
ὁμολογίας καλουμένους, λέγω δὴ τοὺς λαμβάνοντας κατὰ συνθήκην τὸ συν- 45
5 ημμένον, ὥσπερ αὐτὸς ὁ Ἀριστοτέλης ἐν τῇ Περὶ οὐρανοῦ πραγματείᾳ
περὶ τῶν σχημάτων τῶν ἄστρων κατεσκεύασεν. αἰτήσας γὰρ ὅτι ὅπερ
ἐπὶ ἑνὸς τῶν ἄστρων, τοῦτο καὶ ἐπὶ τῶν λοιπῶν, καὶ τοῦτο λαβὼν ἐξ ὁμο-
λογίας, ὅτι εἰ ἓν ὁποιονοῦν σφαιρικόν, καὶ τὰ λοιπὰ τοιαῦτ' ἂν εἴη, εἶτα
τὴν πρόσληψιν κατασκευάσας, τὸ 'ἀλλὰ μὴν ἓν τῶν ἄστρων, ἡ σελήνη,
10 σφαιρική', συνήγαγε τὸ καὶ τὰ λοιπὰ σφαιρικὰ εἶναι. τοὺς τοιούτους οὖν,
φησί, τῶν συλλογισμῶν οὐ πάντας ἀνακτέον ἀλλὰ μόνην τὴν πρόσληψιν· 50
αὕτη γὰρ ἡ συλλελογισμένη· τὸ δὲ συνημμένον ἐξ ὁμολογίας εἴληπται. ὅτι
δὲ ἐπὶ τῶν ἐξ ὁμολογίας εἰλημμένων πολλάκις καὶ τὸ συνημμένον διὰ συλ-
λογισμοῦ δείκνυται, δῆλον. ὁ γοῦν Πλάτων λαβὼν ὅτι, εἰ τὸ ζῶν καὶ τὸ
15 τεθνηκὸς ἐξ ἀλλήλων εἰσίν, ἡμῶν αἱ ψυχαὶ ἐν Ἅιδου, ἀλλὰ μὴν τὸ πρό-
τερον, καὶ τὸ δεύτερον ἄρα, οὐ | μόνον τὴν πρόσληψιν ἀλλὰ καὶ τὸ LXXXVIIIr
συνημμένον κατεσκεύασε. καὶ ἐν τοῖς δι' ἀδυνάτου δέ, ὡς ἑξῆς φησι, τὸ
συνημμένον δεῖται κατασκευῆς, ὡς μαθησόμεθα. νῦν οὖν περὶ τῶν ἐξ
ὁμολογίας ὑποθετικῶν ὁ λόγος. κέχρηται δὲ παραδείγματι τοιούτῳ. ἐάν
20 τις, φησίν, αἰτήσῃ ἐξ ὁμολογίας ὅτι, εἰ μὴ εἴη τῶν ἐναντίων μία δύνα-
μις, οὐδὲ ἐπιστήμη μία ἔσται, τοῦτο μὲν ὅλον τὸ 'εἰ τόδε, καὶ τόδε'
οὐκ ἀναλυτέον· οὐ γὰρ συλλελόγισται ἀλλ' ἐξ ὁμολογίας εἴληπται. τὸ μέντοι 5
'ἀλλὰ μὴν οὐκ ἔστι τῶν ἐναντίων μία δύναμις' ἀναλυτέον· τοῦτο γὰρ
δέδεικται διὰ συλλογισμοῦ. ὅτι μὲν οὖν οὐκ ἔστι τῶν ἐναντίων μία
25 δύναμις, δειχθήσεται διὰ μέσου τοῦ ὑγιεινοῦ καὶ τοῦ νοσώδους· τὸ
γὰρ ὑγιεινὸν καὶ τὸ νοσῶδες ἐναντία ἐστίν, τοῦ ὑγιεινοῦ καὶ τοῦ νοσώδους
οὐκ ἔστι μία δύναμις, τῶν ἄρα ἐναντίων οὐκ ἔστι μία δύναμις. ὅτι δὲ
τοῦ ὑγιεινοῦ καὶ νοσώδους οὐκ ἔστι μία δύναμις, δείξεις διὰ μέσου τοῦ μὴ
τῶν αὐτῶν εἶναι αὐτὰ ποιητικά· τὸ γὰρ ὑγιεινὸν καὶ νοσῶδες οὐκ εἰσὶ 10
30 τῶν αὐτῶν ποιητικά, πάντα ὅσων ἐστὶ μία δύναμις, ταῦτα τῶν αὐτῶν
ἐστι ποιητικά, τοῦ ἄρα ὑγιεινοῦ καὶ νοσώδους οὐκ ἔστι μία δύναμις.

p. 50a29 Ὁμοίως δὲ καὶ ἐπὶ τῶν διὰ τοῦ ἀδυνάτου περαινο-
μένων· οὐδὲ γὰρ τούτους ἔστιν ἀναλύειν.

Ὅτι οὐ περὶ πάντων τῶν ὑποθετικῶν ὁ λόγος, δῆλον ἐξ ὧν τὸ μὲν

1 ἀνάγειν B 2 τὸ μὴ διὰ bis, semel del. B 5 ἐν τῷ B πραγματείᾳ om. BSt Περὶ οὐρ.] II 11 p. 291b17 sq. 6 κατασκευάζει Y ὥσπερ Y 8 εἰ Bt: ἐὰν Y ὁποιονοῦν] ο tert. corr. Y post σφ. add. ἢ Y σφαιρικὰ ἂν Y 9 κατασκευάσεις Y τὸ om. B: τὴν S: ὅτι t 10 οὖν S: om. BYt 13 γὰρ Y post τῶν add. μὴ SYt 14 Πλάτων] Phaedo c. 16 p. 71 D ζῶν scripsi: ζῶον BSYt 17 ἐν οἷς Y δέ S: om. BYt ἑξῆς] p. 55a29 sq. 21 μία bis B καὶ BSt: οὐκ ἔστιν, οὐδὲ Y 22.23 οὐ—ἀναλυτέον om. B 24 μὲν om. Bt 25 τοῦ alt. del. B 25.26 τὸ γὰρ—νοσώδους om. B 26 τὸ om. St τοῦ alt. om. St 29 τῶν—ποιητικά SY: ταῦτα εἶναι τῶν αὐτῶν Bt 30 πάντα scripsi: πάντων BSYt ἐστὶ μία BSY: οὐδεμία t 31 post καὶ add. τοῦ Y 32 δι' ἀ. B 33 οὐδὲ κτλ. om. Y οὔτε t post τούτους add. οὐκ Arist. (om. n)

πρότερον σαφῶς ἐξ ὁμολογίας ἐκάλεσεν, ἐκεῖθεν δὲ μετέβη ἐπὶ τοὺς LXXXVIII r
δι' ἀδυνάτου. ὁμοίως (δὲ) καὶ ἐπὶ τῶν δι' ἀδυνάτου οὐ πάντα τὸν ὑπο- 20
θετικὸν ἀναλυτέον. ὑπεναντίως δὲ οὗτοι ἔχουσι τοῖς ἐξ ὁμολογίας· τὸ μὲν γὰρ
συνημμένον αὐτῶν ὡς ἀμφίβολον ὂν κατασκευάζεται διὰ συλλογισμοῦ, ἡ
5 δὲ πρόσληψις ὡς ὡμολογημένη κατασκευῆς οὐ δεῖται· οἱ γὰρ εἰς ἄτοπον
ἄγοντες οὐκ εἰς ἀμφίβολον ἀλλ' εἰς ὁμολογουμένως ἄτοπον τὴν ἀπαγωγὴν
ποιοῦνται. ὥσπερ καὶ ὁ γεωμέτρης βουλόμενος δεῖξαι, ὅτι ἡ διάμετρος τῇ
πλευρᾷ ἀσύμμετρός ἐστι, κέχρηται τῇ εἰς ἀδύνατον ἀπαγωγῇ διὰ ὑποθετι-
κοῦ συλλογισμοῦ τὸν τρόπον τοῦτον· εἰ γὰρ μὴ εἴη, φησίν, ἀσύμμετρος, 25
10 σύμμετρος ἔσται· ἀλλ' εἰ σύμμετρος εἴη, τὰ περισσὰ τοῖς ἀρτίοις ἴσα ἔσται·
ἀλλὰ μὴν ἀδύνατον τὰ περισσὰ τοῖς ἀρτίοις ἴσα εἶναι· οὐκ ἄρα σύμμετρος.
τὸ μὲν οὖν συνημμένον ἐν τούτοις διὰ συλλογισμοῦ δείκνυται, ἡ δὲ πρόσ-
ληψις οὐκέτι. διαφέρουσι δέ, φησίν, οἱ εἰς τὸ ἀδύνατον ἀπάγοντες τῶν ἐξ
ὁμολογίας, ὅτι οἱ μὲν εἰς ἀδύνατον ἀπάγοντες ὅπερ οὐκ ἀποδεικνύουσιν οὐκ
15 ἐκ συνθήκης λαμβάνουσιν ὁμολογούμενον ἀλλ' ἐξ αὐτῆς τῆς ἐναργείας μαρ-
τυρούμενον, ἐκεῖνοι δὲ ἐκ συνθήκης· ὡς εἰ μὴ συγχωρήσοι ὁ προσδιαλε- 30
γόμενος, οὐ μόνον τὴν πρόσληψιν ἀλλὰ καὶ τὸ συνημμένον κατασκευάσαι
ἀνάγκη. διττὴ οὖν ἡ διάκρισις τῶν εἰς ἀδύνατον ἀπαγόντων πρὸς τοὺς ἐξ
ὁμολογίας, ὅτι οὗτοι μέν, λέγω δὴ οἱ εἰς ἀδύνατον, τὸ συνημμένον κατα-
20 σκευάζουσιν, ὁμολογοῦσι δὲ τὴν πρόσληψιν, ἐκεῖνοι δὲ τοὐναντίον, καὶ ὅτι
οὗτοι μὲν ὃ λαμβάνουσιν οὐ κατὰ συγχώρησιν καὶ ὁμολογίαν λαμβάνουσιν
ἀλλ' ὡς ἐκ τῆς ἐναργείας μαρτυρούμενον, ἐκεῖνοι δὲ ἐκ συνθήκης.

p. 50a30 Ἀλλὰ τὴν μὲν εἰς τὸ ἀδύνατον ἀπαγωγὴν ἔστι. 35

Τουτέστι τὸ συνημμένον 'εἰ ἡ διάμετρος σύμμετρος, τὰ ἄρτια τοῖς περιτ-
25 τοῖς ἴσα ἔσται'· τοῦτο γὰρ διὰ συλλογισμοῦ δείκνυται. θάτερον δέ, φησίν,
οὐκ ἔστι, τουτέστι τὴν πρόσληψιν, λέγω δὴ τὸ 'ἀλλὰ μὴν ἀδύνατον τὰ ἄρτια
τοῖς περιττοῖς ἴσα εἶναι'· τοῦτο γὰρ ὁμολογεῖται καὶ συλλογισμοῦ οὐ δεῖται.

p. 50a39 Πολλοὶ δὲ καὶ ἕτεροι περαίνονται ἐξ ὑποθέσεως, οὓς
ἐπισκέψασθαι δεῖ καὶ ἐπισημήνασθαι καθαρῶς.

30 Ἐπαγγέλλεται μὲν ἐν τούτοις περὶ τῶν ὑποθετικῶν συλλογισμῶν δια-
λαβεῖν, τίνες τέ εἰσι καὶ πόσα τούτων τὰ εἴδη· οὐ φαίνεται δὲ οὐδαμοῦ
περὶ αὐτῶν πραγματευσάμενος, ὡς οἱ ἐξηγηταί φασιν.

2 δι' prius Bt: διὰ τοῦ Y δὲ ex Arist. addidi 3 ἀναλύσομεν t μὲν γὰρ om. Y
4 ὡς om. SY ὂν om. BSt 5 ὡμολογουμένη sic Y 6 ὁμολογουμένως S: ὡμολογημένως B: ὁμολογούμενον Y: ὁμολογημένως sic t 8 post διὰ add. τοῦ Y
10 post ἔσται alt. add. φησιν Y 11 post ἴσα iterat ἔσται φησίν. ἀλλὰ—ἴσα Y εἶναι ἴσα B post σύμμετρος add. ἡ διάμετρος Y 14 τὸ BSt: om. Y post ἀπάγοντες add. τὴν πρόσληψιν Bt: om. SY 15 ἐναργείας t: ἐνεργείας BSY 16 συγχωρήσει B
18 διαίρεσις t 19 post ὁμολ. add. καὶ Y δὲ t: om. B δι' ἀδυνάτου Y
22 ἐνεργείας BS 24 τὸν B ἡ διάμετρος om. t 24. 25 περισσοῖς Y itemque vs. 27
27 ὁμολογεῖται t, ex ὁμολογῆται, ut videtur, corr. B: ὡμολόγηται Y 28 οὓς κτλ. om. Y
29 καὶ διασημῆναι Arist. 30 post μὲν add. οὖν Bt 32 τούτων B

p. 50b5 Ὅσα δὲ ἐν πλείοσι σχήμασι δείκνυται τῶν προβλη- LXXXVIIIr
μάτων, ἐὰν ἐν θατέρῳ συλλογισθῇ, ἔστιν ἀναγαγεῖν τὸν συλλο- 45
γισμὸν εἰς θάτερον.

Διδάσκει διὰ τούτων ὅτι οὐ πάντως ἀνάγκη τὴν ἀνάλυσιν τῶν συλλο-
5 γισμῶν εἰς τοῦτο ποιεῖσθαι τὸ σχῆμα ἐν ᾧ καὶ ὁ συλλογισάμενος τὸν συλ-
λογισμὸν ἔπλεξεν, ἀλλ' ὅσα τῶν προβλημάτων ἐν πλείοσι περαίνεται σχή-
μασιν, ἀδιάφορον ταῦτα εἰς ὁποιονοῦν ἀναγαγεῖν. οἷον τὸ μὲν καθόλου
καταφατικὸν μόνως ἐν πρώτῳ δείκνυται· οὐκοῦν ὅταν τις καθόλου κατα- 50
φατικὸν συλλογίσηται πρόβλημα, ἀνάγκη εἰς τὸ πρῶτον μόνον τὴν ἀνάλυσιν
10 ποιεῖσθαι. τὸ δὲ καθόλου ἀποφατικὸν καὶ διὰ τοῦ πρώτου περαίνεται καὶ
διὰ τοῦ δευτέρου· εἴτε οὖν διὰ τοῦ πρώτου συλλελόγισται, δυνατὸν καὶ εἰς τὸ
δεύτερον ἀνάγειν διὰ τοῦ ἀντιστρέφειν τὴν ἀποφατικὴν πρότασιν, εἴτε ἐν τῷ
δευτέρῳ, τὸν αὐτὸν τρόπον ⟨εἰς τὸ πρῶτον⟩, εἰ καὶ ἔστιν ὅτε καὶ τῆς τοῦ συμ-
περάσματος ἀντιστροφῆς δεόμεθα, ὡς ὅταν ἐν δευτέρῳ σχήματι ἡ ἐλάττων
15 ἀποφατικὴ ὑπάρχῃ. εἰς τὸ τρίτον δὲ | οὐδαμῶς ἔστιν ἀνάγειν οὐδὲν LXXXVIIIv
τῶν καθόλου. διότι πάντα μερικὰ ἐν τρίτῳ συνάγεται. τὸ δὲ μερικὸν κατα-
φατικὸν ἔν τε τῷ πρώτῳ καὶ τῷ τρίτῳ ἐνδέχεται ἀναλύειν. εἴτε γὰρ ἐν τῷ
πρώτῳ συλλελόγισται, τῆς ἐλάττονος ἀντιστραφείσης γίνεται τὸ τρίτον σχῆμα·
οἷον εἰ τὸ Α παντὶ τῷ Β, τὸ δὲ Β τινὶ τῷ Γ· τῆς γὰρ ΒΓ ἀντιστρα-
20 φείσης, λέγω ὅτι τὸ Γ τινὶ τῷ Β, τὸ τρίτον γίνεται σχῆμα. ὁμοίως δὲ
καὶ εἰ ἐν τῷ τρίτῳ συλλελόγισται, πάλιν διὰ τῆς ἀντιστροφῆς τὸ πρῶτον 5
γενήσεται. τὸ δὲ μερικὸν ἀποφατικὸν ἐν πᾶσι δείκνυται τοῖς σχήμασιν,
ὥστε καὶ εἰς πάντα τὰ σχήματα αὐτὸ ἀναλύειν ἐνδέχεται χωρὶς τοῦ τετάρτου
τρόπου τοῦ δευτέρου σχήματος καὶ τοῦ πέμπτου τοῦ τρίτου δι' ἣν εἰρήκαμεν
25 πολλάκις αἰτίαν· τοὺς γὰρ οὕτω συλλελογισμένους οὐκ ἐνδέχεται εἰς τὸ
πρῶτον ἀναγαγεῖν σχῆμα. καὶ καθόλου φημὶ ὅτι τοὺς μὲν ἐν τῷ πρώτῳ
ἀποφατικοὺς καὶ εἰς τὸ δεύτερον ἔστιν ἀναλύειν σχῆμα καὶ τοὺς μερικοὺς
καὶ εἰς τὸ τρίτον, τοὺς δὲ ἐν τῷ δευτέρῳ ἀποφατικοὺς ὄντας πάντας εἰς 10
τὸ πρῶτον χωρὶς τοῦ τετάρτου τρόπου. εἰς δὲ τὸ τρίτον ὅτι τοὺς μὲν
30 καθόλου οὐκ ἐνδέχεται, πρόδηλον· οὐδὲν γὰρ καθόλου ἐν τῷ τρίτῳ δείκνυται.
τῶν δὲ μερικῶν τὸν ἕτερον μόνον τὸν τρίτον τὸν ἐκ τῆς μείζονος καθόλου
ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς· ἀμφοτέρων γὰρ ἀντι-
στραφεισῶν τῶν προτάσεων γίνεται τὸ τρίτον σχῆμα. οἷον εἰ τὸ Α τῷ
μὲν Β οὐδενὶ τῷ δὲ Γ τινί· δῆλον γὰρ ὅτι ἑκατέρας ἀντιστρεφομένης τό τε
35 Β οὐδενὶ τῷ Α καὶ τὸ Γ τινί. ὁ δὲ λοιπὸς οὐκέτι ὁ ἐκ τῆς μείζονος 15

2 ἐὰν κτλ. om. Y ἂν t: ἢν Arist. ἀναγαγεῖν t Arist.: ἀνάγειν B 5 ὁ συλλογισμὸς BS
7 ἀδύνατον t 10 καὶ prius om. Bt 12 ἀναγαγεῖν SY διὰ τὸ Y 13 εἰς τὸ πρῶτον
addidi καὶ prius om. Bt 13. 14 τῆς—ἀντιστροφῆς St: ταῖς—ἀντιστροφαῖς B: τὴν—
ἀντιστροφὴν Y 14 ἐδεήμεθα B 15 εἰς δὲ τὸ τρίτον Y ἀναγαγεῖν SY 16 διὰ τὸ—
ἐν αὐτῷ συνάγεσθαι S post πάντα add. τὰ BYt: om. S 17 ἀναλύειν ἐνδέχεται B
20 τῷ Y: τῶν Bt post σχῆμα add. e vs. 19 οἷον εἰ—τῷ γ̄ B 25 πολλάκις] velut
p. 94,12 sq. 107,29 sq. 27. 28 τὸν μερικὸν καταφατικὸν εἰς Y 29 τοὺς μὲν S: inv. ord.
Bt: μὲν τὸ Y 31 post τρίτον add. τοῦ δευτέρου Y 34 τό τε BSY: τὸ δὲ t
35 post τὸ γ̄ add. τῷ ᾱ Y

καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς· οὔτε LXXXVIII γὰρ ἡ μερικὴ ἀποφατικὴ ἀντιστρέφει, ἥ τε καθόλου καταφατική, εἰ ἀντιστραφείη, μερικὴ γίνεται. πάλιν τοὺς ἐν τῷ τρίτῳ τοὺς μὲν καταφατικοὺς πάντας εἰς τὸ πρῶτον ἀναλύσεις· τοὺς δὲ ἀποφατικοὺς χωρὶς τοῦ πέμπτου τρόπου τοὺς λοιποὺς δύο εἰς ἀμφότερα ἀνάξεις τὰ σχήματα, τὸ πρῶτόν φημι καὶ τὸ δεύτερον, ἀλλ' εἰς μὲν τὸ πρῶτον θατέραν τῶν προτάσεων ἀντιστρέφων, εἰς δὲ τὸ δεύτερον ἀμφοτέρας. οἷον ἔστω ἡ μὲν μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική, ἄμφω καθόλου· τῷ γὰρ Β οὐδενὶ τὸ Α, τὸ δὲ Γ παντί, ὥστε καὶ τὸ Β τινὶ τῶν Γ, καὶ γίνεται τὸ πρῶτον σχῆμα· ἐὰν δὲ καὶ τὴν ΒΑ ἀντιστρέψω λέγων ὅτι τῷ Α οὐδενὶ τὸ Β, ἔσται τὸ δεύτερον. ὁμοίως καὶ ἐπὶ τοῦ ἑτέρου τρόπου τοῦ τὴν ἐλάττονα μερικὴν ἔχοντος καταφατικὴν πάλιν τῆς μὲν καταφατικῆς ἀντιστραφείσης γίνεται τὸ πρῶτον σχῆμα, ἀμφοτέρων δὲ τὸ δεύτερον.

p. 50b9 Ἔσται δὲ φανερὸν ἐν τοῖς ἑπομένοις.

Ὅτι οὐ πάντας ἐνδέχεται ἀνάγειν εἰς πάντα τὰ σχήματα, φανερὸν ἔσται, φησί, διεξιόντων ἡμῶν πάντας τοὺς ἐν τοῖς σχήμασι τρόπους· ἐπεξέρχεται γὰρ ἑκάστῳ, καὶ δείξει ὅτι τὸν ἐν τῷ δευτέρῳ τέταρτον τρόπον καὶ ἐν τῷ τρίτῳ πέμπτον ἀδύνατον εἰς ἕτερον ἀναλῦσαι σχῆμα. σαφῶς οὖν πᾶσιν ἐπεξέρχεται. καὶ δῆλά ἐστι τὰ τῆς λέξεως.

p. 50b18 Τῶν δ' ἐν μέρει θάτερος μόνος.

Εἴπομεν ποῖος, ὅτι ὁ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς καὶ τῆς ἐλάττονος μερικῆς καταφατικῆς· ὁ μέντοι τέταρτος ὁ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς οὔ.

p. 50b21 Ἐὰν δὲ τὸ μὲν κατηγορικὸν ᾖ πρὸς τῷ Β, τὸ δὲ στερητικὸν πρὸς τῷ Γ, πρῶτον ὅρον θετέον τὸ Γ.

Τουτέστιν ἐὰν ἡ μείζων ᾖ καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική, ἄμφω δὲ καθόλου δηλονότι (περὶ τούτων γὰρ ὁ λόγος), οὐκ ἄλλως ἀναχθήσεται εἰς τὸ πρῶτον σχῆμα ἢ τὴν δύναμιν τῶν ἄκρων τῶν ὅρων ἀμει-

2 ἥ τε S: οὔτε ἡ BYt καταφατική SY: om. Bt post εἰ add. γὰρ Bt: δ' Y: om. S 3 post γίνεται add. καὶ ἀσυλλόγιστος ὁ τρόπος Y 4 post χωρὶς add. τινος B 5 post δύο add. ἤτοι τ(ὸν) β'ον καὶ τὸν ς'ον Y 7 δὲ om. t μὲν om. Y 8 post ἄμφω add. δὲ Y 9 τῷ δὲ SY παντὶ τὸ β ὥστε καὶ τὸ α παντὶ τῷ γ Y 10 δὲ τὸ βα Y λέγω SY τῷ B: τὸ t: τὸ β τῷ μὲν Y post οὐδενὶ add. τῷ δὲ γ τινι Y 11 τὸ δεύτερον om. B 12 καταφατικὴν ἔχοντος Y ἀποφατικῆς Y 13 post σχῆμα add. ἤτοι ὁ δος τοῦ αου Y post δεύτερον add. ὁ γος τοῦ βου Y 15 ὅτι — σχήματα om. Y 19 ante καὶ add. τὸν t 20 μόνος BYt (BCufm): μόνον Arist. 21 ὁ — 22 μέντοι om. Y τῆς prius t: om. B 22 μέντοι t: post 21 ὁ transposuit B 23 οὔ om. Y 24 μὲν post κατηγ. collocat t: om. Arist. 27 post γὰρ add. καὶ Y 28 τὸ β' t τῶν ἄκρων deleverim cf. p. 362,17 τὸν ὅρον B

φάντων ἡμῶν, τουτέστι τὸν μὲν μείζονα ἐλάττονα ποιησάντων, οἷον LXXXVIII[v] τὸ Β, τὸν δὲ ἐλάττονα, λέγω δὴ τὸ Γ, μείζονα. ἀντιστραφείσης γὰρ τῆς ἀπο- 50 φατικῆς καὶ τοῦ πρώτου γενομένου σχήματος συνάγεται μὲν ὅτι τὸ Γ οὐδενὶ τῶν Β· διὰ δὲ τὸ ἀντιστρέφειν τὸ στερητικὸν καθόλου ἀντιστραφέντος τοῦ 5 συμπεράσματος γίνεται τὸ ἐξ ἀρχῆς, ὅτι οὐδὲ τὸ Β οὐδενὶ τῶν Γ· τοῦτο γὰρ ἐν τῷ δευτέρῳ συνηγμένον ἦν.

p. 50b31 Οὔτε γὰρ ἐπιδέχεται ἀντιστροφὴν τὸ ΑΒ, οὔτε γενομένης ἔσται συλλογισμός. |

Ἡ καθόλου, φησί, καταφατική (αὕτη γάρ ἐστιν ἡ ΑΒ, ἥτις LXXXIX[r] 10 μείζων ἦν) πρῶτον μὲν πρὸς οὐδεμίαν ἀντιστρέφει. εἰ δὲ ὅλως, καθὸ δύναται ἀντιστρέφεσθαι, ἀντιστρέφει, λέγω δὴ πρὸς τὴν μερικὴν κατα- 10 φατικήν, ὥστε τὸ Β τινὶ τῷ Α ὑπάρχειν, μερικὴ γενήσεται ἡ μείζων καὶ ἀσυλλόγιστος ὁ τρόπος.

p. 51a8 Ἐὰν δὲ τὸ μὲν Β παντὶ τῷ Γ, τὸ δὲ Α τινὶ τῷ Γ, πρῶτον 15 ὅρον θετέον τὸ Β.

Τουτέστιν ἐὰν ἀμφοτέρων οὐσῶν καταφατικῶν ἡ ἐλάττων εἴη καθόλου, δεῖ πάλιν ὥσπερ καὶ πρότερον τὴν δύναμιν τῶν ὅρων ἀντιμεταλαβόντα [καὶ] 20 τὸν μὲν ἐλάττονα μείζονα θεῖναι τὸν δὲ μείζονα ἐλάττονα καὶ συμπεραῖναι μὲν ὅτι τὸ Β τινὶ τῶν Α, ἀντιστρέψαντα δὲ τὸ συμπέρασμα, ὅτι καὶ τὸ Α 20 τινὶ τῶν Β, τὸ προκείμενον ἐξ ἀρχῆς συναγαγεῖν.

p. 51a22 Φανερὸν δὲ ὅτι καὶ πρὸς τὸ ἀναλύειν εἰς ἄλληλα τὰ σχήματα ἡ πρὸς τῷ ἐλάττονι ἄκρῳ πρότασις ἀντιστρεπτέα ἐν ἀμφοτέροις τοῖς σχήμασι.

Τουτέστιν τὸ πρῶτον καὶ τρίτον σχῆμα· περὶ τούτων γὰρ νῦν τὸν 25 λόγον ποιεῖται. εἴτε οὖν, φησίν, ἐκ τοῦ πρώτου εἰς τὸ τρίτον μεταλαβεῖν

1 μὲν om. Bt 2 τὸ prius Y: τὸν Bt γ̄—β̄ Y δὲ om. Yt
δὴ om. Bt τὸν γ' t 4 τῷ Y τὸ alt. B: τὸν Yt 5 τῷ γ̄ Yt 7 ἐνδέχεται Y: δέχεται Arist. 9. 10 ἡ καθόλου, φησί, καταφατική (καταφατική φησιν t)—ἀντιστρέφει (πρῶτον—ἀντιστρέφει om. t) Bt: ἡ μερική φησιν ἀποφατική, αὕτη γάρ ἐστιν ἡ ἐλάττων πρότασις ἡ ᾱγ. ἡ δὲ μείζων ἐστὶ καθόλου καταφατική ἡ ᾱβ̄. πρῶτον μὲν αὕτη ἡ καθόλου καταφατική πρὸς οὐδεμίαν ἀντιστρέφει ἡ ᾱβ̄. ἐπεὶ καὶ μείζων Y 10 δὲ Y: om. Bt
12 ὥστε Bt: (ὡς) καὶ Y τῶν ᾱ B post γενήσεται add. καὶ Y
13 καὶ ὁ τρόπος ἐντεῦθεν ἀσυλλόγιστος Y 14 τινὶ τῶν B 14. 15 πρῶτον ὅρον Bt (C, corr. A): πρῶτος ὅρος Y Arist. 15 θετέον BYt (C, corr. A): θετέος Arist.
16 ἡ—εἴη Bt: καὶ ἡ μὲν μείζων εἴη μερική ἡ δὲ ἐλάττων Y 17 ἀντιμεταλαβόντας Y
καὶ alt. delevi 19 μὲν om. Y ἀντιστρέψαντας Y ὅτι καὶ—20 συναγαγεῖν Bt: τὸ ὅτι τὸ β̄ τινὶ τῷ ᾱ, ἐπειδὴ ἡ μερικὴ καταφατικὴ ἀντιστρέφει πρὸς ἑαυτήν, συνάξαι τὸ ἐξ ἀρχῆς προκείμενον συμπέρασμα τὸ ὅτι καὶ τὸ ᾱ τινὶ τῷ β̄, καὶ ὁ συλλογισμὸς ἀνάγεται διὰ δύο ἀντιστροφῶν ἐν τρίτῳ σχήματι· ἔστι δὲ ὁ τρίτος τοῦ τρίτου Y 21 καὶ ὅτι Arist.
22 ἄκρῳ κτλ. om. Y

βουλόμεθα τὰς προτάσεις εἴτε ἀνάπαλιν, πάντως τὴν ἐλάττονα ἀνάγκη LXXXIXr
ἀντιστρέφειν. ἐπὶ μὲν γὰρ τοῦ πρώτου ἀδύνατον ἦν τὴν μείζονα ἀντι-
στραφῆναι· οὕτω γὰρ τὸ δεύτερον γίνεται σχῆμα. ὁ γὰρ μέσος τοῦ ἐλάτ- 35
τονος κατηγορεῖτο· ἀντιστραφείσης οὖν τῆς μείζονος προτάσεως συμβήσεται
5 καὶ τοῦ μείζονος αὐτὸν κατηγορεῖσθαι· τοῦτο δὲ ἦν τὸ δεύτερον σχῆμα.
εἰ δὲ ἀμφότεραι ἦσαν κατηγορικαί, δεύτερόν τε σχῆμα πάλιν ἐγίνετο καὶ
κατὰ ἀμφότερα ἀσυλλόγιστον· ἥ τε γὰρ μείζων μερική, καὶ ἔτι ἀμφότεραι
κατηγορικαί. μόνως οὖν ἡ ἐλάττων ἀντιστρεπτέα. ὁμοίως καὶ εἰ ἐκ τοῦ
τρίτου εἰς τὸ πρῶτον μεταλαβεῖν θελήσομεν. εἰ γὰρ ἡ μείζων ἀντιστρα-
10 φείη, ἀποφατικὴ μὲν οὖσα ἀσυλλόγιστον ποιήσει τὸ πρῶτον σχῆμα· εἰς 40
ἐλάττονα γὰρ μετατεθήσεται ἐκ μείζονος, καὶ ἔσται ἐν πρώτῳ σχήματι ἡ
ἐλάττων ἀποφατική. οἷον εἰ τὸ Α οὐδενὶ τῷ Γ, τὸ δὲ Β παντί· εἰ οὖν
ἀντιστραφείη ἡ ΑΓ, ἔσται τὸ μὲν Β παντὶ τῷ Γ, τὸ δὲ Γ οὐδενὶ τῷ Α·
ἀποφατικὴ οὖν ἡ ἐλάττων. εἰ δὲ εἴη ἡ ΒΓ μερικὴ καταφατική, ἔσται
15 καὶ πρὸς τῷ πρώτῳ ἕτερόν τι ἄτοπον, τὸ καὶ τὴν μείζονα μερικὴν εἶναι.
εἰ δὲ καταφατικὴ εἴη καθόλου ἡ ΑΓ, δυνατὸν μὲν συναγαγεῖν ὅτι τὸ Β
τινὶ τῷ Α καὶ ἀντιστρέψαι ὥστε καὶ τὸ Α τινὶ τῷ Β, ἀλλὰ περιττὸν δύο 45
δεηθῆναι ἀντιστροφῶν ἐξὸν τὴν ἐλάττονα ἀντιστρέψαντα ἀρκεσθῆναι. εἰ
δὲ μερικὴ εἴη ἡ ΒΓ καὶ ἀντιστραφείη ἡ ΑΓ, ἀμφότεραι ἔσονται μερικαί,
20 ὅπερ ἐστὶν ἀδύνατον. μόνως ἄρα ἐν τῇ μεταβάσει τοῦ πρώτου εἰς τὸ
τρίτον καὶ τοῦ τρίτου εἰς τὸ πρῶτον τὴν ἐλάττονα ἀντιστρεπτέον. εἰ δὲ
ἐκ τοῦ πρώτου εἰς τὸ δεύτερον γίνεται ἡ μετάβασις, πάντως ἡ μείζων
ἀντιστρέφεται· αὕτη γάρ ἐστιν ἡ ἀποφατική. τὴν δὲ ἐλάττονα ἀδύνατον,
ἐπεὶ τὸ τρίτον γίνεται σχῆμα. ὁμοίως καὶ εἰ ἐκ τοῦ δευτέρου εἰς τὸ 50
25 πρῶτον γίνοιτο ἡ μετάβασις, ἡ μείζων ἀντιστραφήσεται πλὴν ἑνὸς τρόπου,
τοῦ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου ἀπο-
φατικῆς· ἀντιστραφείσης γὰρ τῆς μείζονος μερικὴ γίνεται ἐν πρώτῳ σχή-
ματι, ὅπερ ἐστὶν ἀδύνατον. ἀντιστρέφεται οὖν ἡ ἐλάττων μετὰ τῆς τῶν
ὅρων δυνάμεως· εἶτα τοῦ συμπεράσματος ἀντιστραφέντος γίνεται τὸ ἐξ
30 ἀρχῆς. εἰ δὲ ἐκ τοῦ δευτέρου εἰς τὸ τρίτον ἢ ἐκ τοῦ τρίτου εἰς τὸ δεύ-
τερον μετάβασις γίνοιτο, ἀμφοτέρας δεῖ ἀντιστρέψαι τὰς | προτάσεις. LXXXIXv
καὶ ἡ αἰτία δήλη· ἀντιπεπονθότως γὰρ ἔχει ἐν τούτοις ὁ μέσος· ἐν μὲν
γὰρ τῷ δευτέρῳ ἀμφοτέρων τῶν ἄκρων κατηγορεῖται, ἐν δὲ τῷ τρίτῳ
ἀμφοτέροις ὑπόκειται· τὸν οὖν ἀμφοτέροις ὑποκείμενον ἀδύνατον ἀμφοτέρων

1 βουλώμεθα t 4 κατηγοροῖτο Y 5 αὐτὸ Y 6 δεύτερον πάλιν τὸ σχῆμα Y 7 ἀσυλλόγιστος Y τε γὰρ om. Y ὅτι Y 9 εἰς om. Bt θελήσωμεν Yt 10 μένουσα Bt ποιήσεις t 11 post ἐκ add. τῆς Y 12 τῶν γ' t τῷ δὲ Y 13 τῷ alt. pr. B: τῶν corr. B, Yt 15 τὸ πρῶτον Y καὶ alt. t: ante ἕτερόν collocat Y: κατὰ B 16 εἴη ἡ αἡ μερικὴ Y 17 ἀντιστρέψαι] ψ e φ corr. Y 18 post ἐξὸν del. καὶ B ἀντιστρέψαντα Bt: ἀντιστρέφειν τὴν βγ Y 19 ἀντιστρέφει Bt 20 ἔσται Y 22 τὸ om. Bt ἡ prius om. B 23 ἀναστρέφεται Yt 24 post ἐπεὶ del. ἐν πρώτῳ Y1 27 μερικὴ γίνεται Bt: εἰς μερικὴν Y 28 post οὖν add. καὶ Y 29 ἀντιστρέφοντος Y 31 ἀντιστρέφειν Y 34 τὸν scripsi: τὸ BYt

κατηγορηθῆναι μὴ ἀμφοτέρων ἀντιστραφεισῶν τῶν προτάσεων· ὁμοίως LXXXIXᵛ καὶ εἰ τὸν ἀμφοτέρων κατηγορούμενον δεήσει ἀμφοτέροις ὑποκεῖσθαι.

p. 51ᵃ40 Φανερὸν οὖν ὅτι οἱ αὐτοὶ συλλογισμοὶ οὐκ ἀναλύονται ἐν τούτοις τοῖς σχήμασιν οἵπερ οὐδ' εἰς τὸ πρῶτον ἀνελύοντο.

Ἐν τούτοις, τῷ τε τρίτῳ καὶ τῷ δευτέρῳ. συλλογισμοὶ δὲ ὁ τέταρτος τρόπος τοῦ δευτέρου καὶ ὁ πέμπτος τοῦ τρίτου· οὐδέτερος γὰρ τούτων εἰς οὐδὲν τῶν λοιπῶν σχημάτων ἀναλυθῆναι ἐδύνατο. διόπερ καὶ μόνοι δι' ἀδυνάτου ἐδείκνυντο συλλογιστικοὶ ὄντες, τῷ μὴ δύνασθαι ἀναλύεσθαι εἰς τὸ πρῶτον, τῶν ἄλλων πάντων τρόπων τῇ εἰς τὸ πρῶτον ἀναγωγῇ περαινόντων τὸ ἀναγκαῖον.

p. 51ᵇ5 Διαφέρει δέ τι ἐν τῷ κατασκευάζειν ἢ ἀνασκευάζειν τὸ ὑπολαμβάνειν ἢ ταὐτὸν ἢ ἕτερον σημαίνειν τὸ μὴ εἶναι τόδε καὶ εἶναι μὴ τοῦτο.

Διὰ τῶν νῦν παραδιδομένων τέχνῶσαι τὴν ἡμετέραν διάνοιαν ὁ φιλόσοφος βούλεται, ἵνα μὴ ἀπατώμεθα οἰόμενοι τὰς ἐκ μεταθέσεως καταφάσεις ἀποφάσεις εἶναι. πολλάκις γάρ τινος κατασκευάζοντος, ὅτι τόδε οὐ λευκόν ἐστιν, οἰηθείη ἄν τις ἀποφατικὸν εἶναι τὸ τοιοῦτον πρόβλημα· εἶτα ἀναλύειν πειρώμενος αὐτὸς ἑαυτῷ ἀπάτης ἔσται αἴτιος καὶ πλάνης ζητῶν τὴν ἀποφατικὴν πρότασιν δι' ἧς τὸ τοιοῦτον συνῆκται πρόβλημα. οὐ δεῖ οὖν, φησίν, οἴεσθαι ὅτι ταὐτόν ἐστι τὸ εἰπεῖν ὅτι οὐκ ἔστι λευκὸν καὶ ὅτι ἔστιν οὐ λευκόν· τῆς γὰρ καταφάσεως τῆς λεγούσης ὅτι λευκόν ἐστιν οὐκ ἔστιν ἀπόφασις ἡ λέγουσα ὅτι οὐ λευκόν ἐστι· καὶ γὰρ αὕτη κατάφασίς ἐστιν ἐκ μεταθέσεως. καὶ ὅτι τοῦτο ἀληθές, δείκνυσιν ἐξ ἀναλογίας τῆς πρὸς τὰς προτάσεις τὰς μετὰ τρόπου. ὡς γὰρ ἔχει, φησί, τὸ ἔστι λευκόν πρὸς τὸ ἔστιν οὐ λευκόν, οὕτως ἔχει τὸ δύναται βαδίζειν πρὸς τὸ δύναται οὐ βαδίζειν· ὁ γὰρ τρόπος τῷ ἔστι τρίτῳ προσκατηγορουμένῳ ἰσοδυναμεῖ καὶ ὁμοίως τάττεται. πάλιν ὡς ἔχει τὸ ἔστι λευκόν πρὸς τὸ ἔστιν οὐ λευκόν, οὕτως ἔχει τὸ ἐπίσταται τὸ ἀγαθόν πρὸς τὸ ἐπίσταται τὸ οὐκ ἀγαθόν. ἔστω οὖν τὸ μὲν ἔστι λευκὸν Α, τὸ δὲ ἔστιν οὐ λευκὸν Β, τὸ δύναται βαδίζειν Γ, τὸ δύναται οὐ βαδίζειν Δ, τὸ ἐπίσταται τὸ ἀγαθὸν Ε, τὸ ἐπίσταται τὸ οὐκ ἀγαθὸν Ζ. εἰ οὖν οὕτως ἔχει τὸ Α πρὸς τὸ Β, ὡς ἔχει τὸ Γ πρὸς τὸ Δ

2 τὸ Bt 4 ἐν τούτοις κτλ. om. Y 5 post τούτοις add. ἤτοι ἐν Y τε om. Y
7 τούτων Bt: τοῦ τρίτου Y ἠδύνατο Y 10 περαινόντων scripsi: περαίνονται BYt
11 τι om. B 12 ἢ ταὐτὸν κτλ. om. Y 13 τοῦτο B Arist.: τόδε t
14 post ἡμετέραν del. δύναμιν Y¹ 15 οἰόμεθα Bt 17 ἀποφατικὴν t
18 ἑαυτοῦ B αἴτιος ἔσται Y 20 καὶ Bt: τὸ Y 22 ὅτι om Bt
25 πρὸς—λευκόν om. B 26 οὐ Y Arist.: μὴ Bt cf. vs. 30 30 post τὸ alt. add. οὐ t 32 ὡς—οὕτως Y πρὸς τῷ utrobique Yt

καὶ τὸ Ε πρὸς τὸ Ζ, εἰ μὴ εἴη τὸ Δ τοῦ Γ ἀπόφασις μηδὲ τὸ Ζ LXXXIXv
τοῦ Ε, οὐδ' ἄρα τοῦ Α τὸ Β ἀπόφασις ἔσται. [Α ἔστι λευκόν, Β ἐστὶν
οὐ λευκόν· τοῦ Α τὸ Β ἀπόφασις οὐκ ἔστι. Γ δύναται βαδίζειν, Δ 30
δύναται οὐ βαδίζειν· τοῦ δύναται βαδίζειν τὸ δύναται οὐ βαδίζειν
5 οὐκ ἔστιν ἀπόφασις. Ε ἐπίσταται τὸ ἀγαθόν, Ζ ἐπίσταται τὸ οὐκ
ἀγαθόν.] τοῦ οὖν δύναται βαδίζειν οὐκ ἀπόφασις τὸ δύναται οὐ
βαδίζειν· ἀμφότερα γὰρ συναληθεύει ἐπὶ τοῦ αὐτοῦ κατὰ τὸν αὐτὸν
χρόνον· ὁ γὰρ αὐτὸς κατὰ τὸν αὐτὸν χρόνον δύναμιν ἔχει τοῦ βαδίζειν
καὶ μὴ βαδίζειν. βαδίζειν μὲν γὰρ καὶ μὴ βαδίζειν τὸν αὐτὸν κατὰ τὸν
10 αὐτὸν χρόνον ἀδύνατον· ὑπάρχειν γὰρ καὶ μὴ ὑπάρχειν τὸ αὐτὸ κατὰ τὸν 35
αὐτὸν χρόνον τῷ αὐτῷ ἀδύνατον. δύνασθαι μέντοι τὰ ἀντικείμενα τὸν αὐτὸν
κατὰ τὸν αὐτὸν χρόνον ἐνδέχεται ἐπὶ τῆς ἐνδεχομένης ὕλης· τοιοῦτον γάρ ἐστι
τὸ ἐνδεχόμενον, "οὗ μὴ ὄντος ἀναγκαίου τεθέντος δὲ οὐδὲν ἀδύνατον ἀκο-
λουθεῖ". εἰ τοίνυν τὸ μὲν Γ καὶ Δ ἅμα τῷ αὐτῷ ἐνδέχεται παρεῖναι,
15 κατάφασιν δὲ καὶ ἀπόφασιν ἅμα τῷ αὐτῷ κατὰ τὸ αὐτὸ παρεῖναι τῶν
ἀδυνάτων ἐστίν, οὐκ ἄρα ἐστὶ τοῦ Γ τὸ Δ ἀπόφασις. οὕτως δὲ εἶχε τὸ Α
πρὸς τὸ Β, ὡς ἔχει καὶ τὸ Γ πρὸς τὸ Δ· οὐδὲ τὸ Β ἄρα τοῦ Α ἀπό- 40
φασίς ἐστι, λέγω δὴ τοῦ ἔστι λευκόν τὸ ἔστι οὐ λευκόν. ὡσαύτως
καὶ ἐπὶ τοῦ ἐπίσταται τὸ ἀγαθόν, ἐπίσταται τὸ οὐκ ἀγαθόν· οὐ γάρ
20 ἐστι τοῦ ἐπίσταται τὸ ἀγαθόν ἀπόφασις τὸ ἐπίσταται τὸ οὐκ ἀγαθόν·
ἅμα γὰρ τῷ αὐτῷ παρεῖναι ἀμφότερα ἐνδέχεται· ὁ αὐτὸς γὰρ καὶ τὸ ἀγα-
θὸν ἐπίστασθαι δύναται καὶ τὸ οὐκ ἀγαθόν, ἐπειδὴ καὶ τῶν ἐναντίων μία
ἐστὶν ἐπιστήμη. ὥστε εἰ μή ἐστι τοῦ Ε τὸ Ζ ἀπόφασις, οὐδὲ τοῦ Α τὸ
Β ἂν εἴη ἀπόφασις· οὐκ ἄρα τοῦ ἔστι λευκόν ἀπόφασίς ἐστι τὸ ἔστιν
25 οὐ λευκόν, ὅπερ ἔδει δεῖξαι. δέδεικται γὰρ ἐν τῷ Περὶ ἑρμηνείας ὅτι 45
οὐκ ἄλλως ἀπόφασις γίνεται ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου προ-
τάσεων, εἰ μὴ τῷ ἔστι τὸ ἀρνητικὸν συνταχθῇ μόριον. τοῦτο γάρ ἐστι τὸ
τὴν κατάφασιν ἐργαζόμενον· ὅπερ εἰ μὴ ἡ ἄρνησις ἀνέλῃ, οὐ γενήσεται
ἀπόφασις, ὥσπερ καὶ ἐπὶ τῶν μετὰ τρόπου προτάσεων τὸν τρόπον· ἰσο-
30 δυναμεῖ γὰρ τῷ ἔστιν ὁ τρόπος. εἰ οὖν τοῦ ἔστι λευκόν μή ἐστιν ἀπό-
φασις τὸ ἔστιν οὐ λευκόν, κατάφασις ἂν εἴη καὶ αὐτὸ ἐκ μεταθέσεως.

---

1 πρὸς τῷ Yt 2 τὸ ᾱ τοῦ Y ᾱ ἔστι — 6 ἀγαθόν delevi ἔστι ex ἔσται corr. Y
3 τοῦ Y: τὸ Bt ἀπόφασις scripsi: ἀποφαίνεσθαι libri 4 post τοῦ add. δὲ Bt
6 τοῦ — 7 βαδίζειν om. Y τοῦ t: τὸ B 8 ἔχει δύναμιν Y 9 τὸν αὐτὸν om. Bt
10 ἀδύνατον — 12 ὕλης Bt: ἐν τῷ αὐτῷ ἀδύνατον. ἀλλὰ τὸ μὲν δυνάμει· τὸ δὲ ἐνεργείᾳ ἐν τῷ αὐτῷ κατὰ τὸν αὐτὸν χρόνον ὑπάρχειν. ἢ ἐν διαφόροις ὑποκειμένοις εἴτουν(?) προσώποις τὰ ἀντικείμενα. τουτέστι τὸ βαδίζειν καὶ μὴ βαδίζειν τῷ αὐτῷ χρόνῳ ἐνδέχεται Y
ὑπάρχειν alt. t: ὑπάρχει B 11 τὸν αὐτὸν τὰ ἀντικείμενα t 13 οὗ κτλ.] c. 13 p. 32a 19 16 τοῦ Yt: τὸ B 16. 17 ὡς — οὕτως Yt cf. p. 364,32 17 πρὸς τῷ utrobique Yt τοῦ — τὸ Bt 17. 18 ἀπόφασις ἐστι post ἄρα collocat B 19 post τὸ ἀγαθὸν add. τὸ Y 20 τὸ ἐπίσταται τὸ οὐκ ἀγαθὸν — τοῦ ἐπίσταται τὸ ἀγαθόν Y
21 ἐνδέχεται τὰ ἀμφότερα Y 23 ἐπιστήμη ἐστὶν B τὸ ᾱ τοῦ Bt τοῦ alt. corr. Y
post ᾱ del. οὐδενὶ Y1 25 ὥσπερ t ἐν τῷ Περὶ ἑρμ.] c. 10 p. 19b 19sq. 27 μόριον συνταχθῇ B 30 τοῦ Y: τῆς Bt 31 τὸ om. Bt αὕτη, superscr. τοῦτο Y: αὐτὴ t

ἔστιν οὖν τῆς μὲν 'ἔστι λευκόν' ἀπόφασις ἡ 'οὐκ ἔστι λευκόν', τῆς δὲ 50
'ἔστιν οὐ λευκόν' ἡ 'οὐκ ἔστιν οὐ λευκόν'.

p. 51b10 Λόγος δὲ τούτου ὅδε.

Τουτέστιν ἀπόδειξις καὶ αἰτία. εἶτα ἐπάγει τὴν εἰρημένην ἡμῖν ἀνα-
5 λογίαν· ἐπειδὴ γὰρ ἐπὶ τῆς 'ἔστι λευκόν' καὶ 'ἔστιν οὐ λευκόν' ἀσαφὴς ἦν
ὁ λόγος, λαμβάνει μετὰ τρόπου ὁμοίως ἐχούσας καταφάσεις ἁ|πλᾶς τε XCr
καὶ ἐκ μεταθέσεως, ἃς ἤδη ἔφθημεν προεκθέμενοι, καὶ δείξας ὅτι ἐπ'
ἐκείνων οὐκ ἔστι τῆς ἁπλῆς καταφάσεως ἀπόφασις ἡ ἐκ μεταθέσεως κατά-
φασις, οὕτως τὸ ἀνάλογον καὶ ἐπὶ τῶν προκειμένων δείκνυσιν.

10 p. 51b13 Τὸ γὰρ ἐπίσταται τὸ ἀγαθόν ἢ ἔστιν ἐπιστάμενος τὸ
ἀγαθόν οὐδὲν διαφέρει.

Ἐπειδὴ τὸ μὲν 'ἔστι λευκόν' καὶ 'ἔστιν οὐ λευκόν', περὶ ὧν ἡ
σκέψις, τὸ ἔστιν εἶχε ῥῆμα, τὸ δὲ 'δύναται βαδίζειν' καὶ 'δύναται μὴ βαδί-
ζειν' καὶ 'ἐπίσταται τὸ ἀγαθόν' καὶ 'ἐπίσταται τὸ μὴ ἀγαθόν' οὐκ εἶχον
15 τὸ ἔστιν. ἐκ δὲ τῆς πρὸς ταῦτα ἀναλογίας δεῖξαι βούλεται ὅτι οὐκ ἔστι
τῆς ἁπλῆς καταφάσεως τῆς 'ἔστι λευκόν' ἀπόφασις ἡ ἐκ μεταθέσεως κατά- 10
φασις ἡ 'ἔστιν οὐ λευκόν', ἵνα μή τις νομίσῃ ὅτι διὰ τὸ μὴ προσκεῖσθαι
τὸ 'ἔστι', τούτου ἕνεκεν παραλογίζεται, τούτου χάριν βούλεται δεῖξαι ὅτι
ἰσοδυναμεῖ τῷ τρόπῳ τὸ 'ἔστι'. τὸ γὰρ λέγειν, φησίν, ἐπίσταται τὸ
20 ἀγαθόν ταὐτόν ἐστι τῷ λέγειν ἔστιν ἐπιστάμενος τὸ ἀγαθόν·
ὁμοίως καὶ τὸ δύναται βαδίζειν τῷ ἔστι δυνάμενος βαδίζειν·
τὸ γὰρ ῥῆμα εἰς μετοχὴν καὶ τὸ 'ἔστιν' ἀναλύεται, ὥσπερ καὶ τὸ
'Σωκράτης περιπατεῖ' ταὐτόν ἐστι τῷ 'Σωκράτης περιπατῶν ἐστιν'. ὥστε,
φησί, καὶ τὰ ἀντικείμενα τὰ αὐτὰ ἔσται, τουτέστιν αἱ ἀποφάσεις 15
25 αὐτῶν, λέγω δὴ τὸ οὐ δύναται βαδίζειν τῷ οὐκ ἔστι δυνάμενος
βαδίζειν· τὸ γὰρ 'δύναται' ῥῆμα ἀνελύθη εἰς τὸ 'ἔστι' καὶ τὴν μετοχὴν
τὴν 'δυνάμενος'. ὡσαύτως καὶ τὸ 'οὐκ ἐπίσταται τὸ ἀγαθόν' ταὐτὸν ἔσται
τῷ 'οὐκ ἔστιν ἐπιστάμενος τὸ ἀγαθόν'.

p. 51b16 Εἰ οὖν τὸ οὐκ ἔστι δυνάμενος βαδίζειν ταὐτὸ σημαίνει
30 καὶ ἔστι δυνάμενος μὴ βαδίζειν, ταὐτά γε ἅμα ὑπάρξει τῷ αὐτῷ·
ὁ γὰρ αὐτὸς δύναται καὶ βαδίζειν καὶ μὴ βαδίζειν, καὶ ἐπι-

1 ἔστιν Bt: ἔστι μὲν Y 2 οὐ alt. om. Bt 6 post μετὰ add. τοῦ Y
7 post ὅτι add. καὶ Y 10 ἐπίσταται Y Arist.: ἐπίστασθαι Bt τἀγαθὸν t Arist.
ἔστιν om. B 13 ἔχει S 14 ἔχουσι S 15 ἐπὶ δὲ B 17 post
ἵνα add. οὖν Y νομίσῃ e νοήσῃ corr. Y¹ 18 post ἔστι add. ῥῆμα Y
24 τὰ αὐτὰ om. Y ἔστω, supra ω scr. αι Y 25 τὸ οὐκ Y 26 post καὶ
add. εἰς SY 27 ἐστι, ut videtur, Y 28 τῷ S: τὸ BYt 30 post δυνάμενος
add. οὐ βαδίζειν ἢ t Arist. μὴ βαδίζειν κτλ. om. Y

στήμων τοῦ ἀγαθοῦ καὶ τοῦ μὴ ἀγαθοῦ ἐστί· φάσις δὲ καὶ XC[1]
ἀπόφασις οὐχ ὑπάρχουσιν αἱ ἀντικείμεναι ἅμα τῷ αὐτῷ.

Δείξας ὅτι οὐδὲν διαφέρει τὸ λέγειν 'δύναται βαδίζειν' καὶ 'ἔστι δυνάμενος βαδίζειν', καὶ ἐπὶ τῶν ἀποφάσεων ὁμοίως, τουτέστιν ἢ μετὰ τρόπου μόνου προφέρεσθαι τὰς προτάσεις ἢ ἀναλύειν τοὺς τρόπους εἰς μετοχὴν καὶ τὸ 'ἔστι' ῥῆμα, δείκνυσι πάλιν ὅτι οὐκ ἔστι τῆς ἁπλῆς καταφάσεως ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις. δείκνυσι δὲ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ· τίθησι γὰρ εἶναι ταὐτὸν τὴν ἐκ μεταθέσεως κατάφασιν τῇ ἁπλῇ ἀποφάσει, καὶ συλλογίζεται τὸ ἑπόμενον ἄτοπον. εἰ γὰρ τῆς λεγούσης ἔστι δυνάμενος βαδίζειν ἀπόφασίς ἐστιν ἡ λέγουσα ἔστι δυνάμενος μὴ βαδίζειν, ἐπειδὴ ὁμολογουμένως τῆς 'ἔστι δυνάμενος βαδίζειν' ἀπόφασίς ἐστιν ἡ λέγουσα 'οὐκ ἔστι δυνάμενος βαδίζειν' ἁπλῆ οὖσα καὶ αὐτή, ἔστι δὲ κατὰ τὴν ὑπόθεσιν καὶ ἡ 'ἔστι δυνάμενος μὴ βαδίζειν' τῆς αὐτῆς ἀπόφασις, ταὐτὸν ἄρα σημαίνουσιν ἄμφω, ἥ τε λέγουσα 'οὐκ ἔστι δυνάμενος βαδίζειν' καὶ ἡ 'ἔστι δυνάμενος μὴ βαδίζειν'· ἄμφω γὰρ μιᾶς καὶ τῆς αὐτῆς καταφάσεώς εἰσιν ἀποφάσεις, τῆς 'ἔστι δυνάμενος βαδίζειν'. εἰ οὖν τὸ αὐτὸ σημαίνουσιν, ἐφ' ὧν δήπου ἡ μία ἀληθής, ἐπὶ τούτων καὶ τὴν λοιπὴν ἀληθεύειν ἀνάγκη. ἀλλ' ἐπειδὴ ἐνδέχεται ἕνα καὶ τὸν αὐτὸν δύνασθαι βαδίζειν καὶ δύνασθαι μὴ βαδίζειν, μᾶλλον δὲ καὶ ἀναγκαῖον (ὃς γὰρ ἂν μὴ βαδίζων δύνηται βαδίζειν, δῆλον δήπου ὅτι καὶ μὴ βαδίζειν δύναται· οὐδὲ γὰρ βαδίζει τότε, ὅτε λέγεται δύνασθαι βαδίζειν), εἰ οὖν ἀμφότεραι αἱ προτάσεις ἐπὶ τοῦ αὐτοῦ συναληθεύουσιν, ἥ τε ἁπλῆ ἡ 'δύναται βαδίζειν' καὶ ἡ ἐκ μεταθέσεως ἡ 'δύναται μὴ βαδίζειν', ἀλλὰ δὴ ἡ 'δύναται μὴ βαδίζειν' ταὐτὸν ἐσήμαινε κατὰ τὴν ὑπόθεσιν τῇ 'οὐ δύναται βαδίζειν' (ἄμφω γὰρ ἀποφάσεις τῆς 'δύναται βαδίζειν', ἡ μὲν κατὰ ἀλήθειαν ἡ δὲ κατὰ τὴν ὑπόθεσιν), καὶ ἡ ἄρα 'δύναται βαδίζειν' ταὐτὸν σημαίνει τῇ 'οὐ δύναται βαδίζειν'· ἐπὶ τοῦ αὐτοῦ ἄρα ἡ ἀντίφασις συναληθεύει, ὅπερ ἐστὶν ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησεν, ὅτι ὑπεθέμεθα τὴν 'ἔστι δυνάμενος μὴ βαδίζειν' ἀπόφασιν εἶναι τῆς 'ἔστι δυνάμενος βαδίζειν'. ἀναγκαίως μὲν γὰρ εἰς ταὐτὸν συνήγετο τῇ 'οὐκ ἔστι δυνάμενος βαδίζειν' ἡ 'ἔστι δυνάμενος μὴ βαδίζειν'· ἀλλὰ ἡ 'ἔστι δυνάμενος βαδίζειν' συνηλήθευε τῇ 'ἔστι δυνάμενος μὴ βαδίζειν'· καὶ ἡ ἄρα 'οὐκ ἔστι

1 ἐστί t Arist.: om. B 2 φάσις κτλ. om. t αἱ—αὐτῷ Arist.: ἅμα τῷ αὐτῷ αἱ ἀντικείμεναι B cf. p. 368,13. 14 3 καὶ om. SY 4 ante βαδίζειν add. μὴ t 8 τὴν—ἀποφάσει om. Y 10 οὐ Bt 11 post δυνάμενος ras. Y βαδίζειν om. B ἐστιν om. t 12 αὕτη B post δὲ add. καὶ S 16 ἀπόφασις t 17 ἡ SY: om. Bt ἀληθές, ut videtur, Y: ἀληθεύει S καὶ SY: om. Bt 19 ἂν om. St δύναται S 20 ὅτι om. S 21 λέγεται scripsi: λέγει BSYt δύνασθαι BS: δύναται Yt 22 ἀληθεύουσιν Y 23 δὴ om. S ἐσήμαινε S: ἐσήμανε BYt 26 ante βαδίζειν prius add. μὴ B σημαίνοι t: σημαίνοι ἂν S post αὐτοῦ add. ὧδε Y 27 συναληθεύσει S ἐστὶν om. S post τὸ add. δὲ S post ἀδύνατον add. οὖν Y 28 post βαδίζειν add. κατάφασιν ἐκ μεταθέσεως Y 29 post βαδίζειν add. ἁπλῆς καταφάσεως Y 30 post βαδίζειν add. ἁπλῆ ἀποφάσει Y 30 et 31 post μὴ βαδίζειν add. κατάφασις ἐκ μεταθέσεως Y 31 post βαδίζειν prius add. ἁπλῆ κατάφασις Y καὶ om. S

δυνάμενος βαδίζειν' συναληθεύσει τῇ 'ἔστι δυνάμενος βαδίζειν' ἡ ἀντίφασις, XCr
ὅπερ ἐστὶν ἀδύνατον.

Εἰ οὖν τὸ οὐκ ἔστι δυνάμενος βαδίζειν ταὐτὸ σημαίνει καὶ ἔστι δυνάμενος μὴ βαδίζειν. οὐχ ὡς αὐτῷ δοκοῦν ἀλλὰ κατὰ τὴν ὑπόθεσιν. εἰ γὰρ τὸ 'ἔστι δυνάμενος μὴ βαδίζειν' ἀπόφασίς ἐστι τοῦ 'ἔστι δυνάμενος βαδίζειν', τοῦ δὲ 'ἔστι δυνάμενος βαδίζειν' ἀπόφασίς ἐστιν ἡ 'οὐκ ἔστι δυνάμενος βαδίζειν', ταὐτὸν ἄρα σημαίνει ἡ 'ἔστι δυνάμενος μὴ βαδίζειν' τῇ 'οὐκ ἔστι δυνάμενος βαδίζειν'· τοῦ γὰρ αὐτοῦ ἄμφω ἀποφάσεις. ὥστε, φησί, καὶ τῷ αὐτῷ ἅμα ὑπάρξει· εἰ γὰρ τὰ αὐτά ἐστι, καὶ ἅμα ὑπάρξει τῷ αὐτῷ. δύναται δὲ τὸ ταῦτά γε ὑπάρξει ἅμα τῷ αὐτῷ πρὸς τὰ ἐφεξῆς λέγεσθαι· ἐπάγει οὖν ὁ γὰρ αὐτὸς δύναται βαδίζειν καὶ μὴ βαδίζειν· ὁ γὰρ αἰτιολογικὸς σύνδεσμος ὁ 'γὰρ' τοῦτο βούλεται.

Φάσις δὲ καὶ ἀπόφασις οὐχ ὑπάρχουσιν αἱ ἀντικείμεναι ἅμα τῷ αὐτῷ, τουτέστιν ἀδύνατον τὴν ἀντίφασιν ἐπὶ τοῦ αὐτοῦ συναληθεύειν. ἐλλιπῶς δὲ εἴρηται ὁ συλλογισμός· ἔδει γὰρ πρὶν εἰπεῖν φάσις δὲ καὶ ἀπόφασις αἱ ἀντικείμεναι οὐχ ὑπάρχουσιν ἅμα τῷ αὐτῷ συναγαγεῖν τὸ ἄτοπον, ὅτι ὁ αὐτὸς ἄρα δύναται βαδίζειν καὶ οὐ δύναται βαδίζειν, εἶτα ἐπαγαγεῖν φάσις δὲ καὶ ἀπόφασις αἱ ἀντικείμεναι οὐχ ὑπάρχουσιν ἅμα τῷ αὐτῷ. πῶς δὲ συνάγεται τὸ ἄτοπον, εἴπομεν.|

p. 55b 22 Ὥσπερ οὖν οὐ ταὐτόν ἐστι τὸ μὴ ἐπίστασθαι τὸ XCv
ἀγαθὸν καὶ ἐπίστασθαι τὸ μὴ ἀγαθόν, οὐδὲ εἶναι μὴ ἀγαθὸν καὶ μὴ εἶναι ἀγαθὸν ταὐτόν.

Διὰ μὲν γὰρ τὴν ὑπόθεσιν τὴν λέγουσαν τῆς ἁπλῆς καταφάσεως ἀπόφασιν εἶναι τὴν ἐκ μεταθέσεως κατάφασιν ἠκολούθησε συναληθεύειν τὴν ἁπλῆν ἀπόφασιν τῇ ἐκ μεταθέσεως καταφάσει· τοῦτο δὲ εἰς ἄτοπον ἐξέπεσε τὸ τὴν ἀντίφασιν συναληθεύειν ἅμα ἐπὶ τοῦ αὐτοῦ. ᾗ δὲ ὑποθέσει ἀδύνατον ἀκολουθεῖ, ψευδής ἐστιν αὕτη· ψευδὴς ἄρα ἡ λέγουσα ὑπόθεσις ταὐτὸν εἶναι τὴν ἁπλῆν ἀπόφασιν τῇ ἐκ μεταθέσεως καταφάσει. αὕτη δὲ ἡ ὑπόθεσις ἠκολούθησε τῇ λεγούσῃ ἀπόφασιν εἶναι τῆς ἁπλῆς καταφάσεως τὴν ἐκ μεταθέσεως κατάφασιν· ψευδὴς ἄρα αὕτη ἡ ὑπόθεσις, ὅπερ καὶ δεῖξαι προέκειτο. ἡ μὲν οὖν τελεία ἀγωγὴ τοῦ συλλογισμοῦ ἐστιν αὕτη. ἐπειδὴ δέ, ὅπερ ἔλεγον, ἐκ τῶν μετὰ τρόπου προτάσεων ἤλεγχεν ὁ Ἀρι-

1 post βαδίζειν prius add. ἁπλῆ ἀπόφασις Y post βαδίζειν alt. ἁπλῆ καταφάσει Y: συναληθεύσει ἄρα S post ἀντίφασις add. δήπου Y 2 ὅπερ ἄτοπον S
3. 4 lemma om. Y 3 τὸ αὐτὸ t 6 τούτου δὲ, om. ἔστι δυνάμενος βαδίζειν Y
8 post δυνάμενος add. μὴ Y τοῦ αὐτοῦ γὰρ Y post ἀποφάσεις add. ἔσονται Y
10 τὸ Bt: τῷ Y ὑπάρξειν Y 11 πρὸς τὸ Y an γοῦν? ὁ γὰρ om. Y
13 αἱ ἀντικείμεναι οὐχ ὑπάρχουσιν (ut vs. 16 et 18. 19) B cf. ad p. 367,1. 2 15 ἐλλειπῶς t 15. 16 φάσεις—ἀποφάσεις t 17 συνάγειν Y 17. 18 καὶ—βαδίζειν om. B
20 ταυτόν BYt (C): ταυτό Arist. 21 τὸ μὴ κτλ. om. Y 23 ἀποφάσεως t
24 ἠκολούθει Y: ἠκολούθη t cf. vs. 29 26 post ἀδύνατον add. τι Y 27 ἐστιν om. B
28. 29 ἡ ἀπόφασις B ἠκολούθει Yt 31 ἡ] εἰ t 32 ἔλεγον Yt: ἔλεγεν B

στοτέλης ὅτι οὐδὲ ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου τῶν ἁπλῶν κατα- XCv
φάσεων ἀποφάσεις εἰσὶν αἱ ἐκ μεταθέσεως καταφάσεις, εἶτα εἰκὸς ἦν τινα
νομίσαι μὴ ὁμοίως ἔχειν ἐπί τε τῶν τὸ 'ἔστιν' ἐχουσῶν προτάσεων καὶ ἐπὶ
τῶν μὴ ἐχουσῶν καὶ διὰ τοῦτο τὸν τρόπον ἀνέλυσεν εἴς τε τὴν μετοχὴν
5 καὶ τὸ 'ἔστι', διὰ τοῦτο αὐτὸ τοῦτο καὶ νῦν συμπεραίνεται, ὅτι εἰ ὡς ἔχει
ἡ 'οὐκ ἐπίσταται τὸ ἀγαθόν' πρὸς τὴν 'ἐπίσταται τὸ μὴ ἀγαθόν', οὕτως
ἔχει ἡ λέγουσα 'οὐκ ἔστιν ἀγαθόν' καὶ ἡ 'ἔστιν οὐκ ἀγαθόν', δέδεικται δὲ 15
ὅτι οὐκ ἔστι ταὐτὸν τὸ πρῶτον τῷ δευτέρῳ, οὐδ' ἄρα τὸ τρίτον τῷ τετάρτῳ
ταὐτὸν ἔσται. ἐν γὰρ τοῖς ἀνάλογον ὡς ἔχει τὸ πρῶτον πρὸς τὸ δεύτερον,
10 οὕτως καὶ τὸ τρίτον ἔχει πρὸς τὸ τέταρτον· ἐκείνων οὖν τῶν αὐτῶν
οὐκ ὄντων οὐδὲ ταῦτα ἂν εἴη τὰ αὐτά.

p. 51b25 Οὐδὲ τὸ εἶναι μὴ ἴσον καὶ μὴ εἶναι ἴσον.

Ἐπὶ σαφέστερον ὑπόδειγμα μετάγει τὸν λόγον δεικνὺς ὅτι οὐκ ἔστι 20
ταὐτὸν ἡ ἁπλῆ ἀπόφασις τῇ ἐκ μεταθέσεως καταφάσει. τὸ γὰρ 'οὐκ ἔστιν
15 ἴσον' οὐκ ἂν εἴη ταὐτὸν 'τῷ ἔστιν οὐκ ἴσον'· ὁ μὲν γὰρ λέγων 'ἔστιν οὐκ
ἴσον' καταφάσκει τινὶ ὑπάρχειν τὸ μὴ ἴσον, τουτέστι τὸ ἄνισον· ὁ δὲ λέγων
'οὐκ ἔστιν ἴσον' ἀποφάσκει μόνον τὸ ἴσον, καταφάσκει δὲ οὐδέν. διόπερ
τὸ μὲν 'ἔστιν ἴσον' καὶ 'οὐκ ἔστιν ἴσον' ἐπὶ πάντων, τῶν τε ὄντων καὶ μὴ
ὄντων, διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, τὸ δὲ ἴσον καὶ ἄνισον οὐκέτι· οὐ
20 γὰρ πᾶν ἢ ἴσον ἐστὶν ἢ ἄνισον. ὃ γὰρ μή ἐστι ποσόν, οὔτε ἴσον ἐστὶν
οὔτε ἄνισον· ταὐτὸν δέ ἐστι τὸ 'ἔστιν οὐκ ἴσον' τῷ 'ἔστιν ἄνισον'. 25

οὐκ ἐπίσταται τὸ ἀγαθόν.	ἐπίσταται τὸ μὴ ἀγαθόν.
οὐκ ἔστιν ἀγαθόν.	ἔστιν οὐκ ἀγαθόν.
οὐκ ἔστιν ἴσον.	ἔστιν οὐκ ἴσον.
25 οὐκ ἔστι ξύλον λευκόν.	ἔστι ξύλον οὐ λευκόν.

p. 51b28 Ἔτι τὸ ἔστιν οὐ λευκὸν ξύλον καὶ οὐκ ἔστι λευκὸν 30
ξύλον οὐχ ἅμα ὑπάρχει.

Πάλιν ἐπὶ σαφέστερον μετῆλθεν ὑπόδειγμα. ἐν μὲν γὰρ τοῖς ἐπάνω
ἄνευ τινὸς ὑποκειμένου λέγων τὸ μὴ εἶναι ἀγαθὸν ἢ 'ἔστιν οὐκ ἀγαθόν'
30 καὶ 'ἔστιν οὐκ ἴσον' καὶ 'οὐκ ἔστιν ἴσον', μὴ προστιθεὶς δὲ τί ποτέ ἐστιν ὃ
ταῦτα λέγεται ἢ εἶναι ἢ μὴ εἶναι, ἀσαφέστερον ἐποίει τὸν λόγον· νῦν δὲ

---

1 προσκατηγορουμένων Bt 5 post ἔστι add. ῥῆμα Y 7 ἔχοι t post ἔχει add. καὶ S ἡ alt. om. BSt 9 ἀνάλογον] νά superscr. B πρὸς τῷ Yt 10 ἔχει St: post οὕτως colloc. B: om. Y πρὸς τῷ t 11 ταυτά B 12 post καὶ add. τὸ t Arist. (om. n) μὴ alt. om., ut videtur, B¹ 15 μὲν om. Bt 16 τινὶ ὑπάρχειν τὸ Bt: εἶναί τι ὑπάρχον Y 18 τε om. Bt 19 οὐκ ἔστιν Y 23 οὐκ alt. om. Y 26 post καὶ add. τὸ t 26. 27 ξύλον λευκὸν B 27 οὐχ ἅμα ὑπάρχει om. B 28 ὑπόδειγμα om. BSt 29 μὴ om. SY 30 μὴ BSY: οὐ t ὦ Y 31 λέγεται SY: λέγει Bt ἢ prius S: om. BYt ἢ alt. BSY: καὶ t

λέγων 'οὐκ ἔστι ξύλον λευκόν' καὶ 'ἔστι ξύλον οὐ λευκόν' τῷ προσθεῖναι XCv
καὶ τὸ ὑποκείμενον σαφὲς ἐποίησε τὸ ἀσυνύπταρκτον τῆς τε ἀποφάσεως 35
τῆς ἁπλῆς καὶ τῆς ἐκ μεταθέσεως καταφάσεως. ὁ μὲν γὰρ λέγων 'ἔστι
ξύλον οὐ λευκόν' λέγει εἶναί τι ξύλον, τούτου δὲ κατηγορεῖ τὸ οὐ λευκόν·
5 ὁ δὲ λέγων 'οὐκ ἔστι ξύλον λευκόν' δύναται μὴ μόνον τὸ λευκὸν ἀλλὰ καὶ
τὸ ξύλον ἀποφάσκειν· ἀληθὲς γὰρ εἰπεῖν ὅτι ἡ ψυχὴ καὶ τὸ μὴ ὂν οὐκ
ἔστι ξύλον λευκόν. οὐκ ἄρα ταὐτά ἐστι τὰ αὐτά.

p. 51 b 31 Ὥστε φανερὸν ὅτι οὐκ ἔστι τοῦ ἔστιν ἀγαθόν τὸ ἔστιν 40
οὐκ ἀγαθόν ἀπόφασις.

10 Τὸ συμπέρασμα ἐπήγαγε δι' ὃ ταῦτα πάντα εἶπεν, ὅτι οὐκ ἔστι τῆς
ἁπλῆς καταφάσεως ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις. πῶς δὲ τοῦτο
συνῆκται, πολλάκις εἶπον.

p. 51 b 32 Εἰ οὖν κατὰ παντὸς ἑνὸς ἢ ἡ φάσις ἢ ἡ ἀπόφασις ἀλη-
θής, εἰ μή ἐστιν ἀπόφασις, δῆλον ὡς κατάφασις ἄν πως εἴη.

15 Δείξας ὅτι ἡ ἐκ μεταθέσεως κατάφασις οὐκ ἔστιν ἀπόφασις, ἀναγκαίως 45
συνάγει ὅτι κατάφασίς ἐστιν· πάντα γὰρ ἀποφαντικὸν λόγον ἀνάγκη ἢ κατά-
φασιν εἶναι ἢ ἀπόφασιν· εἰ οὖν μή ἐστιν ἀπόφασις, κατάφασις ἂν εἴη.
καὶ καλῶς προσέθηκε τὸ 'πως'. ὅτι οὐχ ἁπλῆ ἐστι κατάφασις ἀλλ' ἐκ μετα-
θέσεως. πάσης δὲ καταφάσεως ἔστι τις ἀπόφασις· καὶ τῆς ἄρα λεγούσης
20 'ἔστιν οὐκ ἀγαθόν', ἥτις δέδεικται κατάφασις οὖσα, ἀπόφασις ἔσται ἡ 'οὐκ
ἔστιν οὐκ ἀγαθόν'.

p. 51 b 36 Ἔχει δὲ τάξιν τήνδε πρὸς ἄλληλα καὶ τὰ ἑξῆς. | XCIr

Προὔκειτο μὲν διδάξαι ὅτι τῆς ἁπλῆς καταφάσεως οὐκ ἔστιν ἀπόφασις
ἡ ἐκ μεταθέσεως κατάφασις, ὡς χρησιμεύοντος ἡμῖν τούτου εἰς τὰς τῶν 5
25 συλλογισμῶν ἀναλύσεις, ἵνα μὴ καταφατικὸν ἐκ μεταθέσεως πρόβλημα οἰη-
θέντες ἀποφατικὸν εἶναι εἰς ἀποφατικὸν ἀναλύειν συλλογισμὸν πειραθῶμεν.
τοῦτο μὲν οὖν τὸ προκείμενον ἦν τῷ Ἀριστοτέλει. εἶτα πρὸς τὴν τούτου
δεῖξιν ἔλεγε τὸν αὐτὸν δύνασθαι βαδίζειν καὶ μὴ βαδίζειν καὶ ἐπιστήμονα
τοῦ ἀγαθοῦ εἶναι καὶ τοῦ μὴ ἀγαθοῦ, ὧν αἱ μὲν ἦσαν ἁπλαῖ καταφάσεις
30 αἱ δὲ ἐκ μεταθέσεως, καὶ ὅτι οὐ ταὐτόν ἐστι τὸ μὴ ἐπίστασθαι τὸ ἀγαθὸν

2 καὶ om. Y post ἐποίησε add. καὶ t συνύπαρκτον t 2. 3 τῆς τε ἁπλῆς ἀποφάσεως Y 4 τούτου SY: τούτῳ Bt post λευκόν alt. add. οὐ γὰρ πάντα τὰ ξύλα λευκά εἰσιν. ἀλλ' ἔστι καὶ ἄλλου τινὸς χρώματος μετέχοντα Y 5 λέγων δὲ B 10 πάντα ταῦτα Y 11 post δὲ add. καὶ B: εἶπε del. Y¹ 13 ἢ ἡ pr. loco t: ἡ BY: ἢ Arist. ἢ ἡ alt. loco BY (n): ἢ t Arist. 14 εἰ μή κτλ. om. Y 16 ἀποφατικὸν t, pr. S 17 post εἴη add. πάντως S 18 ante ὅτι add. ὑπὲρ τοῦ ἐνδείξασθαι S 20 post οὖσα add. ἐκ μεταθέσεως Y 21 οὐκ om. B: superscr. Y 22 δὲ om. Y καὶ τὰ ἑξῆς om. Y 30 ἐπίσταται Y

καὶ ἐπίστασθαι τὸ μὴ ἀγαθόν, ὧν ἡ μὲν ἁπλῆ ἐστιν ἀπόφασις ἡ δὲ κατά- XCI
φασις ἐκ μεταθέσεως. ἐπεὶ οὖν ὅλως ἐμνήσθη τίνες τε ταὐτὸν δύνανται
τῶν ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως καὶ τίνες οὐ ταὐτόν, διὰ τοῦτο βούλεται
μεταξὺ περὶ τῆς ἀκολουθίας τῶν τε ἁπλῶν προτάσεων καὶ τῶν ἐκ μετα-
θέσεως ἡμᾶς διδάξαι. καὶ ἅπερ ἐν τῷ Περὶ ἑρμηνείας ἠνίξατο περὶ τῆς
ἀκολουθίας αὐτῶν, ταῦτα σαφῶς ἐνταῦθα διδάσκει. καὶ λέγει, ἵνα συντόμως
εἴπω, ὅτι ἀντεστραμμένως ἔχουσι κατὰ τὴν ἀκολούθησιν αἱ ἁπλαῖ καὶ αἱ
ἐκ μεταθέσεως· τῇ μὲν γὰρ ἁπλῇ καταφάσει ἕπεται ἡ ἐκ μεταθέσεως
ἀπόφασις, καὶ ἀνάπαλιν τῇ ἐκ μεταθέσεως καταφάσει ἡ ἁπλῆ ἀπόφασις.
καὶ ἁπλῶς ταῖς μὲν καταφάσεσιν αἱ ἀποφάσεις ἕπονται, οὐ μὴν καὶ ἀνά-
παλιν ταῖς ἀποφάσεσιν αἱ καταφάσεις· ἐπὶ πλέον γάρ εἰσιν αἱ ἀποφάσεις
τῶν καταφάσεων. ἵνα οὖν τοῦτο δείξῃ, ἐκτίθεται αὐτὰς ἐν διαγράμματι·
τὴν μὲν ἁπλῆν κατάφασιν, ἐφ' ἧς τὸ Α, οἷον τὴν λέγουσαν 'ἔστι ξύλον
λευκόν'· ταύτης ἀπόφασις τὸ Β, τὸ 'οὐκ ἔστι ξύλον λευκόν'· εἶτα ὑπὸ
μὲν τὸ Β τὴν ἐκ μεταθέσεως κατάφασιν, ἐφ' ἧς τὸ Γ, τὸ 'ἔστι ξύλον οὐ
λευκόν', ὑπὸ δὲ τὸ Α τὴν ἐκ μεταθέσεως ἀπόφασιν, ἐφ' ἧς τὸ Δ, τὸ 'οὐκ
ἔστι ξύλον οὐ λευκόν'. τούτων οὕτως ἐχόντων, ἐπειδὴ ἐπὶ παντός, καὶ
ὄντος καὶ μὴ ὄντος, ἢ ἡ κατάφασις ἀληθεύει ἢ ἡ ἀπόφασις αἱ ἀντιφατικῶς
ἀντικείμεναι, ἀντιφατικῶς δὲ ἀντίκεινται τὸ Α καὶ τὸ Β καὶ ἔτι τὸ Γ καὶ
τὸ Δ, καὶ ἐπὶ παντὸς ἄρα ἢ τὸ Α ἢ τὸ Β καὶ ἢ τὸ Γ ἢ τὸ Δ. ἐπεὶ οὖν
τῷ Α ἀδύνατον ὑπάρξαι τὸ Γ (ἀδύνατον γὰρ τὸ αὐτὸ εἶναι λευκὸν καὶ
εἶναι μὴ λευκόν), τὸ Δ ἄρα ὑπάρξει τῷ Α· ὃ γάρ ἐστι ξύλον λευκόν,
τοῦτο οὐκ ἔστι ξύλον οὐ λευκόν. ὥστε ὃ ἂν ᾖ Α, τοῦτο πάντως ἔσται
καὶ Δ. τῇ ἄρα ἁπλῇ καταφάσει, τῷ Α, ἡ ἐκ μεταθέσεως ἀπόφασις
ἕπεται, ἥτις ἐστὶ τὸ Δ. οὐ μὴν ἀνάπαλιν τῷ Δ ἕπεται τὸ Α· ἐπὶ πλέον
γάρ ἐστι τὸ Δ τοῦ Α. τὸ γὰρ 'οὐκ ἔστι ξύλον οὐ λευκόν' ἀληθεύει, κἂν
μὴ ὅλως ᾖ ξύλον· καὶ γὰρ ἡ ψυχὴ οὐκ ἔστι ξύλον οὐ λευκόν, καὶ τὸ μὴ
ὂν οὐκ ἔστι ξύλον οὐ λευκόν· ὅπερ ὁ' ἂν ᾖ ξύλον λευκόν, πάντως καὶ
ξύλον ἐστίν. οὐκ ἄρα τῇ ἐκ μεταθέσεως ἀποφάσει, ἥτις ἦν ἐφ' ἧς τὸ Δ,
ἕπεται ἡ ἁπλῆ κατάφασις, ἐφ' ἧς τὸ Α, διὰ τὸ ἐπὶ πλέον εἶναι τὴν ἀπό-
φασιν τὴν ἐκ μεταθέσεως τῆς ἁπλῆς καταφάσεως. ὥσπερ δὲ τῇ ἁπλῇ
καταφάσει ἠκολούθησεν ἡ ἐκ μεταθέσεως ἀπόφασις, οὕτω κατὰ τὸ ἐναντίον
τῇ ἐκ μεταθέσεως καταφάσει ἕπεται ἡ ἁπλῆ ἀπόφασις καὶ οὐκ ἀντι-

---

1 ἐπίσταται Y ὧν om. Y ἐστιν ἁπλῆ B 2 δύναται t 4 τε om. t 5 ἐν τῷ Περὶ ἑρμ.] c. 10 p. 19b15 sq. 7 ἀκολουθίαν B αἱ alt. om. t 10 καὶ alt. om. B 11 αἱ καταφάσεις ταῖς ἀποφάσεσιν t 14 immo ἀπόφασιν τὸ alt. om. Bt 15 ὁ BY: α' t τὸ (post γ) om. Bt 16 τὸ (post δ) om. Bt 17 post λευκόν add. εἰ γὰρ ἀληθὲς εἰπεῖν ὅτι ἔστιν οὐ λευκόν, καὶ ὅτι οὐκ ἔστι λευκόν ἀληθές Y: ἁπλῆ κατάφασις. ἔστι ξύλον λευκόν. α' οὐκ ἔστι ξύλον λευκόν. β' ἁπλῆ ἀπόφασις. | ἐκ μεταθέσεως ἀπόφασις. οὐκ ἔστι ξύλον οὐ λευκόν. δ' ἔστι ξύλον λευκόν. γ' ἐκ μεταθέσεως κατάφ. t post τούτων add. οὖν Y 20 ἢ (post ἄρα) om. Y καὶ alt. om. Y 21 τῷ αὐτῷ pr. Y 22 ὑπάρχει B 23 ὥστε ὡς ἂν ᾖ τὸ α Y 24 post καὶ add. τὸ Y 25 ἕψεται alt. l. t 26 οὐδὲ (ante λευκόν) Y ἀληθεύει—27 οὐ λευκόν om. Y 28 post πάντως add. τοῦτο Y 29 τῷ δ Y 30. 31 τὴν ἐκ μεταθέσεως ἀπόφασιν Y 32 τὸ om. t

στρέφει, τουτέστιν ἐφ' οὗ τὸ Γ, πάντως ἐπὶ τούτου καὶ τὸ Β, οὐ μὴν XCIr
ἐφ' οὗ τὸ Β, πάντως καὶ τὸ Γ διὰ τὸ ἐπὶ πλέον εἶναι τὸ Β τοῦ
Γ. ὅτι οὖν ἐφ' οὗ τὸ Γ, πάντως ἐπὶ τούτου καὶ τὸ Β, τῷ αὐτῷ
τρόπῳ δείκνυσιν. εἰ γὰρ μὴ τὸ Β, ἀνάγκη πάντως τὸ Α· ἐπὶ παντὸς
5 γὰρ ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις· ἀλλ' ἀδύνατον· εἰ γάρ ἐστί τι ξύλον οὐ
λευκόν, ἀδύνατον τοῦτο ξύλον εἶναι λευκόν. ὥστε τὸ ἀντικείμενον ἀνάγκη
τὸ 'οὐκ ἔστι ξύλον λευκόν', ὅπερ καὶ ἔστιν ἀληθές· ὃ γὰρ ἂν εἴη ξύλον οὐ
λευκόν, τοῦτο οὐκ ἔσται ξύλον λευκόν. οὐκέτι μέντοι εἴ τι οὐκ ἔστι ξύλον 40
λευκόν, τοῦτο ἔσται ξύλον οὐ λευκόν· καὶ γὰρ τὰ μὴ ὄντα ξύλα, οἷον
10 ψυχή, ἄγγελος, καὶ ἔτι τὸ μὴ ὂν ἀληθὲς εἰπεῖν ὅτι οὐκ ἔστι ξύλον λευκόν·
οὐκέτι μέντοι ἀληθὲς τὸ εἰπεῖν 'ἔστι ξύλον οὐ λευκόν'.

p. 52a4 Τῷ δὲ Β τὸ Γ οὐκ ἀεί· ὃ γὰρ ὅλως μὴ ξύλον, οὐδὲ ξύλον ἔσται οὐ λευκόν.

Εἴπομεν γὰρ ὅτι ἡ ἀπόφασις καὶ ἐπὶ τὰ μὴ ὄντα χωρεῖ· τὸ γὰρ
15 'οὐκ ἔστι ξύλον λευκόν' φέρεται καὶ ἐπὶ ψυχῆς καὶ ἐπὶ τοῦ μὴ ὄντος· εἰ 45
οὖν οὐκ ἔστι ξύλον ἡ ψυχὴ ἢ τὸ μὴ ὄν, οὐδὲ ξύλον οὐ λευκὸν ἔσται.
καλῶς δὲ τὸ οὐκ ἀεὶ πρόσκειται· ἐνδέχεται γὰρ ἐπὶ τινῶν ἐφ' ὧν ὑπῆρχε
τὸ Γ, λέγω δὴ τῶν οὐ λευκῶν ξύλων· ἐπὶ γὰρ τῆς ἐβένου ἀληθὲς εἰπεῖν
ὅτι οὐκ ἔστι ξύλον λευκόν, ὥστε ἀληθὲς εἰπεῖν ⟨καὶ⟩ ὅτι οὐκ ἔστι ξύλον
20 λευκὸν καὶ ὅτι ἔστι ξύλον οὐ λευκόν.

p. 52a6 Ἀνάπαλιν τοίνυν, ᾧ τὸ Α, τὸ Δ παντί. |

Τὸ ἀνάπαλιν, διότι οὐ καθ' ἕνα καὶ τὸν αὐτὸν στοῖχον ἢ ταῖς XCIv
ἁπλαῖς αἱ ἐκ μεταθέσεως ἕπονται ἢ ταῖς ἐκ μεταθέσεως αἱ ἁπλαῖ, ἀλλ'
ἀντιστρόφως τῇ μὲν ἁπλῇ καταφάσει ἡ ἐκ μεταθέσεως ἀπόφασις, τῇ δὲ
25 ἐκ μεταθέσεως καταφάσει ἡ ἁπλῆ ἀπόφασις. καθὸ μέντοι ἐπ' ἀμφοτέρων
ταῖς καταφάσεσιν αἱ ἀποφάσεις ἕπονται, τὴν αὐτὴν σώζοιεν ἂν συστοιχίαν.

p. 52a11 Ὥστε τὸ Δ ἀληθές, τὸ δὲ Α οὐκ ἀληθές. 5

Τουτέστι κατὰ τοῦ ὅλως μὴ ὄντος ξύλου τὸ μὲν Δ ἀληθές, ὅτι
οὐκ ἔστι ξύλον οὐ λευκόν, τὸ δὲ Α οὐκ ἀληθές, ὅτι ἔστι ξύλον
30 λευκόν. ὥστε οὐχ ἕπεται τῇ ἐκ μεταθέσεως ἀποφάσει ἡ ἁπλῆ κατάφασις.

---

5 ἀλλ' ἀδύνατον Bt: ἀληθές: — ἀδύνατον γὰρ ἅμα εἶναι λευκὸν καὶ εἶναι μὴ λευκόν: τουτέστιν Y τι om. Bt 6 post λευκὸν prius add. δὲ Y 7 καὶ om. t
8 post τοῦτο add. καὶ ξύλον Y ἔσται B: ἔστι Yt ξύλον prius om. Y 9 ἔστι Y
10 ἔτι Y: ὅτι Bt ξύλα λευκά Bt 12 ὃ γὰρ κτλ. om. Y post ξύλον add. ἐστὶν t 13 οὐ t Arist.: οὐδὲ B 15 post ψυχῆς add. καὶ ἐπὶ ἀγγέλου Y
τοῦ om. t 16 an γοῦν? post ψυχὴ add. ἢ ὁ ἄγγελος Y οὐ Yt: οὐδὲ B
ἔσται Bt: ἐστὶ Y 17 πρόσκειται om. Bt 19 post ξύλον prius add. οὐ B
εἰπεῖν om. B καὶ addidi 19. 20 ὅτι οὐκ ἔστι ξύλον λευκὸν t: om. BY
20 post λευκὸν prius add. ὥστε ἀληθές t 21 post α' add. καὶ t 26 ἂν σώζοιεν Y 27 post ὥστε add. εἰ Y (f) δὲ B Arist.: om. Y t (n f)
28 post ἀληθὲς add. τὸ Y itemque vs. 29 29 ἔστι prius ex ἔσται corr. Y

p. 52ᵃ12 Δῆλον δ' ὅτι καὶ τὸ ΑΓ οὐδενὶ τῷ αὐτῷ ὑπάρξει καὶ τὸ Β καὶ τὸ Δ ἐνδέχεται τινὶ τῷ αὐτῷ ὑπάρξαι. XCIv

Εἰπὼν ὅπως ἔχουσιν αἱ ὑπάλληλοι προτάσεις ἐν τῷ διαγράμματι, ζητεῖ νῦν ὅπως ἔχουσι καὶ αἱ διαγώνιοι. καὶ φησὶν ὅτι τὸ μὲν Α καὶ Γ οὐδέποτε τῷ αὐτῷ ὑπάρξει, τουτέστιν ἀμφότεραι αἱ καταφάσεις, ἥ τε ἁπλῆ καὶ ἡ ἐκ μεταθέσεως· ὃ γάρ ἐστι ξύλον λευκόν, τοῦτο ἀδύνατον εἶναι ξύλον οὐ λευκόν. τὰς μέντοι ἀποφάσεις, φησίν, ἐνδέχεταί ποτε συναληθεύειν, λέγω δὲ ἐπὶ τοῦ μὴ ὄντος· ἀληθὲς γὰρ τὸ λέγειν ὅτι τὸ μὴ ὂν οὐκ ἔστι ξύλον λευκόν, καὶ πάλιν οὐκ ἔστι ξύλον οὐ λευκόν. οὐ μόνον δὲ ἐπὶ τοῦ ἁπλῶς μὴ ὄντος ἀλλὰ καὶ ἐπὶ τοῦ μὴ ὄντος ξύλου· οἷον ἡ ψυχὴ οὐκ ἔστι ξύλον λευκόν, ἀλλὰ καὶ οὐκ ἔστι ξύλον οὐ λευκόν. ὥστε αἱ μὲν κατα-καταφάσεις οὐδέποτε συναληθεύουσι, τὰς δὲ ἀποφάσεις ἐνδέχεται συναληθεύειν. ἐπειδὴ δὲ ἐν τῷ Περὶ ἑρμηνείας δύο διαγράμματα ἐκθέμενος ὁ Ἀριστοτέλης, ἓν μὲν τῶν ἀπροσδιορίστων προτάσεων ἕτερον δὲ τῶν προσδιωρισμένων, ἐπὶ μὲν τῶν ἀπροσδιορίστων εἶπε τὰς μὲν καταφάσεις μηδέποτε συναληθεύειν, τὰς δὲ ἀποφάσεις συναληθεύειν, καὶ ταῖς καταφάσεσιν ἀεὶ τὰς ἀποφάσεις ἕπεσθαι, ὡς ἔφθημεν εἰπόντες, ἐπὶ δὲ τῶν προσδιωρισμένων οὐχ οὕτως, ἀλλὰ μόνον τὰς μερικὰς ἀποφάσεις ἕπεσθαι, οἷον τῇ 'οὐ πᾶς ἐστι δίκαιος ἄνθρωπος' τὴν 'οὐ πᾶς ἐστιν οὐ δίκαιος ἄνθρωπος'· αἱ γὰρ καθόλου οὐδέποτε συναληθεύουσιν, λέγω δὴ ἡ 'οὐδείς ἐστι δίκαιος ἄνθρωπος' τῇ 'οὐδείς ἐστιν οὐ δίκαιος ἄνθρωπος'. εἰ οὖν μέλλοι συνᾴδειν τὰ ἐνταῦθα λεγόμενα τοῖς ἐν τῷ Περὶ ἑρμηνείας, ὡς ὁ Ἀλέξανδρός φησιν, ὅταν λέγῃ ὁ Ἀριστοτέλης ὅτι τὸ ΑΓ οὐδενὶ τῷ αὐτῷ ὑπάρξει, τουτέστιν αἱ καταφάσεις, ἢ ὡς ἐπὶ τῶν ἀπροσδιορίστων καταφάσεων ἐξακουσόμεθα ἢ ὡς ἐπὶ τῶν μερικῶν καταφάσεων· καὶ γὰρ αἱ ἀπροσδιόριστοι ταῖς μερικαῖς ἰσοδυναμοῦσιν. ὅτι δὲ ὡς ἐπὶ τῶν ἀπροσδιορίστων ἐνταῦθα τὸν λόγον ποιεῖται, ἐδήλωσε καὶ ἐν τῷ Περὶ ἑρμηνείας· ἐκθεὶς γὰρ τῶν ἀπροσδιορίστων προτάσεων τὸ διάγραμμα καὶ εἰπὼν ποῖαι ἀκολουθοῦσιν ἀλλήλαις καὶ ποῖαι

---

1 post οὐδενὶ add. καὶ Y ὑπάρχει, post quod add. εἰ t: om. Arist. 2 καὶ superscr., ut videtur, B¹ τὸ alt. om. Y ὑπάρχειν B 3 ἔχωσιν Y 4 οὖν Y ἔχωσι Y 8 δὴ t: non liquet Y ἀληθὲς—11 οὐ λευκόν habet P γὰρ εἰπεῖν ὅτι P 9 οὐ prius om. t 10 ἁπλῶς P: om. BYt τοῦ—ξύλου P: τῶν ὅλως μὴ ὄντων ξύλων BYt 13 ἐπειδὴ—26 ἰσοδυναμοῦσιν habet P ἐν τῷ Περὶ ἑρμ.] c. 10 p. 19ᵇ15 sq. ἐκθέμενος BPt: ἐποίησεν Y 14 τὸ μὲν P 16 καὶ ταῖς BYt: ταῖς δὲ P 17 τὰς ἀποφάσεις ἀεὶ B ὡς ἤδη εἴρηται P 19 τὴν BPt: ἡ Y 21 δὴ om. Y post δὴ add. ἡ πᾶς ἔστιν ἄνος δίκαιος· τῇ πᾶς ἔστιν ἄνος οὐ δίκαιος καὶ t 22 μέλλοι P: μέλλει BYt συνᾴδειν P: συνοίσειν BYt: fort. συνᾴσειν 23 ὡς—φησιν om. P ὁ Ἀλέξανδρος] p. 409,9 sq. 24 ἢ PYt: οὐχ' ἢ B 25 καταφάσεων P: ἀποφάσεων BYt ἀκούομεν P 26 καταφάσεων scripsi: ἀποφάσεων BYt: om. P ἰσοδυναμοῦσι γὰρ αἱ ἀπροσδιόριστοι ταῖς μερικαῖς P post ἰσοδυναμοῦσιν add. ἀλλ' ὡς ἐπὶ τῶν προσδιωρισμένων καταφάσεων Bt 28 ἐν τῷ Περὶ ἑρμ.] c. 10 p. 19ᵇ31

οὔ, "ταῦτα μὲν οὖν, φησίν, ὥσπερ ἐν τοῖς Ἀναλυτικοῖς λέγεται, οὕτω τέτα- XCIv
κται", ὡς δὴ τούτου τοῦ συγγράμματος προτέρου γεγραμμένου.

Ἀπορήσειε δ' ἄν τις πῶς ἀνωτέρω μὲν ἀμφοτέρας τὰς καταφάσεις συν-
αληθεύειν ἔλεγε, τήν τε ἁπλῆν καὶ τὴν ἐκ μεταθέσεως ("ὁ γὰρ αὐτός, φησί,
5 δύναται βαδίζειν καὶ μὴ βαδίζειν καὶ ἔστιν ἐπιστήμων τοῦ ἀγαθοῦ καὶ τοῦ μὴ
ἀγαθοῦ"), ἐνταῦθα δέ φησι τὸ ΑΓ μηδέποτε τῷ αὐτῷ ὑπάρχειν, λέγω δὴ τὴν
ἁπλῆν κατάφασιν καὶ τὴν ἐκ μεταθέσεως κατάφασιν, τὴν 'ἔστι ξύλον λευκόν'
καὶ τὴν 'ἔστι ξύλον οὐ λευκόν' (ἀδύνατον γὰρ τὸ αὐτὸ λευκὸν εἶναι καὶ οὐ
λευκόν), καὶ πάλιν ἄνω μὲν ἔλεγε μὴ ταὐτὸν εἶναι τὸ μὴ ἐπίστασθαι τὸ
10 ἀγαθὸν καὶ ἐπίστασθαι τὸ μὴ ἀγαθόν, τουτέστι τὴν ἁπλῆν ἀπόφασιν καὶ
τὴν ἐκ μεταθέσεως κατάφασιν, καὶ ἔμπαλιν, ἐνταῦθα δὲ ἔδειξεν ὅτι ταῖς
καταφάσεσιν ἕπονται αἱ ἀποφάσεις. ἰστέον οὖν ὅτι πρῶτον μὲν οὐ ταὐτόν
ἐστι τὸ λέγειν [μὴ] εἶναι ταὐτὸν τόδε τῷδε καὶ τὸ λέγειν ἕπεσθαι τόδε τῷδε,
ἐπεὶ τῷ μὲν ἀνθρώπῳ ἕπεται τὸ ζῷον, οὐ ταὐτὸν δέ ἐστι ζῷον καὶ
15 ἄνθρωπος, καὶ ἐπ' ἄλλων μυρίων ὡσαύτως. ἄλλως τε καὶ ἡ ἀκολούθησις
τῶν προτάσεων ἡ καὶ ἐνταῦθα καὶ ἐν τῷ Περὶ ἑρμηνείας παραδιδομένη,
λέγω δὴ ὅτι ἐπὶ τῶν δύο ἀντιφάσεων, τῆς τε ἁπλῆς καὶ τῆς ἐκ μετα-
θέσεως, ταῖς μὲν καταφάσεσιν αἱ ἀποφάσεις ἕπονται, οὐκέτι δὲ ταῖς ἀπο-
φάσεσιν αἱ καταφάσεις, καὶ τὸ τὰς μὲν καταφάσεις μηδέποτε ἐπὶ τοῦ
20 αὐτοῦ συναληθεύειν, τὰς δὲ ἀποφάσεις ἐνδέχεσθαι συναληθεύειν ἐπὶ τοῦ
αὐτοῦ, οὐκ ἐπὶ πασῶν τῶν προτάσεων λέγεται· οὐ γὰρ δὴ καὶ ἐπὶ τῶν
μετὰ τρόπου· ἐπὶ τούτων γὰρ οὐκέτι ἀληθὴς ἡ τοιαύτη ἀκολούθησις. ἐπὶ
γὰρ τῶν μετὰ τρόπου ἐπὶ μὲν τοῦ δυνατοῦ ἢ ἐνδεχομένου ἀνάγκη συναλη-
θεύειν τὰς καταφάσεις, ὡς ἤδη εἴπομεν, τὸ δύνασθαι βαδίζειν τῷ δύνασθαι
25 μὴ βαδίζειν· οὐδέποτε δὲ ταῖς καταφάσεσιν ἀκολουθοῦσιν αἱ ἀποφάσεις,
οἷον τῇ 'δύναται βαδίζειν' ἡ 'οὐ δύναται μὴ βαδίζειν' ἢ τῇ 'δύναται μὴ
βαδίζειν' ἡ 'οὐ δύναται βαδίζειν'· ἀσυνύπαρκτα γὰρ ταῦτα ἐπὶ τοῦ αὐτοῦ.
ἀλλ' οὐδὲ αἱ ἀποφάσεις συναληθεύουσί ποτε, ἡ οὐ δύναται βαδίζειν' καὶ ἡ
'οὐ δύναται μὴ βαδίζειν', ἀλλὰ κἀνταῦθα κἀκεῖσε ἐπὶ τῶν ἐκ τρίτου προσ-
30 κατηγορουμένου ἡ τοιαύτη λέγεται ἀκολούθησις. οὕτω γοῦν καὶ ἐν ἐκείνοις
ἔλεγεν "ὅταν δὲ τὸ ἔστι τρίτον προσκατηγορῆται, ἤδη διχῶς λέγονται αἱ

1 εἴρηται t cf. p. 375,4 et Waitz Organ. I 347 2 γράμματος t 3 ἀπορήσειε— p. 377,4 ἐξ ἀρχῆς habet P 4 ὁ γὰρ] ὅτι P φησί] p. 51ᵇ19 post φησι add. καὶ Y 5 ante μὴ prius add. δύναται Y ἔστιν Y: om. BPt τ' ἀγαθοῦ P post καὶ tert. add. ἔστιν ἐπιστήμων Y 6 τὰ ᾱ P τῷ αὐτῷ om. P ὑπάρχειν scripsi: ὑπάρχει PYt: ὑπάρ B 7 κατάφασιν alt. om. Bt 9 ἄνω] p. 51ᵇ22 ante ταὐτὸν del. τὸ B 10 post καὶ prius add. τὸ Y τὸ om. t 12 οὖν om. P 13 τόδε τόδε (ante καὶ) Y 14. 15 ἄνθρωπος καὶ ζῶον Y 15 καὶ alt. om. PYt 16 ἡ om. P καὶ prius om. Y παραδεδομένη Y 19 οὐδόλως Y 20 ἐνδέχεται Y 22 ἐπὶ τῶν τοιούτων B παρακολούθησις B 23 ἐπὶ—ἢ om. Bt ἡ ἐνδεχομένη P 23. 24 ἀληθεύειν t 24 post εἴπομεν add. οἷον Y τῷ] τὸ Y 26. 27 ἢ τῇ δύναται μὴ βαδίζειν om. P 28 ἡ alt. om. Pt 29. 30 προσκατηγορουμένων P 30 ἐν ἐκείνοις] c. 10 p. 19ᵇ19 31 προσκατηγορεῖται Pt

ἀντιθέσεις''. ὥστε εἰ ἐκεῖ μὲν σαφῶς περὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου εἶπε ταύτην τὴν ἀκολούθησιν, ἀναπέμπει δὲ ἡμᾶς ἐν ἐκείνοις εἰς τὰ ἐνταῦθα λεγόμενα ἐν οἷς φησι ''ταῦτα μὲν οὖν ὥσπερ ἐν τοῖς Ἀναλυτικοῖς λέγεται, οὕτω τέτακται'', δῆλον ὅτι κἀνταῦθα περὶ τῶν αὐτῶν διδάσκει, ὡς δηλοῖ καὶ τὰ παραδείγματα· προτάσεις γὰρ ἔθηκεν ἐκ τρίτου προσκατηγορουμένου.

Ἰστέον δὲ ὅτι καὶ ἐπὶ τῶν μετὰ τρόπου προτάσεων χωρὶς | τῆς ἐνδεχομένης ὕλης, λέγω δὲ ἐπὶ τῆς ἀναγκαίας καὶ τῆς ἀδυνάτου, ἡ αὐτὴ σώζεται ἀκολουθία. ἐπισκεπτέον δὲ ἐκ τοῦ διαγράμματος. XCIIr

ἀνάγκη ζῷον εἶναι.	οὐκ ἀνάγκη ζῷον εἶναι.
οὐκ ἀνάγκη μὴ ζῷον εἶναι.	ἀνάγκη μὴ ζῷον εἶναι.
ἀδύνατον λίθον εἶναι.	οὐκ ἀδύνατον λίθον εἶναι.
οὐκ ἀδύνατον οὐ λίθον εἶναι.	ἀδύνατον οὐ λίθον εἶναι.

σκόπει οὖν καὶ ἐπὶ τούτων ὅτι ταῖς μὲν καταφάσεσιν αἱ ἀποφάσεις ἕπονται· ὃ γὰρ ἀνάγκη ζῷον εἶναι, τοῦτο οὐκ ἀνάγκη μὴ ζῷον εἶναι, καὶ πάλιν ὃ ἀνάγκη μὴ ζῷον εἶναι, τοῦτο οὐκ ἀνάγκη ζῷον εἶναι. καὶ αἱ μὲν καταφάσεις οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ συναληθεύουσι, λέγω δὴ ἡ 'ἀνάγκη ζῷον εἶναι' καὶ ἡ 'ἀνάγκη μὴ ζῷον εἶναι'. τὰς δὲ ἀποφάσεις ἐνδέχεται συναληθεύειν· τὸ γὰρ μὴ ὂν ἀληθὲς εἰπεῖν ὅτι τε οὐκ ἀνάγκη ζῷον εἶναι καὶ ὅτι οὐκ ἀνάγκη μὴ ζῷον εἶναι· ὃ γὰρ οὐκ ἔστιν ὅλως, ἀληθὲς εἰπεῖν ὅτι οὐκ ἀνάγκη μὴ ζῷον εἶναι· ὃ γὰρ ἀνάγκη μὴ ζῷον εἶναι, τοῦτο καὶ εἶναι ἀνάγκη· εἰ οὖν ἡ κατάφασις ψευδὴς ἐπὶ τοῦ μὴ ὄντος, ἀληθὴς δήπου ἡ ἀπόφασις. ἀλλὰ δὴ κἂν ἄνευ τοῦ ἔστιν ἢ εἶναι ῥήματος ἐκθώμεθα τὴν ἀναγκαίαν ὕλην, τὸ αὐτὸ ἀπαραλλάκτως ἀκολουθεῖ. οἷον ἀνάγκη ἀναπνεῖν· οὐκ ἀνάγκη ἀναπνεῖν· ἀνάγκη μὴ ἀναπνεῖν· οὐκ ἀνάγκη μὴ ἀναπνεῖν· ὃ γὰρ ἀνάγκη ἀναπνεῖν, τοῦτο οὐκ ἀνάγκη μὴ ἀναπνεῖν, καὶ ὃ ἀνάγκη μὴ ἀναπνεῖν, τοῦτο οὐκ ἀνάγκη ἀναπνεῖν. καὶ αἱ μὲν καταφάσεις οὐδέποτε συναληθεύουσιν, ἡ 'ἀνάγκη ἀναπνεῖν' καὶ ἡ 'ἀνάγκη μὴ ἀναπνεῖν· τὰς δὲ ἀποφάσεις ἐνδέχεται· τὸ γὰρ μὴ ὂν ὅλως ἀληθὲς εἰπεῖν καὶ ὅτι οὐκ ἀνάγκη ἀναπνεῖν καὶ ὅτι οὐκ ἀνάγκη μὴ ἀναπνεῖν, τουτέστιν οὐκ ἀνάγκη τῶν μὴ ἀναπνεόντων εἶναι. ἐπισκεπτέον δὲ μή ποτε οὐκ ἐνδέχεται ἐπὶ τούτων οὐδὲ τὰς ἀποφάσεις συναληθεύειν. ὅσα δ' εἴρηται ἐπὶ τῆς ἀναγκαίας ὕλης, ταῦτα καὶ ἐπὶ τῆς ἀδυνάτου λεχθήσεται· ὃ γὰρ ἀδύνατον ἵπτασθαι, τοῦτο οὐκ ἀδύνατον μὴ ἵπτασθαι, καὶ ὃ ἀδύνατον μὴ ἵπτασθαι, τοῦτο οὐκ ἀδύνατον ἵπτασθαι. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. δόξουσι δὲ αἱ προκείμεναι προτάσεις διαφέρειν τῶν ἐκ τρίτου προσκατηγορουμένου καὶ ταύτῃ, ὅτι ἐπὶ μὲν ἐκείνων ταῖς ἀποφάσεσιν οὐχ εἵποντο αἱ

1. 2 προσκατηγορου sic B: προσκατηγορουμένων P 3 λέγομεν P οὖν om. B cf. p. 374,1 7 ἴσον δ' ἐστὶν καὶ P 8 δὴ Yt τῆς alt. om. Y 9 ἀκολούθησις Y ἐκ] καὶ Y 13 οὐ prius Yt: μὴ B 15 οὐ γὰρ P καὶ—16 ἀνάγκη εἶναι om. P 16 εἶναι prius om. Bt 19 τε om. P 20 ὅλως οὐκ ἔστιν Y 21 ὅτι om. Y ζῷον utrumque om. Y καὶ om. Y 22 δήπου om. P 25 ἀυπνεῖν (post ἀν.) B 26 post γὰρ ἀνάγκη add. μὴ Pt 28 ἡ alt. om. BPt 32 δ' P: om. BYt 34. 35 τοῦτο—μὴ ἵπτασθαι om. Y 36. 37 προσκατηγορουμένων Y

καταφάσεις· οὐ γὰρ ἀντέστρεφεν ἡ ἀκολούθησις· ἐπὶ δὲ τῶν μετὰ τρόπου XCIIr
ἀντιστρέφει· οὐ μόνον γὰρ ὃ ἀνάγκη ἀναπνεῖν, τοῦτο οὐκ ἀνάγκη μὴ ἀναπνεῖν, ἀλλὰ καὶ ὃ οὐκ ἀνάγκη μὴ ἀναπνεῖν, οἷον τὸν κύνα, τοῦτο ἀνάγκη 25
ἀναπνεῖν· καὶ πάλιν ὃ οὐκ ἀνάγκη ἀναπνεῖν, τοῦτο ἀνάγκη μὴ ἀναπνεῖν.
5 φημὶ δὲ ὅτι καὶ ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου, εἰ μὴ ὁρισθείη τί ἐστιν ὃ λέγεται λευκὸν εἶναι ἢ βαδίζειν ἢ τοιοῦτόν τι, καὶ ἐπὶ ἐκείνων ἡ ἀντιστροφὴ σωθήσεται. ἐπὶ μὲν γὰρ τοῦ ἔστι ξύλον λευκόν' καὶ 'οὐκ ἔστι ξύλον λευκόν' καὶ τῶν λοιπῶν, ἐπειδὴ ὥρισται τί ἐστιν ὃ λέγεται εἶναι λευκὸν ἢ μὴ λευκόν, διὰ τοῦτο οὐκ ἔστι τῇ ἀντιστροφῇ χρήσασθαι. ἐπεὶ
10 ἐὰν ἀφέλῃς τὸ ξύλον, εὑρήσεις κἀνταῦθα ἀντιστρέφοντα· οὐ μόνον γὰρ ὅπερ 30
ἐστὶ λευκόν, τοῦτο οὐκ ἔστιν οὐ λευκόν, ἀλλὰ καὶ ὃ οὐκ ἔστιν οὐ λευκόν, οἷον τὸ ψιμύθιον, τοῦτο ἀνάγκη λευκὸν εἶναι. οὐ γὰρ ἔτι αἱ οὕτω λεγόμεναι ἀποφάσεις αἱ ἐκ μεταθέσεως, λέγω δὴ αἱ μὴ ὁρίζουσαι τί ἐστι τὸ ὑποκείμενον ᾧ ὑπάρχει τὸ κατηγορούμενον, δύνανται ἢ ἐπὶ τοῦ μὴ ὄντος
15 λέγεσθαι ἢ ὅλως ἐπὶ τῶν μὴ δεκτικῶν τοῦ κατηγορουμένου· οὐ γάρ ἐστιν ἀληθὲς εἰπεῖν ὅτι ἡ ψυχὴ ἢ τὸ μὴ ὂν οὐκ ἔστιν οὐ λευκόν· τὸ γὰρ οὐ λευκὸν ἓν μὲν ἀναιρεῖ, τὸ λευκόν, πάντα δὲ εἰσάγει τὰ παρὰ τὰ λευκά, καὶ 35
ὄντα καὶ μὴ ὄντα. ὡς ἐπὶ μόνων ἄρα τῶν δεκτικῶν χρωμάτων ἀληθεύει ἡ ἀπόφασις, οἷον τὸ ψιμύθιον οὐκ ἔστιν οὐ λευκόν· ἐπὶ τούτων δὲ ἀλη-
20 θεύσει καὶ ἡ ἁπλῆ κατάφασις ἡ λέγουσα 'ἔστι λευκόν'. ὁμοίως ἐφ' ὧν ἀληθεύσει ἡ λέγουσα ὅτι οὐκ ἔστιν λευκόν, ἐπὶ τούτων ἀληθεύσει καὶ ἡ 40
λέγουσα 'ἔστιν οὐ λευκόν', οἷον ἡ ψυχή· ἀληθὲς γὰρ εἰπεῖν καὶ ὅτι οὐκ ἔστι λευκὸν καὶ ὅτι ἔστιν οὐ λευκόν. πλὴν ἐνταῦθα ἐπὶ τοῦ μὴ ὄντος οὐκ ἀντιστρέψει· ἀληθὲς μὲν γὰρ εἰπεῖν ὅτι οὐκ ἔστι λευκόν, οὐ μὴν ὅτι ἔστιν
25 οὐ λευκόν· ὃ γὰρ μὴ ἔστιν ὅλως, πῶς ἂν εἴη οὐ λευκόν;

Ἐπὶ δὲ τῆς ἐνδεχομένης ὅλης μόναι αἱ καταφάσεις ἕπονται ἀλλήλαις, δύναται βαδίζειν, δύναται μὴ βαδίζειν, οὐδεμία δὲ ἑτέρα συμπλοκή· οὔτε γὰρ αἱ ἀποφάσεις, ἡ 'οὐ δύναται βαδίζειν' τῇ 'οὐ δύναται μὴ βαδίζειν', οὔτε αἱ 45
ἀποφάσεις μετὰ τῶν καταφάσεων, λέγω δὴ ἡ 'δύναται βαδίζειν' τῇ 'οὐ δύναται
30 μὴ βαδίζειν' ἢ πάλιν ἡ 'δύναται μὴ βαδίζειν' τῇ 'οὐ δύναται βαδίζειν'. ἐπεὶ

---

2 ἀντιστρέφειν P 3 οὐκ om. Y οἷον τὸν κύνα om. P κοῖνα t τοῦτον Y
4 καὶ πάλιν—μὴ ἀναπνεῖν om. P 5 δὴ P καὶ P: om. BYt μὴ P: om. BYt
προστεθείη τὸ P 6 τι τοιοῦτον Y καὶ P: οὐδὲ BYt: fort. ὡς 7 συμβήσεται Y
10 ἐνταῦθα t οὐ μόνον BPt: ταυτὸν Y δὲ B post ὅπερ add. οὐκ P 11 λευκόν tert. BPt: ταυτὸν Y 12 οἷον BYt: τουτέστιν P ψιμύθιον Yt itemque vs. 19
οὐ P: οὕτω Bt: οὔτε Y ὅτι P 13 αἱ prius om. Y 14 ὑποκειμένωι P
ὑπάρχει P: ὑπάρξει BYt δύνανται scripsi: δύναται BPYt 17 περὶ Y
18 post μὴ ὄντα add. ἀλλ' ἀναιρεῖται ταῦτα ὑπὸ τῆς ἀποφάσεως πλὴν ἐπὶ τοῦ μὴ ὄντος ὡς οἶμαι, ἀληθεύει. ἡ γὰρ οἰκεῖα αὐτῆς κατάφασις ἡ ἐκ μεταθέσεως ψεύδεται. ἐπὶ μὴ λευκῶν γὰρ λέγεται ἀλλ' ὄντων t ὡς om. P post δεκτικῶν add. τῶν B 18. 19 ἀληθεύει ἡ ἀπόφασις P: ἀληθεύειν τὰς ἀποφάσεις BYt 19 post οἷον add. εἰ BYt
οὐκ ἔστιν iterat B 20 καὶ om. B ἀπόφασις P 21 ἀληθὴς utrobique P
τούτῳ t 23 οὐκ superscr. Y 24 ante ἀληθὲς add. εἰ P μὲν om. Y
26 μόνον P post ἀλλήλαις add. οἷον Y, at cf. p. 377,21 30 μὴ prius P: om. BYt post οὐ δύναται add. μὴ BYt: om. P

γὰρ συναληθεύουσιν αἱ καταφάσεις, ἀδύνατον δὲ ἐπὶ τοῦ αὐτοῦ τὴν ἀντί- XCIIr
φασιν ἀληθεύειν, δῆλον ὡς οὐκ ἐνδέχεται οὔτε τῇ ἁπλῇ καταφάσει τὴν ἐκ
μεταθέσεως ἀπόφασιν συναληθεύειν οὔτε τῇ ἐκ μεταθέσεως καταφάσει τὴν
ἁπλῆν ἀπόφασιν. ταῦτα μὲν ἐπὶ τοσοῦτον. ἐπανιτέον δὲ ἐπὶ τὸ ἐξ ἀρχῆς.

5 p. 52ᵃ15 Ὁμοίως δ' ἔχουσι καὶ αἱ στερήσεις πρὸς τὰς κατη- 50
γορίας ταύτῃ τῇ θέσει. ἴσον ἐφ' οὗ τὸ Α, οὐκ ἴσον ἐφ' οὗ τὸ Β,
ἄνισον ἐφ' οὗ τὸ Γ, οὐκ ἄνισον ἐφ' οὗ τὸ Δ.

Ὡς ἔχουσι, φησίν, ἀκολουθίας ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορου-
μένου αἱ ἐκ μεταθέσεως πρὸς τὰς ἁπλᾶς, οὕτως ἔχουσι καὶ αἱ στερη- XCIIv
10 τικαὶ πρὸς τὰς ἁπλᾶς· ταύτας γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν πρὸς τὰς κατη-
γορίας. δῆλον δὲ ἐκ τοῦ διαγράμματος.

Α ἔστιν ἴσον.	Β οὐκ ἔστιν ἴσον.
Δ οὐκ ἔστιν ἄνισον.	Γ ἔστιν ἄνισον.

ὅπερ γὰρ ἂν ᾖ ἴσον, τοῦτο οὐκ ἔστιν ἄνισον· οὐ μὴν ὅπερ οὐκ ἔστιν 5
15 ἄνισον, ἤδη τοῦτο ἴσον ἐστίν· ἀληθὲς γὰρ ἐπὶ τοῦ μὴ ποσοῦ ἢ τοῦ μὴ
ὄντος ὅλως τὸ εἰπεῖν 'οὐκ ἔστιν ἄνισον', οἷον ὅτι ἡ ψυχὴ οὐκ ἔστιν ἄνισον
ἢ τὸ χρῶμα, οὐ μὴν ὅτι καὶ ἴσον ἐστίν· ὃ γὰρ μηδὲ ποσόν ἐστι, τοῦτο
οὔτε ἴσον ἔσται οὔτε [οὐκ] ἄνισον. πάλιν εἴ τι μέν ἐστιν ἄνισον, τοῦτο
οὐκ ἔστιν ἴσον· εἴ τι δὲ οὐκ ἴσον, οὐ πάντως καὶ ἄνισον, διότι ἴσον μὲν ἢ
20 οὐκ ἴσον πᾶν, ἴσον δὲ ἢ ἄνισον οὐ πᾶν· ὃ γὰρ μή ἐστι ποσόν, οὔτε ἴσον
ἐστὶν οὔτε ἄνισον. καὶ αἱ μὲν καταφάσεις οὐδέποτε συναληθεύουσιν, ἔστιν
ἴσον, ἔστιν ἄνισον· τὰς δὲ ἀποφάσεις ἐνδέχεται ἐπὶ τοῦ μὴ ὄντος ὅλως ἢ 10
τοῦ μὴ ποσοῦ· τὸ γὰρ μὴ ὂν ἢ τὸ χρῶμα ἀληθὲς εἰπεῖν καὶ ὅτι οὐκ ἔστιν
ἴσον καὶ ὅτι οὐκ ἔστιν ἄνισον. μέσον δὲ τέταχε τῶν τε ἁπλῶν καὶ τῶν
25 ἐκ μεταθέσεως τὰς στερητικάς, ὡς ὑποτέτακται.



1 γὰρ BPt: δὲ Y δὲ alt. om. Y 2 ἀληθεύουσι Y 4 post μὲν add. οὖν BYt: om. P 6 ἴσον ἐφ' οὗ τὸ α κτλ. om. Y φ (ante τὸ α) t 8 ἀκολουθίαν B 8. 9 προσκατηγορουμένων B 9 αἱ ἐκ μεταθέσεως om. Y 10 διὰ τῶ Y 12. 13 mrg. B 13 ὃ e β corr. B γ' ἐστὶν ἄνισον — δ' οὐκ ἔστιν ἄνισον Y γ̄ ἄνισον ἔστιν B 14 γὰρ om. Bt 15 τοῦ alt. om. om. Bt 16 ὅτι om. Bt 18 οὔτε prius Y: οὐδὲ Bt ἔσται Bt: ἐστὶν Y οὐκ delevi 22 ὅλως scripsi: inv. ord. BYt 23 ante τοῦ add. ἐπὶ t τοῦ om. Y μὴ alt. Bt: οὐκ Y 25 fig. om. Y: oblique scripta om. t

p. 52a18 Καὶ ἐπὶ πολλῶν δέ, ὧν τοῖς μὲν ὑπάρχει τοῖς δὲ οὐχ XCIIv
ὑπάρχει τὸ αὐτό, ἡ μὲν ἀπόφασις ὁμοίως ἀληθεύει, ὅτι οὐκ
ἔστι λευκὰ πάντα ἢ ὅτι οὐκ ἔστι λευκὸν ἕκαστον· ὅτι δέ ἐστιν
οὐ λευκὸν ἕκαστον ἢ ὅτι πάντα ἐστὶν οὐ λευκά, ψεῦδος.

Πρὸς τὸ ἐξ ἀρχῆς ἀνέδραμε, λέγω δὴ ὅτι τῆς ἁπλῆς καταφάσεως
οὐκ ἔστιν ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις ἀλλ' ἡ ἁπλῆ ἀπόφασις.
τοῦτο δέ, φησί, μάλιστα δῆλον ἔσται ἐπὶ τῶν τοιούτων ὑλῶν αἵτινες τισὶ
μὲν τοῖς αὐτοῖς ὑπάρχουσι, τισὶ δὲ οὐχ ὑπάρχουσιν· οἷον τὸ λευκὸν τισὶ
μὲν ἀνθρώποις ὑπάρχει, τισὶ δὲ οὐχ ὑπάρχει. ἐπὶ τῶν τοιούτων οὖν τῆς
καταφάσεως ψευδοῦς οὔσης, οἷον ὅτι πᾶς ἄνθρωπος λευκός, ἀνάγκη δήπου
τὴν ἀπόφασιν ἀληθῆ εἶναι· τῆς γὰρ ἀντιφάσεως θάτερον μὲν μόριον
ἀνάγκη ἀληθὲς εἶναι θάτερον δὲ ψευδές. ὅτι οὖν τῆς πᾶς ἄνθρωπος
λευκός' ἀπόφασίς ἐστιν ἡ 'οὐ πᾶς ἄνθρωπος λευκός', δῆλον ἐξ ὧν ἐκείνης
ψευδομένης αὕτη ἀληθεύει, ἡ μέντοι 'πᾶς ἄνθρωπος οὐ λευκός ἐστιν' ἐκ
μεταθέσεως οὖσα κατάφασις ψευδής ἐστιν. οὐκ ἄρα ἀπόφασίς ἐστι τῆς
'ἔστι πᾶς ἄνθρωπος λευκός' ἡ 'ἔστι πᾶς ἄνθρωπος οὐ λευκός' (ἄμφω
γὰρ ψευδεῖς) ἀλλ' ἡ 'οὐκ ἔστι πᾶς ἄνθρωπος λευκός'. καὶ ἐπὶ πάντων
τῶν τοιούτων ὡσαύτως. σαφῶς ἄρα διὰ τῆς τοιαύτης ὕλης ἐλήλεκται ὅτι
τῆς ἁπλῆς καταφάσεως οὐκ ἔστιν ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις
(ἄμφω γὰρ ἐξ ἀνάγκης ψευδεῖς εἰσιν) ἀλλ' ἡ ἁπλῆ ἀπόφασις. τὸ δὲ ἡ
μὲν ἀπόφασις ὁμοίως ἀληθεύει τοῦτ' ἔστιν 'ἐπὶ πάσης τῆς τοιαύτης
ὕλης ὁμοίως ἡ ἀπόφασις ἀληθής ἐστι τῆς καταφάσεως ψευδοῦς οὔσης'.
ταὐτὸν δὲ σημαίνει τὸ οὐκ ἔστι λευκὰ πάντα καὶ τὸ οὐκ ἔστι λευκὸν
ἕκαστον· ὡς ἐξηγητικὸν γὰρ τοῦ προτέρου τὸ δεύτερον ἐπήγαγεν.

p. 52a22 Ὁμοίως δὲ καὶ τοῦ ἔστι πᾶν ζῷον λευκόν οὐ τὸ ἔστιν
οὐ λευκὸν πᾶν ζῷον ἀπόφασις (ἄμφω γὰρ ψευδεῖς) ἀλλὰ τὸ
οὐκ ἔστι πᾶν ζῷον λευκόν.

Διὰ ταῦτα καὶ τῆς ἀκολουθίας τῶν προτάσεων ἐμνήσθη· προθέμενος
γὰρ δεῖξαι, ὅτι οὐκ εἰσὶ τῶν ἁπλῶν καταφάσεων ἀποφάσεις αἱ ἐκ μετα-
θέσεως καταφάσεις, ἐξηνέχθη εἰς τὸν περὶ τῆς ἀκολουθίας τῶν προτάσεων
λόγον· ὃν πληρώσας ἐπανῆλθεν ἐπὶ τὸ προκείμενον. ὥσπερ οὖν, φησίν,
ἐπὶ τῶν ἀπροσδιορίστων τῶν ἁπλῶν καταφάσεων οὐκ εἰσὶν ἀποφάσεις αἱ
ἐκ μεταθέσεως καταφάσεις, οὕτως οὐδὲ ἐπὶ τῶν προσδιωρισμένων. ὅτι
οὖν οὐκ ἔστι τῆς 'πᾶν ζῷον λευκόν' ἀπόφασις ἡ 'ἔστι πᾶν ζῷον οὐ
λευκόν', συντόμως δείκνυσιν. ἡ μὲν γὰρ κατάφασις, φησί, καὶ ἡ ἀπόφασις
αἱ ἀντιφατικῶς ἀντικείμεναι ἐπὶ πάντων, τῶν ὄντων καὶ μὴ ὄντων, διαι-
ροῦσι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος καὶ ἐπ' οὐδενὸς οὔτε συναληθεύουσιν οὔτε

2 ταυτὸν Y (Bn) ὁμοίως κτλ. om. Y ἀληθεύοιτ' ἂν t Arist., at cf. vs. 21
6 ἡ ἀπόφασις ἡ ἁπλῆ Y 10 post ὅτι add. τῆς Y 11 ἀληθῆ εἶναι Bt: ἀληθεύειν Y
12 ὁτιοῦν. τῆς γὰρ πᾶς Y 13 ἀντίφασις Y ante δῆλον add. καὶ Y 20 γὰρ
ἀνάγ(κη)—εἶναι Y 24 ἐξηγηματικὸν Y 26 post οὐ add. τὸ t 29 γὰρ om. Y
ἐστι Y 31 post ὃν add. καὶ Y 35 ἡ alt. om. Bt 37 ἀληθεύουσιν t

συμψεύδονται· ἡ μέντοι λέγουσα 'πᾶν ζῷον λευκόν' καὶ ἡ 'πᾶν ζῷον οὐ XCIIᵛ λευκόν' συμψεύδονται· οὐκ ἄρα ἀπόφασις τῆς 'πᾶν ζῷον λευκόν' ἡ 'πᾶν ζῷον οὐ λευκόν'. εἰ δὲ αὗται οὐκ ἀντιφατικῶς ἀντίκεινται οὐδέ ἐστι τῆς ἁπλῆς καταφάσεως τῆς 'πᾶν ζῷον λευκόν' ἀπόφασις ἡ 'πᾶν ζῷον οὐ λευκόν' ἐκ μεταθέσεως οὖσα κατάφασις, οὐδὲ ἐπὶ τῶν ἄλλων πασῶν τοῦτο ἔσται, κἂν ἐπί τινων ἡ μὲν ἀληθεύσῃ ἡ δὲ ψεύσηται, ὡς ἐπὶ τῆς ἀναγκαίας ὅλης πᾶν ζῷον οὐσία, πᾶν ζῷον οὐκ οὐσία· οὐ γὰρ ἐπὶ τινῶν μὲν δεῖ οὕτως ἔχειν τὴν ἀντίφασιν, λέγω δὴ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἐπὶ τινῶν δὲ οὔ, ἀλλ' ἀεὶ καὶ ἐπὶ πάντων.

p. 52ᵃ24 Ἐπεὶ δὲ δῆλον ὅτι ἕτερον σημαίνει τὸ ἔστιν οὐ λευκόν καὶ τὸ οὐκ ἔστι λευκόν, καὶ τὸ μὲν κατάφασις τὸ δὲ ἀπόφασις, φανερὸν ὡς οὐχ ὁ αὐτὸς τρόπος τοῦ δεικνύναι ἑκάτερον.

Ἐπανῆλθεν εἰς τὸ ἐξ ἀρχῆς προκείμενον, δι' ὃ πάντα ταῦτα εἶπε· προὔκειτο γὰρ περὶ ἀναλύσεως τῶν συλλογισμῶν | διδάξαι, καὶ διὰ XCIIIʳ τοῦτο ἐμνήσθη τῶν ἐκ μεταθέσεως καταφάσεων, ὅτι, εἴ ποτε τοιοῦτο πρόβλημα εὕρωμεν, οὐ δεῖ οἴεσθαι ἀποφατικὸν αὐτὸ εἶναι καὶ διὰ τοῦτο εἰς ἀποφατικὸν συλλογισμὸν ἀναγαγεῖν. τοῦτο μὲν οὖν ἦν τὸ προκείμενον, καὶ διὰ τοῦτο ἔδειξεν ὅτι οὐκ εἰσὶν ἀποφάσεις αἱ ἐκ μεταθέσεως καταφάσεις· μεταξὺ δὲ καὶ περὶ τῆς ἀπολουθίας αὐτῶν διέλαβε. ταῦτα οὖν πληρώσας ἐπανῆλθεν εἰς τὸ προκείμενον. ἐπεὶ οὖν ἐδείξαμεν, φησίν, ὅτι οὐ ταὐτὸν σημαίνει τὸ 'οὐκ ἔστι λευκόν' καὶ 'ἔστιν οὐ λευκόν', καὶ ὅτι τὸ μὲν ἀπόφασις τὸ δὲ κατάφασις ἐκ μεταθέσεως, δῆλον ἂν εἴη ὅτι οὐχ ἑνὶ τρόπῳ ἑκάτερον τῶν προβλημάτων δειχθήσεται, ἀλλὰ τὸ μὲν 'οὐκ ἔστι λευκόν' ἀπόφασις ὂν δι' ἀποφατικοῦ συλλογισμοῦ συμπερανθήσεται, τὸ δὲ 'ἔστιν οὐ λευκόν' κατάφασις ὂν διὰ καταφατικοῦ. ὥστε καὶ αἱ ἀναλύσεις τοιαῦται.

p. 52ᵃ27 Οἷον ὅτι ὃ ἂν ᾖ ζῷον, οὐκ ἔστι λευκὸν ἢ ἐνδέχεται μὴ εἶναι λευκόν.

Τουτέστι καθόλου ἀπόφασις ἁπλῆ ὅτι οὐδὲν ζῷον λευκὸν ἢ ὅτι ἐνδέχεται μηδὲν ζῷον λευκὸν εἶναι.

p. 52ᵃ28 Καὶ ὅτι ἀληθὲς εἰπεῖν μὴ λευκόν· τοῦτο γάρ ἐστιν εἶναι μὴ λευκόν.

Τουτέστιν ἡ ἐκ μεταθέσεως κατάφασις καθόλου οὖσα καὶ αὐτή (κατὰ κοινοῦ γὰρ ἀκουστέον τὸ ὃ ἂν ᾖ ζῷον, τουτέστι πᾶν ζῷον) ἀληθὲς

1 συνψεύδονται Y itemque vs. 2 3 εἰ δὲ — 5 λευκόν om. B ἀντίκεινται t: ἀντικείμεναι Y 6 ἀληθεύσῃ B²: ἀληθεύσει B¹t: ἀληθεύῃ Y ψεύδεται Yt 8 δεῖ om. Y: δὴ t 11 τὸ δὲ κτλ. om. Y 15 τοιοῦτον B 16 δεῖν Y αὐτὸ e τοῦτο, ut videtur, corr. B 17 ἀγαγεῖν t οὖν om. Y 20 ἐπειδὴ B 21 post καὶ prius add. τὸ Y 21. 22 post ἀπόφασις add. ἁπλῆ Y itemque vs. 24 24 δι' ἀποφατικῶν συλλογισμῶν περανθήσεται t 25 post κατάφασις add. ἐκ μεταθέσεως Y καταφατικῶν t τοιαῦται Bt: αἱ αὐταί Y 26 εἴη t μὴ — 31 λευκόν om. Y 30 τοῦτο Arist.: ταὐτὸν Bt cf. p. 380,1 33 ὃ scripsi: ὅτι BYt

εἰπεῖν μὴ λευκόν. εἶτα ἐπὶ τὸ σαφέστερον μετάγων ἐπήγαγε τοῦτο XCIIIr γάρ ἐστιν εἶναι μὴ λευκόν. τὸ γὰρ λέγειν, φησίν, ὅτι πᾶν ζῷον ἀληθὲς εἰπεῖν μὴ λευκὸν ταὐτόν ἐστι τῷ λέγειν ὅτι πᾶν ζῷον οὐ λευκόν ἐστι· τὸ γὰρ ἀληθές, φησί, τῷ ἔστιν ὁμοίως τάττεται, τουτέστιν ἰσοδυναμοῦσι ταῦτα ἀλλήλοις ὥστε ἀντιλαμβάνεσθαι εἰς ἄλληλα καὶ τίθεσθαι ἀντὶ τοῦ 'ἔστι' τὸ 'ἀληθές'· πᾶς ἄνθρωπος ζῷόν ἐστι, πᾶς ἄνθρωπος ἀληθὲς εἰπεῖν ὅτι ζῷον. καὶ ὅτι ἰσοδυναμεῖ τῷ 'ἔστι' τὸ 'ἀληθές', δείκνυσιν ἐκ τοῦ καὶ τὴν ἄρνησιν αὐτῷ προσάπτεσθαι καὶ μὴ ἄλλως γίνεσθαι ἀπόφασιν, εἰ μὴ αὐτῷ συνταχθείη ἡ ἄρνησις, ὥσπερ καὶ τῷ 'ἔστι'. τοῦ γοῦν 'ἀληθὲς εἰπεῖν λευκόν' ἀπόφασίς ἐστιν ἡ 'οὐκ ἀληθὲς εἰπεῖν λευκόν', οὐ μὴν 'ἀληθὲς εἰπεῖν μὴ λευκόν', ὥσπερ καὶ τῆς 'ἔστι λευκόν' ἡ 'οὐκ ἔστι λευκόν' ἀπόφασις, οὐχ ἡ 'ἔστιν οὐ λευκόν'.

p. 52a 29 Ἀλλὰ τοῦ μὲν ὃ ἂν ᾖ λευκὸν ἀληθὲς εἰπεῖν ἔστι λευκὸν εἴτε μὴ λευκόν ὁ αὐτὸς τρόπος· κατασκευαστικῶς γὰρ ἄμφω διὰ τοῦ πρώτου σχήματος δείκνυται.

Εἰ γὰρ δέδεικται ὅτι κατάφασίς ἐστιν, ἔτι δὲ καὶ καθόλου, τὸ δὲ καθόλου καταφατικὸν ἐν τῷ πρώτῳ μόνῳ δείκνυται σχήματι ἀμφοτέρων τῶν προτάσεων καταφατικῶν οὐσῶν, δῆλον ὅτι εἰς τοῦτο ἀναλυτέον τὸ τοιοῦτον πρόβλημα.

p. 52a 34 Εἰ δή ἐστιν ἀληθὲς εἰπεῖν ὃ ἂν ᾖ ἄνθρωπος μουσικὸν εἶναι ἢ μὴ μουσικὸν εἶναι, ὃ ἂν ᾖ ζῷον ληπτέον ἢ εἶναι μουσικὸν ἢ εἶναι μὴ μουσικόν, καὶ δέδεικται.

Ὑπόδειγμα τίθησι πῶς ἂν συναχθείη τὸ τοιοῦτον πρόβλημα, λέγω δὴ τὸ καταφατικὸν καθόλου ἁπλοῦν τε καὶ ἐκ μεταθέσεως, ὅτι καὶ τοῦ μέσου οὕτω κατηγορητέον τὸν μείζονα ὥσπερ καὶ τοῦ ἐλάττονος. οἷον ὅτι πᾶς ἄνθρωπος μουσικός· πᾶς ἄνθρωπος ζῷον, πᾶν ζῷον μουσικόν, πᾶς ἄνθρωπος ἄρα μουσικός. πάλιν ὅτι πᾶς ἄνθρωπος οὐ μουσικός· πᾶς ἄνθρωπος ζῷον, πᾶν ζῷον οὐ μουσικόν, πᾶς ἄρα ἄνθρωπος οὐ μουσικός.

p. 52a 37 Τὸ δὲ μὴ εἶναι μουσικὸν ὃ ἂν ᾖ ἄνθρωπος ἀνασκευαστικῶς δείκνυται κατὰ τοὺς εἰρημένους τρεῖς τρόπους.

Τὴν ἀπόφασιν οὐ τέθεικε τὴν ἐκ μεταθέσεως, λέγω δὴ τὴν 'οὐδεὶς

1 post λευκόν add. εἶναι Y μεταγαγὼν B 7 ὅτι prius om. Y ἰσοδυναμοῦσι, supra οῦσι scr. εῖ Y τὸ ἔστιν t 9 post ὥσπερ add. δὴ Y τὸ ἔστι t an τῆς? οὖν Y 11. 12 τῆς ἔστιν οὐ λευκὸν ἡ οὐκ ἔστιν οὐ λευκὸν ἀπόφασις ἀλλ' οὐχ' ἡ οὐκ ἔστι λευκόν B 13 τοῦ Bt(n): τῶ Y: τὸ Arist. (om. ὃ—λευκόν) 14 κατασκευαστικῶς κτλ. om. Y 15 δείκνυται σχήματος t Arist. 16 post ὅτι add. ἡ Y ἔτι B: ἔστι Yt 18 εἰς τοῦτο Bt: καταφατικὸν Y 20 δὲ Y: δ' t ἐὰν B (A B u) 21 ἐὰν B ληπτέον κτλ. om. Y 27 ἄρα ἄνθρωπος t 30 εἴρηται Y κατὰ κτλ. om. Y προειρημένους B² 31 οὐ om. Bt

ἄνθρωπος οὐ μουσικός'. ταῦτα οὖν, φησί, δεικτέον διὰ τῶν εἰρημένων XCIIIr
τριῶν τρόπων. οὗτοι δέ εἰσιν ὅ τε δεύτερος τοῦ πρώτου σχήματος καὶ
οἱ πρῶτοι τοῦ δευτέρου δύο· διὰ τούτων γὰρ μόνων τὸ καθόλου ἀποφατι-
κὸν ἐδείκνυτο.

5 p. 52a39 Ἁπλῶς δὲ ὅταν οὕτως ἔχῃ τὸ Α καὶ τὸ Β ὥστε ἅμα 10
μὲν τῷ αὐτῷ μὴ ἐνδέχεσθαι, παντὶ δὲ ἐξ ἀνάγκης θάτερον καὶ
τὰ ἑξῆς.

Ἀναλαμβάνει πάλιν τὰ περὶ τῆς ἀκολουθήσεως τῶν προτάσεων τῶν
τε ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως· ἐπειδὴ γὰρ ἀνωτέρω ἐπὶ ὕλης τινὸς
10 ἐγύμνασε τὸν λόγον ξύλον λευκὸν λαβὼν καὶ ξύλον οὐ λευκόν, ἐνταῦθα 50
καθολικωτέραν ποιῶν τὴν δεῖξιν ἐπὶ τῶν στοιχείων προάγει τὴν ἀκολού-
θησιν. λαμβάνει οὖν πάλιν τὰς δύο ἀντιφάσεις, τήν τε ἁπλῆν καὶ τὴν ἐκ
μεταθέσεως, μίαν μὲν ἀντίφασιν τὴν ΑΒ, ἑτέραν δὲ τὴν ΓΔ. ὅτι οὖν
ταῖς μὲν καταφάσεσιν αἱ ἀποφάσεις ἕπονται καὶ οὐκ ἀντιστρέφουσι, καὶ ὅτι
15 τὰς μὲν καταφάσεις ἀδύνατον συναληθεύειν, τὰς δὲ ἀποφάσεις ἐνδέχεται,
βούλεται δεῖξαι. ὑποτίθεται οὖν τὸ μὲν Β καὶ τὸ Γ τὰς καταφάσεις, τὴν
μὲν ἁπλῆν τὴν δὲ ἐκ μεταθέσεως, τὰ δὲ λοιπά, τὸ Α ψημὶ καὶ τὸ Δ, τὰς 55
τούτων ἀποφάσεις. | XCIIIv



Τρισὶ δὲ ὑποθέσεσι χρησάμενος τὰ λοιπὰ ἀποδείκνυσι, μιᾷ μὲν
20 ὅτι ἀντιφατικῶς ἀντίκειται τὸ Α καὶ τὸ Β καὶ ἔτι τὸ Γ καὶ τὸ Δ, δευτέρᾳ
δὲ ὅτι ἀνάγκη παντὶ τὸ Α ὑπάρχειν ἢ τὸ Β, καὶ πάλιν παντὶ ἐξ ἀνάγκης
ἢ τὸ Γ ἢ τὸ Δ· τοιαύτη γὰρ ἡ ἀντίφασις· τρίτη ὑπόθεσις ὅτι τῷ Γ
ἕπεται τὸ Α καὶ οὐκ ἀντιστρέφει, λέγω δὴ ὅτι οὐχ ἕπεται τῷ Α τὸ Γ.
τούτων ὑποτεθέντων δείκνυσιν ἕτερα τρία, ἓν μὲν ὅτι τῷ Β τὸ Δ ἕπεται 5
25 καὶ οὐκ ἀντιστρέφει, καὶ ὅτι τὸ Γ καὶ τὸ Β, ἅπερ ὑπόκεινται καταφάσεις.

---

2 post δεύτερος add. τρόπος Y 6 ἀνάγκης κτλ. om. Y 8 ἀκολουθίας B
10 ἐγυμνάσατο Y: ἐγύμναζε t βαλὼν Y 11. 12 ἀκολουθίαν B 15 post
ἐνδέχεται delevit δῆλον B 16 γ̄—β̄ Yt καὶ τὸ om. t 17 α—δ̄ scripsi:
inv. ord. BYt 18 figuram dedi e Bt (Α ἀπόφασις ἁπλῆ, Β κατάφασις ἁπλῆ, Γ κατά-
φασις ἐκ μεταθέσεως, Δ ἀπόφασις ἐκ μεταθέσεως t; ἐνδέχεται τῷ αὐτῷ, οὐκ ἐνδέχεταί ποτε
τῷ αὐτῷ om. B): om. Y 19 μία B 21 τῷ—τῷ Y itemque vs. 22

οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ συναληθεύουσιν, καὶ ὅτι τὸ ΑΔ, τουτέστι τὰς XCIIIv
ἀποφάσεις, ἐνδέχεται ἐπὶ τοῦ αὐτοῦ συναληθεύειν. τὰ μὲν οὖν προκείμενα
ταῦτα. πρῶτον δὲ δείκνυσιν, ὅτι τῷ Β ἕπεται τὸ Δ, τὸν τρόπον τοῦτον.
ἐπειδὴ γὰρ ὑπόκειται ὅτι τῶν ΓΔ θάτερον παντὶ ἐξ ἀνάγκης ὑπάρξει διὰ
5 τὸ ἀντιφατικῶς ἀντικεῖσθαι, εἰ μὴ ὑπάρξει τῷ Β τὸ Δ, ἀνάγκη δήπου τὸ
Γ ὑπάρχειν. ἀλλ' εἰ τὸ Γ ὑπάρξει τῷ Β. ὑπόκειται δὲ ἕπεσθαι τῷ Γ 10
τὸ Α, τουτέστιν ᾧ [δ'] ἂν ὑπάρχῃ τὸ Γ, τούτῳ καὶ τὸ Α ὑπάρχειν, ὑπάρχει
δὲ τῷ Β τὸ Γ, καὶ τὸ Α ἄρα τῷ Β ὑπάρξει. ᾧ ἄρα τὸ Β, τούτῳ καὶ
τὸ Α, ὅπερ ἐστὶν ἀδύνατον διὰ τὸ ἀντιφατικῶς ἀντικεῖσθαι. τὸ δ' ἀδύ-
10 νατον ἠκολούθησε διὰ τὸ ὑποκεῖσθαι τῷ Β ὑπάρχειν τὸ Γ. εἰ οὖν τοῦτο
ψεῦδος, ἀληθὲς δήπου τὸ τῷ Β ὑπάρχειν τὸ Δ· ὑπόκειται γὰρ ἐξ ἀνάγκης
παντὶ ἢ τὸ Γ ἢ τὸ Δ. οὕτω μὲν οὖν δείκνυσιν ὅτι τῷ Β ἕπεται τὸ Δ.
ἀκόλουθον δὲ ἦν εὐθὺς δεῖξαι ὅτι οὐκ ἀντιστρέφει, τουτέστιν οὐχ ᾧ τὸ Δ
ὑπάρχει, τούτῳ καὶ τὸ Β. ἀλλ' ἐπεὶ πρὸς τὴν δεῖξιν τούτου ἐδεῖτο τοῦ 15
15 ὅτι τὰ ΑΔ ἐνδέχεται τῷ αὐτῷ, πρότερον τοῦτο δείκνυσιν, ὅτι τὸ Α καὶ
τὸ Δ ἐνδέχεται τῷ αὐτῷ παρεῖναι. ἐπεὶ γὰρ ὑπόκειται ὅτι οὐκ ἀντιστρέφει
πρὸς τὸ Α τὸ Γ, τουτέστιν οὐκ ἐφ' ὧν τὸ Α, πάντως καὶ τὸ Γ, ἐὰν
ληφθῇ τι τούτων ἐφ' ὧν τὸ μὲν Α ὑπάρχει τὸ δὲ Γ οὐχ ὑπάρχει, ἐπειδὴ
παντὶ ἢ τὸ Γ ἢ τὸ Δ, οὐχ ὑπάρχει δὲ τὸ Γ ᾧ τὸ Α ὑπάρχει, τὸ Δ ἄρα
20 ὑπάρξει ᾧ τὸ Α. τὸ ἄρα ΑΔ ἐνδέχεται τῷ αὐτῷ παρεῖναι. εἶτα εὐθὺς
ἐπισυνάπτει ὅτι τὸ Γ καὶ τὸ Β οὐκ ἐνδέχεται τῷ αὐτῷ. εἰ γὰρ ᾧ τὸ Β,
τούτῳ καὶ τὸ Γ, ἐπειδὴ ᾧ τὸ Γ, τούτῳ καὶ τὸ Α (ὑπόκειται γὰρ ἕπεσθαι 20
τῷ Γ τὸ Α), ᾧ ἄρα τὸ Β, τούτῳ καὶ τὸ Α ἡ ἀντίφασις, ὅπερ ἐστὶν
ἀδύνατον. οὐδενὶ ἄρα τῷ αὐτῷ τὸ Γ καὶ τὸ Β ὑπάρξει. τούτων δὲ δεδειγ-
25 μένων δείκνυσιν ὅτι οὐκ ἀντιστρέφει τὸ Β τῷ Δ (τοῦτο γὰρ λείπεται),
λέγω δὴ ὅτι οὐκ ἐφ' ὧν τὸ Δ, πάντως ἐπὶ τούτων καὶ τὸ Β. ἐπειδὴ γὰρ
δέδεικται ὅτι ἐφ' ὧν τὸ Δ, ἐπὶ τούτων ἐνδέχεται καὶ τὸ Α, εἰ ἐφ' ὧν μὲν
τὸ Α, ἐπὶ τούτων ἐνδέχεται καὶ τὸ Δ, ἐφ' ὧν δὲ τὸ Δ, ἐπὶ τούτων πάντως
καὶ τὸ Β, ἐφ' ὧν ἄρα τὸ Α, ἐπὶ τούτων καὶ τὸ Β, ὅπερ ἐστὶν ἀδύνατον· 25
30 ἀντιφατικῶς γὰρ ἀντίκεινται. οὐκ ἄρα ἕψεται τῷ Δ τὸ Β.

Ἁπλῶς δὲ ὅταν οὕτως ἔχῃ τὸ Α καὶ τὸ Β ὥστε ἅμα μὲν τῷ αὐτῷ μὴ ἐνδέχεσθαι παντὶ δὲ ἐξ ἀνάγκης θάτερον, καὶ πάλιν τὸ Γ καὶ τὸ Δ ὡσαύτως. αἱ πρῶται δύο ὑποθέσεις, ὅτι τε ἀντιφατικῶς ἀντίκεινται τὸ Α καὶ τὸ Β καὶ ἔτι τὸ Γ καὶ τὸ Δ, καὶ ὅτι παντὶ ἐξ
35 ἀνάγκης θάτερον ἑκατέρας ἀντιφάσεως.

3 δὲ Bt: οὖν Y 4 ἐπεὶ B 7 δ' delevi cf. p. 47,16 ὑπάρχῃ Y: ὑπάρχει t: compend. B ὑπάρχειν Bt: ὑπάρχει Y 8 ὑπάρξει τῷ β̄ B 9 δ' om. t cf. p. 232,18 12 τῷ—τῷ Y 14 ἐδεῖτο τοῦ scripsi: ἔδει τοῦτο Y: ἐδείκνυτο Bt 15. 16 πρότερον—τῷ αὐτῷ om. t 18 τι om. t 19 παντὸς Bt τῷ γ̄ ἢ τῷ Y 20 ᾱ alt. om. B ante εἶτα add. καὶ Y 21 post ἐπισυνάπτει add. καὶ t ὅτι Bt: ὦ Y 23 post ᾱ alt. add. ὑπάρχει Y 23. 24 ἀδύνατόν ἐστιν Y 24 post ἄρα add. καὶ Y δὲ Bt: οὖν Y 26 γάρ, quod post 27 εἰ colloc. BYt, huc transposui 27 ὦ τὸ Yt post δ̄ add. πάντως B καὶ τὸ ᾱ ἐνδέχεται B post τὸ ᾱ add. ἐφ' ὧν ἄρα τὸ β̄, ἐπὶ τούτων ἐνδέχεται καὶ τὸ ᾱ (superscr. γ̄) Y 31 ὥστε κτλ. om. Y 33 ὡσαύτως t Arist.: om. B θέσεις Y

Ἕπηται δὲ τῷ Γ τὸ Α καὶ μὴ ἀντιστρέφῃ. ἡ τρίτη XCIIIv ὑπόθεσις.

Καὶ τῷ Β τὸ Δ ἀκολουθήσει καὶ οὐκ ἀντιστρέψει· καὶ τὸ μὲν Α καὶ Δ ἐνδέχεται τῷ αὐτῷ, τὸ δὲ Β καὶ Γ οὐκ ἐνδέχεται. τὰ λοιπὰ τρία προανεφώνησεν ἅπερ βούλεται ἀποδεῖξαι. εἰ δέ τις ἐνσταίη πρὸς τὴν τρίτην τῶν ὑποθέσεων, λέγω δὴ πόθεν ὅτι ἕπεται τῷ Γ τὸ Α καὶ οὐκ ἀντιστρέφει, ἔστω ὅτι, εἰ ληφθείη τις ὕλη, ἐξ αὐτῆς τῆς ἐναργείας ὁ ἔλεγχος, ὥσπερ ἐφ' ὧν ἐθήκαμεν προτέρων ὑποδειγμάτων. σαφῆ δὲ τὰ ἑξῆς τῆς λέξεως.

p. 52b14 Συμβαίνει δὲ ἐνίοτε καὶ ἐν τῇ τοιαύτῃ τάξει τῶν ὅρων ἀπατᾶσθαι διὰ τὸ μὴ τὰ ἀντικείμενα λαμβάνειν ὀρθῶς, ὧν ἀνάγκη παντὶ θάτερον ὑπάρχειν. |

Ἐπειδὴ ἔδειξεν ὅτι ἡ ἀκολούθησις τῶν προτάσεων, τῶν τε ἁπλῶν XCIVr καὶ τῶν ἐκ μεταθέσεως, ἀντιστρόφως ἔχει, λέγω δὴ ὅτι τῇ μὲν ἁπλῇ καταφάσει ἡ ἐκ μεταθέσεως ἀπόφασις ἕπεται καὶ τὸ ἔμπαλιν τῇ ἐκ μεταθέσεως καταφάσει ἡ ἁπλῆ ἀπόφασις, καὶ ὅτι οὐ καθ' ἕνα καὶ τὸν αὐτὸν στοῖχον ἢ ταῖς ἁπλαῖς αἱ ἐκ μεταθέσεως ἕπονται ἢ ταῖς ἐκ μεταθέσεως αἱ ἁπλαῖ. ἀπάτην τινὰ ἴσως γεννησομένην τισί, δι' ἧς δόξει ἐνδέχεσθαι κατὰ τὸν αὐτὸν στοῖχον μὴ μόνον τῷ Γ τὸ Α ἕπεσθαι ἀλλὰ καὶ τῷ Δ τὸ Β, τίθησι καὶ ἀπελέγχει, ὡς διὰ πάντων τὸν περὶ τῆς ἀκολουθήσεως λόγον ἀληθῆ δείκνυσθαι, καὶ δι' ὧν αὐτόθεν δέδεικται καὶ δι' ὧν οἱ τὸ ἐναντίον κατασκευάζοντες λόγοι ἐλέγχονται. συμβαίνει δέ, φησίν, ἡ τοιαύτη ἀπάτη, εἰ μὴ καλῶς ληφθείη τὰ ἀντικείμενα, οἷον εἴ τις νομίσοι ὅτι ἐνδέχεται τοῦ Α καὶ τοῦ Β μίαν ἀπόφασιν καὶ τὴν αὐτὴν εἶναι τὸ Ζ, καὶ κοινῶς ἀμφοτέρων καὶ ἰδίᾳ ἑκατέρου. οἷον ἔστω τὸ μὲν Β 'ἔστιν ἀγαθόν', τὸ δὲ Α 'οὐκ ἔστιν ἀγαθόν'· τούτων ἀμφοτέρων μία ὑποκείσθω ἀπόφασις τὸ Ζ τὸ 'οὔτε ἔστιν ἀγαθὸν οὔτε οὐκ ἔστιν ἀγαθόν'. πάλιν τοῦ Γ καὶ Δ, λέγω δὴ τοῦ 'ἔστιν

1 ἕπεται Y post lemma add. Ἀνωτέρω μὲν ἐν τῷ διαγράμματι προέταττε τὴν ἁπλῆν κατάφασιν τ(ῆς) οἰκείας ἀποφάσεως. καὶ οὕτως ἐπεσκόπει πότερον ποτέρῳ τῶν μορίων τῆς ἀντιφάσεως ταύτης καὶ τ(ῆς) ὑπὸ ταύτ(ην) ἐκ μεταθέσεως ἕπεται, ὧδε δὲ αὖθις αὐτὸ τοῦτο ἐπισκοπῶν καὶ ἀποδεικτικωτέρα μεθόδῳ διασαφ(ῶν), καὶ οὐχ ὡς ἐκεῖ μᾶλλον ἐκ τῆς ἐναργείας τὴν ἁπλῆν ἀπόφασιν προτάττει τῆς ἰδίας καταφάσεως, ἔννοιαν ἐντεῦθεν διδοὺς. ὅτι ὅπως ἂν καὶ γένηται ἢ τῶν ἁπλῶν προτάσεων θέσις ἀνάπαλιν καὶ ἐναλλὰξ ἡ ἀκολούθησις ἀσφαλὴς γίνεται . ἂν δὲ ἴση καὶ ὡσαύτως γένηται . ὡς τὸ κατωτέρω λεχθησόμενον διάγραμμα ἁπαντᾶ, ἐσφαλμ(ένον) ἔσται, ὡς αὐτὸς ὁ ἀριστοτέλης ἀποδείξει: Y ἡ om. Y 3 ἀντιστρέφει t: ἀντι Y καὶ τὸ μὲν κτλ. om. Y 4 ante ὁ et ante ῇ add. τὸ t (ante ῇ C) 6 πόθεν ὅτι t: inv. ord. BY 7 ἐνεργείας Bt 8 an πρότερον?

11 διὰ τὸ κτλ. om. Y 13 ἀκολουθ̄ B 14 μεταθέσεων t 15 post ἡ del. ἁπλῇ B ἀπόφασις ἐκ μεταθέσεως B τὸ ἔμπαλιν om. Y 18 δόξειεν t 20 τῶν t ἀκολουθίας B 24 καὶ primum Yt: κατὰ B τὴν αὐτὴν Y: ταύτην Bt 25 ἑκάστου Y

οὐκ ἀγαθόν' καὶ 'οὐκ ἔστιν οὐκ ἀγαθόν', ἀπόφασις τὸ Θ τὸ 'οὔτε XCIVr
ἐστὶν οὐκ ἀγαθὸν οὔτε οὐκ ἔστιν οὐκ ἀγαθόν'. τούτων οὕτως ἐχόν-
των δειχθήσεται ὅτι ὥσπερ τῷ Γ τὸ Α ἕπεται, οὕτω καὶ τῷ Δ τὸ Β.
ἐπειδὴ γὰρ τὸ Ζ ἀπόφασίς ἐστι τοῦ Α, ἐπὶ παντὸς δὲ ἢ τὸ Α ἢ
5 τὸ Ζ. διὰ τὰ αὐτὰ δὲ ἐπὶ παντὸς ἢ τὸ Γ ἢ τὸ Θ (ἀπόφασις γὰρ τοῦ Γ
τὸ Θ), ὑπόκειται δὲ ὅτι ᾧ τὸ Γ ὑπάρχει, τούτῳ παντὶ ἕπεται τὸ Α,
ἀνάγκη πᾶσα καὶ ᾧ τὸ Ζ, τούτῳ παντὶ τὸ Θ ὑπάρχειν. ἐπειδὴ γὰρ
ἐπὶ παντὸς ἢ τὸ Θ ἢ τὸ Γ, εἰ μὴ τὸ Θ ὑπάρχει τούτῳ ᾧ ὑπάρχει 20
τὸ Ζ, τὸ Γ ὑπάρξει· ἀλλ' εἰ ᾧ τὸ Ζ, τούτῳ καὶ τὸ Γ, ᾧ δὲ τὸ Γ,
10 τούτῳ ὑπόκειται τὸ Α, ᾧ ἄρα τὸ Ζ, τούτῳ καὶ τὸ Α ὑπάρξει, ὅπερ
ἐστὶν ἀδύνατον· ἀντίφασις γὰρ τὸ Α Ζ. εἰ οὖν ᾧ τὸ Ζ, τούτῳ τὸ Γ οὐκ
ἐνδέχεται, ἀνάγκη δήπου τὸ Θ. ἐπειδὴ ἐπὶ παντὸς ἢ τὸ Γ ἢ τὸ Θ. πάλιν
ἐπειδὴ τὸ Ζ ἀπόφασίς ἐστι τοῦ Β, παντὶ ἄρα ἢ τὸ Β ἢ τὸ Ζ· διὰ τὰ
αὐτὰ δὲ ἐπὶ παντὸς ἢ τὸ Δ ἢ τὸ Θ· δέδεικται δὲ ὅτι ᾧ τὸ Ζ, τούτῳ
15 καὶ τὸ Θ· ᾧ ἄρα τὸ Δ, τούτῳ καὶ τὸ Β. εἰ γὰρ ᾧ τὸ Δ, τούτῳ μὴ
ὑπάρξει τὸ Β, ἐπειδὴ ἐπὶ παντὸς ἢ τὸ Β ἢ τὸ Ζ, ᾧ ἄρα τὸ Δ, τούτῳ 25
τὸ Ζ ὑπάρξει· ἀλλ' ᾧ τὸ Ζ ὑπάρχει, τούτῳ δέδεικται καὶ τὸ Θ ὑπάρχον·
ᾧ ἄρα τὸ Δ, τούτῳ καὶ τὸ Θ ὑπάρξει ἡ ἀντίφασις, ὅπερ ἐστὶν ἀδύνατον.
οὐκ ἄρα ᾧ τὸ Δ, τούτῳ τὸ Ζ· λείπεται ἄρα τὸ Β. εἰ οὖν ᾧ τὸ Δ,
20 τούτῳ τὸ Β, ὑπόκειται δὲ καὶ ᾧ τὸ Γ, τούτῳ καὶ τὸ Α, καθ' ἕνα ἄρα
καὶ τὸν αὐτὸν στοῖχον ἢ ταῖς ἁπλαῖς αἱ ἐκ μεταθέσεως ἕψονται ἢ ταῖς
ἐκ μεταθέσεως αἱ ἁπλαῖ. τοὐναντίον δὲ ἐδείκνυτο πρότερον. ὁ μὲν οὖν
τρόπος τῆς ἀπάτης τοιοῦτος. συνέβη δὲ διὰ τὸ κακῶς εἰλῆφθαι τὸ Ζ 30
ἀπόφασιν εἶναι τοῦ τε Α καὶ τοῦ Β, ὁμοίως καὶ τὸ Θ τοῦ τε Γ καὶ τοῦ Δ·
25 ψεῦδος γὰρ ὅτι ἐπὶ παντὸς ἢ τὸ Α ἢ τὸ Ζ καὶ πάλιν ἢ τὸ Β ἢ τὸ Ζ·
ὁμοίως καὶ ἐπὶ τῶν ΓΔΘ. τοῦ γὰρ 'ἔστιν ἀγαθόν', ὅπερ ἦν τὸ Β, ἀπό-
φασίς ἐστι τὸ 'οὐκ ἔστιν ἀγαθόν', οὐ μὴν τὸ 'οὔτε ἀγαθόν ἐστιν οὔτε οὐκ
ἔστιν ἀγαθόν'· ἀδύνατον γάρ ἐστί τι ὃ οὔτε ἀγαθόν ἐστιν οὔτε οὐκ ἔστιν
ἀγαθόν, ἀλλὰ πάντως θάτερον ἀνάγκη. ὁμοίως δὲ οὐδὲ τοῦ Α, ὅπερ ἦν
30 τὸ 'οὐκ ἔστιν ἀγαθόν', ἀπόφασίς ἐστι τὸ Ζ τὸ 'οὔτε ἀγαθόν ἐστιν οὔτε οὐκ
ἔστιν ἀγαθόν· συμπεριείληπται γὰρ ἐν τῷ Ζ τὸ Α· τὸ γὰρ 'οὐκ ἔστιν ἀγα- 35

---

1 οὔτε om. B 2 οὐκ alt. ante ἐστὶν collocant Bt post ἀγαθόν add. α' οὐκ ἔστιν ἀγαθόν. β' ἔστιν ἀγαθόν. ζ' οὔτε ἔστιν ἀγαθόν, οὔτε οὐκ ἔστιν ἀγαθόν. | γ' ἔστιν οὐκ ἀγαθόν. δ' οὐκ ἔστιν οὐκ ἀγαθόν. θ' οὔτε οὐκ ἔστιν οὐκ ἀγαθόν, οὔτε ἔστιν οὐκ ἀγαθόν. | ἕπεται ἡ ἁπλῆ τῇ ἐκ μεταθέσεως. τῇ ἐκ μεταθέσεως ἡ ἁπλή. ἀμφοτέρων ἀποφάσεων. t post τούτων add. οὖν Y 4 ἐπεὶ t 5 δὲ Y: δὴ B: δεῖ t 6 τοῦτο t 8 εἰ B: ἢ Yt 13 post ἐπειδὴ del. ἐπι παντὸς B 13. 14 ταῦτα Y 16 ὑπάρχει Y δ̄ supra β̄ scr. Y 17 θ̄ supra β̄ scr. Y ὑπάρχον Bt: ὑπάρχει Y 18 ἄρα Bt: δὲ Y supra δ̄ scr. θ̄ Y θ̄ supra δ̄ scr. Y 19 post τούτῳ add. καὶ Y ἕπεται Y 20 post τούτῳ add. καὶ Y 21 post ἢ alt. add. ἀνάπαλιν Y 22 οὖν Bt: γὰρ Y 24 τε alt. om. Y 27 post ἀγαθόν prius add. ὃ ἦν τὸ ᾱ Y οὔτε ἔστιν ἀγαθὸν Y 28 post ἀγαθόν prius add. ὃ ἦν τὸ ζ̄ Y 29 post τοῦ add. β̄ Y 30 ante οὐκ ἔστιν add. ἔστιν ἀγαθὸν καὶ Y 30. 31 τὸ οὔτε οὐκ ἔστιν ἀγαθὸν οὔτε ἔστιν ἀγαθόν. συμπαρείληπται Y 31 τὸ β̄ Y

θόν' ταὐτόν ἐστι τῷ 'οὔτε ἀγαθόν ἐστιν'. ὁμοίως δὲ οὐδὲ τὸ Θ ἀπόφασις XCIVr
δειχθήσεται ἢ τοῦ Γ ἢ τοῦ Δ. τούτου δὲ συγκεχωρημένου ἡ ἀπάτη
προήει· ὥστε διὰ τὸ μὴ καλῶς εἰλῆφθαι τὰ ἀντικείμενα, λέγω δὴ τὴν
κατάφασιν καὶ τὴν ἀπόφασιν τὰς ἀντιφατικῶς ἀντικειμένας, ἡ πλάνη γέγονεν.
5 Διὰ τὸ μὴ τὰ ἀντικείμενα λαμβάνειν ὀρθῶς, ὧν ἀνάγκη
παντὶ θάτερον ὑπάρχειν, τουτέστι τὰ ἀντιφατικῶς ἀντικείμενα· ἐπὶ
τούτων γὰρ μόνων τῶν ἀντικειμένων ἀνάγκη ἐπὶ πάντων, καὶ ὄντων καὶ
μὴ ὄντων, θάτερον μὲν ψευδὲς εἶναι θάτερον δὲ ἀληθές. 40

p. 52b16 Οἷον εἰ τὸ Α καὶ τὸ Β μὴ ἐνδέχεται ἅμα τῷ αὐτῷ.

10 Ἀναλαμβάνει τὰς ἐξ ἀρχῆς ὑποθέσεις, τὰς τρεῖς φημι, ὧν ὑποκειμένων ἐδείκνυτο ἡ εἰρημένη ὑγιὴς τῶν προτάσεων ἀκολούθησις. εἶτα ταῖς ὑποθέσεσι ταύταις ἐπισυνάπτει ἑξῆς τὴν ψευδῆ ὑπόθεσιν ἐξ ἧς ἡ ἀπάτη ἐγίνετο.

p. 52b24 Καὶ ᾧ τὸ Γ, παντὶ τὸ Α ὑπόκειται.

15 Μία γὰρ ἦν αὕτη τῶν εἰλημμένων ἐξ ἀρχῆς τριῶν ὑποθέσεων. 45

p. 52b25 Ὥστε ᾧ τὸ Ζ, παντὶ τὸ Θ.

Καὶ εἴπομεν πῶς, ἐπειδὴ ἀνάγκη μὲν παντὶ ἢ τὸ Θ ἢ τὸ Γ, μὴ ἐνδέχεται δὲ τὸ Γ τῷ Ζ διὰ τὸ συνεπιφέρειν ἑαυτῷ τὸ Λ.

p. 52b26 Ἀκολουθεῖ δὲ τῷ Ζ τὸ Θ, καὶ τῷ Δ ἀκολουθήσει τὸ Β·
20 τοῦτο γὰρ ἴσμεν.

Εἰ γὰρ ἐπὶ παντὸς ἢ τὸ Β ἢ τὸ Ζ, οὐχ ἕπεται δὲ τῷ Δ τὸ Β, τὸ Ζ ἕψεται· ἀλλ' ἀδύνατον· συνεπιφέρει γὰρ ἑαυτῷ τὸ Θ διὰ τὸ δεδεῖχθαι ὅτι ἕπεται τῷ Ζ τὸ Θ. ὥστε εἰ μὴ ἐνδέχεται τῷ Δ τὸ Ζ ἕπεσθαι, τὸ Β | ἕψεται ἐξ ἀνάγκης· ἀλλ' ἐδείκνυτο πρότερον ψεῦδος εἶναι τὸ XCIVv
25 τοιοῦτο· οὐ γὰρ εἵπετο τῷ Δ τὸ Β. τί οὖν τοῦ ψεύδους αἴτιον, ἐπήγαγεν.

p. 52b29 Οὐ γὰρ ἴσως ἀνάγκη παντὶ ἢ τὸ Α ἢ τὸ Ζ, οὐδὲ τὸ Ζ ἢ τὸ Β.

Τουτέστι κακῶς εἴληπται ὅτι τὸ Ζ ἀπόφασίς ἐστιν ἑκατέρου, τοῦ τε Α φημὶ καὶ τοῦ Β. εἶτα ἐπὶ τῶν ὑλῶν τοῦτο δείκνυσιν. 5

1 οὔτε ἔστιν ἀγαθὸν Y 3 προείη Bt συγκείμενα Y 4 ἡ om. Bt 5 ὀρθῶς κτλ. om. Y 7 ἐπὶ πάντων om. Y ὄντων καὶ om. t 8 ψεῦδος B 9 ἐνδέχηται t ἅμα τῷ αὐτῷ ante μὴ colloc. B: om. Y 11 ἡ om. t ἀκολοῦ' B 17 εἴπωμεν Bt ἀνάγκη Bt: ἐξ ἀνάγκης Y 18 ἐνδέχεσθαι Bt τῷ γ̄ τὸ Y 21 παντὶ, om. ἐπὶ Y β̄ prius Bt: δ̄ Y 23 ἐνδέχηται t ἀκολουθεῖν Y 24 ψευδὲς Y 25 εἵπεται τῷ ὁ om. Y 26 post ἴσως add. φησὶν B

p. 52b31 Τοῦ γὰρ ἀγαθοῦ τὸ οὐκ ἀγαθὸν ἀπόφασις. XCIVv

Τουτέστι τοῦ 'ἔστιν ἀγαθόν' τὸ 'οὐκ ἔστιν ἀγαθόν'. τὸ δὲ Z ἦν 'οὔτε ἀγαθόν ἐστιν οὔτε οὐκ ἔστιν ἀγαθόν'. εἰ οὖν ἀπόφασις μέν ἐστι τοῦ 'ἔστιν ἀγαθόν' τὸ 'οὐκ ἔστιν ἀγαθόν', οὐ ταὐτὸν δὲ τὸ 'οὐκ ἔστιν ἀγαθόν' τῷ 'οὔτε ἀγαθόν ἐστιν οὔτε οὐκ ἔστιν ἀγαθόν', οὐκ ἄρα ἀπόφασις τοῦ A τὸ Z. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἔφθημεν προειπόντες.

1 post ἀγαθοῦ add. φησὶ BY: om. t 2 τοῦ ἔστιν om. Y post ἀγαθόν alt. add. τὸ ᾱ Y 3 οὔτε ἔστιν ἀγαθόν Y 4 τὸ prius e τῷ corr. B τὸ alt. om. t

ΙΩΑΝΝΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΤΩΝ ΠΡΟΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

p. 52b38 Ἐν πόσοις μὲν οὖν σχήμασι καὶ διὰ ποίων καὶ πόσων προτάσεων καὶ πότε καὶ πῶς γίνεται συλλογισμός.

Σκοπὸς τῆς προκειμένης πραγματείας κατὰ μὲν Ἀλέξανδρον οὗτος· ἐρεῖ, φησί, τὰ ὑπόλοιπα τοῦ πρώτου λόγου. ποῖα δ' εἰσὶ ταῦτα; ὅτι ἐκ ψευδῶν ἀληθὲς συνάγεται, καὶ ὅτι ἐξ ἀληθῶν ἀληθές. κατὰ δὲ τοὺς ἀκριβέστερον λέγοντας σκοπὸς οὗτος· ἐπειδὴ ἐν τῷ πρώτῳ λόγῳ τὸ εἶδος τῶν συλλογισμῶν εἶπεν, ἐν τούτῳ ἐρεῖ τὴν ὕλην· εἶδος δὲ ἦν τὸ συμπέρασμα, ὕλη δὲ αἱ προτάσεις. καὶ οὗτος μὲν ὁ σκοπός. ἐν προοιμίοις δὲ ἐπαναλαμβάνει τὰ εἰρημένα ἐν τῷ πρώτῳ βιβλίῳ, ὅτι ἐπεδείξαμεν ἐν πόσοις σχήμασι γίνονται οἱ συλλογισμοί, ἐν γὰρ τρισί, καὶ διὰ ποίων προτάσεων, δηλονότι ἐν μὲν τῷ πρώτῳ σχήματι τῆς μείζονος καθόλου οὔσης τῆς δὲ ἐλάττονος καταφατικῆς, ἐν δὲ τῷ δευτέρῳ τῆς μείζονος καθόλου τῆς δὲ ἐλάττονος ἀνομοιοσχήμονος οὔσης κατὰ ποιότητα, ἐν δὲ τῷ τρίτῳ τῆς ἐλάττονος οὔσης καταφατικῆς, καὶ πόσων προτάσεων, ὅτι δύο χρεία τοὐλάχιστον, καὶ πότε καὶ πῶς. ταῦτα μὲν προείρηται ἐν τῷ πρώτῳ τμήματι τοῦ πρώτου βιβλίου. ἐν δὲ τῷ δευτέρῳ τμήματι εἴρηται πῶς δεῖ κατασκευάζειν, ὅτι ὀφείλομεν λαμβάνειν κατηγορούμενα, ὑποκείμενα, ἀλλότρια. ἐν δὲ τῷ τρίτῳ τμήματι περὶ ἀναλύσεως εἶπεν, ὅτι

1 Inscripsi ex AGT (ἀριστοτέλους om. G): τοῦ φιλοπόνου ἐξήγησις εἰς τὸ δεύτερον τῶν προτέρων ἀναλυτικῶν B: ἰωάννου ἀλεξανδρέως ἀναλυτικῶν προτέρων τὸ δεύτερον σχο λ U: Εἰς τὸ τῶν προτέρων ἀναλυτικῶν. | Βιβλίον δεύτερον t 4 καὶ πόσων om. B 5 post γίνεται add. πᾶς t 7 ἐρεῖν t φησί om. Ut post λόγου add. εἴδη U ποῖα δὲ add. U² ταῦτα Bt: τὰ εἰρημένα U 9 τῷ om., ut videtur, U 10 προεῖπεν U 11 ὕλαι Bt 13 ἐν γὰρ Bt: ὅτι ἐν U 14 μὲν et πρώτῳ σχήματι superscr. U² 18 ὅτι om. U προείρηνται t 19 post πρώτῳ add. τούτου U τῷ πρώτῳ βιβλίῳ U post τμήματι alt. add. τοῦ πρώτου βιβλίου. ἐν δὲ τῷ δευτέρῳ τμήματι U 21 post περὶ add. τῆς Ut

ποίᾳ μεθόδῳ χρώμενοι ἀναδραμεῖν ὀφείλομεν εἰς τὰς ἀρχὰς τῶν συλλο- XCIVv
γισμῶν. ταῦτα οὖν εἴρηται ἐν τῷ πρώτῳ βιβλίῳ. 30

Ἐν πόσοις μὲν οὖν σχήμασι καὶ διὰ ποίων. ἐπειδὴ περὶ τῆς ὕλης τῶν συλλογισμῶν μέλλει λέγειν, χρησιμεύει ἡμῖν εἰς τὴν Τοπικὴν
5 πραγματείαν τοῦτο τὸ βιβλίον ὥσπερ καὶ τὸ πρότερον εἰς τὴν Ἀποδεικτικήν, καὶ ὥσπερ ἐκεῖνο εἰς τὴν Ἀποδεικτικήν, οὕτω καὶ τοῦτο εἰς τοὺς Τόπους.

p. 53a3 Ἐπεὶ δὲ οἱ μὲν καθόλου τῶν συλλογισμῶν εἰσιν οἱ δὲ κατὰ μέρος.

Ἐνταῦθα τὸ προοίμιον ἐπληρώθη. ἐν τούτοις δὲ βούλεται σημᾶναι
10 ὅτι οἱ καθόλου συλλογισμοὶ καὶ καταφατικοὶ καὶ ἀποφατικοὶ καὶ οἱ κατὰ μέρος καταφατικοὶ μόνοι πλείω συλλογίζονται, οἱ δὲ μερικοὶ ἀποφατικοὶ οὐκέτι. διὰ τί; ἐπειδὴ τὰ καθόλου καταφατικὰ προβλήματα πρὸς τὰ μερικὰ ἀντιστρέφει, τὰ δὲ μερικὰ πρὸς ἑαυτά, λέγω δὴ τὰ καταφατικά, ὁμοίως δὲ 40
καὶ τὰ καθόλου ἀποφατικὰ πρὸς ἑαυτά, τὸ δὲ μερικὸν ἀποφατικὸν πρὸς
15 οὐδὲν τῶν ἄλλων οὔτε πρὸς ἑαυτό.

p. 53a8 Τὸ δὲ συμπέρασμα τὶ κατά τινός ἐστιν.

Τὸ δὲ συμπέρασμα, φησίν, ὡρισμένον ἐστί· τοῦτο γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν τὶ κατά τινος. ἵνα γὰρ μή τις οἰηθῇ μάτην ταῦτα λέγεσθαι, ὅτι πλείους ἐπὶ τῶν τριῶν προβλημάτων εἰσὶν οἱ συλλογισμοί, φησὶν ὅτι
20 τὸ συμπέρασμα ἐφ' ἑκάστου ὡρισμένον ἐστί, καὶ μή τις εἴπῃ 'τὸ Α τινὶ τῷ Γ καὶ τὸ Γ τινὶ τῷ Α τὸ αὐτό εἰσι καὶ οὐκ εἰσὶ πολλοὶ συλλογισμοί'. λέγομεν γὰρ ὅτι ἕκαστον ὡρισμένον ἐστὶ καὶ ἕκαστόν ἐστι τὶ κατά τινος· ἕτερον γάρ ἐστι τὸ ποιῆ|σαι ὑποκείμενον τὸ Γ κατηγορούμενον δὲ τὸ Α, XCVr
καὶ ἕτερον τὸ ὑποκείμενον τὸ Α κατηγορούμενον δὲ τὸ Γ. διὸ καὶ αὐτὸς
25 σαφῶς εἰπὼν ἐπὶ τοῦ καθόλου ἀποφατικοῦ ὅτι, εἰ μηδενὶ τῷ Β τὸ Α, καὶ τῷ Α οὐδενὶ τὸ Β, τοῦτό φησιν ἕτερον εἶναι τοῦ ἔμπροσθεν. ἐξ ἀνάγκης γὰρ ἕτερόν ἐστιν· ὁ γὰρ πρότερος εἶχε κατηγορούμενον τὸ Α ὑποκείμενον δὲ τὸ Β. ὁ δὲ δεύτερος εἶχε κατηγορούμενον τὸ Β ὑποκεί-

---

2 οὖν om. U 4 τὴν τῶν τόπων t 5 τοῦτο Ut: αὐτοῦ B 6 καὶ ὥσπερ—ἀποδεικτικὴν AGTt: om. BU τρόπους t 8 κατὰ μέρος B Arist.: ἐπὶ μέρους Ut 9 ἐπληρώθην B 10 καὶ primum om. Bt 11 μόνοι Bt: προβλήματα U² τὸ δὲ μερικὸν ἀποφατικὸν (ἀπο corr.) U 12 προβλήματα om. U ἐπὶ U 13 ἀντιστρέφῃ, ut videtur, pr. B: ἀντιστρέφουσι U post μερικὰ add. καταφατικὰ U λέγω—καταφατικά om. U 14 ἀποφατικὰ Bt: καταφατικὰ καὶ U τὰ δὲ μερικὰ ἀποφατικὰ pr. U 15 οὐδεμίαν οὔτε U πρὸς e καὶ corr. U 16 lemma om. Ut 18 οἰηθείη B 19 ὅτι—συλλογισμοί om. U 20 καὶ B: ἵνα Ut εἴποι Ut 21 τῶν γ̄—τῶν ᾱ B συλλογισμοί U: λόγοι Bt 22 γὰρ scripsi: δὲ Bt: om. U ἐστιν ὡρισμένον U 23 τὸ prius om. B 24 καὶ ἕτερον—τὸ γ̄ mrg. U τὸ (ante ὑποκ.) om. U 25 εἶπεν U τὸ—τῷ Ut itemque vs. 26 26 ᾱ supra δ̄ scr. U 28 τὸ prius om. U δεύτερος] σ in ras. U

μενον δὲ τὸ Α, ὥστε ἕτεροι ἀλλήλων. πῶς δὲ πολλὰ συμπεράσματα συν- XCVr
άγεται, ἀναγκαῖον ἐπισκέψασθαι, οἷον ὡς ἐπὶ τοῦ καθόλου καταφατικοῦ, εἰ 5
τὸ Α, εἰ τύχοι, παντὶ τῷ Γ καὶ τὸ Γ παντὶ τῷ Β, καὶ τὸ Α ἄρα παντὶ
τῷ Β, καὶ τὸ Β τινὶ τῷ Α. ὁμοίως καὶ ἐπὶ τοῦ μερικοῦ καταφατικοῦ· εἰ
5 γὰρ τὸ Α παντὶ τῷ Γ καὶ τὸ Γ τινὶ τῷ Β, καὶ τὸ Α ἄρα τινὶ τῷ Β, καὶ
τὸ Β ἄρα τινὶ τῷ Α, ὥστε πλείους εἰσὶν οἱ συλλογισμοί. ὁμοίως καὶ ἐπὶ
τοῦ καθόλου ἀποφατικοῦ, ὅτι τὸ Α οὐδενὶ τῷ Β καὶ τὸ Β οὐδενὶ τῷ Α. ἐπὶ
δὲ τοῦ μερικοῦ ἀποφατικοῦ, ἐπειδὴ ἀντιστρέψαι οὐκ ἐνδέχεται, τούτου χάριν 10
οὐδὲ πλείονες γίνονται οἱ συλλογισμοί.

10 Τὸ δὲ συμπέρασμα τί κατά τινός ἐστιν. ὅτι ἕκαστον ὥρισται συμπέρασμα ἐκ τῆς ἀντιστροφῆς γινόμενον. εἰ δὲ ἕκαστον ὥρισται, δῆλον ὅτι ἕτερός ἐστι συλλογισμός· τὸ γὰρ τί κατά τινος τὸ αὐτὸ τοῦτο δηλοῖ, τὸ ἕκαστον ὡρίσθαι.

p. 53ᵃ16 Ἔστι δὲ περὶ τῶν καθόλου καὶ ἄλλως εἰπεῖν· ὅσα γὰρ
15 ἢ ὑπὸ τὸ μέσον ἢ ὑπὸ τὸ συμπέρασμά ἐστιν, ἁπάντων ἔσται ὁ αὐτὸς συλλογισμός.

Οὕτως μὲν οὖν ἐκ τῆς γινομένης ἀντιστροφῆς ἐδείχθησαν πλείους 15
γινόμενοι συλλογισμοί. ἔνι δὲ καὶ ἄλλως εἰπεῖν ὅτι πλείους γίνονται συλλογισμοί, ἐκ τοῦ κατὰ παντὸς ἢ μηδενός, οἷον ὡς ἐπὶ παραδείγματος
20 σαφηνείας χάριν· ἡ οὐσία παντὶ ζῴῳ, τὸ ζῷον παντὶ ἀνθρώπῳ, ἡ οὐσία παντὶ ἀνθρώπῳ· ἐπειδὴ κατὰ παντὸς ἀνθρώπου κατηγορεῖται τὸ ζῷον, οὐκοῦν καὶ κατὰ Σωκράτους καὶ Πλάτωνος καὶ Ἀλκιβιάδου· οὐκοῦν καὶ κατὰ τούτων ὅλων ἡ οὐσία. ὥστε πλείους οἱ συλλογισμοὶ ἐκ τοῦ κατὰ παντός. ὁμοίως καὶ ἐκ τοῦ κατὰ μηδενὸς πλείους εἰσὶν οἱ συλλογι- 20
25 σμοί· οἷον τὸ ἄψυχον οὐδενὶ ζῴῳ, τὸ ζῷον παντὶ ἀνθρώπῳ, οὐκοῦν καὶ κατὰ Σωκράτους καὶ Πλάτωνος· οὐκοῦν τὸ ἄψυχον ⟨καὶ⟩ κατὰ τούτων οὐκ ἔστιν. οὕτω καὶ ἐκ τοῦ κατὰ παντὸς καὶ ἐκ τοῦ κατὰ μηδενὸς πλείους γίνονται οἱ συλλογισμοί. οὐ μόνον δὲ ἐπὶ τούτων ἀλλὰ καὶ ἐπὶ τοῦ μέσου ὅρου· οἷον ὅτι τὸ ζῷον κατὰ ἵππου καὶ κατὰ ἀνθρώπου καὶ κατὰ κυνός, οὐκοῦν
30 καὶ ἡ οὐσία. ὥστε ὁμοίως ἔσται συλλογισμός, οὐ μέντοι ὁ αὐτός· καὶ γὰρ οὗτος καταφατικός, ἀλλὰ ἄλλου καταφατικός. 25

Ἢ ὑπὸ τὸ συμπέρασμα. μνημονεύειν ὀφείλομεν ὅτι τὸν ἔσχατον ὅρον συμπέρασμα ἐκάλεσεν, ὡς δηλονότι ἐκείνῳ τὸ ἄκρον ἢ ὑπάρχειν λέγομεν ἢ μὴ ὑπάρχειν. ὁ αὐτὸς συλλογισμὸς ἀντὶ τοῦ 'ὁμοίως'.

---

1 ὥστε—ἀλλήλων Bt: ἕτερος οὗτος τοῦ ἔμπροσθεν U 2 οἷον scripsi cf. ad p. 394,11: ὅλον libri τοῦ καταφατικοῦ τοῦ καθόλου B 3 εἰ om. B ἄρα om. B 4 τῷ alt. e τὸ corr. U post α transposuit e vs. 6 ὥστε πλείους εἰσὶν οἱ συλλογισμοὶ U post ὁμοίως add. δὲ B 5 ἄρα om. U 13 ὥρισται t 17 οὖν om. B γιγνομένης Ut 18 συλλογισμοὶ γινόμενοι . ἔστι B 18. 19 ἔνι—συλλογισμοί iterat U 22 post κατὰ add. τοῦ B ἀλκιβιάδους t 24 post ὁμοίως add. δὲ B εἰσὶν Ut: γίνονται B 26 κατὰ prius Paris. 2062: ἐπὶ superscr. U: om. Bt καὶ alt. addidi cf. vs. 23 27 ἐκ τοῦ alt. om. U 29 οἷον om. U τὸ om. B κοινὸς t 30 καὶ prius A: om. BUt post ἔσται add. ὁ t

p. 53a 19 Οἷον εἰ τὸ ΑΒ συμπέρασμα διὰ τοῦ Γ, ὅσα ὑπὸ τὸ Β ἢ XCVr τὸ Γ ἐστίν, ἀνάγκη κατὰ πάντων λέγεσθαι τὸ Α.

Αὐτὸ τὸ παράδειγμα. ὡς ἐπὶ στοιχείων δὲ ποιεῖται τὸν λόγον· οἷον, φησίν, εἰ τὸ Α συνήχθη παντὶ τῷ Β διὰ τοῦ Γ, ἔστι δὲ καὶ τὸ Δ μέρος τοῦ Β, οὐκοῦν καὶ τῷ μέρει κατηγορεῖται· πάλιν εἰ παντὶ τῷ Γ τὸ Α, μέρος δὲ τοῦ Γ τὸ Ε, καὶ τὸ Α παντὶ τῷ Ε. ὥστε πλείους οἱ συλλογισμοί.

p. 53a 25 Ἐπὶ δὲ τοῦ δευτέρου σχήματος τὸ ὑπὸ τὸ συμπέρασμα μόνον ἔσται συλλογίσασθαι.

Ἐν μὲν τῷ πρώτῳ σχήματι, ὡς ἀπεδείξαμεν, καὶ ἐκ τοῦ κατὰ παντὸς δείκνυνται πλείους οἱ συλλογισμοί. ἐν δὲ τῷ δευτέρῳ σχήματι οὐκέτι δυνατόν. εἰ γὰρ τὸ Α οὐδενὶ τῷ Β τῷ δὲ Γ παντί, συμπέρασμα ὅτι τὸ Β οὐδενὶ τῷ Γ· ἔστι δὲ μέρος τοῦ Γ τὸ Δ· φανερὸν ὅτι καὶ τῷ Δ οὐχ ὑπάρχει τὸ Β. εἰ δὲ τὸ Ε μέρος τοῦ Α, οὐ φανερὸν ὅτι τὸ Β οὐχ ὑπάρχει τῷ Ε, εἰ μὴ ἄρα ἀντιστροφὴ γένηται· εἰ γὰρ τὸ Α οὐδενὶ τῷ Β, καὶ τὸ Β οὐδενὶ τῷ Α, καὶ οὕτω δῆλον γίνεται ὅτι οὐδὲ τοῖς μέρεσι τοῦ Α ὑπάρχει. εἰ δὲ μὴ ἐγίνετο ἡ ἀντιστροφή, οὐκ ἐγίνετο φανερὸν ὅτι οὐχ ὑπάρχει τὸ Β τῷ Ε.

p. 53a 33 Ὥστε οὐ διὰ τὸν συλλογισμὸν συμβαίνει τὸ Β τῷ Ε μὴ ὑπάρχειν.

Οὐ διὰ τὸν συλλογισμὸν τὸν πρῶτον, ἐπειδὴ διὰ τῆς ἀντιστροφῆς δείκνυται ὅτι τὸ Β τῷ Ε οὐχ ὑπάρχει· μέρος γάρ ἐστι τὸ Ε τοῦ Α.

p. 53a 34 Ἐπὶ δὲ τῶν ἐν μέρει τῶν μὲν ὑπὸ τὸ συμπέρασμα οὐκ ἔσται τὸ ἀναγκαῖον· οὐ γὰρ γίνεται συλλογισμός, ὅταν αὕτη ληφθῇ ἐν μέρει· τῶν δ' ὑπὸ τὸ μέσον ἔσται πάντων, πλὴν οὐ διὰ τὸν συλλογισμόν.

Ἐπειδὴ τὰ συνάγοντα τὸ μερικὸν καταφατικά, τὰ μὲν ὄντα ὑπὸ τὸν μέσον ὅρον δυνατὸν δεῖξαι διὰ τοῦ κατὰ παντός, τὰ δὲ ὄντα ὑπὸ τὸν

1 post συμπέρασμα add. ἐστι U post ὅσα add. ἢ B post ἢ add. ὑπὸ B 3 αὐτὸς U 5 τὸ (ante μέρει) t 9 ἔστι U(C) ἀπεδείξομεν, ut videtur, pr. B: ἐπεδείξαμεν Ut 11 δείκνυται pr. U τῷ πρώτῳ pr. U οὐκ ἔστι U 13 β̄ corr. ex ᾱ U 14 post β̄ prius ras. U 14 ὅτι B, supra εἰσ ser. U: εἰ t 15 τῷ ε̄ om. B 18 β̄ supra ᾱ ser. U 19 post συλλογισμὸν add. τὸν πρῶτον B 21 διὰ τῆς Ut: δι' B 22 β̄ Bt: ᾱ U οὐχ ὑπάρχει τῷ ε̄ B μέρος γὰρ B: ἐπειδὴ μέρος Ut 23 ἐπὶ—24 συλλογισμός om. Ut 24 post ὅταν add. δὲ t 26 τῶν pr. B 27 τὸ συνάγον Bt καταφατικά scripsi: καταφατικόν BUt 28 ὅρον superscr. U, om. t

ἄκρον ὅρον οὐ δυνατόν, ἐπεὶ εὑρίσκεται ἡ μείζων μερικὴ καὶ ἀσυλλόγιστος ἐν πρώτῳ σχήματι· οἷον εἰ τὸ Α τινὶ τῷ Γ, μέρος δὲ τοῦ Γ τὸ Ε, ὥστε τὸ Γ τινὶ τῷ Ε, τὸ Α δὲ τινὶ τῷ Γ, καὶ εὑρίσκεται ἡ μείζων μερικὴ καὶ ἀσυλλόγιστος ἐν πρώτῳ σχήματι. δυνατὸν δὲ δεῖξαι τὰ ὄντα ὑπὸ τὸν μέσον
5 ὅρον διὰ τοῦ κατὰ παντός· οἷον εἰ τὸ Α παντὶ τῷ Β, μέρος δὲ τοῦ Β τὸ Δ, ὥστε καὶ τὸ | Α παντὶ τῷ Δ, ὥστε τοῖς πράγμασι τοῖς ὑπὸ τὸν XCVᵛ μέσον ὅρον ὑπάρχει τὸ ἄκρον. τοῖς δὲ ὑπὸ τὸν ἔσχατον οὐ δυνατὸν δεῖξαι ὅτι ὑπάρχει.

p. 53ᵃ37 Οἷον εἰ τὸ Α παντὶ τῷ Β, τὸ δὲ Β τινὶ τῷ Γ· τοῦ μὲν
10 γὰρ ὑπὸ τὸ Γ τεθέντος οὐκ ἔσται συλλογισμός.

Τῶν ὑπὸ τὸ Γ ἐσχάτου ὅρου ὄντος οὐ γίνεται συλλογισμὸς ὅτι 5
ὑπάρχει τὸ ἄκρον· τῶν δ' ὑπὸ τὸ Β ὄντων γίνεται, ὅτι ἡ μείζων φυλάττεται καθόλου.

p. 53ᵃ40 Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων σχημάτων.

15 Καὶ ἐπὶ τῶν ἄλλων σχημάτων, φησί, τοῦτο ἔστι δεῖξαι, ὅτι τὸ 10
ἄκρον τῷ μέσῳ καὶ τοῖς μέρεσιν ὑπάρχει, ὡς ἐπὶ τῶν καθόλου προτάσεων, ἢ ὅτι οὐ δυνατὸν δεῖξαι καὶ ἐπὶ τοῦ ἐσχάτου ὅρου, ὡς ἐπὶ τῶν μερικῶν συμπερασμάτων. ἀλλὰ ἡ καθόλου τὸ παράγγελμα λέγει, ἵνα πανταχοῦ ᾖ· εἰ γὰρ μὴ ἔσται καὶ ἐπὶ τούτων, τῶν μερικῶν συλλογισμῶν τοῦ δευτέρου
20 καὶ τρίτου σχήματος, οὐδ' ἐπὶ τῶν τοῦ πρώτου μερικῶν συλλογισμῶν ἔσται, οὐδ' ἐπὶ τοῦ μερικοῦ καταφατικοῦ ἔσται· ἀδύνατον γὰρ δεῖξαι τὸ μέρος τοῦ Γ, τουτέστι τὸ Ε, ὅτι ὑπάρχει ἐν τῷ ἄκρῳ, ἵνα ἀντὶ τοῦ Γ λάβω τὸ Ε. 15

p. 53ᵇ4 Ἔστι μὲν οὖν οὕτως ἔχειν ὥστ' ἀληθεῖς εἶναι τὰς προτάσεις δι' ὧν ὁ συλλογισμός.

25 Βούλεται δεῖξαι ἐντεῦθεν ὁ Ἀριστοτέλης πῶς ἐκ τῶν προτάσεων συνά- 20
γονται τὰ συμπεράσματα. καὶ γὰρ αἱ προτάσεις ἢ ἄμφω ἀληθεῖς ἢ ἄμφω ψευδεῖς, ἢ ἡ μὲν ἀληθὴς ἡ δὲ ψευδής. καὶ εἰ ἄμφω ἀληθεῖς, ἀληθὲς καὶ τὸ συμπέρασμα. εἰ δ' ἄμφω ψευδεῖς, ποτὲ ἀληθές, ποτὲ ψευδές. εἰ

---

1. 2 ἐν πρώτω σχήματι ἀσυλλόγιστος t 2 οἷον—4 σχήματι om. B 5 post β add. τὸ δὲ β τινὶ τῷ γ̄ B 10 ἔστι U 15 τοῦτο ἔστι φησὶ B 16 ὡς ἐπὶ τῶν καθόλου προτάσεων t, mrg. U: ὡς ἐπὶ τῆς καθόλου προτάσεως in textu U: om. B 17 οὐ om. t ὡς—18 συμπερασμάτων t: ἢ ὡς ἐπὶ τοῦ μερικοῦ συμπεράσματος (sed τῶν μερικῶν συμπερασμάτων mrg.) ante ἢ ὅτι collocata U: om. B 18 ἡ (ἢ U) deleverim, sed totus locus gravius depravatus videtur 19 τῶν—20 ἔσται om. B 19. 20 δευτέρου καὶ t: om. U 21 δυνατὸν Bt 22 τοῦ ε̄ (ante ὅτι) B ἐν om. B 23 Περὶ τοῦ ἐκ ψευδῶν συλλογίζεσθαι inser. U 25 post βούλεται add. δὲ U 26 γὰρ add. U² 27 ἡ μὲν—ψευδής Bt: ἐπί τι ἀληθεῖς ἢ ἐπί τι ψευδεῖς U

δ' ἡ μὲν ἀληθὴς ἡ δὲ ψευδής, εἰ μὲν ἡ μείζων ψευδὴς ἡ δὲ ἐλάττων XCVv ἀληθής, ψευδὲς τὸ συμπέρασμα· εἰ δὲ ἡ μείζων ἀληθὴς ἡ δὲ ἐλάττων ψευδής, ἀληθὲς τὸ συμπέρασμα. λέγει οὖν ὅτι ἐκ ψευδῶν ἀμφοτέρων ἔστι συλλογίσασθαι καὶ ἀληθῆ συμπεράσματα, τοῦ δὲ ὅτι ⟨ὁ⟩ συλλογισμός, οὐ τοῦ διότι. εἰδέναι γὰρ δεῖ ὅτι, εἰ ἀληθεῖς εἰσιν αἱ προτάσεις, ὁ μέσος ὅρος ἔχει τὴν αἰτίαν δι' ἧς συνάπτει ὁ ἄκρος τῷ ἄκρῳ· διὰ γὰρ τοῦ μέσου ὅρου ὁ ἄκρος τῷ ἄκρῳ δείκνυται· καὶ ἔστιν ὁ συλλογισμὸς τοῦ διότι. εἰ δὲ ψευδεῖς εἰσιν αἱ προτάσεις, ἀληθὲς δὲ τὸ συμπέρασμα, αὐτὸ τοῦτο μόνον συνήχθη, ὅτι τὸ ἄκρον τῷ ἄκρῳ ὑπάρχει, καὶ μόνον τὸ ὅτι· οὔτε γὰρ τὴν αἰτίαν ἔχει ὁ μέσος ὅρος ἐπὶ τῶν ψευδῶν προτάσεων διότι ὁ ἄκρος τῷ ἄκρῳ συνάπτεται. ὥστε διαφέρει τὸ ἀληθὲς συμπέρασμα τὸ ἐξ ἀληθῶν προτάσεων τοῦ ἀληθοῦς συμπεράσματος τοῦ ἐκ ψευδῶν τούτῳ, ὅτι τὸ μὲν ἀληθὲς τὸ ἐξ ἀληθῶν τοῦ διότι ἔχει τὸν συλλογισμόν, τὸ δὲ ἀληθὲς τὸ ἐκ ψευδῶν τοῦ ὅτι μόνον. λέγει οὖν πρῶτον περὶ τοῦ ἐξ ἀληθῶν προτάσεων, ὅτι οὐκ ἐνδέχεται ψεῦδος συναχθῆναι ἀλλὰ πάντως ἀληθές. εἰδέναι δὲ δεῖ ὅτι τὸ μὲν ἀληθὲς ἐκάλεσεν ὄν, τὸ δὲ ψεῦδος μὴ ὄν, καὶ τὸ ὂν ἀληθές, τὸ δὲ μὴ ὂν ψεῦδος.

p. 53b11 Πρῶτον μὲν οὖν ὅτι ἐξ ἀληθῶν οὐχ οἷόν τε ψεῦδος συλλογίσασθαι, ἐντεῦθεν δῆλον.

Βουλόμενος δεῖξαι ὅτι ἐξ ἀληθῶν προτάσεων ἀληθὲς γίνεται συμπέρασμα, λαμβάνει ἀναλογίαν τινὰ τοιαύτην. λαμβάνει τὸ Α ὡς δύο προτάσεις ἀληθεῖς, τὸ δὲ Β συμπέρασμα, καὶ λέγει οὕτως· εἰ ἀνάγκη τοῦ Β μὴ ὄντος μηδὲ Α εἶναι, οὐκοῦν ἀνάγκη καὶ τοῦ Α ὄντος τὸ Β εἶναι. εἰ δὲ ἐρεῖς ὅτι τοῦ Α ὄντος τὸ Β οὐκ ἔστι, τὸ αὐτὸ καὶ ἔστι καὶ οὐκ ἔστιν, ὅπερ ἄτοπον· ἐλέγομεν γὰρ ὅτι τὸ ἀληθὲς ὂν καλεῖται, τὸ δὲ ψεῦδος μὴ ὄν. εἰ οὖν ἐξ ἀνάγκης τοῦ Α ὄντος τὸ Β ἀκολουθεῖ, ὂν ἔσται τὸ Β ὡς ἀληθές· εἰ δὲ ἐρεῖς ὅτι οὐκ ἀληθὲς ἀλλὰ ψευδές, ἔσται μὴ ὄν, ὅπερ ἄτοπον, τὸ αὐτὸ καὶ ὂν καὶ μὴ ὂν λέγειν.

p. 53b16 Μὴ ὅτι δὲ κεῖται τὸ Α εἷς ὅρος, ὑποληφθήτω.

Ἐπειδὴ ἔλαβε τὸ Α ὡς ἕνα ὅρον, τὸ δὲ Β ὡς συμπέρασμα ἀληθές, φησὶ 'μὴ νομίσῃς ὅτι τὸ Α εἷς ἐστιν ὅρος καὶ ὅτι καὶ ἐξ ἑνὸς ὅρου συνήχθη τὸ Β· ψεῦδός τε γάρ ἐστιν· οὐ γὰρ ἐξ ἑνὸς ὅρου τι συνάγεται· ἀλλ' ἐκ τριῶν ὅρων καὶ δύο προτάσεων παρείληπται'.

---

1 ἡ μὲν—ψευδής B: ἐπί τι ψευδεῖς Ut 3 post ὅτι add. εἰ Ut 4 δὲ t: om. BU ὁ addidi cf. vs. 7. 13 συλλογισμοῦ U 5 εἰ om. B 6 τὸ ἄκρον τῷ U 7 ἔστιν Bt: ὅτι U 10 ὅρος om. B τὸ ἄκρον t 12 τοῦ ἀληθοῦς συμπεράσματος scripsi: τῷ ἀληθεῖ συμπεράσματι libri τοῦ alt. U: τῷ Bt 16 ψευδὲς B 22 τὸ συμπέρασμα τὸ β t εἰ om. B 24 ante τὸ αὐτὸ add. ὅτι U καὶ prius om. B 26 εἰ οὖν U: οὐκοῦν Bt 28 λέγει Ut 29 ὑποληφθῇ τῷ β' U, om. β' t (pr. A, B f u) 31 ἐστιν om. U καὶ alt. om. B 32 οὔτε U

p. 53b20 Εἰ οὖν ἀληθὲς ᾧ τὸ Β ὑπάρχει, τὸ Α παντί, ᾧ δὲ τὸ Γ, τὸ Β, ᾧ τὸ Γ, ἀνάγκη τὸ Α ὑπάρχειν.

Δείκνυσι δι' ἐκθέσεως ὅτι τὸ Α ἀντὶ δύο προτάσεων ἐλήφθη καὶ τριῶν ὅρων· ἅμα δὲ καὶ ὅτι ἐξ ἀληθῶν ἀληθὲς συνάγεται. εἰ γὰρ ἀνάγκη τὸ Α ὑπάρχειν τῷ Β καὶ τὸ Β τῷ Γ, οὐκοῦν καὶ τὸ Α τῷ Γ, ὥστε | ἀληθὲς XCVI r καὶ ὂν τὸ συμπέρασμα. εἰ δέ τις ἐρεῖ τοῦτο ψευδές, τὸ αὐτὸ καὶ ὄν ἐστι καὶ μὴ ὄν, ὅπερ ἄτοπον. ὁμοίως καὶ ἐπὶ ἀποφατικῶν ἔστιν ἀληθὲς ἐξ ἀληθῶν δείκνυσθαι.

p. 53b26 Ἐκ ψευδῶν δὲ ἀληθὲς ἔστι συλλογίσασθαι καὶ ἀμφοτέρων τῶν προτάσεων ψευδῶν οὐσῶν.

Εἰρηκὼς περὶ τῶν ἐξ ἀληθῶν προτάσεων νῦν περὶ τῶν ἐκ ψευδῶν συναγομένων λέγει, πότε μὲν ψευδῆ συνάγεται πότε δὲ ἀληθῆ συμπεράσματα. τῶν οὖν ἐκ ψευδῶν προτάσεων συλλογισμὸν συναγόντων ἐν πρώτῳ σχήματι ἢ ἐξ ἀμφοτέρων ψευδῶν ἢ τῆς ἑτέρας μόνης. καὶ εἰ ⟨ἐξ⟩ ἀμφοτέρων ψευδῶν, ἢ ἀμφοτέρων τῶν προτάσεων ὅλων ψευδῶν οὐσῶν, καὶ συνάγονται δύο συζυγίαι, καταφατικὴ καὶ ἀποφατική, ἢ ἀμφοτέρων τῶν προτάσεων ἐπί τι ψευδῶν οὐσῶν, καὶ ἄλλαι δύο συζυγίαι γίνονται, μία καταφατικὴ καὶ ἄλλη ἀποφατική, ἢ τῆς μὲν ὅλης ψευδοῦς τῆς δὲ ἐπί τι ψευδοῦς, καὶ τοῦτο διχῶς· ἢ γὰρ ἡ μείζων ἐπί τι ψευδὴς ἡ δὲ ἐλάττων ὅλη ψευδής, καὶ γίνονται ἄλλαι δύο συζυγίαι, καταφατικὴ καὶ ἀποφατική, ἢ ἡ μείζων ὅλη ψευδὴς ἡ δὲ ἐλάττων ἐπί τι ψευδής, καὶ γίνονται ἄλλαι δύο, καταφατικὴ καὶ ἀποφατική. ὥστε τέως ἔχομεν ὀκτὼ συζυγίας, δύο μὲν ἐκ τῶν ὅλων ψευδῶν, δύο δὲ ἐκ τῶν ἐπί τι ἄμφω ψευδῶν, τέσσαρας δὲ ἐκ τοῦ τῆς μὲν ὅλης τῆς δὲ ἐπί τι τῶν προτάσεων ψευδοῦς. οὕτω μέν, εἰ ἐξ ἀμφοτέρων ψευδῶν. ἐκ δὲ τῆς θατέρας ψευδοῦς τῆς δὲ θατέρας ἀληθοῦς. καὶ τοῦτο διχῶς· ἢ γὰρ ἡ μείζων ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής, ἢ ἡ μὲν ἐλάττων ψευδὴς ἡ δὲ μείζων ἀληθής. καὶ εἰ ἡ μείζων ψευδὴς ἡ δ' ἐλάττων ἀληθής, ἢ ὅλη ψευδής, καὶ ποιεῖ δύο συζυγίας, καταφατικὴν καὶ ἀποφατικήν, ἢ ἐπί τι ψευδής, καὶ ποιεῖ ἄλλας δύο, μίαν καταφατικὴν καὶ μίαν ἀποφατικήν. εἰ δὲ ἢ ἡ μείζων ἀληθὴς ἡ δὲ ἐλάττων ψευδής, πάλιν ἢ ὅλη ψευδής, καὶ ποιεῖ ἄλλας δύο συζυγίας, ἢ ἐπί τι ψευδής, καὶ ποιεῖ ἄλλας δύο, καταφατικὴν καὶ ἀποφατικήν, ὥστε γίνεσθαι τὰς πάσας δεκαέξ. ταύτας διέξεισιν ὁ

---

6 ἐστι post αὐτὸ collocat U: om. t 7 ἀποφατικῶν t: ἀποφατικοῦ BU 9 ἐστιν ἀληθὲς t 12 post συναγομένων add. καὶ t μὲν om. B πότε δὲ Ut: καὶ πότε B 14 ἢ τῆς—ψευδῶν iterat U ἐξ alt. addidi 15 an γίνονται ut vs. 17. 20. 21? at cf. p. 397,24 16 καταφατικὴ—ἀποφατική scripsi: καταφατικαὶ (compend. B)—ἀποφατικαί BUt 22 τέως om. B 23 τέσσαρας scripsi: τέσσαρες BUt τοῦ deleverim 26 ἢ ἡ—28 ἀληθής om. B 27 καὶ εἰ—28 ἀληθής mrg. U 29 μίαν utrumque om. B 30 εἰ δὲ—32 ἀποφατικήν om. B ἢ A: ἢ Ut ἡ δὲ At: καὶ ἡ U ψευδὴς alt. superscr. U: ἀληθὴς pr. U, t 31 ψευδής scripsi: ἀληθής Ut 32 post πάσας add. συζυγίας B

Ἀριστοτέλης, οὐ πάσας δέ· τὰς γὰρ τῆς μὲν ὅλης ψευδοῦς τῆς δὲ ἐπί τι XCVIr
ψευδοῦς γινομένας τέσσαρας συζυγίας οὐ διέξεισιν ὡς δήλας ἐκ τῶν ἄλλων.
καὶ λέγει ὅτι συνάγουσιν ἀληθῆ συμπεράσματα, ἐὰν ὦσιν ἄμφω ψευδεῖς, 25
εἰ δὲ ᾖ ἡ μείζων ψευδής, οὐ συνάγεται ἀληθές· ὅπερ θαυμαστὸν ὅτι
5 ἀμφοτέρων μὲν τῶν προτάσεων ψευδῶν οὐσῶν συνήγετο, τῆς δὲ μείζονος
ψευδοῦς οὔσης οὐ συνάγεται.

p. 53b30 Ἔστω γὰρ τὸ Α ὅλῳ τῷ Γ ὑπάρχον, τῷ δὲ Β μηδενί, μηδὲ τὸ Β τῷ Γ. ἐνδέχεται δὲ τοῦτο.

Πρῶτον εἶπε περὶ τῆς συζυγίας τῆς ἐξ ἄμφω ὅλων ψευδῶν. ἀλλ'
10 ὅλον μὲν ψεῦδος καλεῖ οὐ τὸ ἐναντίον ἀληθές ἐστιν· οἷον 'πᾶς ἄνθρωπος
πτερωτός' ὅλον ψεῦδος, ἐπειδὴ τὸ ἐναντίον ἀληθὲς τὸ 'οὐδεὶς ἄνθρωπος
πτερωτός ἐστιν'. ἐπί τι δὲ ψεῦδος καλεῖ ᾧ τὸ ἀντιφατικῶς ἀντικείμενόν 35
ἐστιν ἀληθές· οἷον 'πᾶς ἄνθρωπος λευκός', τοῦτο ἐπί τι ψεῦδος, ὅτι τὸ
ἀντιφατικῶς ἀντικείμενον αὐτῷ ἀληθεύει τὸ 'οὐ πᾶς ἄνθρωπος λευκός'.
15 λέγει οὖν πρῶτον περὶ τῶν συζυγιῶν τῶν ἐξ ἄμφω ψευδῶν. λέγει γάρ·
ἔστω ὅτι συμπέρασμα γέγονε τὸ Α παντὶ τῷ Γ· ἔστωσαν δὲ αἱ προτάσεις
ἀληθεῖς μὲν ὡς ἀποφατικαί, τό τε ΑΒ καὶ τὸ ΒΓ, ψευδεῖς δὲ ὡς κατα-
φατικαί, ἵνα ὦσιν ὅλαι ψευδεῖς. οἷον τὸ Α παντὶ τῷ Β, ὅπερ ψεῦδος· ἦν
γὰρ τὸ ἀληθὲς οὐδενί· τὸ δὲ Β παντὶ τῷ Γ, ὅπερ ψεῦδος· τὸ γὰρ ἀληθὲς 40
20 ἦν οὐδενὶ τῷ Γ· οὐκοῦν συνάγεται ὅτι τὸ Α τῷ Γ παντί, ὅπερ ἀληθές.
καὶ σκοπήσωμεν ἐνταῦθα. ἐπειδὴ γὰρ ἀληθεῖς οὖσαι αἱ προτάσεις ἀσυλ-
λόγιστοι ἦσαν (ἀμφότεραι γὰρ ἀποφατικαί) καὶ συνῆγον τὸ πᾶς καὶ τὸ
οὐδείς (διὸ καὶ ἀσυλλόγιστοι), ψευδεῖς γενόμεναι ὑπονοηθεῖεν ἂν ἀληθῆ
συνάγειν· εἰ γὰρ ἀληθεῖς αἱ προτάσεις οὖσαι ἀσυλλόγιστος ἦν ἡ συζυγία,
25 ψευδεῖς οὖσαι συλλογιστικὴ ἔσται. ἀλλὰ καὶ τοῦτο εἰδέναι δεῖ, ὅτι ἄμφω
ψευδῶν οὐσῶν οὐκ ἀεὶ τὸ συμπέρασμα ἀληθές, ἀλλ' ὅτε ἀσυλλόγιστος οὖσα 45
συνῆγε τὸ τοιοῦτον συμπέρασμα, οἷον εἰ ἀσυλλόγιστος οὖσα ἡ συζυγία συνῆγε
καταφατικόν· ψευδῶν γὰρ μεταληφθεισῶν εἰς καταφατικὰς συνάξει καὶ τὸ
καταφατικὸν ἀληθὲς ἐκ ψευδῶν. ὅτε δὲ ἐξ ἀληθῶν προτάσεων ἀσυλλό-
30 γιστος οὖσα ἡ συζυγία συνῆγεν ἀποφατικόν, μεταληφθεισῶν τῶν προτάσεων
εἰς ψευδεῖς συνάξουσι ψευδὲς συμπέρασμα. διὸ οὐκ ἀεὶ ἐκ ψευδῶν ἀληθές.
ἐπειδὴ οὖν οὐκ ἀεί, ὡς ἐπὶ ὅρων ἔλαβε τὸ λεγόμενον.

1 an ψευδοῦς ⟨οὔσης⟩ τῆς? 2 γινομένην t 3 συμπέρασμα Ut 4 ᾖ om. Ut ante ἀληθές add. τὸ t 7 ἀρχὴ τοῦ α' σχήματος inser. U 8 post γ' add. ὑπάρχον t post τοῦτο add. ἀληθὲς εἶναι B 9 ἀμφοτέρων t 10 μὲν om. Ut ἐστιν om. B 11 ὅλον U: οἷον Bt: ὅπερ b 12 δὲ om. B 14 αὐτῷ mrg. U λευκόν U 16 ὅτι ἔστω U post γέγονεν add. ὅτι U 18 ὦσιν B: εἰσὶν ἢ Ut ψευδεῖς] εἰς supra ἧς scr. U 19 post οὐδενὶ add. τῶν β' t 20 οὐδενὶ τῷ γ BU: οὐ παντί t 23 γενόμεναι scripsi: γινόμεναι B: γενόμενοι Ut ἂν om. Ut 25 ψευδεῖς] εἰς supra ἧς scr. U post ψευδεῖς add. δὲ Ut 27 συνήγετο, om. τὸ B τοιοῦτο t 28 γὰρ scripsi: δὲ BUt εἰς καταφατικὴν U συνάγει B 31 ψευδὲς supra ἀληθὲς scr. U

Ἔστω γὰρ τὸ Α ὅλῳ τῷ Γ ὑπάρχον, τῷ δὲ Β μηδενί. ἀληθεῖς μὲν οὕτω λαμβανόμεναι, ψευδεῖς δὲ ἐναντίως λαμβανόμεναι κατηγορικαὶ καὶ ἀποφατικαί.

p. 53b35 Ὡσαύτως δὲ καὶ τὸ στερητικόν· ἔστω γὰρ τῷ Γ μήτε τὸ Α ὑπάρχειν μηδενὶ μήτε τὸ Β. |

Εἶπε περὶ τῆς μιᾶς συζυγίας τῆς καταφατικῆς τῆς ἐξ ὅλων ψευδῶν ἀληθὲς συναγούσης· νῦν περὶ τῆς ἄλλης λέγει τῆς ἀποφατικῆς καὶ ἐξ ὅλων ψευδῶν ἀληθὲς συναγούσης. ἐὰν οὖν ἀληθῶν οὐσῶν. ὡς τὸ ζῷον παντὶ ἀνθρώπῳ, ἄνθρωπος οὐδενὶ λίθῳ. λάβωμεν αὐτὰς ψευδεῖς, ποιοῦμεν ἀληθὲς συμπέρασμα οὕτως· τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ· ἰδοὺ ὅλη ψευδής· ἄνθρωπος παντὶ λίθῳ· ἰδοὺ ὅλη ψευδής· καὶ ὅμως ζῷον οὐδενὶ λίθῳ, ὅπερ ἀληθές. ἰδοὺ καὶ ἐνταῦθα ἀληθῶν οὐσῶν τῶν προτάσεων ψευδὴς καὶ ἀσυλλόγιστος, ψευδῶν δὲ γέγονε τοῦ ὅτι ὁ συλλογισμός. XCVIv

p. 53b37 Τῶν αὐτῶν ὅρων ληφθέντων.

Τῶν αὐτῶν ὅρων τῶν ἤδη εἰρημένων ἐν τοῖς μικρὸν ἀνωτέρω.

p. 54a1 Ὁμοίως δὲ δειχθήσεται, κἂν ἐπί τι ψευδὴς ἑκατέρα ληφθῇ.

Εἶπε περὶ τῶν δύο συζυγιῶν τῶν ἐξ ἄμφω ψευδῶν, καὶ ὤφειλεν εἰπεῖν εὐθέως περὶ τῶν τεσσάρων συζυγιῶν τῶν ἐκ τῆς μὲν ὅλης ψευδοῦς τῆς δὲ ἐπί τι ψευδοῦς. αὐτὸς δὲ ταύτας ἀποσιωπᾷ τὰς συζυγίας ὡς δήλας γενομένας ἐκ τῶν ἄλλων εἰρημένων συζυγιῶν, ὅτι καὶ αὗται ἀληθὲς συνάγουσι συμπέρασμα. λέγει δὲ περὶ τῶν ἄμφω ἐπί τι ψευδῶν, ὅτι συνάγεται ἀληθῆ συμπεράσματα. οἷον εἰ λάβοις ζῷον παντὶ λευκῷ. ἰδοὺ ἐπί τι ψευδές· ἐπὶ γὰρ τοῦ κόρακος ψευδές, ἐπὶ δὲ κύκνου ἀληθές· λευκὸν παντὶ ἀνθρώπῳ· καὶ αὕτη ἐπί τι ψευδής· καὶ ὅμως ζῷον παντὶ ἀνθρώπῳ. ὁμοίως καὶ ἐπὶ τοῦ ἀποφατικοῦ λίθος οὐδενὶ λευκῷ, λευκὸν παντὶ ἀνθρώπῳ· ἰδοὺ ἀμφότεραι ἐπί τι ψευδεῖς, καὶ ὅμως λίθος οὐδενὶ ἀνθρώπῳ, ὅπερ ἀληθές.

---

1. 2 ἀληθὲς U 2 post μὲν add. οὖν B 4 ἔστι Arist. (sed ἔστω C)
5 τῷ a U 6 τῆς tert. Ut: καὶ B 7 ἀληθὲς συναγούσης om. Ut
8 ἀληθὲς συναγούσης mrg. U, post συναγ. add. οὔσης t: ἀληθοῦς οὔσης B, in textu U
οὐκοῦν B ὡς om. U, post 9 ἀνθρώπῳ colloc. t 11 ante ἄνθρωπος add. ὁ Ut
ἰδοὺ om. B καὶ om. B 16 δὲ om. B 18 ἀμφοτέρων B
19 τῶν alt. Ut: ὧν B ἐκ—20 ψευδοῦς mrg. U 20 post ψευδοῦς add. τῶν
ἐξ ἄμφω ψευδῶν καὶ ἐπί τι ψευδῶν t, om. τῶν U αὐτὸς Ut: ὁ B post δὲ add.
ὡς δὲ U 21 γινομένας Ut εἰρημένων om. t καὶ om. Ut 23 συμπέρασμα Bt
λάβης B 24 γὰρ om. B 25 ψευδές B καὶ alt. om. U ὁμοίως pr. B

p. 54a 2 Ἐὰν δ' ἡ ἑτέρα τεθῇ ψευδής. XCVIv

Πληρώσας περὶ τῶν ἄμφω ἐπί τι ψευδῶν νῦν ἦλθεν ἐπὶ τὴν ἄλλην διαίρεσιν τὴν λέγουσαν τὴν μὲν ψευδῆ τὴν δὲ ἀληθῆ. τοῦτο δὲ ἦν διχῶς· ἢ γὰρ ἡ μείζων ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής, ἢ ἡ μείζων ἀληθὴς ἡ δὲ ἐλάττων ψευδής· καὶ εἰ ἔστιν ἡ μείζων ψευδής, ἢ ὅλη ψευδὴς ἢ ἐπί τι ψευδής· * * * * καὶ φησὶν ὅτι, εἰ ἔσται ἡ μείζων ὅλη ψευδής, ἀληθὲς οὐ συνάγεται συμπέρασμα, εἰ δὲ εἴη ἡ ΒΓ ἡ ἐλάττων πρότασις ψευδής, συνάγεται. πάλιν καὶ εἰ ἡ μείζων μὴ ὅλη ψευδὴς ἀλλ' ἐπί τι, πάλιν συνάγεται ἀληθές. καὶ ὁμοίως, εἰ ἡ μείζων πρότασις ὅλη ἀληθής, ἡ δὲ ἐλάττων ὅλη ψευδὴς ἢ ἐπί τι ψευδής, συνάγεται, ὡς δείξομεν.

p. 54a 4 Λέγω δὲ ὅλην ψευδῆ τὴν ἐναντίαν.

Ποίαν λέγει ὅλην ψευδῆ; τὴν ἔχουσαν τὴν ἐναντίαν ἀληθῆ. ἐπί τι δὲ ψευδῆ τὴν ἔχουσαν τὸ ἀντιφατικῶς ἀντικείμενον.

p. 54a 7 Ἐὰν δὴ τὴν μὲν ΒΓ πρότασιν λάβω ἀληθῆ, τὴν δὲ ΑΒ ψευδῆ ὅλην.

Λέγει πρῶτον περὶ τῆς συζυγίας τῆς ἐχούσης τὴν μείζονα ὅλην ψευδῆ τὴν δὲ ἐλάττω ἀληθῆ, καὶ τέως περὶ τοῦ καταφατικοῦ, ὅτι ἐὰν τὸ Α κατὰ ἀλήθειαν οὐδενὶ ὑπάρχῃ τῷ Β, εἶτα ληφθῇ ὅτι ὑπάρχει παντί, ⟨δ⟩ ὅλη ψευδής ἐστιν, εἶτα καὶ τὸ Β ἐξ ἀληθείας παντὶ τῷ Γ, οὐκ ἔστιν ἀληθὲς εἰπεῖν ὅτι τὸ συμπέρασμά ἐστιν ἀληθές. οἷον ἄψυχον οὐδενὶ ζῴῳ ἀληθὲς μετάλαβε εἰς ψευδῆ ὅλην καὶ εἰπὲ ἄψυχον παντὶ ζῴῳ· ζῷον παντὶ ἀνθρώπῳ ἀληθές· καὶ συνάγεται ψεῦδος ὅτι ἄψυχον παντὶ ἀνθρώπῳ. οὕτως ἡ μία συζυγία ἡ καταφατική. ἡ δ' ἀποφατικὴ ἡ ψευδὴς οὕτως· ἔμψυχον οὐδενὶ ζῴῳ, ὅπερ ὅλον ψευδές, ζῷον παντὶ ἀνθρώπῳ, ἔμψυχον οὐδενὶ ἀνθρώπῳ, ὅπερ ψεῦδος. οὕτως αἱ δύο συζυγίαι αὗται αἱ ἔχουσαι τὴν μείζω ὅλην ψευδῆ ἀληθὲς συμπέρασμα οὐ συνάγουσιν. |

p. 54a 11 Ὁμοίως δὲ οὐδ' εἰ τὸ Α τῷ Β παντὶ ὑπάρχει. XCVIIr

Πάλιν ἵνα ποιήσῃ τὴν ἀποφατικὴν συζυγίαν ψευδῆ, λαμβάνει ψευδῆ ἀποφατικὴν πρότασιν τὴν μείζω, ἵνα ᾖ τὸ Α τῷ Β μηδενί, ὅπερ ψεῦδος· παντὶ γὰρ ἦν τῷ ζῴῳ τὸ ἔμψυχον.

2 ἀμφοτέρων B 4 ἢ prius scripsi: καὶ BUt 6 lac. indicavi; supple ὡσαύτως καὶ εἰ ἔστιν ἡ ἐλάττων ψευδής, ἢ ὅλη ψευδὴς ἢ ἐπί τι ψευδής. 7 εἴη post πρότασις colloc. B ἡ alt. t: om. BU post πρότασις add. ἢ U 8 εἰ καὶ Ut μὴ B: ἢ Ut: μὴ ἢ b 10 ἢ, quod voluerat Waitz Organ. I 29, B: ἡ Yt 14 ἐὰν BUt (n): ἂν Arist. λάβῃ U: λάβωμεν t δὲ BUt (B C m u, pr. f): δὲ τὸ Arist. 17 ἐλάττονα t 18 ὑπάρχῃ corr. U: ὑπάρχει Bt, pr. U 19 ὁ addidi εἶτα ex ἔτι corr. B 20 ἐστιν om. B 21 ψευδῆ t: ψεῦδος BU ὅλον U post εἰπὲ add. παντὶ U 26 μείζονα B ἀληθὲς—συνάγουσιν om. B 27 οὐ δεῖ—ὑπάρχειν U 29 μείζονα B

p. 54a18 Μὴ ὅλης δὲ λαμβανομένης ψευδοῦς ἔσται. XCVII[r]

Ἐὰν μὲν ᾖ ἡ μείζων ὅλη ψευδής, οὐ συνάγεται ἀληθὲς συμπέρασμα· ἐὰν δὲ ἐπί τι ψευδής, συνάγεται ἀληθές. οἷον εἰ μὲν καταφατική, οὕτως· ζῷον παντὶ λευκῷ ἐπί τι ψευδής· ἐπὶ γὰρ τοῦ κόρακος ψευδής, ἐπὶ δὲ τοῦ κύκνου ἀληθής· λευκὸν παντὶ κύκνῳ· καὶ ὅμως ζῷον παντὶ κύκνῳ. οὕτως ἡ καταφατικὴ συζυγία.

p. 54a23 Ὁμοίως δὲ καὶ εἰ στερητικὸν εἴη τὸ AB.

Ὥσπερ ἀληθὲς τὸ καταφατικὸν γέγονε συμπέρασμα, οὕτως καὶ τὸ ἀποφατικὸν ἀληθὲς τῆς μείζονος ἐπί τι ψευδοῦς οὔσης· οἷον ζῷον οὐδενὶ λευκῷ ἐπί τι ψευδής· ἐπὶ γὰρ κύκνου μόνου ψευδής· λευκὸν πάσῃ χίονι· καὶ ὅμως ζῷον οὐδεμιᾷ χιόνι, ὅπερ ἀληθὲς τὸ συμπέρασμα.

p. 54a28 Ἐὰν δὲ ἡ μὲν AB πρότασις ὅλη ληφθῇ ἀληθής, ἡ δὲ BΓ ὅλη ψευδής, ἔσται συλλογισμὸς ἀληθής.

Ἐλήφθη ἡ μείζων πρότασις ὅλη ψευδής, καὶ οὐ συνῆξεν ἀληθές, καὶ ἐπί τι ψευδής, καὶ συνῆξε τὰ δύο συμπεράσματα ἀληθῆ. νῦν δὲ λαμβάνει τὴν μείζονα ἀληθῆ τὴν δὲ ἐλάττονα ψευδῆ ὅλην, καὶ λέγει ἀληθῆ γίνεσθαι τὰ συμπεράσματα· οἷον ζῷον παντὶ ἀνθρώπῳ ἀληθές· ἄνθρωπος παντὶ ἵππῳ ψευδὴς ὅλη· καὶ ὅμως ζῷον παντὶ ἵππῳ, ὅπερ ἀληθές. οὕτως τὸ καταφατικόν.

Τὸ μέντοι B οὐδενὶ τῷ Γ. ἡ τὸ B οὐδενὶ τῷ Γ ἀληθής, ἀλλ' ἵνα γένηται ψευδής, λαμβάνεται παντί.

p. 54a35 Ὁμοίως δὲ καὶ στερητικῆς οὔσης τῆς AB προτάσεως· ἐνδέχεται γὰρ τὸ A μήτε τῷ B μήτε τῷ Γ μηδενὶ ὑπάρχειν.

Τὴν ἀποφατικὴν συζυγίαν ἀληθῆ συνάγομεν τῆς μείζονος ἀληθοῦς οὔσης τῆς δὲ ἐλάττονος ὅλης ψευδοῦς οὕτως· τὸ ζῷον οὐδεμιᾷ μουσικῇ, ὅπερ ἀληθές, μουσικὴ πάσῃ ἰατρικῇ, ὅπερ ψευδές, καὶ ζῷον οὐδεμιᾷ ἰατρικῇ, ὅπερ ἀληθές. οὕτω καὶ αὗται αἱ συζυγίαι ἀληθεῖς.

---

4 τοῦ κόρακος γὰρ t 6 post συζυγία add. συνάγεται t 8 post ὥσπερ add. τὸ t ἀληθῶς ἐστι, om. τὸ U post καταφατικὸν add. συνάγεται t 9 ψευδοῦς οὔσης ἐπί τι B ante οἷον add. τῆς Bt 10 ψευδής prius U: ψευδοῦς Bt ψευδής alt. B: ψευδοῦς Ut 15 post καὶ add. οὐ U 17 τὰ om. U immo ἀληθής cf. vs. 4. 10 18 ψεῦδος U 20 μηδενὶ Arist. ἡ—ἀληθής scripsi: εἰ—ἀληθές BUt 21 ψευδὲς t 24—p. 398,11 om. (propter homoeoteleuton scilicet) B 24 συνάγομεν ἀληθῆ t

p. 54b2 Καὶ εἰ μὴ ὅλη ψευδὴς ἡ ΒΓ ἀλλ' ἐπί τι, καὶ οὕτως XCVIIr
ἔσται τὸ συμπέρασμα ἀληθές.

Εἰρηκὼς ὅτι τῆς ἐλάττονος ὅλης ψευδοῦς οὔσης γίνονται ἀληθῆ τὰ συμπεράσματα, φησὶ καὶ μὴ ὅλης οὔσης ψευδοῦς τῆς δὲ μείζονος ἀληθοῦς ἀληθῆ γίνεσθαι τὰ συμπεράσματα. οἷον ζῷον παντὶ ἀνθρώπῳ, ἄνθρωπος παντὶ πεζῷ, ὅπερ ἐπί τι ψευδές ἐστι, καὶ ὅμως ζῷον παντὶ πεζῷ, ὅπερ ἀληθές. οὕτω τὸ καθόλου καταφατικὸν συνάγομεν ὅρους λαμβάνοντες γένος καὶ εἶδος καὶ διαφοράν, ἄκρα μὲν τιθέντες γένος καὶ διαφοράν, μέσον δὲ τὸ εἶδος.

p. 54b9 Ὁμοίως δὲ καὶ στερητικῆς οὔσης τῆς ΑΒ προτάσεως·
ἐνδέχεται γὰρ τὸ Α μήτε τῷ Β μήτε τῷ Γ μηδενὶ ὑπάρχειν.

Νῦν τὴν ἑτέραν συζυγίαν λέγει τὴν ἀποφατικὴν πῶς συνάγεται, ὅτι λαβόντες τὸν μέσον ὅρον ἀλλοτρίου γένους εἶδος· οἷον ζῷον οὐδεμιᾷ φρονήσει, φρόνησις πάσῃ θεωρητικῇ, καὶ ὅμως ζῷον οὐδεμιᾷ θεωρητικῇ. οὕτως καὶ τὸ ἀποφατικὸν ἀληθὲς τῆς ἐλάττονος ἐπί τι ψευδοῦς οὔσης. καὶ ἐπλήρωσε πάσας τὰς συζυγίας εἰρηκώς, πότε ἐκ ψευδῶν ἀληθῆ συνάγεται συμπεράσματα, πότε δὲ οὔ, ἀπαραλείπτως.

p. 54b17 Ἐπὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν. |

Εἰρηκὼς περὶ τῶν ἐν τῷ πρώτῳ σχήματι τὰ καθόλου συμπεράσματα XCVIIv
συναγόντων νῦν λέγει περὶ τῶν τὰ μερικά, πάλιν ἐκ διαιρέσεως λαμβάνων τὰς συζυγίας, ὅτι τῶν τὰ μερικὰ συμπεράσματα συναγόντων ἐν πρώτῳ σχήματι ἢ ἡ μέν ἐστιν ἀληθὴς ἡ δὲ ψευδής, ἢ ἄμφω ψευδεῖς. καὶ εἰ ἡ μὲν ἀληθὴς ἡ δὲ ψευδής, ἢ ἡ μείζων ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής, ἢ ἡ μείζων ἀληθὴς ἡ δὲ ἐλάττων ψευδής. καὶ εἰ ἡ μείζων ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής, ἢ ὅλη ψευδὴς ἡ μείζων ἡ δὲ ἐλάττων ἀληθής, καὶ συνάγει ἢ καταφατικὸν ἢ ἀποφατικόν, ἢ ἡ μείζων ἐπί τι ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής, καὶ συνάγει ἢ καταφατικὸν ἢ ἀποφατικόν. εἰ δὲ ἡ μείζων ἀληθὴς ἡ δὲ ἐλάττων ψευδής, οὐ δύναται ἡ ἐλάττων ὅλη ψευδὴς ληφθῆναι· εἰ γὰρ ληφθῇ ὅλη, ἢ καταφατικὴ λαμβάνεται ἢ ἀποφατική· καὶ εἰ ἀποφατικὴ ληφθῇ ἡ ἐλάττων, ἀσυλλόγιστος ἐν πρώτῳ σχήματι· εἰ δὲ κατα-

5 γίνεσθαι t: γίνεται U 14 ante φρόνησις add. ἡ t 17 ἀπαραλήπτως t
18 ante lemma add. οὔτε φρονήσει οὐδεμιᾷ ὑπάρχει οὔτε θεωρητικῇ U: τὸ γὰρ ζῶον οὔτε φρονήσει—ἦν ἀληθές (i. e. b12—16) lemma t 19 τῷ om. U 21 συμπεράσματα scripsi: συμπέρασμα BUt 22 ἢ prius om. U ἐστιν om. B
ἄμφω—23 ψευδής, ἢ om. t ψευδεῖς e ψευδὴς corr. U 23—25 ἢ ἡ μείζων ἀληθὴς—ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής om. B 24 ἀληθὴς—μείζων t: om. U
δὲ alt. t: om. U 25 ἢ ὅλη—ἀληθής om. U 26 ἢ tert. ex εἰ corr. U
δὲ om. U 27 συνάγει e συνάγεται corr. B² post δὲ add. εἴη U 30 ἀσυλλόγιστοι t post ἐν add. τῷ U εἰ ex ἡ corr. U

φατική, ἀνάγκη καὶ τὴν μείζονα καθόλου εἶναι, καὶ ἐκ δύο καθόλου προ- XCVII[v]
τάσεων καθόλου τὸ συμπέρασμα· ἀλλὰ νῦν περὶ τῶν μερικῶν. ὥστε ἡ 10
ἐλάττων ψευδὴς οὖσα οὐκ ἂν ληφθείη ὅλη διὰ τὰς εἰρημένας αἰτίας, ἀλλ'
ἐπί τι μόνως, καὶ γίνεται καταφατικὴ ἡ συζυγία ἢ ἀποφατική. εἰ δέ
5 εἰσιν ἄμφω ψευδεῖς, ἢ ἄμφω ἐπί τι, καὶ συνάγεται καταφατικὸν ἢ ἀπο-
φατικόν, ἢ ἡ μείζων ὅλη ψευδὴς ἡ δὲ ἐλάττων ἐπί τι, καὶ συνάγεται κατα-
φατικὸν ἢ ἀποφατικόν. ταύτας τὰς δέκα συζυγίας ἔχει διεξελθεῖν ὁ Ἀρι-
στοτέλης δεικνὺς ὅτι ἐκ ψευδῶν ἀληθὲς συνάγεται.

p. 54b17 Ἐπὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν ἐνδέχεται καὶ τῆς
10 πρώτης προτάσεως ὅλης οὔσης ψευδοῦς.

Φησὶν ὅτι ⟨ἐπὶ⟩ τῶν ἐπὶ μέρους συλλογισμῶν ἐνδέχεται τῆς μείζονος ὅλης ψευδοῦς οὔσης τῆς δὲ ἐλάττονος ἀληθοῦς, ἢ καὶ ἐπί τι ψευδοῦς οὔσης τῆς μείζονος ὁμοίας μενούσης τῆς ἐλάττονος, ἢ πάλιν τῆς μείζονος ἀληθοῦς τῆς δὲ ἐλάττονος ψευδοῦς ἐπί τι, ἢ καὶ τῆς μείζονος ψευδοῦς
15 καὶ τῆς ἐλάττονος ἐπί τι * * * ψευδοῦς ἀληθὲς συναχθῆναι συμπέρασμα. 20

p. 54b21 Οὐδὲν γὰρ κωλύει τὸ Α τῷ μὲν Β μηδενὶ ὑπάρχειν τῷ
δὲ Γ τινί, καὶ τὸ Β τῷ Γ τινὶ ὑπάρχειν.

Λέγει πρῶτον περὶ τῆς μερικῆς καταφατικῆς τῆς γινομένης ἐκ τῆς μεί- 25
ζονος ὅλης ψευδοῦς τῆς δὲ ἐλάττονος ἀληθοῦς, ὅτι οὐδὲν κωλύει κατ'
20 ἀλήθειαν τὸ Α μηδενὶ τῷ Β ὑπάρχειν τῷ δὲ Γ τινί, ὁμοίως καὶ τὸ
Β τῷ Γ τινὶ ὑπάρχειν· μεταληφθείσης ⟨γὰρ⟩ τῆς μείζονος εἰς ὅλην ψευδῆ
ἀληθὲς ἔσται συμπέρασμα. οἷον ζῷον οὐδεμιᾷ χιόνι κατ' ἀλήθειαν·
ληφθείη δὲ ὡς ὅλη ψευδής, καὶ γίνεται ὅτι ζῷον πάσῃ χιόνι· χιὼν τινὶ
λευκῷ· καὶ ὅμως ζῷον τινὶ λευκῷ ὑπάρχει. εἰδέναι δὲ νῦν τοῦτο δεῖ, ὅτι
25 ἡ ἐλάττων, ὅτε λαμβάνεται ἐπί τι, διὰ τὴν κατηγορίαν λαμβάνεται, οὐ διὰ τὴν 30
ὕπαρξιν· πολλάκις ἐλέγομεν γὰρ ὅτι ἐπί τι ψευδῆ ἐκείνην λέγει τὴν ἔχουσαν
τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθές· οἷον 'τὶς ἄνθρωπος πτερωτός' ἐπί τι
ψευδής, ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθές. ἐπί τι δὲ λέγομεν ψευδές,
οὐχ ὅτι ἐπὶ τινῶν μὲν ἀληθεύει, ἐπὶ τινῶν δὲ ψεύδεται (οὔτε γὰρ ὅλως
30 εἴς τις πτερωτός), ἀλλὰ ἐπί τι ψευδὴς λέγεται διὰ τὸ ἀληθεύειν τὴν ἀντί-
φασιν. ὥστε νῦν λαμβάνομεν ἐπί τι ψευδῆ τὴν ἐλάττω πρότασιν διὰ τὴν
κατηγορίαν, οὐ διὰ τὴν ὕπαρξιν.

---

2 τῶν om. U 3 ληφθῆ Bt 4 ἐπί τι μόνως Bt: ἐπὶ μέρους U ἡ συζυγία om. U
5 ἢ prius om. U 6 ἡ δὲ t: ἢ ἡ B: ἡ U 9 ἐνδέχεται κτλ. om. B 10 ψευδοῦς
οὔσης t 11 ἐπὶ prius addidi 12 ἢ om. U 13 post οὔσης del. τῆς δ' ἐλάττονος ἀληθοῦς U μὲν οὔσης BUt 15 lac. indicavi; supple ἢ τῆς μείζονος ὅλης ψευδοῦς τῆς δὲ ἐλάττονος ἐπί τι cf. p. 402,11 16 μηδενὶ τῷ β U 17 τινὶ τῷ γ' t
21 γὰρ addidi 22 post ἔσται add. τὸ B 24 δὲ om. Bt 26 πολλάκις] p. 394,12
396,12 27 οἷον—28 ἀληθές om. B 29 post ὅτι ἐπί add. τι λέγομεν ψευδὲς ὅτι ἐπί U ἀληθὲς pr. U 30 ἀπτέρωτος U an ψευδὲς? 31 λαμβάνομεν U: λαμβάνει μὲν Bt ἐλάττονα t

p. 54b27 Ὁμοίως δὲ καὶ στερητικῆς οὔσης τῆς ΑΒ προτά- XCVII[v]
σεως· ἐγχωρεῖ γὰρ τὸ Α τῷ μὲν Β ὅλῳ ὑπάρχειν τῷ δὲ Γ 35
τινὶ μὴ ὑπάρχειν.

Εἰρηκὼς περὶ τῆς καταφατικῆς νῦν λέγει περὶ τῆς ἀποφατικῆς, ὅτι 40
5 ἐνδέχεται μὲν κατὰ ἀλήθειαν τὸ Α παντὶ τῷ Β ὑπάρχειν καὶ τὸ Β τινὶ τῷ Γ. ἀλλὰ μεταληφθήτω ἡ ΑΒ εἰς ὅλην ψευδῆ ὥστ' εἶναι τὸ Α οὐδενὶ τῷ Β· οἷον τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ· ἰδοὺ ὅλη ψευδής· ἄνθρωπος τινὶ λευκῷ· καὶ ὅμως ζῷον τινὶ λευκῷ. οὕτως καὶ τὸ μερικὸν ἀποφατικὸν ἀληθὲς συνάγεται ἐκ τῆς μείζονος ὅλης ψευδοῦς τῆς δὲ ἐλάττονος ἀληθοῦς.

10 p. 54b35 Καὶ εἰ ἐπί τι ψευδὴς ἡ ΑΒ πρότασις, ἔσται τὸ συμπέρασμα ἀληθές.

Ἐπλήρωσε περὶ τῶν δύο συζυγιῶν τῶν ἐχουσῶν τὴν μείζονα ὅλην ψευδῆ τὴν δὲ ἐλάττονα ἀληθῆ· νῦν λέγει περὶ τῶν ἐχουσῶν τὴν μείζω ἐπί τι ψευδῆ τὴν δὲ ἐλάττονα ἀληθῆ. καὶ πρῶτον τὸ καταφατικὸν συνάγει 50
15 οὕτως· οἷον τὸ ζῷον παντὶ καλῷ· ἰδοὺ ἐπί τι ψευδής, ἐπειδὴ τινὶ καλῷ ὑπάρχει, νῦν δὲ παντὶ ἐλάβομεν· καλὸν τινὶ μεγάλῳ· καὶ ὅμως ζῷον τινὶ μεγάλῳ. οὕτως τὸ καταφατικὸν συνάγεται ἐκ τῆς μείζονος ἐπί τι ψευδοῦς τῆς δὲ ἐλάττονος ἀληθοῦς.

p. 55a2 Ὁμοίως δὲ καὶ στερητικῆς οὔσης τῆς ΑΒ προτάσεως. |

20 Δι' ὧνπερ καὶ ἡ καταφατικὴ συνήχθη, διὰ τῶν αὐτῶν ὅρων XCVIII[r]
δείκνυται καὶ ἡ ἀποφατική· τὸ ζῷον οὐδενὶ καλῷ ἐπί τι ψευδής· καλὸν τινὶ μεγάλῳ· καὶ ζῷον οὐ παντὶ μεγάλῳ.

p. 55a4 Πάλιν εἰ ἡ μὲν ΑΒ ἀληθὴς ἡ δὲ ΒΓ ψευδής, ἀληθὲς ἔσται τὸ συμπέρασμα.

25 Εἰρηκὼς περὶ τῶν συζυγιῶν τῶν ἐχουσῶν τὴν μείζονα ἤτοι ὅλην ψευδῆ ἢ ἐπί τι νῦν λέγει περὶ τῶν ἐχουσῶν τὴν μείζονα ἀληθῆ τὴν δὲ ἐλάττονα ψευδῆ ἐπί τι. ὡς γὰρ εἰρήκαμεν, ὅλην ψευδῆ τὴν ἐλάττω λαβεῖν οὐκ ἐνδέχεται ἐπὶ τῶν τὰ μερικὰ συναγουσῶν συζυγιῶν, ἐπεὶ γίνεται ἡ ἐλάττων καθόλου, ἤτοι [δὲ] καταφατικὴ ἢ ἀποφατική, καὶ οὐ ποιεῖ μερικὸν 10

---

1 post οὔσης add. ὅλης B (B u) 1. 2 τῆς προτάσεως τῆς ᾱ β̄ U 2 τὸ δὲ Bt
5 ὑπάρχειν om. Ut 8. 9 καταφατικὸν συνάγεται ἀληθὲς B 10 εἰ om. U
post πρότασις add. τῆς β' γ' ἀληθοῦς οὔσης t 12 ἐχόντων Ut itemque vs. sq.
13 ἐλάττω B itemque vs. sq. post νῦν add. δὲ U 13. 14 ἐπί τι in ras. U
14 πρώτως B 17 τὸ om. U 20 δι' ὧν καὶ πρότερον(?) καὶ ἡ U 20. 21 δείκνυται διὰ τῶν αὐτῶν ὅρων U 21 καλῷ Ut: λευκῷ B 27 εἰρήκαμεν] p. 398,27 sq.
ἐλάττονα (ante λαβεῖν) t 28 συναγόντων Ut 29 δὲ, quod non liquet in U, delevi

συλλογισμόν. ὥστε τὴν ἐλάττονα ἐπί τι ψευδῆ λαμβάνει κατὰ τὴν XCVIII[r]
κατηγορίαν, οὐ κατὰ τὴν ὕπαρξιν, ἐπειδὴ [γὰρ] ἐκείνην ἐλέγομεν ἐπί τι ψευδῆ
τὴν ἔχουσαν τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθές. εἰ τύχοι, οὖν καὶ ἐπί
τινων ὅλην ψευδῆ λαμβάνει, εἰ καὶ ὅλως μὴ ὑπάρχει. ἀλλ' ὅμως ἐπειδὴ
5 τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθεύει, κατὰ τὴν κατηγορίαν ἐπί τι ψευδῆς
ἀκούει. καὶ πρῶτον συνάγει τὸ καταφατικὸν οὕτως· τὸ ζῷον παντὶ κύκνῳ·
κύκνος τινὶ μέλανι ἐπί τι ψευδὴς οὐ διὰ τὴν ὕπαρξιν ἀλλὰ διὰ τὴν κατη- 15
γορίαν, ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθές· καὶ ὅμως ζῷον τινὶ μέλανι.
οὕτως τὸ καταφατικὸν συνάγεται.

10 p. 55a10 Ὁμοίως δὲ καὶ στερητικῆς λαμβανομένης τῆς ΑΒ προτάσεως.

Συνάγεται δὲ τὸ ἀποφατικὸν τῆς μείζονος ἀληθοῦς οὔσης τῆς δὲ 20
ἐλάττονος ἐπί τι ψευδοῦς οὕτως· ζῷον οὐδενὶ ἀριθμῷ· ἀριθμὸς τινὶ λευκῷ
ἐπί τι ψευδὴς κατὰ τὴν κατηγορίαν, ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον
15 ἀληθὲς τὸ λέγον 'ἀριθμὸς οὐδενὶ λευκῷ'. [εἰ] οὐκοῦν ζῷον οὐδενὶ ἀριθμῷ,
ἀριθμὸς δὲ τινὶ λευκῷ, καὶ ὅμως ζῷον οὐ παντὶ λευκῷ.

p. 55a15 Ὁ δὲ ἀριθμὸς οὐδενὶ λευκῷ.

Ἀριθμὸς οὐδενὶ λευκῷ κατὰ ἀλήθειαν. εἶτα λαμβάνεται ὅτι τινί,
καὶ γίνεται ἐπί τι ψευδής.

20 p. 55a19 Καὶ εἰ ἐπί τι ψευδὴς ἡ ΑΒ, ψευδὴς δὲ καὶ ἡ ΒΓ.

Εἰρηκὼς περὶ τῶν συζυγιῶν τῶν ἐκ τῆς μὲν ψευδοῦς τῆς δὲ ἑτέρας
ἀληθοῦς νῦν λέγει περὶ τῶν ἄμφω ψευδῶν, καὶ πρῶτον περὶ τῶν ἄμφω 30
καὶ ἐπί τι τὸ μερικὸν καταφατικὸν συναγουσῶν.

p. 55a20 Οὐδὲν γὰρ κωλύει τὸ Α τινὶ τῷ Β καὶ τῷ Γ τινὶ ὑπάρχειν
25 ἑκατέρῳ.

Λέγει πρῶτον περὶ τῶν ἄμφω ἐπί τι ψευδῶν συναγουσῶν μερικὸν
καταφατικόν. ἀλλὰ ἡ μείζων ἐπί τι ψευδὴς κατὰ τὴν ὕπαρξιν, ἡ δὲ ἐλάτ-
των ἐπί τι ψευδὴς κατὰ τὴν κατηγορίαν οὕτως· ζῷον παντὶ λευκῷ ἐπί τι 35
ψευδὴς κατὰ τὴν ὕπαρξιν, λευκὸν τινὶ μέλανι ἐπί τι ψευδὴς κατὰ τὴν
30 κατηγορίαν, καὶ ὅμως ζῷον τινὶ μέλανι.

---

1 ἐλάτω B 2 γὰρ delevi 14 ἐπί τι—16 τινὶ λευκῷ om. B 15 ἀληθὲς τὸ λέγον t: ἀληθὴς ἡ λέγουσα U εἰ delevi 16 δὲ t: om. U ὁμοίως B 17 ὁ δὲ ἀριθμὸς U Arist.: καὶ ὁ ἀριθμὸς Bt 18 λαμβάνει B 20 ante καὶ εἰ add. καὶ ἡ μὲν α β πρότασις ἀληθής, ἡ δὲ β γ ψευδής Ut 21 post συζυγιῶν add. περὶ U 23 συναγόντων U 24 τῷ β τινὶ t Arist. 26 συναγόντων pr. U 29. 30 ἐπί τι—μέλανι om. B

p. 55a23 Τὸ γὰρ ζῷον τινὶ λευκῷ καὶ τινὶ μέλανι ὑπάρχει. XCVIIIr

Τὸ ζῷον τινὶ λευκῷ καὶ τινὶ μέλανι, καὶ τὸ λευκὸν οὐδενὶ μέλανι κατὰ ἀλήθειαν. ἐὰν οὖν ποιήσωμεν ἀμφοτέρας τὰς προτάσεις ἐπί τι ψευδεῖς, ἔσται τὸ συμπέρασμα ἀληθές· οἷον ζῷον παντὶ λευκῷ ἀντὶ τοῦ τινί, λευκὸν τινὶ μέλανι ἀντὶ τοῦ οὐδενί. οὕτως ἔσται συμπέρασμα. οὕτω καὶ εἰ ἐπὶ τῆς ἀποφατικῆς λάβωμεν τὸ συμπέρασμα· ζῷον οὐδενὶ λευκῷ, λευκὸν τινὶ μέλανι, καὶ ζῷον οὐ παντὶ μέλανι.

p. 55a28 Καὶ ἀμφοτέρων δὲ ψευδῶν οὐσῶν ἔσται τὸ συμπέρασμα ἀληθές.

Εἰρηκὼς περὶ τῶν συζυγιῶν τῶν ἄμφω ἐπί τι ψευδῶν νῦν λέγει περὶ τῶν ἐκ τῆς μείζονος ὅλης ψευδοῦς τῆς δὲ ἐλάττονος ἐπί τι ψευδοῦς συναγουσῶν πρώτως τὸ καταφατικὸν οὕτως· ζῷον παντὶ ἀριθμῷ, ἀριθμὸς τινὶ λευκῷ, καὶ ζῷον τινὶ λευκῷ.

p. 55a32 Ζῷον γὰρ ἀριθμῷ μὲν οὐδενὶ λευκῷ δὲ τινὶ ὑπάρχει.

Τὸ ζῷον οὐδενὶ ἀριθμῷ κατὰ ἀλήθειαν· ὅλη δὲ ψευδὴς γίνεται μεταληφθεῖσα, ὅτι τὸ ζῷον παντὶ ἀριθμῷ· ἀριθμὸς οὐδενὶ λευκῷ κατὰ ἀλήθειαν· ἐπί τι δὲ ψευδὴς γίνεται, εἰ ληφθείη ὅτι ἀριθμὸς τινὶ λευκῷ.

p. 55a36 Ὁμοίως δὲ καὶ στερητικῆς οὔσης τῆς ΑΒ· οὐδὲν γὰρ κωλύει τὸ Α τῷ μὲν Β ὅλῳ ὑπάρχειν τῷ δὲ | Γ τινὶ μὴ ὑπάρχειν. XCVIIIv

Εἰρηκὼς τὴν καταφατικήν, ὅπως συνάγει, λέγει νῦν τὴν ἀποφατικήν. συνάγεται δὲ οὕτως· ζῷον οὐδενὶ κύκνῳ ὅλη ψευδής· κύκνος τινὶ μέλανι ἐπί τι ψευδής· καὶ ζῷον οὐ παντὶ μέλανι.

p. 55b3 Ἐν δὲ τῷ μέσῳ σχήματι πάντως ἐγχωρεῖ διὰ ψευδῶν ἀληθὲς συλλογίσασθαι.

Πληρώσας τὸ πρῶτον σχῆμα νῦν ἦλθεν ἐπὶ τὸ δεύτερον δεικνὺς ὅτι καὶ ἐν τῷ δευτέρῳ σχήματι ἐνδέχεται ἐκ ψευδῶν ἀληθὲς συνάξαι. λαμβάνει δὲ ἐκ διαιρέσεως οὕτως· τῶν ἐκ ψευδῶν τἀληθῆ καὶ καθόλου συμπεράσματα συναγουσῶν συζυγιῶν ἐν δευτέρῳ σχήματι ἢ ἐξ ἄμφω ψευδῶν

---

4 ζῷον om. Ut 5 post ἔσται add. τὸ t 6 εἰ om. Bt τῆς om. U
8 κἂν U ψευδῶν οὐσῶν corr. e ψευδοῦς U 10 post συζυγιῶν add. περὶ U
11 τῶν scripsi: τῆς libri 11. 12 συναγόντων U 12 post οὕτως add. τοῦ U
14 λευκὸν pr. U, corr. U² 20 συνάγειν δεῖ λέγει U 23 σχῆμα δεύτερον inscr. B: περὶ τοῦ β̄ σχήματος U 25 πληρώσας περὶ τοῦ πρώτου σχήματος U 27 post οὕτως add. similia iis, quae sequuntur usque ad p. 403,22 ἡ δ' ἐλάττων καταφατική, U (cf. Praef.) 27. 28 συμπεράσματα t: συμπέρασμα BU

εἰσιν, ἢ ἐκ τῆς μὲν ψευδοῦς τῆς δὲ ἀληθοῦς. καὶ εἰ ἐξ ἄμφω ψευδῶν, XCVIII
ἢ ἀμφοτέρων ὅλων ψευδῶν οὐσῶν, καὶ ἢ τῆς μείζονος ἀποφατικῆς τῆς δὲ 15
ἐλάττονος καταφατικῆς, ἢ τῆς μείζονος καταφατικῆς τῆς δὲ ἐλάττονος ἀπο-
φατικῆς· ἢ ἀμφοτέρων ἐπί τι, καὶ ἢ τῆς μείζονος ἀποφατικῆς τῆς δὲ ἐλάτ-
5 τονος καταφατικῆς, ἢ τῆς μείζονος καταφατικῆς τῆς δὲ ἐλάττονος ἀποφατικῆς·
ἢ τῆς μὲν ὅλης τῆς δὲ ἐπί τι· καὶ τοῦτο διχῶς· ἢ ἡ μείζων ὅλη ἡ δὲ
ἐλάττων ἐπί τι, ἢ ἔμπαλιν· καὶ κατὰ ἄμφω τούτων ἤτοι ἡ μείζων κατα-
φατικὴ ἡ δὲ ἐλάττων ἀποφατική, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων
καταφατική. καὶ εἰ ἐκ τῆς μὲν ψευδοῦς τῆς δὲ ἀληθοῦς, ἢ ἐπί τι ψευδοῦς 20
10 ἢ ὅλης ψευδοῦς. καὶ εἰ ἐπί τι ψευδοῦς, ἤτοι ἡ μείζων ἐπί τι ψευδὴς ἡ
δὲ ἐλάττων ἀληθής, ἢ ἡ μείζων ἀληθὴς ἡ δὲ ἐλάττων ἐπί τι ψευδής.
καὶ εἰ ὅλης ψευδοῦς, ἢ ἡ μείζων ὅλη ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής, ἢ ἡ
μείζων ἀληθὴς ἡ δὲ ἐλάττων ὅλη ψευδής. καὶ εἰ μὲν ἡ μείζων ὅλη
ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής, ἤτοι ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων
15 καταφατική, ἢ ἡ μείζων καταφατικὴ ἡ δὲ ἐλάττων ἀποφατική. εἰ δὲ εἴη
ἡ μείζων ἐπί τι ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής, ἤτοι ἡ μείζων ἀποφατικὴ 25
ἡ δὲ ἐλάττων καταφατική, ἢ ἡ μείζων καταφατικὴ ἡ δὲ ἐλάττων ἀπο-
φατική. εἰ δὲ εἴη ἡ μείζων ἀληθὴς ἡ δὲ ἐλάττων ὅλη ψευδής, ἤτοι ἡ
μείζων καταφατικὴ ἡ δὲ ἐλάττων ἀποφατική, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ
20 ἐλάττων καταφατική. εἰ δὲ εἴη ἡ μείζων ἀληθὴς ἡ δὲ ἐλάττων ἐπί τι
ψευδής, ἤτοι ἡ μείζων καταφατική ἐστιν ἡ δὲ ἐλάττων ἀποφατική, ἢ ἡ
μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική. ταύτας τὰς δώδεκα συζυγίας
τὰς μὲν διέξεισι τὰς δὲ οὔ, ὡς ἐν τῇ λέξει σαφῶς ἐπιδείξομεν.

p. 55b10 Εἰ γὰρ τὸ Α τῷ μὲν Β μηδενὶ ὑπάρχει τῷ δὲ Γ παντί. 30

25 Πρῶτον δείκνυσι τὴν ἐξ ἀμφοτέρων τῶν προτάσεων ὅλων ψευδῶν ἀληθὲς
συνάγουσαν. οἷον ἐὰν ᾖ, φησί, τὸ Α τῷ μὲν Β μηδενὶ τῷ δὲ Γ παντὶ
κατ' ἀλήθειαν, εἶτα ἐὰν ἐναντίως λάβῃς, ποιεῖς ἀληθὲς συμπέρασμα ἐξ ὅλων
ψευδῶν, τῆς μὲν μείζονος καταφατικῆς τῆς δὲ ἐλάττονος ἀποφατικῆς· οἷον 35
ζῷον παντὶ λίθῳ· ἰδοὺ ὅλη ψευδής· ζῷον οὐδενὶ ἀνθρώπῳ· ἰδοὺ ὅλη
30 ψευδής· καὶ συμπέρασμα ἀληθὲς ὅτι λίθος οὐδενὶ ἀνθρώπῳ.

p. 55b14 Ὁμοίως δὲ καὶ εἰ τῷ μὲν Β παντὶ τῷ δὲ Γ μηδενὶ ὑπάρχει τὸ Α.

Ἔδειξε πρῶτον τῆς μείζονος καταφατικῆς ὅλης ψευδοῦς οὔσης καὶ τῆς

---

1 ἐστιν U ἀμφοτέρων t 2 ὅλων om. U ἢ alt Bt: ἐπὶ U 3 post καταφατικῆς prius add. καὶ U 4. 5 ἢ ἀμφοτέρων—ἀποφατικῆς om. B 5 καταφατικῆς alt.—ἀποφατικῆς t: ἀποφατικῆς (ἀπο in ras. U²)—καταφατικῆς (κατα in ras. U²) U 7 ἐλάττονος t ἢ ἔμπαλιν om. U ἢ ἡ U 9 ἀποφατική B pr. 10 ante ἤτοι add. ἢ U 13 ὅλη prius om. B εἰ ἡ μὲν Ut 16 ἡ μείζων alt.] ἡ μ in ras. U² 17. 18 ἀποφατική] ἀπο in ras. U² 19 post καταφατικὴ add. ἐστιν B 21 ἤτοι—ἢ scripsi: ἢ—ἤτοι Bt: ἢ—ἢ U 23 ἐπιδείξωμεν t 24 post α add. μὲν U 26 ἐὰν ἢ φησι om. Bt cf. p. 414,19. 20 27 λάβοις U 29. 30 ζῶον οὐδενὶ—ψευδής mrg. U 33 post πρῶτον add. ὅτι U

ἐλάττονος ἀποφατικῆς ὅλης ψευδοῦς πῶς συνάγεται ἀληθὲς συμπέρασμα. XCVIIIv
νῦν δὲ δείκνυσι, τῆς μείζονος ἀποφατικῆς οὔσης ὅλης ψευδοῦς καὶ τῆς 40
ἐλάττονος καταφατικῆς ὅλης ψευδοῦς πῶς συνάγεται ἀληθές, οὕτως· εἰ
κατὰ ἀλήθειαν τὸ Α παντὶ τῷ Β τῷ δὲ Γ οὐδενί, ἐὰν ἀντιστραφῶσι καὶ
5 γένωνται ψευδεῖς, ἀληθὲς γίνεται τὸ συμπέρασμα· οἷον τὸ ζῷον οὐδενὶ
ἀνθρώπῳ ὅλη ψευδής· τὸ ζῷον παντὶ λίθῳ ὅλη ψευδής· καὶ ὅμως
ἄνθρωπος οὐδενὶ λίθῳ· ἰδοὺ τὸ συμπέρασμα ἀληθές.

p. 55b16 Πάλιν εἰ εἴη ἡ μὲν ἑτέρα ὅλη ψευδὴς ἡ δὲ ἑτέρα ὅλη 45
ἀληθής.

10 Εἰρηκὼς περὶ τῶν ἄμφω ψευδῶν νῦν λέγει περὶ τῶν τὴν μὲν ψευδῆ 50
τὴν δὲ ἀληθῆ ἐχουσῶν, καὶ λαμβάνει ψευδῆ τὴν μείζονα ἀληθῆ δὲ τὴν
ἐλάττονα. καὶ πρῶτον λαμβάνει τὴν μείζονα ψευδῆ καὶ ἀποφατικὴν τὴν
δὲ ἐλάττονα ἀληθῆ καὶ καταφατικὴν οὕτως· τὸ ζῷον κατὰ μὲν ἀλήθειαν καὶ
ἀνθρώπῳ καὶ ἵππῳ παντί· εἰ ληφθῇ οὖν ἡ μείζων ψευδὴς καὶ γένηται
15 οὐδενί, γίνεται ἀληθὲς συμπέρασμα· οἷον τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ, τὸ
ζῷον παντὶ ἵππῳ, καὶ ἄνθρωπος οὐδενὶ ἵππῳ. ὁμοίως δὲ καὶ τῆς ἐλάττονος
ψευ|δοῦς οὔσης οἱ αὐτοὶ ἁρμόζουσιν ὅροι. ἰστέον δὲ ὅτι ἀπεσιώπησε XCIXr
τὴν ἐκ τῆς μείζονος ψευδοῦς καταφατικῆς τῆς δὲ ἐλάττονος ἀληθοῦς ἀπο-
φατικῆς καὶ τὴν ἐκ τῆς μείζονος ἀληθοῦς καταφατικῆς τῆς δὲ ἐλάττονος
20 ψευδοῦς ἀποφατικῆς.

p. 55b23 Καὶ εἰ ἡ ἑτέρα ἐπί τι ψευδής, ἡ δὲ ἑτέρα ὅλη ἀληθής·
ἐγχωρεῖ γὰρ τὸ Α τῷ μὲν Β τινὶ ὑπάρχειν τῷ δὲ Γ παντί.

Ἐπλήρωσε περὶ τοῦ εἶναι τὴν μὲν ὅλην ψευδῆ τὴν δὲ ὅλην ἀληθῆ. 10
νῦν λαμβάνει τὴν μὲν ὅλην ἀληθῆ τὴν δὲ ἐπί τι ψευδῆ, καὶ πρῶτον τὴν
25 μείζονα ἐπί τι ψευδῆ καὶ ἀποφατικὴν τὴν δὲ ἐλάττονα ἀληθῆ καὶ κατα-
φατικὴν οὕτως· τὸ ζῷον οὐδενὶ λευκῷ ἐπί τι ψευδής· τὸ ζῷον παντὶ
κόρακι ὅλη ἀληθής· καὶ ὅμως λευκὸν οὐδενὶ κόρακι. καὶ μετατιθεμένων
τῶν προτάσεων καὶ γινομένων τῆς μὲν μείζονος ἐπί τι ψευδοῦς καταφατικῆς
τῆς δὲ ἐλάττονος ὅλης ἀληθοῦς ἀποφατικῆς ἀληθὲς γίνεται συμπέρασμα·
30 οἷον τὸ ζῷον παντὶ λευκῷ, τὸ ζῷον οὐδεμιᾷ ἐπιστήμῃ, καὶ λευκὸν οὐδε- 15
μιᾷ ἐπιστήμῃ. ἢ οὕτως μετατιθεμένου τοῦ στερητικοῦ, ἵνα γένηται ἡ
μείζων καταφατικὴ ἀληθής, ἡ δὲ ἐλάττων ἐπί τι ψευδὴς ἀποφατική,
καὶ συνάγεται ὅτι τὸ ζῷον παντὶ μὲν κόρακι οὐδενὶ δὲ λευκῷ, καὶ κόραξ
οὐδενὶ λευκῷ.

---

8 εἴη om. t Arist. ὅλη ψευδὴς B Arist.: inv. ord. Ut 10 ἀμφοτέρων pr. U
11 ἐχουσῶν scripsi: ἐχόντων BUt 13 ἀποφατικὴ B 14 ἀνθρώπων t
ληφθείη U 16 post ἐλάττονος add. ὅλης Ut 17 ὅροι om. Bt
19. 20 καὶ—ἀποφατικῆς om. U ἀποφατικῆς—καταφατικῆς falso coniecit Waitz Organ.
I 29 23 εἶναι] εἶν in ras. U ὅλη (post μὲν) U 29 ἀληθὴς (ante γίν.) Ut
33 συνάγει U ὅτι om. U καὶ alt. add. U² ante κόραξ add. ὁ U

p. 55b32 Οὐδὲν γὰρ κωλύει τὸ Α τῷ μὲν Β τινὶ ὑπάρχειν τῷ δὲ Γ ὅλῳ μὴ ὑπάρχειν. XCIXr

Ἔλαβε πρῶτον τὴν μὲν ἀποφατικὴν ὅλην ἀληθῆ τὴν δὲ καταφατικὴν ἐπί τι ψευδῆ καὶ τὴν μείζονα καταφατικὴν τὴν δὲ ἐλάττονα ἀποφατικὴν οὕτως· τὸ ζῷον παντὶ λευκῷ ἐπί τι ψευδής· τὸ ζῷον οὐδεμιᾷ πίττῃ ὅλη ἀληθής· καὶ λευκὸν οὐδεμιᾷ πίττῃ. οὕτως. εἰ εἴη ἡ μὲν ὅλη ἀληθὴς ἡ δὲ ἐπί τι ψευδής. ἀπεσιώπησε δὲ πάλιν τὴν ἐκ τῆς μείζονος ἀληθοῦς ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς ἐπί τι ψευδοῦς.

p. 55b38 Καὶ εἰ ἀμφότεραι αἱ προτάσεις ἐπί τι ψευδεῖς, ἔσται τὸ συμπέρασμα ἀληθές.

Πληρώσας περὶ τῶν συζυγιῶν τῶν ἐκ τῆς μὲν ἀληθοῦς τῆς δὲ ψευδοῦς, καὶ ταύτης ἤτοι ὅλης ἢ ἐπί τι, νῦν λέγει περὶ τῶν ἄμφω ἐπί τι ψευδῶν, καὶ πρῶτον τῆς μείζονος καταφατικῆς τῆς δὲ ἐλάττονος ἀποφατικῆς οὕτως· τὸ ζῷον παντὶ λευκῷ, τὸ ζῷον οὐδενὶ μέλανι, καὶ ὅμως λευκὸν οὐδενὶ μέλανι. καὶ τῆς μείζονος ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς οὔσης ὅροι οἱ αὐτοὶ ἁρμόσουσι· ζῷον οὐδενὶ λευκῷ, τὸ ζῷον παντὶ μέλανι, καὶ λευκὸν οὐδενὶ μέλανι. οὕτω καὶ περὶ τῶν ἄμφω ἐπί τι ψευδῶν οὐσῶν καὶ συναγουσῶν τὸ ἀληθές.

p. 56a5 Φανερὸν δὲ καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν· οὐδὲν γὰρ κωλύει τὸ Α τῷ μὲν Β παντί.

Πληρώσας περὶ τῶν τὸ καθόλου συναγόντων ἐν δευτέρῳ σχήματι νῦν λέγει καὶ περὶ τῶν τὰ μερικά. καὶ φησὶν ὅτι τῶν τὰ μερικὰ συναγόντων συμπεράσματα ἐν δευτέρῳ σχήματι ἢ ἄμφω ψευδεῖς ἢ ἡ μὲν ψευδὴς ἡ δὲ ἀληθής· καὶ εἰ ἄμφω ψευδεῖς, ἢ ἡ μείζων ψευδὴς ὅλη ἡ δὲ ἐλάττων ἐπί τι, ἢ καὶ ἡ μείζων καὶ ἡ ἐλάττων ἐπί τι ψευδεῖς· ὅλην γὰρ ψευδῆ τὴν ἐλάττονα οὐ δυνάμεθα εἰπεῖν διὰ τὸ μερικόν. καὶ εἰ ἄμφω ἐπί τι, ἢ ἡ μείζων καταφατικὴ ἡ δὲ ἐλάττων ἀποφατική, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική. εἰ δὲ ἡ μείζων ὅλη εἴη ψευδὴς ἡ δὲ ἐλάττων ἐπί τι, ἢ ἡ μείζων καταφατικὴ ἡ δὲ ἐλάττων ἀποφατική, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική. εἰ δὲ ἡ μὲν ἀληθὴς ἡ δὲ ψευδής, ἢ ἡ μείζων ἀληθὴς ἡ δὲ ἐλάττων ψευδὴς καὶ ἐξ ἀνάγκης ἐπί τι,

2 post ὑπάρχειν add. καὶ τὸ β̄ μηδενὶ τῷ γ̄. οἷον ζῶον λευκὸν μὲν τινί, πίττῃ δὲ μηδεμιᾷ U 6 ἀληθής e corr. B εἰ om. Bt 8 δὲ om. U 12 ἢ Bt: ἤτοι U τι prius Bt: τινα, om. νῦν U 13 πρώτως B τῆς μείζονος καταφατικῆς τῆς δὲ ἐλάττονος ἀποφατικῆς scripsi cf. p. 407,7: τὴν μείζονα καταφατικὴν τὴν δὲ ἐλάττονα ἀποφατικὴν BUt 14. 15 μέλανι οὐδενὶ λευκόν U 16 post ζῶον alt. add. οὐ t 17 post ἄμφω add. καὶ Ut 18 συναγόντων pr. U 19 δὲ t Arist.: οὖν BU 22 τῶν alt.] ν superscr. B τὰ alt. om. B 23 συμπερασμάτων U 24 εἰ om. t ἡ alt. om. t post ψευδὴς add. ἢ U 25 καὶ prius om. U ψευδής B 26 εἰπεῖν οὐ δυνάμεθα U

καὶ ταύτης ἢ ἡ μείζων καταφατικὴ ἡ δὲ ἐλάττων ἀποφατική, ἢ ἡ μείζων XCIXr ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική. εἰ δὲ εἴη ἡ μείζων ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής, ἢ ψευδὴς ἐστιν ἡ μείζων ὅλη ἢ ἐπί τι. καὶ εἰ ἡ μείζων ὅλη ψευδὴς ἡ δ' ἐλάττων ἀληθής, ἢ ἡ μείζων καταφατικὴ ἡ δὲ ἐλάττων ἀποφατική, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική. εἰ δὲ ἡ μείζων ἐπί τι ψευδής, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική, ἢ ἡ μείζων καταφατικὴ ἡ δὲ ἐλάττων ἀποφατική. καὶ πρῶτον λέγει περὶ τῆς μείζονος ὅλης ψευδοῦς καὶ ἀποφατικῆς τῆς δὲ ἐλάττονος ἀληθοῦς καὶ καταφατικῆς οὔσης οὕτως· τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ, ζῷον τινὶ λευκῷ, καὶ ὅμως ἄνθρωπος οὐ | παντὶ λευκῷ. οὕτως ἐκ τῆς μείζονος οὔσης ἀποφατικῆς XCIXv ὅλης ψευδοῦς τῆς δὲ ἐλάττονος καταφατικῆς ἀληθοῦς ἀληθὲς τὸ συμπέρασμα.

Οὐδὲν γὰρ κωλύει τὸ Α τῷ μὲν Β παντί. πρῶτον λέγει τὰ κατὰ ἀλήθειαν ὑπάρχοντα, εἶτα μεταλαμβάνει τὴν μίαν εἰς ψευδῆ, τὴν μείζω.

p. 56a11 Ὡσαύτως δὲ καὶ καταφατικῆς λαμβανομένης τῆς ΑΒ.

Ἔλαβε τὴν μείζονα ἀποφατικὴν ὅλην ψευδῆ τὴν δὲ ἐλάττονα ἀληθῆ· νῦν λαμβάνει τὴν μείζονα καταφατικὴν ὅλην ψευδῆ. ἐγχωρεῖ μὲν γὰρ τὸ Α μηδενὶ τῷ Β κατὰ ἀλήθειαν· ἐὰν δὲ ληφθῇ παντί, εὑρίσκεται ὅλη ψευδὴς οὕτως· τὸ ζῷον παντὶ ἀψύχῳ· ἰδοὺ ὅλη ψευδής· τὸ ζῷον οὐ παντὶ λευκῷ· καὶ ὅμως ἄψυχον οὐ παντὶ λευκῷ.

p. 56a18 Καὶ τῆς μὲν καθόλου ἀληθοῦς τεθείσης τῆς δ' ἐν μέρει ψευδοῦς.

Ἔλαβε πρῶτον τὴν μείζονα ψευδῆ ὅλην· νῦν λαμβάνει τὴν μὲν μείζονα ἀληθῆ τὴν δὲ ἐλάττονα ψευδῆ ἐπί τι· μερικὴ γάρ ἐστι. καὶ πρῶτον λαμβάνει τὴν μείζονα ἀποφατικὴν ἀληθῆ τὴν δὲ ἐλάττω καταφατικὴν καὶ ἐπί τι ψευδῆ οὕτως· τὸ ζῷον οὐδενὶ ἀριθμῷ· ζῷον τινὶ ἀψύχῳ ψευδὴς ἐπί τι κατὰ τὴν κατηγορίαν, οὐ κατὰ τὴν ὕπαρξιν, διὰ τὸ τὴν ἀντίφασιν ἀληθῆ εἶναι· καὶ ὅμως ἀριθμὸς οὐ παντὶ ἀψύχῳ.

p. 56a25 Καὶ καταφατικῆς δὲ τῆς καθόλου τιθεμένης ὡσαύτως.

Ἔδειξεν ἐκ τῆς μείζονος ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς οὔσης ἀληθὲς συναγόμενον· νῦν δείκνυσιν ἐκ τῆς μείζονος καταφατικῆς ἀληθοῦς τῆς δὲ ἐλάττονος ἀποφατικῆς ἐπί τι ψευδοῦς, τουτέστι μερικῆς ἀποφατικῆς, ὅτι ἀληθὲς συνάγεται. οἷον τὸ ζῷον παντὶ ἀνθρώπῳ· τὸ ζῷον οὐ παντὶ πεζῷ ψευδὲς ἐπί τι κατὰ τὴν κατηγορίαν, οὐ κατὰ τὴν

---

3 ἢ ψευδής—4 ἀληθής iterat B ante ὅλη add. ἢ U 11 ἀληθοῦς καταφατικῆς U 11 τὸ om. t 12 γὰρ om. Bt τῷ μὲν β παντί om. B 12. 13 τὰ κατὰ ἀλήθειαν πρῶτον λέγει U 16 ἀποφατικὴν pr. B 20 post δὲ add. ἐλάττονος B 26 post τὴν alt. del. οὐ παντὶ ἀψύχῳ U 31 ἀληθεῖ t 33 ψευδὲς—p. 407,2 πεζῷ post p. 407,3 πεζῷ colloc. U an ψευδὴς? cf. vs. 25

ὕπαρξιν, διὰ τὸ ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ παντί· τὸ γὰρ XCIXᵛ
ζῷον παντὶ πεζῷ, ὥστε τὸ οὐ παντὶ ἐπί τι ψευδὲς διὰ τὴν κατηγορίαν·
καὶ ὅμως ἄνθρωπος οὐ παντὶ πεζῷ.

p. 56ᵃ32 Φανερὸν δὲ καὶ ὅτι ἐξ ἀμφοτέρων ψευδῶν ἀληθὲς ἔσται
τὸ συμπέρασμα.

Εἰρηκὼς περὶ τῶν ἐκ τῆς μὲν ψευδοῦς τῆς δὲ ἀληθοῦς νῦν λέγει περὶ τῶν ἐξ ἄμφω ψευδῶν, καὶ πρῶτόν γε τῆς μείζονος ὅλης ψευδοῦς τῆς δὲ ἐλάττονος ἐπί τι, καὶ ταύτης τῆς μείζονος ἀποφατικῆς, οὕτως· τὸ Α κατὰ ἀλήθειαν μὲν παντὶ τῷ τε Β καὶ τῷ Γ· ἀλλὰ ληφθήτω τῷ μὲν Β μηδενί, ἵνα ᾖ ὅλη ψευδής, τῷ δὲ Γ οὐ παντί, ἵνα ληφθῇ ἐπί τι, καὶ συνάγεται ἀληθὲς συμπέρασμα. οἷον τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ· τὸ ζῷον τινὶ ἀψύχῳ ἐπί τι ψευδὴς διὰ τὴν κατηγορίαν, οὐ διὰ τὴν ὕπαρξιν· καὶ ὅμως ἄνθρωπος οὐ παντὶ ἀψύχῳ· διὰ γὰρ τὴν οὐδεὶς ἀληθεύει καὶ τὸ οὐ πᾶς.

p. 56ᵃ37 Ὁμοίως δὲ καὶ κατηγορικῆς οὔσης τῆς καθόλου προτάσεως.

Ὥσπερ ἔλαβε τὴν μείζονα ἀποφατικὴν ὅλην ψευδῆ, νῦν λαμβάνει αὐτὴν ὅλην ψευδῆ καταφατικήν. ἐγχωρεῖ γὰρ κατὰ ἀλήθειαν τὸ Α μηδενὶ μὲν τῷ Β παντὶ δὲ τῷ Γ· μεταλαμβανόμεναι αὗται εἰς ψευδεῖς ἀληθῆ ποιοῦσι συμπεράσματα. οἷον ζῷον πάσῃ ἐπιστήμῃ· τὸ ζῷον οὐ παντὶ ἀνθρώπῳ πάλιν ἐπί τι ψευδὴς διὰ τὴν κατηγορίαν, ὅτι ἀληθεύει τὸ ἀντιφατικῶς ἀντικείμενον· τὸ γὰρ ζῷον παντὶ ἀνθρώπῳ· οὐκοῦν εἰ οὐ παντί, ἐπί τι ψευδὴς κατὰ τὴν κατηγορίαν· καὶ ὅμως ἐπιστήμη οὐ παντὶ ἀνθρώπῳ. ἀπεσιώπησε δὲ ἐνταῦθα τὰς συζυγίας τὰς ἐξ ἄμφω ἐπί τι συναγούσας ἀληθὲς συμπέρασμα ὡς δυναμένων ἡμῶν ἀφ' ἑαυτῶν καὶ περὶ αὐτῶν συλλογίσασθαι.

p. 56ᵇ4 Ἔσται δὲ καὶ ἐν τῷ ἐσχάτῳ σχήματι διὰ ψευδῶν ἀληθές.

Εἰρηκὼς πῶς ἐν δευτέρῳ σχήματι δυνατόν ἐστιν ἐκ ψευδῶν ἀληθῆ συλλογισμὸν πλέξαι, νῦν λέγει πῶς | καὶ ἐν τρίτῳ δυνατὸν ἐκ ψευδῶν Cʳ
ἀληθὲς συνάξαι οὕτως. τῶν ἐν τρίτῳ σχήματι συναγόντων ἐκ ψευδῶν ἀληθῆ ἢ ἄμφω αἱ προτάσεις καθόλου, ἢ ἡ μὲν καθόλου ἡ δὲ ἐν μέρει. καὶ εἰ ἄμφω καθόλου, ἢ ἄμφω καταφατικαί, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ

---

1 ἀληθὲς ⟨εἶναι⟩ sive ἀληθεύειν conicio τῷ (ante παντί) B 2 ψευδής U
4 ὅτι καὶ t 9 τε om. B καὶ iterat B 9. 10 μηδενὶ τῷ β B
11 συνάγεται scripsi: συνάγοιτο BU: συνάγοι τὸ t 20 οἷον] οἱ B 22 οὐκοῦν εἰ in ras. U 25 συναγούσας scripsi: συναγουσῶν BUt ante ἀλ. add. τὸ U
27 σχῆμα τρίτον inser. B: ἀρχὴ τοῦ γ σχήματος U 29 post τρίτῳ add. σχήματι B
post δυνατὸν add. καὶ U

ἐλάττων καταφατική. εἰ δὲ ἡ μὲν καθόλου ἡ δὲ μερική, ἢ ἡ μείζων Cr
καθόλου ἡ δὲ ἐλάττων μερική, ἢ ἡ μείζων μερικὴ ἡ δὲ ἐλάττων καθόλου.
καὶ εἰ ὦσιν ἄμφω αἱ προτάσεις καθόλου, ἢ ἄμφω ψευδεῖς, ἢ ἡ μὲν 5
ἀληθὴς ἡ δὲ ψευδής. καὶ εἰ ἄμφω ψευδεῖς, ἢ ἀμφότεραι ὅλαι ψευδεῖς,
5 καὶ αὗται ἢ καθόλου καταφατικαὶ ἄμφω, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ
ἐλάττων καταφατική, ἢ ἡ μὲν ὅλη ἡ δὲ ἐπί τι ψευδής· καὶ τοῦτο διχῶς·
ἢ ἡ μείζων ὅλη ἡ δὲ ἐλάττων ἐπί τι, ἢ ἔμπαλιν· καὶ κατ' ἄμφω τούτων
ἢ ἀμφότερα καταφατικαί, ἢ ἡ μὲν μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων κατα-
φατική. ἢ ἄμφω ἐπί τι, καὶ αὗται ἢ ἄμφω καταφατικαί. ἢ ἡ μείζων
10 ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική. πάλιν εἰ ἡ μὲν ἀληθὴς ἡ δὲ ψευ- 10
δής, ἢ ἄμφω καταφατικαί, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δ' ἐλάττων κατα-
φατική· καὶ πάλιν ἢ ἡ μείζων ἀληθὴς καταφατικὴ ἡ δ' ἐλάττων ψευδὴς
καταφατική, ἢ ἡ μείζων ψευδὴς καταφατικὴ ἡ δὲ ἐλάττων ἀληθὴς κατα-
φατική· καὶ πάλιν ἢ ἡ μείζων ἀληθὴς ἀποφατικὴ ἡ δὲ ἐλάττων ψευδὴς
15 καταφατική, ἢ ἡ μείζων ψευδὴς ἀποφατικὴ ἡ δὲ ἐλάττων ἀληθὴς κατα-
φατική. οὕτως μέν, εἰ ὦσιν αἱ προτάσεις ἄμφω καθόλου. εἰ δὲ ἡ
μὲν ἡ καθόλου ἡ δὲ μερική, ἢ ἄμφω ψευδεῖς, ἢ ἡ μὲν ἀληθὴς ἡ δὲ 15
ψευδής, ἢ ἄμφω ἐπί τι ψευδεῖς. καὶ εἰ ἄμφω ψευδεῖς, ἢ ἡ μείζων
μερικὴ ⟨καταφατικὴ ἡ δὲ ἐλάττων καθόλου καταφατική, ἢ ἡ μείζων
20 καθόλου καταφατικὴ ἡ δὲ ἐλάττων μερικὴ καταφατική, ἢ ἡ μείζων
μερικὴ⟩ ἀποφατικὴ ἡ δὲ ἐλάττων καθόλου καταφατική, ἢ ἡ μείζων καθόλου
ἀποφατικὴ ἡ δὲ ἐλάττων μερικὴ καταφατική. εἰ δὲ ἡ μὲν ψευδὴς ἡ δὲ
ἀληθής, ἢ ἡ μείζων ψευδὴς καὶ μερικὴ καταφατικὴ ἡ δὲ ἐλάττων ἀληθὴς
καὶ καθόλου καταφατική, ἢ ἡ μείζων ψευδὴς καὶ καθόλου καταφατικὴ ἡ
25 δὲ ἐλάττων ἀληθὴς καὶ μερικὴ καταφατική, ἢ ἡ μείζων ἀληθὴς καὶ
μερικὴ καταφατικὴ ἡ δὲ ἐλάττων ψευδὴς καὶ καθόλου καταφατική, ἢ ἡ 20
μείζων ἀληθὴς καὶ καθόλου καταφατικὴ ἡ δὲ ἐλάττων ψευδὴς καὶ μερικὴ
καταφατική. εἰ δὲ ἄμφω ἐπί τι, ἢ ἡ μείζων καθόλου ἡ δὲ ἐλάττων
μερική, ἢ ἡ μείζων μερικὴ ἡ δὲ ἐλάττων καθόλου, καὶ ἢ ἄμφω κατα-
30 φατικαί, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική.

p. 56b9 Οὐδὲν γὰρ κωλύει μήτε τὸ Α μήτε τὸ Β μηδενὶ τῷ Γ ὑπάρχειν.

Μὴ ὑπάρχειν μὲν κατὰ ἀλήθειαν, ψευδῆ δὲ γίνεσθαι, εἰ λαμβάνεται εἰς τὸ ὑπάρχειν.

---

4 post ὅλαι add. ἢ εἰ(?) ἄμφω ἐπί τι U 6—9 ἢ ἡ μὲν—καταφατική mrg. super. U 7 ἡ prius om. Bt 8 μὲν om. U 9. 10 ἢ ἄμφω ἐπί τι—καταφατική om. U 10 post εἰ add. εἴη U 12 ἢ scripsi: εἰ U: om. Bt 15. 16 post καταφατική add. εἰ δ' ἄμφω ἐπί τι. ἢ ἄμφω καταφατικαὶ—καταφατική (ut vs. 9. 10) U 16 post μὲν add. οὖν t 17. 18 ἢ ἡ—ψευδεῖς om. B 19 καταφατικὴ—21 μερικὴ addidi 26 μερικὴ Bt: καθόλου U ἐλάττων mrg. U 26. 27 καὶ καθόλου—ψευδὴς om. B 28 post καταφατική desunt reliquae quattuor συζυγίαι cf. p. 411,27 sq.; sed fort. neglegentia interpretis omissae sunt 29 ἢ alt. scripsi: εἰ BUt ante ἄμφω add. ἐπὶ ἀμφότερα U 29. 31 καταφατικαί, ἢ] αἱ, ἢ in ras. U 33 μὲν BU: τὴν t δὲ om. t

p. 56b 11 Ἄνθρωπος μέντοι τινὶ πεζῷ ὑπάρχει. C

Πρῶτον λέγει περὶ τῶν προτάσεων τῶν ὅλων ψευδῶν καὶ καθόλου καταφατικῶν. οἷον ὁ ἄνθρωπος καὶ τὸ πεζὸν παντὶ ἀψύχῳ· ἰδοὺ ὅλαι ψευδεῖς· καὶ ὅμως ἀληθὲς συμπέρασμα συνάγεται, ὅτι ὁ ἄνθρωπος τινὶ πεζῷ.

p. 56b 14 Ὡσαύτως δὲ καὶ τῆς μὲν στερητικῆς τῆς δὲ καταφατικῆς οὔσης.

Ἔλαβεν ὅλας ψευδεῖς καὶ καθόλου καταφατικάς· νῦν λαμβάνει πάλιν ἀμφοτέρας ψευδεῖς καὶ καθόλου, ἀλλὰ τὴν μὲν μείζονα ἀποφατικὴν τὴν δὲ ἐλάττονα καταφατικήν. οἷον τὸ ζῷον οὐδενὶ κύκνῳ, τὸ μέλαν παντὶ κύκνῳ, καὶ ὅμως τὸ ζῷον οὐ παντὶ μέλανι, ὅπερ ἀληθές. οὕτως ἄμφω ψευδῶν οὐσῶν τῶν προτάσεων καὶ καθόλου, ἤτοι ἀμφοτέρων καταφατικῶν ἢ τῆς μείζονος ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς.

p. 56b 20 Καὶ εἰ ἐπί τι ἑκατέρα ψευδής, ἔσται τὸ συμπέρασμα ἀληθές.

Ἐπλήρωσε τὰς ἄμφω ψευδεῖς καὶ καθόλου [ἀπεσιώπησε δὲ τὰς προτάσεις τὰς ἐχούσας τὴν μὲν ψευδῆ τὴν δὲ ἀληθῆ]· νῦν λέγει τὰς ἄμφω ἐπί τι ψευδεῖς καὶ ἀμφοτέρας καθόλου καταφατικὰς καὶ συναγούσας ἀληθὲς συμπέρασμα. οἷον τὸ λευκὸν καὶ τὸ καλὸν κατὰ ἀλήθειαν τινὶ ζῴῳ ὑπάρχει· ἀλλ' ἵνα ποιήσωμεν αὐτὰς ἐπί τι ψευδεῖς, λάβωμεν αὐτὰς παντί· τὸ λευκὸν παντὶ ζῴῳ, τὸ καλὸν παντὶ ζῴῳ, καὶ ὅμως τὸ λευκὸν τινὶ καλῷ, ὅπερ ἀληθές.

p. 56b 26 Καὶ στερητικῆς δὲ τῆς ΑΓ τιθεμένης ὁμοίως.

Εἶπε τὰς ἐπί τι ψευδεῖς καὶ καθόλου καταφατικὰς ἐχούσας τὰς προτάσεις· νῦν λέγει τὰς ἐχούσας τὴν μείζονα ἀποφατικὴν τὴν δὲ ἐλάττονα καταφατικὴν καὶ ποιούσας ἀληθῆ συμπεράσματα. οἷον λευκὸν οὐδενὶ ζῴῳ ἐπί τι ψευδής· καλὸν παντὶ ζῴῳ ἐπί τι ψευδής· καὶ ὅμως λευκὸν οὐ παντὶ καλῷ· ἰδοὺ ἀληθὲς συμπέρασμα. |

p. 56b 27 Οὐδὲν γὰρ κωλύει τὸ μὲν Α τινὶ τῷ Γ μὴ ὑπάρχειν. C

Ἀληθῶς μὲν τοιαύτας τὰς ὑπάρξεις φησίν. ἵνα δὲ γένωνται ἐπί τι ψευδεῖς, μεταλαμβάνονται εἰς τὴν οὐδεὶς καὶ πᾶς.

---

4 ὁ om. Ut 9 ζῷον—μέλαν scripsi: inv. ord. BUt 10 ζῷον—μέλανι scripsi: μέλαν—ζῴῳ BUt 15 πληρώσας t 15. 16 ἀπεσιώπησε—ἀληθῆ delevi cf. p. 410,1 sq. 16 post νῦν add. δὲ U 19 λαμβάνομεν αὐτὰ U 21 καλῷ t Arist.: ζῴῳ BU 29 μὲν τοιαύτας scripsi: μέντοι ταύτας BUt δὲ Ut: ἂν B λέγωνται pr. U 30 εἰς τὸ B ante πᾶς add. οὐ t

p. 56b33 Ὡσαύτως δὲ καὶ τῆς μὲν ὅλης ψευδοῦς τῆς δὲ ἀληθοῦς C v λαμβανομένης.

Εἴληφὼς πρῶτον ἄμφω τὰς προτάσεις ἐπί τι ψευδεῖς νῦν λαμβάνει τὴν μὲν ἀληθῆ τὴν δὲ ψευδῆ. καὶ πρῶτόν γε τὴν μείζονα ὅλην ψευδῆ λαμβάνει τὴν δὲ ἐλάττονα ἀληθῆ· οἷον ζῷον οὐδενὶ κύκνῳ, λευκὸν παντὶ κύκνῳ, καὶ ὅμως ζῷον οὐ παντὶ λευκῷ. οὕτως ἐκ τῆς μείζονος ψευδοῦς ἀποφατικῆς τῆς δὲ ἐλάττονος ἀληθοῦς καταφατικῆς ἀληθὲς τὸ συμπέρασμα. ἐγχωρεῖ γὰρ τὸ Α καὶ τὸ Β παντὶ τῷ Γ ἕπεσθαι κατὰ ἀλήθειαν· γίνεται δὲ ἡ μείζων ψευδὴς ὅλη, εἰ μεταληφθείη εἰς τὸ οὐδενί.

p. 56b40 Ὁμοίως δὲ καὶ εἰ τὸ μὲν ΒΓ ψεῦδος, τὸ δὲ ΑΓ ἀληθές.

Ἔλαβε πρῶτον τὴν μείζονα πρότασιν ὅλην ψευδῆ ἀποφατικήν· νῦν λαμβάνει τὴν ἐλάττονα ψευδῆ τὴν δὲ μείζονα ἀληθῆ. οἷον τὸ μέλαν οὐδενὶ κύκνῳ· ἄψυχον παντὶ κύκνῳ· ἰδοὺ ὅλη ψευδής· καὶ ὅμως μέλαν οὐ παντὶ ἀψύχῳ.

p. 57a1 Ἀλλὰ καὶ εἰ ἀμφότεραι λαμβάνοιντο καταφατικαί· οὐδὲν γὰρ κωλύει τὸ μὲν Β παντὶ τῷ Γ ἕπεσθαι, τὸ δὲ Α ὅλως μὴ ὑπάρχειν.

Εἰρηκὼς τὰς συζυγίας τὰς ἐκ τῆς μείζονος ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς νῦν λαμβάνει ἄμφω καταφατικὰς καθόλου, καὶ πρῶτον τὴν μείζονα ψευδῆ τὴν δὲ ἐλάττονα ἀληθῆ. οἷον τὸ ζῷον παντὶ κύκνῳ ἐλάττων, τὸ μέλαν παντὶ κύκνῳ μείζων πρότασις· ἰδοὺ ὅλη ψευδής· καὶ ὅμως ζῴῳ τινὶ μέλαν ὑπάρχει.

p. 57a8 Ὁμοίως δὲ καὶ τῆς ΑΓ ληφθείσης ἀληθοῦς· διὰ γὰρ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις.

Εἴληφε πρότερον τὴν μείζονα ὅλην ψευδῆ καὶ τὴν ἐλάττονα ἀληθῆ καὶ καθόλου καταφατικάς. νῦν λαμβάνει τὴν μείζονα ἀληθῆ τὴν δὲ ἐλάττονα ψευδῆ, καὶ δείκνυσι διὰ τῶν ὅρων τῶν προειρημένων ἐναλλάξας αὐτῶν τὴν τάξιν οὕτως· τὸ ζῷον παντὶ κύκνῳ· ἰδοὺ ὅλη ἀληθὴς καὶ μείζων· τὸ μέλαν παντὶ κύκνῳ· ἰδοὺ ὅλη ψευδὴς καὶ ἐλάττων· καὶ ὅμως ζῷον τινὶ μέλανι, ὅπερ ἀληθές.

p. 57a9 Πάλιν τῆς μὲν ὅλης ἀληθοῦς οὔσης τῆς δὲ ἐπί τι ψευδοῦς.

Ἔλαβε τὴν μὲν ὅλην ψευδῆ τὴν δὲ ὅλην ἀληθῆ· νῦν λαμβάνει τὴν μὲν ὅλην ἀληθῆ τὴν δὲ ἐπί τι ψευδῆ [καὶ πάλιν ἐπειδὴ ἐπλήρωσε τὰς

1 post τῆς δὲ add. ὅλης t Arist. 8 ἕπεται pr. B 10 μὲν t Arist.: om. BU 13 οὐ παντὶ B: οὐδενὶ Ut 16 ὅλως U Arist.: ὅλω Bt (A C fn) 22 ζῶον τινὶ μέλανι U 27 ἐναλλὰξ Bt 33—p. 411,3 καὶ—εἴπωμεν delevi

ἐξ ἄμφω καθόλου, νῦν λέγει τὰς ἐκ τῆς μὲν καθόλου τῆς δὲ μερικῆς, Cv
καὶ πρῶτον περὶ τῶν ἐκ τῆς ⟨μὲν⟩ ὅλης ἀληθοῦς τῆς δὲ ἐπί τι ψευ-
δοῦς οὕτως εἴπωμεν]· τὸ καλὸν παντὶ ἀνθρώπῳ· ἰδοὺ ἐπί τι ψευδής·
τὸ δίπουν παντὶ ἀνθρώπῳ ὅλη ἀληθής· καὶ ὅμως τὸ καλὸν τινὶ δίποδι,
5 ὅπερ ἀληθές.

p. 57a15 Ὁμοίως δὲ καὶ τῆς μὲν ΑΓ ἀληθοῦς τῆς δὲ ΒΓ ἐπί τι ψευδοῦς λαμβανομένης.

Τὸ πρῶτον ἔλαβε τὴν συζυγίαν τὴν ἐκ τῆς μείζονος ἐπί τι ψευδοῦς τῆς δὲ ἐλάττονος ἀληθοῦς. νῦν λαμβάνει τὴν ἐκ τῆς μείζονος ἀληθοῦς
10 τῆς δὲ ἐλάττονος ἐπί τι ψευδοῦς, καὶ οἱ αὐτοὶ ὅροι μετατιθέμενοι εἰλήφθωσαν πρὸς ἀπόδειξιν· τὸ δίπουν παντὶ ἀνθρώπῳ ὅλη ἀληθής· τὸ καλὸν παντὶ ἀνθρώπῳ ἐπί τι ψευδής· καὶ τὸ δίπουν τινὶ καλῷ.

p. 57a18 Καὶ τῆς μὲν στερητικῆς τῆς δὲ καταφατικῆς οὔσης.

Ἔλαβεν ἀμφοτέρας καταφατικάς· νῦν λαμβάνει τὴν μὲν ἀποφατικὴν
15 ἐπί τι ψευδῆ τὴν δὲ κα|ταφατικὴν ἀληθῆ. οἷον τὸ Α οὐδενὶ τῷ Γ ἐπί τι CIr
ψευδής· τὸ Β παντὶ τῷ Γ ὅλη ἀληθής· καὶ ὅμως τὸ Α οὐ παντὶ τῷ Β· οἷον λευκὸν οὐδενὶ ἀνθρώπῳ, τὸ ζῷον παντὶ ἀνθρώπῳ, καὶ ὅμως τὸ λευκὸν οὐ παντὶ ζῴῳ.

p. 57a25 Φανερὸν ὅτι καὶ τῆς μὲν ΑΓ ὅλης ἀληθοῦς οὔσης.

20 Τὸ μὲν πρῶτον ἔλαβεν ἐπί τι ψευδῆ τὴν μείζω τὴν δὲ ἐλάττω ἀληθῆ· νῦν λαμβάνει τὴν μὲν μείζω ἀληθῆ τὴν δὲ ἐλάττω ἐπί τι ψευδῆ· οἷον τὸ μέλαν οὐδενὶ λευκῷ, τὸ ζῷον παντὶ λευκῷ, καὶ μέλαν οὐ παντὶ ζῴῳ, ὅπερ ἀληθές.

p. 57a29 Φανερὸν δὲ καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν ὅτι
25 πάντως ἔσται διὰ ψευδῶν ἀληθές.

Πληρώσας περὶ τῶν προτάσεων τῶν ἄμφω καθόλου νῦν λέγει περὶ [τῶν ἄμφω] τῶν μὲν καθόλου τῶν δὲ ἐν μέρει. καὶ τοῦτο διχῶς· ἢ γὰρ ἡ μείζων καθόλου ἡ δ' ἐλάττων μερική, ἢ ἡ μείζων μερικὴ ἡ δὲ ἐλάττων 15
καθόλου· καὶ ἢ ἄμφω καταφατικαί, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων
30 καταφατική· καὶ ἢ ἄμφω ψευδεῖς, ἢ ἡ καθόλου ὅλη ψευδὴς ἡ δὲ μερικὴ ἐπί τι, ἢ ἔμπαλιν· καὶ ἢ ἡ μὲν ψευδὴς ἡ δὲ ἀληθής, καὶ τούτων ἢ ἡ

---

2 μὲν addidi 3 εἴπομεν Ut 6 μὲν t Arist: om. BU post ἀληθοῦς add. οὔσης Bt 6. 7 ἐπί τι ψευδοῦς BU (n): inv. ord. t Arist. 8 ἐλάβομεν Bt 10. 11 εἰ ληφθῶσι U 13 ἐπεὶ γὰρ ἐγχωρεῖ τὸ μὲν β ὅλω τῷ γ ὑπάρχειν, τὸ δὲ α τινὶ μὴ ὑπάρχειν lemma Ut 19 post φανερὸν add. οὖν Ut 20 ἔλαβον U 27 τῶν ἄμφω delevi 28 δ' om. U 29 ἢ prius om. U 30 ἢ ἡ Bt: ἢ τε U 31 ἢ alt. om. U

μείζων ἀληθὴς ἡ δὲ ἐλάττων ψευδής, ἢ ἡ μείζων ψευδὴς ἡ δὲ ἐλάττων CIr
ἀληθής· ἢ ἄμφω ἐπί τι ψευδεῖς. τούτων οὖν οὕτως ἐχουσῶν ἀληθὲς τὸ
συμπέρασμα. καὶ φησὶν ὅτι ὥσπερ ἐπὶ τῶν καθόλου προτάσεων οὐσῶν
ἐδείξαμεν ἐκ ψευδῶν ἀληθές, οὕτως καὶ ἐπὶ τῶν προτάσεων τῶν ἐχουσῶν 20
5 τὴν μίαν καθόλου τὴν δὲ ἄλλην μερικὴν καὶ διὰ τῶν αὐτῶν ὅρων δείξομεν
δι' ὧν καὶ τὰς καθόλου προτάσεις, καὶ εἰ καταφατικαὶ ἄμφω, καταφατικῶς
λαμβάνομεν, εἰ δὲ ἀποφατικαί, ἀποφατικῶς.

p. 57a36 Φανερὸν οὖν ὅτι, ἂν μὲν ᾖ τὸ συμπέρασμα ψεῦδος, ἀνάγκη ἐξ ὧν ὁ λόγος ψευδῆ εἶναι.

10 Συμπέρασμα ὥσπερ ἐπάγει τῷ λόγῳ· φανερὸν ἐκ τῶν δειχθέντων πάντων ὅτι ἐὰν ᾖ συμπέρασμα ψευδές, πάντως ἢ ὅλαι αἱ προτάσεις ψευδεῖς ἦσαν, ἢ ἡ μὲν ψευδὴς ἡ δὲ ἀληθής, εἰ δὲ ἦν συμπέρασμα ἀληθές, οὐκ ἀνάγκη τὰς προτάσεις ἀληθεῖς εἶναι· ἐνδέχεται γὰρ αὐτὰς καὶ ἀμφοτέρας ψευδεῖς εἶναι καὶ τῆς ἑτέρας ψευδοῦς οὔσης τῆς δὲ ἑτέρας ἀληθοῦς
15 καὶ ἄμφω ἐπί τι ψευδῶν οὐσῶν ἀληθὲς συναχθῆναι συμπέρασμα. 30

p. 57a40 Αἴτιον δὲ ὅτι, ὅταν δύο ἔχῃ οὕτω πρὸς ἄλληλα ὥστε θατέρου ὄντος ἐξ ἀνάγκης θάτερον εἶναι.

Ἡ αἰτία, φησί, τοῦ εἶναι συμπέρασμα ἀληθὲς τῶν προτάσεων οὐσῶν ψευδῶν αὕτη, ὅτι, εἰ δύο τινὰ ὄντα ἔχουσι τοιαύτην φύσιν πρὸς ἑαυτά, 35
20 ὥστε τοῦ ἑτέρου ὄντος ἀνάγκη τὸ ἕτερον εἶναι, καὶ τούτου μὴ ὄντος ἀνάγκη τὸ ἕτερον μὴ εἶναι * * * *. αὕτη τοῦ γίνεσθαι καὶ ἐκ ψευδῶν ἀληθῆ συμπεράσματα αἰτία. οἷον ἀληθῶν τῶν προτάσεων οὐσῶν ἀνάγκη ἀληθὲς συμπέρασμα εἶναι, ἀληθοῦς δὲ συμπεράσματος ὄντος οὐκ ἀνάγκη τὰς προτάσεις ἀληθεῖς εἶναι· οὐ γὰρ ἀντιστρέφει, ἀλλ' ἐνδέχεται καὶ ψευδεῖς εἶναι
25 τὰς προτάσεις. τοῦ δὲ συμπεράσματος ἀληθοῦς μὴ ὄντος ἀνάγκη καὶ τὰς προτάσεις μὴ εἶναι ἀληθεῖς. ὥστε ἡ αἰτία τοῦ μὴ δύνασθαι ἀντιστρέφειν 40 ποιεῖ τὸ αἴτιον τοῦ εἶναι ἀληθὲς τὸ συμπέρασμα μὴ πάντως ἐξ ἀληθῶν προτάσεων ἀλλὰ καὶ ἐκ ψευδῶν.

p. 57b3 Τοῦ δ' αὐτοῦ ὄντος καὶ μὴ ὄντος ἀδύνατον ἐξ ἀνάγκης εἶναι.

30 Συνεχῆ εἰσι τοῖς προειρημένοις τὰ νῦν λεγόμενα· βούλεται γὰρ ἐν

1 δὲ prius om. U; ante ἡ add. ἢ mrg. U² 2 ἢ ἄμφω ἐπί τι ψευδεῖς om. B
2 ψευδεῖς t: ψευδῶν U: οὐσῶν ἀληθὲς τὸ συμπέρασμα mrg. U οὕτως Bt: τῶν U
3 καὶ φησὶν U: φησὶν οὖν Bt 4 ἐχόντων Ut 5 καὶ om. Bt ὅρων U:
ὄντων ὅρων B: ὄντων t 8 ὅτι ἂν B Arist.: ὅταν Ut ἢ post ψεῦδος colloc. U
9 ψευδὲς e corr. U 12 post ἡ δὲ add. ἄλλη B 15 οὐσῶν om. U
16 οὕτως ἔχῃ U 19 ὄντων pr. U ἔχουσι Bt: ἂν ἔχωσι U τὴν αὐτὴν B
21 lac. indicavi; supple ex Arist. ὄντος δ' οὐκ ἀνάγκη τὸ ἕτερον εἶναι καὶ om. Bt
22 συμπεράσματα scripsi: συμπέρασμα BUt 24 καὶ superscr. B¹ 27 εἶναι Bt:
εἰ U: fort. εἶναι, εἰ

τούτοις δεῖξαι ὅτι τὸ ἀληθὲς συμπέρασμα οὐκ ἐξ ἀνάγκης ἕπεται ἀμφοτέροις, CIr
τοῖς τε ἐξ ἀληθῶν προτάσεων καὶ τοῖς ἐκ ψευδῶν, οὐ λέγω ἑκάστῳ παρὰ
μέρος ἀλλ' ἀμφοτέροις. κατασκευάζει δὲ τοῦτο διὰ τοῦ ὑποθετικοῦ συλ-
λογισμοῦ. τὸ οὖν τοῦ αὐτοῦ καὶ ὄντος καὶ μὴ ὄντος φησὶν ἀντὶ τοῦ 15
5 αὐτοῦ εἴδους τῆς προτάσεως, τὸ δὲ ὄντος ἀντὶ τοῦ ἀληθοῦς ὄντος, τὸ δὲ
καὶ μὴ ὄντος ἀντὶ τοῦ ψευδοῦς ὄντος· τοῦ γὰρ αὐτοῦ εἴδους τῆς προ-
τάσεως ἤτοι ἀληθοῦς ἢ ψευδοῦς ὄντος οὐχ ἕπεται ἐξ ἀνάγκης τὸ εἶναι τὸ
αὐτό, ἀντὶ τοῦ εἶναι ἀληθὲς τὸ συμπέρασμα. καὶ τοῦτο δείκνυσιν, ὅτι οὐκ
ἐξ ἀνάγκης ἐστὶν ἀληθὲς συμπέρασμα, πρῶτον διὰ τοῦ διὰ τριῶν, εἶτα
10 καὶ διὰ τοῦ δευτέρου τῶν ὑποθετικῶν συλλογισμοῦ. οἷον εἰ τοῦ Α λευκοῦ
ὄντος ἀνάγκη τὸ Β μέγα εἶναι, τοῦ δὲ Β μεγάλου ἀνάγκη τὸ Γ μὴ εἶναι
λευκόν, ὥστε τοῦ Α ὄντος λευκοῦ τὸ Γ μὴ εἶναι λευκόν. οὗτος μὲν ὁ διὰ 30
τριῶν συλλογισμός. ὁ δὲ ὑποθετικὸς οὕτως, ὅτι εἰ τὸ Α ἐστίν, ἀνάγκη τὸ Β
εἶναι καὶ τοῦ Β μὴ ὄντος ἀνάγκη τὸ Α μὴ εἶναι, οὐκοῦν τοῦ Β μὴ ὄντος μεγά-
15 λου τὸ Α λευκὸν οὐκ ἔσται. εἰ δέ τις ἐρεῖ ὅτι τοῦ Α μὴ ὄντος λευκοῦ ἔστι τὸ
Β μέγα ἐξ ἀνάγκης, συμβαίνει τὸ Β μέγα εἶναι ἐξ ἀνάγκης· ἐξ ἀνάγκης γὰρ
ἕπεται ἀμφοτέροις· εἰ γὰρ τοῦ Α μὴ ὄντος τὸ Β μέγα οὐκ ἔστιν, εἰ δὲ ἐρεῖς
'καὶ ἐὰν τὸ Α μὴ ἔστι, πάλιν τὸ Β ἐστὶν ἐξ ἀνάγκης', τὸ αὐτὸ καὶ μέγα καὶ οὐ
μέγα, | ὅπερ ἄτοπον. ὥστε τὸ ἄτοπον ἠκολούθησε διὰ τοῦ εἰπεῖν ὅτι τὸ Β CIv
20 ἐξ ἀνάγκης ἕπεται ἀμφοτέροις, καὶ τῷ εἶναι τὸ Α λευκὸν καὶ τῷ μὴ εἶναι,
ὅπερ ἐδείχθη ⟨διὰ⟩ τοῦ διὰ τριῶν συλλογισμοῦ. διὰ τριῶν δὲ ἐκλήθη, ὅτι
λαμβάνει τρεῖς ὅρους καὶ τὸν ἐλάττονα ἄκρον ὑποθετικὸν καὶ τὸν μείζονα.
οὔτε οὖν ὑποθετικὸς ὁ συλλογισμός, ὅτι ἔχει τρεῖς ὅρους, οὔτε κατηγορικός,
ὅτι ὑποθετικαί εἰσιν αἱ προτάσεις· διὰ τοῦτο διὰ τριῶν ἐκλήθη. 5

25 p. 57b4 Ἀδύνατον ἐξ ἀνάγκης εἶναι τὸ αὐτό.

Ἀδύνατον, φησίν, ἐξ ἀνάγκης εἶναι τὸ αὐτὸ συμπέρασμα τοῦ αὐτοῦ εἴδους τῆς προτάσεως καὶ ὄντος καὶ μὴ ὄντος.

p. 57b4 Λέγω δὲ οἷον τοῦ Α ὄντος λευκοῦ τὸ Β εἶναι ἐξ ἀνάγκης.

Ὡς ἐπὶ παραδείγματος τοῦτο λέγει, ὅτι εἰ τοῦτο ὁμολογεῖται, ὅτι τοῦ 10
30 Α, εἰ τύχοι, λευκοῦ ὄντος τὸ Β μέγα εἶναι ἐξ ἀνάγκης, καὶ τοῦ λευκοῦ
μὴ ὄντος τὸ Β μὴ εἶναι.

2 τε om. B post ἐξ del. ἀμφοτέραις U 4 τὸ οὖν Bt: τοῦτο οὖν φησιν ὅτι U φησὶν om. U 5 τοῦ δὲ — τοῦ δὲ B 6 γὰρ t: om. BU 7 ἤ Bt: ἤτοι U 8 τοῦ superscr. U τὸ ante εἶναι colloc. U 9 διὰ τοῦ iterat U 9. 10 εἶτα—ὑποθετικῶν om. Bt 11 μέγα εἶναι e μεγάλως corr. U 12 post διὰ add. τοῦ διὰ t 13 τριῶν e τοῦ corr. U οὗτος mrg. U (in textu foramen) εἰ B: ὅτε Ut ἐστίν Bt: εἶναι U 14 τοῦ β alt. mrg. U² (in textu foramen) 17 ἀμφοτέρων Bt fort. εἰ δὲ — εἰ [δὲ] 20 ἀμφοτέρων Bt τῷ — τῷ scripsi: τοῦ — τοῦ libri 21 διὰ primum addidi 22 τρεῖς scripsi: τοὺς libri 28 post εἶναι add. μέγα Arist. (om. ABmf, pr. u) itemque p. 414,1 29 ὥσπερ U ὡμολόγηται U

p. 57b5 Καὶ μὴ ὄντος λευκοῦ τοῦ Α τὸ Β εἶναι ἐξ ἀνάγκης. CIv

Καλῶς ἐλέγομεν καὶ ἐπὶ τῶν προτάσεων ὅτι τῶν προτάσεων ἀληθῶν οὐσῶν ἀνάγκη τὸ συμπέρασμα ἀληθές, οὐκέτι δὲ τῶν προτάσεων μὴ οὐσῶν ἀληθῶν τὸ συμπέρασμα μὴ εἶναι ἀληθές· ἐνδέχεται γὰρ ἀληθὲς εἶναι τὸ συμπέρασμα.

p. 57b18 Τὸ δὲ κύκλῳ καὶ ἐξ ἀλλήλων δείκνυσθαί ἐστι τὸ διὰ τοῦ συμπεράσματος καὶ τοῦ ἀνάπαλιν τῇ κατηγορίᾳ τὴν ἑτέραν.

Εἰρηκὼς πῶς ἐκ ψευδῶν ἔνεστιν ἀληθὲς συλλογίσασθαι,' νῦν λέγει περὶ τῶν κύκλῳ δεικνυμένων συλλογισμῶν καὶ τῶν δι' ἀλλήλων. εἰδέναι δὲ δεῖ ὅτι αὕτη ἡ κύκλῳ ἢ καὶ διάλληλος δεῖξις οὐκ ἔστι χρησίμη πρὸς τὴν ἀποδεικτικὴν μέθοδον διὰ τὸ ⟨τὸ⟩ αὐτὸ καὶ αἴτιον εἶναι καὶ αἰτιατόν, ὡς δείξομεν. ἵνα δὲ γένηται διάλληλος δεῖξις, πάντως δεῖ ἀναστροφὴν ποιῆσαι τῆς μιᾶς προτάσεως καὶ τὸ συμπέρασμα λαβεῖν ὡς πρότασιν. διαφέρει δὲ ἀναστροφὴ ἀντιστροφῆς, ὅτι ἡ μὲν ἀντιστροφὴ μετὰ τοῦ συναληθεύειν γίνεται, ἡ δὲ ἀναστροφὴ οὐ πάντως.

p. 57b21 Οἷον εἰ ἔδει δεῖξαι ὅτι τὸ Α τῷ Γ παντὶ ὑπάρχει, ἔδειξε δὲ διὰ τοῦ Β, πάλιν εἰ δεικνύοι ὅτι τὸ Α τῷ Β ὑπάρχει.

Ὅτι ὀφείλομεν λαβεῖν τὴν μίαν πρότασιν καὶ ἀναστρέψαι καὶ οὕτως ποιῆσαι τὴν διάλληλον δεῖξιν, εἴρηται. οἷον εἰ ἐδείχθη ὅτι τὸ Α τῷ Γ ὑπάρχει διὰ τοῦ Β, εἶτα εἰ βουληθῇς δεῖξαι εἰ καὶ τὸ Α παντὶ τῷ Β ὑπάρχει, ποιήσεις οὕτως· τὸ Α παντὶ τῷ Γ, τὸ Γ παντὶ τῷ Β, ἵνα ἀναστρέψῃς, οὐκοῦν καὶ τὸ Α παντὶ τῷ Β. καὶ ἀκριβῶς ὀφείλομεν σκοπῆσαι ὅτι ἐπὶ τῆς διαλλήλου δείξεως ἡ μία πρότασις παραλαμβάνεται ὑγιὴς ἐξ ἀνάγκης, ἡ δὲ μία ἀναστρέφεται· εἰ γὰρ ἀμφοτέρας ἀναστρέψομεν καὶ μὴ τὴν μίαν ὑγιῶς λάβωμεν, οὐ ποιοῦμεν συλλογισμόν. πάλιν εἰ ληφθείη πρῶτον ὅτι τὸ Α τῷ Γ ὑπάρχει διὰ αἰτίου τοῦ Β, αἰτιατὸν γέγονε τὸ ΑΓ· νῦν δ' ἐλήφθη τὸ ΑΓ ὡς αἴτιον, τὸ δὲ ΑΒ ὡς αἰτιατόν, ὅπερ ἄτοπον, τὸ αὐτὸ καὶ αἴτιον καὶ αἰτιατόν.

---

1 post β add. μὴ BU: om. t Arist. 2 ante καλῶς add. ἐξ ἀνάγκης Bt ἐλέγομεν] p. 391,25sq. 4 ἀληθῶν superscr. U² 6 περὶ τῆς κύκλῳ δείξεως. ἤτις καὶ διάλλελος λέγεται inscr. B et om. ἤτις κτλ. U κύκνω B δείκνυσθαί t Arist.: δεικνύναι B: δεικνύεσθαι U 7 τῇ om. B 8 συλλογίσασθαι ἀληθὲς B 10 post αὕτη del. ἐστὶ B ὅτι ἡ αὐτὴ U δι' ἀλλήλων U 11 τὸ alt. addidi 12 ἵνα δὲ Bt: εἰδέναι δὲ δεῖ ἵνα U post γένηται add. ἡ U 13 post ὡς add. μίαν U 14 ἀναστροφὴ corr. U, t: ἀντιστροφὴ B, pr. U μὲν om. U 15 ἀντιστροφὴ pr. U 16 δέξαι U 17 ἐδείξαμεν U δεικνύοι t Arist.: δεικνύει BU 19 ποιοῦμεν U οἷον εἴρηται B 20 διὰ superscr., ut videtur, B¹ βουληθῇ B 21 ποιεῖς U 21. 22 ἀναστρέψωμεν U 24 ἀντιστρέφεται B 25 ληφθῇ U 27 δὲ εἰλήφθη sic B

p. 57b28 Ἄλλως δ' οὐκ ἔστιν ἐξ ἀλλήλων δεῖξαι. CIv

Βούλεται δεῖξαι ὅτι ἄλλως οὐκ ἐνδέχεται συναχθῆναι τὰς διαλλήλους δείξεις· οὔτε γὰρ εἰ ἄλλον ὅρον ἐμβάλῃς ἀντὶ τοῦ Β, ποιεῖς τὴν διάλληλον δεῖξιν· ἄλλας γὰρ ποιεῖς προτάσεις καὶ ἄλλο συμπέρασμα· καὶ πάλιν τὰς αὐτὰς προτάσεις λαβεῖν οὐ δυνατόν, ἐπεὶ τὸ αὐτὸ ἔσται συμπέρασμα. ἀνάγκη οὖν τὴν μίαν πρότασιν λαβεῖν μετὰ ἀναστροφῆς. ἤδη δὲ ἐδείξαμεν τί ἀλλήλων διαφέρουσιν.

p. 57b32 Ἐν μὲν οὖν τοῖς μὴ ἀντιστρέφουσιν ἐξ ἀναποδείκτου.

Ἐπειδὴ ἡ ἀντιστροφὴ ἢ ἀληθὴς ἢ ψευδής, ἀληθὴς μὲν ἐπὶ τῶν ἐξισαζόντων, ψευδὴς δὲ ἐπὶ τῶν μὴ ἐξισαζόντων, οἷον ἐπὶ τοῦ προτέρου πᾶς ἄνθρωπος γελαστικός, καὶ πᾶς γελαστικὸς ἄνθρωπος, ἐπὶ δὲ τοῦ | δευτέρου CIIr ψευδής, οἷον πᾶς ἄνθρωπος ζῷον, καὶ πᾶν ζῷον ἄνθρωπος, ταύτην τὴν δευτέραν ἀναστροφὴν ἀναπόδεικτον καλεῖ ἀντὶ τοῦ 'ψευδῆ καὶ μὴ δυναμένην ἀποδειχθῆναι'· τίς γὰρ δύναται ἀποδεῖξαι ὅτι πᾶν ζῷον ἄνθρωπός ἐστιν; οὐκοῦν ἡ μία ἀναπόδεικτος εὑρίσκεται πρότασις, ἡ δὲ ἄλλη ὑγιής, καὶ δείκνυται τὸ συναγόμενον.

p. 57b35 Ἐν δὲ τοῖς ἀντιστρέφουσιν ἔστι πάντα δεικνύναι.

Φησὶν ὁ αὐτὸς ὅτι οὐ δυνατὸν δεῖξαι τὴν ἀντιστρεφομένην πρότασιν διὰ συλλογισμοῦ, εἰ μή τίς γε ἄρα λάβῃ τὴν ἐξισάζουσαν ἀναστροφήν· τὴν αὐτὴν γὰρ δι' ἀλλήλων δεῖξαι ἐνδέχεται.

p. 57b37 Δεδείχθω γὰρ τὸ ΑΓ διὰ μέσου τοῦ Β, καὶ πάλιν τὸ ΑΒ διά τε τοῦ συμπεράσματος.

Ἐδείχθη τὸ Α παντὶ τῷ Γ διὰ τοῦ Β οὕτως· τὸ Α παντὶ τῷ Β, τὸ Β παντὶ τῷ Γ, τὸ Α παντὶ τῷ Γ. εἰ δὲ δέον δεῖξαι τὸ ΑΒ, δείκνυμεν διὰ τοῦ Γ οὕτως· τὸ Α παντὶ τῷ Γ, τὸ Γ παντὶ τῷ Β, τὸ ἄρα Α παντὶ τῷ Β. εἰ δὲ δέον δεῖξαι τὸ ΒΓ, οὕτως· τὸ Β παντὶ τῷ Α, τὸ Α παντὶ τῷ Γ, τὸ Β παντὶ τῷ Γ.

p. 58a2 Ταύταις γὰρ ἀναποδείκτοις κεχρήμεθα μόναις.

Ἀναποδείκτοις ἀντὶ τοῦ 'ψευδέσι καὶ μὴ ἀποδειχθεῖσιν'.

---

2 δι' ἀλλήλων B 3 γὰρ om. U ἐμβάλῃς t: ἐμβάλεις BU ποιεῖ U item-que vs. 4 6 ἀναστροφῆς scripsi: ἀντιστροφῆς BUt 10 πᾶς Ut: τοῦ B 17 ἔστι U Arist.: ἔσται Bt 19 λάβῃ U²t: λάβοι B: λάθῃ pr. U 19. 20 immo ταύτην 21 τοῦ e τό, ut videtur, corr. B 22 τε om. U post συμπεράσματος add. καὶ τῆς γβ προτάσεως—τὴν βγ—μόναις (p. 57b40—58a3) B 24 post τῷ γ alt. add. τὸ γ' παντὶ τῷ β. τὸ ἄρα α' παντὶ τῷ β' t: eadem post 27 τῷ γ prius del. B δὲ om. B 28 ἀναποδείκταις pr. B 29 post ἀποδ. add. κεχρήμεθα U

p. 58a7 Ἡ ΓΑ πρότασις εἴληπται ἀναπόδεικτος. CHr

Τὴν ΓΑ, ἥτις ἦν συμπέρασμα, νῦν πρότασιν εἴληφεν· αἱ γὰρ ἄλλαι ἦσαν ἀποδειχθεῖσαι προτάσεις. ἐὰν δὲ καὶ τὴν ΓΑ ἀποδείξωμεν, ὅλας ἐσμὲν ἀποδείξαντες.

5 p. 58a9 Ἐὰν οὖν ληφθῇ τὸ Γ παντὶ τῷ Β ὑπάρχειν καὶ τὸ Β παντὶ τῷ Α.

Λέγει πῶς δείκνυται ἡ ΑΓ. ὥσπερ γὰρ ἐδείξαμεν πῶς ἡ ΑΒ ὑπάρχει καὶ ἡ ΒΑ, καὶ πῶς ἡ ΒΓ καὶ ἡ ΓΒ, ὁμοίως καὶ τὴν ΑΓ βούλεται ἀποδεῖξαι οὕτως· τὸ Α παντὶ τῷ Β, τὸ Β παντὶ τῷ Γ ⟨, τὸ Α παντὶ τῷ Γ⟩.
10 εἰ δὲ τὸ Γ τῷ Α, οὕτως· τὸ Γ παντὶ τῷ Β, τὸ Β παντὶ τῷ Α, τὸ Γ παντὶ τῷ Α.

p. 58a12 Φανερὸν οὖν ὅτι ἐν μόνοις τοῖς ἀντιστρέφουσι κύκλῳ καὶ δι' ἀλλήλων ἐνδέχεται.

Φανερόν, φησίν, ἐκ τῶν εἰρημένων ὅτι ἀναστροφῆς γινομένης γίνεται
15 διάλληλος δεῖξις, ἤτοι ἀληθεῖς αἱ ἀναστροφαὶ ἤτοι ψευδεῖς.

p. 58a14 Ἐν δὲ τοῖς ἄλλοις, ὡς πρότερον εἴπομεν, ἔστι.

Τοῖς ἄλλοις λέγει 'τοῖς τὰς ψευδεῖς ἀναστροφὰς ποιοῦσιν'. ἐν δὲ τούτοις, τοῖς τὰς ἀληθεῖς ἀναστροφάς, ὁμοίως δείξομεν τόδε τῷδε ὑπάρχειν ἢ οὔ.

20 p. 58a21 Ἐπὶ δὲ τῶν στερητικῶν συλλογισμῶν ὧδε δείκνυται ἐξ ἀλλήλων.

Εἰρηκὼς ὅπως ἐν τῷ πρώτῳ σχήματι τὰ καταφατικὰ ἐδείκνυτο, νῦν περὶ τῶν στερητικῶν λέγει, ὅτι δείκνυται μὲν ἡ μείζων πρότασις, ἡ δὲ ἐλάττων οὐ δείκνυται, εἰ μὴ διὰ τοῦ κατὰ πρόσληψιν συλλογισμοῦ. ἐδεί- 45
25 κνυτο γὰρ ὅτι τὸ Α διὰ μέσου τοῦ Β οὐδενὶ ὑπάρχει τῷ Γ. πόθεν δῆλον

---

1 ᾱγ̄ t, pr. U itemque vs. 2 2 ἔλαβεν Ut 3 ᾱγ̄ Ut ὅλως Ut
5 ὑπάρχειν post 6 ᾱ colloc. t Arist. 7 γ̄ᾱ B γὰρ om. B 8 γ̄β̄ Bt: γ̄ᾱ U
τὴν scripsi: τοῦ BUt 9 τὸ ᾱ παντὶ τῷ γ̄ addidi 10 τὸ ᾱ (post τὸ γ̄) U
post ᾱ alt. add. καὶ B 12 φανερὸν — p. 422,6 διὰ προσλήψεως habet M
13 δέχεται t 15 ante διάλλ. add. ἡ U αἱ om. M ἀναστροφαὶ scripsi:
ἀντιστροφαὶ BMUt 16 καὶ ἐν μὲν τοῖς U ὥσπερ t ἔστι om. t Arist.
17 λέγων U 18 ταύταις M post δείξομεν add. ἐν τῷ U 20 δι' t
22 πῶς U τρίτῳ B 23 post μὲν add. φησιν U 24 κατὰ om. t

ὅτι τὸ Α οὐδενὶ τῷ Β; οὕτω πάλιν· τὸ Α οὐδενὶ τῷ Γ, τὸ Γ παντὶ τῷ CIIr
Β· ὑπέκειτο γὰρ τὸ Β παντὶ τῷ Γ· καὶ τὸ Α ἄρα οὐδενὶ τῷ Β. οὐκέτι
δὲ δύνῃ τὴν ἐλάττω πρότασιν δεῖξαι, εἰ μὴ διὰ προσλήψεως, ἐπεὶ διὰ
κατηγορίας οὐ δυνατόν· ἥ τε γὰρ μείζων ἀποφατικὴ καὶ τὸ συμπέρασμα
5 ἀποφατικόν· ἐκ δύο δὲ ἀποφατικῶν οὐδὲν συνάγεται. διὰ δὲ προσλήψεως
δείκνυται ἡ ἐλάττων πρότασις οὕτως, ἵν' εἴπωμεν· ᾧ τὸ Α οὐδ' ὅλως
ὑπάρχει, τούτῳ τὸ Β παντὶ ὑπάρχει· τῷ δὲ Γ τὸ Α οὐδ' ὅλως ὑπάρχει· 50
τούτῳ οὖν τὸ Β παντί. καὶ εἰδέναι δεῖ ὅτι ἐπὶ τῶν κατὰ πρόσληψιν συλ-
λογισμῶν ὁ εἷς ὅρος ἀόριστος ὢν ὕστερον ὁρίζεται, ὡς εἰρήκαμεν· ᾧ τὸ Α
10 οὐδενί, τούτῳ τὸ Β παντί· ἰδοὺ ἀόριστον ἐλάβομεν τὸν ἔσχατον ὅρον·
ὕστερον δὲ ὁρίζεται, ὅταν εἴπωμεν 'τῷ δὲ Γ τὸ Α οὐδενί'· τούτῳ οὐκοῦν
τὸ Β παντί. κοινωνοῦσι δὲ οἱ κατὰ πρόσληψιν συλλογισμοὶ τοῖς τε κατη-
γορικοῖς καὶ τοῖς ὑποθετικοῖς· ὁμοίως δὲ διαφέρουσιν. καὶ τοῖς κατηγορικοῖς
μὲν κοι|νωνοῦσιν, ὅτι καὶ ὡς τὰ τρία σχήματα ὁ κατὰ πρόσληψιν τρεῖς CIIv
15 ἔχει ὅρους· διαφέρει δέ, ὅτι εἷς ὅρος πάντως τὸ πρῶτον ἀόριστός ἐστι καὶ
ὀφείλουσιν ἐξ ὁμολογίας προσεῖναι αἱ προτάσεις. τῶν δὲ ὑποθετικῶν κοινω-
νοῦσι, καθὸ οὐ συμπέρασμα συνάγουσιν ἀλλὰ πρότασιν, λέγοντες 'τούτῳ τὸ
Β παντί, ὥστε εἶναι παντὶ τῷ Γ τὸ Β', ὥσπερ καὶ οἱ ὑποθετικοί· διαφέρουσι δέ, καθὸ κοινωνοῦσι τοῖς κατηγορικοῖς.

20 p. 58a26 Εἰ δ' ὅτι τὸ Β τῷ Γ δεῖ συμπεράνασθαι, οὐκέθ' ὁμοίως 5
ἀντιστρεπτέον τὴν ΑΒ· ἡ γὰρ αὐτὴ πρότασις.

Ἐὰν χρεία, φησί, δεῖξαι τὴν ἐλάττω πρότασιν, οὐ δύναται δι' ἀντιστροφῆς δειχθῆναι τῆς μείζονος, ἐπειδὴ καὶ τὸ συμπέρασμα ἀποφατικὸν καὶ ἡ μείζων, ἐκ δύο δὲ ἀποφατικῶν οὐ γίνεται συλλογισμός, ἤτοι οὐ
25 συνάγεται συμπέρασμα συλλογιστικῶς. ἀλλὰ πῶς; διὰ προσλήψεως οὕτως, ὅτι ᾧ τὸ Α οὐδενὶ ὑπάρχει, τούτῳ τὸ Β παντί· τῷ δὲ Γ τὸ Α οὐδενὶ ὑπάρχει· τούτῳ ἄρα τὸ Β παντί. ἰδοὺ ἵνα δείξῃ τὴν ἐλάττω πρότασιν 15 τοῦ πρώτου σχήματος, διὰ προσλήψεως ἔδειξεν· ἡ δὲ πρόσληψις ἔδειξε τὴν ἐλάττω πρότασιν διὰ τοῦ τρίτου σχήματος.

30 p. 58a36 Ἐπὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν τὴν μὲν καθόλου πρότασιν οὐκ ἔστιν ἀποδεῖξαι διὰ τῶν ἑτέρων, τὴν δὲ κατὰ μέρος ἔστιν.

Ἐπλήρωσεν ἐν τῷ πρώτῳ σχήματι περὶ τῶν ἄμφω καθόλου· νῦν

1. 2 οὕτω — οὐδενὶ τῷ β̄ mrg. M¹ 2 γὰρ scripsi: δὲ BMUt cf. p. 418,15 3 ἐλάττονα B 6 ᾧ BUt: ὅτι M 7 τούτῳ ᾧ τῷ β̄ παντὶ M (ὑ)πάρχει tert. foram. del. U 9 εἷς ὅρος ἀ foram. del. U 10 (ἰ)δοὺ ἀό foram. del. U ἔλαβε BM 14 καὶ B: ὁ MUt ὡς scripsi: εἰς BMUt ὁ om. MUt 15 ἀόριστόν MUt 16 εἶναι pr. B, προς superscr., ut videtur, B¹ 16. 17 κοινωνούς t 22 δύνανται M διὰ τῆς U 24 δὲ om. U 25 συλλογιστικόν Bt: συλλογικὸν M 26 οὐδενὶ alt. MU: οὐκοῦν Bt 27 τούτων U 31 προτέρων U 33 τῷ om. U

† ἦλθε περὶ τῶν μερικῶν συμπερασμάτων. καὶ πρῶτον περὶ τοῦ κατα- CIIv
φατικοῦ φησιν, ὅτι τῆς ἐλάττονος προτάσεως ἐνδέχεται δεῖξαι τὴν κύκλῳ,
τῆς δὲ μείζονος οὐκέτι ἐνδέχεται, εἰ μὴ ἄρα διὰ προσλήψεως πάλιν. ἡ γὰρ
μείζων καθόλου καταφατική· τὸ δὲ καθόλου καταφατικὸν ἐκ τῶν καθόλου
5 συνήγετο· καὶ ἐνταῦθα ἥ τε ἐλάττων μερικὴ καὶ τὸ συμπέρασμα μερικόν·
ἐκ δύο δὲ μερικῶν οὐδὲν συνάγεται.

p. 58a41 Ἔτι ὅλως οὐδὲ γίνεται συλλογισμὸς ἀντιστραφείσης τῆς προτάσεως τῆς μείζονος· ἐν μέρει γὰρ ἀμφότεραι γίνονται αἱ προτάσεις. τὴν δὲ ἐπὶ μέρους ἔστιν.

10 Ἐπειδὴ ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματός ἐστιν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς μερικὸν συνάγων συμπέρασμα, φησὶν ὅτι κύκλῳ δεῖξαι τὴν ἐλάττονα, ὅτι τὸ Β τινὶ τῷ Γ, δυνατὸν οὕτως· τὸ Β παντὶ τῷ Α· ἦν γὰρ τὸ Α παντὶ τῷ Β· τὸ οὖν Β παντὶ τῷ Α, τὸ Α τινὶ τῷ Γ, καὶ τὸ Β ἄρα τινὶ τῷ Γ. τὴν δὲ μεί-
15 ζονα κύκλῳ οὐ δυνατὸν δεῖξαι διὰ τὸ καθόλου· τὸ γὰρ καθόλου ἐκ δύο καθόλου ἐδείκνυτο. πῶς οὖν δείκνυται; διὰ προσλήψεως οὕτως· ὃ τῷ Γ ὑπάρχει τινί, ὡς ἐν προτάσει εἰρήκαμεν καὶ διὰ τοῦ συμπεράσματος (καὶ τοῦτο γὰρ τινὶ συνάγεται), τούτῳ ὑπάρχει τὸ Α καθόλου παντί· τὸ δὲ Β ὑπάρχει τῷ Γ τινί· τῷ ἄρα Β τὸ Α παντί. καὶ ἐδείχθη ἡ πρόσληψις
20 διὰ τοῦ τρίτου σχήματος.

p. 58b6 Εἰ δὲ στερητικὸς ὁ συλλογισμός, τὴν μὲν καθόλου πρότασιν οὐκ ἔστι δεῖξαι δι' ὃ καὶ πρότερον ἐλέχθη.

Ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματός ἐστιν ὁ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς μερικὸν ἀπο-
25 φατικὸν συνάγων συμπέρασμα. καὶ φησὶν ὅτι οὔτε τὴν μείζονα οὔτε τὴν ἐλάττονα δυνατὸν δεῖξαι διὰ τῆς κύκλῳ δείξεως, ἀλλὰ διὰ προσλήψεως μόνη ἡ ἐλάττων δείκνυται. καὶ ἡ μὲν μείζων οὐ δύναται, διότι καθόλου· ἡ δὲ ἐλάττων διὰ προσλήψεως. διότι καὶ ἡ μείζων καὶ τὸ συμπέρασμα ἀποφατικόν, ἐκ δὲ ἀποφατικῶν οὐδὲν συνήγετο. πῶς δὲ ἡ ἐλάττων δεί-
30 κνυται; οὕτως· ᾧ τὸ Α τινὶ μὴ ὑπάρχει, τούτῳ τὸ Β τινὶ ὑπάρχει· τῷ δὲ Γ τὸ Α τινὶ οὐχ ὑπάρχει· τῷ ἄρα Γ τὸ Β τινὶ ὑπάρχει. καὶ ἄλλως οὐκ ἔνι.

1 λέγει aut ἦλθε ⟨λέγειν⟩ aut ἐπὶ τὰ μερικὰ συμπεράσματα conicio cf. p. 400,13. 419,3. 436,11 περὶ alt. t: om. BMU 6 καὶ ἐκ δύο, om. δὲ U 8 τῆς μείζονος om. t Arist. 10. 11 καθόλου μείζονος B 12 συνάγον M 14 καὶ τὸ—τῷ γ' t: om. BMU 15 γὰρ scripsi: δὲ BMUt cf. p. 417,2 17 καὶ prius om. M 18 αὐτὸ γὰρ U τὸ α' β' παντὶ καθόλου t 19 τὸ ἄρα M 24. 25 (με)ρικῆς καὶ μείζονα οὔ foram. del. U 25 συνάγον M 27 ἐλάττων] λάττ foram. del. U 28 διὰ om. B 29 fort. ἐκ ⟨δύο⟩ δὲ cf. vs. 6 ἀποφατικῶν scripsi: ἀποφατικοῦ BMUt οὐδὲ MUt 30 μὴ ὑπάρχῃ Ut 31 ὑπάρξει (post τινὶ) U, at cf. p. 420,13. 18

p. 58b 13 Ἐν δὲ τῷ δευτέρῳ σχήματι τὸ μὲν καταφατικὸν οὐκ CIIv
ἔστι δεῖξαι διὰ τούτου τοῦ τρόπου, τὸ δὲ στερητικὸν ἔστι.

Ἐπλήρωσε περὶ τοῦ πρώτου σχήματος· νῦν ἦλθεν ἐπὶ τὸ δεύτερον. καὶ ἐνταῦθα δὲ δυνατὸν δεῖξαι κύκλῳ ἢ κατὰ πρόσληψιν τὰς προτάσεις. καὶ ἣν μὲν ἔλαβε πρώτην συζυγίαν ἄνω, νῦν δευτέραν, ἣν δὲ δευτέραν, νῦν πρώτην, καὶ ἣν ἔλαβε τρίτην, νῦν τετάρτην, ἣν δὲ τετάρτην, νῦν τρίτην. |

p. 58b 18 Τὸ δὲ στερητικὸν ὧδε δείκνυται· ὑπαρχέτω τὸ Α CIIIr
παντὶ τῷ Β, τῷ δὲ Γ μηδενί.

Λαμβάνει πρώτην τὴν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς, καὶ φησὶν ὅτι τὴν μείζονα οὐ δυνατὸν δεῖξαι κύκλῳ· τὸ γὰρ καθόλου καταφατικὸν ἐκ δύο καταφατικῶν καθόλου ἦν· ἐνταῦθα δὲ καὶ τὸ συμπέρασμα καὶ ἡ ἐλάττων πρότασις ἀποφατική. τὴν δὲ ἐλάττονα τὴν καθόλου ἀποφατικὴν οὕτως· τὸ Γ οὐδενὶ τῷ Β· ἦν γὰρ τὸ Β οὐδενὶ τῷ Γ· τὸ οὖν Γ οὐδενὶ τῷ Β, τὸ Β παντὶ τῷ Α, ὥστε τὸ Γ οὐδενὶ τῷ Α, καὶ τὸ Α οὐδενὶ τῷ Γ. δυνατὸν δὲ καὶ τὴν μείζονα, εἰ καὶ μὴ κύκλῳ, ἀλλ' οὖν κατὰ πρόσληψιν δεῖξαι οὕτως, ὅτι ᾧ τὸ Γ οὐδενὶ [συμπεράσματι], τούτῳ παντὶ τὸ Α· τὸ δὲ Β οὐδενὶ τῷ Γ· τὸ ἄρα Α παντὶ τῷ Β.

p. 58b 22 Εἰ δὲ τὸ ΑΒ στερητικὸν ληφθείη, θάτερον δὲ κατηγορικόν, τὸ ΑΓ, ἔσται τὸ πρῶτον σχῆμα.

Νῦν λαμβάνει τὴν μείζονα στερητικὴν τὴν δὲ ἐλάττονα καταφατικήν. τὴν μὲν οὖν μείζω δεῖξαι δυνατόν, οὐ μέντοι τὴν ἐλάττω, οὕτως· τὸ Β οὐδενὶ τῷ Γ, τὸ Γ παντὶ τῷ Α, τὸ ἄρα Β οὐδενὶ τῷ Α, καὶ τὸ Α οὐδενὶ τῷ Β. διὰ τοῦτο δεύτερος ἐλήφθη οὗτος ὁ τρόπος, ἐπειδὴ δύο ἔχει ἀντιστροφάς, μίαν τὴν λέγουσαν τὸ Γ παντὶ τῷ Α (ἦν γὰρ τὸ Α παντὶ τῷ Γ)

1 περὶ τοῦ β σχήματος inser. U 5 ἣν μετέλαβε U ἣν δὲ] καὶ ἣν superscr. M¹ 6 ἣν δὲ U: καὶ ἣν BMt 9 post μηδενί add. συμπέρασμα τὸ β̄ τῷ γ̄ μηδενί M (n) 10 τῆς prius om. B 11 δύναται Ut 12 κύκλῳ δεῖξαι M 13 καὶ ἡ in ras. U 14 τῷ γ̄ B 14. 15 τῷ β̄—τὸ β̄ scripsi: τῷ ᾱ—τὸ ᾱ libri 15 γ̄—β̄ scripsi: inv. ord. Bt, supra γ̄—ᾱ (ᾱ loco erasi γ̄ M¹) scr. MU β̄ tert. Bt, supra ᾱ (ᾱ loco erasi β̄ M) scr. MU ᾱ supra β̄ (β̄ loco erasi ᾱ) scr. M 15. 16 ὥστε—τῷ ᾱ om. M 16 γ̄ prius U pr.: ᾱ B: β̄ superscr. U, t ᾱ prius t, supra β̄ scr. U: γ̄ B τῷ (post καὶ) B ᾱ alt. t, supra β̄ scr. (β̄ loco erasi ᾱ M) MU: γ̄ B τὸ (post οὐδενὶ alt.) BM γ̄ alt. (loco erasi β̄ M) pr. MU: β̄ t, superscr. MU: ᾱ B 17 κατὰ MUt: καὶ τὴν B post δεῖξαι add. δυνατὸν U 18 συμπεράσματι delevi τοῦτο pr. U 20 post στερητικὸν add. τε M ληφθῇ Ut: ἐλήφθη Arist. τὲ (post θάτ.) U 21 γ̄ om. M: τὸ ᾱγ̄ om. Arist. ἔσται πρῶτον B: τὸ α' ἔσται t Arist. 23 μὲν om. MUt οὖν om. U ἐλάττονα M 25 οὗτος ἐλήφθη M ἐπεὶ B 26 ᾱ prius e ō corr. U

καὶ ἑτέραν τὴν τοῦ συμπεράσματος. τὴν δὲ ἐλάττω πρότασιν δυνατὸν CIIIʳ δεῖξαι διὰ προσλήψεως οὕτως· ᾧ τὸ Β οὐδενί, τούτῳ τὸ Α παντί· τὸ δὲ Β τῷ Γ οὐδενί· οὐκοῦν τὸ Α τῷ Γ παντί.

p. 58ᵇ27 Ἢν δὲ μὴ καθόλου ὁ συλλογισμὸς ᾖ, ἡ μὲν ἐν ὅλῳ πρότασις οὐ δείκνυται διὰ τὴν αὐτὴν αἰτίαν.

Πληρώσας περὶ τῶν καθόλου ἐν δευτέρῳ σχήματι νῦν λέγει περὶ τῶν μερικῶν, καὶ πρῶτον τὴν ἔχουσαν τὴν μείζονα καθόλου καταφατικὴν τὴν δὲ ἐλάττονα μερικὴν ἀποφατικήν. καὶ φησὶν ὅτι οὐ δυνατὸν τὴν μείζω κύκλῳ δεῖξαι, διότι καθόλου, τὴν δὲ ἐλάττω δυνατὸν οὕτως· τὸ Β παντὶ τῷ Α, τὸ Β οὐ παντὶ τῷ Γ, καὶ τὸ Α οὐ παντὶ τῷ Γ, ἥτις ἦν ἐλάττων πρότασις. τὴν δὲ μείζω δυνατὸν διὰ προσλήψεως οὕτως· ὃ τῷ Γ ὑπάρχει οὐ παντί, τούτῳ τὸ Α παντί· τὸ δὲ Β τῷ Γ ὑπῆρχεν οὐ παντί· τὸ ἄρα Α τῷ Β ὑπάρχει παντί.

p. 58ᵇ33 Εἰ δέ ἐστιν ἡ καθόλου στερητική, οὐ δειχθήσεται.

Ἐὰν δέ, φησίν, ἡ μείζων ᾖ ἀποφατική, πάλιν ἡ μείζων οὐ δειχθήσεται. ἡ δὲ ἐλάττων κατὰ πρόσληψιν οὕτως· ᾧ τὸ Β οὐ παντὶ ὑπάρχει, τούτῳ τὸ Α τινί· τῷ δὲ Γ τὸ Β οὐ παντὶ ὑπάρχει· τῷ ἄρα Γ τὸ Α τινὶ ὑπάρχει.

p. 58ᵇ39 Ἐπὶ δὲ τοῦ τρίτου σχήματος, ὅταν μὲν ἀμφότεραι αἱ προτάσεις καθόλου ληφθῶσιν, οὐκ ἐνδέχεται δεῖξαι δι' ἀλλήλων.

Εἰρηκὼς ποῖαι προτάσεις δείκνυνται ἐν δευτέρῳ σχήματι κύκλῳ καὶ ποῖαι οὐ δείκνυνται κύκλῳ ἀλλὰ διὰ προσλήψεως, νῦν λέγει περὶ τῶν ἐν τρίτῳ σχήματι προτάσεων, καὶ πρῶτον ἐξ ἄμφω καθόλου. καὶ φησὶν ὅτι οὐ δυνατὸν ἐν τρίτῳ σχήματι τὰς προτάσεις τὰς ἐξ ἄμφω καθόλου κύκλῳ δεῖξαι. διὰ τί; τὰς γὰρ καθόλου διὰ τῶν καθόλου ἐδείκνυμεν· ἐν δὲ τῷ τρίτῳ σχήματι τὰ συμπεράσματα πάντα μερικά· ὥστε οὐ δείκνυνται ⟨αἱ⟩ ἐν τῷ τρίτῳ σχήματι ἐξ ἄμφω καθόλου προτάσεων.

p. 59ᵃ3 Ἐὰν δ' ἡ μὲν ᾖ καθόλου ἡ δ' ἐν μέρει, ποτὲ μὲν ἔσται, ποτὲ δὲ οὐκ ἔσται συλλογισμός.

Εἰρηκὼς ὅτι ἡ καθόλου πρότασις οὐ δείκνυται τοῦ τρίτου σχήματος, νῦν λέγει περὶ τῶν τὴν μὲν μίαν ἐχουσῶν καθόλου τὴν δὲ ἄλλην μερικήν, καὶ

---

2. 3 β̄ δὲ B 4 ἦν t Arist.: εἰ BMU (ABCnu) 9 ἐλάττονα B 11 ὃ τῷ β̄ M: ᾧ β' t 12 τοῦτο τῷ β̄ B τῷ — τὸ pr. M β̄ MUt: ᾱ B ὑπῆρχεν BUt: ὑπάρχει M 14 ἡ om. B 15 ἀπόφασις M 19 σχῆμα τρίτον inscr. B μὲν t Arist.: om. BMU 22 δείκνυνται κύκλῳ om. U 24 post δυνατὸν add. καθόλου M post ἐν add. τῷ U τὰς prius om. M 25 ἐκ τῶν B 26 πάντα M: om. BUt δείκνυνται ⟨αἱ⟩ scripsi: δείκνυται BMUt 27 τῷ om. B 28 καθόλου ἡ M 31 μίαν om. BMt

φησὶν ὅτι, ἐὰν ἀμφότεραι ληφθῶσι κατηγορικαὶ καὶ ἡ μὲν μείζων μερικὴ CIIIr
ἡ δὲ ἐλάττων καθόλου, ἔσται, εἰ δὲ τὸ ἀνάπαλιν, οὐκ ἔσται. οἷον τὸ Α παντὶ τῷ Γ, καὶ τὸ Β τινὶ τῷ Γ· τὸ Α ἄρα τινὶ τῷ Β· τοῦτο γὰρ δέδεικται· ὥστε καὶ τὸ Γ τινὶ τῷ Β, καὶ τὸ Β τινὶ τῷ Γ. οὕτως ἡ μερικὴ πρότασις δείκνυται. ἡ δὲ καθόλου οὐ δείκνυται, διότι καθόλου ἐστίν, εἰ μὴ ἄρα κατὰ πρόσληψιν.

p. 59a6 Ὅταν δὲ πρὸς θατέρῳ, οὐκ ἔσται. |

Οὐκ ἔσται τὸ προκείμενον, ἐπεὶ συνάγει τὸ Γ τινὶ τῷ Β, ἀλλ' ὕστερον CIIIv
ἀντιστρέφει, ὅτι καὶ τὸ Β τινὶ τῷ Γ, καὶ οὕτως ἔσται.

p. 59a10 Καίτοι ἀνάγκη, εἰ τὸ Γ τινὶ τῷ Β, καὶ τὸ Β τινὶ τῷ Γ ὑπάρχειν. ἀλλ' οὖν οὐ ταὐτόν ἐστι τόδε.

Οὐ γὰρ ταὐτόν ἐστι λέγειν τὸ Β τινὶ τῷ Γ καὶ τὸ Γ τινὶ τῷ Β· ὅταν γὰρ λέγω 'τὸ Β τινὶ τῷ Γ ὑπάρχει', ὑποκείμενόν ἐστι τὸ Γ. κατηγορούμενον δὲ τὸ Β· ὅταν δὲ λέγω ὅτι τὸ Γ τινὶ τῷ Β, τὸ μὲν Β λαμβάνω ὑποκείμενον, τὸ δὲ Γ κατηγορούμενον· ἕτερον δὲ τὸ ὑποκεῖσθαι καὶ κατηγορεῖσθαι.

p. 59a15 Εἰ δὲ τὸ μὲν Β παντὶ τῷ Γ, τὸ δὲ Α τινὶ τῷ Γ, ἔσται δεῖξαι.

Ἐάν, φησίν, ἡ μείζων μερικὴ ἡ δὲ ἐλάττων καθόλου, δυνατὸν δεῖξαι τὴν μείζω πρότασιν αὐτὴν προηγουμένως οὕτως· τὸ Α τινὶ τῷ Γ, τὸ Β παντὶ τῷ Γ· καὶ τὸ Γ παντὶ τῷ Β, καὶ τῷ Β τινὶ τὸ Α· τὸ ἄρα Α τινὶ τῷ Γ.

p. 59a18 Καὶ ὅταν ᾖ ἡ μὲν κατηγορικὴ ἡ δὲ στερητική, καθόλου δὲ ἡ κατηγορική.

Ἐὰν δὲ ᾖ ἡ μείζων στερητικὴ μερικὴ ἡ δ' ἐλάττων καθόλου καταφατική, δειχθήσεται ἡ μείζων κύκλῳ οὕτως· τὸ Α οὐ παντὶ τῷ Β,

1 μὲν superscr. M¹: om. BUt 2 ἡ δὲ BMt: καὶ ἡ U ἐλάτττω ut saepius t
3 γ̄ prius B, pr. U: β̄ Mt, superscr. U καὶ τὸ β̄—4 τῷ β̄ iterat B τιν prius BU: παντὶ Mt γ̄ alt. B, pr. U: α Mt: δ̄ superscr. U ἄρα α Mt
4 β prius BMt: α U καὶ alt. BU: οὐ μὴν Mt ante τὸ β add. δὲ t
γ̄ alt. BU: α Mt ἡ om. M 10 καίτοι ἀνάγκη om. MUt 11 ὑπάρχειν t Arist.: ὑπάρχει BU: compend. M ὖον om. t Arist. 12 λέγειν U: λέγει, εἰ BMt
13 ὅταν corr., ut videtur, M¹: ὅτε BUt, pr. M 17 μὲν om. Arist. (habet A)
τινὶ corr. e παντὶ U² 20 κατηγορουμένως U¹, προ supra κατ ser. U² post οὕτως add. ἐστὶν M 21 τῷ β̄ τινὶ τὸ scripsi: τὸ β τινὶ τῶ BMUt 24 ἡ om. M

τὸ Γ παντὶ τῷ Β, τὸ Γ οὐ παντὶ τῷ Α, καὶ τὸ Α οὐ παντὶ τῷ Γ. τὴν CIIIv δὲ ἐλάττω κατηγορικὴν διὰ προσλήψεως δείκνυμεν.

p. 59a 24 Ὅταν δὲ ἡ στερητικὴ καθόλου γένηται, οὐ δείκνυται ἡ ἑτέρα.

Ἐὰν δὲ ᾖ ἡ μείζων στερητικὴ καθόλου ἡ δὲ ἐλάττων μερικὴ καταφατική, οὐ δείκνυται ἡ μερικὴ καταφατική, εἰ μὴ διὰ προσλήψεως· κύκλῳ γὰρ οὐ δύναται. εἰ γὰρ ἡ μείζων ἀποφατική, καὶ τὸ συμπέρασμα ἀποφατικόν· ἐκ δὲ δύο ἀποφατικῶν καταφατικὸν συναχθῆναι οὐ δύναται. ἀλλὰ διὰ προσλήψεως δείκνυται οὕτως· ᾧ τὸ Α οὐ παντὶ ὑπάρχει, τοῦτο τῷ Γ τινὶ ὑπάρχει· τὸ δὲ Α τῷ Β ὑπάρχει οὐ παντί· οὐκοῦν τὸ Β τῷ Γ ὑπάρχει τινί.

p. 59a 32 Φανερὸν οὖν ὅτι ἐν μὲν τῷ πρώτῳ σχήματι ἡ δι' ἀλλήλων δεῖξις διά τε τοῦ πρώτου καὶ τοῦ τρίτου γίνεται σχήματος.

Ἐπανάληψιν σύντομον ποιεῖται τῶν λεχθέντων, ὅτι ἐν τῷ πρώτῳ σχήματι ὅσαι δείκνυνται προτάσεις κύκλῳ, αἱ μὲν ἐν τῷ πρώτῳ εὐθέως, αἱ δὲ ἐν τῷ τρίτῳ. καὶ λέγει πότε διὰ τοῦ πρώτου καὶ πότε διὰ τοῦ τρίτου.

p. 59a 36 Ἐν δὲ τῷ μέσῳ καθόλου μὲν ὄντος τοῦ συλλογισμοῦ δι' αὐτοῦ τε καὶ διὰ τοῦ πρώτου σχήματος.

Ἐν δὲ τῷ δευτέρῳ σχήματι αἱ δεικνύμεναι κύκλῳ, εἰ μὲν καθόλου, εὐθέως δι' αὐτοῦ τοῦ δευτέρου καὶ τοῦ πρώτου, εἰ δὲ μερικόν, δι' αὐτοῦ τοῦ δευτέρου καὶ τοῦ τρίτου δείκνυνται. ἐν δὲ τῷ τρίτῳ σχήματι ὅσοι κύκλῳ ἐδείκνυντο, πάντες δι' αὐτοῦ εὐθέως τοῦ τρίτου ἐδείκνυντο. φανερὸν δὲ ὅτι ἐν τῷ τρίτῳ καὶ μέσῳ σχήματι ὅσοι μὴ δι' ἑαυτῶν δεικνύουσιν, ἢ οὐ κατὰ κύκλον δεικνύουσιν ἢ ἀτελεῖς εἰσιν.

p. 59b 1 Τὸ δ' ἀντιστρέφειν ἐστὶ τὸ μετατιθέντα τὸ συμπέρασμα ποιεῖν τὸν συλλογισμόν.

Εἰρήκαμεν ἤδη τοῦτο πλειστάκις, ὡς ὅτι τρεῖς ὑπάρχουσιν ἀντιστροφαί.

1 τὸ γ̄—τῷ β̄ B: τῷ β̄—τὸ γ̄ corr. M¹U²: τὸ β̄—τῷ γ̄ pr. MU, t τὸ γ̄ (γ̄ supra ᾱ scr. U²)—τῷ ᾱ (ᾱ supra γ̄ scr. U²) U: om. BMt καὶ om. Bt post τὸ ᾱ add. ἄρα U 2 post κατηγορικὴν add. οὐ M 3 γίνηται B 6 διὰ προσλήψεως] huc usque M 9. 10 τοῦτο τῷ U²: τούτῳ τὸ BU¹t 10 τῷ β̄ τὸ γ̄ Bt 12. 13 διάλληλος pr. B 15 δείκνυται pr. U, t; corr. U² 16 post καὶ prius add. αὐτὸς U καὶ alt. om. Ut 18 αὐτοῦ t διὰ om. B 20 αὐτοῦ prius, quod post πρώτου colloc. BUt, transposui δευτέρου καὶ τοῦ om. U 20. 21 διὰ τοῦ αὐτοῦ τοῦ U 21 τοῦ alt. om. U δείκνυνται scripsi: δείκνυται BUt ὅσαι pr. B 22 κύκλῳ—23 ὅσοι om. B 23 ἑαυτοῦ t 23. 24 δεικνύουσιν, ἢ om. Bt 25 περὶ τῆς ἐν συλλογισμῷ (ἐν τοῖς συλλογισμοῖς U) ἀντιστροφῆς inscr. BU 27 πλειστάκις] velut p. 40,9 sq.

μία μὲν ἡ ἐν ὅροις, δευτέρα δὲ ἡ ἐν προτάσει, τρίτη δὲ ἡ ἐν συλλογισμῷ. CIII
ἀλλὰ περὶ μὲν τῆς ἐν ὅροις ἀντιστροφῆς εἴρηκεν ἐν Κατηγορίαις, ὅταν ἔλεγε 50
τὸ ἴσον ἴσῳ ἴσον· περὶ δὲ τῆς ἐν προτάσεσιν ἀντιστροφῆς εἶπεν ἐν τῷ
πρώτῳ λόγῳ τῶν Προτέρων ἀναλυτικῶν. νῦν δὲ βούλεται εἰπεῖν περὶ τῆς
5 ἀντιστροφῆς τῆς ἐν συλλογισμῷ. γίνεται δὲ αὕτη τοῦτον τὸν τρόπον· λαμ-
βάνομεν τὸ συμπέρασμα τὸ γενόμενον, καὶ τοῦτο μετατίθεμεν ἢ εἰς τὸ ἐναντίον
ἢ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον, καὶ τὴν ἄλλην πρότασιν ὑγιῆ καὶ ἀποδει-
κνύομεν τῆς λοιπῆς προτάσεως ὡς ὅτι τὸ ἐναντίον συνάγεται ἢ τὸ ἀντιφατι-
κῶς ἀντικείμενον. οἷον εἰ συναχθῇ συμπέρα|σμα καθόλου καταφατικόν, μετα- CIV r
10 τίθεμεν τοῦτο εἰς τὸ ἐναντίον τὸ καθόλου ἀποφατικὸν ἢ εἰς τὸ ἀντιφατικῶς
αὐτῷ ἀντικείμενον, ὅ ἐστι τὸ μερικὸν ἀποφατικόν, καὶ οὕτως δείκνυμεν τῆς
ἑτέρας προτάσεως συναγόμενα ἢ τὰ ἐναντία ἢ τὰ ἀντιφατικῶς ἀντικείμενα.
ποιεῖται δὲ ταύτην τὴν ἐν συλλογισμῷ ἀντιστροφὴν καὶ ἐπὶ ἑκάστου τρόπου
συλλογιστικοῦ καὶ ἐπὶ ἑκάστου σχήματος. τινὲς δὲ ᾠήθησαν τὴν ἐν συλ- 5
15 λογισμῷ ἀντιστροφὴν καὶ τὴν εἰς ἀδύνατον ἀπαγωγὴν ταὐτὸν εἶναι. ὁ δὲ
Ἀριστοτέλης μετὰ ταύτην τὴν θεωρίαν ἐκτίθεται περὶ τῆς εἰς ἀδύνατον
ἀπαγωγῆς καὶ δείκνυσι μὴ εἶναι τὸ αὐτὸ τὴν ἐν συλλογισμῷ ἀντιστροφὴν
τῇ εἰς ἀδύνατον ἀπαγωγῇ.

p. 59 b 3 Ἀνάγκη γὰρ τοῦ συμπεράσματος ἀντιστραφέντος καὶ τῆς
20 ἑτέρας μενούσης προτάσεως ἀναιρεῖσθαι τὴν λοιπήν.

Τοῦ συμπεράσματος ἀντιστραφέντος καὶ τῆς μιᾶς προ- 10
τάσεως μενούσης ἀνάγκη ἀναιρεῖσθαι τὴν ἄλλην πρότασιν καὶ
δείκνυσθαι αὐτὴν ἢ τὸ ἐναντίον συνάξασαν ἢ τὸ ἀντιφατικῶς ἀντικείμενον·
εἰ γὰρ μείνῃ καὶ αὕτη ἡ αὐτή, δῆλον ὅτι καὶ τὸ συμπέρασμα τὸ αὐτὸ ἔμεινεν.

25 p. 59 b 6 Διαφέρει δὲ τὸ ἀντικειμένως ἢ τὸ ἐναντίως ἀντιστρέ-
φειν τὸ συμπέρασμα.

Ἐὰν τὸ συμπέρασμα εἰς τὸ ἐναντίον ἀντιστρέψωμεν, ἑτέρους ποιοῦμεν
συλλογισμούς, ἐὰν δὲ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον, ἑτέρους, ὡς σαφῶς
ἐπιδείξομεν. ἐναντίως δὲ ὑπάρχει τὸ παντὶ καὶ οὐδενὶ καὶ τὸ τινὶ
30 καὶ οὐ τινί.

p. 59 b 11 Ἔστω γὰρ δεδειγμένον τὸ Α κατὰ τοῦ Γ διὰ μέσου τοῦ Β.

Πρῶτον ποιεῖται τὴν ἀντιστροφὴν ὡς ἐπὶ τοῦ πρώτου τρόπου τοῦ
πρώτου σχήματος τοῦ συνάγοντος καθόλου καταφατικὸν συμπέρασμα, ἐπειδὴ

2 ante ὅροις add. τοῖς Ut ἐν Κατηγ.] c. 7 p. 6 b 28 sq. 3. 4 ἐν τῷ πρώτῳ λόγῳ τῶν Προτ. ἀναλ.] c. 2 p. 25 a 5 sq. 6 μετατιθέαμεν U 10 τὸ alt. e τοῦ corr. U² 13 συλλογισμοῖς B καὶ ἐπὶ — 15 ἀντιστροφὴν καὶ om. B 15 τῇ — ἀπαγωγῇ B 16 ἐκτίθεται] c. 11 p. 61 a 18 sq. 20 προτάσεως μενούσης t 21. 22 μιᾶς προτάσεως Ut: ἑτέρας B 24 αὐτὴ (post καὶ) U 29 ἐπιδείξομεν scripsi cf. p. 424,20: ἐπιδείξωμεν Ut: δείξομεν B ὑπάρχειν U 30 καὶ Bt: τῷ U

καὶ ἐκ δύο καθόλου καταφατικῶν σύγκειται. λάβωμεν οὖν τέως τὸ ἐναν- CIVr
τίον τῷ συμπεράσματι, ὅτι τὸ Α τῷ Γ οὐκ ἔστι παντὶ ἀλλ' ὅτι οὐδενί,
καὶ δέον ἔστω δεῖξαι τὴν ἐλάττονα πρότασιν. δείκνυται δὲ ἡ ἐλάττων διὰ
τοῦ δευτέρου σχήματος, ἡ δὲ μείζων διὰ τοῦ τρίτου. οὐκοῦν τὸ Α οὐδενὶ 25
5 τῷ Γ, τὸ Α παντὶ τῷ Β, συμπέρασμα τῆς ἐλάττονος προτάσεως ὅτι
τὸ Β οὐδενὶ τῷ Γ, ὅπερ ἦν ἐναντίον τῷ παντί. εἰ δὲ βουλόμεθα τὴν
μείζονα πρότασιν ἀποδεῖξαι, ἀποδείκνυμεν διὰ τοῦ τρίτου σχήματος, καὶ
συνάγομεν οὐ τὸ ἐναντίον τῇ μείζονι προτάσει ἀλλὰ τὸ ἀντιφατικῶς
ἀντικείμενον· ἐν γὰρ τῷ τρίτῳ σχήματι καθόλου συμπέρασμα οὐ συνήγετο.
10 οἷον τὸ Α οὐδενὶ τῷ Γ, τὸ Β παντὶ τῷ Γ, καὶ συμπέρασμα ὅτι τὸ Α οὐ
παντὶ τῷ Β· τοῦτο δὲ ἀντιφατικῶς ἀντίκειται τῇ ⟨πρώτῃ⟩ προτάσει. ὥστε 30
ἐκ τούτων τῶν ῥηθέντων παραφυλάξασθαι ὀφείλομεν ὅτι ἡ μὲν πρότασις
ἡ μείζων διὰ τοῦ τρίτου σχήματος δείκνυται, ἡ δὲ ἐλάττων διὰ τοῦ δευ-
τέρου. καὶ τοῦτο δὲ πάλιν φυλάξασθαι ὀφείλομεν ἐπὶ τοῦ πρώτου σχή-
15 ματος, ὅτι εἰ τὸ συμπέρασμα ἀντιστραφῇ εἰς τὸ ἐναντίον, εἰ μὲν τὴν μείζω
πρότασιν δεικνύεις, δείξεις τὸ ἀντιφατικῶς ἀντικείμενον, εἰ δὲ τὴν ἐλάττω,
τὸ ἐναντίον δείξεις συναγόμενον, εἰς ὃ καὶ τὸ συμπέρασμα ἀντέστρεψας.
εἰ δὲ τὸ συμπέρασμα ἀντιστραφήσεται εἰς τὸ οὐ παντί, λέγω δὴ τὸ ἀντι-
φατικῶς ἀντικείμενον, καὶ ἡ μείζων πρότασις καὶ ἡ ἐλάττων ὅμοιον συμ- 35
20 πέρασμα συνάξουσιν, ὡς ἐπιδείξομεν σαφῶς.

p. 59b12 Εἰ δὴ τὸ Α μηδενὶ ληφθείη τῷ Γ.

Πρῶτον δείκνυσι τὴν ἐλάττω πρότασιν συνάγουσαν ὅμοιον τῷ συμ-
περάσματι.

p. 59b13 Καὶ εἰ τὸ μὲν Α μηδενὶ τῷ Γ.

25 Νῦν δείκνυσι τὴν μείζω πρότασιν συνάγουσαν τὸ ἀντιφατικῶς ἀντι-
κείμενον τῆς ⟨πρώτης⟩ προτάσεως· ἦν δὲ ἡ πρώτη τὸ Α παντὶ τῷ Β.
νῦν οὖν τὸ οὐ παντὶ συνάγεται, τουτέστι τὸ Α οὐ παντὶ τῷ Β.

p. 59b20 Καὶ εἰ στερητικὸς ὁ συλλογισμός, ὡσαύτως· δεδείχθω
γὰρ τὸ Α μηδενὶ τῷ Γ ὑπάρχον διὰ τοῦ Β.

30 Δείξας περὶ τοῦ καθόλου καταφατικοῦ νῦν βούλεται περὶ τοῦ καθόλου 45
ἀποφατικοῦ. ἐὰν γὰρ ᾖ τὸ Α οὐδενὶ τῷ Γ διὰ μέσου τοῦ Β, ἵνα ληφθῇ

---

1 καταφατικῶν t: καταφατικὸν BU σύγκειται t 3 ἔστω scripsi: ἐστὶ BUt
5 ἐλάττω libri 6 βουλώμεθα t 8 post ἀντιφατικῶς add. αὐτῇ U 11 πρώτῃ addidi cf. vs. 26 12. 13 ὅτι ἡ μείζων μὲν πρότασις U 15 ἀντεστράφη U
16 δεικνύεις B: δείκνυσι U: δεικνύς t δείξει pr. U: δείξας t 17 ἀντέστρεψεν Bt
18 post ἀντιστραφήσεται add. ἀντιστρέφεται U δὴ Bt: δὲ U 19 ὁμοίως pr. U, corr. U¹ 21 τὸ γ̄ U 22 συνάγουσιν pr. U, corr. U² 26 πρώτης addidi cf. vs. 11 post ᾱ add. οὐ t 29 τῷ BUt (Cmnf): τῶν Arist.

παντί, καὶ δέον δεῖξαι τὴν ἐλάττω πρότασιν, συνάξομεν οὕτως πάλιν ἐν CIVr δευτέρῳ σχήματι (ἡ γὰρ ἐλάττων ἐν δευτέρῳ συνήγετο)· τὸ Α παντὶ τῷ Γ, τὸ Α οὐδενὶ τῷ Β, καὶ συμπέρασμα ὅτι τὸ Β οὐδενὶ τῷ Γ. εἰ δὲ τὴν μείζονα δέον δεῖξαι, δείξομεν διὰ τοῦ τρίτου σχήματος· τὸ Α παντὶ τῷ Γ, τὸ Β παντὶ τῷ Γ, τὸ ἄρα Α τινὶ τῷ Β. καὶ ἐπὶ τοῦ δευτέρου οὖν τρόπου τοῦ πρώτου σχήματος ἐδείχθη ἡ μὲν ἐλάττων διὰ τοῦ δευτέρου, ἡ δὲ μείζων διὰ τοῦ τρίτου. ἐδείχθη δὲ καὶ τοῦτο πάλιν, ὡς εἰρήκαμεν· ἡ μὲν μείζων συνῆξε τὸ ἀντιφατικῶς ἀντικείμενον· ἀντὶ γὰρ τοῦ οὐδενὶ τὸ τινὶ συνῆξεν· ἡ δὲ ἐλάττων τὸ ἐναντίως ἀντικείμενον· ἀντὶ γὰρ τοῦ παντὶ τὸ οὐδενὶ συνῆξεν.

p. 59b21 Οὐκοῦν ἐὰν ληφθῇ τὸ Α τῷ Γ παντί.

Πρῶτον δείκνυσι τὴν ἐλάττω πρότασιν συνάγουσαν τὸ ἐναντίον τῇ CIVv πρώτῃ προτάσει, εἶτα δεύτερον δείκνυσι τὴν μείζω συνάγουσαν τὸ ἀντιφατικῶς ἀντικείμενον τῇ πρώτῃ προτάσει.

p. 59b25 Ἐὰν δὲ ἀντικειμένως ἀντιστραφῇ τὸ συμπέρασμα, καὶ οἱ συλλογισμοὶ ἀντικείμενοι.

Ἔλαβε πρῶτον τὸ συμπέρασμα ἐπὶ τῶν δύο τρόπων καὶ ἀντέστρεψεν εἰς τὸ ἐναντίον καὶ ἔδειξε τὰ συναγόμενα· νῦν ἀντιστρέφει εἰς τὰ ἀντιφατικῶς ἀντικείμενα. οὐκοῦν καὶ ἐπὶ τῆς μείζονος προτάσεως καὶ ἐπὶ τῆς ἐλάττονος τὸ ἀντιφατικῶς ἀντικείμενον συναχθήσεται ἐπὶ τοῦ πρώτου τρόπου. οἷον τὸ Α οὐ παντὶ τῷ Γ, τὸ Α παντὶ τῷ Β, συμπέρασμα ὅτι τὸ Β οὐ παντὶ τῷ Γ· ἦν δὲ παντὶ τὸ πρῶτον. ἐπὶ δὲ τῆς μείζονος πάλιν ὁμοίως· τὸ Α οὐ παντὶ τῷ Γ, τὸ Β παντὶ τῷ Γ, συμπέρασμα ὅτι τὸ Α οὐ παντὶ τῷ Β. ὥστε εἰ ἀντιστραφείη εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ συμπέρασμα, συναχθήσεται τὰ ἀντιφατικῶς ἀντικείμενα τῶν προτάσεων. ἐπὶ δὲ τοῦ δευτέρου τρόπου ἔστω τὸ Α οὐδενὶ τῷ Β, τὸ Α τινὶ τῷ Γ· συμπέρασμα ὅτι τὸ Β οὐ παντὶ τῷ Γ, ὅ τι ἀντιφατικῶς ἀντίκειται τῇ πρώτῃ προτάσει. ἐὰν δὲ τὴν μείζω δέον δεῖξαι, οὕτως· τὸ Α τινὶ τῷ Γ, τὸ Β παντὶ τῷ Γ· συμπέρασμα ὅτι τὸ Α τινὶ τῷ Β, ὅπερ καὶ τοῦτο ἀντιφατικῶς ἀντίκειται τῇ πρώτῃ προτάσει.

p. 59b37 Ἐπὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν ὅταν μὲν ἀντικειμένως ἀντιστρέφηται τὸ συμπέρασμα, ἀναιροῦνται ἀμφότεραι αἱ προτάσεις.

Πληρώσας περὶ τῶν καθόλου συλλογισμῶν τῶν τὸ καθόλου συναγόντων

1 καὶ om. Bt ἐλάττονα B 5 α ἄρα B 6 ἐλάττω Bt itemque vs. 9
7 εἰρήκαμεν] p. 424,14 sq. post εἰρ. add. καὶ t: fort. ὡς 8 μείζω Bt
9 συνῆγεν t ἐναντίον B: ἐναντίον ὡς t 11 οὐκοῦν Ut Arist.: οὖν post ἐὰν B ἂν Arist. (sed ἐὰν n) 16 post οἱ add. ἄλλοι Ut: om. B Arist. 24 ἀντιστραφῇ U
26 ἔσται U 27 fort. ὅπερ cf. vs. 29 32 ἀντιστραφῇ καὶ τὸ U ἀναιροῦνται post 33 προτάσεις colloc. B ἀμφότεραι t Arist.: om. BU 34 τὸ om. U

νῦν λέγει περὶ τῶν τὸ μερικὸν συναγόντων. καὶ φησὶν ὅτι, ἐὰν τὸ συμ- CIVr
πέρασμα εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀντιστραφῇ, ἀναιροῦνται αἱ προ-
τάσεις αἱ ἐξ ἀρχῆς καὶ φέρουσι τὰ ἐναντία ἢ τὰ ἀντιφατικῶς ἀντικείμενα· 25
ἐὰν δὲ εἰς τὸ ἐναντίον ἀντιστραφῇ τὸ συμπέρασμα, οὐκέτι ἀναιροῦνται αἱ
5 προτάσεις ἀλλὰ μένουσιν αἱ αὐταί, ὡς ἐπιδείξομεν. καὶ διὰ τί τοῦτο
γίνεται, φησίν. οὐκέτι γὰρ γίνεται, ὥσπερ ἐπὶ τῶν καθόλου λαμβανομένου
τοῦ συμπεράσματος εἰς τὸ ἐναντίον ἐδείκνυτο ἀναιρεῖν τὴν πρώτην πρότασιν,
οὕτως καὶ ἐνταῦθα· ἐνταῦθα γὰρ ὅλως ἀναιρεῖ τὸ καθόλου διὰ τὸ μερικὸν
εἶναι τὸ συμπέρασμα.

10 p. 60a1 Δεδείχθω γὰρ τὸ Α κατὰ τινὸς τοῦ Γ. οὐκοῦν ἐὰν 30
ληφθῇ τὸ Α μηδενὶ τῷ Γ ὑπάρχειν, τὸ δὲ Β τινὶ τῷ Γ.

Πρῶτον δείκνυσι τὸν τρίτον τρόπον τοῦ πρώτου σχήματος συνάγοντα
τὸ τινί. ἐὰν δ' ἀντιστραφῇ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ οὐδενί,
συνάξει οὕτως· τὸ Α οὐδενὶ τῷ Γ, τὸ Β τινὶ τῷ Γ· συμπέρασμα ὅτι τὸ
15 Α οὐ παντὶ τῷ Β. εἰ δὲ τὴν ἐλάττω, οὕτως· τὸ Α οὐδενὶ τῷ Γ, τὸ Α
παντὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Β οὐδενὶ τῷ Γ. ὥστε καὶ ἡ μείζων καὶ
ἡ ἐλάττων εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀντέστρεψαν τοῦ συμπεράσματος 40
οὕτως ἀντιστραφέντος. ἐὰν δὲ εἰς τὸ ἐναντίον ἀντιστραφῇ τὸ συμπέρασμα,
ἵνα ἀντὶ τοῦ τινὶ τὸ οὐ παντὶ λάβωμεν, οὔτε τὴν μείζω δυνάμεθα δεῖξαι
20 διὰ τὸ εἶναι καὶ τὴν ἐλάττω πρότασιν καὶ τὸ συμπέρασμα μερικόν· τὴν
δὲ ἐλάττω οὐ δυνάμεθα δεῖξαι διὰ τί; [εἰ γὰρ δείξομεν] πρῶτον μὲν ὅτι ἡ
μείζων γίνεται μερικὴ ἐν δευτέρῳ σχήματι, ἔπειτα δὲ ὅτι συνάγομεν οὐ
παντί· τοῦτο δὲ τὸ οὐ παντὶ οὐκ ἀντίκειται ἐναντίως τῇ πρώτῃ προτάσει
τῇ τινί· ποτὲ γὰρ συναληθεύουσιν αὗται αἱ προτάσεις. 45

25 p. 60a11 Ὁμοίως δὲ καὶ εἰ στερητικὸς ὁ συλλογισμός.

Ὥσπερ ἐπὶ τοῦ τρίτου τρόπου, οὕτως καὶ ἐπὶ τοῦ τετάρτου τοῦ ἀπο-
φατικοῦ ποιητέον· εἰ μὲν γὰρ τὸ ἀντιφατικῶς ἀντικείμενον ληφθῇ, ἀναι-
ροῦνται ἀμφότεραι· εἰ δὲ τὸ ἐναντίον, οὐκ ἀναιροῦνται. ἀπόδειξις δὲ ἡ 50
αὐτὴ καὶ ἐπὶ τοῦ τετάρτου τρόπου ἥτις καὶ ἐπὶ τοῦ τρίτου τρόπου ἐγίνετο.

30 p. 60a15 Ἐν δὲ τῷ δευτέρῳ σχήματι τὴν μὲν πρὸς τῷ μείζονι
ἄκρῳ πρότασιν οὐκ ἔστιν ἀναιρεῖν.

Πληρώσας τὸ πρῶτον σχῆμα νῦν ἦλθεν ἐπὶ τὸ δεύτερον. καὶ φησὶν CVr
ὅτι ἡ μείζων πρότασις οὐκ ἀναιρεῖται, ὅτε λαμβάνεται τοῦ συμπεράσματος

3 post φέρουσι add. μὲν U 6 post γὰρ add. φησι U 7 ἀναιρεῖν scripsi: ἀφαιρεῖν BUt. 8 τοῖς (ante καθόλου) U 10 post γὰρ add. ὅτι B 13 ἂν B δ' om. U 15 δὲ ἐλάττων U 16 post τῷ γ̄ add. τὸ ᾱ παντὶ τῷ β̄ U 18 ἀντεστράφη (ντ corr.) U 21 εἰ γὰρ δείξομεν delevi 22 ἐπεὶ t post ὅτι add. οὐ U 25 post στερητικὸς add. εἴη Ut: om. B Arist. 26 τοῦ tert. om. Bt 29 ἥστις sic B 30 ἀρχὴ τοῦ δευτέρου σχήματος inscr. U τῇ μὲν B 31 ἀνελεῖν t Arist. 32 πληρώσας περὶ τοῦ πρώτου σχήματος U

τὸ ἐναντίον, ἡ δὲ ἐλάττων ἀναιρεῖται. λέγω δὲ τὴν μείζω πρότασιν μὴ (V)
ἀναιρεῖσθαι, οὐχ ὅτι οὐκ ἀναιρεῖται, ἀλλ' ὅτι εἰς τὸ ἐναντίον οὐκ ἀναιρεῖται, ἀλλ' εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀναιρεῖται. διὰ τί δέ; ὁ αὐτὸς λέγει ὅτι ἐν τρίτῳ σχήματι δείκνυται ἡ μείζων πρότασις· οὐδὲν δὲ καθόλου 5
5 ἐν τρίτῳ δείκνυται· ἡ δὲ μείζων ἐν δευτέρῳ σχήματι καθόλου ἐστίν. ὥστε τὸ ἀντιφατικῶς ἀντικείμενον δείκνυται. ἡ δὲ ἐλάττων πρότασις δείκνυται διὰ τοῦ πρώτου σχήματος, ὡς ἐπιδείξομεν.

p. 60ᵃ21 Ὑπαρχέτω γὰρ τὸ Α παντὶ τῷ Β τῷ δὲ Γ μηδενί· συμπέρασμα τὸ ΒΓ οὐδενί.

10 Ἀποδείκνυσι πρῶτον τὸν πρῶτον τρόπον τοῦ δευτέρου σχήματος [οὕτως] τὸν ἐκ τῆς μείζονος καταφατικῆς τῆς δὲ ἐλάττονος ἀποφατικῆς συνάγοντα 15 συμπέρασμα ἀποφατικὸν τὸ Β οὐδενὶ τῷ Γ. ἐὰν οὖν ληφθῇ τὸ Β παντὶ τῷ Γ ὑπάρχειν καὶ δεῖξαι βουληθῶμεν τὴν ἐλάττω πρότασιν τὴν λέγουσαν τὸ Α οὐδενὶ τῷ Γ, δείκνυμεν τὴν ἐλάττω διὰ τοῦ πρώτου σχήματος οὕτως· 15 τὸ Α παντὶ τῷ Β, τὸ Β παντὶ τῷ Γ, τὸ ἄρα Α παντὶ τῷ Γ. εἰ δὲ τὸ Β παντὶ τῷ Γ, τὸ δὲ Α μηδενὶ τῷ Γ, [καὶ] συμπέρασμα τὸ Α οὐ παντὶ τῷ Β. ἀναιρεῖται οὖν ἡ μείζων πρότασις οὐκ ἐναντίως ἀλλ' ἀντιφατικῶς. ὥστε καλῶς ἐλέγομεν τὴν μείζω μὴ ἀναιρεῖσθαι ἐναντίως. ἀλλ' εἰ τὸ ἀντιφατικῶς ἀντικείμενον τοῦ συμπεράσματος ληφθῇ, οἷον τὸ Β τινὶ 20 20 τῷ Γ, ἡ μείζων πρότασις ὁμοίως ἀναιρεθήσεται, ἡ δὲ ἐλάττων ἀντιφατικῶς. εἰ γὰρ τὸ Β τινὶ τῷ Γ, τὸ Α οὐδενὶ τῷ Γ, συμπέρασμα ὅτι τὸ Α οὐ παντὶ τῷ Β· ἐπὶ δὲ τῆς ἐλάττονος οὕτως· τὸ Α παντὶ τῷ Β, τὸ Β τινὶ τῷ Γ, τὸ Α τινὶ τῷ Γ, ὅπερ ἀντιφατικῶς ἀντίκειται τῇ πρώτῃ προτάσει.

25 p. 60ᵃ31 Ὁμοίως δὲ δειχθήσεται καὶ εἰ ἀνάπαλιν ἔχοιεν αἱ προτάσεις.

Ὁμοίως δὲ δειχθήσεται καὶ ὁ δεύτερος τρόπος τοῦ δευτέρου σχήματος· ἀνάπαλιν γὰρ ἔχουσιν αἱ προτάσεις.

p. 60ᵃ32 Εἰ δ' ἔστιν ἐπὶ μέρους ὁ συλλογισμός.

30 Πληρώσας περὶ τῶν τὸ καθόλου συναγόντων ἐν δευτέρῳ σχήματι νῦν λέγει περὶ τῶν τὰ μερικά. καὶ φησὶν ὅτι, ἐὰν ἐπὶ τῶν τὸ μερικὸν συμ- 30

1 immo λέγει 9 τὸ BUt(n): om. Arist. οὐδενί Ut: μηδενί B: om. Arist.
10 τὸν e τὸ corr. B οὕτως delevi 11 τὸν Bt: τὴν U 12 οὖν om. Ut, at cf. p. 428,9. 429,8 13 ὑπάρχει U 14 ἐλάττονα B post οὕτως del. τὸν ἐκ τῆς — οὐδενὶ τῷ γ e vs. 11. 12 illata B 15—17 εἰ δὲ -- παντὶ τῷ β om. Bt
16 καὶ delevi 17 οὖν U: δὲ Bt 19 τὸ prius om. U τὸ συμπέρασμα U
20 ἀναιρεθήσεται mrg. U: δειχθήσεται B, in textu U: ἀναιρεθήσεται δειχθήσεται t ante ἡ δὲ add. τούτων Ut 30 τὸ om. Ut

πέρασμα συναγόντων τὸ συμπέρασμα εἰς τὸ ἐναντίον ἀντιστραφῇ, οὐδεμία CVr πρότασις ἀναιρεῖται, οὔτε ἡ μείζων οὔτε ἡ ἐλάττων, ἐὰν δὲ τὸ συμπέρασμα ἀντιστραφῇ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον αὐτῷ, τότε ἀμφότεραι ἀναιροῦνται, ὡς δείξομεν.

p. 60ᵃ35 Κείσθω γὰρ τὸ Α τῷ μὲν Β μηδενὶ ὑπάρχειν τῷ δὲ Γ τινί· συμπέρασμα ΒΓ.

Περὶ τοῦ τρίτου τρόπου λέγει νῦν τοῦ δευτέρου σχήματος τοῦ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς συμπέρασμα μερικὸν ἀποφατικὸν συνάγοντος. ἐὰν οὖν τὸ συμπέρασμα μεταληφθῇ εἰς τὸ ἐναντίον, ὅτι τὸ Β τινὶ τῷ Γ ὑπάρχει, καὶ δέον δεῖξαι τὴν ἐλάττω πρότασιν, δείκνυμεν οὕτως· τὸ Α οὐδενὶ τῷ Β, τὸ Β τινὶ τῷ Γ, τὸ Α οὐ παντὶ τῷ Γ. ἀλλ' οὐκ ἀνῄρηται τὸ πρότερον τὸ λέγον ὅτι τὸ Α τινὶ τῷ Γ· ἐνδέχεται γὰρ ἀμφότερα συναληθεύειν. εἰ δὲ βουλόμεθα τὴν μείζω ἀνασκευάσαι, ἀνασκευάσομεν διὰ τοῦ τρίτου σχήματος· ἀλλ' οὐκ ἀνασκευασθήσεται· καὶ γὰρ καὶ τὸ συμπέρασμα μερικὸν καταφατικὸν καὶ ἡ ἐλάττων πρότασις μερική· ἐκ δὲ δύο μερικῶν οὐ γίνεται συλλογισμός. ὥστε καλῶς ἐλέγομεν ὅτι, ἐὰν ἐπὶ τῶν μερικῶν εἰς τὸ ἐναντίον ἀντιστραφῇ, οὔτε ἡ μείζων οὔτε ἡ ἐλάττων ἀναιρεῖται. ἐὰν δὲ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀντιστραφῇ τὸ συμπέρασμα, ἀναιρεθήσονται αἱ προτάσεις ἀμφότεραι. οἷον εἰ τὸ Β ληφθῇ ἀντὶ τοῦ οὐ παντὶ τῷ Γ ὅτι παντὶ ὑπάρχει, καὶ εἰ δέον δεῖξαι τὴν ἐλάττω πρότασιν, δείκνυμεν οὕτως· τὸ Α οὐδενὶ τῷ Β, τὸ Β παντὶ τῷ Γ, τὸ Α οὐδενὶ τῷ Γ. ἰδοὺ νῦν ἀνῄρηται ἡ ἐλάττων ἀντίφασις· ἦν γὰρ τινὶ τῷ Γ τὸ Α. εἰ δὲ δέον τὴν μείζω ἀναιρεῖν, ἀναιροῦμεν οὕτως· τὸ Β παντὶ τῷ Γ, τὸ Α τινὶ τῷ Γ, τὸ ἄρα Α τινὶ τῷ Β. ὥστε καὶ νῦν ἡ μείζων ἀντιφατικῶς ἀνῄρηται· ἦν γὰρ τὸ Α οὐδενὶ τῷ Β.

p. 60ᵇ5 Ἡ αὐτὴ δ' ἀπόδειξις καὶ εἰ τὸ καθόλου κατηγορικὸν εἴη. |

Ὥσπερ ἐπὶ τοῦ τρίτου τρόπου ἐδείξαμεν, οὕτως καὶ ἐπὶ τοῦ τετάρ- CVv του τρόπου δείξομεν τοῦ ἔχοντος τὴν μείζω καθόλου καταφατικήν.

p. 60ᵇ6 Ἐπὶ δὲ τοῦ τρίτου σχήματος.

Εἰρηκὼς περὶ τοῦ δευτέρου σχήματος νῦν λέγει καὶ περὶ τοῦ τρίτου. καὶ φησὶν ὅτι, ἐπειδὴ τὸ συμπέρασμα μερικόν ἐστιν, ἐὰν τὸ ἐναντίον τοῦ συμπεράσματος ληφθῇ, οὐκ ἀντιστρέφει οὔτε ἀναιρεῖται οὐδεμία πρότασις, ἐὰν δὲ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀντιστραφῇ, ἀμφότεραι αἱ προ-

2 οὔθ' (ante ἡ ἐλ.) ex οὔτ' corr. U² 5 ὑπάρχον U 6 ante β' γ' add. τὸ t
9 οὖν om. U 10 post ἐναντίον del. φῇ B 11. 12 οὐδενὶ — τὸ α om. t
13 ἀμφότεραι t 16 ἐκ δύο δὲ B 18 οὔθ' utrobique ex οὔτ' corr. U 27 εἴη BUt (n): om. Arist. 30 ἀρχὴ τοῦ τρίτου σχήματος inscr. U 31 καὶ om. t

τάσεις ἀναιροῦνται, ὡς ἐπιδείξομεν. δείκνυται δὲ ἡ μὲν μείζων πρότασις CVv διὰ τοῦ πρώτου σχήματος, ἡ δὲ ἐλάττων διὰ τοῦ δευτέρου.

p. 60b9 Δεδείχθω γὰρ τὸ Α τινὶ τῷ Β ὑπάρχον, μέσον δὲ εἰλήφθω τὸ Γ, ἔστωσαν δὲ καθόλου αἱ προτάσεις. ἐὰν οὖν ληφθῇ τὸ Α τινὶ τῷ Β μὴ ὑπάρχειν.

Δείκνυσι πρῶτον ἐπὶ τοῦ πρώτου τρόπου τοῦ τρίτου σχήματος τὴν ἀντιστροφήν, ὅτε συνάγεται ἐκ δύο καθόλου καταφατικῶν μερικὸν καταφατικόν, ὅτι τὸ Α τινὶ τῷ Β ὑπάρχει. ἐὰν οὖν ληφθῇ τὸ Α οὐ παντὶ τῷ Β ὑπάρχειν, τὸ δὲ Β παντὶ τῷ Γ, οὐ δύναται γενέσθαι συλλογισμὸν ἐν πρώτῳ σχήματι διὰ τοῦ Β. ἡ δὲ ἐλάττων διὰ τοῦ δευτέρου οὕτως· τὸ Α οὐ παντὶ τῷ Β, τὸ Α παντὶ τῷ Γ· ἐπειδὴ ἡ μείζων μερικὴ ἐν δευτέρῳ σχήματι ἡ ΑΒ, ἀσυλλόγιστος ἡ συζυγία. πάλιν ἐὰν ᾖ ἡ μὲν καθόλου τῶν προτάσεων ἡ δὲ ἐν μέρει, οὐ γίνεται συλλογισμός. διὰ τί; ἐπειδὴ εἰ βουληθῶμεν τὴν μείζω πρότασιν δεῖξαι, γίνεται ἡ μείζων μερική, καὶ εἰσὶν ἄμφω μερικαὶ καὶ ἀσυλλόγιστος ἡ συζυγία. ὁμοίως δὲ καὶ εἰ τὴν ἐλάττονα βουληθῶμεν ἀποδεῖξαι. ὥστε καλῶς εἰρήκαμεν 'ἐὰν εἰς τὸ ἐναντίον ἀντιστραφῇ, οὐδεμία πρότασις ἀναιρεῖται ἐν τῷ τρίτῳ σχήματι'.

p. 60b19 Ἐὰν δὲ ἀντικειμένως ἀντιστρέφωνται.

Εἰρηκὼς ὅτι, ἐὰν εἰς τὸ ἐναντίον ἀντιστραφῇ ὁ συλλογισμός, οὐ γίνεται τῶν προτάσεων ἀναίρεσις, νῦν λέγει ὅτι, ἐὰν ἀντικειμένως ἀντιστραφῇ, γίνεται. οἷον ἀντὶ τοῦ τὸ Α τινὶ τῷ Β ἵνα λάβωμεν ὅτι οὐδενί, καὶ ποιοῦμεν οὕτως· τὸ Α οὐδενὶ τῷ Β, τὸ Β παντὶ τῷ Γ, τὸ Α οὐδενὶ τῷ Γ. εἰ δὲ τὴν ἐλάττω βουλόμεθα ἀνασκευάσαι, οὕτως· τὸ Α οὐδενὶ τῷ Β, τὸ Α παντὶ τῷ Γ, τὸ ἄρα Β οὐδενὶ τῷ Γ. ὥστε ἀμφότεραι αἱ προτάσεις εἰς τὸ ἐναντίον ἀνεσκευάσθησαν ἐν τρίτῳ σχήματι τοῦ συμπεράσματος ἀντιστραφέντος εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον. ὁμοίως δὲ δείξομεν καὶ εἰ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατικὴ ὑπάρχει. συμπέρασμα γίνεται ὅτι τὸ Α οὐ παντὶ τῷ Β· ἐὰν οὖν ληφθῇ παντί, εἰ μὲν τὴν μείζω πρότασιν δέον δεῖξαι, δείκνυμεν οὕτως· τὸ Α παντὶ τῷ Β, τὸ Β παντὶ τῷ Γ, τὸ Α παντὶ τῷ Γ· εἰ δὲ τὴν ἐλάττω, οὕτως· τὸ Α παντὶ τῷ Β, τὸ Α οὐδενὶ τῷ Γ· συμπέρασμα ὅτι τὸ Β οὐδενὶ τῷ Γ. οὕτως ἐπὶ τῶν ἄμφω καθόλου προτάσεων τῶν ἐν τρίτῳ σχήματι.

---

1 μείζω U 2 post δευτέρου add. ὡς ἐπιδείξομεν U 3 δὲ om. B 4 post δὲ add. καὶ BU: om. t Arist. οὐκοῦν ἐὰν t Arist. 7 ὅτε scripsi: ὅτι BUt 8 ὅτι U: οἷον Bt 9 fort. δυνατὸν (cf. ad p. 419,11 431,25) sive συλλογισμὸς 10 β̄ scripsi: α̅ BUt 13 τῶν om. U 15 εἰσὶν om. U εἰ καὶ Ut post εἰ add. κατὰ B 16 καλῶς corr. e καὶ ὡς U² 17 οὐδεμία—ἐν τῷ (τῷ om. t) τρίτῳ σχήματι Ut: ὁ—ἀναίρεσις (e vs. 19. 20 translata) B 19. 20 εἰρηκὼς—ἀναίρεσις om. B 21 τὸ om. B 23 τὸν Ut ἐλάττονα t 25 εἰς τὸ ἐναντίον om. U 27 εἰ superscr. U² 28 ἐὰν Ut: εἰ B 30 τὸ α̅—γ̅ om. U ἐλάττονα B 32 post οὕτως add. καὶ U

p. 60b37 Ὁμοίως δὲ δείκνυται καὶ εἰ μὴ καθόλου εἰσὶν αἱ προτάσεις. CVv

Λέγει νῦν περὶ τοῦ τρίτου τρόπου τοῦ τρίτου σχήματος τοῦ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς μερικὸν καταφατικὸν συνάγοντος συμπέρασμα. ἐὰν ⟨οὖν⟩ εἰς τὸ ἀντικείμενον ληφθῇ τὸ συμπέρασμα, τὸ οὐδενί, καὶ δέον τὴν μείζονα πρότασιν ἀνασκευάσαι, ἀνασκευάζεται οὕτως· τὸ Α οὐδενὶ τῷ Β, τὸ Β τινὶ τῷ Γ, τὸ Α οὐ παντὶ τῷ Γ. ὥστε εἰς τὸ ἀντιφατικὸν νῦν ἡ μείζων ἀνεσκευάσθη τοῦ συμπεράσματος εἰς τὸ ἀντιφατικὸν ἀντιστραφέντος. εἰ δὲ τὴν ἐλάττω, ἀνασκευάσομεν οὕτως· τὸ Α οὐδενὶ τῷ Β, τὸ Α παντὶ τῷ Γ, τὸ ἄρα Β οὐδενὶ τῷ Γ. ὥστε καὶ ἡ ἐλάττων εἰς τὸ ἀντιφατικὸν ἀνεσκευάσθη. καὶ τοῦτο φυλακτέον, ὅτι εἰ μὲν εἴη ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική, μερικὸν ἀποφατικὸν συνάγει συμπέρασμα, τὸ Α οὐ παντὶ CVIr τῷ Β· ἐὰν οὖν μεταληφθῇ εἰς τὸ ἐναντίον τὸ τινί, οὔτε ἡ μείζων οὔτε ἡ ἐλάττων πρότασις ἀνασκευασθήσεται· ἐὰν δὲ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον, ἀνασκευασθήσονται ἀμφότεραι. ἔστω γὰρ τὸ Α παντὶ τῷ Β, τὸ Β τινὶ τῷ Γ· τὸ ἄρα Α τινὶ τῷ Γ. εἰ δὲ τὴν ἐλάττω, οὕτως· τὸ Α παντὶ τῷ Β, τὸ Α οὐδενὶ τῷ Γ, τὸ Β οὐδενὶ τῷ Γ. ὥστε παραφυλακτέον ὅτι ἡ ἐλάττων καὶ ἡ μείζων εἰς τὸ ἀντιφατικὸν ἀντιστρέφουσιν, ὅταν ᾖ ἡ μὲν καθόλου ἡ δὲ ἐν μέρει.

p. 60b41 Πάλιν εἰ τὸ Α παντὶ τῷ Β.

Ἐὰν ᾖ ἡ μείζων μερικὴ ἀποφατικὴ ἡ δὲ ἐλάττων καθόλου καταφατική, δείκνυμεν οὕτως· τὸ Α παντὶ τῷ Β, τὸ Β παντὶ τῷ Γ, τὸ Α παντὶ τῷ Γ. εἰ δὲ τὴν ἐλάττω, οὕτως· τὸ Α παντὶ τῷ Β, τὸ Α οὐ παντὶ τῷ Γ, τὸ Β οὐ παντὶ τῷ Γ.

p. 61a5 Φανερὸν οὖν διὰ τῶν εἰρημένων πῶς ἀντιστρεφομένου τοῦ συμπεράσματος ἐν ἑκάστῳ σχήματι γίνεται συλλογισμός.

Σύντομον ἐπανάληψιν ποιεῖται τῶν εἰρημένων τριῶν σχημάτων, καὶ φησὶν ὅτι φανερὸν πότε ἀνασκευάζονται αἱ προτάσεις, εἴτε εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον μεταληφθῇ τὸ συμπέρασμα εἴτε εἰς τὸ ἐναντίον, καὶ πότε οὐκ ἀνασκευάζονται.

---

1 lemma ex Arist. posui: ὁμοίως δὲ καὶ εἰ στερητικὸς ὁ συλλογισμός. δεδείχθω γὰρ τὸ ᾱ τινὶ τῷ β̄ μὴ ὑπάρχον BUt 3 τοῦ πρώτου σχήματος Ut 4 μερικῆς ἀποφατικῆς t post καταφατικῆς alt. add. καὶ U 5 ἀποφατικὸν pr. U, corr. U² συνάγων U ante συμπ. add. τὸ Ut οὖν addidi cf. p. 427,12 428,9 429,8 6 post συμπ. add. εἰς Ut οὐδεὶς B δὲ οὕτως U 8 ἀντιφατικῶς Ut itemque vs. 9. 19 9. 10 ἀνασκευάσωμεν, ut videtur, pr. B, t 11 καὶ prius om. U 16 ἀνασκευασθήσωνται U: om. B 19 ἡ μείζων ex εἴη μείζω corr. B² 22 post ἐὰν add. δὲ Ut 28 post εἰρημένων add. διὰ τῶν Ut 29. 30 εἴτε—εἴτε B: ἤτοι—ἤτοι Ut 31 ἀνασκευάζεται t

p. 61ᵃ8 Καὶ ὅτι ἐν μὲν τῷ πρώτῳ σχήματι διὰ τοῦ μέσου CVI r
τε καὶ τοῦ ἐσχάτου γίνονται οἱ συλλογισμοί.

Κατὰ κοινοῦ τὸ φανερόν, ὅτι αἱ προτάσεις ἐν πρώτῳ σχήματι ἡ μὲν μείζων δείκνυται διὰ τοῦ ἐσχάτου, ἡ δὲ ἐλάττων διὰ τοῦ δευτέρου, ἐν δὲ τῷ δευτέρῳ σχήματι ἡ μὲν μείζων πρότασις διὰ τοῦ τρίτου, ἡ δὲ ἐλάττων διὰ τοῦ πρώτου, ἐν δὲ τῷ τρίτῳ σχήματι ἡ μὲν μείζων διὰ τοῦ πρώτου, ἡ δὲ ἐλάττων διὰ τοῦ δευτέρου σχήματος ἀνασκευάζεται.

p. 61ᵃ18 Ὁ δὲ διὰ τοῦ ἀδυνάτου συλλογισμὸς δείκνυται μέν, ὅταν ἡ ἀντίφασις τεθῇ τοῦ συμπεράσματος καὶ προσληφθῇ ἄλλη πρότασις, γίνεται δ' ἐν ἅπασι τοῖς σχήμασιν.

Πληρώσας περὶ τῆς ἐν συλλογισμῷ ἀντιστροφῆς νῦν περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς λέγει καὶ τί διαφέρει ἡ ἐν συλλογισμῷ ἀντιστροφὴ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. διαφέρει οὖν τούτῳ, ὅτι ἐπὶ τῆς ἀντιστροφῆς δεῖ πρῶτον συλλογισμὸν γενέσθαι, εἶθ' οὕτως ἀντιστροφήν, ἐπὶ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ ἄνευ τοῦ γενέσθαι συλλογισμὸν δυνατὸν δεῖξαι τὸ ἄτοπον ἑπόμενον. ἔτι διαφέρει, ὅτι ἐπὶ τῆς ἀντιστροφῆς δυνατὸν καὶ εἰς τὸ ἐναντίον καὶ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀντιστρέψαι, ἐπὶ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς οὐκέτι εἰ μὴ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον μόνον· ἐπεὶ εἰ εἰς τὸ ἐναντίον ληφθείη, ἢ οὐ δείκνυσι συλλογιστικὴν συζυγίαν, ἢ εἰ γίνεται συλλογιστική, οὐδὲν ἄτοπον ἕπεται. ἔτι διαφέρει, ὅτι ἐπὶ τῆς ἐν συλλογισμῷ ἀντιστροφῆς δείκνυται τῆς μιᾶς προτάσεως ἢ τὸ ἀντιφατικῶς ἀντικείμενον ἢ τὸ ἐναντίον, ἐπὶ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἐπὶ τῆς μιᾶς προτάσεως μόνον ἀντιφατικῶς προηγουμένης ἄτοπον ἑπόμενον δείκνυται. ταῦτα μὲν διαφέρει ἡ ἐν συλλογισμῷ ἀντιστροφὴ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ὥσπερ δὲ ἡ ἀντιστροφὴ ἐπὶ τῶν τριῶν σχημάτων ἐδείκνυτο ὅτι δυνατὸν γενέσθαι, οὕτω καὶ ἡ εἰς τὸ ἀδύνατον ἀπαγωγὴ ἐπὶ τῶν τριῶν σχημάτων ἔσται. δείξει δὲ καὶ τοῦτο, ὅτι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τὸ καθόλου καταφατικὸν ἐν πρώτῳ σχήματι δειχθῆναι οὐ δυνατόν, ἀλλ' ἐν δευτέρῳ καὶ τρίτῳ. ἐν δὲ τῷ πρώτῳ σχήματι δείκνυσι τὰς ἄλλας τρεῖς συλλογιστικὰς συζυγίας. λέγει δὲ πρῶτον πῶς γίνεται ἡ εἰς ἀδύνατον ἀπαγωγή, ὅτι λαμβάνομεν τὸ συμπέρασμα τὸ ἐξ ἀρχῆς καὶ τὸ τούτῳ ἀντιφατικῶς ἀντικείμενον καὶ μίαν πρότασιν ἀληθῆ καὶ δείκνυμεν ἕπεσθαι τῇ ἑτέρᾳ προτάσει ἄτοπόν τι καὶ ἀδύνατον.

2 τε om. t Arist. 4—7 μείζω et ἐλάττω ubique t 5 post τρίτου add. σχήματος U 6 σχήματι om. B 7 ἀνασκευάζονται Bt 8 περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς inscr. BU 11 post νῦν add. λέγει U 12 καὶ λέγει τι U 16 post δυνατὸν add. ὅτι U 17 ἀντιδιαστρέψαι U 18 εἰς alt. om. Bt 22 ἐπὶ alt. superscr., ut videtur, B¹ 23 προηγουμένης t: προηγούμενον B: προηγουμένως U 24 post μὲν add. τί U post ἀπαγωγῆς add. καὶ φησίν. ὅτι U 25 δὲ om. U an δύναται? cf. ad p. 429,9 27 δείξει] p. 61ᵃ35 sq. καὶ superscr., ut videtur, B² 29 τῷ om. U ante δείκνυσι del. δεί U 31 τὸ ἐξ ἀρχῆς τὸ συμπέρασμα καὶ τούτῳ t

p. 61a21 Ὅμοιον γάρ ἐστι τῇ ἀντιστροφῇ. CVIr

Ὅμοιον τῇ ἀντιστροφῇ φησιν, ὅτι ὥσπερ ἡ ἀντιστροφὴ ἐν τοῖς τρισὶ σχήμασι γέγονεν, οὕτως καὶ ἡ εἰς τὸ ἀδύνατον ἀπαγωγὴ ἐν τρισὶ σχήμασι γενήσεται. τούτῳ μὲν κοινωνεῖ. διαφέρει δὲ οἷς προειρήκαμεν ἡ εἰς τὸ ἀδύνατον ἀπαγωγὴ τῆς ἀντιστροφῆς. |

p. 61a27 Οἷον εἰ τὸ Α παντὶ τῷ Β ὑπάρχει, μέσον δὲ τὸ Γ, CVIv ἐὰν ὑποτεθῇ τὸ Α μὴ παντὶ ἢ μηδενὶ τῷ Β ὑπάρχειν τῷ δέ γε Γ παντί, ὅπερ ἦν ἀληθές, ἀνάγκη τὸ Γ τῷ Β ἢ μηδενὶ ἢ μὴ παντὶ ὑπάρχειν.

Βούλεται τὸ λεχθὲν διὰ παραδείγματος δεῖξαι. οἷον τὸ Α παντὶ τῷ Γ, τὸ Γ παντὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Α παντὶ τῷ Β. εἰ δέ τις τοῦτο ἐρεῖ ψεῦδος, ἐξ ἀνάγκης συγχωρεῖ ἢ τὸ ἐναντίον ἀληθὲς εἶναι ἢ τὸ ἀντιφατικῶς ἀντικείμενον· οὐκοῦν εἰ οὐ συγχωρεῖ τῷ Β τὸ Α ὑπάρχειν, ἢ οὐδενὶ ὑπάρχει ἢ οὐ παντί. οὐκοῦν ἐν δευτέρῳ δείκνυται σχήματι τὸ ἄτοπον οὕτως· τὸ Α τῷ μὲν Β ἢ μηδενὶ ἢ οὐ παντί, τὸ Α παντὶ τῷ Γ· συμπέρασμα ὅτι τὸ Γ ἢ οὐδενὶ τῷ Β ἢ οὐ παντί. εἰ δὲ τοῦτο ἄτοπον, τὸ συναχθῆναι τὸ Γ τῷ Β ἢ οὐδενὶ ἢ οὐ παντί, ψεῦδος τοῦτο, ἀληθὲς ἄρα τὸ παντί, ὅπερ πρότερον εἰρήκαμεν. οὕτως ἐν δευτέρῳ σχήματι διὰ τοῦ ἕπεσθαι ἀδύνατόν τι ἐδείχθη τὸ καθόλου καταφατικόν. οὕτως οὖν οὐ μόνον ἐπὶ τοῦ πρώτου σχήματος ποιεῖν δυνατὸν ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων.

p. 61a31 Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων σχημάτων.

Τὸ ἀνάπαλιν ὤφειλεν εἰπεῖν, ὅτι ὅσα διὰ τοῦ ἀδυνάτου δείκνυται, καὶ τῇ ἀντιστροφῇ δείκνυται, ὅσα δὲ διὰ τῆς ἀντιστροφῆς, οὐκέτι διὰ τοῦ ἀδυνάτου· ἐπὶ πλέον γὰρ ἡ ἀντιστροφὴ τῆς δι' ἀδυνάτου.

p. 61a34 Τὰ μὲν οὖν ἄλλα προβλήματα πάντα δείκνυται διὰ τοῦ ἀδυνάτου.

Τὰ ἄλλα πάντα προβλήματα καὶ συμπεράσματα δείκνυται διὰ τοῦ πρώτου σχήματος, οἷον τὸ ἀποφατικὸν τό τε καθόλου καὶ τὸ μερικὸν καὶ τὸ μερικὸν καταφατικόν· τὸ δὲ καθόλου καταφατικὸν δείκνυται μὲν ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι, οὐ μέντοι ἐν πρώτῳ. καὶ ἐπὶ παραδειγμάτων ποιεῖται τὸν λόγον. ὑποκείσθω δὲ οὕτως· τὸ Α οὐδενὶ τῷ Β ἢ οὐ

---

7 post ᾱ add. ἢ Arist. (om. n) γε om. Arist 8 ἢ prius om. U 10 οἷον scripsi cf. ad p. 429,8: ὅτι BUt 11 ὅτι om. Ut 14 σχήματι δείκνυται B 15 ἢ prius om. B 16 τῷ—τὸ t itemque vs. 17 τὸ alt. superscr. B 19 οὖν Bt: ὡς U 23 διὰ τῆς Bt: δι' U 25 ἀρχὴ τοῦ ᾱ σχήματος inscr. U πάντα om. U 30. 31 παραδείγματος ποιοῦμεν U

παντί· εἶτα προσληφθήτω ἤτοι μείζων πρότασις ἄλλη ἢ ἐλάττων. εἰ μὲν CVIv
προσληφθῇ οἱαδήποτε μείζων ἄλλη, ἀσυλλόγιστος γίνεται ἡ συζυγία διὰ 25
τὸ τὴν ἐλάττω εἶναι ἀποφατικὴν καθόλου ἢ μερικὴν ἀποφατικήν. εἰ δὲ
ἐλάττων προσληφθῇ πρότασις ὥστε εἶναι τὸ Β παντὶ τὸ Δ, εἰ μὲν ἡ
5 μείζων καθόλου ἀποφατικὴ εἴη, συνάγεται συλλογισμὸς ἀποφατικός· εἰ δὲ
μερικὴ εἴη ἀποφατική, οὐ συνάγεται διὰ τὸ τὴν μείζω μερικὴν γενέσθαι.
ἐὰν οὖν προσληφθῇ τὸ Β παντὶ τῷ Δ τοῦ Α ὄντος οὐδενὶ τῷ Β, ψευδὲς
μὲν ἔσται τὸ συμπέρασμα ἀποφατικόν, ἀλλ' οὐ συνάγει τὸ ἀντικείμενον
ἀληθές, ὅπερ ἦν· ὑπέκειτο γὰρ παντί.

10 p. 61ª38 Ὁποτερωθενοῦν τῆς προτάσεως λαμβανομένης.

Ἤτοι ἄνωθεν καὶ μείζων ἢ κάτωθεν καὶ ἐλάττων· ἀναπόδεικτος γὰρ
γίνεται.

p. 61ᵇ3 Εἰ γὰρ τὸ Α μηδενὶ τῷ Β, τὸ δὲ Β παντὶ τῷ Δ, τὸ Α
οὐδενὶ τῷ Δ.

15 Ὥσπερ οὖν εἰρήκαμεν, εἰ ληφθείη τὸ Α οὐδενὶ τῷ Β, τὸ Β παντὶ
τῷ Δ, συμπέρασμα ὅτι τὸ Α οὐδενὶ τῷ Δ. καὶ ὑποκείσθω τοῦτο ψεῦδος.
τὸ δὲ ψεῦδος διὰ τί ἠκολούθησεν; διὰ τὸ λαβεῖν ἡμᾶς τὴν μείζω ἀπο-
φατικήν. ἀλλ' οὐ πάντως, εἰ μηδενὶ τὸ Α τῷ Β ὑπάρχειν ψεῦδος, ἤδη
ἀληθὲς τὸ παντί, ἀλλὰ μᾶλλον ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον ἤπερ 40
20 τὸ ἐναντίον εἰπεῖν. ὥστε τοῦ ἀτόπου ἀκολουθήσαντος τῆς πρώτης καὶ
μείζονος προτάσεως ψευδοῦς οὔσης διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς, εἰ ψεῦδος τὸ
οὐδενί, ἀληθὲς ἄρα τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ τινί, οὐ μέντοι τὸ παντί.
ὥστε ἀκριβῶς διὰ τούτων ἐδείχθη ὅτι διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς ἐν πρώτῳ
σχήματι οὐ δείκνυται τὸ καθόλου καταφατικόν. τὸ δὲ καθόλου ἀποφατικὸν
25 καὶ μερικὸν καταφατικόν τε καὶ ἀποφατικὸν δείκνυται ἐν πρώτῳ σχήματι.

p. 61ᵇ11 Ὑποκείσθω γὰρ τὸ Α μηδενὶ τῷ Β ὑπάρχειν· τὸ δὲ Β
εἰλήφθω παντὶ ἢ τινὶ τῷ Γ.

Διὰ ταύτης τῆς ὑποθέσεως βούλεται δεῖξαι τὸ μερικὸν καταφατικὸν
συναγόμενον διὰ τὸ ἄτοπον ἕπεσθαι τῇ ἄλλῃ πρώτῃ λήψει. ὑποκείσθω
30 γὰρ ἡ πρώτη λῆψις αὕτη· τὸ Α οὐδενὶ τῷ Β, τὸ Β παντὶ τῷ Γ ἢ τὸ Β 50
τινὶ τῷ Γ· συμπέρασμα, εἰ μὲν τὸ Β παντὶ τῷ Γ, τὸ Α οὐδενὶ τῷ Γ· εἰ

1 ἡ ἐλάττων Bt an μὲν ⟨οὖν⟩? 2 ἄλλη BU: ἂν ᾖ T 4 προσληφθείη U
β̄ e δ̄, ut videtur, corr. B post μὲν add. καὶ BUt: om. T 5 εἴη om. U: ᾖ t
8 μὲν ἔσται—p. 454,22 ὡς ἡδονὴ καὶ χαρά om. B, pro quo notati sunt usque ad p. 452,31
λαμβάνομεν GT fort. ἔστω ἀλλ' οὖν t 9 post ὅπερ add. οὐκ U 10 τῆς
προτ. λαμβανομένης om. U 11 ante ἤτοι repetit ὁποτέρωθεν οὖν U ἤτοι—
γίνεται om. t γὰρ γίνεται scripsi: γάρ G: γίνεται TU 13 post δ̄ del. τὸ β̄ παντὶ
τῷ δ̄ G 15 οὖν Ut: δ' GT 18 μηδὲ G ὑπάρχει GTt 19 κείμενον TUt
ἤπερ scripsi: εἴπερ TUt: ὡς τοίνυν G 20 ὥστ' εἰ, om. τοῦ U τὸ ἄτοπον G
21—23 εἰ ψεῦδος—ἀπαγωγῆς om. GTt 24 δὲ om. G 25 καὶ prius om. U τε om. GU
29 τῇ ἄλλῃ προσλήψει G 30. 31 ἢ τὸ β τινὶ U: τὸ α οὐδενὶ GTt 31 τὸ γ (ante συμπ.) G

δὲ τινὶ τῷ Γ τὸ Β, συμπέρασμα ὅτι τὸ Α οὐ παντὶ τῷ Γ. ἀλλὰ τοῦτο ἔστω ἀδύνατον. οὐκοῦν εἰ ἀδύνατον ἠκολούθησε διὰ τὸ μὴ ὑπάρχειν τὸ Α τῷ Β παντὶ ἀλλ' οὐδενί, ἀνάγκη τινὶ ὑπάρχειν.

p. 61 b 17 Οὐδ' ὅταν τὸ ἐναντίον τῷ συμπεράσματι ὑποτεθῇ, οἷον τὸ τινὶ μὴ ὑπάρχειν·

Ἐὰν οὖν, φησί, λάβωμεν τοῦ ΑΒ ἄλλην πρότασιν ἀντικειμένην, οἷον τὸ Γ τινὶ τῷ Α, τὸ Α παντὶ τῷ Β, οὐ γίνεται | συλλογισμός, ὅτι ἡ CVII r μείζων μερικὴ ἐγίνετο.

p. 61 b 18 Φανερὸν οὖν ὅτι τὸ ἀντικείμενον ὑποθετέον.

Εἰ γὰρ συμπέρασμα συνήχθη οὐδενὶ ἢ οὐ παντὶ διὰ τὸ ὑποκεῖσθαι τὸ Α οὐδενὶ τῷ Β, ψεῦδος δέ ἐστι τὸ συμπέρασμα (διὰ τί; διὰ τὸ τὴν μείζω ψευδῆ εἶναι), ἀνάγκη ἄρα τὸ ἀντικείμενον ἀληθὲς τὸ τινί, ὅτι τὸ Α τινὶ τῷ Γ. ἀλλ' εἰ τοῦτο ἀληθές, ἀνάγκη τὴν μείζω πρότασιν τὴν ΑΒ παντὶ ὑπάρχειν, τὴν δὲ ΒΓ τινὶ ὑπάρχειν. οὕτω διὰ τοῦ ἀτόπου ἐδείχθη ἐν πρώτῳ σχήματι τὸ μερικὸν καταφατικόν.

p. 61 b 19 Πάλιν ὑποκείσθω τὸ Α τινὶ τῷ Β ὑπάρχειν.

Νῦν διὰ ταύτης τῆς ὑποθέσεως βούλεται δεῖξαι ἄτοπον ἑπόμενον· εἶτα διὰ τοῦ ἀτόπου ἐκείνου δείκνυσι τὸ οὐδενὶ συναγόμενον οὕτως· τὸ Γ παντὶ τῷ Α, τὸ Α τινὶ τῷ Β, τὸ Γ ἄρα τινὶ τῷ Β. ἀδύνατον καὶ ψεῦδος διὰ τί συνήχθη; διὰ τὸ ληφθῆναι παντὶ τὴν μείζω. εἰ τοῦτο οὖν ψεῦδος, ἀληθὲς τὸ οὐδενί. ὁμοίως καὶ εἰ ἡ ΑΓ ληφθῇ ὅτι οὐδενὶ ὑπάρχει, δειχθήσεται τὸ ἄτοπον καὶ συναχθήσεται, ὡς ἐδείξαμεν τὸ πρῶτον, ὅτι τινὶ ὑπάρχει. εἰ δὲ λάβῃς μὴ πρὸς τῷ Α τὴν ἄλλην πρότασιν ἀλλὰ πρὸς τῷ Β, οὐ γίνεται συλλογισμὸς διὰ τὸ γενέσθαι τὴν μείζω μερικήν.

p. 61 b 26 Ὑποκείσθω γὰρ παντὶ τῷ Β τὸ Α ὑπάρχειν, καὶ τὸ Γ τῷ Α εἰλήφθω παντί.

Βούλεται δεῖξαι διὰ τούτων, ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον εἰ ληφθῇ, δείκνυται τὸ ἄτοπον, εἰ δὲ τὸ ἐναντίον, οὐ δείκνυται ἄτοπόν τι ὑπάρχον. οἷον εἰ τὸ Α παντὶ τῷ Β καὶ τὸ Γ παντὶ τῷ Α, συμπέρασμα ὅτι τὸ Γ

---

3 ἀλλ' οὐδενί om. U 4. 5 ἐὰν δὲ πρὸς τῷ ᾱ κτλ. lemma ponendum censeo
6 an τὸ ? 7 τῷ ᾱ GTt: τῷ β̄ U 8 μείζων] ν superscr. U² ἐγένετο U
9 post ἀντικείμενον add. οὐ παντὶ U θετέον U 14 β̄γ̄ δὲ U γ̄ om. T
17 διὰ ταύτης νῦν G 19 ἄρα om. U fort. ἀδύνατον ⟨ὂν καὶ ψεῦδος· τὸ ἀδύνατον⟩
19. 20 διὰ τί om. G: διὰ τοῦ T 20 πάντως G 21 εἰ superscr. T ἡ om. U
22 τὸ alt. om. aut evan. G 23 ὑπάρχειν U τὸ β̄ Gt 25 τὸ ᾱ παντὶ τῷ β̄ GT ὑπάρχειν om. Arist. (habet An) 27 δι' αὐτῶν GT τὸ om. T
28 δείκνυσι U τι superscr. G 29 καὶ τὸ—ᾱ om. GT

παντὶ τῷ Β ὑπάρχει. εἰ δὲ τοῦτο ὑποτεθῇ ψεῦδος, οὐ πάντως ἀληθὲς CVIIr τὸ ἀντικείμενον τούτῳ εἰς τὸ ἀδύνατον ἀπάγοντες αἱρούμεθα. φανερὸν οὖν ὅτι ⟨εἰς⟩ τὸ ἀδύνατον ἀπάγοντας τὸ ἀντιφατικῶς ἀντικείμενον ληπτέον καὶ οὐ τὸ ἐναντίον.

p. 61b30 Ὁμοίως δὲ κἂν εἰ πρὸς τῷ Β ἐλήφθη ἡ ἑτέρα πρότασις.

Ἐὰν λοιπὸν βουληθῶμεν δεῖξαι τὸ μερικὸν ἀποφατικὸν διὰ τοῦ ἀδυνάτου, ὀφείλομεν ὑποθέσθαι τὸ ἀντικείμενον ἀντιφατικῶς τὸ παντί, καὶ οὕτως ἕπεται ἄτοπον καὶ εἰσάγεται τὸ οὐ παντί. οἷον τὸ Γ παντὶ τῷ Α, καὶ τὸ Α παντὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Γ παντὶ τῷ Β. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς ἄρα τὸ οὐ παντί. ὁμοίως καὶ εἰ τὸ ΑΓ ᾖ στερητικόν· καὶ γὰρ οὕτω γίνεται συλλογισμὸς τοῦ τινὶ μὴ ὑπάρχειν ὑγιῶς.

p. 61b38 Ἐὰν δὲ πρὸς τῷ Β ᾖ τὸ στερητικόν, οὐδὲν δείκνυται.

Ἐάν, φησί, πρὸς τῷ μείζονι ἄκρῳ ᾖ τὸ στερητικόν, ποιεῖ συλλογισμὸν μερικὸν ἀποφατικόν. ἐὰν δὲ πρὸς τῷ ἐλάττονι, οὐ ποιεῖ διὰ τὸ ἀποφατικὴν εἶναι τὴν ἐλάττω πρότασιν ἐν πρώτῳ σχήματι.

p. 61b41 Εἰ γὰρ τὸ Α τινὶ τῷ Β, τὸ δὲ Γ παντὶ τῷ Α.

Ὥσπερ ὑποτεθὲν ὅτι τὸ Α τινὶ τῷ Β ὑπάρχει, τοῦτο δὲ ψεῦδος ὂν ἕπεται τὸ οὐδενί, οὕτω καὶ τὸ οὐδενὶ ὑποτεθὲν ψεῦδος ἕπεται τὸ τινί.

p. 62a4 Ἔτι οὐ παρὰ τὴν ὑπόθεσιν συμβαίνει τὸ ἀδύνατον.

Βούλεται διὰ τούτου δεῖξαι ὅτι ἐπὶ τοῦ τετάρτου τρόπου τοῦ πρώτου σχήματος, εἰ ὑποτεθῇ διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς τὸ ἐναντίον, οὐδὲν ἄτοπον ἕπεται. οἷον τὸ Α οὐ παντὶ τῷ Β· εἰ γὰρ μὴ ἐνδέχεται, τὸ τινί· τὸ δὲ τινὶ τῷ οὐ παντὶ οὐ μάχεται. ὥστε ὀφείλομεν τὸ ἀντιφατικῶς ἀντικείμενον λαμβάνειν τὸ παντί, ἵνα τοῦτο δείξωμεν ἄτοπον, καὶ μὴ τὸ τινὶ ὑπάρχειν.

---

2 τοῦτο U ἀπάγοντας ἐρούμεθα GTt post αἱρούμεθα add. πρὸς (e corr. U²) δὲ τὸ μὴ παντὶ ὑπάρχ, ὑποθετέον παντὶ καὶ τὰ ἑξῆς U 3 ⟨εἰς⟩ τὸ ἀδύνατον scripsi: τοῦ ἀδυνάτου GTUt 5 κἂν Ut (n): καὶ GT Arist. τὸ β Gt ἐλήφθην T: ληφθείη Arist. (ληφθῇ C) 6 τὸ om. G 9 καὶ om. G post τῷ β̄ alt. add. καὶ τὸ ᾱ παντὶ τῷ β̄ U 11 οὕτως γὰρ καὶ οὕτω U ante συλλ. add. ὁ U post ὑγιῶς add. καὶ γὰρ οὕτω γίνεται συλλογισμός U 12 πρὸς τὸ GU τὸ om. GT 13 ἐάν—στερητικόν om. GT 14 τὸ ἔλαττον GT 16 τῷ β′ τινὶ t τινὶ (ante τῷ ᾱ) T 17 τὸ] τῶ T ᾱ scripsi: γ̄ GTUt cf. vs. 22 18 οὐδενί—ἕπεται τὸ om. GT 19 οὐδὲ U (n): δὲ οὐ t 20 ὅτι ὁ τέταρτος τρόπος U 21 ἀδυνάτου iterat T 22 οἷον—24 ἄτοπον om. GT ᾱ scripsi: γ̄ Ut cf. vs. 17 23 τῷ t: τὸ U 24 δείξομεν t

p. 62a11 Φανερὸν οὖν ὅτι οὐ τὸ ἐναντίον ἀλλὰ τὸ ἀντικείμενον ὑποθετέον. |

Φανερὸν οὖν, φησίν, ἐκ τῶν εἰρημένων ὅτι δεικνύντες διὰ τῆς CVII[v] εἰς ἀδύνατον ἀπαγωγῆς τὸ συμπέρασμα τὸ ἀντιφατικῶς ἀντικείμενον ληπτέον καὶ οὐ τὸ ἐναντίον. καὶ οὕτως ἔσται ἔνδοξον ἐκεῖνο τὸ ἀξίωμα τὸ λέγον ἢ τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν εἶναι τὴν διαιροῦσαν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ἔστι δὲ ἡ ἀντίφασις ἡ διαιροῦσα ἀεὶ καὶ οὐχὶ ἡ ἐναντίως ἀντικειμένη· τὸ γὰρ ἐναντίον οὐκ ἀξιοῦται οὔτε ἀεὶ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος οὔτε ἄτοπόν τι συνάγειν πολλάκις. διὰ τοῦτο εἶπεν οὐδετέρως.

p. 62a22 Ἐν δὲ τῷ μέσῳ καὶ τῷ ἐσχάτῳ καὶ τοῦτο δείκνυται.

Πληρώσας τὴν ἀδυνάτου δεῖξιν ἐν πρώτῳ σχήματι νῦν ἦλθεν δεῖξαι καὶ ἐν δευτέρῳ καὶ τρίτῳ. καὶ φησὶν ὅτι πάντα τὰ συμπεράσματα συνάγεται διὰ τῆς εἰς τὸ ἄτοπον ἀποδείξεως ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι. ἀλλ' εἰδέναι δεῖ ὅτι οὐ προσεχῶς οὐδὲ πρώτως συνάγεται ἢ τὰ καταφατικὰ ἐν δευτέρῳ σχήματι ἢ τὰ καθόλου ἐν τρίτῳ σχήματι, ἀλλὰ συνάγεται τῇ τῶν ἄλλων ἀναιρέσει [ὑποκείσθω]. ὑποκείσθω οὖν ἐν δευτέρῳ σχήματι δεῖξαι τὸ καθόλου καταφατικόν, οἷον ὅτι τὸ Α παντὶ ὑπάρχει τῷ Β. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐ παντί· καὶ προσληφθήτω ἄλλη πρότασις ἀληθὴς ἡ λέγουσα τὸ Α παντὶ τῷ Γ· συμπέρασμα ὅτι τὸ Γ οὐ παντὶ τῷ Β, ὅπερ ἔστω ἐναργῶς ψεῦδος. τὸ ψεῦδος διὰ τί ἠκολούθησεν; οὐ διὰ τὴν ἀληθῆ πρότασιν ἀλλὰ διὰ τὴν ψευδῆ τὴν λέγουσαν τὸ Α οὐ παντὶ τῷ Β ψεῦδος τοῦτο· ἀληθὲς ἄρα τὸ παντί. οὕτω τὸ καθόλου καταφατικόν. φησὶ δὲ ὅτι, εἰ λάβωμεν πάλιν τὴν ἀδύνατον δεῖξιν ὡς ἐπὶ τοῦ ἐναντίου, οὐ δείκνυται τὸ ἐναντίον. εἰ γὰρ λάβωμεν, τὸ Α τῷ Β παντί· εἰ δὲ μή, ὑποκείσθω οὐδενί. εἶτα εἰ τοῦτο, δειχθῇ ἄτοπον. ἀτόπου δὲ ὄντος οὐδὲν μᾶλλον τὸ παντὶ τοῦ τινὶ λαμβάνομεν, ἀλλὰ μᾶλλον τὸ τινί. ὥστε οὐ τὸ ἐναντίον ληπτέον ἀλλὰ τὸ ἀντιφατικῶς ἀντικείμενον.

p. 62a28 Ἐὰν δὲ τὸ ἐναντίον ὑποτεθῇ, συλλογισμὸς μὲν ἔσται.

Ὅταν, φησί, τὸ ἐναντίον ληφθῇ ἐπὶ τῆς δι' ἀδυνάτου δείξεως καὶ μὴ τὸ ἀντιφατικῶς ἀντικείμενον, γίνεται συλλογισμός, ἀλλ' οὐκέτι συνάγεται τὸ προκείμενον ἀληθές, τουτέστι τὸ παντί· εἰ γὰρ λάβωμεν τὸ μηδενὶ ὡς ψεῦδος, οὐκ ἔστι τοῦ μηδενὶ ψευδοῦς ὄντος ἀληθὲς τὸ παντὶ ἀλλὰ τὸ τινί.

3 post φησίν add. ἦν GT 3. 4 τῆς ἀδυνάτου G 6 τὸν διαιροῦντα G 8 ἐναντίως T 10 ἀρχὴ τοῦ β σχήματος inscr. TU καὶ alt. om. GT 14 οὐδὲ (post ὅτι) G post τὰ add. καθόλου Tt, καθόλου τὰ U 16 ὑποκείσθω alt. delevi 20 τί] τοῦ G 22 οὕτω] οὐ πρὸς, ut videtur, G καὶ φησὶν ὅτι U 25 μηδενί G 28 μὲν t Arist.: om. GTU 29 ὅτι TUt ante τὸ add. εἰ Ut δι' om. G 32 οὐκ ἔστι scripsi: οὐκέτι GTUt

p. 62a32 Ὅτι δὲ τινὶ τῷ Β ὑπάρχει τὸ Α· ὑποκείσθω γὰρ τὸ CVIIv
Α μηδενὶ τῷ Β ὑπάρχειν, τῷ δὲ Γ παντὶ ὑπαρχέτω.

Ἔδειξε πῶς συνάγεται ἐν δευτέρῳ σχήματι τὸ καταφατικὸν καθόλου· νῦν βούλεται δεῖξαι πῶς συνάγεται τὸ μερικὸν καταφατικόν. ὑποκείσθω οὖν ὅτι τὸ Α τινὶ τῷ Β ὑπάρχει. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐδενί· καὶ προσληφθήτω ἄλλη ἀληθὴς ἡ λέγουσα τὸ Α παντὶ τῷ Γ· συμπέρασμα ὅτι τὸ Γ οὐδενὶ τῷ Β. ἔστω δὲ τοῦτο ἐναργῶς ψεῦδος. τὸ ψεῦδος ἠκολούθησεν οὐ διὰ τὴν ἀληθῆ πρότασιν ἀλλὰ διὰ τὴν ψευδῆ τὴν λέγουσαν τὸ Α οὐδενὶ τῷ Β. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς ἄρα ὅτι τὸ Α τινὶ τῷ Β. ἐὰν δὲ ὑποτεθῇ τὸ ⟨οὐ⟩ παντί, τουτέστιν ἐὰν τὸ ἐναντίον ληφθῇ, οὐ δείκνυται τὸ ζητούμενον.

p. 62a37 Πάλιν ὑποκείσθω τὸ Α τινὶ τῷ Β ὑπάρχειν, τῷ δὲ Γ μηδενὶ ὑπαρχέτω.

Εἰ βουλόμεθα δεῖξαι ὅτι τὸ Α οὐδενὶ τῷ Β, ληφθήτω ὅτι τινί, εἶτ' ἀληθὴς πρότασις ἡ λέγουσα τὸ Α οὐδενὶ τῷ Γ· συμπέρασμα ὅτι τὸ Γ οὐ παντὶ τῷ Β, ὅπερ ἐστὶ [τοῦτο] ἐναργῶς ψεῦδος. τὸ ψεῦδος ἠκολούθησε διὰ τὸ λαβεῖν ἡμᾶς τὴν ψευδῆ τὴν λέγουσαν τὸ Α τινὶ τῷ Β· ἀληθὲς ἄρα ὅτι τὸ Α οὐδενὶ τῷ Β.

p. 62a40 Ὅτι δὲ οὐ παντὶ τῷ Β τὸ Α.

Περὶ τοῦ μερικοῦ ἀποφατικοῦ νῦν λέγει πῶς συνάγεται.

p. 62b2 Φανερὸν οὖν ὅτι πάντες οἱ συλλογισμοὶ γίνονται διὰ τοῦ μέσου σχήματος.

Εἰ βουλόμεθα δεῖξαι τὸ μερικὸν ἀποφατικόν, ὅτι τὸ Α οὐ παντὶ τῷ Β, ληφθήτω ὅτι παντί, εἶτα καὶ ἡ μείζων πρότασις ὡς ἀληθής, ὅτι τὸ Α οὐδενὶ τῷ Γ· συμπέρασμα ὅτι τὸ Γ οὐδενὶ τῷ Β, ὅπερ ἐστὶν ἐναργῶς ψεῦδος. τὸ ψεῦδος διὰ τί ἠκολούθησε; δῆλον ὅτι οὐ διὰ τὴν ἀληθῆ ἀλλὰ διὰ τὴν ψευδῆ τὴν λέ|γουσαν τὸ Α παντὶ τῷ Β. εἰ δὲ τοῦτο ψεῦδος, CVIIIr ἀληθὲς ἄρα τὸ οὐ παντί. ὥστε φανερὸν ὅτι ἐν δευτέρῳ σχήματι πάντα τὰ συμπεράσματα συνάγεται.

1 ὅτε Arist. (sed ὅτι A B C u c f n) post δὲ add. καὶ U τῶν β T γὰρ om. t Arist. 2 ὑπάρχειν (post παντὶ) T 5 ὑπάρχει om. G 6 ἀληθῶς GTt 7 τὸ α G post τὸ alt. add. δὲ GT 10 οὐ prius addidi τουτέστιν scripsi: οὔτε GTUt ἐὰν om. G 12 τὸ δὲ U 14 τῷ β—15 οὐδενὶ mrg. U² εἶτ' U²: ἤτε GTt cf. vs. 24 16 an ἔστω? at cf. vs. 25 τοῦτο delevi cf. vs. 7 τὸ ψεῦδος U: τοῦτο δὲ G: om. Tt 23 post δεῖξαι add. ὅτι GTt 26 οὐ om. T 29 συνάγονται G

p. 62b5 Ὁμοίως δὲ καὶ διὰ τοῦ ἐσχάτου. CVIIIr

Πληρώσας περὶ τοῦ δευτέρου σχήματος νῦν λέγει περὶ τοῦ τρίτου. καὶ φησὶν ὅτι ἐν τούτῳ ὅλα συνάγεται τὰ συμπεράσματα, ὥστε καὶ τὸ καθόλου καταφατικόν. ὑποκείσθω γὰρ ὅτι τὸ Α παντὶ τῷ Β κατὰ ἀλή-
5 θειαν· εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐ παντί· εἶτα καὶ ἄλλη προσληφθήτω πρότασις ἡ λέγουσα τὸ Γ παντὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Α οὐ παντὶ 10 τῷ Γ. ἔστω δὲ τοῦτο ψεῦδος. τὸ ψεῦδος διὰ τί ἠκολούθησε; διὰ τὸ εἰπεῖν τὸ Α οὐ παντὶ τῷ Β. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντί. οὕτω τὸ καθόλου καταφατικόν.

10 p. 62b11] Ἀλλὰ πρὸς τὸ τινὶ ὑπάρχειν αὕτη ληπτέα ἡ ὑπόθεσις.

Εἰ, φησί, βουλόμεθα τὸ μερικὸν καταφατικὸν δεῖξαι, ληπτέον ὅτι τὸ Α οὐδενὶ τῷ Β, τὸ δὲ Γ τινὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Α οὐ παντὶ 15 τῷ Γ, ὅπερ ἔστω ἐναργῶς ψεῦδος. τὸ ψεῦδος διὰ τί ἠκολούθησεν; διὰ τὴν ψευδῆ πρότασιν τὴν λέγουσαν τὸ Α οὐδενὶ τῷ Β. εἰ δὲ αὕτη ψευδής,
15 ἀληθὴς ἄρα ἡ τινί. οὕτως ἡ μερικὴ καταφατική.

p. 62b14 Ὅτι δὲ οὐδενὶ τῷ Β ὑπάρχει τὸ Α, ὑποκείσθω τινὶ ὑπάρχειν.

Ὅτε βουλόμεθα δεῖξαι τὸ καθόλου ἀποφατικόν, ληπτέον ψεῦδος τὸ μερικὸν καταφατικὸν οὕτως· τὸ Α τινὶ τῷ Β, τὸ Γ παντὶ τῷ Β· συμπέ-
20 ρασμα ὅτι τὸ Α τινὶ τῷ Γ, ὅπερ ἔστω ἐναργῶς ψεῦδος. τὸ ψεῦδος οὖν διὰ τί ἠκολούθησε; διὰ τὴν ψευδῆ πρότασιν τὴν λέγουσαν τὸ Α τινὶ τῷ Β. εἰ δὲ ψευδὴς αὕτη, ἀληθὴς ἄρα ἡ οὐδενί, ὥστε εἶναι τὸ Α οὐδενὶ τῷ Β. οὕτω καὶ τὸ καθόλου ἀποφατικόν.

p. 62b18 Ἐὰν δὲ ὑποτεθῇ παντὶ τῷ Β ὑπάρχειν τὸ Α, οὐ δείκνυ-
25 ται τὸ προτεθέν.

Ἐὰν ὑποτεθῇ τὸ ἐναντίον, οὐ δείκνυται τὸ προκείμενον. εἰ γὰρ ὑποτεθῇ τὸ Α παντὶ τῷ Β καὶ δειχθῇ τοῦτο ψεῦδος, οὐδὲν μᾶλλον τὸ οὐδενὶ ἀληθεύει τοῦ ⟨οὐ⟩ παντί, ἀλλὰ μᾶλλον τὸ οὐ παντὶ ἀληθεύει· ἡμεῖς δὲ σκοποῦμεν δεῖξαι ὅτι τὸ Α οὐδενὶ τῷ Β. πότε οὖν δεῖξαι; ὅτε λάβωμεν ὅτι τὸ Α
30 τινὶ τῷ Β· ἐπὶ τούτου γὰρ ἄτοπον ἕπεται ὑποτεθέντος. 30

---

1 ἀρχὴ τοῦ γ̄ σχήματος inscr. TU δὲ om. T 3 ὅτι—4 καταφατικόν iterat, iterata del. U ὅλω G τὰ συμπεράσματα om. G 4 γὰρ ὅτι om. U
6 γ̄ Ut: ᾱ GT 7 ἔστι GTt 10 τὸ superscr. G² ληπτέα om. G
11 φησὶν εἰ GTt 12 τινὶ supra παντὶ scr. U 13 ἐστιν G τὸ ψεῦδος διὰ τί TUt: τοῦτο δὲ G 15 ἀληθὲς T: om. G 16 ὅτε Arist. (sed ὅτι ABCun) δὲ superscr. G: om. T 21 διὰ τί ἠκολούθησε om. G πρότασιν om. G 22 ἡ om. Tt 25 πρότερον U 28 οὐ prius addidi παντός (ante ἀλλὰ) Gt
29 δεῖξαι alt. supra del. λάβωμεν scr. G: fort. δείξομεν

p. 62b20 Εἰ γὰρ τὸ Α παντὶ τῷ Β καὶ τὸ Γ παντὶ τῷ Β, τὸ CVIIIr
Α ὑπάρχει τινὶ τῷ Γ.

Ἐὰν βουλώμεθα τὸ μερικὸν ἀποφατικὸν δεῖξαι, ληπτέον τότε ὅτι τὸ Α παντὶ τῷ Β καὶ τὸ Γ παντὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Α τινὶ τῷ Γ ὑπάρχει. ἔστω δὲ καὶ τοῦτο ἐναργῶς ψεῦδος. τὸ ψεῦδος διὰ τί ἠκολούθησεν; διὰ τὴν ψευδῆ πρότασιν τὴν λέγουσαν τὸ Α παντὶ τῷ Β. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς ἄρα τὸ οὐ παντί. οὕτω καὶ τὸ μερικὸν ἀποφατικόν.

p. 62b23 Ἐὰν δὲ ὑποτεθῇ τινὶ ὑπάρχειν.

Ἐὰν ληφθῇ τὸ τινὶ ὡς ἐναντίον, οὐ δείκνυται τὸ προκείμενον, ὡς εἴρηται ἐν τοῖς ἔμπροσθεν.

p. 62b26 Δῆλον δὲ ὅτι καὶ ἐν τῷ μέσῳ σχήματι.

Καλῶς εἶπεν ὅτι ἐν τῷ δευτέρῳ σχήματι δείκνυταί πως τὸ καταφατικόν· τὸ γὰρ ‘πως’ προσέθηκεν, ἐπειδὴ οὐ προσεχῶς συνάγεται, ἀλλὰ τῇ τῶν ἄλλων ἀναιρέσει συνάγεται.

p. 62b29 Διαφέρει δὲ ἡ εἰς τὸ ἀδύνατον ἀπόδειξις τῆς δεικτικῆς.

Βούλεται διὰ τούτων ὁ Ἀριστοτέλης παραδοῦναι τὴν διαφορὰν τῆς δι᾽ ἀδυνάτου δείξεως καὶ τῆς δεικτικῆς. καὶ φησὶν ὅτι διαφέρει κατὰ τὰς προτάσεις, ὅτι ἡ ἀδύνατος ἀπαγωγὴ τίθεται τὸ ἀντιφατικῶς ἀντικείμενον καὶ τοῦτο δείκνυσι ψεῦδος, εἶτα τῇ τούτου ἀναιρέσει ἕπεται καὶ εἰσάγει ὃ βούλεται δεῖξαι, ἐπὶ δὲ τῆς δεικτικῆς προηγουμένως δείκνυσι τὸν συλλογισμόν. πάλιν αἱ προτάσεις ἐπὶ τῆς δι᾽ ἀδυνάτου ἀπαγωγῆς ἡ μία ἀληθὴς ἡ δὲ μία πάντως ψευδής, ἐπὶ δὲ τῆς δεικτικῆς ἀμφότεραι ἀληθεῖς. εἶτα μετὰ ταῦτα ἐρεῖ καὶ ὅτι τὸ δεικνύμενον πρόβλημα ἐπ᾽ εὐθείας καὶ δι᾽ ἀδυνάτου καὶ τὸ δι᾽ ἀδυνάτου καὶ ἐπ᾽ εὐθείας δείκνυται, καὶ ὅτι ὅσα διὰ τοῦ πρώτου σχήματος διὰ τοῦ ἀδυνάτου συνηγάγομεν, | δειχθήσεται διὰ CVIIIv
τῆς ἐπ᾽ εὐθείας δείξεως τὰ μὲν ἀποφατικὰ ἐν δευτέρῳ, τὰ δὲ καταφατικὰ

---

1 παντὶ alt. GTU(Acnm, pr. BC): τινὶ t Arist. cf. vs. 4 2 τινὶ supra παντὶ scr. U τῶν t 7 e β sive hoc ex illo corr. G 3 post ἐὰν add. οὖν Tt βουλόμεθα GUt ἀποφατικὸν iterat G 4 καὶ om. G 5—7 τὸ ψεῦδος—ψεῦδος om. G 7 post παντὶ add. τῷ β̄ U 9 τί G 10 ἐν τοῖς ἔμπρ.] p. 436,29 sq. 438,26 sq. 11 καὶ ὅτι t Arist. 12 τῷ om. G 15 διαφορὰ τῆς δεικτικῆς καὶ τῆς δι᾽ ἀδυνάτου inscr. U ἀποδεικτικῆς Gt 18 τὸ om. G 23 καὶ prius scripsi: ὡς GTUt τὸ om. in lac. G 23. 24 ἐπ᾽ εὐθείας—δείκνυται GTt: ἐπὶ τοῦ ἀδυνάτου καὶ διὰ δείξεως καὶ ἐπ᾽ εὐθείας διὰ τοῦ ἀδυνάτου U 24 ὅτι om. U 25 συνάγομεν G 25. 26 δι᾽ ἐπ᾽ U

ἐν τρίτῳ, καὶ ὅτι ὅσα ἐν δευτέρῳ διὰ τοῦ ἀδυνάτου, ἐπ' εὐθείας CVIIIv ἔστι δεῖξαι ὁτὲ μὲν διὰ τοῦ πρώτου ὁτὲ δὲ διὰ τοῦ τρίτου, καὶ ὅσα ἐν τρίτῳ, τὰ μὲν ἀποφατικὰ ἐν δευτέρῳ, τὰ δὲ καταφατικὰ ἐν πρώτῳ. καὶ αὐτὸς οὕτω πάσας τὰς συζυγίας ἐξελθεῖν ἔχει σαφῶς.

5 p. 62b33 Ἀλλ' ἡ μὲν ἐξ ὧν ὁ συλλογισμός, ἡ δὲ μίαν μὲν τούτων. 5

Ὅτι ἡ μὲν δεικτικὴ λαμβάνει τὰς προτάσεις ἐξ ὧν ὁ συλλογισμός, ἡ δὲ διὰ τοῦ ἀδυνάτου μίαν τούτων λαμβάνει ἐξ ὧν ὁ συλλογισμός, τουτέστι μίαν ἀληθῆ, τὴν μίαν δὲ λαμβάνει τὴν ἀντίφασιν τῆς ἀληθοῦς καὶ δείκνυσι
10 τὸ ψεῦδος ἑπόμενον.

p. 62b34 Μίαν δὲ τὴν ἀντίφασιν τοῦ συμπεράσματος. καὶ ἔνθα μὲν οὐκ ἀνάγκη γνώριμον εἶναι τὸ συμπέρασμα.

Ἀπὸ τοῦ συμπεράσματος νῦν ποιεῖται τὴν διαφοράν, ὅτι ἐπὶ τῶν δεικτικῶν οὐκ ἀνάγκη εἰδέναι τὸ συμπέρασμα, ἐπὶ δὲ τῶν διὰ ἀδυνάτου
15 ἀνάγκη ἤδη τοῦτο εἰδέναι. οὐ διαφέρει δὲ ἤτοι ἀποφατικόν ἐστιν ἤτοι καταφατικὸν τὸ δεικνύμενον ἐπ' εὐθείας καὶ διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς.

p. 62b39 Ἅπαν δὲ τὸ δεικτικῶς συμπεραινόμενον καὶ διὰ τοῦ ἀδυνάτου δειχθήσεται.

Ζητεῖ ἐνταῦθα ὁ Ἀλέξανδρος πῶς δυνατὸν τὸ δι' ἀδυνάτου δεικνύ- 20
20 μενον καὶ ἐπ' εὐθείας δεικνύναι· ὁ γὰρ ἕκτος τρόπος τοῦ τρίτου σχήματος καὶ ὁ τέταρτος τοῦ δευτέρου δι' ἀδυνάτου μὲν ἐδείκνυντο, οὐ μέντοι γε δεικτικῶς. εἶτα ἐπελύσατο αὐτὸς λέγων ὅτι ἅπαν λέγει οὐ πάντα τρόπον ἀλλὰ ἅπαν πρόβλημα ὃ δείκνυται διὰ ἀδυνάτου, καὶ ἐπ' εὐθείας * * * καὶ διὰ ἀδυνάτου, ἤτοι καταφατικὸν τὸ πρόβλημα ἤτοι ἀποφατικόν, καὶ
25 ταῦτα ἤτοι καθόλου ἤτοι μερικά. λοιπὸν λέγει ὅτι ὅσα ἐν πρώτῳ σχήματι ἐδείκνυτο διὰ ἀδυνάτου, δειχθήσεται καὶ δεικτικῶς ταῦτα ἐν δευτέρῳ καὶ 25
τρίτῳ, τὰ μὲν ἀποφατικὰ ἐν δευτέρῳ, τὰ δὲ καταφατικὰ ἐν τρίτῳ, ὅσα δὲ ἐν τῷ μέσῳ ἐδείκνυτο διὰ τοῦ ἀδυνάτου, δεικτικῶς δειχθήσεται * * * * τὰ μὲν καταφατικὰ ἐν πρώτῳ, τὰ δὲ ἀποφατικὰ ἐν δευτέρῳ.

1 ὅτι om. U ἐν δευτέρω om. U 2 ἔστι—πρώτου om. U post τρίτου add. δεῖξαι ὅτε καὶ διὰ τοῦ πρώτου U post ἐν add. τῷ U 5 ἡ δὲ] ἡδέαν sic T μία G 7. 8 ἡ δὲ—συλλογισμός iterat, iterata del. G 9 μία (ante ἀλ.) G 15 ἤτοι alt. G: ἢ TUt cf. vs. 24. 25 17 καὶ om. G 19 ὁ om. U 20 δειχθῆναι U γὰρ om. t πέμπτος G 21 ἐδείκνυντο corr. U¹: ἐδείκνυτο GTt, pr. U 22 ὅτι ἅπαν λέγει om. G 23 lac. indicavi; supple δείκνυσθαι, καὶ ὃ ἐπ' εὐθείας 27 τρίτῳ alt.] β pr. G 28 lac. indicavi; supple τὰ μὲν ἐν πρώτῳ τὰ δὲ ἐν τρίτῳ, ὅσα δὲ ἐν τρίτῳ ἐδείκνυτο διὰ τοῦ ἀδυνάτου, δεικτικῶς δειχθήσεται cf. vs. 2. 3

p. 63a 7 Ἔστω γὰρ δεδειγμένον τὸ Α μηδενὶ ἢ μὴ παντὶ τῷ Β. CVIII[v]

Ἐλέγομεν ὅτι δι' ἀδυνάτου τὸ καθόλου καταφατικὸν ἐν πρώτῳ σχήματι μὴ συνάγεται, ἀλλὰ τὸ καθόλου ἀποφατικόν. ἐδείκνυτο δὲ οὕτως, ὅτι τὸ Α οὐδενὶ τῷ Β· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ τινί· τὸ οὖν Γ παντὶ τῷ Α, τὸ Α τινὶ τῷ Β· τὸ ἄρα Γ τινὶ τῷ Β. τοῦτο δὲ ἐναργῶς ψεῦδος· ἀληθὲς ἄρα τὸ οὐδενί. τοῦτο οὖν δειχθήσεται διὰ τοῦ δευτέρου σχήματος δεικτικῶς οὕτως· τὸ Γ οὐδενὶ τῷ Β, τὸ Γ παντὶ τῷ Α· συμπέρασμα ὅτι τὸ Α οὐδενὶ τῷ Β. αὕτη οὖν ἡ ὑπόθεσις ἡ λέγουσα τὸ Α τινὶ τῷ Β ψευδής· ἀληθὴς ἄρα ἦν ἡ οὐδενί. τὸ δὲ Γ λαμβάνει νῦν αὐτὸς ἀντὶ τοῦ μέσου ὅρου καὶ λέγει ὅτι τὸ Γ ἐλαμβάνετο τῷ μὲν Α παντὶ τῷ δὲ Β οὐδενί. ἐλαμβάνετο δὲ νῦν κατὰ ἀλήθειαν, καὶ ἐν δευτέρῳ σχήματι ἐδείκνυτο τὸ ζητούμενον οὕτω τὸ καθόλου ἀποφατικόν· ὃ γὰρ δι' ἀδυνάτου ἐν πρώτῳ σχήματι συνήχθη, δεικτικῶς συνάγεται ἐν δευτέρῳ.

p. 63a 13 Φανερὸν ἐκ τούτων ὅτι οὐδενὶ τῷ Β ὑπάρχει τὸ Α. ὁμοίως δὲ καὶ εἰ μὴ παντί.

Ὁμοίως καὶ τὸ μερικὸν ἀποφατικὸν δείκνυται δεικτικῶς ἐν δευτέρῳ σχήματι οὕτως· τὸ Γ παντὶ τῷ Α, τὸ Γ οὐ παντὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Α οὐ παντὶ τῷ Β. ἐδείκνυτο δὲ τοῦτο δι' ἀδυνάτου ἐν πρώτῳ σχήματι οὕτως· τὸ Γ παντὶ τῷ Α, τὸ Α παντὶ τῷ Β, τὸ Γ ἄρα παντὶ τῷ Β· εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐ παντί· τὸ δὲ παντὶ ἔστω ἐναργῶς ἄτοπον· οὐκοῦν τὸ οὐ παντὶ ἀληθές.

p. 63a 18 Πάλιν δεδείχθω τινὶ ὑπάρχον τῷ Β τὸ Α. ἡ μὲν οὖν ὑπόθεσις μηδενὶ ὑπάρχειν.

Νῦν βούλεται δεῖξαι τὸ μερικὸν καταφατικόν, ὃ συνήχθη ἐν πρώτῳ δι' ἀδυνάτου, νῦν συνάγεται ἐν τρίτῳ δεικτικῶς. ἀλλ' ἐπιστῆσαι δεῖ ὅτι, εἰ μὲν ἐπὶ τοῦ δευτέρου δείκνυσι, προσλαμβάνει μείζονα πρότασιν, εἰ δὲ ἐπὶ τοῦ τρίτου, προσλαμβάνει ἐλάττονα πρότασιν. ἐδείκνυτο δὲ δι' ἀδυνάτου

2 ἐλέγομεν] p. 432,27 sq. 3 συνάγεται t: συνάγεσθαι GTU δὲ GTt: ἢ δοῦν U 5 τὸ ἄρα—β om. G 8 τὸ β U post λέγουσα add. ὅτι G 9 ἀληθὲς GUt 12 γὰρ U: δὲ GTt 14 τὸ] τῷ U 15 δὲ om. G καὶ ἡ T 16. 17 ἐν δευτέρῳ σχήματι δεικτικῶς G 17 post οὕτως add. δι' ἀδυνάτου U τὸ (γὰρ add.) γ (superscr. U²) παντὶ—τῷ β post 21 ἀληθές collocat U 17 τὸ γ οὐ—19 τῷ α om. GT 18 δι' ἀδυνάτου t: μερικὸν ἀποφατικὸν U 19 παντὶ primum t: οὐδενὶ U παντὶ alt. GTt: τινὶ U ἄρα GTt: οὐ U 20 οὐ om. U δὲ alt. scripsi: γὰρ libri ἔστω om. GTt 22 δεδείχθω e δὲ ἐδείχθη, ut videtur, corr. G²: εἰ δειχθῇ T 24 post δεῖξαι add. ὅτι b: πῶς addere malim cf. p. 442,8.9 25—27 ἀλλ'—τρίτου bis, semel del. G 26. 27 μείζονα—προσλαμβάνει iterat B 27 post τρίτου del. δεικτικῶς G πρότασιν om. GT

ἐν πρώτῳ σχή|ματι, ὅτι τὸ Α τινὶ τῷ Β ὑπάρχει, οὕτως· εἰ γὰρ τοῦτο CIXr
ψεῦδος, ἀληθὲς τὸ οὐδενὶ τῷ Β τὸ Α· τὸ δὲ Β παντὶ τῷ Γ· συμπέρασμα
ὅτι τὸ Α οὐδενὶ τῷ Γ· εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ τινί. δείκνυται δ'
ἐν τρίτῳ δεικτικῶς οὕτως· τὸ Α παντὶ ἢ τινὶ τῷ Γ, τὸ Β παντὶ τῷ Γ·
5 συμπέρασμα ὅτι τὸ Α τινὶ τῷ Β.

p. 63a 25 Πάλιν ἐν τῷ μέσῳ σχήματι δεδείχθω τὸ Α παντὶ τῷ Β ὑπάρχον.

Ἔδειξε πῶς τὰ τοῦ πρώτου σχήματος δι' ἀδυνάτου δεικνύμενα δείκνυται δεικτικῶς ἐν δευτέρῳ καὶ τρίτῳ· νῦν βούλεται δεῖξαι πῶς τὰ τοῦ
10 δευτέρου ἐν πρώτῳ δεικτικῶς δείκνυται. συνήγετο δὲ τὸ καθόλου καταφατικὸν δι' ἀδυνάτου ἐν δευτέρῳ οὕτως, ὅτι τὸ Α παντὶ τῷ Β· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐ παντί· τὸ Α παντὶ τῷ Γ, τὸ Α οὐ παντὶ 10
τῷ Β· συμπέρασμα ὅτι τὸ Γ οὐ παντὶ τῷ Β· ἀλλ' ἔστω τοῦτο ψεῦδος· ἀληθὲς ἄρα τὸ παντὶ * * * τὸ Α παντὶ τῷ Γ, τὸ Γ παντὶ τῷ Β,
15 τὸ ἄρα Α παντὶ τῷ Β. καὶ οὕτως ἔσται τὸ πρῶτον σχῆμα.

p. 63a 29 Ὁμοίως δὲ καὶ εἰ τινὶ δέδεικται ὑπάρχον.

Πάλιν εἰ ἐδείχθη δι' ἀδυνάτου ἐν δευτέρῳ σχήματι ὅτι τὸ Α τινὶ 15
τῷ Β (δηλονότι ἔχον ὑπόθεσιν ψευδῆ τὴν οὐδενὶ οὕτως· τὸ Α παντὶ τῷ Γ, τὸ Α οὐδενὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Γ οὐδενὶ τῷ Β· τοῦτο δὲ
20 ἐναργῶς ψεῦδος· ἀληθὲς ἄρα τὸ τινί), οὐκοῦν ποιοῦμεν οὕτως· τὸ Α παντὶ τῷ Γ, τὸ Γ τινὶ τῷ Β, τὸ ἄρα Α τινὶ τῷ Β. καὶ πάλιν ἔσται τὸ πρῶτον σχῆμα.

p. 63a 32 Εἰ δὲ στερητικὸς ὁ συλλογισμός, ἡ μὲν ὑπόθεσις τὸ Α τινὶ τῷ Β.

25 Πάλιν δείκνυται ὁ στερητικὸς ἐν δευτέρῳ οὕτως· λέγω ὅτι τὸ Α οὐδενὶ τῷ Β· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ τινί· τὸ δὲ Α οὐδενὶ τῷ Γ· συμπέρασμα ὅτι τὸ Γ οὐ παντὶ τῷ Β· εἰ δὲ τοῦτο ψεῦδος (ἦν γὰρ παντί), ἀληθὲς τὸ οὐδενὶ * * * τὸ Α οὐδενὶ τῷ Γ, τὸ Γ παντὶ τῷ Β, τὸ Α οὐδενὶ τῷ Β.

---

2 τὸ ᾱ· τὸ δὲ β̄ superscr. U 3 δ' om. U 6 post πάλιν add. καὶ t
9 ante νῦν (ex οὖν, ut videtur, corr.) add. καὶ G 10 ἐν (ex ἐπὶ corr. U²) τῷ πρώτῳ δείκνυται δεικτικῶς U 10. 11 καταφατικὸν] κατα om. initio versus U 12 παντὶ prim. et tert. superscr. G post τὸ alt. add. δὲ t, superscr. G 13 οὐ om. G ἔσται GTt 14 lac. indicavi; supple τὸ ᾱ τῷ β̄. δεικτικῶς δὲ οὕτως· 15 ἔσχε G
17 εἰ om. T ὅτι om. G 18 ἔχον t: ἔχων GT: ἔσχεν U ὑπόθεσιν om. t
ψευδῆ post οὕτως colloc. U ante τὸ ᾱ add. ὅτι U 21 τὸ ἄρα—τῷ β̄ supra lineam iterat U² ἔστω U 25 ante πάλιν add. καὶ G ὅτι om. GT
26 δὲ om. G 27 γὰρ corr. G¹ 28 οὐδενὶ prius scripsi: παντὶ GTUt
lac. indicavi; supple τὸ ᾱ τῷ β̄. ἐν δὲ πρώτῳ οὕτως·

p. 63ᵃ35 Καὶ εἰ μὴ καθόλου ὁ συλλογισμός, ἀλλὰ τὸ Α τινὶ τῷ CIXʳ
Β δέδεικται μὴ ὑπάρχον, ὡσαύτως· ὑπόθεσις μὲν γὰρ παντὶ 25
τῷ Β τὸ Α.

Ἐδείχθη δι᾽ ἀδυνάτου τὸ μερικὸν ἐν δευτέρῳ σχήματι οὕτως· λέγω
5 ὅτι τὸ Α οὐ παντὶ τῷ Β· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντί. εἶτα
ληφθήτω ὅτι τὸ Α οὐδενὶ τῷ Γ· τὸ Α παντὶ τῷ Β· συμπέρασμα ὅτι τὸ
Γ οὐδενὶ τῷ Β. ἀλλὰ τοῦτο ἔστω ἐναργῶς ψεῦδος· ἦν γὰρ τινί· οὐκοῦν
ἀληθὲς ἄρα τὸ ⟨οὐ⟩ παντί. εἶτα ἐν πρώτῳ σχήματι δείκνυται οὕτως, ὅτι τὸ Α 30
οὐδενὶ τῷ Γ, τὸ Γ τινὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Α οὐ παντὶ τῷ Β.
10 οὕτως τὰ τοῦ δευτέρου σχήματος ἐν πρώτῳ δείκνυται. δυνατὸν δὲ καὶ τὰ
μερικὰ ἀποφατικὰ ἐν τρίτῳ δεῖξαι.

p. 63ᵃ40 Πάλιν ἐν τῷ τρίτῳ σχήματι δεδείχθω τὸ Α παντὶ τῷ
Β ὑπάρχον. οὐκοῦν ἡ μὲν ὑπόθεσις ἦν μὴ παντὶ τῷ Β τὸ Α.

Πληρώσας περὶ τοῦ δευτέρου σχήματος νῦν λέγει περὶ τοῦ τρίτου.
15 καὶ φησὶν ὅτι τὰ καταφατικὰ τοῦ τρίτου ἐν πρώτῳ σχήματι δεικτικῶς
δείκνυται, τὰ δὲ ἀποφατικὰ ἐν δευτέρῳ οὕτως. ἐδείχθη ἐν τρίτῳ διὰ τοῦ
ἀδυνάτου τὸ καθόλου καταφατικὸν οὕτως· ὑποκείσθω ὅτι τὸ Α παντὶ τῷ Β
κατὰ ἀλήθειαν· εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐ παντί· εἶτα τὸ Γ παντὶ 40
τῷ Β· συμπέρασμα ὅτι τὸ Α οὐ παντὶ τῷ Γ. ἀλλ᾽ ἔστω τοῦτο ψεῦδος·
20 ἦν γὰρ παντί· ἀληθὲς οὖν τὸ παντί. οὐκοῦν ἐν πρώτῳ σχήματι δείκνυται
οὕτως· τὸ Α παντὶ τῷ Γ, τὸ Γ παντὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Α
παντὶ τῷ Β. οὕτω τὸ καθόλου καταφατικόν. τὸ δὲ μερικὸν καταφατικὸν
ἐδείκνυτο ἐν τρίτῳ σχήματι διὰ τοῦ ἀδυνάτου οὕτως· τὸ Α λέγω ὅτι τινὶ
τῷ Β· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐδενί· τὸ Α οὐδενὶ τῷ Β, τὸ Γ
25 τινὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Α οὐ παντὶ τῷ Γ· ἀλλ᾽ ἔστω τοῦτο ἐναργῶς 45
ψεῦδος· ἦν γὰρ παντί· ὥστε ἀληθὲς τὸ τινί. οὐκοῦν γίνεται ἐν πρώτῳ
σχήματι οὕτως· τὸ Α παντὶ τῷ Γ, τὸ Γ τινὶ τῷ Β, τὸ ἄρα Α τινὶ τῷ Β.
οὕτω τὰ δι᾽ ἀδυνάτου καταφατικὰ ἐν τρίτῳ δειχθέντα δεικτικῶς ἐν πρώτῳ
ἐδείχθη ὑπάρχοντα.

30 p. 63ᵇ5 Εἰ δὲ στερητικὸς ὁ συλλογισμός, ὑπόθεσις μὲν τὸ Α τινὶ
τῷ Β ὑπάρχειν.

Εἰρηκὼς πῶς τὰ καταφατικὰ ἐν πρώτῳ δείκνυται τὰ ἐν τρίτῳ σχήματι,

---

1 ὁ om. U 2 ὑπάρχειν Gt Arist. 5 τὸ alt. om. TUt 6 ante παντὶ add. οὐ U τὸ tert. e τῷ corr. G 7 ἦν γὰρ τινί scripsi et transposui cf. vs. 20. 26: ἦν δὲ τινί post β̄ TUt: non liquet G 8 ἄρα ἀληθὲς U οὐ παντί scripsi cf. p. 442,28: τινί GTUt 10 οὕτως τὰ ex οὕτω corr. G δεικνύναι GTt καὶ om. G 13 ὑπάρχον TU(n): ὑπάρχειν Gt Arist. 15 ὅτι om. G 16. 17 δι᾽ ἀδυνάτου G 17 καθόλου om. G 18 γὰρ conicio cf. vs. 24 20 post τὸ add. οὐ GT 22 δὲ om. GT 24 ἀληθὲς—26 ψεῦδος bis GT, semel del. G 25 ὅτι in iteratis om. G οὐ om. U post γ̄ del. ἦν γὰρ παντὶ U post τοῦτο add. τὸ (in iter. non add.) T 32 πῶς τὰ ἐν τῷ τρίτῳ σχήματι καταφατικὰ ἐν πρώτῳ δείκνυται G

νῦν λέγει πῶς τὰ ἐν τρίτῳ σχήματι ἀποφατικὰ δεικτικῶς δείκνυται ἐν δευτέρῳ. δύναται δὲ καὶ ἐν πρώτῳ δειχθῆναι. ἀλλ' ἐπειδὴ ἴδιον τοῦτο τοῦ δευτέρου σχήματος, διὰ τοῦτο ἐν δευτέρῳ ἀνάγεται τὸ ἀποφατικὸν τοῦ τρίτου σχήματος. διὰ τοῦ ἀδυνάτου ⟨οὖν⟩ οὕτως, ὅτι τὸ Α οὐδενὶ τῷ Β· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ τινί· οὐκοῦν τὸ Α τινὶ τῷ Β, τὸ Γ παντὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Α τινὶ τῷ Γ. ἀλλὰ τοῦτο ἐναργῶς ψεῦδος· ἦν γὰρ οὐδενί· ἀληθὲς ἄρα τὸ οὐδενί. καὶ ποιοῦμεν λοιπὸν ἐν δευτέρῳ σχήματι οὕτως· τὸ Γ οὐδενὶ τῷ Α, τὸ Γ | παντὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Α CIXv οὐδενὶ τῷ Β. οὕτως τὸ καθόλου ἀποφατικὸν δείκνυται δεικτικῶς ἐν δευτέρῳ σχήματι.

p. 63b6 Εἴληπται δὲ τὸ Γ τῷ μὲν Α μηδενὶ τῷ δὲ Β παντί· τοῦτο δὲ τὸ σχῆμα τὸ μέσον. ὁμοίως δὲ καὶ εἰ μὴ καθόλου ἡ ἀπόδειξις.

Ὥσπερ τὸ καθόλου ἀποφατικὸν ἐν δευτέρῳ σχήματι ἐδείχθη, οὕτω καὶ τὸ μερικόν. ἐδείκνυτο γὰρ τὸ μερικὸν ἐν τρίτῳ οὕτως. ὅτι τὸ Α οὐ παντὶ τῷ Β· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντί· τὸ δὲ Γ τινὶ τῷ Β· οὐκοῦν τὸ Α τινὶ τῷ Γ· ἦν δὲ οὐδενί. τοῦτο οὖν ψεῦδος· ἀληθὲς ἄρα τὸ οὐ παντί. εἶτα ἐν δευτέρῳ σχήματι· ὅτι τὸ Γ οὐδενὶ τῷ Α, τὸ Γ τινὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Α οὐ παντὶ τῷ Β. οὕτω καὶ τὰ ἀποφατικὰ τοῦ τρίτου σχήματος ἐν δευτέρῳ δεικτικῶς.

p. 63b18 Δῆλον οὖν ὅτι πᾶν πρόβλημα δείκνυται κατ' ἀμφοτέρους τοὺς τρόπους.

Οὐκ εἶπε πάντα τρόπον ἀλλὰ πᾶν πρόβλημα, ἢ καταφατικὸν ἢ ἀποφατικόν, ὅτι δείκνυται καὶ δι' ἀδυνάτου καὶ ἐπ' εὐθείας.

p. 63b22 Ἐν ποίῳ δὲ σχήματι ἔστιν ἐξ ἀντικειμένων προτάσεων συλλογίσασθαι.

Βούλεται διὰ τούτων ὁ Ἀριστοτέλης παραδοῦναι ἡμῖν τὸν ἐξ ἀντικειμένων προτάσεων συλλογισμόν. ἀντικείμεναι δὲ λέγονται προτάσεις

1 ante τρίτῳ add. τῷ G σχήματι bis, semel del. G δείκνυται scripsi: δείκνυνται GTUt 2 δύναται corr. e διατί U² τοῦτο superscr. U² 3 immo συνάγεται 4 οὖν addidi ὅτι om. G 5 τὸ primum om. Tt 6 supra τινὶ scr. οὐδενὶ U¹ ἐν (ante γὰρ) T 7 οὐδενί prius scripsi: τινί GTUt λοιπὸν om. U 9. 10 ἐν δευτέρῳ σχήματι δείκνυται δεικτικῶς G 11 τὸ γ̄ om. GT τῷ prius om. G 12 τὸ μέσον σχῆμα t Arist. ἡ om. G 14 ὥσπερ τὸ καθόλου om. GT ἀποφατικὸν om. G 15 καὶ om. G 17 οὖν U: δὲ Gt: om. T ἄλλα G 20 post ἐν add. τῷ Tt 21 οὖν om. U post οὖν add. τοῦτο G 23 ante οὐκ add. ἴδε ὅτι εἶπε δῆλον ὅτι πᾶν πρόβλημα U παντὶ T ἀλλὰ GTt: ἀλλ' ὅτι καὶ superscr. U² 25 περὶ τοῦ (τῶν T) ἐξ ἀντικειμένων συλλογίζεσθαι inscr. TU 28 ante προτάσεων add. τῶν GTt δὲ om. T

ἢ πᾶς καὶ οὐ πᾶς, τὶς καὶ οὐδείς, πᾶς καὶ οὐδείς, τὶς καὶ οὐ πᾶς. αὗται CIXv
μὲν τέσσαρες ἀντιθέσεις κατὰ τὴν λέξιν· ἐν γὰρ τοῖς πράγμασιν αὐτοῖς
οὐκ ἀντίκειται ἡ τὶς τῇ οὐ πᾶς, ὅπου γε καὶ συναληθεύει αὐτῇ. ὥστε
εἰσὶ τρεῖς ἀντιθέσεις. εἰδέναι δὲ δεῖ ὅτι ὁ συλλογισμὸς ὁ ἐξ ἀντικειμένων 30
5 τῶν προτάσεων συναγόμενος τὸ αὐτὸ δείκνυσι καὶ εἶναι καὶ μὴ εἶναι.
καὶ ἐν πρώτῳ σχήματι δειχθῆναι τοῦτο οὐ δύναται, ἀλλ' ἐν δευτέρῳ καὶ
τρίτῳ. καὶ ἐν πρώτῳ καταφατικὸν μὲν οὐ δείκνυσι συμπέρασμα. διότι ἐξ
ἀντικειμένων γίνεται, τὰ δὲ ἀντικείμενα εἰσὶ τὰ καταφατικὰ τοῖς ἀποφατικοῖς·
εἰ δέ ἐστιν ἡ μὲν καταφατικὴ ἡ δὲ ἀποφατική, ἀποφατικὸν τὸ συμπέρασμα.
10 διὰ ταύτην οὖν τὴν αἰτίαν καταφατικὰ συναχθῆναι οὐ δύναται ἐν τῷ πρώτῳ 35
σχήματι. καὶ ἐν τῷ τρίτῳ ὡσαύτως· ἤθελε γὰρ τὸ καταφατικὸν ἐξ ἀμφο-
τέρων καταφατικῶν εἶναι· νῦν δὲ ἀντιφατικῶς εἰσιν αἱ προτάσεις, ἡ μὲν
καταφατικὴ ἡ δὲ ἀποφατική. οὔτε δὲ ἀποφατικὸν δύναται συναχθῆναι ἐν
πρώτῳ σχήματι οὔτε καταφατικόν, διότι τοῦ αὐτοῦ καὶ κατηγοροῦνται καὶ
15 ἀπαρνοῦνται αἱ προτάσεις αἱ ἐξ ἀντικειμένων, ἐν δὲ τῷ πρώτῳ σχήματι
τοῦ αὐτοῦ οὐκέτι οἱ ὅροι κατηγοροῦνται καὶ ἀπαρνοῦνται, ἀλλ' ὁ μέσος
ὅρος τῷ μὲν ὑπόκειται τοῦ δὲ κατηγορεῖται. εἰδέναι δὲ δεῖ ὅτι ταῦτα πρὸς 40
τὴν ἀποδεικτικὴν οὐδὲν συμβάλλεται· πάντως γὰρ ἡ μία πρότασις ψευδής
ἐστιν, εἰ τοῦ αὐτοῦ ἀντικειμένας προτάσεις λαμβάνεις, αἱ δὲ ἀντικείμεναι
20 προτάσεις ἡ μὲν ἀληθὴς ἡ δὲ ψευδής, ὥστε καὶ ἐπὶ τῶν ἐξ ἀντικειμένων
τὴν μίαν πάντως ἀληθῆ εἶναι τὴν δὲ μίαν ψευδῆ. ἀλλὰ συμβάλλεται
ἡμῖν ταῦτα πρὸς τὰς σοφιστικὰς ἐνοχλήσεις, ἵνα μὴ παραλογιζώμεθα ὅτι
δύναται τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι. ἀκριβέστερον δὲ ἐν τοῖς Τοπικοῖς
τούτου τὴν μέθοδον δείκνυσιν.

25 p. 63b33 Καταφατικὸς μέν, ὅτι ἀμφοτέρας δεῖ καταφατικὰς 45
εἶναι τὰς προτάσεις.

Αὐτὸς λέγει τὴν αἰτίαν δι' ἣν ἐν πρώτῳ σχήματι οὐ δύναται δει-
χθῆναι οὔτε καταφατικὸν συμπέρασμα οὔτε ἀποφατικόν. καταφατικὸν μὲν 50
οὐ δύναται, ἐπειδὴ ἐκ δύο γίνεται καταφατικῶν, ἐπὶ δὲ τῶν ἐξ ἀντικει-

---

1 ante οὐ πᾶς prius add. ἡ Tt τὶς καὶ οὐδείς—οὐ πᾶς om. U πᾶς καὶ οὐδεὶς t: om. GT 3 τῇ om. T 4 οὖν U 7 post ἐν add. τῷ Gt μὲν om. U post συμπέρασμα add. ἀλλ' ἀπόφασιν U διότι GTt: εἰ γὰρ U 8 γίνονται G δὲ om. G ἀντικείμενα iterat G τὰ ἀποφατικὰ τοῖς καταφατικοῖς G
10 τῷ om. U 11 ἢ (ante ἐν) U ἐν τρίτῳ U: ἀντὶ τῶν τρίτων T
12 εἰσιν ex ἐστιν corr. U² 13 καταφατικῶς—ἀποφατικῶς G δὲ alt. om. U
14 διατί U 17 τοῦ μὲν U 18 τὴν om. G 20 post ἀληθής add. ἐστιν Gt ψευδές Gt καὶ om. TUt 21 πάντως Ut: πρότασιν GT post ἀληθῆ add. δεῖ t
22 ὀχλήσεις pr. U, ἐν superscr. U² παραλογιζόμεθα T: λογιζώμεθα pr. U, παρα superscr. U² post ὅτι add. πῶς U 23 καὶ ἀκριβέστερον, om. δὲ U
ἐν τοῖς Τοπ.] VIII 13 p. 163a14 sq. 25 καταφατικῶς T καταφατικὰς δεῖ t
27 post ἣν add. αἰτίαν U post ἐν add. τῷ G 29 ⟨οὖν⟩ οὐ conicio

μένων συλλογισμῶν ἡ μὲν ἦν κατάφασις ἡ δὲ ἄλλη ἀπόφασις τῶν προτάσεων. ἀποφατικὸν δὲ συμπέρασμα ἐν πρώτῳ σχήματι οὐ συνάγεται διὰ τί; ὅτι ἐπειδὴ ἐπὶ τῶν ἐξ ἀντικειμένων συλλογισμῶν πρὸς τῷ μέσῳ ὅρῳ ἐγίνοντο αἱ ἀντιθέσεις καὶ προτάσεις ὥστε τὸν αὐτὸν ὅρον καὶ κατα-
5 φατικὴν καὶ ἀποφατικὴν ποιεῖν πρότασιν, ἐν δὲ τῷ πρώτῳ σχήματι ὁ μέσος ὅρος ἐν τῇ μιᾷ | προτάσει ὑπόκειται καὶ ἐν τῇ μιᾷ κατηγορεῖται, CXr ὥστε οὐ δυνατὸν τοῦ αὐτοῦ τὰς ἀντικειμένας προτάσεις λαβεῖν. εἰ οὖν μὴ ἐν πρώτῳ, οὐκ ἔστιν ἀναγκαίως ἐν δευτέρῳ καὶ τρίτῳ δειχθῆναι τοὺς συλλογισμοὺς τοὺς ἐξ ἀντικειμένων προτάσεων.

10 p. 63b40 Ἐν δὲ τῷ μέσῳ σχήματι καὶ ἐκ τῶν ἀντικειμένων καὶ ἐκ τῶν ἐναντίων ἐνδέχεται γίνεσθαι συλλογισμόν. 5

Δείξας ὅτι ἐν πρώτῳ σχήματι οὐ δυνατὸν συνάγειν τοὺς ἐξ ἀντικειμένων προτάσεων συλλογισμούς, νῦν βούλεται δεῖξαι ὅτι ἐν δευτέρῳ συνάγονται. συνάγεται δέ, ὅτι τὸ αὐτὸ καὶ ὄν ἐστι καὶ μὴ ὄν, οὕτως. ὁ μέσος 10
15 ὅρος τὸ σπουδαῖον, ἐπιστήμη δὲ καὶ ἐπιστήμη ὡς ἰατρικὴ ἄκροι· καὶ λέγομεν οὕτως ἐν δευτέρῳ σχήματι, ὅτι πᾶσα ἐπιστήμη σπουδαία ἐστίν, οὐδεμία ἐπιστήμη ὡς ἰατρικὴ σπουδαία, ὥστε συνάγεται ὅτι ἰατρικὴ ἐπιστήμη ἐπιστήμη οὐκ ἔστιν· εἰ γὰρ πᾶσα ἐπιστήμη σπουδαία, οὐδεμία δὲ ἰατρικὴ 15 ἐπιστήμη σπουδαία, οὐδὲ ἰατρικὴ ἐπιστήμη ἐπιστήμη ἐστίν. λάβε δὲ τὸν
20 μέσον ὅρον πάλιν πρὸς τὴν ἰατρικὴν καὶ μείζονα οὕτως· οὐδὲν σπουδαῖον ἰατρική ἐστιν ἐπιστήμη, πᾶν σπουδαῖον ἐπιστήμη ἐστίν, ὥστε ἡ ἰατρικὴ ἐπιστήμη ἐπιστήμη οὐκ ἔστιν. καλῶς οὖν ἐλέγομεν ἐπὶ τῶν ἐξ ἀντικειμένων προτάσεων συλλογισμῶν, ὅτι τὸ αὐτὸ καὶ εἶναι καὶ μὴ εἶναι συνάγεται. δῆλον 20 δὲ ⟨ὅτι⟩ τοῦτο συνήχθη διὰ τὸ εἶναι τὴν μείζω ψευδῆ τὴν λέγουσαν 'οὐδὲν
25 σπουδαῖον ἰατρική ἐστιν ἐπιστήμη'· ἀλλὰ καὶ διὰ τὴν ἐλάττω τὴν λέγουσαν 'πᾶν σπουδαῖον ἐπιστήμη ἐστίν'. δυνατὸν δὲ διὰ τούτων τῶν τρόπων καὶ τὰ θεῖα δεῖξαι μὴ θεῖα καὶ τὴν ἡδονὴν μὴ εἶναι ἡδονὴν καὶ ὅσα ἄλλα τοιαῦτα. ἀλλ' εἰδέναι δεῖ ὅτι κρύψις οὐ γέγονε τῶν ὅρων ἐνταῦθα, ἀλλ' εὐθέως ὁ προσδιαλεγόμενος νοεῖ καὶ οὐ δίδωσι τοῦτο, ὅτι πᾶν σπουδαῖον
30 ἐπιστήμη καὶ οὐδὲν σπουδαῖον ἰατρικὴ ἐπιστήμη. ἐν δὲ τοῖς Τοπικοῖς 25

1. 2 τῶν προτάσεων GTt: πρότασις U 4 ἀντιθέσεις] εις in nescio quid corr. G² τῶν αὐτῶν ὅρων GTt 4. 5 κατάφασιν—ἀπόφασιν U 6 τῆς μιᾶς προτάσεως—τῆς δὲ μιᾶς, om. ἐν U 8 πρώτοις pr. U, corr. U² οὐκ ἔστιν om. GTt 10 post ἀντικειμένων add. προτάσεων T 11 γίνεσθαι om. T 12 δεῖξαι T ὅτι om. U ἀνάγειν T 13. 14 συνάγονται scripsi: συνάγεται GTUt 14 ὁ G: ὡς Tt: τὸ ὂν καὶ μὴ ὄν ἐστι U 15 post σπουδαῖον add. τοῦτο ἐστὶ μέσος τὸ σπουδαῖον ὅρος. κατηγορεῖται γὰρ τῇ καθόλου ἐπιστήμῃ. ὅτι πᾶσα ἐπιστήμη σπουδαία. καὶ ἀπαρνεῖται τῇ μερικῇ ἐπιστήμῃ. τουτέστι τῇ ἰατρικῇ U post καὶ prius add. μὴ U ὡς om. U καὶ alt. superscr. U¹ 17 post ὅτι add. ἡ U 17. 18 ἐπιστήμη om. U 18 δὲ om. T 21 ἰατρικὴ ἐπιστήμη ἐστί T 22 λέγομεν G 23 ὅτι om. G post εἶναι alt. del. nescio quid U 24 ὅτι add. b 25 ἐστιν post σπουδαῖον colloc. GT ante ἰατρ. add. ἡ G καὶ om. G 26 πᾶν om. G 28 post εἰδέναι add. δὲ U 30 ἐν δὲ τοῖς Τοπ.] VIII 1 p. 155b26 sq.

παραδίδωσι μεθόδους τῶν κρύψεων δι' ἃς τοῦτο δοθήσεται. τόπους δὲ CXr ἐκάλεσεν αὐτὰς τὰς μεθόδους.

p. 64a4 Ὁμοίως δὲ καὶ εἰ πᾶσαν λαβὼν σπουδαίαν.

Ὁμοίως, φησίν, ἐὰν ἡ μείζων πρότασις μὴ ἀποφατικὴ ἀλλὰ καταφατικὴ ἡ δὲ ἐλάττων ἀποφατική, ἵνα μόνον μεταθῶμεν τὰς προτάσεις, πάλιν δείκνυμεν τὸ αὐτό.

p. 64a6 Ὥστε ἡ τὶς ἐπιστήμη οὐκ ἔσται ἐπιστήμη.

Οἷον ἡ ἰατρική· τὶς γὰρ ἐπιστήμη ἐστίν.

p. 64a7 Καὶ εἰ τῷ μὲν Γ παντὶ τὸ Α.

Ἐὰν ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική, τὸ αὐτὸ καὶ εἶναι καὶ μὴ εἶναι δειχθήσεται· οἷον ἡ ὑπόληψις οὐδεμιᾷ ἐπιστήμῃ, ὑπόληψις πάσῃ ἰατρικῇ ἐπιστήμῃ· συμπέρασμα ὅτι οὐδεμία ἰατρικὴ ἐπιστήμη ἐπιστήμη ἐστίν.

p. 64a10 Διαφέρει δὲ τοῦ πάλαι τῷ ἐπὶ τῶν ὅρων ἀντιστρέφεσθαι· πρότερον μὲν γὰρ πρὸς τῷ Β, νῦν δὲ πρὸς τῷ Γ.

Διαφέρει, φησίν, ὁ δεύτερος τρόπος τῶν ἐξ ἀντικειμένων προτάσεων τοῦ πρώτου, ὅτι ὁ πρῶτος ἔχει τὴν ἐλάττονα ἀποφατικὴν τὴν δὲ μείζονα καταφατικήν, ὁ δὲ δεύτερος τὸ ἀνάπαλιν.

p. 64a12 Καὶ ἐὰν δὲ μὴ καθόλου ᾖ ἡ ἑτέρα πρότασις, ὡσαύτως.

Εἶπε περὶ τῶν ἄμφω καθόλου καὶ ἀντικειμένων ἐναντίως προτάσεων· νῦν λέγει περὶ τῶν ἐκ τῆς ἑτέρας μερικῆς καὶ ἀντικειμένων ἀντιφατικῶς. ἐξ ἀνάγκης γὰρ αἱ ἀντικείμεναι προτάσεις ἢ ἐναντίαι εἰσὶν ἢ ἀντιφατικαί· οὕτω γὰρ γίνεται ἐξ ἀντικειμένων συλλογισμός· εἰ δὲ μὴ ὦσιν αἱ προτάσεις ἀντικείμεναι, οὐ γίνεται. ὥστε ἐὰν ὦσιν αἱ προτάσεις μερικαὶ καὶ καθόλου, αἱ αὐταὶ ἀποδείξεις ἔσονται.

---

3 λαβὼν σπουδαίαν t Arist.: ἐπιστήμην σπουδαίαν λάβω GU, om. λάβω T 4 ἀποφατικὴ in καταφατικὴ mutavit G¹ 4. 5 ἀλλὰ καταφατικὴ om. G 7 εἰ G ἔσται t Arist.: ἔστιν GTU 14 τῷ t Arist.: τὸ GTU ἀντιστρέψαι GU τὸ β—τὸ γ G 18 δὲ add. U² 19 ἂν Arist. (ἐὰν n) δὲ om. GT (C) ἡ post ἐὰν colloc. Tt Arist. 20 καὶ om. G ἐναντίως scripsi: ἐναντίων GTUt 23 λέγεται G συλλογισμῶν T 24 ἀντικείμεναι—προτάσεις om. GT 25 ἡ αὐτὴ ἀπόδειξις, om. ἔσονται G

p. 64a16 Πλὴν οὐκ ἀεὶ οὐδὲ πάντως, ἀλλ' ὅταν οὕτως ἔχῃ τὰ ὑπὸ τὸ μέσον.

Περαίνεται ἐξ ἀντικειμένων τότε, ὅτε ὁ μέσος ὅρος τῷ μὲν κατηγορεῖται τοῦ δὲ ἀπαρνεῖται ἀντικειμένως. ἄλλως δὲ οὐ γίνεται. |

5 p. 64a20 Ἐν δὲ τῷ τρίτῳ σχήματι καταφατικὸς μὲν συλλογισμός. CXv

Πληρώσας περὶ τοῦ δευτέρου σχήματος νῦν λέγει καὶ περὶ τοῦ τρίτου, ὅτι καὶ ἐν τῷ τρίτῳ δείκνυται ἐξ ἀντικειμένων προτάσεων συλλογισμὸς ἤτοι καθόλου ὄντων τῶν ὅρων ἢ οὔ, ἀλλ' ἐν τρίτῳ καταφατικὰ οὐ δείκνυται ἀλλὰ ἀποφατικὰ διὰ τὴν εἰρημένην αἰτίαν.

p. 64a24 Εἰ οὖν λάβοις πᾶσαν ἰατρικὴν ἐπιστήμην καὶ μηδεμίαν ἰατρικὴν ἐπιστήμην.

Ἐν τρίτῳ σχήματι δείκνυσι, πῶς τὸ αὐτὸ καὶ εἶναι καὶ μὴ εἶναι δείκνυται ἐξ ἀντικειμένων τῶν προτάσεων καὶ ἀμφοτέρων καθόλου, οὕτως. ἡ ἐπιστήμη οὐδεμιᾷ ἰατρικῇ, ἡ ἐπιστήμη πάσῃ ἰατρικῇ, καὶ συμπέρασμα ὅτι οὐ πᾶσα ἐπιστήμη ἐπιστήμη ἐστίν. ἀλλ' ἐνταῦθα πάλιν αἱ προτάσεις δῆλαι. αἱ δὲ μέθοδοι παραδίδονται ἐν τοῖς Τόποις ὅπως κρύβειν ὀφείλομεν τὰς προτάσεις. κρύβομεν δὲ τὰς προτάσεις, ὅτε διὰ πολλῶν ἄλλων τὸ αὐτὸ συνάγεται ἢ δι' ἄλλων ὀνομάτων οὕτως· πᾶσα ἡδονὴ κακόν ἐστιν, ἡ χαρὰ κακὸν οὐκ ἔστιν· συμπέρασμα τὶς ἄρα ἡδονὴ ἡδονὴ οὐκ ἔστιν, [ὥστε] εἴπερ ἡ χαρὰ ἡδονὴ οὖσα κακὸν οὐκ ἔστιν· ἐνταῦθα γὰρ ἐπειδὴ ἄλλα ὀνόματά ἐστι, κρύβει τὴν δύναμιν τῶν ἀντικειμένων προτάσεων.

p. 64a27 Ὁμοίως δὲ καὶ ἐὰν μὴ καθόλου ληφθῇ ἡ AB πρότασις· εἰ γάρ ἐστι τὶς ἰατρικὴ ἐπιστήμη.

Καὶ ἐὰν ἡ μείζων μὴ καθόλου, καθόλου δὲ ἡ ἐλάττων, τὸ αὐτὸ συνάγεται· οἷον ἰατρικῇ τινὶ ἐπιστήμῃ, ἰατρικῇ οὐδεμιᾷ ἐπιστήμῃ· συμπέρασμα ὅτι οὐ πᾶσα ἐπιστήμη ἐπιστήμη ἐστίν.

1 ἐὰν t Arist. 3 ὅτε om. T an τοῦ? at cf. Ind. 4 οὐδὲ T 5 ἀρχὴ τοῦ τρίτου σχήματος inscr. U post μὲν add. ὁ GU (n) 11 λάβῃς G: λάβοι t Arist. 13 post ἐν add. τῷ G καὶ prius om. T 14 τῶν om. G οὕτως U: οὐσῶν GTt 16 οὐ om. G 17 ante ἐν add. καὶ U ἐν τοῖς Τόποις] cf. p. 446,30 ὀφείλωμεν TUt 19 πᾶσαν T 19. 20 ἡ χαρὰ—ἡδονὴ οὐκ ἔστιν om. GT 20 οὐκ prius superscr. U² ὥστε delevi 20. 21 εἴπερ ἡ χαρὰ scripsi: ἡ χαρὰ εἴπερ Ut 21 οὐκ om. G, superscr. U² 23 δὲ om. G βᾱ Arist. (ᾱβ uf) 26 post οἷον add. ἡ U 27 ἐπιστήμη ter habet U

p. 64ᵃ30 Εἰσὶ δὲ καθόλου μὲν τῶν ὅρων λαμβανομένων. CXᵛ

Εἰσὶ μὲν καθόλου προτάσεις, ὅτε αἱ ἐναντίαι λαμβάνωνται· μερικὴ δὲ γίνεται ἡ μία, ὅτε τὸ ἀντιφατικὸν ληφθῇ.

p. 64ᵃ33 Δεῖ δὲ κατανοεῖν ὅτι ἐνδέχεται μὲν οὕτως.

Δεῖ, φησίν, προσέχειν ὅτι ἐγχωρεῖ λαβεῖν τὰ ἀντικείμενα ἄνευ κρύψεως ὥστε μὴ λαθεῖν τοὺς διαλεγομένους. ἐνδέχεται δὲ ταῦτα τὰ ἀντικείμενα δι' ἄλλων ἐπερωτήσεων λαβεῖν τὸν προσδιαλεγόμενον, ὥσπερ εἰρήκαμεν ἐν τοῖς Τόποις.

p. 64ᵃ37 Ἐπεὶ δὲ τῶν καταφάσεων αἱ ἀντιθέσεις τρεῖς, ἑξαχῶς συμβαίνει τὰ ἀντικείμενα.

Εἰρηκὼς ὁ Ἀριστοτέλης περὶ τῶν ἐξ ἀντικειμένων συλλογισμῶν πῶς γίνονται, νῦν λέγει πόσοι μὲν γίνονται τρόποι συζυγιῶν τῶν ἐξ ἀντικειμένων, καὶ ποῖαι συζυγίαι μάλιστα λαμβάνονται. καὶ εἰ λαμβάνονται ὡς ἐν τῷ δευτέρῳ σχήματι, τὸ καθόλου ἀνάγκη εἶναι πρὸς τῇ μείζονι. εἰ οὖν ἐστιν ἡ μείζων καθόλου καὶ καταφατική, ἐξ ἀνάγκης ἡ ἐλάττων τριχῶς ποικίλλεται, καὶ γίνονται τέως τρεῖς τρόποι· ἢ γὰρ καθόλου ἀποφατική ἐστιν ἢ μερικὴ καταφατικὴ ἢ μερικὴ ἀποφατική. εἰ δὲ ἡ μείζων ἢ καθόλου ἀποφατική, πάλιν ἡ ἐλάττων ποικίλλεται τριχῶς· ἢ γὰρ καθόλου καταφατική ἐστιν ἢ μερικὴ καταφατικὴ ἢ μερικὴ ἀποφατική, ὥστε εἶναι ἓξ τὰς συζυγίας. ἀλλ' οὐ πᾶσαι συντελοῦσιν εἰς τὸν περὶ τῶν ἀντικειμένων συλλογισμόν, ἀλλ' αἱ τέσσαρες μόνον· οὔτε γὰρ ἐκ δύο καταφατικῶν ἢ ἐκ δύο ἀποφατικῶν συλλογισμὸν ποιοῦσιν· τῷ αὐτῷ τρόπῳ καὶ ἐν τρίτῳ σχήματι γίνονται ἀεὶ συλλογισμοί, ὅτε ἡ ἐλάττων καταφατική· εἰ δὲ ἀποφατική, οὐ γίνεται.

p. 64ᵇ7 Φανερὸν δ' ὅτι καὶ ἐκ ψευδῶν μὲν ἔστιν ἀληθὲς συλλογίσασθαι.

Φανεροῦ ὄντος ὅτι ἐκ ψευδῶν ἀληθὲς ἐνδέχεται συλλογίσασθαι, μὴ νομίσῃς ὅτι ἐξ ἀντικειμένων ἀληθὲς ἐνδέχεται συλλογίσασθαι. πῶς γὰρ δυνατὸν ὅλην τὴν ἀντίφασιν λαμβάνοντας ἀληθῆ συμπερᾶ|ναι; γίνεται γὰρ τῶν ἐναν- CXIʳ

1 μὲν post ὅρων colloc. t: iter. ibidem TU 2 εἰσὶ—προτάσεις om. G μὲν TU: δὲ t ὅτι G αἱ om. U λαμβάνονται GTt 3 ἀποφατικὸν T 7 an λαβεῖν ⟨ὥστε λαθεῖν⟩? ἐν τοῖς Τόποις] cf. p. 448,17 9 ἐπὶ T, pr. G: corr. G² 11 ἐναντίων U 12 γίνεται (ante νῦν) T τρόποι συζυγιῶν γίνονται t 14 εἶναι GTt: ἐστὶ U 15 τὴν μείζονα T καθολικὴ, om. καὶ U 17 ἀποφατικὴ—καταφατική t εἰ δὲ—19 ἀποφατική om. GT ἡ om. t 20 τῶν om. G 21 an ἀλλὰ τέσσαρες? 23 ἡ δὲ G post δὲ add. μείζων G 25 δὲ καὶ ὅτι Arist. μὲν om. t: μὲν—27 ψευδῶν om. GT ἔστιν t Arist.: post δ' colloc. GTU

τίων ἀντικειμένων ὁ συλλογισμός· οἷον ἀγαθόν ἐστιν ἡδονή, ἀγαθὸν οὐκ CXIr
ἔστιν ἡδονή, οὐκ ἔστιν ἄρα ἡ ἡδονὴ ἡδονή. ἐπειδὴ οὖν οἱ ἐξ ἀντικειμένων συλλογισμοὶ τὸ ὂν ὡς μὴ ὂν συλλογίζονται, τούτου χάριν ἀληθῆ συλλογισμὸν οὐ ποιοῦσιν.

5 p. 64b13 Δῆλον δὲ καὶ ὅτι ἐν τοῖς παραλογισμοῖς.

Ἐπὶ τῶν παραλογισμῶν τῶν ἐξ ἀντιφάσεων (παραλογισμοὶ γὰρ οὗτοι) τοῦτο συνάγεται τὸ ἐναντίον τῇ ὑποθέσει· οἷον εἰ περιττόν ἐστιν, ⟨ὅτι⟩ οὐκ ἔστιν περιττόν, εἰ ὄν, ὅτι οὐκ ἔστιν ὄν. δεῖ οὖν κατανοεῖν ὅτι οὐκ ἔστιν ἐκ τῶν ἐναντίων ἀντικειμένων συμπέρασμα συνάγειν ὅτι τὰ ἐναντία τῷ
10 αὐτῷ ὑπάρχει. ἀλλὰ πῶς συνάγεται; ὅτε ληφθῇ τοιαύτη πρότασις ἡ 10
ἐλάττων ὥστε τὸ ἐναντίον ὅλον ἐμφαίνειν, οἷον τὸ ζῷον καὶ λευκὸν καὶ μέλαν. καὶ συνάξει ἐν πρώτῳ σχήματι τοῦτο.

p. 64b17 Δεῖ δὲ κατανοεῖν ὅτι οὕτω μὲν οὐκ ἔστιν ἐναντία συμπεράνασθαι ἐξ ἑνὸς συλλογισμοῦ.

15 Ζητεῖ διὰ τούτων ὁ Ἀριστοτέλης εἰ δυνατὸν ἐπὶ τῶν ἐπὶ ἀντικειμένων 15
συλλογισμῶν τὰ ἐναντία συλλογίσασθαι γινόμενα ὡς ὑποκείμενα τῷ μείζονι ὅρῳ, εἰ ἄρα δύναται συστῆναι. καὶ πρώην μὲν ἔλεγεν ὅτι οὐ δυνατὸν ἐξ ἀντικειμένων τοῦτο συλλογίσασθαι· οἱ γὰρ συλλογισμοὶ οἱ ἐξ ἀντικειμένων τὸ ὂν μόνον ποιοῦσιν ὡς μὴ ὄν. νῦν δὲ βούλεται δεῖξαι ὅτι δυνατὸν συλ-
20 λογίσασθαι τὰ ἐναντία τῷ αὐτῷ ὑπάρχειν. ἀλλ' εἰ δύναται, πῶς ἐδείχθη
ὅτι ἐν πρώτῳ σχήματι οὐ συνάγονται ἐξ ἀντικειμένων συλλογισμοί; καὶ εἰ 20
οὕτω πάλιν, πῶς φησι 'δύναται συναχθῆναι ἐν πρώτῳ σχήματι ὅτι τὰ ἐναντία τῷ αὐτῷ ὑπάρχει'; πῶς οὖν συνάγεται; ὅτε ἡ ἐλάττων πρότασίς ἐστιν ἡ τὸ ἐναντίον καταφάσκουσα ὅλον· οἷον ὁ ἄνθρωπος ζῷόν ἐστι, τὸ
25 ζῷον καὶ λευκὸν καὶ μέλαν· ἰδοὺ τὰ ἐναντία κατέφησε· καὶ συμπέρασμα ὅτι ὁ ἄνθρωπος καὶ μέλας καὶ λευκός. ἀλλ' εἰδέναι δεῖ ὅτι τὴν ἐλάττονα πρότασιν ὡς τὰ ἐναντία ἄμφω καταφάσκουσαν ἢ κατὰ ἄμφω ἀποδείκνυμεν ἢ τὴν μὲν ὁμολογουμένην λαμβάνομεν, τὴν δὲ ἀποδείκνυμεν, οἷον ὅτι τὸ 25
ζῷον καὶ λευκὸν καὶ μέλαν ἐστίν· τούτων γὰρ ἀποδείκνυμεν ἑκάτερον
30 ἢ θάτερον μόνον ἢ οὐδέτερον, ἀλλὰ ὡς ὁμολογούμενον λαμβάνεται.

1 post οἷον add. ἔστιν U ante ἡδονὴ add. ἡ G ἡδονή iterat t
1. 2 ἀγαθὸν—ἡ ἡδονὴ ἡδονή om. GT 2 ἐπεὶ G 2. 3 οἱ συλλογισμοὶ ἐξ ἀντικειμένων U 5 καὶ t Arist.: om. GTU 7 ὅτι addidi 8 ὅτι οὐκ ἔστιν alt. iterat G 9 ἀντικείμενον GTt 9. 10 ἀνάγειν—ἀνάγεται T 10 ὅτι ἐλήφθη GTt 11 ἐμφαίνει U post καὶ prius add. οὐ G 12 συνάξαι U τοιοῦτο t 13. 14 συμπεραίνεσθαι, ut videtur, pr. U (C) 16. 17 ὑποκειμένου τοῦ μείζον ὅρου U 17 στῆναι G 20 ante τὰ add. ὅτι U ὑπάρχει U ἀλλ' εἰ—23 ὑπάρχει om. G ἐδείχθη] p. 63b31 sq. 23 τῷ om. U ὅτε scripsi: ὅτι GTUt cf. vs. 10 28 οἷον om. G

p. 64b21 Ἀλλ' ἢ προσλαβεῖν δεῖ τὴν ἀντίφασιν, οἷον ὅτι πᾶσα CXIr
ἐπιστήμη ὑπόληψις.

Φησὶ τὴν ἐλάττω πρότασιν τὴν τὸ ἐναντίον ὅλον εἰσάγουσαν, οἷον ὅτι ἡ ἐπιστήμη καὶ ὑπόληψις καὶ οὐχ ὑπόληψις, ἢ ὅλην ἢ ἀνὰ μέρος κατασκευάσομεν [ἢ] τῆς ὅλης θάτερον μέρος ἢ ὅλως οὐδέτερον μέρος, ἀλλ' ὡς ὁμολογούμενα τὰ μόρια ληψόμεθα. ἀλλὰ τὸ μέλλον κατασκευασθῆναι ὅλον ἐκ δύο συλλογισμῶν κατασκευάζεται, ἕκαστον παρὰ μέρος, οἷον ὅτι τὸ ζῷον λευκόν ἐστιν, καὶ πάλιν παρὰ μέρος ὅτι τὸ ζῷον μέλαν ἐστίν. ὥσπερ οὖν εἰ βουληθῇς ἐλέγξαι ὅτι τοῦτο οὕτως ἔχει, ἐλέγξεις διχῶς, πρῶτον μὲν ὡς ἐπὶ τοῦ 'ζῷον λευκόν ἐστιν', δεύτερον δὲ ὡς ἐπὶ τοῦ 'ζῷον μέλαν ἐστίν', οὕτω καὶ διχῶς συλλογίσῃ τὴν ἐλάττω πρότασιν διὰ προσυλλογισμοῦ, καὶ τότε ληφθήσεται ὡς πρότασις.

p. 64b28 Τὸ δὲ ἐν ἀρχῇ αἰτεῖσθαι καὶ λαμβάνειν ἔστι μὲν ὡς ἐν γένει λαβεῖν ἐν τῷ μὴ ἀποδεικνύναι.

Νῦν βούλεται εἰπεῖν περὶ τοῦ ἐξ ἀρχῆς αἰτεῖσθαι. τὸ δὲ ἐξ ἀρχῆς αἰτεῖσθαι τοῦτό ἐστι τὸ ζητούμενον ὡς ὁμολογούμενον λαμβάνειν· γίνεται δὲ τοῦτο τῷ λαμβάνειν τοὺς δύο ὅρους ἀντιστρέφοντας, ὡς ἄνθρωπος καὶ γελαστικόν, ἢ τὸν ἕνα ἐνυπάρχοντα τῷ ἑτέρῳ, ὡς τὸ 'ἡ ἡδονὴ χαρά'. γίνεται δὲ ἡ ἐξ ἀρχῆς αἴτησις κατὰ τὰ τρία σχήματα. καὶ ἵνα τὴν ἀσάφειαν τῆς λέξεως εἰς σαφὲς μεταστρέψωμεν, ὀφείλομεν θεωρῆσαι πῶς γίνεται κατὰ τὰ τρία σχήματα τὸ ἐξ ἀρχῆς ζητούμενον, καὶ πρῶτον ὡς ἐν πρώτῳ σχήματι. δέον ἔστω μὲν δεῖξαι ὅτι τὸ Α παντὶ τῷ Γ ὑπάρχει διὰ τοῦ Β. ἐὰν οὖν λάβω τὸ Α παντὶ τῷ Β καὶ τὸ Β παντὶ τῷ Γ, οὔπω δῆλον εἰ τὸ ἐξ ἀρχῆς ἔλαβον. εἰ δὲ λάβω τὸ Α τὸ αὐτὸ εἶναι τῷ Β, τότε ἡ ἐξ ἀρχῆς αἴτησις πρὸς τὴν ἐλάττω πρότασιν γίνεται· εἰ γὰρ τὸ Α παντὶ τῷ Β, ἐπειδὴ τὸ αὐτό ἐστι, τὸ δὲ Β | παντὶ τῷ Γ, τὸ ἐξ ἀρχῆς CXIv
ζητούμενον ἔλαβον. ὁ γὰρ μὴ συγχωρῶν ὅτι τὸ Α παντὶ τῷ Γ οὐδὲ τὸ Β παντὶ τῷ Γ συγχωρήσει· τὸ αὐτὸ γάρ ἐστι τὸ Α καὶ τὸ Β. νῦν οὖν

1 ἀλλὰ (C) προσλαμβάνειν GT ὅτι om. G 4 ἡ om. t post καὶ prius add. ἡ GT 5 κατασκευάσομεν—οὐδέτερον μέρος om. G ἢ prius delevi ὅλως scripsi: ὅλης TUt post μέρος tert. add. κατασκευάζεται U 6 λαμβάνεται U 8 τὸ prius om., ζῶον superscr. G¹ λευκόν—10 ζῶον alt. om. G ὅτι alt. om. U 9 ὥσπερ—11 μέλαν ἐστίν om. T οὖν t: om. U ἔχειν t ἐλέγξεις ex ἐλέγξαι corr. U²: ἐλέγξῃς t 10 πρῶτον scripsi: ἕνα Ut ζῶον prius corr. U¹: ζώου pr. U, t ζώου (ante μέλαν) t 11 μέλας pr. G, αν superscr. G¹ συλλογισθήσεται ἡ ἐλάττων πρότασις U 13 Περὶ τοῦ τὰ ἐν ἀρχῇ αἰτεῖσθαι inscr. U: περὶ τοῦ ἐν ἀρχὴ σχήματος sic T μὲν om. G: τὴν T 17 τὸ Tt: foramen G 18 ὑπάρχοντα GTt cf. p. 454,21 sq. post ἡδονὴ add. καὶ ἡ U 20 πῶς om. G 21 τὰ om. G αἰτούμενον G 22 an ἔστω ἡμῖν? 23 ἐὰν οὖν U: καὶ ἂν GT: ἐὰν t τὸ α om. G 24 ἐπεὶ (post δῆλον) G: ἐπὶ T αὐτῷ T 26. 27 τὸ ἐξ—τῷ γ om. GT 27 ἔλαβον t: ἔλαβεν U

ἔλαβον τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ. ἀλλὰ δὴ ληφθήτω τὸ αὐτὸ κατὰ CXIv τῶν αὐτῶν ὥστε εἶναι τὸ ΒΓ τὸ αὐτό. ἐὰν οὖν εἴπω τὸ Α παντὶ τῷ Β καὶ τὸ Β παντὶ τῷ Γ, παρὰ τὴν μείζω ἡ ἐξ ἀρχῆς αἴτησις γίνεται· ὁ γὰρ μὴ συγχωρῶν ὅτι τὸ Α παντὶ τῷ Γ οὐδὲ ὅτι παντὶ τῷ Β. οὕτω τὸ καθόλου καταφατικόν. ἀλλὰ δέον ἔστω δεῖξαι τὸ καθόλου ἀποφατικόν. οὐκοῦν λαμβάνομεν ἢ τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν ἢ τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ. καὶ τέως λάβωμεν τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν ὥστε εἶναι τὸ Α χωρίς, τὸ δὲ ΒΓ τὸ αὐτὸ ὥστ' εἶναι τὸ Β παντὶ τῷ Γ. ὁ οὖν μὴ συγχωρῶν ὅτι τὸ Α οὐδενὶ τῷ Γ οὐδὲ τοῦτο συγχωρεῖ, ὅτι τὸ Α οὐδενὶ τῷ Β· τὸ γὰρ Β καὶ τὸ Γ τὸ αὐτό ἐστιν. ὥστε ἡ ἐξ ἀρχῆς αἴτησις παρὰ τὴν μείζω νῦν γέγονεν. ἀλλὰ δὴ ἔστω τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ ὥστε εἶναι τὸ Α παντὶ τῷ Β, τὸ Β οὐδενὶ τῷ Γ. ἀλλὰ ἀσυλλόγιστος ἡ συζυγία. εἰ δὲ ἀντιστρέψωμεν, γίνεται συλλογιστική, καὶ φανεροῦται ἡ ἐν ἀρχῇ αἴτησις οὕτως· εἰ τὸ Β οὐδενὶ τῷ Γ, καὶ τὸ Γ οὐδενὶ τῷ Β· τὸ δὲ Β παντὶ τῷ Α· τὸ αὐτὸ γάρ ἐστι τὸ Α καὶ τὸ Β· καὶ τὸ Γ οὐδενὶ τῷ Α, ὥστε καὶ τὸ Α οὐδενὶ τῷ Γ. ἡ οὖν ἐξ ἀρχῆς αἴτησις παρὰ τὴν ΒΓ γέγονεν· ὁ γὰρ μὴ συγχωρῶν τὸ Α οὐδενὶ τῷ Γ οὐδὲ τοῦτο συγχωρεῖ, ὅτι τὸ Γ οὐδενὶ τῷ Β. ὥστε εἰδέναι δεῖ ὅτι δι' ἀντιστροφῆς ἐδείχθη νῦν ἡ ἐξ ἀρχῆς αἴτησις. πάλιν δέον ἔστω δεῖξαι τὸ μερικὸν καταφατικόν. λαμβάνομεν οὖν ἢ τὸ αὐτὸ κατὰ τῶν αὐτῶν ἢ τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ. εἰ οὖν λάβωμεν τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ ὥστε τὸ αὐτὸ εἶναι τὸ ΑΒ, λαμβάνομεν οὕτως· τὸ Α παντὶ τῷ Β, τὸ Β τινὶ τῷ Γ, τὸ Α τινὶ τῷ Γ. ἡ ἐν ἀρχῇ αἴτησις παρὰ τὴν ἐλάττω γέγονεν· ὁ γὰρ μὴ συγχωρῶν ὅτι τὸ Α τινὶ τῷ Γ οὐδ' ὅτι τὸ Β τινὶ τῷ Γ συγχωρεῖ. ἐὰν δὲ λάβωμεν τὸ αὐτὸ κατὰ τῶν αὐτῶν, συμβαίνει γίνεσθαι τὴν μείζω μερικήν, εἰ λάβωμεν τὸ αὐτὸ τὸ ΒΓ. ἀλλ' ἀντιστρέψαντες ποιοῦμεν οὕτως· τὸ Γ παντὶ τῷ Β, τὸ Β τινὶ τῷ Α, τὸ Γ τινὶ τῷ Α, ὥστε καὶ τὸ Α τινὶ τῷ Γ. ἡ ἐξ ἀρχῆς αἴτησις παρὰ τὴν ΒΑ· ὁ γὰρ μὴ συγχωρῶν τὸ Α τινὶ τῷ Γ οὐδὲ τὸ Β τινὶ τῷ Α συγχωρήσει. ὥστε καὶ νῦν τὸ ἐν ἀρχῇ αἰτηθὲν δι' ἀντιστροφῆς δείκνυται. ἔτι δέον ἔστω δεῖξαι τὸ μερικὸν ἀποφατικόν. οὐκοῦν ἢ τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν λαμβάνομεν ὥστε εἶναι τὸ Α οὐ παντὶ τῷ Β, τὸ Β παντὶ τῷ Γ, ἢ τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ ὥστε εἶναι τὸ Α παντὶ τῷ Β, τὸ Β οὐ παντὶ

1 ἔλαβε U 2 β om. G 3 post γ add. τὸ α παντὶ τῷ γ TUt περὶ TUt 5 an β (συγχωρήσει)? τὸ καταφατικὸν τὸ καθόλου G ἀλλὰ—6 ἀποφατικόν mrg. U² ἐστι U² 7 λάβομεν Tt 8 ὥστ' εἶναι U: ἔσται οὖν Tt: ὥστ' εἶναι—10 τὸ αὐτό om. G 11 περὶ libri itemque vs. 16. 23. 27 12 post τὸ alt. add. δὲ G 13 ἀντιστρέψομεν GU 14 τῷ β̄—τὸ γ̄ U γ̄ alt. e β̄ corr. G¹ 14. 15 τῷ β̄—οὐδενὶ om. GT 16 ὥστε GTt: ἔσται U ἐν ἀρχῇ U τὴν superscr. G 17 β̄γ̄ Ut: β̄ T: ἀρχὴν G 18 εἰδέναι] εἰ οὐ t δι' om. Ut 19 πάλιν GTt: ἀλλὰ δὴ U ἔστω t: ἐστὶ GT: ἔσται U 19. 20 ὥστε λαμβάνομεν, om. οὖν U 20 ἢ prius t cf. p. 453,7: om. GTU 21 post ὥστε add. καὶ U β̄ om. T 24 δὲ om. T 25 post μερικὴν add. καὶ ἔστιν ἀσυλλόγιστος συζυγία G λαμβάνομεν G τὰ αὐτὰ GTt τὸ alt. om. U 26 τὸ β̄ om. T 28 τῷ β̄ τινὶ τὸ G 30 ἔτι GTt: ἀλλὰ δεῖ U ἔστω t: ἔσται GTU εἰ GT 31 ὥστε—p. 457,10 λέγεται habet M

τῷ Γ. ἀλλ' εἰδέναι δεῖ ὅτι οὐ γίνεται τὸ μερικὸν ἀποφατικὸν ἐν πρώτῳ CXIv
σχήματι δεικνύον τὸ ἐν ἀρχῇ αἰτηθέν· εἰ γὰρ λάβωμεν τὰ αὐτὰ ἀπὸ τοῦ 25
αὐτοῦ, ἡ ἐλάττων ἀποφατικὴ εὑρίσκεται, καὶ ἐν πρώτῳ σχήματι ἀσυλλό-
γιστος ἡ συζυγία· εἰ δὲ λάβω τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν, γίνεται ἡ μείζων
5 μερική, καὶ ἀσυλλόγιστος ἡ συζυγία. οὕτως ἐν τῷ πρώτῳ σχήματι.
εἰλήφθω οὖν τὸ δεύτερον σχῆμα, καὶ δέον ἔστω δεῖξαι τὸ καθόλου ἀπο-
φατικόν. οὐκοῦν λαμβάνομεν ἢ τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ ἢ τὸ αὐτὸ ἀπὸ
τῶν αὐτῶν. καὶ πρότερον εἰλήφθω τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ· τὸ Α παντὶ 30
τῷ Γ ὥστε ταῦτα τὰ αὐτὰ εἶναι, τὸ Α οὐδενὶ τῷ Β, τὸ Γ οὐδενὶ τῷ Β.
10 ἡ ἐν ἀρχῇ αἴτησις παρὰ τὴν ΑΒ ἐστὶ πρότασις· ὁ γὰρ μὴ συγχωρῶν
τὸ Γ οὐδενὶ τῷ Β οὐδὲ τὸ Α οὐδενὶ τῷ Β συγχωρήσει· τὸ γὰρ ΑΓ τὸ
αὐτὸ νῦν ἐστιν. εἰ δὲ εἴη τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν, τὸ Α οὐδενὶ τῷ Γ,
τὸ Α παντὶ τῷ Β· συμπέρασμα ὅτι τὸ Γ οὐδενὶ τῷ Β. ἀλλ' οὔπω δῆλον
εἴληπται τὸ ἐν ἀρχῇ αἰτούμενον, εἰ μὴ γένηται ἀντιστροφή· εἰ γὰρ τὸ Α
15 οὐδενὶ τῷ Γ, καὶ τὸ Γ οὐδενὶ τῷ Α, ὥστε ὁ μὴ συγχωρῶν τὸ Γ οὐδενὶ τῷ Β
οὐδὲ τὸ Γ οὐδενὶ τῷ Α συγχωρήσει. ἀλλ' ἔστω δεῖξαι τὸ μερικὸν ἀποφατικόν, 35
καὶ ἔστω τὸ ΑΓ τὰ αὐτά· τὸ Α παντὶ τῷ Γ, τὸ Α οὐ παντὶ τῷ Β, τὸ Γ
οὐ παντὶ τῷ Β· ὁ γὰρ μὴ συγχωρῶν τὸ Γ οὐ παντὶ τῷ Β οὐδὲ τὸ Α
οὐ παντὶ τῷ Β συγχωρήσει. ὥστε τὸ ἐν ἀρχῇ αἰτηθὲν παρὰ τὴν ἐλάττω
20 εἴληπται. εἰ δὲ ληφθῇ τὸ ΑΒ τὸ αὐτό, γίνεται ἡ μείζων μερικὴ καὶ οὐ
δύναται ἀντιστραφῆναι· οὐ γὰρ ἀντιστρέφει τὸ μερικὸν ἀποφατικόν. προ-
κεχειρίσθω νῦν τὸ τρίτον σχῆμα καὶ δεικνύσθω τὸ μερικὸν καταφατικόν,
ὥστε τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ· τὸ Α παντὶ τῷ Γ, τὸ Β παντὶ τῷ Γ, τὸ Α 40
τινὶ τῷ Β. ἡ ἐν ἀρχῇ αἴτησις παρὰ τὴν ἐλάττω πρότασιν· ὁ γὰρ μὴ
25 συγχωρῶν τὸ Α τινὶ τῷ Β οὐδὲ τὸ Β παντὶ τῷ Γ συγχωρήσει ἀντιστρέψον
ὥστε καὶ τὸ Γ τινὶ τῷ Β. ὁμοίως, εἰ εἴη τὸ αὐτὸ κατὰ τῶν αὐτῶν, δι'
ἀντιστροφῆς δείκνυται· τὸ Α παντὶ τῷ Γ, τὸ Β παντὶ τῷ Γ, τὸ Α τινὶ
τῷ Β, ὥστε καὶ τὸ Β τινὶ τῷ Α· νῦν γὰρ ἐλήφθη τὸ αὐτὸ τὸ ΒΓ. ἀλλὰ
δέον ἔστω δεῖξαι τὸ μερικὸν ἀποφατικόν. εἰ μὲν δειχθῇ τὸ αὐτὸ ἀπὸ
30 τῶν αὐτῶν ὥστε εἶναι τὴν μείζω καθόλου ἀποφατικὴν τὴν δὲ ἐλάττω 45
καθόλου καταφατικήν, δείκνυται. ἄλλως δὲ ὅλως οὐ δείκνυται· οὐ γὰρ
ἀντιστρέφει τὸ μερικὸν ἀποφατικόν. οὕτω κατὰ τὰ τρία σχήματα δείκνυται
τὸ ἐν ἀρχῇ αἰτηθέν.

p. 65a3 Συμβαίνει γὰρ αὐτὸ δι' αὐτοῦ τὸ Α δεικνύναι τοὺς οὕτω
35 συλλογιζομένους.

Ὅταν διὰ μέσου τινὸς τὸ ἐν ἀρχῇ αἰτῆται, συμβαίνει ποιεῖν αὐτὸν

5 τῷ M: om. Ut 6 ἔσται t 10 περὶ MUt 11 τῷ γ M
15 post τῷ γ del. καὶ τὸ α οὐδενὶ τῷ γ M 16 οὐδὲ τὸ MU: οὐδενὶ τῷ t
17 τὸ α τὸ γ M 18 β prius U: γ Mt 19 περὶ Mt 21. 22 προκε-
χειρήσθω U 24 περὶ Mt 25 ἀντίστρεψον MUt 31 ἄλλως—δείκνυται
mrg. U² οὔτε (ante γὰρ) ex οὐ corr. U² 34 ἑαυτοῦ t: αὐτοῦ Arist. (sed
αὐτοῦ An) 36 διὰ e δὴ corr. U²

τὴν διὰ τριῶν δεῖξιν. οἷον εἰ τὸ Α δείκνυται διὰ τοῦ Β, τὸ δὲ Β δείκνυται CXIᵛ διὰ τοῦ Γ, εἴη δὲ καὶ τὸ Γ δείκνυσθαι διὰ τοῦ Α, ὥστε τὸ αὐτὸ τοῦ αὐτοῦ δεικτικόν ἐστιν· εἰ τὸ Β, τὸ Α· εἰ τὸ Γ, τὸ Β· εἰ τὸ Α, τὸ Γ· ὥστε εἰ τὸ Α, τὸ Α. τὸ αὐτὸ ποιοῦντες καὶ οἱ τὰς παραλλήλους γράφοντες τὸ ἐν ἀρχῇ αἰτοῦνται· βούλονται γὰρ παραλλήλους εὐθείας ἀπὸ τοῦ | CXIIʳ μεσημβρινοῦ κύκλου καταγράψαι δυνατόν, καὶ λαμβάνουσι σημεῖον ὡς εἰπεῖν προσπῖπτον περὶ τὸ ἐπίπεδον ἐκείνου, καὶ οὕτως ἐκβάλλουσι τὰς εὐθείας. καὶ ὃ ἐζήτηται, τοῦτο εἴληπται· ὁ γὰρ μὴ συγχωρῶν γίγνεσθαι τὴν παράλληλον οὐδὲ τὸ σημεῖον συγχωρήσει ἐκεῖνο. ὥστε συμβαίνει, ὡς λέγει αὐτός, ἕκαστον εἶναι λέγειν, ὅτι ἔστιν ἕκαστον, ἀντὶ τοῦ 'διὰ τί τὸ Α ἔστιν;' 'ἐπειδὴ τὸ Α ἔστιν', ὥστε τὸ αὐτὸ εἶναι, ἐπειδὴ ἔστι τὸ αὐτό.

p. 65ᵃ 10 Εἰ οὖν τις ἀδήλου ὄντος ὅτι τὸ Α ὑπάρχει τῷ Γ.

Ἐάν τις οὕτως ἀδήλως λάβῃ ὅτι τὸ Α παντὶ τῷ Β. τὸ Β παντὶ τῷ Γ, οὔπω δῆλον ἐν ποίᾳ προτάσει τὸ ἐν ἀρχῇ αἰτηθέν. ἐὰν δὲ λάβω οὕτως, ὅτι τὸ Β τῷ Γ τὸ αὐτό ἐστιν, ὥστε εἶναι τὸ αὐτὸ κατὰ τῶν αὐτῶν, τότε φαίνεται ὅτι παρὰ τὴν μείζω ἡ ἐξ ἀρχῆς αἴτησις. νῦν δὲ τὸ παράδειγμα ποιεῖται ὡ, ἐπὶ τοῦ πρώτου σχήματος, ἐπεὶ οὔτε ἐπεξέρχεται πάσας τὰς συζυγίας.

p. 65ᵃ 14 Ὥστε ταὐτὸν εἶναι.

Ἐπεξηγεῖται αὐτὸς ὅτι ἐστὶ τὸ αὐτὸ εἶναι τὸ τοὺς δύο ὅρους ἢ ἀντιστρέφειν πρὸς ἑαυτούς, ὡς ἐπὶ τοῦ ἀνθρώπου καὶ τοῦ γελαστικοῦ, ἢ ἐνυπάρχειν τὸν ἕτερον τῷ ἑτέρῳ, ὡς ἡδονὴ καὶ χαρά. ἀλλ' εἰδέναι δεῖ ὅτι καθόλου γίνεται ἡ πρότασις καταφατική, ἤτοι ἐνυπάρχει τὸ ἕτερον τῷ ἑτέρῳ ἤτοι ἀντιστρέφει μόνον.

p. 65ᵃ 17 Νῦν δὲ τοῦτο κωλύει, ἀλλ' οὐχ ὁ τρόπος.

Ἡμῶν εἰρηκότων ὅτι τὸ Α παντὶ τῷ Β, εἴ τις ἐρεῖ ἡμῖν πόθεν δῆλον ὅτι τὸ Α παντὶ τῷ Β. ἐπειδὴ ἐλάβομεν τὸ αὐτὸ τὸ ΒΓ. φησίν. εἰ ἀντιστρέψοι, δειχθήσεται, ὅτι εἰ τὸ Β παντὶ τῷ Γ, καὶ τὸ Γ παντὶ τῷ Β.

1 δείκνυ^{οι}το pr. l. U (corr. U²) δείκνυτο alt. l. U 2 ᾱ supra γ̄ scr. U 3 τῷ ᾱ pr. l. t τῶ β̄ alt. l. pr. M, t εἰ τὸ ᾱ, τὸ (τῶ pr. M, t) γ̄ om. U 4 εἰ] ἡ U ποιοῦντες AG: ποιοῦσι MUt 4. 5 γράφοντες—παραλλήλους om. M 6 an δυνατὸν ⟨ὄν⟩? 7 πίπτον Ut παρὰ U 8 ἐζητεῖτο—ἔλαβεν U 12 δήλου M ᾱ M Arist.: β̄ Ut 14 δὲ om. t 15 τῶ β̄ Ut 16 φαίνεται ὅτι iterat t περὶ libri τὸν Ut 17. 18 ἐπεὶ—συζυγίας om. U 19 ante ὥστε add. Εἰ μέντοι τὸ β̄ πρὸς τὸ γ̄ οὕτως ἔχει t 22 τὸν M: τὸ Ut ante χαρά add. ἡ U ἀλλ' εἰδέναι] hinc iterum B 23 ἤτοι ἐνυπάρχειν U: ὅταν ἐνυπάρχῃ B 24 ἢ B 26 ἐγνοηκότων M 27 ἐλάμβανεν t post βγ̄ add. ὥστε τὸ αὐτὸ τὸ β̄γ̄ λέγει U 27. 28 ἀντιστρέψει B

δειχθήσεται δὲ λαμβανόντων ἡμῶν ὅτι τὸ Α παντὶ τῷ Γ, τὸ Γ παντὶ τῷ Β. CXIIr εἰ δὲ τοῦτο κωλύει, τουτέστι τὸ μὴ ἀντιστρέφειν, οὐχ ὁ τρόπος ἀντὶ τοῦ 'οὐχὶ τὸ συμπέρασμα τὸ λέγον τὸ Α παντὶ τῷ Γ'. πότε δὲ οὐκ ἀντιστρέφει; οἷον εἰ λάβωμεν ὅτι ἡ χαρὰ ἡδονή· οὐ πάντως δὲ καὶ ἡ ἡδονὴ χαρά, εἰ μή τι προσδιορισόμεθα ὅτι ἡ ἡδονὴ σύστοιχος τῇ χαρᾷ ἐστιν. ὥστε νῦν τοῦτο κωλύει, τὸ μὴ προσδιωρίσθαι. εἰ δὲ προσδιορισόμεθα, οὐδὲν κωλύει. γίνεται δὲ τὸ διὰ τριῶν, ὡς αὐτὸς λέγει, οὕτως· ἐδείχθη τὸ ΑΓ διὰ τοῦ ΑΒ καὶ τὸ ΑΒ νῦν διὰ τοῦ ΑΓ. ὥστε τὸ ΑΓ δι' ἑαυτοῦ ἐδείξαμεν, ἤτοι αὐτὸ δι' ἑαυτοῦ· εἰ γὰρ τὸ ΑΒ, καὶ τὸ ΑΓ· εἰ δὲ τὸ ΑΓ, καὶ τὸ ΑΒ, ὥστε εἶναι τὸ ΑΒ τῷ ΑΒ εἶναι.

p. 65a19 Ὡσαύτως δὲ κἂν εἰ τὸ Β τῷ Γ λαμβάνοι.

Ἔλαβε πρῶτον τὸ αὐτὸ κατὰ τῶν αὐτῶν· νῦν λαμβάνει τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ, καὶ φησὶν ὅτι, ἐὰν ληφθῇ τὸ Β [πρὸς] τῷ Γ ὡς ἄδηλον, καὶ εἰ τὸ Α (κατὰ κοινοῦ τῷ Γ) ἄδηλόν ἐστιν, οὔπω δῆλον εἰ τὸ ἐξ ἀρχῆς αἰτεῖται. εἰ δὲ λάβοι οὕτως ὥστε τὸ ΑΒ τὸ αὐτὸ εἶναι, συμβαίνει τὴν ἐξ ἀρχῆς αἴτησιν παρὰ τὴν ἐλάττω γίνεσθαι πρότασιν. τὸ αὐτὸ δὲ εἶναι λέγομεν τὸ Α τῷ Β ἢ τῷ ἀντιστρέφειν ἢ τῷ ἐνυπάρχειν ἕτερον ἑτέρῳ.

p. 65a29 Ἐν μὲν τῷ μέσῳ σχήματι καὶ τρίτῳ ἀμφοτέρως ἂν ἐνδέχοιτο.

Εἰρηκὼς ὡς ἐπὶ παραδείγματος ἐν πρώτῳ σχήματι περὶ τῶν καθόλου καταφατικῶν νῦν οὐ λέγει τὰς συζυγίας πάσας, ἀλλὰ μόνον τοῦτο λέγει, ὅτι καὶ ἐν δευτέρῳ καὶ ἐν τρίτῳ ἐνδέχεται γενέσθαι τὸ ἐν ἀρχῇ αἰτηθέν (λείπει δὲ τὸ 'ὥσπερ ἐν πρώτῳ') καὶ περὶ τῶν καταφατικῶν καὶ ἀποφατικῶν, καὶ καταφατικῶν ὡς ἐν πρώτῳ καὶ τρίτῳ· ἐν γὰρ δευτέρῳ καταφατικὸν οὐ συνάγεται. ὡς δὲ ἐδείκνυτο ἐν πρώτῳ τὰ καταφατικά, λαμβάνοντες ἢ τὸ αὐτὸ κατὰ τῶν αὐτῶν ἢ τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ, οὕτω καὶ ἐν τρίτῳ σχήματι λαμβάνομεν. ἐξεθέμεθα δὲ πῶς ἐν τρίτῳ σχήματι τοῦτο ποιοῦμεν.

---

1 δειχθήσεται—τῷ β̄ om. B, mrg. U² post τῷ β̄ iterat δειχθήσεται—τῷ γ̄ M 2 κωλύοι M post ἀντιστρέφειν add. νῦν οὖν τοῦτο κωλύει U 5 προσδιορισώμεθα MUt 5. 6 ἐστι τῇ χαρᾷ B 6 post δὲ del. μὴ B 6. 7 προσδιωρισώμεθα pr. U, t: προσδιωρισόμεθα corr. U² 9 δι' ἑαυτὸ ἔδειξεν ἑαυτό, ἤτοι—ἑαυτοῦ om. U 10 τῷ scripsi: τὸ BMUt 11 τὸ γ̄ M 12 κατὰ alt. BMt: ἀπὸ U 13 πρὸς delevi τὸ γ̄, ut videtur, pr. B 14 post ἐστιν add. ἢ U 15 λάβῃ U 16 περὶ BMt 17 τὸ (ante ἀντιστρ.) M τῷ tert. B: τὸ MUt 18 post καὶ add. τῷ B (C) ἀμφότερα B 20 περὶ om. M 22 ἐν alt. om. t: ἐν τῷ U γίνεσθαι B 24 καὶ prius M: om. BUt 25 ἐν πρώτῳ] ἕνα t τὰ om. U post καταφατικὰ add. οὕτωσ U 27 ἐξεθέμεθα] p. 453,22 sq.

p. 65a32 Ὅταν δὲ ἀποφατικῶς, ὅταν τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ. CXII

Εἰρηκὼς περὶ τῶν καταφατικῶν τῶν ἐν τρίτῳ σχήματι πῶς συνάγονται, ὅτι ὥσπερ ἐπὶ τοῦ πρώτου, νῦν λέγει περὶ τῶν ἀποφατικῶν τῶν ἐν τρίτῳ σχήματι. πότε δὲ γίνεται ἐν τρίτῳ σχήματι; ὅταν τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ ληφθείη ⟨ἢ⟩ τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν. οὐχ ὁμοίως δὲ δείκνυνται αἱ προτάσεις ἀμφότεραι αἱ ἐν τῷ πρώτῳ καὶ τρίτῳ. διὰ τί οὐχ ὁμοίως; διὰ τὸ μὴ ἀντιστρέφειν τοὺς ὅρους κατὰ τοὺς ἀποφα|τικοὺς CXIIv συλλογισμούς· τὸ γὰρ μερικὸν ἀποφατικὸν οὐκ ἀντιστρέφει πρὸς ἑαυτό. τὸ δὲ ἐν μέσῳ παρεμβληθέν, ἤτοι τὸ ὡσαύτως δὲ καὶ ἐν τῷ μέσῳ, συνεχές ἐστι τῷ προειρημένῳ, ὅτι ὥσπερ ἐν πρώτῳ δείκνυται τὰ ἀποφατικά, οὕτω καὶ ἐν τῷ μέσῳ δείκνυται. ἄλλως δὲ οὐκ ἔνι καταστῆσαι τὴν λέξιν. ἐδείξαμεν δὲ καὶ ἡμεῖς ἐπεξελθόντες ὅλα τὰ σχήματα ὅτι ἐν τρίτῳ σχήματι [καὶ πρώτῳ] τὸ μερικὸν ἀποφατικὸν οὐ συνάγεται, εἰ μή τί γε εἴη τὸ καθόλου ἀποφατικὸν πρὸς τῷ μείζονι, τὸ δὲ καθόλου καταφατικὸν πρὸς τῷ ἐλάττονι. ἀλλὰ νῦν οὐ δι' ἑαυτὸ συνάγεται, ἀλλ' ὅταν ἡ μία μερικὴ δυνηθῇ γενέσθαι.

Καὶ οὐχ ὁμοίως. ὁ 'καί' σύνδεσμος τὴν ἀσάφειαν ἐργάζεται.

p. 65a35 Ἔστι δὲ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι.

Τὸ ἐν ἀρχῇ αἰτεῖσθαι ἢ κατὰ ἀλήθειαν, ὡς ὅταν εἴπῃ 'ἡ ψυχὴ αὐτοκίνητος', ἢ κατὰ δόξαν, ὡς ὅταν ἄλλο δι' ἄλλου δεικνύοιτο, ὡς καὶ νῦν ἐποίησεν.

p. 65a38 Τὸ δὲ μὴ παρὰ τοῦτο συμβαίνειν τὸ ψεῦδος, ὃ πολλάκις εἰώθαμεν ἐν τοῖς λόγοις λέγειν.

Βούλεται ἐν τούτοις ὁ φιλόσοφος εἰπεῖν περὶ τοῦ μὴ παρὰ τοῦτο συμβαίνειν, ὡς ὅτι ἐκείνη ἡ πρότασις οὐδ' ὅλως λαμβάνεται· οἷον εἰ λάβω χρῶμα παντὶ λευκῷ, τὸ λευκὸν παντὶ πτηνῷ, τὸ πτηνὸν παντὶ κόρακι, ὥστε καὶ τὸ λευκὸν παντὶ κόρακι. τοῦτο τὸ ἀδύνατον συνέβη οὐ διὰ τὸ λαβεῖν ὅτι τὸ χρῶμα παντὶ λευκῷ· κἂν γὰρ ἐλαμβάνετο ἢ μὴ ἐλαμβάνετο,

1 ὅταν prius om. Bt (eras. n) ἀποφατικῶς δὲ Bt (n) 4 ante τρίτῳ utrumque add. τῶ U post σχήματι prius add. πῶς συνάγονται B 5 ἢ addidi δὲ, quod post ληφθείη habent libri, transposui 6 post καὶ add. ἐν MUt 7 κατὰ] κα superscr. U² 10 εἰρημένω Bt 11 ἔνι MU: ἔστι B: ἦν t 12 ἐδείξαμεν] p. 452,29sq. 13 καὶ πρώτῳ delevi: καὶ om. M οὐ om. U post συνάγεται add. καὶ B 14 post εἴη add. ἐν τρίτω σχήματι Bt καθόλου prius BMt: μερικὸν U 17 ἀσφάλειαν M 19 post ἢ add. οὕτως U post ἀλήθειαν add. τὸ ἐν ἀρχῇ αἰτεῖται U an εἴπῃς? 20 δείκνυτο MU (post υ ras. U) 22 περὶ τοῦ μὴ παρὰ τοῦτο συμβαίνειν τὸ ψεῦδος inscr. U, om. συμβ. τὸ ψ. B τοῦτον pr. M 23 ἐν τοῖς λόγοις εἰώθαμεν t Arist. 25 ὡς om. U an ὅτε?

οὐδὲν ἧττον ἠκολούθει τὸ ἀδύνατον· ἐὰν γὰρ ἐλαμβάνετο ὅτι λευκὸν παντὶ CXIIv πτηνῷ, πτηνὸν παντὶ κόρακι, καὶ λευκὸν παντὶ κόρακι, ὁμοίως τὸ ἀδύνατον ἠκολούθει. ὥστε ἐκ τούτου φανερὸν ὅτι τὸ μὴ παρὰ τοῦτο συμβαίνει ἀδυνάτου τινὸς ὄντος. εἰ δὲ μή ἐστι παρὰ τοῦτο, δῆλον ὅτι παρὰ ἄλλην ἐστὶ πρότασιν οἱανδήποτε ληφθεῖσαν, ὡς καὶ νῦν παρὰ τὸ τὸ λευκὸν παντὶ πτηνῷ ληφθῆναι τὸ ἄτοπον ἠκολούθησεν. οὕτω τὸ μὴ παρὰ τοῦτο γίνεται.

Τὸ δὲ μὴ παρὰ τοῦτο, ὃ πολλάκις προσδιαλεγόμενοι λέγομεν.

p. 65b1 Οὔτε γὰρ ὁ μὴ ἀντιφήσας ἐρεῖ τὸ οὐ παρὰ τοῦτο, ἀλλ' ὅτι ψεῦδός τι ἐτέθη τῶν προτέρων, οὔτ' ἐν τῇ δεικνυούσῃ.

Ὅτι οὐ παρὰ τοῦτο λέγεται, ὅτε τις ἀντιφάσκει ἡμῖν ἐρίζων. εἰ δὲ μή, αἱρεῖται λέγειν ὅτι ψεῦδος συνήχθη, καὶ οὐκέτι λέγει οὐ παρὰ τοῦτο.

p. 65b4 Οὐκ ἔστιν εἰπεῖν ὡς οὐ παρὰ τὸ κείμενον.

Ὅταν ἀκολουθήσῃ ἀδύνατον ἐπὶ τῶν δεικτικῶς δεικνυμένων, οὐ δυνατὸν εἰπεῖν ἡμᾶς ὅτι οὐ συνήχθη τοῦτο παρὰ τὰς προτάσεις. τὸ δὲ μὴ παρὰ τοῦτο ἐρεῖς ἐπὶ τῆς μὴ παραλαμβανομένης προτάσεως τοῦ ἀδυνάτου, ὡς ἐπὶ τοῦ χρώματος καὶ τοῦ λευκοῦ.

p. 65b6 Ὅταν ἀναιρεθέντος τούτου μηδὲν ἧττον.

Ἐκείνην λέγομεν τὴν πρότασιν μὴ παρὰ τοῦτο τὴν μὴ παραλαμβανομένην ἐν τῷ συλλογισμῷ. οὐ μέντοι διὰ ταύτην ἧττον συμβαίνει συλλογίσασθαι τὸ προκείμενον, ὅπερ συμβαίνει ἐπὶ τοῖς δεικτικοῖς· ἐπὶ γὰρ τούτων εἰ μὴ ληφθῇ ⟨ἡ⟩ πρότασις, οὐδὲ ὁ συλλογισμὸς γίνεται ὁ πρὸς τὴν πρότασιν.

p. 65b9 Φανερὸν οὖν ὅτι ἐν τοῖς εἰς τὸ ἀδύνατον λέγεται τὸ μὴ παρὰ τοῦτο.

Ὥσπερ πόρισμα ἔλαβεν εἰπὼν 'τὸ μὴ παρὰ τοῦτο λέγεται, ὅτε ἀδύνατόν τι συμβαίνει', καὶ πάλιν δὲ 'τότε λέγομεν τὸ μὴ παρὰ τοῦτο, ὅτε ἐκείνης τῆς προτάσεως καὶ οὔσης καὶ μὴ οὔσης οὐδὲν ἧττον τὸ ἄτοπον συμβαίνει'.

---

5 post τὸ prius add. καὶ Bt τὸ alt. om. U 7 προσδιαλεγόμενον t
8 ὁ BMt(A): om. U Arist. post ἀντιφήσας add. τις Bt (u, re. n), ante μὴ U: om. M Arist. 9 post προτέρων add. τάσεων sic U 10 λέγεται] huc usque M
11 αἱρεῖται corr. BU²: ἐρεῖται pr. BU, t 12 ante οὐκ add. ἔτι δὲ ὅταν ἀναιρεθῇ τι δεικτικῶς διὰ τῶν α' β' γ' t 13 δεικτικῶν Bt 14 οὐ om. B 17 ante ὅταν add. τὸ γὰρ μὴ παρὰ τοῦτο γίνεσθαι τότε λέγομεν t 19 συμβαίνειν Bt 19. 20 συλλογισθῆναι U 21 ἡ addidi 25 εἰπεῖν U 26 τότε Ut: τοῦτο B 27 post ὅτε add. καὶ B 28 σημαίνει U

p. 65b14 Ὅταν ἀπὸ τῆς ὑποθέσεως ἀσύναπτος ᾖ. CXIIv

Διὰ δύο αἰτίας γίνεται τὸ μὴ παρὰ τοῦτο, μίαν μέν, ἤτοι ὅταν οἱ μέσοι ὅροι μὴ συνάπτωσι πρὸς ἑαυτούς, ὡς εἴ τις βουληθῇ τὸν Ζήνωνος λόγον ⟨ἐλέγχων⟩, ὅτι οὐκ ἔστι κίνησις, λαμβάνειν ὅτι ἀσύμμετρος ἡ διάμετρος. ἔλεγε δὲ Ζήνων μὴ εἶναι τὴν κίνησιν ἀπὸ τοῦ λαμβάνειν μὴ γίνεσθαι τὸ τέλος τῆς ὁδοῦ μὴ τοῦ μέσου ληφθέντος, καὶ πάλιν ἐκείνου μὴ τοῦ μέσου, καὶ τοῦτο εἰς ἄπειρον· τὸ δὲ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ γενέσθαι οὐ δυνατόν· ὥστε ἀνῄρηται ἡ κίνησις. οὕτως ὁ Ζήνωνος λόγος. διὰ μίαν οὖν αἰτίαν γίνεται, ὅταν μὴ συνάπτωνται οἱ μέσοι ὅροι πρὸς ἑαυτούς. |

p. 65b21 Ἄλλος δὲ τρόπος, εἰ συνεχὲς μὲν εἴη τὸ ἀδύνατον τῇ ὑποθέσει, μὴ μέντοι δι' ἐκείνην συμβαίνοι. CXIIIr

Ἡ δευτέρα αἰτία τοῦ γίνεσθαι τὸ μὴ παρὰ τοῦτο, ὅταν συνδέωνται μὲν οἱ μέσοι ὅροι, μὴ μέντοι διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν συμβαίνῃ τι ἄτοπον, ὡς ἐπὶ τοῦ χρώματος καὶ τοῦ λευκοῦ καὶ τοῦ πτηνοῦ καὶ τοῦ κόρακος.

p. 65b22 Τοῦτο γὰρ ἐγχωρεῖ γενέσθαι καὶ ἐπὶ τὸ ἄνω καὶ ἐπὶ τὸ κάτω.

Οἷον ἐπὶ τὸ ἄνω τὸ ΑΒ, ἐπὶ τὸ κάτω τὸ ΓΔ, ἢ ἐπὶ τὸ ἄνω τὸ Α τῷ Β, ἐπὶ τὸ κάτω τὸ Β τῷ Γ, τὸ Γ τῷ Δ, ὥστε εἶναι τὸ Β τῷ Δ. Καὶ ἀφαιρεθέντος τοῦ Α οὐκέτι ἔσται τὸ ἀδύνατον. εἰ μὲν ἐπὶ τὰ ἄνω λαμβάνομεν τὰς προτάσεις, τὸ μὴ παρὰ τοῦτό ἐστι καθ' οὗ κατηγορεῖται τὸ Α, τὸ Β. ὥστε τὸ ψεῦδος διὰ τοῦ ΑΒ λαμβάνεται· ἀφαιρεθέντος δὲ τοῦ ψεύδους οὐκέτι ἄτοπον συμβαίνει.

p. 66a1 Φανερὸν οὖν ὅτι τοῦ ἀδυνάτου μὴ πρὸς τοὺς ἐξ ἀρχῆς.

Φανερὸν ὅτι τὸ ἀδύνατον συμβαίνει οὐ διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν ἀλλὰ διὰ τὰς ψευδεῖς προτάσεις, ὡς ἐλέγομεν ἐπὶ τοῦ χρώματος καὶ τοῦ λευκοῦ.

---

3 συνάπτουσι t 4 ἐλέγχων addidi λαμβάνειν scripsi: λαμβάνει BUt ὅτι prius Ut: ὡς B 6. 7 μὴ τοῦ—ἄπειρον mrg. U² 7 ante τὸ δὲ add. μὴ μεσάσαντας καὶ πάλιν ἐκείνης μὴ μεσάσαντας οὔτε τὸ τέλος. καὶ τοῦτο εἰς ἄπειρον U 8 οὐ δυνατόν Bt: ἀδύνατον U ἀνήρητο B 9 δὲ U συνάπτονται t 11 ante ἄλλος add. οὐδαμῶς γὰρ οὐδαμῇ συνεχές ἐστι τὸ ψεῦδος τῇ φάσει τῇ ἐξ ἀρχῆς U 13 post τοῦ add. μὴ, quod Waitz Organ. I 29 deleverat, Bt 14 συμβαίνῃ b: συμβαίνειν BUt τι Bt: τὸ U 15 τοῦ tert. et quart. om. Ut 18 τὸ ἄνω τὸ pr. l. scripsi: τοῦ ἄνω τοῦ Bt: τοῦ ἄνω τῇ U τοῦ κάτω τοῦ Bt γδ—19 τῷ δ] βγ τὸ βγ. γδ U 19 ἐπὶ τὸ κάτω τὸ β τῷ γ t: om. B τὸ εἶναι βδ U 21 immo ἐπὶ τὸ 22 τῷ β U τὸ (ante ψεῦδος) om. t 23 οὐκέτι ex οὔτι corr. U συμβαίνει ἄτοπον B 24 δὲ B 25 post φανερὸν add. οὖν t 26 ἐλέγομεν] p. 456,26 sq. 27 τοῦ om. Ut

p. 66a3 Καὶ γὰρ εἰ μὴ τῷ B ἀλλὰ τῷ K ἐτέθη τὸ A ὑπάρχειν. CXIII r

Ἐπειδὴ ἐλέγομεν ἐπὶ τοῦ μὴ παρὰ τοῦτο ὅτι τὸ ἄτοπον συμβαίνει καὶ ὄντος καὶ μὴ ὄντος ἐκείνου τοῦ πρώτου ὅρου, ὡς ἐπὶ τοῦ χρώματος καὶ τοῦ λευκοῦ, νῦν λαμβάνει πρότασιν ὡς οὖσαν μόνως, καὶ ὅμως οὐ δι' αὐτὴν τὸ ἄτοπον ἕπεται. οἷον ὡς αὐτὸς λέγει, ⟨εἰ⟩ τὸ A παντὶ τῷ K, τὸ K παντὶ τῷ Γ, τὸ Γ παντὶ τῷ Δ, ὥστε τὸ A παντὶ τῷ Δ, τοῦτο δὲ ἀδύνατον, οὐ διὰ τὸ A παντὶ τῷ K συμβαίνει τὸ ἀδύνατον ἀλλὰ δι' ἄλλην τινὰ πρότασιν.

p. 66a11 Ἐπεὶ τὸ αὐτό γε ψεῦδος συμβαίνειν διὰ πλειόνων.

Φησὶν οὐδὲν ἄτοπον ὅτι καὶ οὔσης καὶ μὴ οὔσης τῆς πρώτης ὑποθέσεως [οὐδὲν] ἀδύνατον συμβαίνει· ταὐτὸ γὰρ ψεῦδος πολλάκις συμβαίνει διὰ πολλὰς ὑποθέσεις ψευδεῖς, ὡς αὐτὸς λέγει.

p. 66a16 Ὁ δὲ ψευδὴς λόγος γίνεται παρὰ τὸ πρῶτον ψεῦδος.

Τοῦτο βούλεται εἰπεῖν, ὅτι ψευδὲς συμπέρασμα γίνεται ἐκ δύο προτάσεων ἢ ἐκ πλειόνων. εἰ μὲν οὖν ἐκ δύο, ἐν θατέρᾳ ἢ ἐν ταῖς δυσὶ τὸ ψεῦδος. εἰ δὲ ἐκ πλειόνων, ἐν ταῖς πρώταις προτάσεσι τὸ ψεῦδος· οἷον εἰ δείκνυται τὸ AB διὰ τοῦ ΓΔ, τὸ δὲ ΓΔ διὰ τοῦ ZH, εἴη δὲ ψευδὲς τὸ AB, ψευδεῖς εἰσιν καὶ αἱ ZH· ἐκ τούτων γὰρ συνάγεται καὶ τὸ ΓΔ, ἅτινα ΓΔ συνάγουσι τὸ AB. ὥστε περὶ τὰς πρώτας προτάσεις εὑρήσεις τὸ ψεῦδος.

p. 66a25 Πρὸς δὲ τὸ μὴ κατασυλλογίζεσθαι παρατηρητέον.

Βούλεται διὰ τούτων εἰπεῖν ὁ Ἀριστοτέλης ὅπως μὴ κατασυλλογίζωνται ἡμῶν. καὶ φησὶν ὅτι παρατηρητέον τοῦτο, ὅπως μὴ τὸν αὐτὸν ὅρον πολλάκις λάβοι ὁ προσδιαλεγόμενος· εἰ γὰρ πολλάκις λάβοι, ἢ τῷ μὲν ποιεῖ αὐτὸν ὑποκείμενον τῷ δὲ κατηγορούμενον, καὶ ποιεῖ τὸ πρῶτον σχῆμα, ἢ ἀμφοτέρων λαμβάνει αὐτὸν κατηγορούμενον, καὶ ποιεῖ τὸ δεύτερον σχῆμα, ἢ ἀμφοτέροις ὑποκείμενον, καὶ ποιεῖ τὸ τρίτον σχῆμα. ἐὰν δὲ μὴ λάβῃ δὶς τὸν αὐτὸν ὅρον, οὐδαμῶς δυνατὸν κατασυλλογίσασθαι. ἢ πάλιν εἰ λάβῃ

1 ἐτέθη t Arist.: τεθῆ BU 2 τὸ om. B 4 τοῦ om. t πρότασιν Bt: αὐτὴν U ὡς supra καὶ scr. U² post οὖσαν add. καὶ U 5 εἰ addidi 9 συμβαίνει U 10 ὅτι post φησὶν colloc. B πρώτης om. B 11 οὐδὲν delevi ταὐτὸ scripsi: τοῦτο BUt post γὰρ add. τὸ Ut 12 ὡς αὐτὸς λέγει om. B 13 περὶ ψευδοῦς λόγου inscr. U 15 θατέρᾳ t: θατέρῳ BU τοῖς U 17 τῶν (ante ἢ δ) B 19 immo παρὰ 21 περὶ τοῦ μὴ κατασυλλογίζεσθαι inscr. B κατασυλλογίσασθαι U 23 τοῦτο] τοῦ in ras. U 24 an λάβῃ ὁ? 27 ὑποκείμενα U 28 λάβοι B

ἀμφοτέρας μερικὰς τὰς προτάσεις, οὐδαμῶς συλλελόγισται. εἰ δὲ βουλόμενος δεῖξαι τὸ καθόλου ἀποφατικὸν λάβῃ μίαν πρότασιν ἀληθῆ ἀποφατικήν, ἡμῶν τῇ καταφατικῇ ἐνισταμένων διὰ τὸ ἄμ|φω γίνεσθαι ἀποφατικὰς ὁμοίως CXIII[v] οὐ συλλελόγισται. λέγει οὖν πρῶτον πῶς ὀφείλομεν μὴ κατασυλλογίζεσθαι· ὕστερον δ' ἐρεῖ πῶς ἡμεῖς ἄλλους κατασυλλογίσασθαι δυνηθείημεν. καὶ παραγγέλλει ἐπὶ τοῦ ἵνα μὴ κατασυλλογίζωνται ἡμῶν ταῦτα, ἃ ἡμεῖς εἰ ποιήσομεν, κατασυλλογισόμεθα.

p. 66a27 Ἐπειδήπερ ἴσμεν ὅτι ἄνευ τοῦ μέσου συλλογισμὸς οὐ γίνεται.

Ἐὰν τὸν μέσον ὅρον οὐ δῶμεν εἰς τὸ ληφθῆναι δὶς ἀλλ' ἅπαξ, τῇ δὲ ἄλλῃ προτάσει ἐνστῶμεν, ἵνα μὴ ληφθῇ δίς, οὐ γίνεται συλλογισμός· ἄνευ γὰρ τοῦ μέσου ὅρου συμπέρασμα γενέσθαι οὐ δύναται. πῶς δὲ ὀφείλομεν τηρεῖν τὸν μέσον ὅρον καὶ μὴ διδόναι ἐν ἑκάστῳ σχήματι, δῆλον. εἰ γὰρ βούλεταί τι ἐν πρώτῳ σχήματι συνάξαι, εἰ λάβῃ αὐτοῦ τὸν μέσον ὅρον ἢ ὑποκείμενον τῷ ἄκρῳ ἢ κατηγορούμενον, παραχωρῶμεν. εἰ δὲ λάβῃ ὥστε τῷ μὲν ὑποκεῖσθαι τοῦ δὲ κατηγορεῖσθαι τὸν μέσον ὅρον, τότε ἐνστῆναι ὀφείλομεν καὶ μὴ συγχωρεῖν τῇ μιᾷ προτάσει· ἐὰν γὰρ μὴ συγχωρήσωμεν δὶς αὐτὸν ληφθῆναι, οὔτε συλλογισμὸν ποιήσει. τοῦτο δὲ οὐκ ὀφείλει ἡμᾶς λαθεῖν, εἴτε ἐν πρώτῳ ἢ δευτέρῳ ἢ τρίτῳ βούλεται συλλογίσασθαι σχήματι, ἐπειδὴ ἡμεῖς ὑπέχομεν τὸν λόγον, ὁ δὲ ὑπέχων τὸν λόγον οὗτός ἐστιν ὁ δυνάμει τὸ συμπέρασμα συνάγων· τῇ γὰρ ἐκείνου θέσει ἕπεται τὸ συμπέρασμα.

p. 66a33 Χρὴ δὲ ὅπερ φυλάττεσθαι παραγγέλλομεν ἀποκρινομένους.

Εἰρηκὼς ὅτι οὐκ ὀφείλομεν δὶς τὸν αὐτὸν ὅρον συγχωρεῖν διὰ τὸ μὴ λαμβάνειν τὸν κατασυλλογιζόμενον ἡμῶν ὃ βούλεται, νῦν λέγει πῶς ἂν οἱ κατασυλλογιζόμενοι κατασυλλογίσασθαι δύνωνται, ἐὰν κρύψιν τῆς τάξεως τῶν ὅρων ποιήσωνται, ἵνα νομίσῃ ὁ προσδιαλεγόμενος ἀσυναρτήτους εἶναι

1 τὰς μερικὰς B post συλλελόγισται add. καὶ ἀμφοτέρας ἀποφατικὰς ὁμοίως οὐ συλλογιοῦνται U 2 λάβοι U[1], ωσι superscr. U[2] ἀποφατικὴν ἀληθῆ B 2. 3 ἡμῶν—ἀποφατικὰς om. U 3 ἀποφατικήν t 4 συλλελόγισται B: συλλογιεῖται t: συλλογιοῦνται U μὴ om. U κατασυλλογίσασθαι U 5 δ' om. U
ζε α έ ειν
ἡμεῖς—6 παραγγέλλει Bt: ὀφείλομεν μὴ κατασυλλογίσασθαι παρήγγηλλεν U (superscr. U[1]) immo ἄλλων 6 κατασυλλογίζονται t fort. ταὐτά 6. 7 ἐποιήσαμεν, om. εἰ t 8 ἐπειδὴ B 12 ἄνευ ex ἕνα, ut videtur, corr. U[2] 14 an τις? λάβοι U 15 παραχωροῦμεν U λάβοι U 16 τὸ μὲν U τοῦ t: τῷ BU 17 παραχωρεῖν B 18 αὐτὸν scripsi: αὐτὴν BUt 19 εἴτε scripsi: ὥστε BUt 20 ὑπέσχομεν, ut videtur, B 25. 26 διὰ τὸ μὴ λαμβάνειν, quae post ἡμῶν colloc. BUt, transposui 26 post κατασυλλ. add. μὲν U ἡμῖν Ut ἃ B 27 δύνανται B κρύψεις B

τὰς προτάσεις καὶ ὁμολογήσῃ, εἰ διὰ πλειόνων προτάσεων δείκνυται τὸ CXIIIᵛ αὐτό. οἷον εἰ δείκνυται ὅτι τὸ Α τῷ Ζ ὑπάρχει διὰ μέσου τοῦ Β Γ Δ Ε, εἰ ἐρωτᾷς, μὴ ἐφεξῆς ἐρωτήσῃς, ἐπεὶ αἰσθάνεται τοῦ συμπεράσματος ὁ προσδιαλεγόμενος καὶ οὐκέτι συγχωρεῖ γενέσθαι τὸ συμπέρασμα, ἀλλ' οὕτως ἐρωτητέον, εἰ τὸ Α τῷ Β, εἰ τὸ ⟨Γ τῷ Δ, εἰ τὸ⟩ Ε τῷ Ζ, πάλιν εἰ τὸ Β τῷ Γ, πάλιν εἰ τὸ Δ τῷ Ε, καὶ οὕτως ὕστερον ὁμολογήσαντος αὐτοῦ ἐφεξῆς ἐρεῖς τὸ συμπέρασμα. οὕτως, εἰ διὰ πολλῶν προτάσεων γίγνοιτο ὁ συλλογισμός.

p. 66ᵇ1 Ἀπὸ τοῦ μέσου ἄρχεσθαι· μάλιστα γὰρ ἂν οὕτω λανθάνοι.

Εἰρηκὼς πῶς κρύψιν ὀφείλομεν ποιεῖν ἐφ' ὧν πολλαὶ αἱ προτάσεις, τῷ μὴ ἐφεξῆς ἐρωτᾶν, νῦν λέγει πῶς ὀφείλομεν κρύψιν ποιήσασθαι, εἰ ὦσιν αἱ προτάσεις μὴ πολλαὶ ἀλλὰ δύο καὶ διὰ συλλογισμῶν κρίνεται τὸ συμπέρασμα γίνεσθαι. ὀφείλομεν πρῶτον τὴν ἐλάττονα πρότασιν ἐρωτᾶν καὶ οὕτως τὴν μείζονα.

p. 66ᵇ4 Ἐπεὶ δὲ ἔχομεν πότε καὶ πῶς ἐχόντων τῶν ὅρων.

Ἐπειδὴ οἴδαμεν πότε γίνεται καὶ πῶς ὁ συλλογισμός, φανερὸν πότε γίνεται ἔλεγχος ἢ οὐ γίνεται. εἰ γὰρ εἴη ἡ μία ἀποφατικὴ πρότασις ἡ δὲ λοιπὴ καταφατική, ἔλεγχος γίνεται καὶ συλλογισμός, ἢ ἄμφω καταφατικαί, ἤτοι ἐν πρώτῳ ἢ τρίτῳ σχήματι, καὶ οὕτω γίνεται συλλογισμός. ἐπειδὴ δὲ ὁ ἐλέγξαι βουλόμενος τὸ ὑπὸ σοῦ λεγόμενον τὸ ἀντιφατικῶς ἀντικείμενον λαμβάνει τῇ σῇ ὑποθέσει, ἐξ ἀνάγκης εἰδέναι τοῦτο ὀφείλεις καὶ ἐκείνῃ τῇ προτάσει ἐνστῆναι τῇ τὴν σὴν ὑπόθεσιν ἀναιρούσῃ. ἐὰν γὰρ ἐκείνῃ ἐνστῇς, ἀδύνατον γενέσθαι ἔλεγχον· ἄλλο γὰρ οὐ δύναται. οἷον εἰ συνῆξας σὺ τὸ παντί, πάντως αὐτὸς ἢ τὸ οὐδενὶ βούλεται δεῖξαι ἢ τὸ οὐ παντί· οὐκοῦν ἀνθίστασαι τῇ προτάσει τῇ ἀναιρούσῃ τὴν σὴν ὑπόθεσιν τῇ ἀποφατικῇ.

p. 66ᵇ11 Εἰ δὲ μηδὲν συγχωροῖτο.

Ἐὰν τὸ ἀντιφατικῶς ἀντικείμενον μὴ συγχωρηθῇ, οὐ γίνεται ἔλεγχος· οὐ γὰρ ἦν συλλογισμὸς ἁπάντων τῶν ὅρων ὄντων στερητικῶν. ⟨οἷον⟩ ἐὰν ἡμῶν συναξάντων τὸ καταφατικὸν αὐτὸς βούληται τὸ ἀποφατικὸν συνάξαι, εἶτα μὴ δυνηθῶμεν ἐνστῆναι τῇ προτάσει τῇ ἀποφατικῇ (ἐξ ἀνάγκης γὰρ μία πρότασίς ἐστιν ἀποφατική), ἐνστῶμεν τῇ καταφατικῇ καὶ

---

1 ὁμολογήσει U 5 ⟨—εἰ τὸ addidi 6 ὁμολογήσαντες B 7 γένοιτο B
8 οὕτως ἂν U 9 ποιεῖν ὀφείλομεν U πολλαὶ e πάλαι, ut videtur, corr. U²
12 γίγνεσθαι U 14 ἐπειδή, om. δὲ U 15 οἴδατε, ut videtur, B γίγνεται U
16 εἴη scripsi: εἰ BUt 17 καὶ om. B συλλογισμοῦ, ut videtur, B 18 ἢ Ut: καὶ B γίγνεται Ut 21 τῇ B: ὀφείλεις U: om. t 22 immo ἄλλως sive ἄλλῃ
23 τῷ (ante παντί) U 24 ἀνθίσταται Bt: fort. ἀνθίστασο 28 ὅρων et στερητικῶν om. U 29 οἷον addidi βούληται scripsi: βούλεται BUt

ποιήσωμεν αὐτὴν ἀποφατικήν, καὶ συμβαίνει δύο γίνεσθαι ἀποφάσεις, καὶ ἀσυλλόγιστος ἡ συζυγία. |

p. 66b 14 Εἰ μὲν γὰρ ἔλεγχος, ἀνάγκη συλλογισμὸν εἶναι. CXIVr

Ὁ γὰρ συλλογισμὸς ἐπὶ πλέον τοῦ ἐλέγχου.

p. 66b 15 Ὡσαύτως δὲ καὶ εἰ μηδὲν τεθείη.

Ὥσπερ εἰ ἀμφοτέρας ποιήσεις ἀποφατικάς, οὐδὲν συνάγει ἔτι καὶ οὐ δύναται ἐλέγξαι, οὕτως, εἰ μηδὲν τεθῇ ἐν ὅλῳ (ἀντὶ τοῦ 'εἰ μηδεμία πρότασις τεθῇ καθόλου ἀλλ' ἄμφω μερικαί'), οὐ δύναται ἔλεγχον συναγαγεῖν· ἐξ ἀμφοτέρων γὰρ μερικῶν ἔλεγχος οὐ γίνεται.

p. 66b 18 Συμβαίνει δ' ἐνίοτε καθάπερ ἐν τῇ θέσει τῶν ὅρων.

Βούλεται εἰπεῖν περὶ τῆς γιγνομένης ἀπάτης, ὅτι γίνεται ἡ ἀπάτη διὰ τὸ μὴ ἐπιστημονικῶς εἰδέναι τὰ πράγματα. ἡ ἀπάτη δὲ γίνεται οὕτως, ὅταν τὸ αὐτὸ πλείοσιν ὑπάρχῃ καὶ τῷ μὲν δοκῇ καθ' αὑτὸ ὑπάρχειν, τῷ δὲ λανθάνῃ οἰόμενον μηδενὶ ὑπάρχειν. οἷον τὸ Α καὶ παντὶ τῷ Β καὶ οὐδενὶ τῷ Γ· ταῦτα δὲ τὰ ΒΓ ὑπαρχέτωσαν τῷ Δ παντί· εὑρεθήσεται τὸ Α καὶ οὐδενὶ καὶ παντὶ τῷ Δ. καὶ συμβαίνει ἠπατῆσθαί τινα τοῦ μὲν παντὶ οὕτως· τὸ Α παντὶ τῷ Β, τὸ Β παντὶ τῷ Δ, τὸ Α παντὶ τῷ Δ. τοῦ δὲ μηδενί· τὸ Α οὐδενὶ τῷ Γ, τὸ Γ παντὶ τῷ Δ, τὸ Α οὐδενὶ τῷ Δ. ὥστε τὸ αὐτὸ τῷ αὐτῷ καὶ οὐδενὶ καὶ παντί. αὕτη μὲν ἡ ἀπάτη. γίνεται δέ, ὡς εἰρήκαμεν, ὅταν τὸ αὐτὸ ἄλλοις τισὶν ὑπάρχῃ καὶ τοῦ μὲν κατηγορεῖται τοῦ δὲ ἀπαρνεῖται, εἶτα ταῦτα τὰ δύο ἀμφότερα κατηγορεῖταί τινος, συμβαίνει δὲ μὴ ἐπιστημονικῶς τοῦτο εἰδέναι.

p. 66b 26 Πάλιν εἴ τις ἀπατηθείη περὶ τὰ ἐκ τῆς αὐτῆς συστοιχίας.

Ἡ πρώτη ἀπάτη πῶς ἐστιν, εἴρηται. δευτέρα ἀπάτη ἐστὶν αὕτη· ὅταν ἐκ τῆς αὐτῆς συστοιχίας ὦσιν οὕτως, τὸ Α παντὶ τῷ Β, τὸ Β παντὶ τῷ Γ, εἶτα ὑπονοῇ καὶ ὅτι οὐδενί, συμβαίνει τῷ αὐτῷ τὸ αὐτὸ καὶ εἶναι καὶ μὴ εἶναι.

p. 66b 30 Ἆρ' οὖν οὐδὲν ἄλλο ἀξιοῖ ἐκ τούτων ἢ ὃ ἐπίσταται.

Ἄλλη ἀπάτη γίνεται ὡς καθόλου τὸ κατὰ μέρος πιστοῦσθαι· οἷον

5 τεθῇ B 6 ποιήσει B: ποιήσῃ t 8 μερικὴ B δύνανται Ut
10 περὶ τῆς καθ' ὑπόληψιν ἀπάτης inscr. U 11 γίγνεται t 13 ὑπάρχειν (ante καὶ) t καὶ om. U δοκεῖ Ut αὐτὸν Bt 13. 14 τῷ δὲ iterat B
14 λανθάνειν Ut 16 ἀπαρτῆσθαι t post τινα add. οἷον U 17 τῷ ᾱ pr. l. U
20 ὑπάρχῃ καὶ om. U 20. 21 τῷ—τῷ U 25 συστοιχίας ex Arist. scripsi: στοιχίας libri 26 ὑπονοεῖ Ut τῷ αὐτῷ τὸ αὐτὸ scripsi: τοῦ αὐτοῦ τὸ αὐτὸ Ut: inv. ord. B 28 οὐδενὶ U ἢ ὃ ἐπίσταται ex ἡ ἐπιστήμη corr. U

καθόλου οἴδαμεν ὅτι οὐδεμία ἡμίονος κύει, καὶ καθόλου οἴδαμεν ὅτι πᾶν CXIVʳ τὸ κύον ἐξωγκωμένην ἔχει τὴν γαστέρα· οἴδαμεν δὲ ἡμίονον ἐξωγκωμένην ἔχουσαν τὴν γαστέρα· διὰ μὲν τὸ καθόλου ὅτι ἡμίονος οὐ κύει, διὰ δὲ τὸ ἐξωγκῶσθαι κύειν ὑπονοεῖται. ὥστε μὴ ἔχοντες ἐπιστήμην τοῦ πράγματος 5 ἀπατώμεθα, ἐπειδὴ πᾶν μὲν τὸ κύον ἐξωγκωμένην ἔχει τὴν γαστέρα, οὐ πᾶν δὲ τὸ ἐξωγκωμένην ἔχον τὴν γαστέρα κύει.

p. 66ᵇ34 Ἐπὶ δὲ τοῦ πρότερον λεχθέντος, εἰ μὴ ἐκ τῆς αὐτῆς 35 συστοιχίας τὸ μέσον.

Εἰρήκαμεν πόσαι εἰσὶν αἱ ἀπάται. νῦν δὲ βούλεται τοῦτο εἰπεῖν, ὅτι 10 πάντως συμβαίνει τὴν μίαν πρότασιν ἐπιστημονικῶς καθ' αὑτὸ μὴ εἰδέναι. ἡ γὰρ πρώτη ἀπάτη [ἡ] αὕτη· τῷ ὑπάρχειν τὸ Α καὶ τῷ Β καὶ τῷ Γ, ταῦτα δὲ τὰ δύο τῷ Δ, ἐὰν ὑπονοήσῃ ὅτι τὸ Α καὶ παντὶ καὶ οὐδενὶ τῷ Γ, ὅπερ ψεῦδος, ταύτην τὴν ὑπόνοιαν ἐπιστημονικὴν ἔχειν οὐ δύναται· εἰ γὰρ ἔχει αὐτὴν ἐπιστημονικήν, εὑρεθήσεται τὸ αὐτὸ τῷ αὐτῷ καὶ ὑπάρχειν καὶ 40 15 μὴ ὑπάρχειν, ὅπερ ἄτοπον. οἷον εἰ οἶδεν ἀκριβῶς ὅτι τὸ Α παντὶ τῷ Β καὶ τὸ Β παντὶ τῷ Δ, καὶ τὸ Α παντὶ τῷ Δ· ὁμοίως δὲ καὶ τοῦτο εἰ ἐπιστημονικῶς εἰδείη, τὸ Α οὐδενὶ τῷ Γ, τὸ Γ παντὶ τῷ Δ (τοῦτο γὰρ ὑπόκειται), οὐκοῦν καὶ τὸ Α οὐδενὶ τῷ Δ· ἦν δὲ καὶ παντί, ὃ ἐδείχθη διὰ τοῦ Β, ὅπερ ἄτοπον. ὥστε ἀνάγκη τὴν μίαν ἐπιστημονικῶς μὴ οἴεσθαι 20 αὐτὸν εἰδέναι. καὶ οὗτος, ἐξ οὗ οὐκ οἶδεν ἐπιστημονικῶς, συνάξει τὸ αὐτὸ τῷ αὐτῷ ὑπάρχειν καὶ μὴ ὑπάρχειν.

Μὴ ἐκ τῆς αὐτῆς συστοιχίας. ἐκ τῆς αὐτῆς συστοιχίας 45 λέγει ἀντὶ τοῦ 'ἵνα μὴ ὦσι κατὰ τάξιν'.

p. 66ᵇ35 Καθ' ἑκάτερον μὲν τῶν μέσων ἀμφοτέρας τὰς προ- 25 τάσεις.

Ἀμφοτέρας, φησί, τὰς προτάσεις οὐκ ἐγχωρεῖ ὑπονοεῖν ἀληθεῖς, ὥστε τὸ Α τῷ μὲν Β παντὶ τῷ δὲ Γ οὐδενί, ἢ τὸ ἀνάπαλιν. πῶς γὰρ τὸ αὐτὸ ἐνδέχεται, ὅπου τοῖς δύο οὐ παντὶ ὑπῆρχε τὸ Α, ἀλλὰ τῷ μὲν παντὶ τῷ δὲ οὐδενί; ἐὰν γάρ, φησίν, ἀμφοτέρας ἐπιστημονικῶς λάβωμεν, 30 συμβαίνει ἄτοπόν τι· ἢ γὰρ | ἁπλῶς ἐναντίον τι συνάγεται, ἐὰν τὸ CXIVᵛ καθόλου συναχθῇ, ἢ τὸ ἐναντίον ἐπί τι, ἐὰν τὸ μερικὸν συναχθῇ, οἷον ἀντὶ τοῦ πᾶς τὸ οὐ πᾶς. ταῦτα δὲ ἀμφότερα λέγει τὸ ΒΓ.

1 ὅτι alt. Bt: ὡς U 2 ἐξογκουμένην utrobique Bt itemque vs. 5. 6 3 τοῦ—τοῦ U 4 ἐξογκοῦσθαι Bt 7 προτέρου Ut εἰ in ras., μὴ superscr. U 9 τοῦτο om. B 11 αὕτη· τῷ scripsi: ἡ αὐτὴ τὸ libri 17 εἰδοίη U post τὸ alt. add. δὲ t 18 ἦν Bt: εἰ U δειχθῇ, om. ὃ U 20 αὐτὴν B 22 ante ἐκ alt. add. ex Arist. εἰ μὴ t, μὴ superscr. U ἐκ alt. om. B 23 κατ' ἀξίαν t 27 α BU: β' t 28 τοῖς B: τῶν Ut 28. 29 τὸ—τὸ U 31 τὸ alt. om. B

p. 67a5 Οὕτω μὲν οὖν οὐκ ἐνδέχεται ὑπολαβεῖν, καθ' ἑκάτερον δὲ τὴν μίαν. CXIVv

Πάσας ἐπιστημονικῶς εἰδέναι οὐκ ἐνδέχεται· τὰς δὲ δύο ἐπιστημονικῶς εἰδέναι ἢ τὰς τρεῖς οὐδὲν ἄτοπον συμβαίνει, οἷον τὸ Α παντὶ τῷ Β, τὸ Β παντὶ τῷ Δ, καὶ πάλιν τὸ Α οὐδενὶ τῷ Γ, μὴ εἰδείη δὲ ἐπιστημονικῶς ὅτι τὸ Γ παντὶ τῷ Δ, ὅπερ ἐστὶ μερικόν. οἷον οἶδε μὲν ἐπιστημονικῶς ὅτι οὐδεμία ἡμίονος κύει· οὐκ οἶδε δὲ εἰ τοῦτο τὸ ἔγκυον ἡμίονός ἐστιν· καὶ συμβαίνει τὸ μὲν καθόλου εἰδέναι αὐτόν, τὸ δὲ κατὰ μέρος οὐκέτι.

p. 67a13 Οἷον εἰ τὸ μὲν Α δύο ὀρθαί.

Ὡς ἐπὶ παραδείγματος ποιεῖται τὸν λόγον τοιοῦτον, ὅτι ὑποκείσθω τινὰ εἰδέναι τὰς δύο ὀρθὰς καὶ τὸ καθόλου, ὅτι πᾶν τρίγωνον ἔχει δύο ὀρθαῖς ἴσας· μὴ εἰδείη δὲ ὅτι τόδε τρίγωνόν ἐστιν, οἷον τὸ κεκρυμμένον ὑπὸ τὴν θύραν ἢ τὸν κόλπον· εὑρεθήσεται τὸ μὲν καθόλου εἰδώς, τὸ δὲ μερικὸν οὐκέτι.

p. 67a16 Τὸ γὰρ εἰδέναι ὅτι πᾶν τρίγωνον δύο ὀρθὰς ἔχει οὐχ ἁπλοῦν ἐστιν.

Ὁ εἰδώς, φησίν, ὅτι πᾶν τρίγωνον δύο ἔχει ὀρθὰς οὐχ ἁπλῶς οἶδεν, ἀλλὰ τοῦτο καθόλου· τοῦτο δὲ ἐκ τῶν κατὰ μέρος τριγώνων ὡς καθόλου οἶδεν, ὥστε οὐχ ἕξει τὰς ἐναντίας. ὁ οὖν μὴ βλέπων τὸ κεκρυμμένον τρίγωνον τὸ μὲν καθόλου οἶδε, τὸ δὲ κατὰ μέρος οὐκ οἶδεν· οὔτε γὰρ ὁρᾷ αὐτό, ὥστε οὐδὲ τὰ ἐναντία δοξάσει ὁ τοιοῦτος, ἐπειδὴ μὴ ὁρᾷ.

p. 67a21 Καὶ ὁ ἐν τῷ Μένωνι λόγος, ὅτι ἡ μάθησις ἀνάμνησις.

Λέγει ὁ Πλάτων ἐν τῷ Μένωνι ὅτι αἱ μαθήσεις ἀναμνήσεις εἰσίν. ὁ δὲ Ἀριστοτέλης λέγει ὅτι ἡ μάθησις ἀνάμνησις οὐκ ἔστιν· ὁ γὰρ μανθάνων οὐ προεπιστάμενος μανθάνει ἀλλὰ μὴ εἰδώς· ὁ δὲ ἀναμιμνησκόμενος προεπιστάμενος ἀναμιμνήσκεται. οὕτως οὐκοῦν καὶ ὁ Μένων ᾔδει τὸ καθόλου, τὸ δὲ καθ' ἕκαστον ἐμάνθανε διὰ τῆς κατὰ μέρος ἐπαγωγῆς μὴ εἰδώς.

1. 2 ἑκάτερα B: ἕτερον t 5 εἰδοίη U: εἰδέναι conicio, at cf. vs. 13 10 εἰ τὸ β παντὶ τῷ δ̄. τῷ β̄ παντὶ τὸ ᾱ γ̄ καὶ ἐν τῷ β̄: — ἀλλ' οὐδὲν κωλύει τὸ γ̄ ἀγνοεῖν ὅτι ἐστίν lemma U 13 ὀρθαῖς scripsi: ὀρθὰς BUt εἰδοίη U 16 ἔχει δύο ὀρθὰς t: δύο ὀρθαῖς U Arist. 18 ὀρθὰς ἔχει U 19 μέρους B 20 post οἶδεν add. e vs. sq. τὸ δὲ κατὰ μέρος U 22 δοξάζει t οὗτος, ἐπεὶ B 24 ante καὶ add. ex Arist. ὁμοίως δὲ t ὁ om. B ἡ om. U 25 ἐν τῷ Μένωνι] c. 15 p. 81 C sq. 26 φησὶν (post ἀριστ.) B 29 τὸ B: τὰ Ut

ἡμεῖς δὲ λέγομεν ὅτι ἀνάμνησίς ἐστιν ἡ μάθησις, ἐπειδή, πρὶν δεσμευθῇ CXIVv ἡ ψυχὴ τῷ σώματι, πάντα ἤδει, δεσμευθεῖσα δὲ ἀναμιμνήσκεται μανθάνουσα.

p. 67a24 Ὥσπερ ἀναγνωρίζοντας.

Οἴδαμεν, ἐὰν ἴδωμεν τρίγωνόν τι, ὅτι καὶ δύο ὀρθὰς ἔχει.

p. 67a27 Τῇ μὲν οὖν καθόλου θεωροῦμεν τὰ ἐν μέρει.

Πῶς οὖν συμβαίνει γίνεσθαι τὴν ἀπάτην; ἐκ τοῦ τὸ μὲν καθόλου ἡμᾶς εἰδέναι τὸ δὲ κατὰ μέρος μὴ εἰδέναι. καὶ ἐκ τούτου ἀπατώμεθα, οὐκ εἰς ἐναντίον τι ἀπατώμεθα. διὰ τί; ὅτι οἴδαμεν τὸ καθόλου. πῶς δὲ ἀπατώμεθα; ἀγνοοῦντες τὸ κατὰ μέρος.

p. 67a31 Οὐ γὰρ ἐναντία ἡ κατὰ τὸ μέσον.

Ὅτι ἡ ἀπάτη ὅτε ἐστὶ γινομένη, οὐ συνάγεται τὸ ἐναντίον.

p. 67a33 Οὐδὲν δὲ κωλύει εἰδότα καὶ ὅτι τὸ Α ὅλῳ τῷ Β ὑπάρχει.

Εἰρηκὼς πῶς γίνεται ἀπάτη, νῦν βούλεται εἰπεῖν ὅτι, ἐάν τις εἰδείη τὸ κατὰ μέρος σὺν τῷ καθόλου, οὐκ ἀπατᾶται. οἷον εἴ τις οἶδεν ὅτι οὐδεμία ἡμίονος κύει, εἰδείη δὲ καὶ τόδε τι, ὅτι ἡμίονος ἐξωγκωμένη ἐστὶν ἥδε, οὐκοῦν εἰ καὶ τοῦτο οἶδε, τύχῃ δὲ ἐκεῖνος ἐνεργεῖν τότε ἐκ τῆς καθόλου ὡρμημένος ὑπονοήσεως. ἰδὼν δὲ ἡμίονον ἐξωγκωμένην ἔχουσαν τὴν γαστέρα ὑπονοήσει ὅτι κύει, μὴ ἐνεργήσας ἐκ τῆς καθόλου ὅτι οὐδεμία ἡμίονος κύει. οὕτως ἀγνοῶν τις τὸ καθόλου, καθὸ οὐκ ἐνήργησε, τότε ἀπατᾶται πάλιν ὅτι ἥδε ἡ ἡμίονος κύει.

p. 67a36 Μὴ συνθεωρῶν.

Μὴ συσκοπῶν, ὅτι ὑπὸ τὸ καθόλου ἐστὶ τὸ μερικόν, νομίζει κύειν τὴν ἡμίονον.

---

1 δεσμηθῇ (η prius ex ω corr.) B 2 ἤδη t δεσμηθεῖσα B 3 ἀναγνωρίζοντες B: γνωρίζοντας pr. U 4 εἰδῶμεν U: εἴδωμεν t ante τριγ. add. τὸ U 5 ante τῇ μὲν add. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων Ut τὸ B (n) 7 an ἀπατώμενοι? 10. 11 οὐ γὰρ—τὸ ἐναντίον post 20 κύει collocant libri 10 τὸ om. U 11 γιγνομένη Ut 12 ante οὐδὲν add. ὁμοίως οὐκοῦν—κατὰ (τὸ om.) μέσον—ἐπιστήμη U καὶ om. B ὑπάρχει ante τῷ β collocat U: om. B 13 εἰδοίη U itemque vs. 15 15 τι om. B ἐξογκωμένη B: ἐξογκουμένη t 16 ἥδε scripsi: οἶδεν libri καὶ εἰ U τύχοι t an ἐκεῖθεν? 17 ἐξογκωμένην B: ἐξογκουμένην t ἔχειν U 18 τὴν om. Ut 18. 19 ὅτι οὐδεμία—καθόλου om. U 19 ἐνέργησε B: ἣν ἐνεργήσας pr. U, corr. U 20 post πάλιν add. δὲ Bt 21 ante μὴ add. οὐ γὰρ ἐπίσταται ὅτι τὸ α τῷ γ Ut 22 σὺν σκοπῶν t

p. 67ᵃ37 Καὶ εἰ τὸ μὲν οἶδε τὸ δὲ μὴ οἶδεν, ἀπατηθήσεται. |

Ὁμοίως πάλιν, ὃ καὶ εἴρηται ἤδη, ὅτε τὸ καθόλου μὲν οἶδεν, ⟨οἷον⟩ εἰ CXV r
οἶδέ τις ὅτι πᾶν τρίγωνον δύο ἔχει ὀρθάς, τόδε δὲ οὐκ οἶδεν ὡς κεκρυμμένον ὅτι ἐστὶ τρίγωνον· οὐδὲν γὰρ ἔξω γινόμενον τῆς ἡμετέρας αἰσθήσεως ἴσμεν τι ἐξ ἀνάγκης περὶ αὐτοῦ. ἀκριβῶς δὲ οἴδαμεν τότε, ὅτε σὺν τῇ καθόλου ἐπιστήμῃ καὶ τὸ μερικὸν εἰδείημεν.

p. 67ᵇ3 Ἀλλ' οὐχ ὡς τῷ ἐνεργεῖν.

Τὸ ἀλλ' οὐχ ὡς τῷ ἐνεργεῖν πρὸς τὸ ἄνω εἴρηται, ὅτι ὁ ὑπονοῶν, ὅτι ἥδε ἡ ἡμίονος κύει, οὐχ ὡς πρὸς τὸ ἐνεργεῖν ἐκ τοῦ καθόλου οἶδεν· ἐπεὶ εἰ ἐνήργει, ἤδει ὅτι οὐ κύει ἐκ τοῦ καθόλου ἐνεργῶν.

p. 67ᵇ3 Τὸ γὰρ ἐπίστασθαι λέγεται τριχῶς.

Διαίρεσιν ἐνταῦθα παραδίδωσι τῆς ἐπιστήμης καὶ τῆς ἀπάτης, ὅτι τὸ ἐπίστασθαι ἢ περὶ τὸ καθόλου ἢ περὶ τὸ κατὰ μέρος ἢ περὶ ἀμφότερα, τουτέστι τὸ ἐνεργεῖν· ἐνεργοῦμεν γὰρ ἀπὸ τοῦ καθόλου ἐπὶ τὸ κατὰ μέρος. ὁμοίως οὖν ἀπατώμεθα ἢ τῷ μὴ εἰδέναι τὸ καθόλου ἢ τῷ μὴ εἰδέναι τὸ κατὰ μέρος ἢ τῷ μηδέτερον, τουτέστι μὴ ἐνεργεῖν ἀπὸ τοῦ καθόλου ἐπὶ τὸ κατὰ μέρος· διὰ τοῦτο γὰρ κἀκεῖνος ᾠήθη ὅτι ἡ ἡμίονος κύει, διὰ τὸ μὴ ἐνεργῆσαι αὐτὸν ἀπὸ τοῦ καθόλου, ὅτι οὐδεμία ἡμίονος κύει.

p. 67ᵇ5 Οὐδὲν οὖν κωλύει καὶ εἰδέναι καὶ ἠπατῆσθαι.

Οὐδὲν κωλύει, ὡς διὰ τῶν παραδειγμάτων ἐδείξαμεν, εἰδέναι καὶ ἠπατῆσθαι, εἰδέναι μὲν τὸ καθόλου, ἠπατῆσθαι δὲ περὶ τὸ μερικόν, ἢ τὸ ἀνάπαλιν, εἰ μὴ ἐνεργοίη ἐκ τοῦ καθόλου. καὶ ὅτι οὐδὲν ἐναντίον συνάγει διὰ τὸ μὴ εἰδέναι.

p. 67ᵇ8 Ὑπολαμβάνων γὰρ κύειν τὴν ἡμίονον.

Ἠπάτηται, φησίν, ὅτι ἥδε ἡ ἡμίονος κύει, ἐκεῖνος, ὅτι οὐκ ἠδυνήθη ἐνεργῆσαι ἀπὸ τῆς καθόλου τῆς λεγούσης ὅτι οὐδεμία ἡμίονος κύει. διὰ τοῦτο οὖν ⟨οὐκ⟩ ἐπειδὴ ὑπέλαβε τὴν ἡμίονον κύειν, ἤδη ἐναντίαν ἔχει ἀπάτην· ἡ γὰρ ἐναντία ἀπάτη διὰ συλλογισμοῦ γίνεται, ἐκεῖνος δὲ οὐ συνελογίσατο.

1 ante καὶ add. ὥστε δῆλον ὅτι t 2 ὅτε scripsi: ὅτι BUt τὸ—οἶδεν om. U
οἷον addidi ἢ U 6 τὴν μερικὴν Ut 7 τῷ Arist.: τὸ BUt (f, pr. A B u)
9 post καθόλου add. λόγον Bt 10 εἰ U: ἢ Bt ἐνήργει scripsi: ἐνεργεῖ BUt ἤδη U
11 τριχῶς λέγεται U lemmati add. ἢ ὡς τῇ (τὸ t) καθόλου ἢ ὡς τῇ οἰκεία (τὸ οἰκεῖα t)
ἢ ὡς τὸ ἐνεργεῖν Ut 13 παρὰ (post ἢ alt.) U 14 τὸ prius U: τοῦ Bt
τοῦ B: τῶν Ut 15 et 16 τῷ ubique b: τὸ BUt 19 οὖν superscr. U² ante
εἰδέναι add. τὸ t itemque vs. 20 22 τοῦ scripsi cf. vs. 9. 10. 14: τῶν BUt 27 οὐκ addidi

p. 67b 12 Ὁ δ' ὑπολαμβάνων τὸ ἀγαθῷ εἶναι κακῷ εἶναι. CXV r

Ἕτερόν τι θεώρημα παραδίδωσιν ὁ φιλόσοφος ἐνταῦθα τοιοῦτον. ἐάν τις, φησί, λάβῃ τὸν ὁρισμὸν τοῦ καλοῦ καὶ οἰηθῇ τὸν αὐτὸν εἶναι τοῦ κακοῦ, ὑπονοήσει καὶ αὐτὸς τὸ αὐτὸ εἶναι ἀπαραλλάκτως τὸ ἀγαθὸν τῷ κακῷ, ὅπερ οὐκ ἀληθές. ὁ δὲ φιλόσοφος κακῶς ἔλαβε τοὺς ὅρους οὕτως· τὸ Α, ἀγαθῷ εἶναι, τὸ αὐτὸ τῷ κακῷ εἶναι, λέγω δὴ τῷ Β, καὶ τὸ κακῷ εἶναι τὸ αὐτὸ τῷ Γ, ἀγαθῷ εἶναι. καὶ οὐδὲν ἄτοπον ἀκολουθεῖ. διὰ τοῦτο οὖν ὀλίγον ὕστερον ἐρεῖ 'ἀλλὰ τοῦτο ἀκριβέστερον σκεπτέον'.

p. 67b 18 Ὥσπερ γὰρ εἰ ἦν ἀληθές, καθ' οὗ τὸ Γ, τὸ Β.

Ὥσπερ λέγομεν ἐπὶ ταύτης τῆς ἐκθέσεως τοῦ θεωρήματος, οὕτω καὶ ἐπὶ τοῦ ὑπολαμβάνειν, εἰ ὑπολάβῃ τις ὅτι τὸ Γ ὑπὸ τὸ Β ἐστίν, καὶ τὸ Β ὑπὸ τὸ Α, ὑπολάβῃ ὅτι καὶ τὸ Γ ὑπὸ τὸ Α ἐστὶν ἐξ ἀνάγκης.

p. 67b 20 Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ εἶναι.

Εἰ τὸ Α τῷ Β ὑπάρχει καὶ τὸ Β τῷ Γ, καὶ τὸ Α ἄρα τῷ Γ ὑπάρξει ἐξ ἀνάγκης.

p. 67b 22 Ἆρ' οὖν τοῦτο μὲν ἀναγκαῖον.

Ἆρ' οὖν, φησίν, εἴ τις δώσει ὅτι τὸ ἀγαθῷ εἶναι τὸ αὐτό ἐστι τῷ κακῷ εἶναι, ἀναγκαῖόν τι καὶ ἀληθὲς συνάγειν οὐκ ἐνδέχεται; ἀλλὰ ψεῦδός ἐστι τὸ ὑπολαμβάνειν τὸ ἀγαθῷ τὸ αὐτὸ εἶναι τῷ κακῷ, εἰ μή τί γε κατὰ συμβεβηκός· οἷον ὅτι τὸ δίκαιον ἀγαθόν ἐστι κατὰ συμβεβηκὸς ὑπονοοῦσί τινες, ὅτι καὶ οὔ, παρὰ τὸ μὴ ἀδικεῖν διὰ τὸ μὴ ἔχειν πλείω.

p. 67b 26 Ἐπισκεπτέον δὲ τοῦτο βέλτιον.

Εἶπεν ἐπισκεπτέον βέλτιον, ἢ ἐπειδὴ εἶπεν 'εἰ μή τί γε κατὰ συμβεβηκὸς οἰηθῇ τὸ καλὸν κακὸν εἶναι', ἢ ὅτι κακῶς ἐξέθετο τοὺς ὅρους τοῦ ⟨καλῷ καὶ⟩ κακῷ εἶναι ἄνω.

p. 67b 27 Ὅταν δ' ἀντιστρέφῃ τὰ ἄκρα, ἀνάγκη καὶ τὸ μέσον ἀντιστρέφειν.

Ἐντεῦθεν ὁ φιλόσοφος βούλεται εἰπεῖν περὶ τῶν ἀντιστροφῶν τῶν ἐν

---

1 οὐδ' U τῷ U (f, pr. A C) κακὸν B 3 οἰηθείη B 4 τῷ αὐτῷ U 5 οὐκ om. Bt 6 ἀγαθῷ scripsi: ἀγαθὸν BUt τὸ tert. B: τῷ Ut 8 ὀλίγον ὕστερον] b 26 9 τὸ alt. corr. e τῷ B 12 immo ὑπολαμβάνει 13 δὲ om. B 16 ante ἄρ' add. ὥστε καὶ ἐπὶ τοῦ δοξάζειν ὁμοίως Ut ἄρ' B (A): ἄρα Ut μὲν om. U 17 ἄρα B τὸ prius B: τῷ Ut 19 τὸ alt. B: τῷ Ut an ἀγαθὸν? 20 post ἐστι add. καὶ κακὸν t 24 οἰηθείη B 25 ⟨καλῷ καὶ⟩ κακῷ scripsi: κακῶς BUt ἄνω om. B 26 περὶ τῶν ἐν πρώτῳ σχήματι γινομένων ἀντιστροφῶν inser. B: περὶ ἀντιστροφῆς τῆς ἐν πρώτῳ σχήματι U ἀντιστρέφῃ U Arist.: ἀντιστρέφηται Bt 28 τῶν alt. Bt: καὶ U

πρώτῳ σχήματι γινομένων καὶ | καταφατικῶν καὶ ἀποφατικῶν καθόλου. CXV^v
καὶ φησὶν ὅτι, εἰ τὸ ἄκρον τῷ ἄκρῳ ἀντιστρέφει καὶ ὑπάρχει τὸ Α παντὶ τῷ Γ καὶ τὸ Γ παντὶ τῷ Α διὰ τοῦ Β, ἀνάγκη καὶ τὸν μέσον ὅρον ἀντιστρέφειν πρὸς τὰ ἄκρα. καὶ ὁ μὲν μείζων ἄκρος ἀντιστρέφει οὕτως· τὸ Β παντὶ τῷ Γ, τὸ Γ παντὶ τῷ Α, καὶ τὸ Β παντὶ τῷ Α. οὕτως ὁ μείζων ὅρος. ὁ δὲ ἐλάττων οὕτως· τὸ Γ παντὶ τῷ Α, τὸ Α παντὶ τῷ Β, καὶ τὸ Γ παντὶ τῷ Β. οὕτω καὶ ὁ ἐλάττων. ἐὰν οὖν τὸ ἄκρον τῷ ἄκρῳ ἀντιστρέφῃ, καὶ τὸ μέσον τοῖς ἄκροις ἀντιστρέψει.

p. 67b32 Καὶ ἐπὶ τοῦ μὴ ὑπάρχειν ὡσαύτως.

Ὡσαύτως (ἀντὶ τοῦ 'ὁμοιοτρόπως') ⟨ὡς⟩ εἶπε περὶ τοῦ καθόλου καταφατικοῦ, νῦν λέγει περὶ τοῦ ἀποφατικοῦ ὅτι, ἐὰν ἔστιν τὸ Α μηδενὶ τῷ Β, τὸ δὲ Β παντὶ τῷ Γ, τὸ ἄρα Α οὐδενὶ τῷ Γ. πῶς δὲ ἀντιστρέφομεν; οὕτως· τὸ Β παντὶ τῷ Γ, τὸ Β οὐδενὶ τῷ Α, τὸ ἄρα Γ οὐδενὶ τῷ Α. οὕτω διὰ τοῦ δευτέρου σχήματος τὸ συμπέρασμα ἀντιστρέφομεν. τὴν δὲ μείζονα ἀντιστρέφομεν οὕτως, ἵνα λάβωμεν καθ' ὑπόθεσιν τὴν ἐλάττονα ἀντιστρέφουσαν· οἷον τὸ Γ παντὶ τῷ Β, τὸ Γ οὐδενὶ τῷ Α· τοῦτο γὰρ ἐδείχθη· οὐκοῦν τὸ Β οὐδενὶ τῷ Α. οὕτω καὶ τὴν μείζονα πρότασιν. τὴν δὲ ἐλάττονα ἀποδεῖξαι, ὅτι ἀντιστρέφει, οὐ δυνατόν· αἱ γὰρ δύο προτάσεις ἀποφατικαί εἰσιν, ἥ τε τοῦ συμπεράσματος καὶ ἡ τῆς μείζονος προτάσεως· ἐκ δὲ δύο ἀποφατικῶν δειχθῆναί τι ἀδύνατον.

p. 67b34 Εἰ δὴ τὸ Β τῷ Α ἀντιστρέφει, καὶ τὸ Γ τῷ Α ἀντιστρέψει.

Ἐν τῷ καθόλου ἀποφατικῷ. οὐκέτι δὲ ἀντιστρέφει ἡ ἐλάττων πρότασις. ἀλλ' ἡ μείζων ἡ ΒΑ. ἐὰν οὖν, φησίν, ἡ ΒΑ πρότασις, τουτέστιν ἡ μείζων, ἀντιστρέφῃ, ἀντιστρέψει καὶ ἡ ΓΑ, τουτέστι τὸ συμπέρασμα. ἀπεσιώπησε δὲ τὴν ΒΓ· οὐ γὰρ ἠδύνατο ἀντιστρέφειν ἡ καταφατική, τουτέστιν ἡ ἐλάττων ἐπὶ τοῦ δευτέρου τρόπου τοῦ πρώτου σχήματος, τῆς μείζονος προτάσεως καὶ τοῦ συμπεράσματος ἀποφατικῶν οὐσῶν.

p. 67b35 Ἔστω γὰρ τὸ Β μὴ ὑπάρχον ᾧ τὸ Α· οὐδ' ἄρα τὸ Γ· παντὶ γὰρ ᾧ τὸ Γ καὶ τὸ Β ὑπῆρχεν.

Αἱ ὑποθετικαὶ προτάσεις αἱ αὐταί εἰσι ταῖς κατηγορικαῖς· οἷον ἔστω

1 γιγνομένων U 3 καὶ prius om. U καὶ alt. om. B 5 β̄ prius U: ᾱ Bt ᾱ prius Ut: β̄ B τὸ β̄—τῷ ᾱ scripsi: τὸ ᾱ—τῷ β̄ BUt 6 γ̄ Bt: β̄ U β̄ B: γ̄ Ut 7 καὶ prius om. U γ̄—β̄ B: β̄—γ̄ Ut οὖν om. U 8 ἀντιστρέψῃ B: ἀντιστρέφει t ἀντιστρέψει ex ἀντιστρέφει corr. U² 10 ὡς addidi 16 ἐδείχθη γὰρ τοῦτο B 20 ἀδύνατον B, pr. U: οὐ δυνατόν corr. U, t 21 τὸ (post β̄) U 21. 22 ἀντιστρέφει U (n) 24 post ἀλλ' add. εἰ U² 25 ἀντιστρέφῃ U: ἀντιστρέφει Bt 26 α' γ', quod correxerat Waitz Organ. I 29, t οὔτε U ἠδύναντο Ut 29 τῷ ᾱ, om. ᾧ Arist. 30 ᾧ om. t Arist. τῷ γ̄ τὸ β̄ Arist. 31 ἀποφατικαὶ t

τὸ Β μὴ ὑπάρχον ᾧ τὸ Α, τουτέστι τὸ Β οὐδενὶ τῷ Α. εἰ οὖν τὸ Β CXV[v]
οὐδενὶ τῷ Α, καὶ τὸ Γ οὐδενὶ τῷ Α· τὸ γὰρ Β παντὶ τῷ Γ. καὶ εἰ
τῷ Β τὸ Γ ἀντιστρέφει, ἀντιστρέψει καὶ ἡ ΑΒ καὶ ἡ ΑΓ· τὸ γὰρ Β
παντὶ τῷ Γ, καὶ τὸ Β οὐδενὶ τῷ Α· οὐκοῦν τὸ Γ οὐδενὶ τῷ Α. οὕτω 30
5 τὸ συμπέρασμα. ἡ δὲ μείζων πρότασις οὕτως· τὸ Γ παντὶ τῷ Β, τὸ Γ
οὐδενὶ τῷ Α, καὶ τὸ Β οὐδενὶ τῷ Α καὶ τὸ Α οὐδενὶ τῷ Β. οὕτω καὶ
ἡ μείζων. ἡ δὲ ἐλάττων οὐ δύναται ἀντιστρέψαι, ὥσπερ καὶ ἐπὶ τοῦ
κατηγορικοῦ.

p. 68a 3 Πάλιν εἰ τὸ Α καὶ τὸ Β ἀντιστρέφει, καὶ τὸ Γ καὶ τὸ Δ
10 ὡσαύτως.

Ἕτερον θεώρημα παραδίδωσιν ὁ φιλόσοφος χαριέστατον πάνυ τοι-
οῦτον. εἰ τὸ Α καὶ τὸ Β ἀντιστρέφει, καὶ τὸ Γ καὶ τὸ Δ ἀντι-
στρέψει· ἐὰν οὖν παντὶ πράγματι ᾖ τὸ Α ἢ τὸ Γ ἐξ ἀνάγκης, καὶ τὸ Β ἢ
τὸ Δ. καὶ ὤφειλε τούτου παράδειγμα παραστῆσαι· ὡς δὲ ἄλλου μέλλοντος 40
15 ἀποδείκνυσθαι παρίστησι παράδειγμα. ἔστω γὰρ τὸ Α ἀγένητον, τὸ Β
ἄφθαρτον· ταῦτα ἀντιστρέφουσιν. καὶ ἔστω τὸ Γ γενητόν, τὸ δὲ Δ φθαρτόν·
καὶ ταῦτα ἀντιστρέφουσιν.

p. 68a 10 Δύο γὰρ συλλογισμοὶ σύγκεινται.

Ποῖοι οὗτοι; τὸ ἀγένητον ἄφθαρτόν ἐστι, καὶ τὸ ἄφθαρτον ἀγένητον.
20 ὁμοίως καὶ ἄλλοι δύο γίνονται. 45

p. 68a 11 Πάλιν εἰ παντὶ μὲν τὸ Α ἢ τὸ Β.

Ἕτερον θεώρημα λέγει ἐνταῦθα, ὅτι εἰ παντὶ ἦν τὸ ἀγένητον ἢ τὸ
γενητόν, οὐκοῦν καὶ παντὶ ἦν τὸ ἄφθαρτον ἢ τὸ φθαρτόν, καὶ ἀντιστρέφει
τὸ ἄφθαρτον τῷ ἀγενήτῳ. εἰ γὰρ μή, τὸ φθαρτόν· τὸ δὲ φθαρτὸν |
25 ἰσοδυναμεῖ τῷ γενητῷ καὶ ἀντιστρέφει· ὥστε καὶ τὸ ἀγένητον ἀντι- CXVI[r]
στρέψει ἐπὶ τοῦ γενητοῦ, ὅπερ ἄτοπον. οὕτω καὶ ἐπὶ τοῦ ἀφθάρτου τῷ
ἀφθάρτῳ ἀντιστρέφει τὸ ἀγένητον· εἰ γὰρ μή, ἀντιστρέφει τὸ γενητόν·
τῷ δὲ γενητῷ ἀντιστρέφει τὸ φθαρτόν· ὥστε καὶ τῷ ἀφθάρτῳ τὸ φθαρτὸν
ἀντιστρέφει, ὅπερ ἄτοπον. οὕτω γίνονται δύο συζυγίαι συλλογισμοῦ ἐκ τῆς
30 πρώτης ἀντιστροφῆς τῆς 'ἀγένητον καὶ ἄφθαρτον'. γίνονται δὲ καὶ ἄλλαι 5
δύο ὁμοίως ἐκ τῆς ἀντιστροφῆς τῆς 'γενητὸν καὶ φθαρτόν'. ὥστε καλῶς

1 ὑπάρχειν Ut post τὸ α repetit e p. 468,29. 30 οὐδ' ἄρα—ὑπῆρχεν B
εἰ οὖν Ut: οἷον B 3 τῷ—τὸ B Arist.: τὸ—τῷ Ut (pr. A B n, corr. C) 3 ἀντι-
στρέφει (ante καὶ) pr. U γ̄ alt. e β̄ corr. B 11 ὁ add. B² 12. 13 ἀντι-
στρέφει Ut 13 ἡ B: εἰ Ut cf. vs. 22 ἢ τὸ γ̄—τὸ β̄ ἢ scripsi: καὶ τὸ β̄
τὸ γ̄ καὶ BUt (ante τὸ γ̄ addebat εἰ Waitz l. c.) 14 δ̄ Ut: β̄ B τοῦτο t
15 ἀγέννητον ut semper B 16 γεννητὸν ut semper B 21 post μὲν add. ἡ U
post β̄ add. καὶ ἢ τὸ γ̄—ὑπάρχει U 22. 23 ἀγέννητον—γεννητόν ut saepius t
23 post ἢ τὸ del. καὶ U 25. 26 ἀντιστρέφει U 31 post τῆς alt. add. τὸ B
ἄφθαρτον Bt

εἰπὼν ἀνωτέρω "δύο γὰρ συλλογισμοὶ σύγκεινται" εἰς ἑκάστην αὐτῶν CXVI[r] ἀντιστροφήν. ἀλλ' εἰδέναι δεῖ ὅτι διὰ τοῦ ἀδυνάτου δείκνυται ἕκαστος συλλογισμὸς ἑκάστης ἀντιστροφῆς.

p. 68a 16 Ὅταν δὲ τὸ Α ὅλῳ τῷ Β καὶ τῷ Γ ὑπάρχῃ καὶ μηδενὸς ἄλλου κατηγορῆται.

Ἕτερον θεώρημα παραδίδωσι θαυμάσιον πάνυ. ἔστι δὲ τοιοῦτον· ἐὰν τὸ Α κατηγορῆται καὶ τοῦ Β καὶ τοῦ Γ, κατηγορῆται δὲ καὶ τὸ Β τοῦ Γ, εἰδέναι δεῖ ὅτι καὶ τὸ Β τοῦ Α κατηγορεῖται καὶ ἀντιστρέφει. ἐπειδὴ γὰρ τὸ Α κατηγορεῖται τοῦ ΒΓ, τὸ δὲ Β κατηγορεῖται καὶ αὐτὸ ἑαυτοῦ καὶ τοῦ Γ (ἕκαστον γὰρ τῶν ὄντων αὐτὸ ἑαυτοῦ κατηγορεῖται· ὁ γὰρ ἄνθρωπος ἄνθρωπός ἐστιν, καὶ ὁ ἵππος ἵππος ἐστίν), εἰ οὖν τὸ Β ἑαυτοῦ καὶ τοῦ Γ κατηγορεῖται, τὸ Β ὡς ἑαυτοῦ κατηγορούμενον παντὶ τῷ Γ ἔσται παρεκτὸς τοῦ Α. οἷον ἔστω τὸ Β ἄνθρωπος, τὸ δὲ Γ ζῷον ἔστω· ὁ ἄνθρωπος ἄνθρωπός ἐστιν, ὁ ἄνθρωπος ζῷόν ἐστιν· οὐκοῦν ὁ ἄνθρωπος διὰ τοῦ 'ἄνθρωπός ἐστι' ζῷόν ἐστιν. ὥστε παρεκτὸς τοῦ Α τοῦ Γ κατηγορεῖται τὸ Β. καὶ παρεκτὸς πάλιν τοῦ Γ τὸ Α κατηγορεῖται τοῦ Β διὰ τοῦ κατηγορεῖσθαι αὐτὸ ἑαυτοῦ οὕτως· ἔστω τὸ Α γελαστικὸν καὶ τὸ Β ἄνθρωπος καὶ ἑαυτοῦ κατηγορείσθω οὕτως· ὁ ἄνθρωπος ἄνθρωπός ἐστιν· ὁ ἄνθρωπος ἄνθρωπος ὢν γελαστικός ἐστιν· ὁ ἄνθρωπος οὖν διὰ μέσου τοῦ 'ἄνθρωπός ἐστιν' γελαστικός ἐστιν. οὕτω καὶ διὰ τὸ αὐτὸ ἑαυτοῦ κατηγορεῖσθαι γίνεται ἀντιστροφὴ ἄνευ τοῦ ἄλλου ὅρου.

p. 68a 21 Πάλιν ὅταν τὸ Α καὶ τὸ Β ὅλῳ τῷ Γ ὑπάρχῃ, ἀντιστρέφῃ δὲ τὸ Γ τῷ Β.

Ἄλλο θεώρημα παραδίδωσιν ἡμῖν ὁ φιλόσοφος τοιοῦτον, ὅτι ἐὰν τὸ Α καὶ τὸ Β παντὶ τῷ Γ ὑπάρχῃ, ἀντιστρέφῃ δὲ τὸ Γ τῷ Β, διὰ τῆς ἀντιστροφῆς γίνεται τὸ πρῶτον σχῆμα. πρὶν γὰρ ἀντιστραφῇ, ἔστι τὸ τρίτον σχῆμα· τὸ γὰρ ΑΒ παντὶ τῷ Γ. καὶ εἰ τὸ Γ παντὶ τῷ Β, τῷ δὲ Γ παντὶ τὸ Α. τὸ ἄρα Α παντὶ τῷ Β ἐξ ἀνάγκης ἐκ δύο καθόλου καταφατικῶν. ὥστε καὶ τοῦτο ὀφείλομεν εἰδέναι, ὅτι εἰ ληφθῶσιν ὅροι ἀντιστρέφοντες ἐν τρίτῳ σχήματι, καθόλου καταφατικὸν συνάγει καὶ καθόλου ἀποφατικόν.

4 ὅταν] ὅ add. B² καὶ τῷ κτλ. om. B οὐδενὸς U 5 κατηγορεῖται U
7 κατηγορεῖται (post ᾱ) U τῷ β—τῷ γ U κατηγορεῖται (post γ̄) Ut
8 τῷ γ U δεῖ εἰδέναι B post εἰδέναι add. δὲ U τῷ ᾱ Ut 9 τῷ β γ U
τοῦ δὲ t: καὶ τὸ B 11 τὸ e τῷ corr. B 12 post τὸ add. δὲ t 13 ἔσται Ut:
ἔστω B 15 ἄνθρωπός scripsi: ἀνθρώπου BUt cf. vs. 20 16 καὶ BU: κατὰ t
18 ἑαυτοῦ scripsi: ἑαυτῷ Ut: compend. B 19 ἄνθρωπος alt. om. U γελαστικόν B
20 ἄνθρωπός scripsi: ἀνθρώπου BUt cf. vs. 15 γελαστικόν B αὐτὸ Bt: ἑαυτοῦ U
21 γίγνεται, post quod add. γὰρ t 22 ὅτι t ὅλῳ κτλ. om. B 22. 23 ὑπάρχει,
ἀντιστρέφει U 25 ὑπάρχει U ἀντιστρέφει B 27 εἰ καὶ B
27. 28 τῷ δε—τὸ corr. e τὸ δε—τῷ t²

p. 68a25 Ὅταν δὲ δυοῖν ὄντοιν, οἷον τὸ Α τοῦ Β αἱρετώτερον. CXVIr

Ἐν τούτοις ὁ φιλόσοφος ἀκριβῆ καὶ θεῖα παραδίδωσιν. ἔστι δὲ τὸ θεώρημα τοιοῦτον· ἐὰν τὸ Α καὶ τὸ Δ αἱρετά ἐστιν, ἔχουσι δὲ ἀντικείμενα, τὸ μὲν Α ἔχει ἀντικείμενον τὸ Β, τὸ δὲ Δ τὸ Γ, καὶ ταῦτα φευκτά εἰσιν. εἰ δὲ τῶν αἱρετῶν τὸ ἓν μᾶλλον αἱρετώτερον, οὐκοῦν καὶ τῶν φευκτῶν τὸ ἓν μᾶλλον φευκτότερόν ἐστιν. οἷον ὡς ἐπὶ παραδείγματος ἔστω ὑγεία καὶ πλοῦτος αἱρετά, νόσος δὲ καὶ πενία φευκτά· ἐὰν ⟨οὖν⟩ τις τὴν ὑγείαν ὡς μᾶλλον αἱρετὴν ζητῇ, δῆλον ὅτι καὶ τοῦ πλούτου τὸ ἐναντίον ζητεῖ ὡς ἧττον φευκτόν, οἷον τὴν πενίαν· συμφέρει γὰρ ὑγιαίνειν καὶ πένεσθαι ἢ πλουτεῖν καὶ νοσεῖν. ὥστε ἐκλέγονται οἱ ἄνθρωποι τὸ μεῖζον μὲν ἀγαθὸν ἔλαττον δὲ κακὸν ἤπερ τὸ μεῖζον κακὸν ἔλαττον δὲ ἀγαθόν· ἡ γὰρ ὑγεία μεῖζον ἀγαθόν· τὸ γὰρ πλουτεῖν τῶν ἐκτός ἐστι, τὸ δὲ ὑγιαίνειν ἐν ἡμῖν ἐστιν. οὐκοῦν πλέον τις ἕλοιτο τὸ ἴδιον καὶ μεῖζον ἀγαθὸν ἤπερ τὸ ἔξωθεν καὶ ἔλαττον ἀγαθόν. πόθεν δὲ δῆλον ὅτι ἡ ὑγεία μεῖζον ἀγαθόν ἐστιν, αὐτὸς νῦν σαφῶς διδάξει.

p. 68a29 Εἰ οὖν τὸ Α τῷ Δ ὁμοίως αἱρετόν.

Ἐπειδὴ οὖν ἀντίκειται ἡ ὑγεία καὶ ἡ νόσος, πλοῦτος καὶ πενία, ἧν δέ τινα ἐκλέγεσθαι τῶν ἀντιθέσεων, ἐκλέξεται ὑγείαν καὶ πενίαν μᾶλλον, ὑγείαν μὲν ὡς μεῖζον ἀγαθόν, πενίαν δὲ ὡς ἧττον κακόν. πόθεν οὖν δῆλον ὅτι ἡ ὑγεία τοῦ πλούτου μεῖζον ἀγαθόν; ἐὰν οὖν δείξω ὅτι οὔτε ἴσον οὔτε ἔλαττον, λεί|πεται ὅτι μεῖζον. οἷον εἰ ἦν ἴσον ἡ ὑγεία καὶ CXVIv ὁ πλοῦτος καὶ ὁμοίως ἀγαθά [ἐντεῦθεν δῆλον], ὁμοίως ἄρα φευκτὰ καὶ τὰ ἀντικείμενα. εἰ δὲ ὁμοίως φευκτὰ τὰ ἀντικείμενα, ὁμοίως ἕξουσι τὸ ΑΓ καὶ τὸ ΒΔ, εἰ ὁμοίως ἔχουσιν. ἐπειδὴ δὲ οὐ φαίνεται τὸ ΒΔ ὁμοίως ἔχειν, οὐκοῦν οὐδὲ τὸ ΑΓ ὁμοίως ἕξει. οὐδὲ ἧττον ἡ ὑγεία τοῦ πλούτου αἱρετή· εἰ γὰρ ἧττον, οὐκοῦν μᾶλλον διωκτὴ ἐγίνετο ἡ νόσος. οὐδεὶς δὲ τῶν εὐφρονούντων αἱρεῖται τὸ μέγα κακὸν καὶ ἧττον ἀγαθόν, ἀλλὰ μᾶλλον τὸ μέγα ἀγαθὸν καὶ ἧττον κακόν· εἰ οὖν ἡ νόσος ἧττον κακὸν καὶ ὁ πλοῦτος μέγα ἀγαθόν, ὤφειλον τοῦτον αἱρεῖσθαι οἱ ἄνθρωποι· ἀλλὰ τοῦτο οὐ βούλονται. ὥστε οὔτε ὁμοίως αἱρετὴ οὔτε ἔλαττον αἱρετὴ ἡ ὑγεία τοῦ πλούτου· λείπεται ἄρα τὸ πλέον αἱρετὴν εἶναι τὴν ὑγείαν.

1 οἷον τὸ BUt (corr. n): τὸ Arist. 3 ὁ Waitz Organ. I 29: β̄ BUt αἱρετόν, ut videtur, pr. B ἔχουσιν, om. δὲ B 4 ἔχει ἀντικείμενον deleverim ὁ τὸ γ̄, quod coniecerat Waitz l. c., B: γ̄ τὸ ὁ Ut 7 ὑγίεια B 8 οὖν addidi cf. p. 478,4 ὑγίειαν libri 9 post ἐναντίον add. τι t ζητεῖ Ut: δηλοῖ B an συμφορώτερον? 10 ἡ] ras. U 13 post οὐκοῦν add. καὶ t 14 ἔξωθεν καὶ ἔλαττον Bt: ἔξωθεν U, λαττον superscr. U¹ 17 ἀντίκειται Ut ὑγίεια t post πενία add. εἰ Bt 19 post ὡς utrumque add. ὅτι U οὖν om. U: δὲ t 20 ὑγίεια U 21 εἰ superscr. U² ἦν om. B ἡ superscr. B ὑγίεια Ut 22 ὁ superscr. B καὶ prius om. U post ἀγαθά add. καὶ U ἐντεῦθεν δῆλον delevi 25 ἕξει Bt: ἐρεῖ U οὐδὲ alt. B: οὐδὲν Ut ὑγίεια U 26 μᾶλλον οὐκοῦν U ἐγίγνετο U 27 μέγαν U ἀγαθὸν e κακὸν corr. B 28 post κακόν alt. add. ἐστι U 29 τοῦτον Bt: τούτων U 30 ἐλάττων Bt ἡ om. U ὑγίεια U 31 αἱρετόν B τὴν ὑγείαν B: τὴν ὑγίειαν U

p. 68a39 Εἰ δὴ ἕλοιτο πᾶς ὁ ἐρῶν κατὰ τὸν ἔρωτα. CXVIv

Πρᾶγμα μέγιστον ἐνταῦθα παραδίδωσιν ὁ φιλόσοφος ἐκ τοῦ εἰρημένου θεωρήματος, ὃ ἀπ' ἐναντίας ἐστὶ τῇ νῦν γνώμῃ τῶν ἀνθρώπων. οἱ γὰρ ἄνθρωποι οἴονται ὅτι ὁ ἔρως γίνεται διὰ τὴν μῖξιν· αὐτὸς δὲ δείκνυσιν ὅτι διὰ τὴν προαίρεσιν τῆς φιλίας, σύμβολον δὲ τῆς προαιρέσεως ἡ μῖξις. λαμβάνει οὖν περὶ τῆς ἐρωμένης δύο ἀντιφάσεις, ἢ δυναμένην ἢ μὴ δυναμένην, ἢ θέλουσαν ἢ μὴ θέλουσαν. ἐκλέξεται οὖν τὰς διαγωνίους ὁ ἐρῶν τὰς μᾶλλον συντεινούσας τῷ ἰδίῳ ἔρωτι ἐξ ἀνάγκης, καὶ οὐκ ἂν εἴποι ὁ ἐρῶν ὅτι ἡδέως εἶχον τὴν ἐρωμένην δύνασθαι μὲν μὴ θέλουσαν δέ, ἀλλὰ λέγει ὅτι τὴν θέλουσαν μὲν μὴ δυναμένην δέ. αἱρετῶν γὰρ ὄντων τῶν δύο, τοῦ θέλειν τὴν ἐρωμένην καὶ δύνασθαι, τὸ θέλειν αἱρετώτερον λαμβάνει· τὸ γὰρ θέλειν καὶ μὴ θέλειν κατὰ τὴν προαίρεσίν ἐστιν, τὸ δὲ μὴ δύνασθαι καὶ δύνασθαι κατὰ τὴν πρᾶξιν. οὐκοῦν ὥσπερ πρὸς τὸν ἐραστὴν μέγα κακόν ἐστι τὸ μὴ θέλειν τὴν ἐρωμένην, ἧττον δὲ κακὸν τὸ μὴ δύνασθαι, οὐκοῦν καὶ τὰ ἀντικείμενα ὁμοίως ἕξει, ὥσπερ μέγα κακὸν τὸ μὴ θέλειν, οὕτω μέγα ἀγαθὸν τὸ θέλειν, καὶ ὥσπερ ἧττον κακὸν τὸ μὴ δύνασθαι, οὕτως ἧττον καλὸν τὸ δύνασθαι. ἐάν τις οὖν προθῆται τῷ ἐρῶντι λαβεῖν τῶν διαγωνίων ἣν βούλεται, δῆλον ὅτι ἐκείνην λήψεται τὴν διαγώνιον τὴν τὸ μέγα ἀγαθὸν καὶ ἧττον κακὸν παριστῶσαν· τοῦτο δέ ἐστι τὸ βούλεσθαι μὲν μὴ δύνασθαι δέ. τὸ δὲ βούλεσθαι τῆς γνώμης ἐστὶ καὶ τῆς προαιρέσεως· οὐκοῦν καὶ ὁ ἐρῶν τῆς προαιρέσεως ἐρᾷ καὶ οὐ τῆς μίξεως. σύμβολον δὲ τοῦ τυχεῖν τοῦ τέλους τὸν ἐρῶντά ἐστιν ἡ μῖξις, ᾗ ἀντικατέστη.

p. 68b6 Καὶ γὰρ αἱ ἄλλαι ἐπιθυμίαι.

Εἰ οὖν, ὡς ἀπεδείχθη, φησίν, ὁ ἔρως τῆς φιλίας ἐστίν, οὐκοῦν ὁ ἐρῶν τοῦτο τέλος τίθεται, τὸ φιλεῖσθαι· τὸ γὰρ συνιέναι ἢ οὐκ ἔστι τοῦ ἔρωτος, ἢ εἰ ἔστιν, ἕνεκεν τῆς φιλίας γίνεται. οὕτω καὶ αἱ ἄλλαι ἐπιθυμίαι γίνονται.

p. 68b8 Πῶς μὲν οὖν ἔχουσιν οἱ ὅροι.

Ποῖά εἰσιν αἱρετά; ὅτι τὰ μᾶλλον ἀγαθά. ποῖα δὲ φευκτά: τὰ μᾶλλον κακά.

1 δ' U 4 γίγνεται t 5 τῆς φιλοσοφίας U post τῆς alt. del. φιλοσοφίας U 6 post ἀντιφάσεις add. αὐτὸς U 7 διαγωνίους e δύο γωνίας corr. U² 8 εἴπῃ B 9 immo δυναμένην 10 γὰρ scripsi: δὲ BUt 17 ante δύνασθαι add. μὴ t προθῆται scripsi: προσθῆται BU: προσθεῖται t 19 παριστῶσαν] ω parum liquet in U 21 καὶ οὐκοῦν Ut post ἐρῶν add. καὶ t 22 post ἐρῶντα add. ὁ ἐρῶν U 22. 23 ἀντεκατέστη Ut 25 ἐδείχθη B 26 συνεῖναι Arist. 27 ἕνεκα U 29 οἱ ὅροι ἔχουσι U 30 ante αἱρετά add. τὰ Ut

p. 68b9 Ὅτι δὲ οὐ μόνον οἱ διαλεκτικοὶ καὶ ἀποδεικτικοὶ CXVIv
συλλογισμοί.

Βούλεται διὰ τούτου δεῖξαι ὅτι καὶ οἱ ῥητορικοὶ συλλογισμοὶ διὰ τῶν τριῶν σχημάτων δείκνυνται. ῥητορικοὶ δέ εἰσιν οἱ ἐπαγωγικοὶ καὶ οἱ παρα-
5 δειγματικοὶ καὶ ὅσους ἄλλους ἔχει εἰπεῖν.

p. 68b13 Ἅπαντα γὰρ πιστεύομεν ἢ διὰ συλλογισμοῦ ἢ ἐξ
ἐπαγωγῆς.

Ἐπειδὴ πιστεύομεν ἢ διὰ συλλογισμοῦ ἢ δι' ἐπαγωγῆς, ζητείσθω τί διαφέρει ὁ συλλογισμὸς τῆς ἐπαγω|γῆς, ὅτι ὁ συλλογισμὸς CXVIIr
10 διὰ τοῦ μέσου ὅρου συνάπτει τὸν ἄκρον τῷ ἄκρῳ, ἡ δὲ ἐπαγωγὴ διὰ τοῦ ἐλάττονος συνάπτει τῷ μέσῳ τὸν ἄκρον. οἷόν ἐστι τὸ ΑΒΓ· διὰ τοῦ Γ δείκνυμεν ὅτι τὸ Α τῷ Β ὑπάρχει.

p. 68b18 Οἷον ἔστω τὸ Α μακρόβιον, τὸ δ' ἐφ' ᾧ Β χολὴν μὴ ἔχον.

Βούλεται διὰ τούτων ὡς ἐπὶ παραδείγματος σημᾶναι τὸν ἐπαγωγικὸν
15 τρόπον. ἔστι δὲ οὗτος· ἔστω τὸ Α μακρόβιον, τὸ Β χολὴν μὴ ἔχον, τὸ Γ οἷον κόραξ καὶ ὅσα τοιαῦτα. λέγει οὖν ὅτι ὁ κόραξ καὶ ὁ ἔλαφος ἄχολα μακρόβιά εἰσιν· οὐκοῦν καὶ τὸ μὴ ἔχον χολὴν μακρόβιόν ἐστιν. οὕτω διὰ τοῦ ἐσχάτου ὅρου τῷ μέσῳ συνάπτομεν τὸν ἄκρον. λέγω γὰρ οὕτως· τὰ καθ' ἕκαστον μὴ ἔχοντα χολὴν μακρόβιά ἐστιν·
20 οὐκοῦν καὶ τὰ μὴ ἔχοντα χολὴν μακρόβιά εἰσιν.

p. 68b24 Δέδεικται γὰρ πρότερον ὅτι, ἐὰν δύο ἄττα τῷ αὐτῷ
ὑπάρχῃ.

Ὅπερ εἰρήκαμεν πρότερον ἐπὶ φθαρτοῦ καὶ ἀφθάρτου καὶ γενητοῦ καὶ ἀγενήτου, [ὅτι] λέγεται νῦν ὡς πρὸς ἄλλο τι μέλλον ἀποδείκνυσθαι.
25 δέδεικται, φησί, πρότερον, ἐὰν δύο ἄττα τῷ αὐτῷ ὑπάρχῃ καὶ ἀντιστρέφῃ τὸ ἕτερον, ⟨ὅτι⟩ καὶ τὸ ἄλλο ἀντιστρέφει, ὡς καὶ νῦν ἐπὶ τῆς ἐπαγωγῆς τὸ ἄχολον κατηγορεῖται ὑπόθου τῷ κόρακι· κατηγορεῖται δὲ καὶ τῷ κόρακι τὸ μακρόβιον· οὐκοῦν καὶ τῷ ἀχόλῳ τὸ μακρόβιον.

1 καὶ ἀποδ. συλλ. om. B 3 τούτων t 6 περὶ ἐπαγωγῆς inser. BU ἢ prius] οἱ U ἐξ B Arist.: δι' Ut 8 ἐπειδὴ—ἐπαγωγῆς bis habet U 10 τὸν t: τὸ BU 11 τὸν μέσον τῶ ἄκρω Ut διὰ τῶν B 13 post α add. τὸ U post β̄ add. τὸ t Arist. 14 τούτων ὡς ἐπὶ om. Ut 17 ἔχειν t 18 ἐστιν om. U τὸν μέσον—τῶ ἄκρω Ut 19 καθ' ἕκαστα B 21 post γὰρ del. τὸ U ὅτι κτλ. om. B ἄττα Ut (A B C) 23 πρότερον] p. 469,14 23. 24 γεννητοῦ—ἀγεννήτου B 24 ὅτι delevi 25 post δύο add. φησὶν U ἄττα BUt 25. 26 ὑπάρχει καὶ ἀντιστρέφει t 26 ὅτι addidi ἀντιστρέφῃ (ante ὡς) B 27. 28 κατηγορεῖται δὲ—κόρακι om. t 28 τὸ ἄχολον t τὸ alt. om. t

